Presented to the Library
of the Theological Seminary
at Princeton
by Messrs. Robt. & Alexr. Stuart,
New York 1854.

Η ΚΑΙΝΗ ΔΙΑΘΗΚΗ

ΕΚ ΤΗΣ ΠΑΛΑΙΑΣ ΔΙΑΘΗΚΗΣ
ΚΑΤΑ ΤΟΥΣ ΕΒΔΟΜΗΚΟΝΤΑ
ΔΙΕΡΜΗΝΕΥΟΜΕΝΗ

ΤΟΜ. I.

ΑΠΟ ΤΩΝ ΓΡΑΦΩΝ ΔΙΑΝΟΙΓΩΝ ΚΑΙ ΠΑΡΑΤΙΘΕΜΕΝΟΣ.
Act. Apost. xvii. 3.

Η ΚΑΙΝΗ ΔΙΑΘΗΚΗ

ΕΚ ΤΗΣ ΠΑΛΑΙΑΣ ΔΙΑΘΗΚΗΣ ΚΑΤΑ ΤΟΥΣ ΕΒΔΟΜΗΚΟΝΤΑ ΔΙΕΡΜΗΝΕΥΟΜΕΝΗ

NOVUM TESTAMENTUM GRÆCUM

EDITIO HELLENISTICA

Edward William Grinfield

ALDI DISCIP· ANGLVS

LONDINI
GULIELMUS PICKERING
1843

IMPRIMEBAT CAROLUS WHITTINGHAM CHISWICK.

LECTORI STUDIOSO.

INTER multas et varias Novi Testamenti Editiones, quæ ab arte typographicâ inventâ usque ad nostra tempora in lucem prodierunt, succurret cuipiam admirari, cur ad normam in hôc nostro opere propositam nulla fuerit adhuc excogitata. Dum alii in Patrûm testimoniis, alii in Rabbinorum sententiis, alii in Poetarum carminibus et Philosophorum dictis, cum sacrosancto textu conferendis multùm versati fuerint; nemo, quod sciam, hanc planam facilemque viam, quâ ad Palæstinam et propè ad Christi et Apostolorum societatem, per veteres Patriarchas et Prophetas, recto itinere et sine ullo circuitu eatur, monstravit.

Non me quidem latet, inter Lexicographos et Criticos sacros multa et præclara hujusmodi passim esse respersa; sed hæc membra disjecta quisnam, quæso, hactenus in unum corpus collegit? Editor certè adhuc desiderandus, qui hæc fragmenta tam multa et pretiosa congereret, et tanquam vestibulum ad Novi Testamenti templum grato animo ædificaret.

In hâc Editione moliendâ hoc maxime nobis propositum est, venerandam illam Veteris Testamenti versionem, quæ à Christo et Apostolis ejus plus quàm bis centies laudatur, ad continuam Novi Testamenti illustra-

tionem nusquam non adhibere. Imprimis igitur verba omnia et dictiones singulas Novi Testamenti, cum iisdem similibusque apud LXX usitatis, conferimus. Deinde, loca citata et parallela longe fusiùs et accuratiùs recensere volumus. Tertiò, præcipuas res, sensu et doctrinâ consonas utcunque verbis alienas, diligenter et copiose colligere conamur. Ad Apocryphos libros denique et ad fragmenta Origenis Hexaplaria, deficiente nimirum auctoritate Librorum Canonicorum seu Alexandrinæ versionis, confugimus.

Sed exemplis tam multis et variis collectis, nobis non erat in animo Philologica et Theologica singulatim disponere, aut in distinctos ordines redigere. Cùm enim exempla grammatica etiam tironi in promptu est dignoscere; necesse est ut omnes, veram et interiorem et reconditam Novi Testamenti interpretationem scrutantes, et res et voces pariter mente perciperent. Nam studia Philologica et Theologica, jugali quodam vinculo inter se arcta et colligata, et Dei et Naturæ legibus in æterna fœdera coeunt: ergo, ea optima exempla existimanda sunt, quæ res et verba simul ac vicissim illustrent.

Textum quidem Vaticanum secundum Bosii Editionem fideliter sequimur; ubi tamen aptiùs visum sit, lectiones varias, tum Alexandrinas, Hervagianas, et Complutenses, adhibemus. In Danielis libro, Chisiano codice, secundum Editionem Romæ anno 1772 impressam, posthabitâ Theodotionis versione, præcipuè utimur. Non autem de textu aut variis lectionibus Novi Testamenti valdè soliciti sumus, quippe quæ ad nostrum propositum parum referant. Quamvis enim textum Millianum plerumque exhibere statuimus, hæc nostra Seniorum collatio ad

alias Novi Testamenti editiones parvo aut nullo discrimine accommodari potest.

Quamplurima, prout res postulat, è Novo Testamento decerpta, ad suam ipsius interpretationem illustrandam sparsimus. Paucula etiam ex Patribus Apostolicis, et scriptoribus antiquis Hellenisticis seorsùm addidimus. Sed tam multa et præclara Josepho et Philoni debentur, ut hos duos scriptores, cæteris omnibus profanis auctoribus, in his studiis excolendis, procul dubio anteponendos judicemus. In scriptis Philonianis ampliùs bis mille loca ex Seniorum versione laudata invenias, et hæc ferè semper ipsissima Seniorum verba.*

De utilitate hujus incepti supervacaneum foret multa dicere.— Critici quidem, uno ore, hujusmodi collationem Novi Testamenti et Seniorum versionis Veteris Testamenti satis laudant. Nullo certè argumento, veras et antiquas religionis nostræ origines meliùs ostendere licet, quam hôc ipso lectionis, tempore Christi et Apostolorum usitatæ, oculato quasi teste. Nec de Seniorum versionis usu aut dignitate nobis disputandum est, sive Novi Testamenti interpretationem, sive dialecti Hellenisticæ cognitionem respicias. De his quidem multi multa scripserunt; nemo forte doctiùs aut copiosiùs quam F. G. Sturzius, De Dialecto Macedonicâ et Alexandrinâ; nemo concinniùs quam Joannes Pearson, Ces-

---

* "Quantum denique apud Judæos, speciatim Alexandrinos, Christi Apostolorumque temporibus invaluerit usus Versionis Græcæ, luculenter apparet ex operibus Philonis Judæi Alexandrini, magni nominis, ejusdemque Sacerdotis, in quibus passim reperiuntur loca è Græcâ Versione verbatim desumpta, &c. *Hodius. de Bib. Text. p.* 228. Apud Philonem Judæum quoque Patribus antiquiorem, in omni fere paginâ offendimus loca, quæ ad verbum è Græcâ Versione sunt desumpta, &c.—*Bos. Proleg.*

trensis olim Episcopus, in Præfatione Paræneticâ ad Editionem Septuagintaviralem, Cantabrigiæ anno 1665 impressam; nemo elegantiùs quam J. F. Fischerus, in Prolusionibus suis de vitiis Lexicorum N. T.—Sed quid plura? Quisquis es, qui in his legendis immoreris, si ex nostris studiis et laboribus aliquantulùm fructûs capias, easdem quoque Palæstinæ regiones frequenter perlustrare ne recuses. Hæc via per Hierosolymam et Sionis montem est aperta, simplex, directa; illa per Romam aut Athenas devia, et ni fallor, sæpiùs periculosa. Sic ab omnibus sacrarum literarum studiosis ad Novi Testamenti interpretationem veram et pristinam, Christo duce, accedendum. Quicquid igitur de hâc Editione nostrâ statueris, seu magni seu parvi eam æstimâris, si modò Seniorum Veteris Testamenti versionem diurnâ et nocturnâ manu tu ipse volvas, satis fecisse nobismet, nec frustrà his studiis operam impendisse videbimur.

Sed hæc cautè et sobriè persequenda sunt, ne alia et majora negligantur et despiciantur. Omne studium in Alexandrinâ versione impensum, summâ reverentiâ textûs Hebraici temperandum et moderandum est.—"Cavendum," ait Bosius, "ne nimiùm hanc versionem extollamus, et plus quàm par est, ei fidamus; ne æquiparemus eam Veritati Hebraicæ, nedum præponamus. Conferre eam oportet codici Hebræo, non præferre; non enim suis caret illa nævis." Nec aliter Hodius—"Assentior omnino Pearsono, à quo exornatur hôc encomio Interpretatio Græca: Cùm ad Heb. veritatem probè percipiendam, ad auctoritatem testimoniorum Apostolicorum confirmandam, ad nativum Novi Fœderis stylum rectè intel-

ligendum—tam sit utilis atque necessaria; quis eam doctis omnibus, præsertim Theologis, non videt debere esse commendatissimam?"

Ad prima quidem operis limina in Grammaticis maximè versamur, et verborum et dictionum interpretationes speciatim pertractamus. Nec piget easdem ferè loquendi formas iterum iterumque in memoriam revocare. Consultò hoc fecimus, non solùm ut tironum studiis inserviremus; sed ut, his bene positis, ad alia eademque altiora et faciliùs et tutiùs gradatim ascenderemus. In Epistolis igitur enucleandis ad sedes interiores et templi penetralia accedimus, convocatis longe lateque ad Apostolorum societatem Mose et Davide, Patriarchis et Prophetis.—Sed quis mortalium ad hæc idoneus sit? Sine lumine divino precibusque ad Patrem luminum assiduis, omnis noster effusus labor.—Descendes, oremus, Sancte Spiritus, et obscuriora tua Tu ipse illumines!

Scopus igitur et meta laborum nostrorum quales sint, sic paucis accipe.—Verbum Dei semper et ubique est idem et unum, totum sui simile, non in doctrinis tantùm, sed etiam in sermonis idiomatibus, innumerisque cogitandi et loquendi formis. Lingua sacra et verè Theologica non est illa omnigena et pænè Babylonica barbaries, quæ è scriniis Oratorum, Historicorum, Comicorum, Tragicorum, Eroticorum, omniumque ferè scriptorum dicendi genere, frustatim et minutatim compilanda sit; sed oratio simplex et ubique sibi conformis, decens et decora, quam per tota Biblia ad mentem suam illustrandam, mirificâ quâdam et plane divinâ arte, Spiritus Dei accommodâsse videtur. Sive ergo Hellenisticam, sive Hebræo-Græcam, sive Macedonicam, sive quovis alio

nomine hanc dialectum vocares; nequaquam credendum est Grammatistis, qui voces et phrases sacrosanctas ex auctoribus profanis interpretentur, et Jordanis flumina cum Tiberis aut Arethusæ aut Alphei limo et colluvione, ut ita dicam, contaminare elaborent.

Per decem annos in hâc Editione conficiendâ operam studiumque impensè elocavi; multa tamen prætermissa, multa minùs apta, et non pauca fortè prorsus aliena, nullus dubito quin in eâ invenienda sint. "Verùm opere in longo," ut Horatianis verbis utar, "fas est obrepere somnum;" et ubi tam multa, tam pretiosa, è sacrosanctis aurifodinis nunc primùm eruta nitent; "maculis, quas aut incuria fudit, aut humana parum cavit natura," veniam ab omnibus bonis et benevolis facilè concessam fore sperandum est.

Hæc, quam nunc absolvimus, collatio est pars modò prima nostri propositi. Si nobis totum conficere licitum fuisset, ex triplici collatione Hebraici textûs, et Seniorum versionis, et Novi Testamenti pars altera constitisset. Utinam talem Editionem Τῶν O, huic gemellam, nobis instruere datum esset! Sed volenti vires naturæ deficiunt, et anni senescentes nobis tam ardua, quamvis desideranda, recusant.

Tibi, interea, Deus Opt. Max. pro valetudine et viribus animi corporisque hosce inter longos labores concessis, gratias maximas nos tenues agimus; Tibi, omnes conatus nostros, quantulicunque sint, ad Ecclesiæ Catholicæ profectum et ad crucis Christi gloriam, supplices lubentesque dicatos et consecratos volumus.

EDV. GUL. GRINFIELD.

Brightoniæ in agro Sussexiensi,
Kal. Jul. 1843.

APPARATUS HELLENISTICUS.

Bib. Græc. LXX. Morini .... *Lutet.* 1628.
——— Bosii .... *Franecq.* 1709.
——— .... *Francof.* 1697.
——— Pearsoni .... *Cantab.* 1655.
——— Grabii .... *Oxon.* 1707—1709.
Daniel. LXX .... *Romæ* 1772.
Esther Usserii .... *Lond.* 1665.
Hexapla Origenis Bahrdt. .... *Lips.* 1769.
Nov. Test. Millii .... *Oxon.* 1723.
——— Wetstenii .... *Amst.* 1752.
——— Griesbachii .... *Lond.* 1810.
——— Libb. Historici .... *Lug. Bat.* 1653.
——— Kuinoel .... *Lond.* 1835.
——— Evangeliorum Harmonia Græco-latina Toinardi. *Par.* 1707.
Trommii Concordant. Vet. Test .... *Amst.* 1718.
Schmidii Concordant. Nov. Test. .... *Gothæ* 1717.
Acta Sanct. Thomæ Apost. Thilo. .... *Lips.* 1823.
Alberti Observat. Philolog. N. Test .... *Lug. Bat.* 1725.
——— Glossarium Græc. Nov. Test. .... *Lug. Bat.* 1735.
Bielii Thesaurus LXX .... *Hagæ. Com.* 1779.
Bretschneideri Lexicon. Nov. Test .... *Lips.* 1824.
——— Spicileg. in Apocryph .... *Lips.* 1705.
——— Siracides .... 1806.
Bosii Exercitat. Nov. Test .... *Franecq.* 1713.
——— Ellipses Græcæ, Michælis, 1765. Hermanni ...... *Lond.* 1825.
Capelli Critica Sacra .... *Lutet.* 1650.
Calovii Bibb. Illustrat .... *Francof.* 1672—1676.
Clem. Rom. Epist. .... *Lond.* 1687.
Glassii Philolog, Sac. .... *Amst.* 1694.
——— Dathii .... *Lips.* 1776.
Drusii in Nov. Test. Annotat .... *Franek.* 1612.
——— Parallela Sacra .... 1588.
Drusii Ecclesiasticus .... *Antwerp.* 1596.
Ernesti Institutio Nov. Test. .... *Lips.* 1775.
Elsneri Observat. Nov. Test. .... *Traject ad Rhenum.* 1720.
Fabricii Codex Pseudepig. V. Test .... *Hamburg,* 1713—1723.
Fischeri Prolus. Nov. Test. .... *Lips.* 1781.
Fulleri Miscellanea Theolog. .... *Oxon.* 1626.
Grotii Annotat. V. Test .... *Lutet.* 1644.
——— N. Test .... *Amst.* 1631.
Hesychius Schrevelii .... *Lug. Bat.* 1668.
Heinsii Exercitat. Sac. .... *Cantab.* 1640.
Hodius de Bibb. Text. .... *Oxon.* 1705.
Hulsii Heb. Text. Vindiciæ .... *Rotterdam.* 1662.

Hoogeveen Partic. Græc. Schutz .... *Lips.* 1782.
Hornmanni Exercitat. e Philone .... 1773—1776—1778.
Josephi Opera. Hudson .... *Oxon.* 1720.
Ignatii Epist. Vossii. .... *Lond.* 1680.
Keuchenii Annotat. Nov. Test .... *Lug. Bat.* 1754.
Krebsii Observat. e Josepho .... *Lips.* 1755.
——— Decreta Romana .... *Lips.* 1768.
Kypkii Observat. Nov. Test. .... *Wratisl.* 1755.
Kuinoel Observat. libb. Apoc. .... 1793.
Lampe in Ioannem .... 1724.
Lightfoot Hor. Heb. et Talmud .... *Cantab.* 1658—1671.
Leighii Annotat. Nov. Test. .... *Lips.* 1732.
——— Critica Sacra .... *Lond.* 1662.
Leusdeni Philolog. Bib. Græc .... *Ultrajcet.* 1685.
Loesneri Observat. e Philone .... *Lips.* 1777.
Maittairii Dialect. Græc. Sturz .... *Lips.* 1807.
Minterti Lexicon. Nov. Test 1728
Mœridis Lexicon. Pierson .... *Lug. Bat.* 1759.
Munthe Observat. Nov. Test .... 1755.
Noldii Concordant. Heb. Partic. .... *Jenæ.* 1734.
Ottii Spicileg. e Josepho .... *Lug. Bat.* 1741.
Palairet Observat. Nov. Test. .... *Lug. Bat.* 1752.
Philonis Opera ——— .... *Col. Allob.* 1613.
——————— Mangey .... *Lond.* 1742.
Raphelii Annotat. Nov. Test .... *Lug. Bat.* 1747.
Relandi Exercitat. Philolog .... *Traject.* 1707.
Rhenferdii Syntag. N. Test. .... *Leovardi.* 1702.
Salmasius de Hellenist .... *Lug. Bat.* 1643.
Scharfenberg Animad. Vers. Græc. V. T .... 1776—1781.
Schleusneri Lexicon. N. T. .... *Lips.* 1808.
——————— V. T. LXX .... *Glasg.* 1822.
————— Opuscula in Vers. Græc. V. T. .... *Lips.* 1812.
Schoetgenii Hor. Heb. et Talmud .... *Lips.* 1733.
Sturzius de Dialect. Macedon .... *Lips.* 1808.
Vigeri Idiotismi Græc. Hermanni .... *Glasg.* 1813.
Vorstius de Hebraismis Nov. Test .... *Amst.* 1665.
Waltoni Bib. Apparat. .... *Tiguri* 1672.

Middleton on the Greek Article by Rose .... 1841.
Robinson's Greek and English Lexicon, N. T. .... 1837.
Stuart's Grammar of the N. T. Dialect .... *Lond.* 1838.
Winer's Grammar of Greek Testament Idioms .... *Philadelphia.* 1840.
Bishop Randolph's Quotations Heb. Græc. .... *Oxford.* 1782.
Spearman on the Septuagint, Letter III. *Edinburgh,* 1759.
Horne's Introduction, Vol. 2. pp. 281—348. Edit. *Lond.* 1839.
Owen's Modes of Quotation, &c.

ΕΥΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ.

ΚΕΦ. α. 1.

ΒΙΒΛΟΣ γενεσεως Ιησου Χριστου, ὑιου Δαβιδ, ὑιου Αβρα-
αμ.

αὑτη ἡ βιβλος γενεσεως ανθρωπων. Gen. v. 1. αὑται αἱ γενεσεις Κορε. Exod. vi. 24. Κατα γενεσεις αυτων, κατα πατριας αυτων. Num. i. 18. Αχαρ ὑιος Χαρμι, ὑιου Ζαμβρι, ὑιου Ζαρα. Jos. vii. 1. ἑνεκεν Δαυιδ του δουλου σου μη αποστρεψῃς το προσωπον του Χριστου σου. Ωμοσε Κυριος τῳ Δαυιδ αληθειαν, και ου μη αθετησει αυτην, Εκ καρπου της κοιλιας σου, θησομαι επι του θρονου σου. Ps. cxxxi. 10, 11. και ενευλογηθησονται εν σοι [Ἁβραμ] πασαι αἱ φυλαι της γης. Gen. xii. 3. Conf. Luc. iii. 23. [τις επ' ακριβειας εὑρε την πρωτην καταβολην της τουτων γενεσεως; Philo. T. ii. p. 124. Edit. Mangey.] Conf. Num. xxiii. 10.

2 Αβρααμ εγεννησε τον Ισαακ. Ισαακ δε εγεννησε τον Ιακωβ.
Ιακωβ δε εγεννησε τον Ιουδαν και τους αδελφους αυτου.

και εγεννησεν Ἁβρααμ τον Ισαακ. 1 Par. i. 34. Conf. Gen. xxi. 2, 3. xxv. 26. xxix. 35. [Αδαμ δε εγνω την γυναικα αὑτου, κ. τ. λ. Philo. T. 1. p. 146.]

3 Ιουδας δε εγεννησε τον Φαρες και τον Ζαρα εκ της Θαμαρ.
Φαρες δε εγεννησε τον Εσρωμ. Εσρωμ δε εγεννησε τον Αραμ.

και Θαμαρ ἡ νυμφη αυτου ετεκεν αυτῳ τον Φαρες, και τον Ζαρα. 1 Par. ii. 4. ὑιοι Φαρες, Εσρωμ και Ιεμουηλ. 1 Par. ii. 5. Conf. Gen. xxxviii. 27. Ruth. iv. 18, 19.

4 Αραμ δε εγεννησε τον Αμιναδαβ. Αμιναδαβ δε εγεννησε τον
Ναασσων. Ναασσων δε εγεννησε τον Σαλμων.

και Αραμ εγεννησε τον Αμιναδαβ, και Αμιναδαβ εγεννησε τον Ναασσων,—και Ναασσων εγεννησε τον Σαλμων. 1 Par. ii. 10, 11. Ruth. iv. 20.

5 Σαλμων δε εγεννησε τον Βοοζ εκ της Ῥαχαβ. Βοοζ δε εγεν-
νησε τον Ωβηδ εκ της Ῥουθ. Ωβηδ δε εγεννησε τον Ιεσσαι.

B

και Σαλμων εγεννησε τον Βοοζ, και Βοοζ εγεννησε τον Ωβηδ, και Ωβηδ εγεννησε τον Ιεσσαι. 1 *Par. ii.* 11, 12. *Ruth. iv.* 21, 22.

6 Ιεσσαι δε εγεννησε τον Δαβιδ τον βασιλεα. Δαβιδ δε ὁ βασιλευς εγεννησε τον Σολομωντα εκ της του Ουριου.

και Ιεσσαι εγεννησε τον Δαυιδ. *Ruth. iv.* 22. *Conf.* 1 *Reg. xvii.* 12. 2 *Reg. xii.* 24. *ii.* 3. 1 *Par. ii.* 13-15. *iii.* 5.

7 Σολομων δε εγεννησε τον Ῥοβοαμ. Ῥοβοαμ δε εγεννησε τον Αβια. Αβια δε εγεννησε τον Ασα.

υἱοι Σαλωμων, Ῥοβοαμ, Αβια υἱος αυτου, Ασα υἱος αυτου, Ιωσαφατ υἱος αυτου. 1 *Par. iii.* 10.

8 Ασα δε εγεννησε τον Ιωσαφατ. Ιωσαφατ δε εγεννησε τον Ιωραμ. Ιωραμ δε εγεννησε τον Οζιαν.

Ιωραμ υἱος αυτου, Οχοζιας υἱος αυτου, Ιωας υἱος αυτου. 1 *Par. iii.* 11.

9 Οζιας δε εγεννησε τον Ιωαθαμ. Ιωαθαμ δε εγεννησε τον Αχαζ. Αχαζ δε εγεννησε τον Εζεκιαν.

Αμασιας υἱος αυτου, Αζαριας υἱος αυτου, Ιωαθαμ υἱος αυτου. 1 *Par. iii.* 12.

10 Εζεκιας δε εγεννησε τον Μανασση. Μανασσης δε εγεννησε τον Αμων. Αμων δε εγεννησε τον Ιωσιαν.

Αχαζ υἱος αυτου, Εζεκιας υἱος αυτου, Μανασσης υἱος αυτου. 1 *Par. iii.* 13. *Conf.* 2 *Reg. xx.* 21.

11 Ιωσιας δε εγεννησε τον Ιεχονιαν και τους αδελφους αυτου, επι της μετοικεσιας Βαβυλωνος.

Αμων υἱος αυτου, Ιωσια υἱος αυτου· και υἱοι Ιωσια, πρωτοτοκος Ιωαναν, ὁ δευτερος Ιωακιμ·—και υἱοι Ιωακιμ, Ιεχονιας, κ. τ. λ. 1 *Par. iii.* 14, 15, 16. και ηγαγεν αυτους—μετοικεσιαν εις Βαβυλωνα. 4 *Reg. xxiv.* 16. ἑως μετοικεσιας. 1 *Par. v.* 22. *Jud. xviii.* 30. *Obd.* 20. *Nah. iii.* 10. επι Δαρειου. *Zach. i.* 1.

12 Μετα δε την μετοικεσιαν Βαβυλωνος, Ιεχονιας εγεννησε τον Σαλαθιηλ. Σαλαθιηλ δε εγεννησε τον Ζοροβαβελ.

και υἱοι Ιωακιμ, Ιεχονιας υἱος αυτου, Σεδεκιας υἱος αυτου. Και υἱοι Ιεχονια, Ασιρ, Σαλαθιηλ υἱος αυτου. 1 *Par. iii.* 16, 17. [μετα Ιησου (Ιησουν. *Schleus.*) *Jud. ii.* 7. *Theodor. Quæst.* 7. *Conf. Schleus. Lex. Vet. Test. sub* μετα.]

13 Ζοροβαβελ δε εγεννησε τον Αβιουδ. Αβιουδ δε εγεννησε τον Ελιακειμ. Ελιακειμ δε εγεννησε τον Αζωρ.

και υἱοι Φαδαΐας, Ζοροβαβελ, και Σεμεΐ. 1 *Par. iii.* 19.

14 Αζωρ δε εγεννησε τον Σαδωκ. Σαδωκ δε εγεννησε τον Αχειμ.
Αχειμ δε εγεννησε τον Ελιουδ.

15 Ελιουδ δε εγεννησε τον Ελεαζαρ. Ελεαζαρ δε εγεννησε τον
Ματθαν. Ματθαν δε εγεννησε τον Ιακωβ.

16 Ιακωβ δε εγεννησε τον Ιωσηφ τον ανδρα Μαριας, εξ ἧς
εγεννηθη Ιησους ὁ λεγομενος Χριστος.

ὁ ανηρ (*maritus*). *Deut.* xxii. 23. xxiv. 2-4. *Sir.* iv. 10. ελαβοσαν γυναικας, και εγεννησαν εξ αυτων υἱους. *Esd.* x. 44. εγεννηθη δε τῳ Ενωχ Γαϊδαδ. *Gen.* iv. 18. Σιμων ὁ καλουμενος Θασσι. 1 *Mac.* ii. 3. [Ιησου του λεγομενου Χριστου. *Jos. Ant.* xx. 8. 1.]

17 Πασαι ουν αἱ γενεαι απο Αβρααμ ἑως Δαβιδ, γενεαι δεκα-
τεσσαρες· και απο Δαβιδ ἑως της μετοικεσιας Βαβυλωνος,
γενεαι δεκατεσσαρες· και απο της μετοικεσιας Βαβυλωνος ἑως
του Χριστου, γενεαι δεκατεσσαρες.

ἑως τριτης και τεταρτης γενεας. *Exod.* xx. 5. *Eccles.* i. 4. ἑως Χριστου ἡγουμενου. *Dan.* ix. 25. κατ᾽ ονοματα των γενεων αυτου. *Gen.* xxv. 13. απο Ευιλατ ἑως Σουρ. 1 *Reg.* xv. 7. *Jos.* vi. 21. [ἑβδομη γενεα οὑτος εστιν απο του πρωτου. *Philo. T.* ii. *p.* 81.]

18 Του δε Ιησου Χριστου ἡ γεννησις οὑτως ην. Μνηστευθεισης
γαρ της μητρος αυτου Μαριας τῳ Ιωσηφ, πριν η συνελθειν
αυτους, εὑρεθη εν γαστρι εχουσα εκ Πνευματος ἁγιου.

καθως ἡμερα γενεσεως αυτης. *Ose.* ii. 3. ὁτι οὑτως εποιησαν. *Eccles.* viii. 10. *Gen.* xlii. 25. ὁστις μεμνηστευται γυναικα, και ουκ ελαβεν αυτην. *Deut.* xx. 7. παρθενος μεμνηστευμενη ανδρι. xxii. 23. πριν η γνωναι αυτον. *Esa.* vii. 15. πριν η πλανηθηναι με. *Sir.* li. 13. [συνελθειν αυτῃ. *Test. XII Patr. p.* 600. μετα δε ταυτα, ὡς γαμετῃ νομιμῳ συνερχου. *Philo. T.* ii. *p.* 393.] εὑρεθη. *Deut.* xxii. 20. *Dan.* i. 19. *LXX. Sir.* xliv. 17. εν γαστρι εχουσα. 2 *Reg.* xi. 5. το Πνευμα το ἁγιον σου. *Ps.* l. 11. *Esa.* lxiii. 10, 11. ὁτι παιδιον εγεννηθη ἡμιν, υἱος και εδοθη ἡμιν, οὑ ἡ αρχη εγενηθη επι του ωμου αυτου, κ. τ. λ. *Esa.* ix. 6, 7. *Conf. Gen.* iii. 15. ἑως Χριστου ἡγουμενου—συν τῳ ἡγουμενῳ τῳ ερχομενῳ. *Dan.* ix. 25, 26. —Την γενεαν αυτου τις διηγησεται; *Esa.* liii. 8.

19 Ιωσηφ δε ὁ ανηρ αυτης, δικαιος ων, και μη θελων αυτην πα-
ραδειγματισαι, εβουληθη λαθρα απολυσαι αυτην.

ὁ ανηρ αυτης (*sponsus*). *Joel* i. 8. παραδειγματισον αυτους Κυριῳ κατεναντι του ἡλιου. *Num.* xxv. 4. Κυριος εβουλευσατο παραλυσαι. *Esa.* xxiii. 9. και απελυσαν αυτας συν τεκνοις. 3 *Esd.* ix.

36. *Conf. Heb. vi.* 6. και ουκ ηθελε παρακαλεισθαι. *Gen. xxxvii.* 35. δικαιος ων. *Job. ix.* 15. *Ald. Gen. vi.* 9. *Deut. xxii.* 22-24. *Exod. xviii.* 21.

20 Ταυτα δε αυτου ενθυμηθεντος, ιδου, αγγελος Κυριου κατ᾽ οναρ εφανη αυτῳ, λεγων· Ιωσηφ, ὑιος Δαβιδ, μη φοβηθῃς παραλαβειν Μαριαμ την γυναικα σου· το γαρ εν αυτῃ γεννηθεν εκ Πνευματος εστιν ἁγιου.

καθως ενεθυμειτο. 1 *Mac. vi.* 8. ωφθη δε αυτῳ αγγελος Κυριου. *Exod. iii.* 2. και εφανη ὁ Θεος τῳ Βαλααμ. *Num. xxiii.* 4. [ὁ Θεος φανεις κατα τους ὑπνους. *Jos. Ant. vii.* 7, 37.] καθ᾽ ὑπνον. *Gen. xx.* 6. μη φοβου καταβηναι εις Αιγυπτον. *Gen. xlvi.* 3. παραληψομαι σε. *Cant.* 8. 2. [την Ῥαχηλαν παρελαβε. *Jos. Ant. i.* 19. 7.]

21 Τεξεται δε ὑιον, και καλεσεις το ονομα αυτου ΙΗΣΟΥΝ· αυτος γαρ σωσει τον λαον αὑτου απο των ἁμαρτιων αυτων.

και ετεκεν ὑιον, και εκαλεσε το ονομα αυτου Σαμουηλ. 1 *Reg. i.* 20. εκαλεσε δε Ιωσηφ το ονομα του πρωτοτοκου, Μανασση· ὁτι κ. τ. λ. *Gen. xli.* 51. Κυριος οὑτος ἡμας σωσει. *Esa. xxxiii.* 22. αυτος ἡξει και σωσει ἡμας. *xxxv.* 4. *Conf. xii.* 2. και σωσω ὑμας εκ πασων των ακαθαρσιων ὑμων. *Ezech. xxxvi.* 29. σωσον τον λαον σου. *Ps. xxvii.* 9. *Conf. Esa. vii.* 14. και ιασεται Κυριος τας ἁμαρτιας σου, και ελεησει σε. *Deut. xxx.* 3. εξηλθες εις σωτηριαν λαου σου, του σωσαι τον Χριστον σου. *Hab. iii.* 13. εξηλθες του σωσαι τον λαον σου δια Ιησουν Χριστον σου. *Edit. Sext.* εις σωτηριαν συν Χριστῳ σου. *Aq. Conf. Act. iv.* 12. ελπισατω Ισραηλ επι τον Κυριον· ὁτι παρα τῳ Κυριῳ το ελεος, και πολλη παρ᾽ αυτῳ λυτρωσις, και αυτος λυτρωσεται τον Ισραηλ εκ πασων των ανομιων αυτου. *Ps. cxxix.* 7, 8. *Conf. Esa. xii.* 1, 2. *xlv.* 21, 22.

22 (Τουτο δε ὁλον γεγονεν, ἱνα πληρωθῃ το ῥηθεν ὑπο του Κυριου δια του προφητου, λεγοντος·

εγενηθη δε κατα το ῥημα Ιωσηφ. *Gen. xliv.* 2. ἱνα. *Gen. xi.* 7. *xxvii.* 4. *Exod. iv.* 5. του πληρωθηναι λογον Κυριου δια στοματος Ἱερεμιου. 2 *Par. xxxvi.* 21. μετα το πληρωθηναι ῥημα Κυριου. 22. ὁλον ὑακινθινον. *Exod. xxviii.* 27. ὑπο Κυριου. *Exod. xvi.* 3.

23 Ιδου ἡ παρθενος εν γαστρι ἑξει, και τεξεται ὑιον, και καλεσουσι το ονομα αυτου ΕΜΜΑΝΟΥΗΛ· ὁ εστι μεθερμηνευομενον, Μεθ᾽ ἡμων ὁ Θεος.)

Ιδου ἡ παρθενος εν γαστρι ληψεται, (ἑξει. *Alex.*) και τεξεται ὑιον, και καλεσεις το ονομα αυτου Εμμανουηλ. *Esa. vii.* 14. μεθ᾽ ἡμων

ὁ Θεος. *viii.* 8. μεθ᾽ ἡμων ὁ Ισχυρος. *Aq. Theod.* ιδου συ εν γαστρι εχεις, και τεξῃ υἱον. *Jud. xiii.* 7. Συ γαρ ει Θεος, και ουκ ηδειμεν, ὁ Θεος του Ισραηλ σωτηρ. *Esa. xlv.* 15. του μεθερμηνευσαι τηνδε την βιβλον. *Prolog. Sir.* [Θεε εκ Θεου ὑψιστου. *Act. Thom. c.* 25, 45. Θεε, Ιησου Χριστε, του Θεου του ζωντος υἱε. *c.* 67.] οὑτος ὁ Θεος ἡμων, ου λογισθησεται ἑτερος προς αυτον—μετα τουτο επι της γης ωφθη, και εν τοις ανθρωποις συνανεστραφη. *Bar. iii.* 35-37. *Conf. Joan. i.* 10, 14. *CITAT.* 1, 2.

24 Διεγερθεις δε ὁ Ιωσηφ απο του ὑπνου, εποιησεν ὡς προσεταξεν αυτῳ ὁ αγγελος Κυριου, και παρελαβε την γυναικα αὑτου,

και εξηγερθη Ιακωβ εκ του ὑπνου αυτου. *Gen. xxviii.* 16. και εποιησε Νωε παντα ὁσα ενετειλατο αυτῳ Κυριος. *Gen. vi.* 22. και προσεταξεν Ιωσηφ τοις παισιν αυτου. *l.* 2. λαβε σεαυτῳ γυναικα. *Ose. i.* 2.

25 Και ουκ εγινωσκεν αυτην, ἑως οὑ ετεκε τον υἱον αὑτης τον πρωτοτοκον· και εκαλεσε το ονομα αυτου ΙΗΣΟΥΝ.

Αδαμ δε εγνω Ευαν την γυναικα αυτου. *Gen. iv.* 1. ου φοβηθῃ, ἑως οὑ επιδῃ επι τους εχθρους αυτου. *Ps. cxi.* 8. ἑως οὑ μεγας εγενετο. *Gen. xxvi.* 13. *Conf.* 1 *Tim. iv.* 13. *Gen. xxviii.* 15. υἱος πρωτοτοκος μου Ισραηλ. *Exod. iv.* 22. καγω πρωτοτοκον θησομαι αυτον. *Ps. lxxxviii.* 27. και ετεκεν υἱον, και εκαλεσε το ονομα αυτου Σαλωμων. 2 *Reg. xii.* 24. Ιησους. *Esd. ii.* 2. *Conf. Exod. xiii.* 2. [ὡς ποιμην και βασιλευς ὁ Θεος αγει κατα δικην και νομον, προστησαμενος τον ορθον αὑτου λογον, πρωτογονον υἱον, ὁς την επιμελειαν της ἱερας ταυτης αγελης, οἱα τις μεγαλου βασιλεως ὑπαρχος διαδεξεται, κ. τ. λ. *Philo. T. i. p.* 308.] *Conf. Luc. ii.* 21.

ΚΕΦ. β. 2.

ΤΟΥ δε Ιησου γεννηθεντος εν Βηθλεεμ της Ιουδαιας, εν ἡμεραις Ἡρωδου του βασιλεως, ιδου μαγοι απο ανατολων παρεγενοντο εις Ἱεροσολυμα, λεγοντες·

Βηθλεεμ Ιουδα. *Jud. xix.* 1, 2. και εγενετο—εν ταις ἡμεραις Αρταξερξου. *Est. i.* 1. και ην ὁ ανθρωπος εκεινος ευγενης των αφ᾽ ἡλιου ανατολων. *Job. i.* 3. οἱ παρεμβαλλοντες—απο ανατολων. *Num. iii.* 38. *Alex. Ald. Comp. Jos. xii.* 1. *Conf. Gen. xvi.* 12. *xxvi.* 6. *Jer. xlix.* 28. *Apoc. xvi.* 12. και παρεγενοντο εις Ἱεροσολυμα. 1 *Esd. viii.* 7. 3 *Reg. iii.* 15. σοφοι και μαγοι. *Dan. ii.* 27. και οἱ απ᾽ ανατολων ἡλιου το ονομα το ενδοξον φοβηθησονται. *Esa. lix.* 19. *Conf. Luc.*

iii. 23. *Gen. x.* 30. *xxv.* 6. 3 *Reg. iv.* 30. [*Herodes. Conf. Jos. Ant. xiv.* 14, 16. *vi.* 17, 7. Των Μαγων,—οἱ μετα τον Καμβυσου θανατον των Περσων αρχην ενιαυτῳ κατεσχον. *lib. xi.* 3. 1.]

2 Που εστιν ὁ τεχθεις βασιλευς των Ιουδαιων; ειδομεν γαρ αυτου τον αστερα εν τῃ ανατολῃ, και ηλθομεν προσκυνησαι αυτῳ.

που εστιν Αβελ ὁ αδελφος σου; *Gen. iv.* 9. ιδου ὁ βασιλευς σου ερχεται σοι δικαιος. *Zach. ix.* 9. προσκυνησατε τῳ Κυριῳ. *Ps. xxviii.* 2. 2 *Reg. xii.* 20. και κυψαντες προσεκυνησαν. *Gen. xliii.* 28. ανατελει αστρον εξ Ιακωβ. *Num. xxiv.* 17. *Conf. Luc. ii.* 1-6. *Esa. lx.* 3. *Bar. iii.* 34. [και μετα ταυτα ανατελει ὑμιν αστρον εξ Ιακωβ εν ειρηνῃ. κ. τ. λ. *Test. XII Patr. p.* 617.] *Conf.* 2 *Pet. i.* 19. οἱ δε αστερες ελαμψαν εν ταις φυλακαις αυτων, και ευφρανθησαν· εκαλεσεν αυτους, και ειπον, Παρεσμεν· ελαμψαν μετ᾽ ευφροσυνης τῳ ποιησαντι αυτους. *Bar. iii.* 34.

3 Ακουσας δε Ἡρωδης ὁ βασιλευς εταραχθη, και πασα Ἱεροσολυμα μετ᾽ αυτου·

εταρασσετο δε ἡ πολις. *Est. iii.* 15. *Ps. liv.* 2.

4 Και συναγαγων παντας τους αρχιερεις και γραμματεις του λαου, επυνθανετο παρ᾽ αυτων, που ὁ Χριστος γενναται.

και οἱ ἱερεις συνηχθησαν προς αυτον. *Jer. xxviii.* 44. *Ps. ii.* 2. και συνηγαγε παντας τους αρχοντας Ισραηλ. 1 *Par. xxiii.* 2. γραμματεις. 2 *Par. xxxiv.* 13. γραμματεις του λαου. 1 *Mac. v.* 42. αρχοντες των πατριων των ἱερεων. 1 *Par. xxiv.* 6. επορευθη δε πυθεσθαι παρα Κυριου. *Gen. xxv.* 22. *Dan. ii.* 15.

5 Οἱ δε ειπον αυτῳ· Εν Βηθλεεμ της Ιουδαιας· οὑτω γαρ γεγραπται δια του προφητου·

Ιδου γεγραπται ενωπιον μου. *Esa. lxv.* 6. καθως γεγραπται εν βιβλιῳ νομου. 4 *Reg. xiv.* 6. γεγραμμενοι ὑπο Ιεσσιου του προφητου. 2 *Par. xxvi.* 22. ὑπο του βασιλεως—δια των ευνουχων. *Est. i.* 15.

6 Και συ Βηθλεεμ, γη Ιουδα, ουδαμως ελαχιστη ει εν τοις ἡγεμοσιν Ιουδα· εκ σου γαρ εξελευσεται ἡγουμενος, ὁστις ποιμανει τον λαον μου, τον Ισραηλ.

Και συ Βηθλεεμ, οικος Εφραθα, ολιγοστος ει του ειναι εν χιλιασιν Ιουδα· εκ σου μοι εξελευσεται του ειναι εις αρχοντα του Ισραηλ, και εξοδοι αυτου απ᾽ αρχης εξ ἡμερων αιωνος. *Mich. v.* 2. [πλησιον Εφραθα οικον Βηθλεεμ. *Test. XII Patr. p.* 525.] συ ποιμανεις τον λαον μου τον Ισραηλ. 2 *Reg. v.* 2. *vii.* 7. ὁστις.

Jon. iv. 11. ἑκαστῳ εθνει κατεστησεν ἡγουμενον, και μερις Κυριου Ισραηλ εστι. *Sir. xvii.* 17.—ἑως Χριστου ἡγουμενου. *Dan. ix.* 25, 26. *Conf.* 2 *Par. vii.* 18. *ix.* 26. γη, *urbs.* 1 *Mac. v.* 68. *Conf. Grot. in loc. Joan. vii.* 42. *Gen. xxxv.* 16. *CITAT.* 3.

7 Τοτε Ἡρωδης λαθρα καλεσας τους μαγους, ηκριβωσε παρ᾽
αυτων τον χρονον του φαινομενου αστερος,

καλεσας. 1 *Mac. i.* 6. *Est. v.* 2. *Jud. iv.* 13.

8 Και πεμψας αυτους εις Βηθλεεμ, ειπε· Πορευθεντες, ακρι-
βως εξετασατε περι του παιδιου· επαν δε εὑρητε, απαγγει-
λατε μοι, ὁπως καγω ελθων προσκυνησω αυτῳ.

εζητουν ακριβως. *Dan. vii.* 19. 3 *Mac. vii.* 5. πριν εξετασῃς, μη μεμψῃ. *Sir. xi.* 7. και εξετασωσιν οἱ κριται ακριβως. *Deut. xix.* 18. καγω. *Gen. xx.* 6. *Ps. lxxxviii.* 27. ελθων—ελαβε. *Gen. xxvii.* 35. ελθων ζητησω. *Prov. xxiii.* 35. πορευθεντες—επορευθησαν. Διεπορευετο Δαυιδ πορευομενος. 2 *Reg. v.* 10. *xix.* 23.

9 Οἱ δε ακουσαντες του βασιλεως επορευθησαν. Και ιδου,
ὁ αστηρ, ὁν ειδον εν τῃ ανατολῃ, προηγεν αυτους, ἑως ελθων
εστη επανω οὑ ην το παιδιον.

ανατελει αστρον εξ Ιακωβ, αναστησεται ανθρωπος εξ Ισραηλ. *Num. xxiv.* 17. Εγω ειμι ἡ ῥιζα και το γενος του Δαυιδ, ὁ αστηρ ὁ λαμπρος και ορθρινος. *Apoc. xxii.* 16.

10 Ιδοντες δε τον αστερα, εχαρησαν χαραν μεγαλην σφοδρα·

και επαταξεν—πληγην μεγαλην σφοδρα. *Jud. xi.* 33. και απολεις αυτους απωλειᾳ μεγαλῃ. *Deut. vii.* 23. και εχαρη—επι τῃ κολοκυνθῃ χαραν μεγαλην. *Jon. iv.* 6. *Esa. lxvi.* 10. και ιδου καλα λιαν. *Gen. i.* 31.

11 Και ελθοντες εις την οικιαν, εὑρον το παιδιον μετα Μαριας
της μητρος αυτου, και πεσοντες προσεκυνησαν αυτῳ, και ανοι-
ξαντες τους θησαυρους αυτων, προσηνεγκαν αυτῳ δωρα, χρυσον
και λιβανον και σμυρναν.

εισηλθε—εις την οικιαν. *Gen. xxiv.* 32. και επεσεν επι την γην και προσεκυνησεν αυτῳ. 2 *Reg. i.* 2. και προσηνεγκαν αυτῳ τα δωρα. *Gen. xliii.* 26. ανοιξαι σοι Κυριος τον θησαυρον αυτου. *Deut. xxviii.* 12. *Jer. xxvii.* 25. και παν αργυριον η χρυσιον,—εις θησαυρον Κυριου εισενεχθησεται. *Jos. vi.* 19. 4 *Reg. xx.* 13. Βασιλεις Θαρσις και αἱ νησοι δωρα προσοισουσι. κ. τ. λ.—και ζησεται, και δοθησεται αυτῳ εκ του χρυσιου της Αραβιας. κ. τ. λ. *Ps. lxxi.* 10-15. και το σωτηριον Κυριου ευαγγελιουνται. *Esa. lx.* 6.

12 Και χρηματισθεντες κατ᾽ οναρ, μη ανακαμψαι προς Ἡρωδην, δι᾽ αλλης ὁδου ανεχωρησαν εις την χωραν αὑτων.

και απηλθεν εν ὁδῳ αλλῃ. 3 *Reg. xiii.* 10. και ανεκαμψε προς τον πατερα αυτης. *Jud. xi.* 39. *Alex.* ειπε δε αυτῳ ὁ Θεος καθ᾽ ὑπνον. *Gen. xx.* 6. φευγετε εις Σιων· σπευσατε. *Jer. iv.* 6. ἡ ὁδος του ξυλου της ζωης. *Gen. iii.* 24. τῃ ὁδῳ Αιγυπτου. *Jer. ii.* 18. [εχρηματισεν αυτῳ κατα τους ὑπνους ὁ Θεος. *Jos. Ant. xi.* 8, 4.]

13 Αναχωρησαντων δε αυτων, ιδου αγγελος Κυριου φαινεται κατ᾽ οναρ τῳ Ιωσηφ, λεγων· Εγερθεις παραλαβε το παιδιον και την μητερα αυτου, και φευγε εις Αιγυπτον, και ισθι εκει ἑως αν ειπω σοι· μελλει γαρ Ἡρωδης ζητειν το παιδιον, του απολεσαι αυτο.

ανεχωρησε δε Μωυσης απο προσωπου Φαραω. *Exod. ii.* 15. και αναχωρησας εις την ερημον. 2 *Mac. v.* 27. παρελαβε δε μεθ᾽ ἑαυτου δυο παιδας, και Ισαακ τον υἱον αυτου. *Gen. xxii.* 3. και εζητουν αποκτειναι αυτον. *Jer. xxxiii.* 21. μελλει. *Sap. xiv.* 1.

14 Ὁ δε εγερθεις παρελαβε το παιδιον και την μητερα αυτου νυκτος, και ανεχωρησεν εις Αιγυπτον·

ανεχωρησεν—εις πεδιον Συριας. *Ose. xii.* 12.

15 Και ην εκει ἑως της τελευτης Ἡρωδου· ἱνα πληρωθῃ το ῥηθεν ὑπο του Κυριου δια του προφητου, λεγοντος· Εξ Αιγυπτου εκαλεσα τον υἱον μου.

ἑως ἡμερας της τελευτης αυτου. 2 *Par. xxvi.* 21. εξ Αιγυπτου μετεκαλεσα τα τεκνα αυτου. *Ose. xi.* 1. και απο Αιγυπτου εκαλεσα τον υἱον μου. *Aq.* εξ Αιγυπτου κεκλεται υἱος μου. *Sym.* εκαλεσα υἱον μου εξ Αιγυπτου. *Theod.* Θεος ὡδηγησεν αυτον εξ Αιγυπτου. *Num. xxiv.* 8. *CITAT* 4.

16 Τοτε Ἡρωδης, ιδων ὁτι ενεπαιχθη ὑπο των μαγων, εθυμωθη λιαν· και αποστειλας ανειλε παντας τους παιδας τους εν Βηθλεεμ και εν πασι τοις ὁριοις αυτης, απο διετους και κατωτερω, κατα τον χρονον ὁν ηκριβωσε παρα των μαγων.

ηγανακτησαν λιαν. *Draco.* 28. εθυμωθη σφοδρα. *Est. iii.* 5. κατηγορουμενος ὑπο των φιλων. 2 *Mac. x.* 13. αποστειλας δε Φαραω, εκαλεσε τον Ιωσηφ. *Gen. xli.* 14. ἡ γη, και τα ὁρια αυτης. *Num. xxxiv.* 12. απο εικοσαετους και κατω. 1 *Par. xxvii.* 23. απο τριετους και επανω. 2 *Par. xxxi.* 16. μετα διετη χρονον. 2 *Mac. x.* 3. νεωτερος μεν ειμι τῳ χρονῳ. *Job. xxxii.* 6. και απεστειλεν

(*sc.* αγγελους) Αδωνιβεσεκ βασιλευς Ἱερουσαλημ προς Ελαμ. *Jos. x.* 3. *Conf. Joan. v.* 33. *Act. xix.* 31.

17 Τοτε επληρωθη το ῥηθεν ὑπο Ἱερεμιου του προφητου, λεγοντος·

και αυτος (Ἱερεμιας) εν μητρᾳ ἡγιασθη προφητης. κ. τ. λ. *Sir. xlix.* 7. *Conf.* 2 *Par. xxxvi.* 21. ὑπο Κυριου. *Exod. xvi.* 3.

18 Φωνη εν Ῥαμα ηκουσθη, θρηνος και κλαυθμος και οδυρμος πολυς· Ῥαχηλ κλαιουσα τα τεκνα αὑτης· και ουκ ηθελε παρακληθηναι, ὁτι ουκ εισι.

φωνη εν Ῥαμα ηκουσθη θρηνου, και κλαυθμου, και ὀδυρμου· Ῥαχηλ αποκλαιομενη ουκ ηθελε παυσασθαι επι τοις υἱοις αυτης, ὁτι ουκ εισι. *Jer. xxxviii.* 15. *Gen. xxxvii.* 30. [Ῥαμαθων, πολις σταδιους απεχουσα Ἱεροσολυμων τεσσαρακοντα. *Jos. Ant. viii.* 12. 3, 4. ειπατε, ζῃ η τεθνηκεν; ει μεν ουκ εστι, δειξατε μοι τον νεκρον. *Philo. T. ii. p.* 44.] *CITAT.* 5.

19 Τελευτησαντος δε του Ἡρωδου, ιδου αγγελος Κυριου κατ' οναρ φαινεται τῳ Ιωσηφ εν Αιγυπτῳ,

και εισηλθεν ὁ Θεος προς Αβιμελεχ εν ὑπνῳ. *Gen. xx.* 3. και ειπε μοι ὁ αγγελος του Θεου καθ' ὑπνον. *Gen. xxxi.* 11.

20 Λεγων· Εγερθεις παραλαβε το παιδιον και την μητερα αυτου, και πορευου εις γην Ισραηλ· τεθνηκασι γαρ οἱ ζητουντες την ψυχην του παιδιου.

και εγερθητε και οικοδομησατε ἁγιασμα τῳ Θεῳ ὑμων. 1 *Par. xxii.* 19. πορευθηναι εις γην Χανααν. *Gen. xi.* 31. τεθνηκασι γαρ παντες οἱ ζητουντες σου την ψυχην. *Exod. iv.* 19. και ζητουσι την ψυχην μου λαβειν αυτην. 3 *Reg. xix.* 10. παραληψομαι σε, εισαξω σε εις οικον μητρος μου. *Cant. viii.* 2.

21 Ὁ δε εγερθεις παρελαβε το παιδιον και την μητερα αυτου, και ηλθεν εις γην Ισραηλ.

παρελαβε δε μεθ' ἑαυτου δυο παιδας, και Ισαακ—και ηλθεν. *Gen. xxii.* 3. του ελθειν εις γην Ισραηλ. 4 *Reg. vi.* 23.

22 Ακουσας δε ὁτι Αρχελαος βασιλευει επι της Ιουδαιας αντι Ἡρωδου του πατρος αυτου, εφοβηθη εκει απελθειν· χρηματισθεις δε κατ' οναρ, ανεχωρησεν εις τα μερη της Γαλιλαιας.

εις μερος της Φοινικης. *Exod. xvi.* 35. *Jos. xv.* 2, 5. εφοβηθη γαρ κατοικησαι εν Σηγωρ. *Gen. xix.* 30. εκει. *Conf. Gen. xix.* 20, 22. εβασιλευσεν αντ' αυτου. 1 *Mac. xiii.* 32. εβασιλευσεν επι της γης.

2 *Par.* *xxii.* 12. φανερα εσται ἡ Γαλιλαια. *Esa.* *xxxiii.* 9. [Μωυσης —εις την σκηνην εισιων εχρηματιζετο περι ὧν εδειτο παρα του Θεου. *Jos. Ant.* *iii.* 8, 8.] αναχωρησας εις την ερημον. 2 *Mac.* *v.* 27.

23 Και ελθων κατῳκησεν εις πολιν λεγομενην Ναζαρετ· ὁπως
πληρωθῃ το ῥηθεν δια των προφητων, Οτι Ναζωραιος κλη-
θησεται.

και ηλθον ἑως Χαρραν· και κατῳκησεν εκει. *Gen.* *xi.* 31. κατῳκησεν εις Ἱερουσαλημ. 2 *Par.* *xix.* 4. ελθων—ελαβε. *Gen.* *xxvii.* 35. Ναζιρ Θεου εσται το παιδαριον απο της κοιλιας. *Jud.* *xiii.* 5. ὁτι Ναζιραιον τῳ Θεῳ εσται. *Ald. Comp.* ἡγιασμενον Ναζιραιον εσται τῳ Θεῳ. *Alex.* και κληθησεται ἡ Ἱερουσαλημ πολις αληθινη. *Zach.* *viii.* 3. *Ose.* *i.* 10. *Esa.* *lxi.* 6. πληρωθηναι το ῥημα Κυριου, ὁ ελαλησε. 3 *Reg.* *ii.* 27. του πληρωθηναι λογον Κυριου δια στοματος Ἱερεμιου. 2 *Par.* *xxxvi.* 21. ὁτι ἁγιος Θεου εγω ειμι [Ναζειραιος Θεου. *Alex.*] απο κοιλιας μητρος μου. *Jud.* *xvi.* 17. εκαθαριωθησαν Ναζαραιοι αυτης ὑπερ χιονα. κ. τ. λ. *Thren.* *iv.* 7. *Conf.* *Act.* *xxiv.* 5. *Luc.* *iv.* 16. *Joan.* *i.* 47. μετα Ιησου του Ναζωραιου. *Matt.* *xxvi.* 71. Ιησουν τον Ναζωραιον. *Joan.* *xviii.* 7. Ιησου Ναζαρηνε. *Marc.* *i.* 24. *x.* 47. *xiv.* 67. *xvi.* 6. *Luc.* *iv.* 34. *CITAT.* 6.

ΚΕΦ. γ. 3.

ΕΝ δε ταις ἡμεραις εκειναις παραγινεται Ιωαννης ὁ Βαπ-
τιστης, κηρυσσων εν τῃ ερημῳ της Ιουδαιας,

εν ταις ἡμεραις εκειναις. *Dan.* *xi.* 20. *et pass.* και παρεγενετο Ηλιας ὁ προφητης. 3 *Reg.* *xviii.* 36. *Comp.* μεχρι του παραγενηθηναι προφητην. 1 *Mac.* *iv.* 46. εν τῃ ερημῳ. *Conf.* *Jud.* 1. 16. και εκηρυξεν Ααρων, λεγων. *Exod.* *xxxii.* 5. *xviii.* 5, 6. *Conf.* 1 *Esd.* *ix.* 1-10. *Marc.* *i.* 4. *Luc.* *iii.* 3. *Joan.* *i.* 28. Ιδου εξαποστελλω τον αγγελον μου, κ. τ. λ. *Mal.* *iii.* 1. [Ιωαννου του επικαλουμενου Βαπτιστου. *Jos. Ant.* *xviii.* 6, 2.]

2 Και λεγων· Μετανοειτε· ηγγικε γαρ ἡ βασιλεια των ουρανων.

μετανοησατε οἱ πεπλανημενοι. *Esa.* *xlvi.* 8. ουκ εστιν ανθρωπος ὁ μετανοων απο της κακιας αυτου. *Jer.* *xiii.* 6. ηγγικεν ὁ καιρος ἡμων. *Thren.* *iv.* 18. ηγγικασιν αἱ ἡμεραι. *Ezech.* *xii.* 23. αναστησει ὁ Θεος του ουρανου βασιλειαν. *Dan.* *ii.* 44. [ἡ βασιλεια του Θεου ἡμων εις τον αιωνα επι τα εθνη εν κρισει. *Psalt. Sal.* *p.* 961.] οικητηριον σου ουρανος του ουρανου. 3 *Mac.* *ii.* 15. *Conf.* *Marc.* *i.* 4. *Luc.* *i.* 16, 17. *iii.* 3. τεκνον ἡμαρτες; μη προσθῃς μηκετι, και περι

των προτερων σου δεηθητι. *Sir. xxi.* 1. 3 *Reg. viii.* 47, 48. *Zach. xviii.* 30.

3 Οὑτος γαρ εστιν ὁ ῥηθεις ὑπο Ἡσαϊου του προφητου, λεγοντος, Φωνη βοωντος εν τῃ ερημῳ· Ἑτοιμασατε την ὁδον Κυριου, ευθειας ποιειτε τας τριβους αυτου.

τας τριβους του Θεου ἡμων. *Esa. xl.* 3. φωνη βοωντος εν τῃ ερημῳ, κ. τ. λ. *Conf. Marc. i.* 3. *Luc. iii.* 4. *Joan. i.* 23. Ιδου εγω αποστελω ὑμιν Ηλιαν τον Θεσβιτην, πριν ελθειν την ἡμεραν Κυριου την μεγαλην και επιφανη. *Mal. iv.* 5. Ἡσαϊας ὁ προφητης ὁ μεγας, πιστος εν ὁρασει αυτου, κ. τ. λ. *Sir. xlviii.* 22, 23. *CITAT.* 7.

4 Αυτος δε ὁ Ιωαννης ειχε το ενδυμα αὑτου απο τριχων καμηλου, και ζωνην δερματινην περι την οσφυν αὑτου· ἡ δε τροφη αυτου ην ακριδες και μελι αγριον.

Ανηρ δασυς, [Ηλιου,] και ζωνην δερματινην περιεζωσμενος την οσφυν αυτου. 4 *Reg. i.* 8. *Conf. Marc. i.* 6. *Zach. xiii.* 4. αυτος—αυτου. *Ita, Jer. xxxi.* 38. ὡς αγγειον, οὑ ουκ εστι χρεια αυτου. *Conf. Jud. xiv.* 6. 1 *Reg. xiv.* 26. [νηστευει συνεχως, και αρτον εσθιει μονον μετα ἁλατος, και το ποτον αυτου ὑδωρ. *Act. Thom. c.* 20.]

5 Τοτε εξεπορευετο προς αυτον Ἱεροσολυμα, και πασα ἡ Ιουδαια, και πασα ἡ περιχωρος του Ιορδανου·

επειδε πασαν την περιχωρον του Ιορδανου. *Gen. xiii.* 10. και συνηχθησαν—και απο της περιχωρου κυκλοθεν. *Neh. xii.* 28. *Deut. iii.* 13, 14. πασα ἡ Ιουδαια. *Judith. viii.* 21. εξελευσονται προς σε. *Deut. xxviii.* 7. *Jos. vi.* 6. *Conf. Marc. i.* 5. *Luc. iii.* 3. 7.

6 Και εβαπτιζοντο εν τῳ Ιορδανῃ ὑπ᾽ αυτου, εξομολογουμενοι τας ἁμαρτιας αὑτων.

και εβαπτισατο εν τῳ Ιορδανῃ ἑπτακις. 4 *Reg. v.* 14. μη αισχυνθης ὁμολογησαι εφ᾽ ἁμαρτιαις σου. *Sir. iv.* 26. *Dan. vi.* 10. *Conf. Marc. i.* 5. *Joan. i.* 29. ὁ επικαλυπτων ασεβειαν ἑαυτου ουκ ευοδωθησεται, ὁ δε εξηγουμενος ελεγχους αγαπηθησεται. *Prov. xxviii.* 13.

7 Ιδων δε πολλους των Φαρισαιων και Σαδδουκαιων ερχομενους επι το βαπτισμα αὑτου, ειπεν αυτοις· Γεννηματα εχιδνων, τις ὑπεδειξεν ὑμιν φυγειν απο της μελλουσης οργης;

γεννηματα του Εναχ. *Jos. xv.* 14. *Comp.* 1 *Mac. i.* 38. εχιδνα. *Esa. lix.* 5. *Aq. Gen. iii.* 15. αδικου γης γεννηματα. *Deut. xxxii.* 33. *Sap. xvi.* 19. ου δυνηθησεται εξελεσθαι αυτους εν ἡμερᾳ οργης Κυριου. *Ezech. vii.* 19. *Alex. Ald. Comp.* απο επιτιμησεως σου φευξονται. *Ps. ciii.* 8. φευγετε και σωσατε τας ψυχας ὑμων. *Jer. xlviii.* 6.

φευγετε εκ μεσου Βαβυλωνος, και ανασωζετω. Jer. li. 6. ἑως του αιωνος ὑπεδειξε τα εσομενα. Sir. xliii. 25. Exod. iv. 12. Sym. ὡς απο προσωπου οφεως, φευγε απο ἁμαρτιας. Sir. xxi. 2. του μελλοντος αυτους διαδεχεσθαι σκοτους. Sap. xvii. 21. 2 Mac. viii. 11. Conf. Luc. iii. 7. Rom. v. 9. 1 Thess. i. 10. και τις ὑπομενει ἡμεραν εισοδου αυτου; κ. τ. λ. Mal. iii. 1-3. ιδου ἡμερα Κυριου ερχεται——θυμου και οργης. Esa. xiii. 9. [De Pharis. Conf. Jos. Ant. xiii. 5, 24. xii. 2. xviii. 1, 2. Bell. Jud. ii. 8. De Sadduc. Conf. Ant. xiii. 5, 10. xviii. 1. Bell. Jud. ii. 8, 14. Bretschn. Φαρισαιοι δια του αφωρισμενος ειναι αυτους απο αλλων· φαρες γαρ, κατα την Ἑβραιδα ἑρμηνευεται, αφορισμος. Epiphan. et Suid.] Conf. Rom. i. 1. [φλοξ πυρος και οργη αδικων. Psalt. Sal. p. 956.] [μειζονος οργης αξιος τυγχανειν εστι. Philo. T. ii. p. 366.]

8 Ποιησατε ουν καρπους αξιους της μετανοιας,

εργα δικαιων ζωην ποιει, καρποι δε ασεβων ἁμαρτιας. Prov. x. 16. Sir. ii. 3. Conf. Luc. iii. 8. της μεν αρχιερωσυνης ουδεν αξιον φερων. 2. Mac. 4. 25.

9 Και μη δοξητε λεγειν εν ἑαυτοις· Πατερα εχομεν τον Αβρααμ· λεγω γαρ ὑμιν, ὁτι δυναται ὁ Θεος εκ των λιθων τουτων εγειραι τεκνα τῳ Αβρααμ.

εγελασε δε Σαῤῥα εν ἑαυτῃ λεγουσα. Gen. xviii. 12. ειπε δε εν ἑαυτῳ. Est. vi. 6. μη ὑπολαβητε ταις ψυχαις ὑμων. Jer. xxxvii. 8. μη δοξητε λεγειν (ne dicatis;) οἱ εδοκουν κυβερναν τον λαον, (qui populum regunt.) Sus. 5. Marc. x. 42. εγω ειμι ὁ Θεος του πατρος σου. Exod. iii. 6. μη δυνησεται ὁ Θεος ἑτοιμασαι τραπεζαν εν ερημῳ; Ps. lxx. 19. Conf. Dan. iii. 17. Luc. xix. 40. Jer. vii. 3, 4. viii. 8. Cant. Tri. Lib. vi. 11, 12. Joan. viii. 29. Act. xiii. 26.

10 Ηδη δε και ἡ αξινη προς την ῥιζαν των δενδρων κειται· παν ουν δενδρον μη ποιουν καρπον καλον, εκκοπτεται, και εις πυρ βαλλεται.

και ξυλον καρπιμον ποιουν καρπον. Gen. i. 11. και κοψωμεν συκαμινους και κεδρους. Esa. ix. 10. x. 34. Conf. Dan. iv. 11. Joan. xv. 6. αυτος εισπορευεται, ὡς πυρ χωνευτηριου, και ὡς ποια πλυνοντων. κ. τ. λ. Mal. iii. 2, 3. Sir. x. 15. αξιναις εξεκοψαν. Ps. lxxiii. 5. Jer. xxvi. 22. Conf. Luc. iii. 9.

11 Εγω μεν βαπτιζω ὑμας εν ὑδατι εις μετανοιαν· ὁ δε οπισω μου ερχομενος, ισχυροτερος μου εστιν, οὑ ουκ ειμι ἱκανος τα ὑποδηματα βαστασαι· αυτος ὑμας βαπτισει εν Πνευματι ἁγιῳ και πυρι.

εβαπτισατο εν τῳ Ιορδανῃ. 4 *Reg.* *v.* 14. ὁ εαν επιθῃς επ' εμε, βαστασω. 4 *Reg.* *xviii.* 14. λυσαι το ὑποδημα εκ των ποδων σου. *Exod.* *iii.* 5. ουχ ἱκανος ειμι. *Exod.* *iv.* 16. *Joel.* *ii.* 1. *Gen.* *xxxii.* 10. και νυν ὁ Θεος ἡμων ὁ ισχυρος. *Neh.* *ix.* 32. και οπισω σου αναστησεται βασιλεια ἑτερα. *Dan.* *ii.* 39. εν πνευματι κρισεως και πνευματι καυσεως. *Esa.* *iv.* 4. πνευματι ἡγεμονικῳ στηριξον με. *Ps.* *l.* 12. *Conf.* *Marc.* *i.* 8. *Luc.* 3. 16. *Joan.* *i.* 26. *Act.* *i.* 5. *xix.* 4. [ἡ δε αναξιαν μεν ειναι και ποδων ἁψασθαι των εκεινου ——ελεγε. *Jos.* *Ant.* *vi.* 13, 8. ἁπαντα δη ταυτα συμφοραις ανηκεστοις βαπτιζοντα την ψυχην. *Philo.* *T.* *i.* *p.* 224.]

12 Οὑ το πτυον εν τῃ χειρι αυτου, και διακαθαριει την ἁλωνα αὑτου· και συναξει τον σιτον αὑτου εις την αποθηκην, το δε αχυρον κατακαυσει πυρι ασβεστῳ.

οὑ το σπερμα αυτου. *Gen.* *i.* 11. [λικμητηριον· πτυον. *Hesych.*] και συναξεις τον σιτον σου. *Deut.* *xi.* 14. *Ald.* ενεπλησας——τας αποθηκας σου. *Ezech.* *xxviii.* 13. συναχθητω ὁ σιτος. *Gen.* *xli.* 35. και ουκ εσται ὁ σβεσων. *Esa.* *i.* 31. *lxvi.* 24. *xxxiii.* 14. και προσεμπρησῃ ἁλωνας. *Exod.* *xxii.* 6. ιδου αυτος λικμᾳ τον ἁλωνα των κριθων ταυτῃ τῃ νυκτι. *Ruth.* *iii.* 2. *Esa.* *xxv.* 10. τι το αχυρον προς τον σιτον; *Jer.* *xxiii.* 28. *Conf.* *Ps.* *xxxiv.* 5. *Job.* *xxi.* 18. *Esa.* *xxix.* 5. *Luc.* *iii.* 17.

13 Τοτε παραγινεται ὁ Ιησους απο της Γαλιλαιας επι τον Ιορδανην προς τον Ιωαννην, του βαπτισθηναι ὑπ' αυτου.

Conf. *Marc.* *i.* 9. *Luc.* *iii.* 21. ηγγικε γαρ το σωτηριον μου παραγινεσθαι, και το ελεος μου αποκαλυφθηναι. *Esa.* *lvi.* 1.

14 Ὁ δε Ιωαννης διεκωλυεν αυτον, λεγων· Εγω χρειαν εχω ὑπο σου βαπτισθηναι, και συ ερχῃ προς με;

και προσεταξεν——μη διακωλυειν αυτην. *Judith.* *xii.* 7. Κυριε μου Μωυση, κωλυσον αυτους. *Num.* *xi.* 28. χρειαν εχει. *Sir.* *xv.* 12. *Dan.* *iii.* 16.

15 Αποκριθεις δε ὁ Ιησους ειπε προς αυτον· Αφες αρτι· οὑτω γαρ πρεπον εστιν ἡμιν πληρωσαι πασαν δικαιοσυνην. Τοτε αφιησιν αυτον.

μη αφῃς με πεσειν εν αυτοις. *Sir.* *xxiii.* 1. αφετε με. *Esa.* *xxii.* 4. απαγγελω ὑμιν την πασαν δικαιοσυνην. 1 *Reg.* *xii.* 7. ὡς δεον εστι και πρεπον. 1 *Mac.* *xii.* 11. και πασαν την βουλην σου πληρωσαι. *Ps.* *xix.* 4. και αποκριθεις ειπε. *Esa.* *xxi.* 9. *Job.* *i.* 7, 19. Ιδου ἡκω——του ποιησαι το θελημα σου. *Ps.* *xxxix.* 7, 8.

16 Και βαπτισθεις ὁ Ιησους ανεβη ευθυς απο του ὑδατος· και

ιδου, ανεῳχθησαν αυτῳ οἱ ουρανοι, και ειδε το Πνευμα του Θεου καταβαινον ὡσει περιστεραν, και ερχομενον επ᾽ αυτον.

και ηνοιχθησαν οἱ ουρανοι, και ιδον ὁρασεις Θεου. Ezech. i. 1. 3 *Mac. vi.* 19. *και ηλθεν επ᾽ εμε πνευμα. Ezech. ii.* 2. *και πνευμα Θεου επεφερετο επανω του ὑδατος. Gen. i.* 2. *ὁταν δῳ* Κυριος *το πνευμα αυτου επ᾽ αυτους; Num. xi.* 29. *ὁτι θυριδες εκ του ουρανου ανεῳχθησαν. Esa. xxiv.* 18. *ηνεῳξε τας ουρανιους πυλας.* 3 *Mac. vi.* 18. *πτερυγας ὡσει περιστερας. Ps. liv.* 6. *Hab. i.* 8. Κυριος Κυριος *απεσταλκε με, και το πνευμα αυτου. Esa. xlviii.* 16. *Conf. Luc. iii.* 21. *Joan. i.* 33. *Prov. viii.* 30. [*ηλθε ἡ ἱερα περιστερα—ἡ αποκρυφος μητηρ. Act. Thom. c.* 47.] [*και ανοιγησονται επ᾽ αυτῳ* [Χριστῳ] *οἱ ουρανοι εκχεαι πνευμα, ευλογιαν πατρος ἁγιου, κ. τ. λ. Test. XII Patr. p.* 617.]

17 Και *ιδου, φωνη εκ των ουρανων, λεγουσα·* Οὑτος *εστιν ὁ υἱος μου ὁ αγαπητος, εν ᾧ ευδοκησα.*

φωνη απ᾽ ουρανου εγενετο, Σοι *λεγουσι. Dan. iv.* 28. *εν αυτοις αυτος ευδοκησε. Mal. ii.* 17. *Ps. xliii.* 3. 2 *Reg. xxii.* 20. *λαβε τον υἱον σου τον αγαπητον. Gen. xxii.* 2. *μονογενην, Aq.* 1 *Par. xxix.* 1. *Prov. iv.* 3. *ὁ υἱος σου ὁ καλλιστος ὁν αγαπᾳς. Esa. iii.* 25. Ιακωβ *ὁ παις μου, αντιληψομαι αυτου·* Ισραηλ *ὁ εκλεκτος μου, προσεδεξατο αυτον ἡ ψυχη μου. Esa. xlii.* 1. *lxii.* 4. *Agg. i.* 8. *εκαλεσα σε το ονομα σου· εμος ει συ. Esa. xliii.* 1. *υἱος μου ει συ, εγω σημερον γεγεννηκα σε. Ps. ii.* 7. Κυριος *ὁ* Θεος *εβουλευσατο ἱνα δικαιωθῃ, και μεγαλυνῃ αινεσιν. Esa. xlii.* 21. *Conf. Marc. xii.* 6. 2 *Pet. i.* 17. *Luc. iii.* 22. *Joan. i.* 32. *Col. i.* 13. [*ευδοκησα,* "*in quo ego ab æternitate usque acquiescere soleo, acquiesco, et in æternitatem acquiescam.*" *Zeun. ad Viger. p.* 170. *Edit. Herman.*]

ΚΕΦ. δ. 4.

ΤΟΤΕ *ὁ* Ιησους *ανηχθη εις την ερημον ὑπο του* Πνευματος, *πειρασθηναι ὑπο του διαβολου.*

φθονῳ δε διαβολου θανατος εισηλθεν εις τον κοσμον· πειραζουσι δε αυτον οἱ της εκεινου μεριδος οντες. Sap. ii. 24. *ξυλον ὑπο πνευματος σαλευθῃ. Esa. vii.* 2. *προς* Λακεδαιμονιους *αναχθεις.* 2 *Mac. v.* 9. *και ανελαβε με πνευμα, και ηγαγε με, κ. τ. λ. Ezech. xi.* 1. *xxiv.* 37, 1. *ανθρωπος ὁ πνευματοφορος. Ose. ix.* 7. *και εγενετο επ᾽ αυτῳ πνευμα* Θεου. *Num. xxiv.* 2. *ὡς δε επανεπαυσατο πνευμα επ᾽ αυτους. Num. xi.* 25, 26. *Esa. xi.* 2. *και ὁ διαβολος ηλθε μετ᾽ αυτων. Job. i.* 6. *Zach. iii.* 1. 1 *Par. xxi.* 1. *Sap. ii.* 23. *ὁν τροπον εξεπειρασατε εν τῳ πειρασμῳ. Deut. vi.* 16. *Ps. xciv.* 9, 10. *cv.* 14.

Conf. Marc. i. 12. *Luc. iv.* 1. *Act. viii.* 39. *Gen. iii.* 15. *Job. i.* 9-12. *ii.* 4-7. *Heb. ii.* 18. *iv.* 15.

2 Και νηστευσας ἡμερας τεσσαρακοντα και νυκτας τεσσαρακοντα, ὑστερον επεινασε.

και νηστευσουσαν ἑπτα ἡμερας. 1 *Reg. xxxi.* 13. και επορευθη [Ηλιου] εν ισχυϊ της βρωσεως εκεινης τεσσαρακοντα ἡμερας και τεσσαρακοντα νυκτας. 3 *Reg. xix.* 8. ὁτι ὑστερον αιχμαλωσιας μου μετενοησα. *Jer. xxxviii.* 19. *Conf. Marc. i.* 13. *Luc. iv.* 2. *Exod. xxxiv.* 28. *Deut. ix.* 9, 18.

3 Και προσελθων αυτῳ ὁ πειραζων ειπεν· Ει υἱος ει του Θεου, ειπε, ἱνα οἱ λιθοι οὑτοι αρτοι γενωνται.

Ὑιος μου ει συ. *Ps. ii.* 7. παιδα Κυριου ἑαυτον ονομαζει. *Sap. ii.* 12. οὑτοι οἱ λογοι, οὑς ειπε Κυριος ποιησαι αυτους. *Exod. xxxv.* 1. ει γαρ εστιν ὁ δικαιος υἱος Θεου, αντιληψεται αυτου, ῥυσεται αυτον εκ χειρος ανθεστηκοτων. *Sap. ii.* 18. και εγενετο οφις. *Exod. iv.* 3. *Dan. v.* 13. ὁ πειραζων. 1 *Thess. iii.* 5. *Conf.* 1 *Cor. xi.* 3.

4 Ὁ δε αποκριθεις ειπε· Γεγραπται· Ουκ επ᾽ αρτῳ μονῳ ζησεται ανθρωπος, αλλ᾽ επι παντι ῥηματι εκπορευομενῳ δια στοματος Θεου.

απεκριθη δε ὁ διαβολος, και ειπε. *Job. i.* 9. γεγραπται εν τῃ προφητειᾳ. 2 *Par. xxxii.* 32. και αποκριθεις ειπε. *Esa. xxi.* 9. ιδου γεγραπται, κ. τ. λ. *Esa. lxv.* 6. ειπε, και εστη πνευμα καταιγιδος. *Ps. cvi.* 25. ουκ επ αρτῳ μονῳ ζησεται ὁ ανθρωπος, αλλ᾽ επι παντι ῥηματι τῳ εκπορευομενῳ δια στοματος Θεου ζησεται ὁ ανθρωπος. *Deut. viii.* 3. *Citat Philo. T. i. p.* 544. ἱνα μαθωσιν οἱ υἱοι σου, οὑς ηγαπησας, Κυριε, ὁτι ουχ αἱ γενεσεις των καρπων τρεφουσιν ανθρωπον, αλλα το ῥημα σου τους σοι πιστευοντας διατηρει. *Sap. xvi.* 26. *Conf. Luc. iv.* 4. Μνησθητε το ῥημα ὁ ενετειλατο ὑμιν Μωυσης. *Jos. i.* 13. τα ῥηματα ταυτα της διαθηκης, τους δεκα λογους. *Exod. xxxiv.* 28. *CITAT.* 8.

5 Τοτε παραλαμβανει αυτον ὁ διαβολος εις την ἁγιαν πολιν, και ἱστησιν αυτον επι το πτερυγιον του ἱερου·

Ἱερουσαλημ πολις ἡ ἁγια. *Esa. li.* 1, *lxvi.* 20. πολιν ἁγιασματος σου Ἱερουσαλημ. *Sir. xxxvi.* 13. *xlix.* 6. επι πτερυγων της γης. *Job. xxxvii.* 3, *xxxviii.* 13. *Conf. Luc. iv.* 9. [πτερυγιον· ακρωτηριον. *Hesych.*] και στησει—τον ανθρωπον—επι την θυραν. *Lev. xiv.* 11.

6 Και λεγει αυτῳ· Ει υἱος ει του Θεου, βαλε σεαυτον κατω· γεγραπται γαρ· Ὁτι τοις αγγελοις αὑτου εντελειται περι

σου· και επι χειρων αρουσι σε, μηποτε προσκοψῃς προς λιθον τον ποδα σου.

ὁτι τοις αγγελοις αυτου εντελειται περι σου του διαφυλαξαι σε εν πασαις ταις ὁδοις σου. Επι *χειρων αρουσι σε, μηποτε προσκοψῃς προς λιθον τον ποδα σου. Ps. xci.* 11, 12. *Conf. Luc. iv.* 10, 11. *Job. i.* 9, 10. *v.* 19-23. Ιδου *γεγραπται. Esa. lxv.* 6. *CITAT.* 9.

7 Εφη *αυτῳ ὁ* Ιησους· Παλιν *γεγραπται·* Ουκ *εκπειρασεις* Κυριον *τον* Θεον *σου.*

ἡ δε ειπεν αυτῳ (respondit) Gen. xxiv. 47. *Deut. vi.* 16. *Conf. Luc. iv.* 12. *ουκ εκπειρασεις* Κυριον *τον* Θεον *σου. Deut. vi.* 16. *CITAT.* 10.

8 Παλιν *παραλαμβανει αυτον ὁ διαβολος εις ορος ὑψηλον λιαν, και δεικνυσιν αυτῳ πασας τας βασιλειας του κοσμου και την δοξαν αυτων,*

και ηγαγε με—και εθηκε με επ' ορος ὑψηλον σφοδρα. Ezech. xl. 2. *καλα λιαν. Gen. i.* 31. *πασα βασιλεια της γης. Esa. xxxvii.* 20. *εν τῃ* Αρταξερξου *βασιλειᾳ. Est. ix.* 20. *Deut. xxxiv.* 1-3. *Conf. Luc. iv.* 5. *Apoc. xxi.* 10. *πασας τας βασιλειας της γης εδωκε μοι* Κυριος *ὁ* Θεος *του ουρανου, κ. τ. λ. Esd. i.* 2. *(Conf. Fisch. Prolus. p.* 113-115.]

9 Και *λεγει αυτῳ·* Ταυτα *παντα σοι δωσω, εαν πεσων προσκυνησῃς μοι.*

και επεσεν—και προσεκυνησε. Jos. v. 15. *O. Comp. και πεσων χαμαι προσεκυνησε. Job. i.* 20. *Conf. Luc. iv.* 6, 7. *και προσκυνησουσιν αυτῳ παντες οἱ βασιλεις. Ps. lxxi.* 11. *συ βασιλευ βασιλευς βασιλεων, ᾡ ὁ* Θεος *του ουρανου βασιλειαν ισχυραν—εδωκε. Dan. ii.* 37.

10 Τοτε *λεγει αυτῳ ὁ* Ιησους· Ὑπαγε, Σατανα· *γεγραπται γαρ·* Κυριον *τον* Θεον *σου προσκυνησεις, και αυτῳ μονῳ λατρευσεις.*

Κυριον *τον* Θεον *σου φοβηθησῃ, και αυτῳ μονῳ λατρευσεις. Deut. vi.* 13. *x.* 20. *εν τῳ καταρασθαι ασεβη τον* Σαταναν, *αυτος καταραται την ἑαυτου ψυχην. Sir. xxi.* 27. [*απο του* Σατανα, *και των πνευματων αυτου. Test. XII Patr. p.* 650. 687.] *και ειπε* Κυριος *προς τον διαβολον,* Επιτιμησαι Κυριος *εν σοι διαβολε. Zach. iii.* 2, 3. *εμε ερριψας οπισω σου.* 3 *Reg. xiv.* 9. *Esa. lviii.* 17. *Conf. Luc. iv.* 8. *CITAT.* 11.

11 Τοτε *αφιησιν αυτον ὁ διαβολος· και ιδου αγγελοι προσηλθον και διηκονουν αυτῳ.*

προσκυνησατε αυτῳ παντες αγγελοι αυτου. Ps.. xcvi. 7. ὁτι τοις αγγελοις αυτου εντελειται περι σου, του διαφυλαξαι σε εν πασαις ταις ὁδοις σου. xc. 11. Conf. Marc. i. 13. Heb. i. 14. Luc. iv. 13.

12 Ακουσας δε ὁ Ιησους, ὁτι Ιωαννης παρεδοθη, ανεχωρησεν εις την Γαλιλαιαν.

αναχωρησας εις την ερημον. 2 Mac. v. 27. Conf. Marc. i. 14. Luc. iii. 20. Joan. iv. 43. μη παραδῳς με τοις αδικουσι με. Ps. cxviii. 121. δια τας ανομιας αυτων παρεδοθη. Esa. liii. 12.

13 Και καταλιπων την Ναζαρετ, ελθων κατῳκησεν εις Καπερναουμ την παραθαλασσιαν, εν ὁριοις Ζαβουλων και Νεφθαλειμ·

ἑως Σελευκειας της παραθαλασσιας. 1 Mac. ii. 8. 2 Par. viii. 17. Conf. Luc. iv. 16, 30, 31. Marc. vi. 1, 4, etc. Ζαβουλον. Jos. xix. 10.

14 Ἱνα πληρωθῃ το ῥηθεν δια Ἡσαΐου του προφητου, λεγοντος·

εγω εισελευσομαι οπισω σου, και πληρωσω τους λογους σου. 3 Reg. i. 14. του πληρωθηναι λογον Κυριου δια στοματος Ἱερεμιου. 2 Par. xxxvi. 21.

15 Γη Ζαβουλων και γη Νεφθαλειμ, ὁδον θαλασσης, περαν του Ιορδανου, Γαλιλαια των εθνων.

16 Ὁ λαος ὁ καθημενος εν σκοτει, ειδε φως μεγα, και τοις καθημενοις εν χωρᾳ και σκιᾳ θανατου, φως ανετειλεν αυτοις.

χωρα Ζαβυλων, ἡ γη Νεφθαλειμ, και οἱ λοιποι οἱ την παραλιαν, και περαν του Ιορδανου Γαλιλαια των εθνων. Ὁ λαος ὁ πορευομενος [καθημενος, Alex. Comp.] εν σκοτει, ιδετε φως μεγα· οἱ κατοικουντες εν χωρᾳ σκιᾳ θανατου, φως λαμψει εφ' ὑμας. Esa. ix. 1, 2. ὁδον της θαλασσης. 3 Reg. xviii. 43. πασα Γαλιλαια αλλοφυλων. Joel. iii. 4. 1 Mac. v. 15. εν τῃ Γαλιλαιᾳ εν τῳ ορει τῳ Νεφθαλι. Jos. xx. 7. και εν τῳ περαν του Ιορδανου. 8. ανατελει αστρον εξ Ιακωβ. Num. xxiv. 17. Conf. Esa. xlii. 7. [και ανατελει αστρον αυτου εν ουρανῳ, ὡς βασιλεως, φωτιζον φως γνωσεως εν ἡλιῳ ἡμερων. Test. XII Patr. p. 584.] και ανατελει ὑμιν τοις φοβουμενοις το ονομα μου ἡλιος δικαιοσυνης και ιασις εν ταις πτερυξιν αυτου, κ. τ. λ. Mal. iv. 2. ὁ λαος οὑτος ὁ καθημενος εν τῃ ορεινῃ. Judith. v. 3. φως ανετειλε τῳ δικαιῳ, και τοις ευθεσι τῃ καρδιᾳ ευφροσυνη. Ps. xcvii. 11. CITAT. 12.

17 Απο τοτε ηρξατο ὁ Ιησους κηρυσσειν, και λεγειν· Μετανοειτε· ηγγικε γαρ ἡ βασιλεια των ουρανων.

απο τοτε. Eccles. viii. 12. Ps. xcii. 2. και τουτο ηρξαντο ποιησαι.

Gen. xi. 6. *Conf. Luc. ix.* 2. *Ezech. xviii.* 30. ευαγγελισασθαι πτωχοις. *Esa. lxi.* 1. *Jer. xviii.* 8, *Dan. ix.* 27. ιδου ερχεται. *Mal. iii.* 1. αναστησει ὁ Θεος του ουρανου βασιλειαν, κ. τ. λ. *Dan. ii.* 44.

18 Περιπατων δε ὁ Ιησους παρα την θαλασσαν της Γαλιλαιας, ειδε δυο αδελφους, Σιμωνα τον λεγομενον Πετρον, και Ανδρεαν τον αδελφον αυτου, βαλλοντας αμφιβληστρον εις την θαλασσαν· ησαν γαρ ἁλιεις.

ὡς ἡ αμμος, ἡ παρα την θαλασσαν. 3 *Reg. iv.* 29. δια τουτο αμφιβαλει το αμφιβληστρον αυτου. *Hab. i.* 17. *Conf. Marc. i.* 16. *Luc. v.* 2. *Joan. i.* 42. *Esa. xix.* 8. [παρα ποταμον βαδιζων. *Jos. Ant. ii.* 5. 5.] επι τον λεγομενον Θεραν ποταμον. 1 *Esd. viii.* 41.

19 Και λεγει αυτοις· Δευτε οπισω μου, και ποιησω ὑμας ἁλιεις ανθρωπων.

δευτε οπισω μου. 4 *Reg. vi.* 19. Ιδου εγω αποστελλω τους ἁλιεις τους πολλους, λεγει Κυριος, και ἁλιευσουσιν αυτους. *Jer. xvi.* 16. *Conf.* 1 *Mac. ii.* 27. *Marc. i.* 17. *Luc. v.* 10. [και στησονται εκει ἁλιεις—ψωγμος σαγηνων εσται, καθ' ἑαυτων εσται· και οἱ ιχθυες αυτης, ὡς οἱ ιχθυες της θαλασσης της μεγαλης, πληθος πολυ σφοδρα. *Exech. xlvii.* 10.

20 Οἱ δε ευθεως αφεντες τα δικτυα, ηκολουθησαν αυτῳ.

Ῥουθ δε ηκολουθησεν αυτῃ. *Ruth. i.* 14. αναστας ακολουθησον αυτοις. *Num. xxii.* 20. *Conf. Marc. i.* 18. *Luc. v.* 11. 3 *Reg. xix.* 19, 20.

21 Και προβας εκειθεν, ειδεν αλλους δυο αδελφους, Ιακωβον τον του Ζεβεδαιου και Ιωαννην τον αδελφον αυτου, εν τῳ πλοιῳ μετα Ζεβεδαιου του πατρος αυτων, καταρτιζοντας τα δικτυα αὑτων· και εκαλεσεν αυτους.

Οζιας ὁ του Μιχα, *Judith. vi.* 15. 1 *Mac. ii.* 1. και τα τειχη αυτης κατηρτισμενα εισι. *Esd. iv.* 12, 13, 16. *Conf. Marc. i.* 19.

22 Οἱ δε ευθεως αφεντες το πλοιον και τον πατερα αὑτων, ηκολουθησαν αυτῳ.

ὁ λεγων τῳ πατρι και τῃ μητρι, Ουχ ἑωρακα σε, κ. τ. λ. *Deut. xxxiii.* 9.

23 Και περιηγεν ὁλην την Γαλιλαιαν ὁ Ιησους, διδασκων εν ταις συναγωγαις αυτων, και κηρυσσων το ευαγγελιον της βασιλειας, και θεραπευων πασαν νοσον και πασαν μαλακιαν εν τῳ λαῳ.

και—περιαγων καθ' ὁλην την πολιν. 2. *Mac. iv.* 38. και εν ὁλῃ

τῃ Ιουδαιᾳ. 3 *Esd. i.* 32. τον ιωμενον πασας τας νοσους σου. *Ps. cii.* 3. *Exod. xv.* 26. 2 *Par. xxi.* 15. και την γυναικα μου εθεραπευσε. *Job. xii.* 3. και περιελει Κυριος ὁ Θεος σου απο σου πασαν μαλακιαν. *Deut. vii.* 15. τῳ λαῳ της γης. *Gen. xxiii.* 7. το ευαγγελιον βασιλειας. *Conf.* 2 *Reg. xviii.* 19-21, 25. *Marc. i.* 23. *Luc. iv.* 31. *Dan. ii.* 44. Πνευμα Κυριου επ᾽ εμε, οὑ εἱνεκεν εχρισε με, ευαγγελισασθαι πτωχοις απεσταλκε με, ιασασθαι τους συντετριμμενους την καρδιαν, κυρυξαι αιχμαλωτοις αφεσιν, και τυφλοις αναβλεψιν, κ. τ. λ. *Esa. lxi.* 1-3. [*De Synagog. Jos. Ant. xix.* 6. 3. *Bell. Jud. ii.* 14. 4. *vii.* 3. 3.]

24 Και απηλθεν ἡ ακοη αυτου εις ὁλην την Συριαν· και προσηνεγκαν αυτῳ παντας τους κακως εχοντας, ποικιλαις νοσοις και βασανοις συνεχομενους, και δαιμονιζομενους, και σεληνιαζομενους, και παραλυτικους· και εθεραπευσεν αυτους.

και ἡ ακοη ηλθεν ἑως Ιωαβ. 3 *Reg. ii.* 28. Συρια. 2 *Reg. viii.* 5, 6. το κακως εχον. *Ezech. xxxiv.* 4. απεθανεν—μετα βασανου μεγαλης. 1 *Mac. ix.* 56. *Sap. iii.* 1. συνεχομενος απο οινου. *Jer. xxiii.* 9. *Conf. Luc. iv.* 15. τοτε ανοιχθησονται οφθαλμοι τυφλων, και ωτα κωφων ακουσονται· τοτε ἁλειται ὡς ελαφος ὁ χωλος, κ. τ. λ. *Esa. xxxv.* 5, 6. [σεληνιαζομενοι. *Conf. Act. Thom. c. xii.* και δαιμονιζομενοι. *Jos. Ant. viii.* 2. 5.]

25 Και ηκολουθησαν αυτῳ οχλοι πολλοι απο της Γαλιλαιας, και Δεκαπολεως, και Ἱεροσολυμων, και Ιουδαιας, και περαν του Ιορδανου.

περαν του Ιορδανου. *Deut. i.* 1. *Conf. Marc. iii.* 7. και πολλοι απο Ισραηλ προς αυτους προσηλθον, κ. τ. λ. 1 *Mac. ii.* 16. Feb. 21. 1851

ΚΕΦ. ε. 5.

ΙΔΩΝ δε τους οχλους, ανεβη εις το ορος· και καθισαντος αυτου, προσηλθον αυτῳ οἱ μαθηται αυτου.

επιστρεψω επι Σιων, και κατασκηνωσω εν μεσῳ Ἱερουσαλημ, κ. τ. λ. *Zach. viii.* 3. και Μωυσης ανεβη εις το ορος. *Exod. xix.* 3. *Conf. Marc. iii.* 7, 13, 20. τελειων και μανθανοντων. 1 *Par. xxv.* 8. [επι Μωϋσεως και του μαθητου αυτου Ιησου. *Jos. Ant. vi.* 5. 4.]

2 Και ανοιξας το στομα αὑτου, εδιδασκεν αυτους, λεγων·

ηνοιξα το στομα μου, και ελαλησα. *Dan. x.* 16. *Sir. li.* 25. *Jud. xi.* 35. και εδιδασκον τον λαον. 2 *Par. xvii.* 9. *Conf. Job. iii.* 1. *xxxiii.* 2. *Ephes. vi.* 19.

3 Μακαριοι οἱ πτωχοι τῳ πνευματι· ὁτι αυτων εστιν ἡ βασιλεια των ουρανων.

Μακαριοι οἱ κατοικουντες εν τῳ οικῳ σου. *Ps. lxxxiii.* 4. Μακαριοι οἱ φυλασσοντες κρισιν. *cv.* 3. *et pass.* και βοσκηθησονται πτωχοι δι' αυτου. *Esa. xiv.* 30. τους ταπεινους τῳ πνευματι. *Ps. xxxiii.* 18. *Conf. Prov. xvi.* 19. και αγαλλιασονται πτωχοι δια Κυριον. *Esa. xxix.* 19. *Conf. Luc. vi.* 20. *Esa. lvii.* 15. *lxvi.* 2. *Matt. xi.* 5, 25. *Jac. ii.* 5. *Tob. iv.* 21. [οἱ εν λυπῃ τελευτησαντες αναστησονται εν χαρᾳ, και οἱ εν πτωχειᾳ δια Κυριον πλουτισθησονται, και οἱ εν πενιᾳ χορτασθησονται. *Test. XII Patr. p.* 619.]

4 Μακαριοι οἱ πενθουντες· ὁτι αυτοι παρακληθησονται.

αγαθον πορευθηναι εις οικον πενθους, κ. τ. λ. *Eccles. vii.* 3. παρακαλεσαι παντας τους πενθουντας. *Esa. lxi.* 2. *Sir. xlviii.* 24. *Conf. Luc. vi.* 21. *Joan. xvi.* 20. 2 *Cor. i.* 7. *Jac. i.* 12. *Job. iv.* 21.

5 Μακαριοι οἱ πρᾳεις· ὁτι αυτοι κληρονομησουσι την γην.

οἱ δε πρᾳεις κληρονομησουσι γην. *Ps. xxxvi.* 11, 29. *Esa. xiv.* 21. *lx.* 22. *Sir. iv.* 13. *Conf. Esa. lvii.* 13. 1 *Pet. iii.* 13. ὑψωσει πρᾳεις εν σωτηριᾳ. *Ps. cxlix.* 4.

6 Μακαριοι οἱ πεινωντες και διψωντες την δικαιοσυνην· ὁτι αυτοι χορτασθησονται.

ὁτι εμεθυσα πασαν ψυχην διψωσαν, και πασαν ψυχην πεινωσαν ενεπλησα. *Jer. xxxviii.* 25. μακαριοι—ποιουντες δικαιοσυνην. *Ps. cv.* 3. *Sir. xiv.* 1, 2. ὁτι εχορτασε ψυχην κενην, και ψυχην πεινωσαν. *Ps. cvi.* 9. *Alex. Ald. Comp.* ἡ γλωσσα αυτων απο της διψης εξηρανθη. *Esa. xli.* 17. *lv.* 1. *lxv.* 13. *Sap. xii.* 15. *Sir. ii.* 16. οἱ εσθιοντες με [σοφιαν] ετι πεινασουσι, και οἱ πινοντες με ετι διψησουσι. *Sir xxiv.* 21. *Conf. Luc. vi.* 21. *Joan. iv.* 14. [μετα προσοχης πασης, ἑνεκα του διψην λογων ποτιμων. *Philo. T. ii. p.* 282.]

7 Μακαριοι οἱ ελεημονες· ὁτι αυτοι ελεηθησονται.

ὁ—ελεων δε πτωχους μακαριστος. *Prov. xiv.* 21. ὁ ελεων πτωχον αυτος διατραφησεται. *xxii.* 9. *Conf. Marc. xi.* 25. *Jac. ii.* 13. *Matt. vi.* 14. *Sir. xxviii.* 2. *Tob. iv.* 7. *Gen. xlii.* 21. [ὁσον γαρ ανθρωπος σπλαγχνιζεται εις τον πλησιον, τοσουτον Κυριος εις αυτον. *Test. XII Patr. p.* 642.]

8 Μακαριοι οἱ καθαροι τῃ καρδιᾳ· ὁτι αυτοι τον Θεον οψονται.

καθαρος τῃ καρδιᾳ. *Ps. xxiii.* 4. καρδιαν καθαραν κτισον εν εμοι ὁ Θεος. *l.* 10. *Conf.* 1 *Cor. xiii.* 12. 1 *Joan. iii.* 2. *Job. xix.* 27. *Heb. xii.* 14. *Esa. xxxiii.* 15-17. εγω δε εν δικαιοσυνῃ οφθησομαι τῳ προσωπῳ σου, κ. τ. λ. *Ps. xvi.* 15.

9 Μακαριοι οἱ ειρηνοποιοι· ὁτι αυτοι υἱοι Θεου κληθησονται.

ὁ δε ελεγχων μετα παῤῥησιας, ειρηνοποιει. *Prov. x.* 10. κληθησεται. *Esa. lviii.* 7. *xlv.* 5. Θεοι εστε, και υἱοι ὑψιστου παντες. *Ps. lxxxi.* 6. του κληθηναι σε παιδα μου. *Esa. xlix.* 6. κληθησονται και αυτοι υἱοι Θεου ζωντος. *Ose. i.* 10. *Conf. Rom. xvi.* 20. 1 *Cor. xiv.* 33.

10 Μακαριοι οἱ δεδιωγμενοι ἑνεκεν δικαιοσυνης· ὁτι αυτων εστιν ἡ βασιλεια των ουρανων.

διωκομενος ὑπο παντων, και στυγουμενος. 2 *Mac. v.* 8. ἑνεκεν αληθειας και πρᾳυτητος και δικαιοσυνης. *Ps. xliv.* 4. *Conf.* 1 *Pet. iii.* 14. 2 *Cor. iv.* 8.

11 Μακαριοι εστε, ὁταν ονειδισωσιν ὑμας και διωξωσι, και ειπωσι παν πονηρον ῥημα καθ᾽ ὑμων ψευδομενοι, ἑνεκεν εμου.

γνωθι, ὡς ελαβον περι σου ονειδισμον. *Jer. xv.* 15. ονειδιζειν Θεον. 4 *Reg. xix.* 16. και ακουσας ὁ λαος το ῥημα το πονηρον τουτο. *Exod. xxxiii.* 4. *Deut. xvii.* 1. *Judith. viii.* 7, 8. κατα Κυριου, και κατα του Χριστου αυτου. *Ps. ii.* 2. το ῥημα το κατα της Μωαβιτιδος. *Esa. xv.* 1. *xvii.* 1. ἑνεκεν σου. *Gen. xii.* 13. οἱ εκδιωκοντες με αδικως. *Ps. lxix.* 4. *Conf. Luc. vi.* 22. 1 *Pet. iv.* 14. ψευδεσθαι παν ψευδος. *Sir. vii.* 13.

12 Χαιρετε και αγαλλιασθε, ὁτι ὁ μισθος ὑμων πολυς εν τοις ουρανοις· οὑτω γαρ εδιωξαν τους προφητας τους προ ὑμων.

χαιρε—κηρυσσε. *Soph. iii.* 4. και αγαλλιασθε ενωπιον αυτου. *Ps. lxvii.* 4. ὁτι εστι μισθος τοις σοις εργοις. *Jer. xxxviii.* 16. τοις εθνεσι τοις προ ὑμων. *Lev. xviii.* 28. *Conf. Luc. vi.* 23. *Jac. i.* 2. *Act. vii.* 52. *Rom. v.* 3. *Phil. i.* 29. *Col. i.* 24. *Neh. ix.* 26.

13 Ὑμεις εστε το ἁλας της γης· εαν δε το ἁλας μωρανθῃ, εν τινι ἁλισθησεται; εις ουδεν ισχυει ετι, ει μη βληθηναι εξω, και καταπατεισθαι ὑπο των ανθρωπων.

και νυν ουν καθως ἁλας του ναου ἡλισαμεθα. *Esd. iv.* 14. *Comp.* πασαι αἱ φυλαι της γης. *Gen. xxviii.* 14. ουδε ἁλι ἡλισθης. *Ezech. xvi.* 4. *Conf. Marc. ix.* 50. *Luc. xiv.* 34. *Num. xviii.* 19. πληθος δε σοφων σωτηρια κοσμου. *Sap. vi.* 24. επι παντος δωρου ὑμων προσοισετε Κυριῳ τῳ Θεῳ ὑμων ἁλας. *Lev. ii.* 13.

14 Ὑμεις εστε το φως του κοσμου. Ου δυναται πολις κρυβηναι επανω ορους κειμενη·

εν τῳ φωτι σου οψομεθα φως. *Ps. xxxv.* 9. εδωκα σε εις φως εθνων. *Esa. xlii.* 6. φως ανετειλε τῳ δικαιῳ. *Ps. xcvi.* 12. φως δικαιοις διαπαντος. *Prov. xiii.* 9. κρυβηναι ου μη δυνωνται. *Jer. xxix.*

10. *Conf. Phil. ii.* 15. *Luc. xvi.* 8. *Ephes. v.* 8. πατηρ κοσμου. [*Adam.*] *Sap. x.* 1.

15 Ουδε καιουσι λυχνον, και τιθεασιν αυτον ὑπο τον μοδιον, αλλ' επι την λυχνιαν· και λαμπει πασι τοις εν τῃ οικιᾳ.

ἱνα καιηται λυχνος. *Exod. xxviii.* 20. των εν τῃ οικιᾳ. *Gen. xxxix.* 2. τιθεασιν *pro* τιθεισι. *Ita* πληγαι—διδοασι σοφιαν. *Prov. xxix.* 15. ὁτι λυχνος εντολη νομου και φως. *vi.* 23. *Conf. Marc. iv.* 21. *Luc. viii.* 16. *xi.* 33. σοφια κεκρυμμενη, και θησαυρος αφανης, τις ωφελεια εν αμφοτεροις; *Sir. xx.* 30.

16 Οὑτω λαμψατω το φως ὑμων εμπροσθεν των ανθρωπων, ὁπως ιδωσιν ὑμων τα καλα εργα, και δοξασωσι τον πατερα ὑμων τον εν τοις ουρανοις.

αἱ δε ὁδοι των δικαιων ὁμοιως φωτι, λαμπουσι, κ. τ. λ. *Prov. iv.* 18. και δικαιωματα ὡς φως εξαψουσιν. *Sir. xxxv.* 16. φως λαμψει εφ' ὑμας. *Esa. ix.* 2. ἁπαν το σπερμα Ιακωβ δοξασατε αυτον. *Ps. xxi.* 23. *lxxxv.* 9. *Esa. x.* 15. αναστα, και επικαλου τον Θεον σου, ὁπως διασωσῃ. *Jon. i.* 6. εμπροσθεν ὑμων. *Gen. xlv.* 5. *Conf.* 1 *Pet. ii.* 12. *Joan. xv.* 18. ὡμολογησαν Θεου υἱον λαον ειναι. *Sap. xviii.* 13.

17 Μη νομισητε, ὁτι ηλθον καταλυσαι τον νομον η τους προφητας· ουκ ηλθον καταλυσαι, αλλα πληρωσαι.

συ δε μη νομισῃς αθωος εσεσθαι. 2 *Mac. vii.* 19. και τας μεν νομιμους καταλυων πολιτειας. *iv.* 11. ερχονται—φονευσαι σε. *Neh. vi.* 10. ὁ νομος ὁ ὑπαρχων εις τον αιωνα. παντες οἱ κρατουντες αυτην, εις ζωην· οἱ δε καταλειποντες αυτην, αποθανουνται. *Bar. iv.* 1. ηλθον—ηγοραζειν. *Gen. xlii.* 5. *Conf. Rom. iii.* 31. *Gal. iii.* 24.

18 Αμην γαρ λεγω ὑμιν, ἑως αν παρελθῃ ὁ ουρανος και ἡ γη, ιωτα ἑν η μια κεραια ου μη παρελθῃ απο του νομου, ἑως αν παντα γενηται.

αριθμῳ παρηλθον, και μια αυτων ουκ απωλετο. *Esa. xxxiv.* 16. ἡ βασιλεια σου παρηλθεν απο σου. *Dan. iv.* 28. εστησεν αυτα εις τον αιωνα,—προσταγμα εθετο, και ου παρελευσεται. *Ps. cxlviii.* 6. ἑως οὑ ανταναιρεθῃ ἡ σεληνη. *lxxi.* 7. ουδε γαρ παρηλθεν απ' αυτων λογος. *Est. addit. x.* 5. *Conf. Luc. xvi.* 17. αρατε εις τον ουρανον τους οφθαλμους ὑμων, και εμβλεψατε εις την γην κατω· ὁτι ὁ ουρανος ὡς καπνος, κ. τ. λ. *Esa. li.* 6. —τα ορη μεταστησεσθαι, ουδ' οἱ βουνοι σου μετακινηθησονται· οὑτως ουδε το παρ' εμου σοι ελεος εκλειψει, κ. τ. λ. *Esa. liv.* 10. [κατα συλλαβην μαλλον δε και κεραιαν ἑκαστην. *Philo. T. ii. p.* 536.] [κεραια· γραμματος ακρον. *Gloss. Vet.*]

19 Ὁς εαν ουν λυσῃ μιαν των εντολων τουτων των ελαχιστων, και διδαξῃ οὑτω τους ανθρωπους, ελαχιστος κληθησεται εν τῃ βασιλειᾳ των ουρανων· ὁς δ᾽ αν ποιησῃ και διδαξῃ, οὑτος μεγας κληθησεται εν τῃ βασιλειᾳ των ουρανων.

εν τῳ λυσαι τον νομον. 1 Esd. ix. 46. Eccles. vii. 30. Sap. viii. 9. Conf. Jac. ii. 10. και ποιησει μιαν απο πασων των εντολων, κ. τ. λ. Lev. v. 17. και ὁ ανθρωπος Μωυσης μεγας εγενηθη σφοδρα εναντιον των Αιγυπτιων. Exod. xi. 3. βασιλευς μεγας εγω ειμι, λεγει Κυριος. Mal. i. 14. κληθησεται. Esa. lvi. 17. ελαχιστος—δυνατος. Sap. vi. 6. [ὁς εαν διδασκῃ ταυτα, και πρασσῃ, συνθρονος εσται, κ. τ. λ. Test. XII Patr. p. 577.] μη καταδεσμευσῃς δις ἁμαρτιαν, εν γαρ τῃ μιᾳ ουκ αθωος εσῃ. Sir. vii. 8. μεγα σοι εστι του κληθηναι σε παιδα μου. Esa. xlix. 6. μη κληθῃς ψιθυρος. Sir. v. 14. και εκπετασω επ᾽ αυτον το δικτυον, και ἁλωσεται κ. τ. λ. Ezech. xvii. 20.

20 Λεγω γαρ ὑμιν, ὁτι εαν μη περισσευσῃ ἡ δικαιοσυνῃ ὑμων πλειον των Γραμματεων και Φαρισαιων, ου μη εισελθητε εις την βασιλειαν των ουρανων.

τι επερισσευσεν ὁ ανθρωπος παρα το κτηνος; Eccles. iii. 19. 1 Mac. iii. 30. ου μη εισελθῃ εις την πολιν ταυτην. Esa. xxxvii. 33. ει εισελευσονται εις την καταπαυσιν μου. Ps. xciv. 11. και εισελευσεται εις την βασιλειαν του βασιλεως. Dan. xi. 9. Conf. Luc. xi. 39. Matt. iii. 7. δικαιοσυνη δικαιου ου μη εξελειται αυτον, κ. τ. λ. Ezech. xxxiii. 12. εις ματην εγενηθη σχοινος ψευδης γραμματευσι. Jer. viii. 8. λεγω—ὁτι. Conf. Gen. xxviii. 16. xliv. 28.

21 Ηκουσατε ὁτι ερρεθη τοις αρχαιοις, Ου φονευσεις· ὁς δ᾽ αν φονευσῃ, ενοχος εσται τῃ κρισει.

εκηρυχθη και ερρηθη. Jon. iii. 7. σοφιαν παντων αρχαιων εκζητησει. Sir. xxxix. 1. Job. viii. 8-10. και εκηρυχθη, και ερρεθη εν τῃ Νινευῃ. Jon. iii. 7. ὁ εκχεων αἱμα ανθρωπου αντι του αἱματος αυτου εκχυθησεται, κ. τ. λ. Gen. ix. 5, 6. ου φονευσεις. Exod. xx. 15. Deut. v. 17. ος αν κακως ειπῃ—ενοχος εσται. Lev. xx. 9. CITAT. 13.

22 Εγω δε λεγω ὑμιν, ὁτι πας ὁ οργιζομενος τῳ αδελφῳ αὑτου εικη, ενοχος εσται τῃ κρισει· ὁς δ᾽ αν ειπῃ τῳ αδελφῳ αὑτου, Ῥακα, ενοχος εσται τῳ συνεδριῳ· ὁς δ᾽ αν ειπῃ, Μωρε, ενοχος εσται εις την γεενναν του πυρος.

ὁς αν pro ὁστις αν. Exod. xxx. 33. και ουκ εσται εν σοι αἱματι ενοχος. Deut. xix. 10. [ἱεροσυλιᾳ ενοχος ων. Philo. T. ii. p. 202.] παυσαι απο οργης και εγκαταλιπε θυμον, μη παραζηλου ὡστε

πονηρευεσθαι. *Ps. xxxvi.* 8. εγω δε λεγω. *Conf. Esa. xliii.* 15, 19. *xliv.* 6. 1 *Par. xxix.* 14. αναμεσον ανδρος, και αναμεσον αδελφου. *Deut. i.* 16. απιστος ανηρ κρινει εικη. *Prov. xxviii.* 25. *Jos. ii.* 19, 20. και ενεβαλοσαν αυτον εις οικιαν της φυλακης. *Jer. xliv.* 21. [το συνεδριον. *Jos. Ant. xiv.* 9, 4.] εν γῃ βεεννομ. 2 *Par. xxviii.* 3. *Alex.* και αυτος διηγεν τα τεκνα αυτου εν πυρι εν γῃ βεεννομ. *xxxiii.* 6. *Alex. Vide Keuchen. in loc. Conf.* 1 *Joan. iii.* 15. *Conf. Deut. xvi.* 18. [*Jos. Ant. iv.* 8. 14. *Bell. Jud. ii.* 20. 5.] μωρε. *Conf. Sir. l.* 26. *Ps. xiv.* 1. *liii.* 2. 1 *Reg. xxv.* 25. *Job. ii.* 10. [Ῥακα· κενος. *Hesych.*]

23 Εαν ουν προσφερῃς το δωρον σου επι το θυσιαστηριον, κᾳκει
μνησθῃς ὁτι ὁ αδελφος σου εχει τι κατα σου,

και προσοισει το δωρον αυτου. *Lev. iv.* 23. κατα σου. *Conf. Apoc. ii.* 4. *Sap. iv.* 6, 16. *Matt. xxiii.* 19. *Luc. xii.* 58. *Prov. xxv.* 8.

24 Αφες εκει το δωρον σου εμπροσθεν του θυσιαστηριου, και
ὑπαγε, πρωτον διαλλαγηθι τῳ αδελφῳ σου, και τοτε ελθων
προσφερε το δωρον σου.

και εν τινι διαλλαγησεται ὁυτος τῳ κυριῳ αυτου; 1 *Reg. xxix.* 4. ὁπως διαλλαγῃ αυτῳ. 1 *Esd. iv.* 31. *Conf. Job. xlii.* 8. μη προσπιπτε εις μαχην ταχεως, ἱνα μη μεταμεληθῃς επ᾽ εσχατων, κ. τ. λ. *Prov. xxv.* 8.

25 Ισθι ευνοων τῳ αντιδικῳ σου ταχυ, ἑως ὁτου ει εν τῃ ὁδῳ
μετ᾽ αυτου· μηποτε σε παραδῳ ὁ αντιδικος τῳ κριτῃ, και ὁ
κριτης σε παραδῳ τῳ ὑπηρετῃ, και εις φυλακην βληθησῃ.

ισθι ευνοων. *Ita* και εστω διαχωριζον. *Gen. i.* 6. *Exod. vii.* 15. ευνοησειν—τοις του βασιλεως πραγμασι. 3 *Mac. vii.* 11. εγω κρινω την αντιδικον σου. *Jer. xxviii.* 36. ἑως ὁτου. 1 *Reg. xxx.* 4. 1 *Mac. xiv.* 10. εν τῃ ὁδῳ. *Gen. xlii.* 38. *xlv.* 24. τῃ ὁδῳ Αιγυπτου. *Jer. ii.* 18. 2 *Reg. xiii.* 34. *Conf. Luc. xii.* 58. *Prov. xxv.* 8. *Gen. xxxii.* 3.

26 Αμην λεγω σοι, ου μη εξελθῃς εκειθεν, ἑως αν αποδῳς τον
εσχατον κοδραντην.

αληθως ἡμαρτον. *Jos. vii.* 10. *Conf. Job. xix.* 4. και ου μη ὑπαρξῃ ἁμαρτωλος. *Ps. xxxvi.* 10. *lviii.* 13. *Conf. Luc. xii.* 59.

27 Ηκουσατε ὁτι ερῥεθη τοις αρχαιοις, Ου μοιχευσεις.

ου μοιχευσεις. *Exod. xx.* 13. *Deut. v.* 18. και ερῥεθη τῳ Δαυιδ, Ουκ εισελευσῃ ὡδε. 2 *Reg. v.* 6. και εκηρυχθη και ερῥεθη εν τῃ Νινευῃ. *Jon. iii.* 7. *Conf. Exod. xx.* 14. *Lev. xviii.* 10. *CITAT.* 14.

28 Εγω δε λεγω ὑμιν, ὁτι πας ὁ βλεπων γυναικα προς το
επιθυμησαι αυτης, ηδη εμοιχευσεν αυτην εν τῃ καρδιᾳ αὑτου.

διαθηκην εθεμην τοις οφθαλμοις μου, και ου συνησω επι παρθενον. Job. xxxi. 1. *αποστρεψον οφθαλμον απο γυναικος ευμορφου, και μη καταμανθανε καλλος αλλοτριον. Sir. ix.* 8. *ουκ επιθυμησεις την γυναικα του πλησιον σου. Exod. xx.* 17. *Conf.* 4 *Mac. Sect.* 3. *μη ειπῃς εν τῃ καρδιᾳ σου. Deut. viii.* 17. *ὁς αν μοιχευσηται γυναικα ανδρος. Lev. xx.* 10. *βλεπων εν οφθαλμοις. Sir. xxx.* 20. *Prov. vi.* 25.

29 Ει *δε ὁ οφθαλμος σου ὁ δεξιος σκανδαλιζει σε, εξελε αυτον και βαλε απο σου· συμφερει γαρ σοι ἱνα αποληται ἑν των μελων σου, και μη ὁλον το σωμα σου βληθῃ εις γεενναν.*

οφθαλμος μοιχου. Job. xxiv. 15. *ἱπποι θηλυμανεις εγενηθησαν, ἑκαστος επι την γυναικα του πλησιον αυτου εχρεμετιζον. Jer. v.* 8. *ὡς συμφερει, και ὡς βελτιον ὑμιν. Jer. xxvi.* 14. *παρθενον μη καταμανθανε, μηποτε σκανδαλισθῃς. Sir. ix.* 5. *Conf. Marc. ix.* 43-47. *Col. iii.* 5. *Prov. vi.* 25. 2 *Pet. ii.* 14. [*επι δε τους ασεβεις επαξει* Κυριος *πυρ αιωνιον. Test. XII Patr.* 645. *χαος πυρος, βασανος, δεσμωτηριον. ib.* 194.] *Conf.* 4 *Reg. xxiii.* 10.

30 Και *ει ἡ δεξια σου χειρ σκανδαλιζει σε, εκκοψον αυτην και βαλε απο σου· συμφερει γαρ σοι ἱνα αποληται ἑν των μελων σου, και μη ὁλον το σωμα σου βληθῃ εις γεενναν.*

και μη φθονεσατω σου ὁ οφθαλμος εν τῳ ποιειν σε ελεημοσυνην. Tob. iv. 16. *εν αγαθῳ οφθαλμῳ δοξασον τον* Κυριον. *Sir. xxxii.* 8. *Deut. xv.* 9. *εξορυξαι—οφθαλμον.* 1 *Reg. xi.* 2. *Conf. omnino Zach. xi.* 17. *ποιησατε μοι ὡς συμφερει. Jer. xxxiii.* 14. *Sir. xxxvii.* 28. *και μη, pro μαλλον η. Joel. ii.* 13. *Prov. viii.* 10.

31 Ερρεθη *δε, ὁτι ὁς αν απολυσῃ την γυναικα αὐτου, δοτω αυτῃ αποστασιον.*

εαν δε τις λαβῃ γυναικα—και εαν μη εὑρῃ χαριν ενωπιον αυτου —και γραψει αυτῃ βιβλιον αποστασιου, κ. τ. λ. Deut. xxiv. 1. *και εδωκα αυτῃ βιβλιον αποστασιου εις τας χειρας αυτης. Jer. iii.* 8. *Conf. Marc. x.* 4. *Luc. xvi.* 18. 1 *Cor. vii.* 10. *Rom. vii.* 3.

32 Εγω *δε λεγω ὑμιν, ὁτι ὁς αν απολυσῃ την γυναικα αυτου, παρεκτος λογου πορνειας, ποιει αυτην μοιχασθαι· και ὁς εαν απολελυμενην γαμησῃ, μοιχαται.*

παρεκτος λογου πορνειας, i. e. επι πορνειᾳ. Cap. xix. 4. *Ita εις φερνης λογον, dotis nomine.* 2 *Mac. i.* 14. *παρεκτος. Deut. i.* 36. *Aq. Conf.* 2 *Cor. xi.* 28. 1 *Cor. vii.* 10. [*ποιειν αχθηναι. Jos. Ant. ii.* 9. 5.]

33 Παλιν *ηκουσατε ὁτι ερρεθη τοις αρχαιοις·* Ουκ *επιορκησεις· αποδωσεις δε τῳ* Κυριῳ *τους ὁρκους σου.*

[ὁ πλεονεκτων τον πλησιον παροργιζει τον Θεον, και τον Ὑψιστον επιορκει. *Test. XII Patr. p.* 690.] *και ουκ ομειςθε τῳ ονοματι μου επ᾽ αδικῳ.* *Lev. xix.* 12. *ου ληψῃ το ονομα* Κυριου *του Θεου σου επι ματαιῳ.* *Exod. xx.* 7. *Deut. v.* 11. *τα εκπορευομενα δια των χειλεων σου φυλαξῃ.* *Deut. xxiii.* 23. *επι τῳ ονοματι αυτου ομῃ.* *Deut. vi.* 13. *x.* 20. *αποδουναι ευχην.* *Sir. xviii.* 22. *ανθρωπος ανθωρπος ὁς αν ευξηται ευχην* Κυριῳ, *η ομοσῃ ὁρκον—ου βεβηλωσει το ῥημα αυτου, κ. τ. λ.* *Num. xxx.* 2. *CITAT.* 15.

34 Εγω *δε λεγω ὑμιν, μη ομοσαι ὁλως, μητε εν τῳ ουρανῳ, ὁτι θρονος εστι του* Θεου·

ὁρκῳ μη εθισῃς το στομα σου, και ονομασιᾳ του Ἁγιου *μη συνεθισθῃς, κ. τ. λ.* *Sir. xxiii.* 7-11. [*παραλαβετω τις ει βουλεται, μη μεν το ανωτατω και πρεσβυτατον ευθυς αιτιον, αλλα γην, ἡλιον, αστερας, ουρανον, τον συμπαντα κοσμον.* *Philo. T. ii. p.* 271.]

35 Μητε *εν τῃ γῃ, ὁτι ὑποποδιον εστι των ποδων αυτου· μητε εις* Ἱεροσολυμα, *ὁτι πολις εστι του μεγαλου βασιλεως·*

ὁ ουρανος μου θρονος, και ἡ γη ὑποποδιον των ποδων μου, κ. τ. λ. *Esa. lxvi.* 1. *Conf. Jac. v.* 12. *Act. vii.* 49. *μητε—μητε.* 3 *Reg. iii.* 36. *Ose. iv.* 4. *και ωμνυον εν τοις ουκ ουσι θεοις.* *Jer. v.* 7. *και ωμοσε κατα του θρονου και της βασιλειας αυτου.* *Judith. i.* 12. *Conf.* 3 *Reg. vi.* 27. 2 *Par. vi.* 18. *ἡ πολις του βασιλεως του μεγαλου.* *Ps. xlvii.* 2.

36 Μητε *εν τῃ κεφαλῃ σου ομοσῃς, ὁτι ου δυνασαι μιαν τριχα λευκην η μελαιναν ποιησαι.*

37 Εστω *δε ὁ λογος ὑμων· ναι ναι, ου ου· το δε περισσον τουτων εκ του πονηρου εστιν·*

ὁς αποδιδωσι κακα αντι αγαθων, ου κινηθησεται κακα εκ του οικου αυτου. *Prov. xvii.* 13. *μη ειπῃς,* Τισομαι *τον εχθρον· αλλ᾽ ὑπομεινον τον* Κυριον, *ἱνα σοι βοηθησῃ.* *xx.* 22. *Conf. Jac. v.* 12. 2 *Cor. i.* 17, 18. *και δη επ᾽ αληθειας.* *Job. xix.* 4.

38 Ηκουσατε *ὁτι ερρεθη·* Οφθαλμον *αντι οφθαλμου, και οδοντα αντι οδοντος.*

Exod. xxi. 24. *Conf. Deut. xix.* 21. *Lev. xxiv.* 20. *CITAT.* 16.

39 Εγω *δε λεγω ὑμιν, μη αντιστηναι τῳ πονηρῳ· αλλ ὁστις σε ῥαπισει επι την δεξιαν σου σιαγονα, στρεψον αυτῳ και την αλλην·*

εδωκα—τας δε σιαγονας μου εις ῥαπισματα. *Esa. l.* 6. *και εσομαι αυτοις, ως ῥαπιζων ανθρωπος επι τας σιαγονας αυτου.* *Ose.*

xi. 4. τῳ αδικουντι. *Exod. ii.* 13. βασιλει αδικῳ και πονηροτατῳ. *Cant. Tr. Pu.* 8. *Conf. Prov. xx.* 22. *Luc. vi.* 29. *Rom. xii.* 17–19. 1 *Thess. v.* 15. 1 *Pet. iii.* 9.

40 Και τῳ θελοντι σοι κριθηναι, και τον χιτωνα σου λαβειν, αφες αυτῳ και το ἱματιον·

λαβοντες δε τον χιτωνα. *Gen. xxxvii.* 31. εαν γαρ βουληται κριθηναι αυτῳ. *Job. ix.* 3. *Sir. viii.* 11. *Conf. Luc. vi.* 29.

41 Και ὁστις σε αγγαρευσει μιλιον ἑν, ὑπαγε μετ' αυτου δυο.

αγγαρευσει. *Conf. Matt. xxvii.* 32. [μιλιον· μετρον ὁδου σταδιων ἑπτα. οἱ δε ποδων δ'. *Hesych.*]

42 Τῳ αιτουντι σε διδου· και τον θελοντα απο σου δανεισασθαι μη αποστραφῃς.

μη αποστρεψῃς το προσωπον σου απο πτωχου. *Sir. iv.* 4. σημερον δανιει, και αυριον απαιτησει. *Sir. xx.* 15. δανεισον τῳ πλησιον εν καιρῳ χρειας αυτου. ὁ ποιων ελεος δανειει τῳ πλησιον. *Sir. xxix.* 1, 2. *Conf. Deut. xv.* 8–10. *Luc. vi.* 35. *Rom. xii.* 20. *Tob. iv.* 7. [και δανεισαμενος αφ' ἑκαστης ουσιας μικρα μορια. *Philo. T. i. p.* 513.]

43 Ηκουσατε ὁτι ερρεθη, Αγαπησεις τον πλησιον σου, και μισησεις τον εχθρον σου.

και ὁ μισεις, μηδενι ποιησῃς, κ. τ. λ. *Tob. iv.* 15. δος τῳ ευσεβει, και μη αντιλαβῃ του ἁμαρτωλου. *Sir. xii.* 4. καιρος του φιλησαι και καιρος του μισησαι. *Eccl. iii.* 8. αγαπησεις τον πλησιον σου ὡς σεαυτον. *Lev. xix.* 18. [*Conf. Citat.* 31.] εαν σου δεηται ὁ εχθρος μεγαλῃ τῃ φωνῃ, μη πεισθῃς. *Prov. xxvi.* 25. *Conf. Exod. xxxiv.* 12. *Deut. vii.* 2. *Lev. xviii.* 28. *Num. xxxv.* 30. *Matt. xix.* 19. *xxii.* 39. του αγαπᾳν τους μισουντας σε, και μισειν τους αγαπωντας σε, κ. τ. λ. 2 *Reg. xix.* 6. τον αλλοτριον απαιτησεις ὁσα εαν ῃ σοι παρ' αυτῳ, τῳ δε αδελφῳ αφεσιν ποιησεις του χρεους σου. *Deut. xv.* 3.

44 Εγω δε λεγω ὑμιν, Αγαπατε τους εχθρους ὑμων, ευλογειτε τους καταρωμενους ὑμας, καλως ποιειτε τους μισουντας ὑμας, και προσευχεσθε ὑπερ των επηρεαζοντων ὑμας, και διωκοντων ὑμας·

και ευλογησω τους ευλογουντας σε, και τους καταρωμενους σε καταρασομαι. *Gen. xii.* 3. καταρασονται αυτοι, και συ ευλογησεις. *Ps. cviii.* 27. σωσον με εκ παντων των διωκοντων με. *Ps. vii.* 1. ιδου εγω προσευξομαι ὑπερ ὑμων προς Κυριον. *Jer. xlix.* 4. *Conf. Job. xxxi.* 29, 30. *Prov. xxv.* 21, 22. *Rom. xii.* 14, 20. *Luc. vi.* 28. *Act.*

vii. 60. 1 *Pet. iii.* 9. φυλασσε ακακιαν και ιδε ευθυτητα, ὁτι εστιν εγκαταλειμμα ανθρωπῳ ειρηνικῳ. *Ps. xxxvi.* 37. [επηρεαζει· βιαζει. *Hesych.*]

45 Ὁπως γενησθε ὑιοι του πατρος ὑμων του εν ουρανοις· ὁτι τον ἡλιον αὑτου ανατελλει επι πονηρους και αγαθους, και βρεχει επι δικαιους και αδικους.

πατηρ μου ει συ, Θεος μου. *Ps. lxxxviii.* 26. απο πονηρου ἑως αγαθου. 2 *Reg. xiii.* 22. ἡ γη ακανθας και τριβολους ανατελει σοι. *Gen. iii.* 18. και εβρεξεν επ᾽ αυτους. *Ps. lxxvii.* 27. *Conf. Phil. ii.* 15. *Luc. vi.* 35. *Sir. xviii.* 13. *Job. xxv.* 3. χρηστος Κυριος τοις ὑπομενουσι, και οἱ οικτιρμοι αυτου επι παντα τα εργα αυτου. *Ps. cxliv.* 9. εν παντι τοπῳ οφθαλμοι Κυριου σκοπευουσι κακους τε και αγαθους. *Prov. xv.* 3. *xxix.* 13.

46 Εαν γαρ αγαπησητε τους αγαπωντας ὑμας, τινα μισθον εχετε; ουχι και οἱ τελωναι το αυτο ποιουσι;

τινα δοξαν η χαριν εποιησαμεν τῳ Μαρδοχαιῳ; *Est. vi.* 3. παν ζωον αγαπᾳ το ὁμοιον αυτῳ. *Sir. xiii.* 15. ετελωνειτο. 1 *Mac. xiii.* 39. *Conf. Luc. vi.* 32.

47 Και εαν ασπασησθε τους αδελφους ὑμων μονον, τι περισσον ποιειτε; ουχι και οἱ τελωναι οὑτω ποιουσιν;

και ησπασαντο αλληλους. *Exod. xviii.* 7. 1 *Mac. vii.* 29. ὁτι πνευμα περισσον εν αυτῳ. *Dan. v.* 12. *vi.* 3. εν παντι μεριμνωντι ενεστι περισσον. *Prov. xiv.* 23. ουχι. 2 *Par. xx.* 6. *Conf. Matt. x.* 12. *Luc. x.* 5. *Lev. xix.* 17, 18. *Deut. xv.* 7, 8.

48 Εσεσθε ουν ὑμεις τελειοι, ὡσπερ ὁ πατηρ ὑμων ὁ εν τοις ουρανοις τελειος εστι.

τελειος ων εν τῃ γενεᾳ αυτου. *Gen. vi.* 9. [τελεος, Αττικως· τελειος, Ἑλληνικως. *Fisch. Prolus. p.* 674.] και μετα ανδρος τελειου τελειωθηση. 2 *Reg. xxii.* 26. *al.* τελειος εσῃ. *Conf.* 1 *Cor. ii.* 6. γινου ορφανοις ὡς πατηρ, και αντι ανδρος τῃ μητρι αυτων, και εσῃ ὡς υἱος Ὑψιστου, και αγαπησει σε μαλλον ἡ μητηρ σου. *Sir. iv.* 10. τελειος εσῃ εναντιον Κυριου του Θεου σου. *Deut. xviii.* 13. και ἁγιοι εσεσθε, ὁτι ἁγιος ειμι εγω Κυριος. *Lev. xi.* 44. *Conf. Lev. xix.* 2. 1 *Pet. i.* 15, 16. *Ephes. v.* 1. *Luc. vi.* 36. 1 *Cor. xiv.* 20. ευαρεστει ενωπιον εμου, και γινου αμεμπτος. *Gen. xvii.* 1. *Job. i.* 1, 2, 3. [τελειος ην (*Noachus*) εν τῃ γενεᾳ αὑτου, δηλων ὁτι ου καθαπαξ, αλλα κατα συγκρισιν των κατ᾽ εκεινον τον χρονον γεγονοτων, αγαθος ην. *Philo. T. ii. p.* 6.]

ΚΕΦ. ϛ. 6.

ΠΡΟΣΕΧΕΤΕ την ελεημοσυνην ὑμων μη ποιειν εμπροσθεν των ανθρωπων, προς το θεαθηναι αυτοις· ει δε μηγε, μισθον ουκ εχετε παρα τῳ πατρι ὑμων τῳ εν τοις ουρανοις.

προσεχε ισχυρως του μη φαγειν αἱμα. *Deut. xii.* 23. *Gen. xxi.* 6. ποιησαι ελεημοσυνην. *Tob. xii.* 8. *Sir. xiii.* 8. *Exod. xxxiv.* 7. ποιειν δικαιοσυνην και κρισιν. *Gen. xviii.* 19. ει δε μη. *Exod. xxxii.* 32. εχων—μισθον. *Esa. lxii.* 11. ὁ Θεος Ισραηλ, ὁ πατηρ ἡμων. 1 *Par. xxix.* 10. πατηρ μου ει συ, Θεος μου. *Ps. lxxxviii.* 26. και εσται σοι ελεημοσυνη εναντιον Κυριου του Θεου σου. *Deut. xxiv.* 13. ισως εσται μακροθυμος τοις παραπτωμασι σου ὁ Θεος. *Dan. iv.* 24.

2 Ὁταν ουν ποιῃς ελεημοσυνην, μη σαλπισῃς εμπροσθεν σου, ὡσπερ οἱ ὑποκριται ποιουσιν εν ταις συναγωγαις και εν ταις ῥυμαις, ὁπως δοξασθωσιν ὑπο των ανθρωπων. Αμην λεγω ὑμιν, απεχουσι τον μισθον αὑτων.

σαλπισατε τα θεμελια της γης. *Esa. xliv.* 23. σαλπισατε εν εθνεσι σαλπιγγι. *Jer. xxviii.* 27. ὑποκριται καρδιᾳ. *Job. xxxvi.* 13. μη περιβλεπου εν ῥυμαις πολεως. *Sir. ix.* 7. ελεημοσυνην ποιησαι μη παριδῃς. απεχομεν τους κληρους ἡμων. *Num. xxxii.* 19. *Conf. xvi.* 3. *Rom. xii.* 8. *Esa. xviii.* 3. *Zach. vii.* 5, 6. μη ὑποκριθῃς εν στομασιν ανθρωπων, κ. τ. λ. *Sir. i.* 29, 30. [απεχει μεν, ειπεν, ἡ ταλαινα γαστηρ ὁ απητει δανειον. *Philo. T. ii. p.* 586.]

3 Σου δε ποιουντος ελεημοσυνην, μη γνωτω ἡ αριστερα σου τι ποιει ἡ δεξια σου·

και ουκ ῃδει των καθ᾽ αὑτον ουδεν, πλην του αρτου οὑ ησθιεν αυτος. *Gen. xxxix.* 6. *Conf. Luc. vi.* 41. οἱτινες ουκ εγνωσαν δεξιαν αυτων, η αριστεραν αυτων. *Jon. iv.* 11. *Conf. Matt. xviii.* 3.

4 Ὁπως ῃ σου ἡ ελεημοσυνη εν τῳ κρυπτῳ· και ὁ πατηρ σου ὁ βλεπων εν τῳ κρυπτῳ, αυτος αποδωσει σοι εν τῳ φανερῳ.

και αποκαλυψει Κυριος τα κρυπτα σου, και εν μεσῳ συναγωγης καταβαλει σε, κ. τ. λ. *Sir. i.* 30. τα κρυπτα Κυριῳ—τα δε φανερα ἡμιν. *Deut. xxix.* 29. του τα κεκρυμμενα φανερα ποιουντος. 2 *Mac. xii.* 41. αποδωσω τα εργα αυτων. *Esa. lxv.* 7. *Conf. Luc. xiv.* 14. θυσιαι ασεβων βδελυγμα Κυριῳ, ευχαι δε κατευθυνοντων δεκται παρ᾽ αυτῳ. *Prov. xv.* 8.

5 Και ὁταν προσευχῃ, ουκ εσῃ ὡσπερ οἱ ὑποκριται· ὁτι φιλουσιν εν ταις συναγωγαις και εν ταις γωνιαις των πλατειων

ἑστωτες προσευχεσθαι, ὁπως αν φανωσι τοις ανθρωποις· Αμην λεγω ὑμιν, ὁτι απεχουσι τον μισθον αὑτων.

εσται ὡς συ. *Sir. vi.* 11. ουκ εστιν οὑτως. *Gen. xxix.* 26. φιλουντες νυσταξαι. *Esa. lvi.* 10. [φιλει, *solet. Jos. Ant. xv.* 3. 9.] εν πλατειαις παρα πασαν γωνιαν. *Prov. vii.* 12. *Conf. Marc. xi.* 25. *Luc. xviii.* 11. *Ps. v.* 2, 3. το αργυριον ὑμων—απεχω. *Gen. xliii.* 23.

6 Συ δε ὁταν προσευχῃ, εισελθε εις το ταμιειον σου, και κλεισας την θυραν σου, προσευξαι τῳ πατρι σου τῳ εν τῳ κρυπτῳ· και ὁ πατηρ σου ὁ βλεπων εν τῳ κρυπτῳ αποδωσει σοι εν τῳ φανερῳ.

βαδιζε λαος μου, εισελθε εις τα ταμιεια σου, αποκλεισον την θυραν, κ. τ. λ. *Esa. xxvi.* 20. *Alex.* ου μη αποκρυβῃ απο σου ουθεν. *Jer. xxxix.* 17. *Conf.* 4 *Reg. iv.* 33. [και εισερχομενος εις το ταμιειον προσηυχομην Κυριῳ, κ. τ. λ. *Test. XII Patr. p.* 701.]

7 Προσευχομενοι δε μη βαττολογησητε, ὡσπερ οἱ εθνικοι· δοκουσι γαρ ὁτι εν τῃ πολυλογιᾳ αὑτων εισακουσθησονται.

εκ πολυλογιας ουκ εκφευξῃ ἁμαρτιαν. *Prov. x.* 19. *Conf.* 3 *Reg. xviii.* 26. *Eccles. vi.* 11. μη δευτερωσῃς λογον εν προσευχῃ σου. *Sir. vii.* 14. ὁ Θεος εν τῳ ουρανῳ ανω, και συ επι της γης· δια τουτο εστωσαν οἱ λογοι σου ολιγοι. *Eccles. v.* 1.

8 Μη ουν ὁμοιωθητε αυτοις· οιδε γαρ ὁ πατηρ ὑμων ὡν χρειαν εχετε, προ του ὑμας αιτησαι αυτον.

ὁ κοινωνων ὑπερηφανῳ ὁμοιωθησεται αυτῳ. *Sir. xiii.* 1. ὡν ουν εαν χρειαν εχητε. 2 *Mac. ii.* 15. προ του καταστρεψαι τον Θεον Σοδομα, κ. τ. λ. *Gen. xiii.* 10. αιτησαι παρ᾽ εμου, και δωσω. *Ps. ii.* 8. και εσται πριν η κεκραξαι αυτους, εγω ὑπακουσομαι αυτων· ετι λαλουντων αυτων, ερω, Τι εστι; *Esa. lxv.* 24. *Ps. xxxviii.* 9.

9 Οὑτως ουν προσευχεσθε ὑμεις· Πατερ ἡμων ὁ εν τοις ουρανοις, ἁγιασθητω το ονομα σου.

οὑτως ουν προσηυξατο Ανανιας. *Dan. iii.* 24, 25. μεγαλυνθητω το ονομα σου. 1 *Par. xvii.* 24. ὡσπερ ενωπιον αυτων ἡγιασθης εν ἡμιν, οὑτως ενωπιον ἡμων μεγαλυνθειης εν αυτοις. *Sir. xxxiii.* 4. ὁ Θεος Ισραηλ, ὁ πατηρ ἡμων. 1 *Par. xxix.* 10. τον Θεον του ουρανου. *Gen. xxiv.* 3. 1 *Mac. iii.* 18. πατηρ μου ει συ, Θεος μου. *Ps. lxxxviii.* 26. *Mal. ii.* 10. και ἁγιασω το ονομα μου. *Ezech. xxxvi.* 23. ου ληψῃ το ονομα Κυριου του Θεου σου επι ματαιῳ. *Deut. v.* 11. ὁ Κυριος ζων αυτος εν ουρανῳ. 2 *Mac. xv.* 4. ὁ πατηρ μου ὁ επουρανιος. *Cap. xviii.* 35. *Tob. v.* 11, *viii.* 5. *Conf. Luc. xi.* 2. *Ps. xi.* 4. *Esa. lxvi.* 1. [βασιλευειν εν αληθειᾳ εν τοις ουρανοις. *Test. XII Patr. p.* 657.]

10 Ελθετω ἡ βασιλεια σου· γενηθητω το θελημα σου, ὡς εν
ουρανῳ, και επι της γης·

και εσται τῳ Κυριῳ ἡ βασιλεια. *Obd.* 21. αναστησει ὁ Θεος του ουρανου βασιλειαν. *Dan. ii.* 44. [και ἡ βασιλεια του Θεου ἡμων εις τον αιωνα επι τα εθνη. *Psalt. Sal. p.* 961.] ουκ εστι μου θελημα εν ὑμιν, λεγει Κυριος. *Mal. i.* 10. ὁν τροπον—και. *Num. i.* 19. ὡς δ' αν ῃ θελημα εν ουρανῳ, οὑτω ποιησει. 1 *Mac. iii.* 60. *Conf. Sap. i.* 14. *Deut. iv.* 39. *Conf. Luc. xi.* 2. *Esa. ii.* 2, 3. *Matt. xxvi.* 42. *Act. xxi.* 14. εν τῳ ουρανῳ, και επι της γης. *Dan. vi.* 27. εγενηθη δε κατα το ῥημα Ιωσηφ. *Gen. xliv.* 2.

11 Τον αρτον ἡμων τον επιουσιον δος ἡμιν σημερον·

φαγετε σημερον. *Exod. xvi.* 25. εν ἱδρωτι του προσωπου σου φαγῃ τον αρτον σου. *Gen. iii.* 19. αρτος ἡμερας και νυκτας. *Ps. xli.* 3. ὡς αρτος συνταξεως μου. *Sym.* συνταξον δε μοι τα δεοντα και τα αυταρκη. *Prov. xxx.* 8. της εφημερου τροφης. *Jac. ii.* 15. *Conf. Luc. xi.* 3, 4. Κυριε ὁ Θεος ἡμων ειρηνην δος ἡμιν. *Esa. xxvi.* 12. [επιουσιος αρτος· ὁ επι τῃ ουσιᾳ ἡμων ἁρμωζων, η ὁ καθημερινος. *Suid.*] [αρτον τον επι τῃ ουσιᾳ και συστασει ἡμων αυταρκη. *Theoph.*]

12 Και αφες ἡμιν τα οφειληματα ἡμων, ὡς και ἡμεις αφιεμεν
τοις οφειλεταις ἡμων·

αφες αδικημα τῳ πλησιον σου, και τοτε δεηθεντος σου αἱ ἁμαρτιαι σου λυθησονται. *Sir. xxviii.* 2. αφιεμεν δε αγνοηματα και τα ἁμαρτηματα ἑως της σημερον ἡμερας, και τον στεφανον ὁν ωφειλετε. 1 *Mac. xiii.* 39. και παν οφειλημα βασιλικον—αφιεσθω σοι. 1 *Mac. xv.* 8. *et cap. x.* 29. *Conf. Luc. xi.* 2-4. *Deut. xv.* 1, 2. ὁτι επι πολυ αφησει τας ἁμαρτιας ὑμων. *Esa. lv.* 7. αδελφῳ σου αφεσιν ποιησεις του χρεους σου. *Deut. xv.* 3. αφεθησεται ὑμιν ἡ ἁμαρτια. *Esa. xxii.* 14. *Gen. iv.* 12. μακαριοι ὡν αφεθησαν αἱ ανομιαι. *Ps. xxxi.* 1. αφεθη γαρ αυτοις ἡ ἁμαρτια. *Esa. xxxiii.* 24.

13 Και μη εισενεγκῃς ἡμας εις πειρασμον, αλλα ῥυσαι ἡμας
απο του πονηρου. ὁτι σου εστιν ἡ βασιλεια και ἡ δυναμις και
ἡ δοξα εις τους αιωνας. Αμην.

μη με καταισχυνῃς. *Ps. cxviii.* 31. ἑτοιμασον την ψυχην σου εις πειρασμον. *Sir. ii.* 1. απο ανδρος αδικου ῥυσῃ με. *Ps. xvii.* 48. εν σοι ῥυσθησομαι απο πειρατηριου. *Ps. xvii.* 29. *Sir. iv.* 20. και ἡ βασιλεια αυτου βασιλεια αιωνιος. *Dan. vii.* 27. και αὑτη αναστησεται εις τους αιωνας. *Dan. ii.* 44. ὁ αγγελος ὁ ῥυομενος με εκ παντων των κακων. *Gen. xlviii.* 16. ὁ πονηρος (*diabolus*) ουχ ἁπτεται αυτου. 1 *Joan. v.* 18. *Conf. Matt. xiii.* 19. *Marc. iv.* 15.

Luc. viii. 12. εισηνεγκε με ὁ βασιλευς εις το ταμειον αυτου. *Cant. i.* 4. ανθρωπος Αιγυπτιος ερρυσατο ἡμας απο των ποιμενων. *Exod. ii.* 9. ητω ἡ δοξα Κυριου εις τον αιωνα. *Ps. ciii.* 31. επεφωνησε παν το πληθος, Αμην. 1 *Esd. ix.* 47. και ερει πας ὁ λαος, Αμην. 1 *Par. xvi.* 36. και ειπε πασα ἡ εκκλησια, Αμην. *Neh. v.* 13. *Conf.* 1 *Par. xxix.* 11. και ἡ βασιλεια και ἡ εξουσια—εδοθη ἁγιοις Ὑψιστου. *Dan. vii.* 27. *Esd. iv.* 40. *Tob. iii.* 5. *Conf. Luc. xi.* 4. 1 *Cor. x.* 13. 2 *Pet. ii.* 9.

14 Εαν γαρ αφητε τοις ανθρωποις τα παραπτωματα αυτων, αφησει και ὑμιν ὁ πατηρ ὑμων ὁ ουρανιος·

ισως εσται μακροθυμος τοις παραπτωμασι σου. *Dan. iv.* 24. *Sir. xxviii.* 2. παραπτωματα τις συνησει; *Ps. xviii.* 12. *Ezech. xviii.* 22. *Conf. Matt. xviii.* 23. *Marc. xi.* 25.

15 Εαν δε μη αφητε τοις ανθρωποις τα παραπτωματα αυτων, ουδε ὁ πατηρ ὑμων αφησει τα παραπτωματα ὑμων.

ὁς φρασσει τα ωτα αυτου του μη επακουσαι ασθενους, και αυτος επικαλεσεται, και ουκ εσται ὁ εισακουων. *Prov. xxi.* 13. εαν δε συναντησης τῳ βοϊ του εχθρου σου η τῳ ὑποζυγιῳ αυτου πλανωμενοις, αποστρεψας αποδωσεις αυτῳ, κ. τ. λ. *Exod. xxiii.* 4, 5.

16 Ὁταν δε νηστευητε, μη γινεσθε ὡσπερ οἱ ὑποκριται, σκυθρωποι· αφανιζουσι γαρ τα προσωπα αὑτων, ὁπως φανωσι τοις ανθρωποις νηστευοντες. Αμην λεγω ὑμιν, ὁτι απεχουσι τον μισθον αὑτων.

ὁτι εαν νηστευσωσιν ουκ εισακουσομαι. *Jer. xiv.* 12. τι ὁτι τα προσωπα ὑμων σκυθρωπα σημερον; *Gen. xl.* 7. *Dan. i.* 10. πρωσωπον σκυθρωπον. *Sir. xxv.* 23. και διαρρηξατε τας καρδιας ὑμων, και μη τα ἱματια ὑμων, κ. τ. λ. *Joel. ii.* 13. ου ταυτην την νηστειαν εξελεξαμην, και ἡμεραν ταπεινουν ανθρωπον την ψυχην αυτου, κ. τ. λ. *Esa. lviii.* 5. εστι πονηρευομενος συγκεκυφως μελανιᾳ, και τα εντος αυτου πληρης δολου, κ. τ. λ. *Sir. xix.* 26-29. Οὑτως ανθρωπος νηστευων επι των ἁμαρτιων αυτου, και παλιν πορευομενος, κ. τ. λ. *Sir. xxxi.* 16. *Conf. Matt. ix.* 14. *Luc. viii.* 12, 14. [ανθρωπους ἑωρων αφανιζοντας την ὁδον αυτων. *Test. XII Patr. p.* 545.]

17 Συ δε νηστευων, αλειψαι σου την κεφαλην, και το προσωπον σου νιψαι·

ηλειψατο το προσωπον αυτης εν μυρισμῳ. *Judith. xvi.* 8. ελιπανας εν ελαιῳ την κεφαλην μου. *Ps. xxii.* 5. του ἱλαρυναι προσωπον εν ελαιῳ. *ciii.* 15. συ δε λουσῃ και αλειψῃ. *Ruth. iii.* 3. και νιψα-

μενος το προσωπον. Gen. xliii. 31. Eccles. ix. 8. Judith. x. 3. 2 Reg. xii. 20. Sir. xxxii. 9. Ps. ciii. 15. Joan. xii. 3.

18 Ὁπως μη φανῃς τοις ανθρωποις νηστευων, αλλα τῳ πατρι
σου τῳ εν τῳ κρυπτῳ· και ὁ πατηρ σου ὁ βλεπων εν τῳ
κρυπτῳ, αποδωσει σοι εν τῳ φανερῳ.

και ενδυσαι ἱματια πενθικα, και μη αλειψῃ ελαιον, και εσῃ ὡς γυνη πενθουσα, κ. τ. λ. 2 Reg. xiv. 2. κρυπτῳ. Conf. Sap. xvii. 3. παντα τα εργα του ταπεινου φανερα παρα τῳ Θεῳ. Prov. xvi. 33. του τα κεκρυμμενα φανερα ποιουντος. 2 Mac. xii. 41.

19 Μη θησαυριζετε ὑμιν θησαυρους επι της γης, ὁπου σης και
βρωσις αφανιζει, και ὁπου κλεπται διορυσσουσι και κλεπτουσι·

εαν δε εν τῳ διορυγματι εὑρεθῃ ὁ κλεπτης. Exod. xxii. 2. και σης (βρωτηρ Aq.) καταφαγεται ὑμας. Esa. l. 9. βρωμαι. Epist. Jer. ix. και διαστελω ὑμιν εις βρωσιν. Mal. iii. 11. Job. xxiv. 16. διωρυξεν εν σκοτει οικιας. Job. xxv. 16. Ezech. xii. 5, 7. θησαυριζει, και ου γινωσκει τινι συναξει αυτα. Ps. xxxviii. 6. και θησαυριζει τοις κατορθουσι σωτηριαν. Prov. ii. 7. ὡς γαρ ἱματιον βρωθησεται ὑπο χρονου, και ὡς ερια βρωθησεται ὑπο σητος· ἡ δε δικαιοσυνη μου εις τον αιωνα, κ. τ. λ. Esa. li. 8. οὑτοι δε ου διασωζονται απο του ιου και βρωματων. Epist. Jer. 12. Conf. Luc. xii. 21, 22. 1 Tim. vi. 9. Heb. xiii. 5. Jac. v. 2.

20 Θησαυριζετε δε ὑμιν θησαυρους εν ουρανῳ, ὁπου ουτε σης
ουτε βρωσις αφανιζει, και ὁπου κλεπται ου διορυσσουσιν ουδε
κλεπτουσιν.

σητες και σκωληκες κληρονομησουσιν αυτον. Sir. xix. 3. Mich. vii. 4. Prov. xiv. 30. οὑτοι εισι θησαυροι δικαιοσυνης. Esa. xxxiii. 6. Conf. Luc. xii. 33. 1 Tim. vi. 18, 19.

21 Ὁπου γαρ εστιν ὁ θησαυρος ὑμων, εκει εσται και ἡ καρδια
ὑμων.

θες τον θησαυρον σου κατ᾽ εντολας Ὑψιστου, κ. τ. λ. Sir. xxix. 11. Conf. Luc. xii. 34. Tob. iv. 9. πασῃ φυλακῃ τηρει σην καρδιαν, εκ γαρ τουτων εξοδοι ζωης. Prov. iv. 23. ὁπου——εκει. Jud. xviii. 10.

22 Ὁ λυχνος του σωματος εστιν ὁ οφθαλμος· εαν ουν ὁ οφ-
θαλμος σου ἁπλους ῃ, ὁλον το σωμα σου φωτεινον εσται·

ὁτι συ φωτιεις λυχνον μου. Ps. xviii. 28. Conf. Luc. xi. 34. οφθαλμοι Κυριου μυριοπλασιως ἡλιου φωτεινοτεροι. Sir. xxiii. 19. ουκ εγνωσαν φρονησαι, ὁτι απημαυρωθησαν του βλεπειν τοις οφθαλμοις αυτων, κ. τ. λ. Esa. xliv. 18. ἁπλος. Gen. xxv. 27. Aq.

23 Εαν δε ὁ οφθαλμος σου πονηρος ῃ, ὁλον το σωμα σου σκοτεινον εσται. Ει ουν το φως το εν σοι, σκοτος εστι, το σκοτος ποσον;

εν αγαθῳ οφθαλμῳ δοξασον τον Κυριον. *Sir. xxxii.* 8. οφθαλμος πονηρος—επ᾽ αρτῳ. *xiv.* 10. *xxxii.* 8, 9, 10. *xxxi.* 17. ουαι—οἱ τιθεντες το σκοτος φως, και το φως σκοτος, κ. τ. λ. *Esa. v.* 20. [ὁ αγαθος ανθρωπος ουκ εχει σκοτεινον οφθαλμον· ελεει γαρ παντας, καν ωσιν ἁμαρτωλοι. *Test. XII Patr. p.* 731.] και μη φθονεσατω σου ὁ οφθαλμος εν τῳ ποιειν σε ελεημοσυνην. *Tob. iv.* 7. *Conf. Prov. iv.* 25. ὁς πορευεται ἁπλως, πορευεται πεποιθως. *Prov. x.* 9, 10. λαμπτηρ δε ασεβων ἁμαρτια. *Prov. xxi.* 4. αἱ δε ὁδοι των ασεβων σκοτειναι. *Prov. iv.* 19. ψηλαφητον σκοτος. *Exod. x.* 21. *Conf. Job. xviii.* 5, 6.

24 Ουδεις δυναται δυσι κυριοις δουλευειν· η γαρ τον ἑνα μισησει, και τον ἑτερον αγαπησει, η ἑνος ανθεξεται, και του ἑτερου καταφρονησει. ου δυνασθε Θεῳ δουλευειν και μαμμωνᾳ.

δυσι. *Jud. xv.* 13. κυριος (*magister, herus*). 3 *Reg. xvi.* 24. και ηγαπησα τον Ιακωβ, τον δε Ησαυ εμισησα. *Mal. i.* 2. εμισειτο Λεια,—ηγαπησε δε Ῥαχηλ μαλλον η Λειαν. *Gen. xxix.* 30, 31. και δουλευσατε αυτῳ μονῳ. 1 *Reg. vii.* 3. ει εστι Κυριος ὁ Θεος, πορευεσθε οπισω αυτου· ει δε Βααλ, πορευεσθε οπισω αυτου. 3 *Reg. xviii.* 21. *Deut. xxi.* 16. *xxii.* 13, 16. *Gen. xiv.* 4. *Jud. ix.* 28. *Conf. Luc. xvi.* 3. μακαριος—ανθρωπος ὁ αντεχομενος αυτων. *Esa. lvi.* 2. *Prov. iii.* 18. ὁ δε καταφρονων—απολειται. *xix.* 16. ανθεξεται. *Esa. lvi.* 2, 4, 6. [μαμωναν· θησαυρον. *Hesych.*]

25 Δια τουτο λεγω ὑμιν· Μη μεριμνατε τῃ ψυχῃ ὑμων, τι φαγητε και τι πιητε· μηδε τῳ σωματι ὑμων, τι ενδυσησθε. Ουχι ἡ ψυχη πλειον εστι της τροφης, και το σωμα του ενδυματος;

και προ καιρου γηρας αγει μεριμνα. *Sir. xxx.* 24. εν παντι μεριμνωντι ενεστι περισσον. *Prov. xiv.* 23. *Conf. Luc. xii.* 22. *Phil. iv.* 6. επιρριψον επι Κυριον την μεριμναν σου, και αυτος σε διαθρεψει, κ. τ. λ. *Ps. liv.* 22. *Sir. xxxiv.* 1. οἱ το αργυριον—μεριμνωντες. *Conf. Bar. iii.* 17, 18.

26 Εμβλεψατε εις τα πετεινα του ουρανου, ὁτι ου σπειρουσιν, ουδε θεριζουσιν, ουδε συναγουσιν εις αποθηκας· και ὁ πατηρ ὑμων ὁ ουρανιος τρεφει αυτα· ουχ ὑμεις μαλλον διαφερετε αυτων;

εμβλεψατε εις την στερεαν πετραν. *Esa. li.* 1. εμβλεπων τοις

μετ᾽ ευσεβειας κοιμωμενοις καλλιστον αποκειμενον χαριστηριον. 2 *Mac. xii.* 45. ου πεινασουσιν, ουδε κοπιασουσιν. *Esa. v.* 27. παντα τα πετεινα του ουρανου. *Ezech. xxxi.* 6. εγνωκα παντα τα πετεινα ουρανου, και ὡραιοτης αγρου μετ᾽ εμου εστι. *Ps. xlix.* 11. εξ αυτου ετρεφετο πασα σαρξ. *Dan. iv.* 9. τις δε ἡτοιμασε κορακι βοραν; *Job. xxxviii.* 41. *Ps. cxlvi.* 9. *Gen. i.* 29, 30. διαφερειν. 2 *Mac. xv.* 13. 3 *Mac. vi.* 26. *Dan. vii.* 3, 7. αγαπᾳς γαρ τα οντα παντα, και ουδεν βδελυσσῃ ὡν εποιησας, ουδε γαρ αν μισων τι κατεσκευασας. *Sap. xi.* 24.

27 Τις δε εξ ὑμων μεριμνων δυναται προσθειναι επι την ἡλικιαν
αὑτου πηχυν ἑνα;

και ετι προσθησω σοι επι τον μισθον, εαν ὑγιαινοντες επιστρεψητε. *Tob. v.* 15. *xii.* 1. *Conf. Luc. xii.* 25, 26. *Ps. xxxviii.* 6. επ᾽ αυτῳ ουκ εστι προσθειναι, και απ᾽ αυτου ουκ εστιν αφελειν. *Eccles. iii.* 14.

28 Και περι ενδυματος τι μεριμνατε; καταμαθετε τα κρινα
του αγρου, πως αυξανει· ου κοπιᾳ, ουδε νηθει·

αγρυπνια πλουτου εκτηκει σαρκας, και ἡ μεριμα αυτου αφιστᾳ ὑπνον. *Sir. xxxiv.* 1. καταμαθε δε νεφη, ὡς ὑψηλα απο σου. *Job. xxxv.* 4. *Gen. xxxiv.* 1. *Lev. xiv.* 36. ὡς κρινον. *Esa. xxxv.* 1. τα κρινα (*flores*). *Exod. xxv.* 31. *Num. viii.* 4. εν περιβολῃ ἱματιων μη καυχησῃ, και εν ἡμερᾳ δοξης μη επαιρου. *Sir. xi.* 4. ανθος του αγρου. *Ps. cii.* 15. εγω ανθος του πεδιου, κρινον των κοιλαδων. *Cant. ii.* 1. ὁ ποιμαινων εν τοις κρινοις. 16. *Conf. Luc. xii.* 27. ιθι προς τον μυρμηκα, κ. τ. λ. *Prov. vi.* 6-8.

29 Λεγω δε ὑμιν, Ὁτι ουδε Σολομων εν πασῃ τῃ δοξῃ αὑτου
περιεβαλετο ὡς ἑν τουτων.

και περιεβαλλετο την δοξαν αυτης. *Est. v.* 1. *Mac. xiv.* 9. *Exod. xxviii.* 40. βασιλεα μετα δοξης οψεσθε. *Esa. xxxiii.* 17. κατα την μεγαλειοτητα Σαλωμων. 3 *Esd. i.* 4.

30 Ει δε τον χορτον του αγρου, σημερον οντα, και αυριον εις
κλιβανον βαλλομενον, ὁ Θεος οὑτως αμφιεννυσιν, ου πολλῳ
μαλλον ὑμας, ολιγοπιστοι;

τοπρωϊ ὡσει χλοη παρελθοι· τοπρωϊ ανθησαι και παρελθοι, το ἑσπερας αποπεσοι, σκληρυνθειη και ζηρανθειη. *Ps. lxxxix.* 5, 6. χορτον αγρου. *Gen. ii.* 5. βασιλευς σημερον, και αυριον τελευτησει. *Sir. x.* 10. διοτι ιδου ερχεται ἡμερα Κυριου ὡς κλιβανος, κ. τ. λ. *Mal. iv.* 1. εν κροσσωτοις χρυσοις ημφιεσμενη. *Ps. xliv.* 14. *al.* περιβεβλημενη. *Exod. xxxiii.* 5, 6. *Conf. Luc. xii.* 28. υἱοι, οἱς ουκ εστι πιστις εν αυτοις. *Deut. xxxii.* 20. πασα σαρξ χορτος—το

δε ῥημα του Θεου ἡμων εις τον αιωνα—μη φοβεισθε. *Esa. xl.* 6-9. [ολιγοπιστος. *Act. Thom. c.* 28. κλιβανου ειλικρινες πυρ ουκ εχοντος. *Philo. T. i. p.* 517. *Edit. Mangey.*]

31 Μη ουν μεριμνησητε, λεγοντες, Τι φαγωμεν, η τι πιωμεν,
η τι περιβαλωμεθα;

σου την αγαθοτητα μεριμνωμεν. *Sap. xii.* 22.

32 Παντα γαρ ταυτα τα εθνη επιζητει. οιδε γαρ ὁ πατηρ ὑμων
ὁ ουρανιος ὁτι χρῃζετε τουτων ἁπαντων.

ἡνικα χρῃζετε. *Jud. xi.* 7. *Job. xxii.* 3. *Sym. xxi.* 21. *alii. Conf. Luc. xii.* 30. καθως οικτειρει πατηρ υἱους, ᾠκτειρησε Κυριος τους φοβουμενους αυτον. *Ps. cii.* 13.

33 Ζητειτε δε πρωτον την βασιλειαν του Θεου και την δικαιο-
συνην αυτου, και ταυτα παντα προστεθησεται ὑμιν·

ζητουντες την δικαιοσυνην. 1 *Mac. ii.* 29. *Conf.* 1 *Tim. iv.* 8. *Ps. xxxiii.* 9, 10. προστεθησεται. *Conf. Tob. v.* 15. *xii.* 1. εν τῃ νυκτι εκεινῃ ωφθη Θεος τῳ Σαλωμων, και ειπεν αυτῳ, Αιτησαι τι σοι δω, κ. τ. λ. 2 *Par. i.* 7-12. εδειξεν αυτῳ βασιλειαν Θεου. *Sap. x.* 10.

34 Μη ουν μεριμνησητε εις την αυριον· ἡ γαρ αυριον μεριμνησει
τα ἑαυτης. αρκετον τῃ ἡμερᾳ ἡ κακια αυτης.

μη καυχω τα εις αυριον, ου γαρ γινωσκεις τι τεξεται ἡ επιουσα. *Prov. xxvii.* 1. αἱ ἡμεραι της κακιας. *Eccles. xii.* 1. 1 *Par. vii.* 23. 2 *Par. vii.* 22. *Sap. vii.* 30. ει εσται κακια εν πολει ἡν Κυριος ουκ εποιησε; *Amos. iii.* 6. αρκετον *pro* αρκετη. *Ita*, αβασιλευτον εστιν ἡ ακρις. *Prov. xxx.* 27. *Conf. Vorst. de Adag. N. T. cap.* 9. επικειται ἡμιν τα της βασιλειας. 1 *Mac. vi.* 57. *Conf. Exod. xvi.* 19, 20. και ουκ αρκεσθεις τουτοις. 2 *Mac. v.* 15. αρκετον. *Deut. xxv* 2. *Aq.* εις τας πρωϊας. *Thren. iii.* 23. και οἱ κορακες εφερον αυτῳ αρτους τοπρωϊ, και κρεα τοδειλης, και εκ του χειμαρρου επινε ὑδωρ. 3 *Reg. xvii.* 6. *Conf.* 4 *Reg. vii.* 1. μη ειπῃς, Επανελθω επανηκε, αυριον δωσω, δυνατου σου οντος ευ ποιειν· ου γαρ οιδας τι τεξεται ἡ επιουσα. *Prov. iii.* 28.

ΚΕΦ. ζ. 7.

ΜΗ κρινετε, ἱνα μη κριθητε.

μη ζητει γενεσθαι κριτης. *Sir. vii.* 6. *Conf. Ezech. xv* 52-56. κρινον αυτους ὁ Θεος. *Ps. v.* 10. ιδοι Κυριος και κρινατ 2 *Par. xxiv.* 12. εν ἡμερᾳ κρισεως. *Prov. vi.* 34. *Conf. Ps. xlii. Luc. vi.* 37. *Rom. ii.* 1. *xiv.* 3, 4. 1 *Cor. iv.* 3. *Jac. ii.* 13.

2 Εν ῳ γαρ κριματι κρινετε, κριθησεσθε· και εν ῳ μετρῳ μετρειτε, αντιμετρηθησεται ὑμιν.

ου ποιησετε αδικον εν κρισει, εν μετροις. *Lev. xix.* 35. κριμα ειρηνικον κρινατε. *Zach. viii.* 16. ὁ δε επιχαιρων απολλυμενῳ ουκ αθωωθησεται, ὁ δε επισπλαγχνιζομενος ελεηθησεται. *Prov. xvii.* 5. *Conf. Luc. vi.* 37. *xxiii.* 40.

3 Τι δε βλεπεις το καρφος το εν τῳ οφθαλμῳ του αδελφου σου, την δε εν τῳ σῳ οφθαλμῳ δοκον ου κατανοεις;

2 *Reg. xii.* 5, 6. καθημενος κατα του αδελφου σου κατελαλεις, κ. τ. λ. *Ps. xlix.* 20. ὁ πλασας τον οφθαλμον, ουχι κατανοει; *Ps. xciii.* 9. καρφος. *Gen. viii.* 11. [κεραια ξυλου λεπτη. *Hesych.*]

4 Η πως ερεις τῳ αδελφῳ σου, Αφες εκβαλω το καρφος απο του οφθαλμου σου· και ιδου, ἡ δοκος εν τῳ οφθαλμῳ σου;

Conf. Luc. vi. 42. δοκος. *Gen. xix.* 8. *Cant. i.* 17.

5 Ὑποκριτα, εκβαλε πρωτον την δοκον εκ του οφθαλμου σου, και τοτε διαβλεψεις εκβαλειν το καρφος εκ του οφθαλμου του αδελφου σου.

Conf. Ps. l. 7-13. ῥαντιεις με ὑσσωπῳ, και καθαρισθησομαι· πλυνεις με, και ὑπερ χιονα λευκανθησομαι. ὑποκριτης. *Job. xxxvi.* 13.

6 Μη δωτε το ἁγιον τοις κυσι· μηδε βαλητε τους μαργαριτας ὑμων εμπροσθεν των χοιρων, μηποτε καταπατησωσιν αυτους εν τοις ποσιν αὐτων, και στραφεντες ῥηξωσιν ὑμας.

ηλθον τα θηρια, και κατεπατησαν τον αχχουχ. 2 *Par. xxv.* 18. *Vide Munthe in loc.* και το ἁγιασμα καταπατουμενον. 1 *Mac. iii.* 45. *Job. vi.* 3. *Aq.* ουκ εδεσθε, τῳ κυνι απορῥαψατε αυτο. *Exod. xxii.* 31. *Conf. Prov. ix.* 7. ου προσοισεις μισθωμα πορνης, ουδε αλλαγμα κυνος εις τον οικον Κυριου του Θεου σου, κ. τ. λ. *Deut. xxiii.* 18. *Prov. xxiii.* 9.

7 Αιτειτε, και δοθησεται ὑμιν· ζητειτε, και εὑρησετε· κρουετε, και ανοιγησεται ὑμιν.

αιτησαι παρ᾽ εμου, και δωσω. *Ps. ii.* 8. *Conf. Prov. xvii.* 28. εδωκε μοι Κυριος το αιτημα μου. 1 *Reg. i.* 27. ζητησουσι με κακοι, και ουχ εὑρησουσι. *Prov. i.* 28. *xvi.* 5. κρουει επι την θυραν. *Cant. v.* 2. ζητησατε τον Κυριον, και εν τῳ εὑρισκειν αυτον. *Esa. lv.* 6-8. *Conf. Apoc. iii.* 20. *Marc. xi.* 24. *Luc. xi.* 9. *Joan. xiv.* 13.

8 Πας γαρ ὁ αιτων λαμβανει, και ὁ ζητων εὑρισκει, και τῳ κρουοντι ανοιγησεται.

εγω τους εμε φιλουντας αγαπω, οἱ δε εμε ζητουντες εὑρησουσι.

Prov. viii. 17. και προσευξασθε προς με, και εισακουσομαι ὑμων· και εκζητησατε με και εὑρησετε με. *Jer. xxxvi.* 12, 13. *Conf. Jon. ii.* 2. *iii.* 8-10. *Luc. xxiii.* 42, 43. *Act. ix.* 11.

9 Η τις εστιν εξ ὑμων ανθρωπος, ὁν εαν αιτησῃ ὁ υἱος αυτου αρτον, μη λιθον επιδωσει αυτῳ;

Conf. Luc. xi. 11. αιτησομαι τον πατερα μου αγρον. *Jos. xv.* 18.

10 Και εαν ιχθυν αιτησῃ, μη οφιν επιδωσει αυτῳ;

μη επιλησεται γυνη του παιδιου αυτης, η του μη ελεησαι τα εκγονα της κοιλιας αυτης; κ. τ. λ. *Esa. xlix.* 15, 16.

11 Ει ουν ὑμεις, πονηροι οντες, οιδατε δοματα αγαθα διδοναι τοις τεκνοις ὑμων, ποσῳ μαλλον ὁ πατηρ ὑμων ὁ εν τοις ουρανοις δωσει αγαθα τοις αιτουσιν αυτον;

εδωκεν αυτοις ὁ πατηρ αυτων δοματα. 2 *Par. xxi.* 3. και ελαβεν—απο παντων των αγαθων. *Gen. xxiv.* 10. πιστευω του ιδειν τα αγαθα Κυριου. *Ps. xxvi.* 13. ποσῳ μαλλον; 2 *Reg. iv.* 11. *Sym. Conf. Luc. xi.* 13. *Heb. xii.* 10. *Esa. xlix.* 15. καθως οικτειρει πατηρ υἱους, ᾠκτειρησε Κυριος τους φοβουμενους αυτον. *Ps. cii.* 13.

12 Παντα ουν ὁσα αν θελητε ἱνα ποιωσιν ὑμιν οἱ ανθρωποι, οὑτω και ὑμεις ποιειτε αυτοις· οὑτος γαρ εστιν ὁ νομος και οἱ προφηται.

ὁ μισεις, μηδενι ποιησῃς. *Tob. iv.* 15. και αγαπησεις τον πλησιον σου ὡς σεαυτον. *Lev. xix.* 18. τι τουτο εποιησας ἡμιν; *Gen. xx.* 9. *Conf. Mich. vi.* 8. *Zach. vii.* 9, 10. *Mal. iii.* 5. *Rom. xiii.* 8-10. *Gal. v.* 14. *Luc. vi.* 31. *Tit. iii.* 2, 3. *Tob. iv.* 16. και γαρ τουτο εστι τηρησις εντολων. *Sir. xxxii.* 23. του νομου και των προφητων. *Prolog. Sir.*

13 Εισελθετε δια της στενης πυλης· ὁτι πλατεια ἡ πυλη, και ευρυχωρος ἡ ὁδος ἡ απαγουσα εις την απωλειαν, και πολλοι εισιν οἱ εισερχομενοι δι᾽ αυτης·

ανοιξατε μοι πυλας δικαιοσυνης—αὑτη ἡ πυλη του Κυριου. *Ps. cxvii.* 19, 20. στενα μοι παντοθεν. 2 *Reg. xxiv.* 14. *Susan.* 22. *Bar. iii.* 1. διωρυχες πλατεις και ευρυχωροι. *Esa. xxxiii.* 21. ἡμερα απωλειας. *Jer. xxvi.* 21. και εισελθε δια της πυλης. 2 *Par. xxiii* 20. φρεαρ στενον. *Prov. xxiii.* 27. στενος μοι ὁ τοπος. *Esa. xlix* 20. δια την των παντων των τοπων στενοτητα. 2 *Mac. xii.* 21 *Conf. Sir. xxi.* 10. *Luc. xiii.* 24. διοτι ου θελω τον θανατον του αποθνησκοντος, λεγει Κυριος. κ. τ. λ. *Ezech. xviii.*

14 Ὁτι στενη ἡ πυλη, και τεθλιμμενη ἡ ὁδος ἡ απαγουσα εις την ζωην, και ολιγοι εισιν οἱ εὑρισκοντες αυτην.

μη φοβου Ιακωβ, ολιγοστος Ισραηλ. *Esa. xli.* 14. τις απαξει με εις πολιν; *Ps. lix.* 9. ὁδους γαρ σοφιας διδαξω σε. *Prov. iv.* 11. *Conf. Marc. iii.* 9. ὁδος ἁμαρτωλων ὡμαλισμενη εκ λιθων, και επ' εσχατῳ αυτης βοθρος ᾁδου. *Sir. xxi.* 10. *Prov. xvi.* 25. ωλιγωθησαν αἱ αληθειαι απο των υἱων των ανθρωπων. *Ps. xi.* 1. ουκ εσῃ μετα πλειονων επι κακιᾳ, κ. τ. λ. *Exod. xxiii.* 2. εισιν ὁδοι δοκουσαι ειναι ορθαι ανδρι, τα μεντοι τελευταια αυτων βλεπει εις πυθμενα ᾁδου. *Prov. xvi.* 25. *Matt. vii.* 14. Ιδου εγω δεδωκα προ προσωπου ὑμων την ὁδον της ζωης και την ὁδον του θανατου. *Jer. xxi.* 8. [κατεφθειρε πασα σαρξ την του αιωνιου και αφθαρτου τηλειαν ὁδον προς τον Θεον αγουσαν. *Philo. Tom. i. pp.* 293, 294.]

15 Προσεχετε δε απο των ψευδοπροφητων, οἱτινες ερχονται προς ὑμας εν ενδυμασι προβατων, εσωθεν δε εισι λυκοι ἁρπαγες.

προσεχετε απο παντος αδικου. *Sir. xvii.* 14. οἱτινες. *Conf. Jon. iv.* 11. *Deut. v.* 26. και ὑμεις μη ακουετε των ψευδοπροφητων ὑμων. *Jer. xxxiv.* 9. λυκος ἁρπαξ. *Gen. xlix.* 27. *Conf. Mich. iii.* 5. 2 *Tim. iii.* 5. *Matt. xxiv.* 4, 5. *Marc. xiii.* 22. 3 *Reg. xix.* 13. 4 *Reg. i.* 18. και ενδυσονται δερρὶν τριχινην, ανθ' ὡν εψευσαντο. *Zach. xiii.* 4.

16 Απο των καρπων αυτων επιγνωσεσθε αυτους· μητι συλλεγουσιν απο ακανθων σταφυλην, η απο τριβολων συκα;

ουκ εστι σταφυλη εν ταις αμπελοις. *Jer. viii.* 13. δουναι ἑκαστῳ κατα—τους καρπους των επιτηδευματων αυτου. *Jer. xvii.* 10. *Mich. vii.* 13. ακανθας και τριβολους ανατελει σοι. *Gen. iii.* 18. *Conf.* 2 *Tim. iii.* 1. *etc.* 2 *Pet. ii. toto. Luc. vi.* 43, 44. *Jac. iii.* 12.

17 Οὑτω παν δενδρον αγαθον καρπους καλους ποιει· το δε σαπρον δενδρον καρπους πονηρους ποιει.

τα συκα τα πονηρα. *Jer. xxiv.* 8. ὡσπερ ξυλον σαπρον. *Job. xli.* 18. [σαπρον οἱ πολλοι αντι του αισχρον. *Phrynich.*] ξυλον αγαθον. 4 *Reg. iii.* 25. εμεινα του ποιησαι σταφυλην, εποισε δε ακανθας, κ. τ. λ. *Esa. v.* 2-7. *Conf. Luc. vi.* 43, 44. *Ps. i.* 3, 4. *Jer. xvii.* 8.

18 Ου δυναται δενδρον αγαθον καρπους πονηρους ποιειν, ουδε δενδρον σαπρον καρπους καλους ποιειν.

μητι ἡ πηγη εκ της αυτης οπης βρυει το γλυκυ και το πικρον; κ. τ. λ. *Jac. iii.* 11, 12.

19 Παν δενδρον μη ποιουν καρπον καλον, εκκοπτεται και εις πυρ βαλλεται.

ξυλον καρπιμον ποιουν καρπον. *Gen. i.* 11. *Jer. xii.* 2. εκκοψατε το δενδρον. *Dan. iv.* 11. *Conf. Esa. xxvii.* 11. *Ezech. xv.* 2. εκ καρπου δικαιοσυνης φυεται δενδρον ζωης. *Prov. xi.* 30. εργα δικαιων ζωην ποιει, καρποι δε ασεβων ἁμαρτιας. *x.* 16. *Conf. Joan. xv.* 2-6. *Luc. iii.* 9. *Heb. vi.* 8. *Jud. xii.*

20 Αραγε απο των καρπων αυτων επιγνωσεσθε αυτους.

αραγε. *Conf. Cap. xvii.* 26. γεωργιον ξυλου εκφαινει ὁ καρπος αυτου, κ. τ. λ. *Sir. xxvii.* 6. *Conf. Marc. iv.* 15-20. *Joan. xv.* 4-6.

21 Ου πας ὁ λεγων μοι, Κυριε, Κυριε, εισελευσεται εις την βασιλειαν των ουρανων· αλλ᾽ ὁ ποιων το θελημα του πατρος μου του εν ουρανοις.

αγαπων σε εποιησα το θελημα σου. *Esa. xlviii.* 14. Κυριος. 4 *Reg. iii.* 5. *Conf. Rom. ii.* 13. *Jac. i.* 22. *Luc. vi.* 46. εμε κεκραξονται, Ὁ Θεος εγνωκαμεν σε, κ. τ. λ. *Ose. viii.* 2, 3. εισελευσῃ εις την κιβωτον. *Gen. vi.* 18. ἡ βασιλεια των ουρανων. *Dan. ii.* 44. *vii.* 14.

22 Πολλοι ερουσι μοι εν εκεινῃ τῃ ἡμερᾳ, Κυριε, Κυριε, ου τῳ σῳ ονοματι προεφητευσαμεν, και τῳ σῳ ονοματι δαιμονια εξεβαλομεν, και τῳ σῳ ονοματι δυναμεις πολλας εποιησαμεν;

εισακουσον Κυριε, Κυριε ἱλασθητι. *Dan. ix.* 19. *Conf. Ose. viii.* 2. προφητευουσι τῳ ονοματι μου. *Jer. xxvii.* 15. [τα καλουμενα δαιμονια πονηρων εστιν ανθρωπων πνευματα τοις ζωσιν εισδυομενα. *Jos. Bell. Jud. vii.* 6. 3.] *Conf. Esa. xiii.* 21. *xxxiv.* 14. *Bar. iv.* 35. [οἱ γιγαντες—πνευματα πονηρα επι της γης εσονται, κ. τ. λ. *Lib. Henoch. p.* 195.]

23 Και τοτε ὁμολογησω αυτοις, ὁτι ουδεποτε εγνων ὑμας· αποχωρειτε απ᾽ εμου οἱ εργαζομενοι την ανομιαν.

ὁτι γινωσκει Κυριος ὁδον δικαιων. *Ps. i.* 6. *Sap. iv.* 1. ουτε ἁπλως Ιουδαιον ὁμολογειν ειναι. 2 *Mac. vi.* 6. αποστητε απ᾽ εμου παντες οἱ εργαζομενοι την ανομιαν. *Ps. vi.* 8. *Conf. Luc. xiii.* 26, 27. 1 *Cor. xiii.* 2. 2 *Tim. ii.* 19. *Job. xiii.* 26. *CITAT.* 17.

23-28] και—και. *Conf.* 1 *Reg. xv.* 3-10. *Esa. xi.* 12-16. *Ezech. v.* 1-6. *et passim.*

24 Πας ουν ὁστις ακουει μου τους λογους τουτους, και ποιει αυτους, ὁμοιωσω αυτον ανδρι φρονιμῳ, ὁστις ῳκοδομησε την οικιαν αὑτου επι την πετραν·

η τι ὁμοιωσω σοι θυγατερ Ἱερουσαλημ; *Thren. ii.* 13. ὁ οικοδομων οικιαν αυτου ου μετα δικαιοσυνης. *Jer. xxii.* 23. *Conf. Luc. vi.* 47. ιδου ἡ θεοσεβεια εστι σοφια, κ. τ. λ. *Job. xxviii.* 28. αρχη σοφιας

φοβος Κυριου. *Ps. cx.* 10. *εμβλεψατε εις την στερεαν πετραν, ἡν ελατομησατε, κ. τ. λ. Esa. li.* 1. *πας—ὁστις. Deut. i.* 39.

25 Και κατεβη ἡ βροχη, και ηλθον οἱ ποταμοι, και επνευσαν
οἱ ανεμοι, και προσεπεσον τῃ οικιᾳ εκεινῃ, και ουκ επεσε· τε-
θεμελιωτο γαρ επι την πετραν.

καταβησεται ὡς ὑετος. Ps. lxxi. 6. *Num. xi.* 9. *και τον οικον τον ἁγιον μου θεμελιωσω. Esa. xliv.* 28. *βροχην. Ps. civ.* 32. *πνευσεται νοτος. Sir. xliii.* 16. *πνευσει το πνευμα αυτου, και ῥυησεται ὑδατα. Ps. cxlvii.* 17. *και αυτος εθεμελιωσεν αυτην ὁ ὑψιστος. lxxxvi.* 5.

26 Και πας ὁ ακουων μου τους λογους τουτους, και μη ποιων
αυτους, ὁμοιωθησεται ανδρι μωρῳ, ὁστις ῳκοδομησε την οικιαν
αὑτου επι την αμμον·

εαν μη Κυριος *οικοδομησῃ οικον, εις ματην εκοπιασαν οἱ οικοδομουντες. Ps. cxxvi.* 1. *και ακουσονται τα ῥηματα σου, και ου μη ποιησουσιν αυτα, κ. τ. λ. Ezech. xxxiii.* 31, 32.

27 Και κατεβη ἡ βροχη, και ηλθον οἱ ποταμοι, και επνευσαν
οἱ ανεμοι, και προσεκοψαν τῃ οικιᾳ εκεινῃ, και επεσε· και ην
ἡ πτωσις αυτης μεγαλη.

ιδου Δαμασκος αρθησεται—και εσται εις πτωσιν. Esa. xvii. 1. *βροχην. Ps. lxvii.* 9. *μη με καταποντισατω καταιγις ὑδατος, κ. τ. λ. Ps. lxviii.* 15. *ανεμος Βορεας διαλυει βροχην. Prov. xxv.* 23. *Sym. προσκοψει το παιδιον προς την πρεσβυτην. Esa. iii.* 5. *Conf. Luc. vi.* 49.

28 Και εγενετο ὁτε συνετελεσεν ὁ Ιησους τους λογους τουτους,
εξεπλησσοντο οἱ οχλοι επι τῃ διδαχῃ αυτου·

και εγενετο ἡνικα συνετελεσε λαλων. Jud. xv. 17. *Alex. O. Ald. Comp. και συνετελεσε Μωυσης λαλων παντας τους λογους. Deut. xxxi.* 1. *Conf. Judith.* 10. 1. *δυναμει και ενεργειᾳ εκπλαγεντες. Sap. xiii.* 4. *Ald. Comp. εξεστη δε Ιοθορ επι πασι τοις αγαθοις. Exod. xviii.* 9. *Conf. Marc. i.* 22. *Luc. iv.* 32. *εξεχυθη χαρις εν χειλεσι σου. Ps. xliv.* 2. [*διδαχη αντι του διδασκαλια. Suid.*]

29 Ην γαρ διδασκων αυτους ὡς εξουσιαν εχων, και ουχ ὡς οἱ
Γραμματεις.

και ουχ ἑξει εξουσιαν. 1 *Mac. x.* 35. *και εσομαι εναντιον αυτου ὡς καταφρονων. Gen. xxvii.* 12. *ἡ εξουσια αυτου, εξουσια αιωνιος. Dan. vii.* 14, 27. Κυριος, Κυριος, *διδωσι μοι γλωσσαν παιδειας, κ. τ. λ. Esa. l.* 4, 5. Ιδου *οἱ λογοι μου ὡσπερ πυρ, λεγει* Κυριος, *και ὡς πελυξ κοπτων πετραν, κ. τ. λ. Jer. xxiii.* 29. *Conf. Mich. iii.* 8. *εις ματην εγενηθη σχοινος ψευδης γραμματευσι. Jer. viii.* 8.

ΚΕΦ. η. 8.

ΚΑΤΑΒΑΝΤΙ δε αυτῳ απο του ορους, ηκολουθησαν αυτῳ οχλοι πολλοι·

καταβαινοντος δε αυτου απο του ορους. *Exod. xxxiv.* 20. *Alex. Ald.* και στησονται οἱ ποδες αυτου εν τῃ ἡμερᾳ εκεινῃ επι ορος των ελαιων, κ. τ. λ. *Zach. xiv.* 4.

2 Και ιδου, λεπρος ελθων προσεκυνει αυτῳ λεγων, Κυριε, εαν θελῃς, δυνασαι με καθαρισαι.

και ιδου το πτερυγιον της διπλοϊδος σου. 1 *Reg. xxiv.* 12. και καθαριει ὁ ἱερευς την ἁφην. *Lev. xiii.* 17. *xv.* 27. *Conf. Marc. i.* 40. *Luc. v.* 12. ανθρωπος λεπρος εστι· μιανσει μιανει αυτον ὁ ἱερευς, κ. τ. λ. *Lev. xiii.* 44. [*de Lepros. Jos. Ant. iii.* 11. 4. *ix.* 4. 5.]

3 Και εκτεινας την χειρα, ἡψατο αυτου ὁ Ιησους λεγων, Θελω, καθαρισθητι. και ευθεως εκαθαρισθη αυτου ἡ λεπρα.

και εκτεινας την χειρα, ελαβεν αυτην. *Gen. viii.* 9. ακαθαρτος εστι. λεπρα εστι. *Lev. xiii.* 15. και περιρῤανει επι τον καθαρισθεντα απο της λεπρας, κ. τ. λ. *Jer. xiv.* 7. *Conf. Luc. v.* 12-14. *Marc. i.* 41, 42. ὁτι αυτος ειπε και εγενηθησαν, αυτος ενετειλατο και εκτισθησαν. *Ps. xxxii.* 9. ιδου τις αγγελος ἡψατο αυτου. 3 *Reg. xix.* 5, 7. και ἡψατο του στοματος μου. *Esa. vi.* 7. *Jer. i.* 9. *Dan. viii.* 18. *ix.* 21. *x.* 10. ῥυσεται με, ὁτι ηθελησε με. *Ps. xvii.* 19.

4 Και λεγει αυτῳ ὁ Ιησους, Ὁρα μηδενι ειπῃς· αλλα ὑπαγε, σεαυτον δειξον τῳ ἱερει, και προσενεγκε το δωρον ὁ προσεταξε Μωσης, εις μαρτυριον αυτοις.

οὑτος εσται εν ὑμιν εις μαρτυριον. *Jos. xxiv.* 27. ὁρα, ποιησας κατα τον τυπον. *Exod. xxv.* 40. ὁ ου προσεταξε Κυριος αυτοις. *Lev. x.* 1. *Conf. Lev. iv.* 10-14. *iii.* 10-12. *Marc. i.* 43, 44. *Luc. v.* 14. ὑπαγε. *Apoc. x.* 8. *xvi.* 1.

5 Εισελθοντι δε τῳ Ιησου εις Καπερναουμ, προσηλθεν αυτῳ ἑκατονταρχος παρακαλων αυτον,

ἑκατονταρχος. *Conf. Exod. xviii.* 21. παρεκαλει και ῃτειτο την βασιλισσαν. *Est. vii.* 7. *Ald. Comp. Luc. vii.* 1, 2. [Καπερναουμ, *vel* Καφαρναουμ. *Conf. Jos. Bell. Jud. iii.* 10. 8.]

6 Και λεγων, Κυριε, ὁ παις μου βεβληται εν τῃ οικιᾳ παραλυτικος, δεινως βασανιζομενος.

θαμβουμενοι δεινως. *Sap. xiii.* 3. δεινως εξεταραξαν. *xviii.* 17. δια των ιδιων εβασανισας βδελυγματων. *Sap. xii.* 23. 2 *Mac. vii.*

13. *και ειπεν Ἀβρααμ τοις παισιν αυτου. Gen. xxiii. 5. Conf. ει δε και εφαυλισα κριμα θεραποντος μου η θεραπαινης, κ. τ. λ. Job. xxxi. 13. βεβλημενην επι της κλινης. Marc. vii. 30.*

7 Και λεγει αυτῳ ὁ Ιησους, Εγω ελθων θεραπευσω αυτον.

αναξω το ιαμα σου, απο πληγης αδυνηρας ιατρευσω σε. Jer. xxxvii. 17. ιασομαι τας κατοικιας αυτων, αγαπησω αυτους ὁμολογως. Ose. xiv. 5. την γυναικα μου εθεραπευσε. Tob. xii. 3.

8 Και αποκριθεις ὁ ἑκατονταρχος εφη, Κυριε, ουκ ειμι ἱκανος
ἱνα μου ὑπο την στεγην εισελθῃς· αλλα μονον ειπε λογον, και
ιαθησεται ὁ παις μου.

ουχ ἱκανος ειμι. Exod. iv. 10. οὑ ἑινεκεν εισηλθον ὑπο την στεγην των δοκων μου. Gen. xix. 8. Alex. et. Ald. και ειπεν ὁ Θεος, Γενεθητω φως, και εγενετο φως. Gen. i. 3. Conf. Luc. xv. 19-21. Gen. xxxii. 10. και λαλησατε προς την πετραν εναντιον αυτων, και δωσει τα ὑδατα, κ. τ. λ. Num. xx. 8. αυτος ειπε και εγενηθησαν, κ. τ. λ. Ps. xxxii. 9. απεστειλε τον λογον αυτου, και ιασατο αυτους, κ. τ. λ. cvi. 20. [ἑκατονταρχος. Jos. Ant. ix. 7. 2.]

9 Και γαρ εγω ανθρωπος ειμι ὑπο εξουσιαν, εχων ὑπ᾽ εμαυ-
τον στρατιωτας· και λεγω τουτῳ, Πορευθητι, και πορευεται·
και αλλῳ, Ερχου, και ερχεται· και τῳ δουλῳ μου, Ποιησον
τουτο, και ποιει.

εγω ειμι εν γαστρι εχω. 2 Reg. xi. 5. πασι τοις ὑπ᾽ αυτον. 1 Esd. iii. 1. και οὑτοι ὑπο σε εισι. Deut. xxxiii. 3. Esa. iii. 6. τους επ᾽ εξουσιων. Dan. iii. 2. εν χειρι Κυριου εξουσια της γης. Sir. x. 4. καλεσεις δε νεφος φωνῃ, και τρομῳ ὑδατος λαβρου ὑπακουσεται σου; Job. xxxviii. 34. λαλει, ὁτι ακουει ὁ δουλος σου. 1 Reg. iii. 9.

10 Ακουσας δε ὁ Ιησους εθαυμασε, και ειπε τοις ακολουθουσιν,
Αμην λεγω ὑμιν, ουδε εν τῳ Ισραηλ τοσαυτην πιστιν εὑρον.

11 Λεγω δε ὑμιν, ὁτι πολλοι απο ανατολων και δυσμων ἡξ-
ουσι, και ανακλιθησονται μετα Αβρααμ, και Ισαακ, και
Ιακωβ εν τῃ βασιλειᾳ των ουρανων.

και φοβηθησονται οἱ απο δυσμων το ονομα Κυριου, και οἱ απ᾽ ανατολων ἡλιου το ονομα το ενδοξον. Esa. lix. 19. απο ανατολων ἑως δυσμων. 1 Par. xii. 15. προς σε εθνη ἡξουσιν απ᾽ εσχατου της γης. Jer. xvi. 19. ἡξουσι λαοι πολλοι και εθνη πολλα, κ. τ. λ. Zach. viii. 22. ἁγιασθητε και ευφρανθητε (al. ανακλιθητε) μετ᾽ εμου σημερον. 1 Reg. xvi. 5. Esa. xiii. 5. l. 10. Gen. xxviii. 14. Mal. i. 11. Luc. xiii. 28. xxii. 30. Rom. xv. 9. Ephes. iii. 6. Sap. x. 10.

Ιδου ερχονται οἱ υἱοι σου οὓς εξαπεστειλας, ερχονται συνηγμενοι απο ανατολων ἑως δυσμων, τῳ ῥηματι του ἁγιου, χαιροντες τῃ του Θεου δοξῃ. *Bar. iv.* 37. *v.* 5-9.

12 Οἱ δε υἱοι της βασιλειας εκβληθησονται εις το σκοτος το
εξωτερον· εκει εσται ὁ κλαυθμος και ὁ βρυγμος των οδοντων.

—υἱοι Σιων. *Ps. cxlix.* 2. *Esd. ii.* 1. εκεινῳ δε το ανταποδομα απεδοθη, και αυτος κατεβη εις το σκοτος. *Tob. xiv.* 10. *Sap. xvii.* 18. [οικος σκοτους. *Test. XII Patr. p.* 710. εις το σκοτος, *in carcerem. Lib. Henoch. p.* 191.] εις γην σκοτους αιωνιου, οὗ ουκ εστι φεγγος. *Job. x.* 22. τους οδοντας αυτου βρυξει, και τακησεται. *Ps. cxi.* 10. *Conf. Luc. xiii.* 28. *Matt. iii.* 10. *Rom. ix.* 4. 2 *Pet. ii.* 17. ιδου οἱ δουλευοντες μοι αγαλλιασονται εν ευφροσυνῃ, ὑμεις δε κεκραξεσθε, κ. τ. λ. *Esa. lxv.* 14. *Conf. Jer. xxxi.* 16-24. εξ ᾁδου κατωτατου. *Ps. lxxxv.* 13. [τουτων μεν ᾁδης δεχεται τας ψυχας σκοτιωτερος. *Jos. Bell. Jud. iii.* 7. 5.]

13 Και ειπεν ὁ Ιησους τῳ ἑκατονταρχῳ, Ὑπαγε, και ὡς
επιστευσας γενηθητω σοι. και ιαθη ὁ παις αυτου εν τῃ ὡρᾳ
εκεινῃ.

πορευου. 1 *Reg. xvii.* 37. βαδιζε. 2 *Reg. xiv.* 8. ὑπαγε ὑγιαινων. *Tob. xii.* 5. εν αυτῃ τῃ ὡρᾳ. *Dan. v.* 5. *Conf. Marc. ix.* 23. πιστευω του ιδειν τα αγαθα Κυριου εν γῃ ζωντων. *Ps. xxvi.* 13. εγενηθη κατα το ῥημα. *Gen. xliv.* 2.

14 Και ελθων ὁ Ιησους εις την οικιαν Πετρου, ειδε την πενθεραν
αυτου βεβλημενην και πυρεσσουσαν,

και ειδεν ἡ πενθερα αυτης. *Ruth. ii.* 18. *Conf. Luc. iv.* 38.

15 Και ἡψατο της χειρος αυτης, και αφηκεν αυτην ὁ πυρετος·
και ηγερθη, και διηκονει αυτοις.

και επορευθη και ἡψατο των οστεων Ἐλισαιε, και εζησε, και ανεστη επι τους ποδας αυτου. 4 *Reg. xiii.* 21. ὁλην την κοιτην αυτου εστρεψας εν τῃ αρῥωστιᾳ αυτου. *Ps. xl.* 3.

16 Οψιας δε γενομενης προσηνεγκαν αυτῳ δαιμονιζομενους
πολλους· και εξεβαλε τα πνευματα λογῳ, και παντας τους
κακως εχοντας εθεραπευσεν·

ὡς δε οψια εγενετο. *Judith. xiii.* 1. το πρωῒ εγενηθη. *Exod. x.* 13. και αφιστατο απ' αυτου το πνευμα το πονηρον. 1 *Reg. xvi.* 23. και το κακως εχον ουκ εσωματοποιησατε. *Ezech. xxxiv.* 4. *Conf. Marc. i.* 32. *Luc. iv.* 40. [δαιμονιζομενους. *Jos. Ant. vi.* 8. 2. *viii.* 2. 5.]

17 Ὁπως πληρωθῃ το ῥηθεν δια Ησαϊου του προφητου, λεγοντος, Αυτος τας ασθενειας ἡμων ελαβε, και τας νοσους εβαστασεν.

Ιησους εν τῳ πληρωσαι λογον, εγενετο κριτης εν Ισραηλ. 1 *Mac. ii.* 55. οὑτος τας ἁμαρτιας ἡμων φερει, και περι ἡμων οδυναται. *Esa. liii.* 4. επιδοτε ἡμιν ὁπως πιωμεν. *Amos. iv.* 1. ουτως τας ἁμαρτιας ἡμων ανελαβε. *Esa. liii.* 4. *Sym. Conf.* 1 *Pet. ii.* 24. και τους πονους ὑπεμεινε. *Sym. CITAT.* 18.

18 Ιδων δε ὁ Ιησους πολλους οχλους περι αὑτον, εκελευσεν απελθειν εις το περαν.

εις το περαν. *Num. xxi.* 13. απελευσεσθε εις την ὁδον ὑμων. *Gen. xix.* 2.

19 Και προσελθων εἱς Γραμματευς ειπεν αυτῳ, Διδασκαλε, ακολουθησω σοι, ὁπου εαν απερχῃ.

ὁτι συ ὁπου εαν πορευθῃς, πορευσομαι· και οὑ εαν αυλισθῃς, αυλισθησομαι. *Ruth. i.* 16. *Conf. Luc. ix.* 57. εφ' ἑν των ορεων ὡν αν σοι ειπω. *Gen. xxii.* 2. αποστειλατε εξ ὑμων ἑνα. *Gen. xlii.* 16. [διδασκαλος ανθρωπων των ἡδονῃ τ'αληθη δεχομενων. *Jos. de Christ. Ant. xviii.* 3. 3.]

20 Και λεγει αυτῳ ὁ Ιησους, Αἱ αλωπεκες φωλεους εχουσι, και τα πετεινα του ουρανου κατασκηνωσεις· ὁ δε υἱος του ανθρωπου ουκ εχει, που την κεφαλην κλινῃ.

και παντα τα πετεινα του ουρανου. *Gen. ii.* 19. υἱος ανθρωπου. *Dan. vii.* 13. ουκ ετι ειχον που φυγωσι. *Jos. viii.* 20. ὑπομονη Ισραηλ, Κυριε, και σωζεις εν καιρῳ κακων· ἱνατι εγενηθης ὡσει παροικος επι της γης, και ὡς αυτοχθων εκκλινων εις καταλυμα; *Jer. xiv.* 8. και γαρ στρουθιον εὑρεν ἑαυτῳ οικιαν, και τρυγων νοσσιαν ἑαυτῃ, κ. τ. λ. *Ps. lxxxiii.* 3. ουκ εστιν ειδος αυτῳ, ουδε δοξα, κ. τ. λ. *Esa. liii.* 2. Εγω δε πτωχος και πενης ειμι, κ. τ. λ. *Ps. xxxix.* 17. [δρακων μεγας του φωλεου εξελθων. *Act. Thom. c. xxxi.*] [φωλεον· οὑ τα θηρια κοιμαται. *Hesych.*]

21 Ἑτερος δε των μαθητων αυτου ειπεν αυτῳ, Κυριε, επιτρεψον μοι πρωτον απελθειν και θαψαι τον πατερα μου.

ὁ λεγων τῳ πατρι και τῃ μητρι, Ουχ ἑωρακα σε, κ. τ. λ. *Deut. xxxiii.* 9. και ουκ ην ὁ θαπτων. *Ps. lxxviii.* 3.

22 Ὁ δε Ιησους ειπεν αυτῳ, Ακολουθει μοι, και αφες τους νεκρους θαψαι τους ἑαυτων νεκρους.

ουχ οἱ νεκροι αινεσουσι σε, Κυριε, ουδε παντες οἱ καταβαινοντες εις ᾁδου. *Ps. cxiv.* 17. ὁτι τις ὁς κοινωνει προς παντας τους ζων-

τας;—ὁ κυων ὁ ζων αυτος αγαθος ὑπερ τον λεοντα τον νεκρον. Eccles. ix. 4. *καταφιλησω τον πατερα μου, και ακολουθησω οπισω σου. και ειπεν Ηλιου, Αναστρεφε, ὁτι πεποιηκα σοι.* 3 *Reg. xix.* 20. *Sir. xxii.* 11. *et Grot. Conf. Ephes. ii.* 1. *Luc. ix.* 59, 60.

23 Και εμβαντι αυτῳ εις το πλοιον, ηκολουθησαν αυτῳ οἱ μαθηται αυτου.

Conf. Marc. iv. 35. *Luc. viii.* 22. *εμβας εις πλοιον.* 1 *Mac. xv.* 37.

24 Και ιδου, σεισμος μεγας εγενετο εν τῃ θαλασσῃ, ὡστε το πλοιον καλυπτεσθαι ὑπο των κυματων· αυτος δε εκαθευδε.

πληγεντες ὑπο Κυριου. *Exod. xvi.* 3. *ὡστε φαινειν επι της γης. Gen. i.* 15. *Luc. viii.* 23. *και* Κυριος *εξηγειρε πνευμα επι την θαλασσαν, και εγενετο κλυδων μεγας εν τῃ θαλασσῃ, και το πλοιον εκινδυνευε, κ. τ. λ. Jon. i.* 4, 5. *ιδου σεισμος παρα* Κυριου. *Jer. xxiii.* 19.

25 Και προσελθοντες οἱ μαθηται αυτου ηγειραν αυτον, λεγοντες, Κυριε, σωσον ἡμας, απολλυμεθα.

αναστα Κυριε, *σωσον με ὁ* Θεος *μου. Ps. iii.* 7. *vii.* 3. *xxi.* 8. *Jer. ii.* 27. *αναστα, και επικαλου τον* Θεον *σου, ὁπως διασωσῃ ὁ* Θεος *ἡμας, και ου μη απολωμεθα. Jon. i.* 6.

26 Και λεγει αυτοις, Τι δειλοι εστε, ολιγοπιστοι; Τοτε εγερθεις επετιμησε τοις ανεμοις και τῃ θαλασσῃ, και εγενετο γαληνη μεγαλη.

ουαι καρδιαις δειλαις—ὁτι ου πιστευει. Sir. ii. 12. *επετιμησε τῃ ερυθρᾳ θαλασσῃ. Ps. cv.* 9. *στησαντος αυτου την καταιγιδα εις γαληνην. Ps. cvi.* 29. *Sym. επεταξε τῃ καταιγιδι, και εστη εις αυραν, και εσιγησαν τα κυματα αυτης. Ibid. lxx.* [*ολιγοπιστος. Act. Thom. c.* 28.]

27 Οἱ δε ανθρωποι εθαυμασαν λεγοντες, Ποταπος εστιν οὑτος, ὁτι και οἱ ανεμοι και ἡ θαλασσα ὑπακουουσιν αυτῳ;

αυτοι ιδοντες οὑτως εθαυμασαν. Ps. xlvii. 5. *lxv.* 7. *lxxxix.* 9. *cvii.* 24-29. *Job. xxxviii.* 34, 35, *etc. Conf. Luc. viii.* 25. [*ποταποι τινες εισι; Jos. c. Apion. i.* 28.] *πυρ, χαλαζα, χιων, κρυσταλλος, πνευμα καταιγιδος, τα ποιουντα τον λογον αυτου. Ps. cxlviii.* 8. *συ δεσποζεις του κρατους της θαλασσης, τον δε σαλον των κυματων αυτης συ καταπραϋνεις. lxxxviii.* 9.

28 Και ελθοντι αυτῳ εις το περαν εις την χωραν των Γεργεσηνων, ὑπηντησαν αυτῳ δυο δαιμονιζομενοι εκ των μνημειων

εξερχομενοι, χαλεποι λιαν, ὡστε μη ισχυειν τινα παρελθειν
δια της ὁδου εκεινης·

και διεβη—εις το περαν. 1 Reg. xxvi. 13. και ξενον λαον και χαλεπον (ferocem). Esa. xviii. 2. και συναντησουσι δαιμονια. xxxiv. 14. Conf. Marc. v. 12, etc. Luc. viii. 26. και δαιμονια εκει ορχησονται. Esa. xiii. 13, 21, 22. τον Γεργεσαιον. Gen. x. 16. xv. 21. Deut. vii. 1. (de Gergas. Jos. Bell. Jud. iv. 9. 1. Ant. i. 6. 2.) την χωραν των Φοινικων. Jos. v. 12.

29 Και ιδου, εκραξαν, λεγοντες, Τι ἡμιν και σοι, Ιησου υἱε
του Θεου; ηλθες ὡδε προ καιρου βασανισαι ἡμας;

και προ καιρου γηρας αγει μεριμνα. Sir. xxx. 24. δια των ιδιων εβασανισας βδελυγματων. Sap. xii. 23. τι εμοι και ὑμιν; 2 Reg. xvi. 10. 3 Reg. xvii. 18. Jos. xxii. 24. τι εμοι και σοι; 2 Par. xxxv. 21. Joel. iii. 4. Conf. Joan. ii. 4. 2 Pet. ii. 4. Tob. iii. 8, 9. 3 Reg. xvii. 18. αυτος σου τηρησει κεφαλην. Gen. iii. 15.

30 Ην δε μακραν απ' αυτων αγελη χοιρων πολλων βοσκομενη.

μακραν απο σου εσμεν. Jos. ix. 22. xviii. 7, 28. χοιρος. Ps. lxxix. 14. alii. Conf. Lev. xi. 7. Deut. xiv. 8. οἱ εσθοντες κρεας ὑειον. Esa. lxv. 4. lxvi. 3.

31 Οἱ δε δαιμονες παρεκαλουν αυτον λεγοντες, Ει εκβαλλεις
ἡμας, επιτρεψον ἡμιν απελθειν εις την αγελην των χοιρων.

και επετρεψεν οὑτως γενεσθαι. Est. ix. 14. Conf. 3 Reg. xxii. 21–24. Job. i. 10–12. ii. 3–6. παρεκαλουν. Conf. sup. 5. προβατον εκ της αγελης. 1 Reg. xvii. 34.

32 Και ειπεν αυτοις, Ὑπαγετε. Οἱ δε εξελθοντες απηλθον εις
την αγελην των χοιρων· και ιδου, ὡρμησε πασα ἡ αγελη των
χοιρων κατα του κρημνου εις την θαλασσαν, και απεθανον εν
τοις ὑδασιν.

αγελαι των αιγων. Cant. iv. 1.—καμηλων. Esa. lx. 6. αποθανειν εν τῃ ερημῳ. Exod. xiv. 12. ὡς αετος ὁρμησει και εκπετασει χειρας. Jer. xxxi. 40. Ald. κατα του τειχους εκρημνισαν. 2 Mac. vi. 10. απεθανον. Conf. Gen. vii. 21, 22.

33 Οἱ δε βοσκοντες εφυγον, και απελθοντες εις την πολιν,
απηγγειλαν παντα, και τα των δαιμονιζομενων.

απηγγειλαν—παντα τα συμβεβηκοτα. 1 Mac. iv. 26.

34 Και ιδου, πασα ἡ πολις εξηλθεν εις συναντησιν τῳ Ιησου·
και ιδοντες αυτον, παρεκαλεσαν ὁπως μεταβῃ απο των ὁριων
αυτων.

και εξηλθεν Εδωμ εις συναντησιν αυτῳ. *Num.* xx. 20. 2 *Par.* xiv. 10. εδραμεν εις συναντησιν αυτῳ. *Gen.* xxix. 13. παρελθειν δια των ὁριων αυτου. *Num.* xxi. 23. *Conf.* 1 *Reg.* xvi. 4, 5. 3 *Reg.* xviii. 17. αλλα το ειδος αυτου ατιμον, και εκλειπον παρα τους υἱους των ανθρωπων, κ. τ. λ. *Esa.* liii. 3. εις τα ιδια ηλθε, και οἱ ιδιοι αυτον ου παρελαβον. *Joan.* i. 11. ὁπως. *Conf.* *Jon.* i. 6. λεγει δε Κυριῳ, Αποστα απ᾽ εμου, ὁδους σου ειδεναι ου βουλομαι. *Job.* xxi. 14. June 12. 1851.

ΚΕΦ. θ. 9.

ΚΑΙ εμβας εις το πλοιον διεπερασε και ηλθεν εις την ιδιαν πολιν.

εμβας εις πλοιον. 1 *Mac.* xv. 27. διεπερασε τον Ευφρατην ποταμον. iii. 37. εκ της ιδιας χωρας. *Job.* ii. 11. εις την πολιν αυτου. 1 *Reg.* viii. 22. *Conf.* *Marc.* ii. 1. *Luc.* v. 18.

2 Και ιδου, προσεφερον αυτῳ παραλυτικον επι κλινης βεβλημενον· και ιδων ὁ Ιησους την πιστιν αυτων, ειπε τῳ παραλυτικῳ, Θαρσει, τεκνον, αφεωνται σοι αἱ ἁμαρτιαι σου.

οικτιρμων και ελεημων ὁ Κυριος, και αφιησιν ἁμαρτιας. *Sir.* ii. 11. *Esa.* xliii. 25. του ιδειν σοφιαν. *Eccles.* ii. 12. και συ ὁ Θεος αφιων ἁμαρτιας. *Neh.* ix. 17. δευτε τεκνα. *Ps.* xxxiii. 11. χαιρε σφοδρα, θυγατερ Σιων. *Zach.* ix. 9. *Joan.* xii. 15. θαρσει. *Gen.* xxxv. 17. *Exod.* xiv. 13. θαρσει τεκνον, ὁ Κυριος του ουρανου—δῳη σοι χαριν αντι της λυπης. *Tob.* vii. 18. *Conf.* *Ps.* xxxvi. 9. *Luc.* v. 18. *Deut.* xxviii. 15. 1 *Cor.* xi. 30. μακαριοι ὡν αφεθησαν αἱ ανομιαι, και ὡν επεκαλυφθησαν αἱ ἁμαρτιαι. *Ps.* xxxi. 1, 2. *Esa.* xl. 1, 2. xliv. 22.

3 Και ιδου, τινες των Γραμματεων ειπον εν ἑαυτοις, Οὑτος βλασφημει.

ειπε δε εν ἑαυτῳ. *Est.* vi. 6. *Tob.* iv. 2. *Conf.* *Esa.* xliii. 25. xliv. 22. *Job.* xiv. 4. *Luc.* v. 21. εβλασφημησε. *Draco.* 9.

4 Και ιδων ὁ Ιησους τας ενθυμησεις αυτων, ειπεν, Ἱνα τι ὑμεις ενθυμεισθε πονηρα εν ταις καρδιαις ὑμων;

και ενεθυμηθη Δανιηλ εν τῃ καρδιᾳ. *Dan.* i. 8. *LXX.* και πονηρος ενθυμηθησεται σαρκα και αἱμα. *Sir.* xvii. 31. ανταπεδιδοσαν μοι πονηρα αντι αγαθων. *Ps.* xxxiv. 12. μη γενηται ῥημα κρυπτον εν τῃ καρδιᾳ σου. *Deut.* xv. 9. *Ps.* xxvii. 4. και ην ὁ λαος γογγυζων πονηρα. *Num.* xi. 1. ελογισαντο αδικιας εν καρδιᾳ. *Ps.* cxxxix. 2.

χειλη δολια καρδιαν καλυπτει πονηραν. Prov. xxvi. 23. *Conf.* 2 *Chron. vi.* 30. *Marc. vi.* 15. *Luc. vi.* 8. *Joan. vi.* 61, 64. *Ezech. xxxviii.* 10. *ουχι ὁ Θεος εκζητησει ταυτα; αυτος γαρ γινωσκει τα κρυφια της καρδιας. Ps. xliii.* 21. *cxxxviii.* 2.

5 Τι *γαρ εστιν ευκοπωτερον, ειπειν,* Αφεωνται *σοι αἱ ἁμαρτιαι· η ειπειν,* Εγειραι *και περιπατει;*

ευκοπον εστι. 1 *Mac. iii.* 18. *και αφες πασας τας ἁμαρτιας μου. Ps. xxiv.* 18. *ηγειρε με επι τα γονατα μου. Dan. x.* 10. *Conf. Marc. ii.* 9. *Luc. v.* 23. *εξεγειρου, εξεγειρου. Jud. v.* 12.

6 Ἱνα *δε ειδητε, ὁτι εξουσιαν εχει ὁ υἱος του ανθρωπου επι της γης αφιεναι ἁμαρτιας,* (*τοτε λεγει τῳ παραλυτικῳ,*) Εγερθεις *αρον σου την κλινην, και ὑπαγε εις τον οικον σου.*

εγω ειμι, εγω ειμι, ὁ εξαλειφων τας ανομιας σου ἑνεκεν εμου, και τας ἁμαρτιας σου, κ. τ. λ. Esa. xliii. 25. *εν χειρι* Κυριου *ἡ εξουσια της γης. Sir. x.* 4. *ὁς εχει εξουσιαν του φονευειν. ix.* 13. *Dan. iv.* 31. *Conf. Luc. v.* 20. *ἑκαστος εις τον οικον αυτου εν ειρηνῃ αναστρεφετω.* 3 *Reg. xxii.* 17. *βαδιζε εις ειρηνην.* 2 *Reg. xv.* 9. *πορευου εις ειρηνην.* 1 *Reg. i.* 17. *και ὑπαγε ὑγιαινων. Tob. xii.* 5. *του μη αιρειν βασταγματα. Jer. xvii.* 27. *Conf. Joan. v.* 8. 3 *Reg. xvii.* 22, 23. *εν χειρι αυτου ψυχη παντων ζωντων και πνευμα παντος ανθρωπου. Job. xii.* 10.

7 Και *εγερθεις απηλθεν εις τον οικον αὑτου.*

και ανεστη και απηλθεν εις τον οικον αυτου. 2 *Reg. xvii.* 23.

8 Ιδοντες *δε οἱ οχλοι εθαυμασαν, και εδοξασαν τον* Θεον, *τον δοντα εξουσιαν τοιαυτην τοις ανθρωποις.*

αυτοι ιδοντες οὑτως, εθαυμασαν. Ps. xlvii. 5. *εδοξασα, ὁτι ἡ εξουσια αυτου εξουσια αιωνιος. Dan. iv.* 31. *εξελουμαι αυτον, και δοξασω αυτον. Ps. xc.* 15.

9 Και *παραγων ὁ* Ιησους *εκειθεν, ειδεν ανθρωπον καθημενον επι το τελωνιον,* Ματθαιον *λεγομενον, και λεγει αυτῳ,* Ακολουθει *μοι· και αναστας ηκολουθησεν αυτῳ.*

ειδεν ανθρωπον, (vidit aliquem). ὁρᾳ ανθρωπον Αιγυπτιον. *Exod. ii.* 11. *και παρηγαγεν* Ιεσσαι *τον* Σαμα. 1 *Reg. xvi.* 9, 10. *αναστας ακολουθησον αυτοις. Num. xxii.* 20. *και ανεστη και επορευθη οπισω* Ηλιου, *και ελειτουργει αυτῳ.* 3 *Reg. xix.* 21. *Deut. xvii.* 18. *Conf. Marc. ii.* 14. *Luc. v.* 27.

10 Και *εγενετο αυτου ανακειμενου εν τῃ οικιᾳ, και ιδου, πολ-*

λοι τελωναι και ἁμαρτωλοι ελθοντες συνανεκειντο τῳ Ιησου και τοις μαθηταις αυτου.

και εγενετο—και. *Gen. xxiv.* 30. αυτος ανακειται, εσθιει, και πινει. 3 *Esd. iv.* 10. *Conf.* 1 *Tim. i.* 13-16.

11 Και ιδοντες οἱ Φαρισαιοι ειπον τοις μαθηταις αυτου, Διατι μετα των τελωνων και ἁμαρτωλων εσθιει ὁ διδασκαλος ὑμων;

Conf. Matt. iii. 7. *Luc. v.* 30. *xv.* 2. *Joan. iv.* 9. *Act. x.* 28. 1 *Cor. v.* 11. ὑπερηφανῳ οφθαλμῳ, και απληστῳ καρδιᾳ, τουτῳ ου συνησθιον. *Ps. c.* 5. *Conf. Dan. i.* 8. *Gen. xliii.* 32.

12 Ὁ δε Ιησους ακουσας ειπεν αυτοις, Ου χρειαν εχουσιν οἱ ισχυοντες ιατρου, αλλ᾽ οἱ κακως εχοντες.

ιδου εγω αναγω αυτῃ συνουλωσιν και ιαμα, και φανερωσω αυτοις, και ιατρευσω αυτην, και ποιησω και ειρηνην και πιστιν. *Jer. xl.* 6. και μη ῥητινη ουκ εστιν εν Γαλααδ, η ιατρος ουκ εστιν εκει; *viii.* 22. *Conf. Ps. cxlvi.* 3. ου γαρ χρειαν εχει ανδρος ἁμαρτωλου. *Sir. xv.* 12. και το κακως εχον ουκ εσωματοποιησατε. *Ezech. xxxiv.* 4. 16. ὑγιης και ισχυων τῃ ἑξει. *Sir. xxx.* 14. *Jos. xiv.* 11.

13 Πορευθεντες δε μαθετε τι εστιν, Ελεον θελω, και ου θυσιαν· ου γαρ ηλθον καλεσαι δικαιους, αλλ᾽ ἁμαρτωλους εις μετανοιαν.

και πορευθεντες λατρευσητε θεοις ἑτεροις. *Jos. xxiii.* 16. 2 *Reg. iii.* 1. 3 *Reg. ix.* 6. ελεος θελω η θυσιαν. *Ose. vi.* 7. εις καταρασιν εχθρων μου κεκληκα σε. *Num. xxiii.* 11. και παρορας ἁμαρτηματα ανθρωπων εις μετανοιαν. *Sap. xi.* 23. ερχονται—φονευσαι σε. *Neh. vi.* 10. ηλθον—αγοραζειν. *Gen. xlii.* 5. *Conf. Matt. xii.* 7. 1 *Tim. i.* 15. *Mich. vi.* 6-8. *Sir. xxxii.* 1-3. απολιπετω ὁ ασεβης τας ὁδους αυτου, και ανηρ ανομος τας βουλας αυτου, και επιστραφητω επι Κυριον, κ. τ. λ. *Esa. lv.* 7. και ιδον σε πεφυρμενην εν τῳ αἱματι σου. *Ezech. xvi.* 6, 22. [και τινι αφησει ἁμαρτιας, ει μη τοις ἡμαρτηκοσι; *Psalt. Salom. p.* 946.] *CITAT.* 19.

14 Τοτε προσερχονται αυτῳ οἱ μαθηται Ιωαννου, λεγοντες, Διατι ἡμεις και οἱ Φαρισαιοι νηστευομεν πολλα, οἱ δε μαθηται σου ου νηστευουσι;

νηστευομεν πολλα—ηνομησας πολλα. *Job. xxxv.* 6. *Conf. Marc. ii.* 18. *Luc. v.* 33. *Conf. Esa. lviii.* 5, 6.

15 Και ειπεν αυτοις ὁ Ιησους, Μη δυνανται οἱ υἱοι του νυμφωνος πενθειν, εφ᾽ ὁσον μετ᾽ αυτων εστιν ὁ νυμφιος; ελευσον-

ται δε ἡμεραι ὁταν απαρθῃ απ' αυτων ὁ νυμφιος, και τοτε νηστευσουσιν.

ιδου Δαμασκος αρθησεται. *Esa. xvii.* 1. και παντας εν τῳ νυμφωνι απολωλοτας. *Tob. vi.* 13. ου δυνατον γενεσθαι οὑτως. *Exod. viii.* 26. πως δυνησομεθα; 1 *Mac. iii.* 17. *Conf. Marc. ii.* 19. *Joan. iii.* 29. ιδου ἡμεραι ερχονται. *Amos. viii.* 11. *xi.* 13. *Jer. xxiii.* 40. ὁταν. *Jer. xxix.* 10. καταλυσω—φωνην νυμφιου, και φωνην νυμφης. *Jer. vii.* 34. *xvi.* 8. οἱ υἱοι της Ακρας. 1 *Mac. iv.* 2. οἱ υἱοι της χωρας. *Esd. ii.* 1. *Conf. iv.* 47. 2 *Mac. xiii.* 12. 1 *Reg. xiv.* 24. *Jud. xiv.* 10, 11. τοτε χαρησονται παρθενοι εν συναγωγῃ νεανισκων, κ. τ. λ. *Jer. xxxviii.* 13. και τα τεκνα Σιων χαιρετε και ευφραινεσθε, κ. τ. λ. *Joel. ii.* 23.

16 Ουδεις δε επιβαλλει επιβλημα ῥακους αγναφου επι ἱματιῳ παλαιῳ· αιρει γαρ το πληρωμα αυτου απο του ἱματιου, και χειρον σχισμα γινεται.

και ἱματιον εκ δυο ὑφασμενον κιβδηλον ουκ επιβαλεις σεαυτῳ. *Lev. xix.* 19. [επιβλημα· πωμα η ῥακος. *Hesych.*] σχισμη. *Esa. ii.* 21. *Jon. ii.* 7. ὡς ῥακος αποκαθημενης πασα ἡ δικαιοσυνη ἡμων. *Esa. lxiv.* 6. *Jer. xlv.* 11.

17 Ουδε βαλλουσιν οινον νεον εις ασκους παλαιους· ει δε μηγε, ῥηγνυνται οἱ ασκοι, και ὁ οινος εκχειται, και οἱ ασκοι απολουνται· αλλα βαλλουσιν οινον νεον εις ασκους καινους, και αμφοτερα συντηρουνται.

οὑτοι οἱ ασκοι του οινου οὑς επλησαμεν καινους. *Jos. ix.* 13. ασκους οινου παλαιους. *ix.* 4. οινος νεος, φιλος νεος. *Sir. ix.* 10. *Conf. Marc. ii.* 22. *Luc. v.* 37-39. *Job. xxxii.* 19. 1 *Reg. i.* 24. 2 *Reg. xvi.* 1. *Ps. cxviii.* 83. 2 *Tim. iv.* 18. [συντηρειν την ψυχην εις ζωην. *Lib. Henoch. ap. Fabric. p.* 191.]

18 Ταυτα αυτου λαλουντος αυτοις, ιδου, αρχων ελθων προσεκυνει αυτῳ, λεγων, Ὁτι ἡ θυγατηρ μου αρτι ετελευτησεν· αλλα ελθων επιθες την χειρα σου επ' αυτην, και ζησεται.

επιθησει την χειρα επι την κεφαλην. *Lev. i.* 4. *et. pass. Num. xxvii.* 18, 20. 4 *Reg. v.* 11. *Conf. Marc. v.* 22. *Luc. viii.* 41, 42.

19 Και εγερθεις ὁ Ιησους ηκολουθησεν αυτῳ και οἱ μαθηται αυτου.

20 (Και ιδου, γυνη αἱμοῤῥοουσα δωδεκα ετη, προσελθουσα οπισθεν, ἡψατο του κρασπεδου του ἱματιου αυτου.

και επιλαβωνται του κρασπεδου ανδρος Ιουδαιου. *Zach. viii.* 23.

τῃ αἱμοῤῥοουσῃ. *Lev. xv.* 33. ἡ ῥυσις αυτου ακαθαρτος εστι. *Lev. xv.* 2. και ποιησατωσαν ἑαυτοις κρασπεδα επι τα πτερυγια των ἱματιων αυτων, κ. τ. λ. *Num. xv.* 38. *Conf. Mal. iv.* 2.

21 Ελεγε γαρ εν ἑαυτῃ, Εαν μονον ἁψωμαι του ἱματιου αυτου, σωθησομαι.

ἁψηται το ακρον του ἱματιου αυτου. *Agg. ii.* 13. *Conf. Thren. iv.* 14, 15. ακαθαρτου μη ἁψησθε. *Esa. lii.* 11. ειπε δε εν ἑαυτῳ. *Est. vi.* 6. *Ps. xxxv.* 1.

22 Ὁ δε Ιησους επιστραφεις και ιδων αυτην, ειπε, Θαρσει, θυγατερ· ἡ πιστις σου σεσωκε σε. Και εσωθη ἡ γυνη απο της ὡρας εκεινης.)

ὁ πιστευων εν αυτῳ ου μη καταισχυνθῃ. *Esa. xxviii.* 16. *Alex.* και σωσει αυτους, ὁτι ηλπισαν επ᾽ αυτον. *Ps. xxxvi.* 40. *Dan. vi.* 23. θαρσει, θυγατερ. *Tob. vii.* 18. *Ruth. ii.* 8. *iii.* 10, 11.

23 Και ελθων ὁ Ιησους εις την οικιαν του αρχοντος, και ιδων τους αυλητας και τον οχλον θορυβουμενον, λεγει αυτοις,

Conf. Grot. ad loc. et Sir. xxxviii. 17. *et* 31 (*al.* 34) 8-10. καλεσατε τας θρηνουσας, κ. τ. λ. *Jer. ix.* 17. και εθρηνησεν Ἱερεμιας επι Ιωσιαν, και ειπαν παντες οἱ αρχοντες και αἱ αρχουσαι θρηνον επι Ιωσιαν ἑως της σημερον, κ. τ. λ. 2 *Par. xxxv.* 25. τινι ουαι; τινι θορυβος; *Prov. xxiii.* 29.

24 Αναχωρειτε· ου γαρ απεθανε το κορασιον, αλλα καθευδει. Και κατεγελων αυτου.

ανεχωρησε—απο προσωπου Φαραω. *Exod. ii.* 15. και πολλοι των καθευδοντων εν γης χωματι εξεγερθησονται. *Dan. xii.* 2. ὁ καταγελων πτωχου παροξυνει τον ποιησαντα. *Prov. xvii.* 5. *Sir xx.* 17. 1 *Mac. vii.* 34. *Conf. Joan. xi.* 11. 3 *Reg. xvii.* 18-24. 4 *Reg. ix.* 11. εγω δε ειμι σκωληξ και ουκ ανθρωπος, ονειδος ανθρωπων και εξουθενημα λαου, κ. τ. λ. *Ps. xxi.* 6. και ην το κορασιον καλον τῳ ειδει. *Est. ii.* 7, 8, 9. [κοριον, κορη, κορισκη, κορισκιον, Αττικως—κορασιον, Ἑλληνικως. *Pollux. Phrynic. T. Magister. Conf. Fisch. Prolus. p.* 673.]

25 Ὁτε δε εξεβληθη ὁ οχλος, εισελθων εκρατησε της χειρος αυτης, και ηγερθη το κορασιον.

και κρατησω της χειρος σου, και ενισχυσω σε. *Esa. xlii.* 6. και εκρατησαν οἱ αγγελοι της χειρος αυτου. *Gen. xix.* 16. και εισηλθεν Ἑλισαιε εις τον οικον, και ιδου το παιδαριον τεθνηκος, κ. τ. λ. 4 *Reg. iv.* 32-35.

26 Και εξηλθεν ἡ φημη αὑτη εις ὁλην την γην εκεινην.

και το δογμα εξηλθε. Dan. ii. 13. φημη δε αγαθη πιαινει οστα. Prov. xvi. 1. ὁλην την ἡμεραν εκεινην. Exod. x. 13.

27 Και παραγοντι εκειθεν τῳ Ιησου, ηκολουθησαν αυτῳ δυο τυφλοι, κραζοντες και λεγοντες, Ελεησον ἡμας, υἱε Δαβιδ.

ελεησον με Κυριε. Ps. vi. 2. ix. 13-24, 17. τοτε ανοιχθησονται οφθαλμοι τυφλων. Esa. xxxv. 5. Conf. Joan. vii. 31. και διαθηκη (εσταθη) τῳ Δαβιδ υἱῳ εκ φυλης Ιουδα, κ. τ. λ. Sir. xlv. 25, 26.

28 Ελθοντι δε εις την οικιαν προσηλθον αυτῳ οἱ τυφλοι, και λεγει αυτοις ὁ Ιησους, Πιστευετε ὁτι δυναμαι τουτο ποιησαι; λεγουσιν αυτῳ, Ναι, Κυριε.

και ειπεν ἑκαστος προς τον αδελφον αυτου, Ναι. Gen. xlii. 21. και επιστευσαν τῳ Θεῳ. Exod. xiv. 31. ναι, γινωσκω αυτα. Esa. xlviii. 7.

29 Τοτε ἡψατο των οφθαλμων αυτων, λεγων, Κατα την πιστιν ὑμων γενηθητω ὑμιν·

πιστευω του ιδειν τα αγαθα Κυριου. Ps. xxvi. 13. και επιστευσεν Ἁβραμ τῳ Θεω, και ελογισθη αυτῳ εις δικαιοσυνην. Gen. xv. 6. εγενηθη κατα το ῥημα. xliv. 2. Conf. Esa. vi. 7. Jer. i. 9. κατα το ονομα σου ὁ Θεος, οὑτως και ἡ αινεσις σου, κ. τ. λ. Ps. xlvii. 10.

30 Και ανεῳχθησαν αυτων οἱ οφθαλμοι· και ενεβριμησατο αυτοις ὁ Ιησους, λεγων, Ὁρατε μηδεις γινωσκετω.

—ὁρατε. Exod. xxxi. 12. μηδεις γνωτω το ῥημα. 1 Reg. xxi. 2. τοτε ανοιχθησονται οφθαλμοι τυφλων. Esa. xxxv. 5. Κυριος σοφοι τυφλους. Ps. cxlv. 8. οἱ οφθαλμοι σου ανεῳγμενοι. Jer. xxxix. 19. Ald. [εμβριμησαι· επιτιμησαι, κελευσαι, προσταξαι μετ᾽ εξουσιας. Hesych.]

31 Οἱ δε εξελθοντες διεφημισαν αυτον εν ὁλῃ τῃ γῃ εκεινῃ.

32 Αυτων δε εξερχομενων, ιδου, προσηνεγκαν αυτῳ ανθρωπον κωφον δαιμονιζομενον.

Conf. Luc. xi. 14. Matt. viii. 28. [Jos. Ant. vi. 8. 2. viii. 2. 5.] [διαφημιζειν· διασαλπιζειν. Phav.]

33 Και εκβληθεντος του δαιμονιου, ελαλησεν ὁ κωφος· και εθαυμασαν οἱ οχλοι, λεγοντες, Ὁτι ουδεποτε εφανη οὑτως εν τῳ Ισραηλ.

Conf. Matt. vii. 22. xii. 22, 23. τρανη δε εσται γλωσσα μογιλαλων. Esa. xxxv. 6. και γνωτω ὁτι εστι προφητης εν Ισραηλ. 4

Reg. v. 8. *Ps. lxxv. i. Jer. xxxix.* 20. [και ου μη γενηται εν τῳ Ισραηλ οὑτως. *Test. XII Patr. p.* 521.]

34 Οἱ δε Φαρισαιοι ελεγον, Εν τῳ αρχοντι των δαιμονιων εκβαλλει τα δαιμονια.

Conf. Marc. iii. 23. *Luc. xi.* 15. [ὁ αρχων της πλανης. *Test. XII Patr. p.* 534, 611. δαιμονες της πλανης. 615.]

35 Και περιηγεν ὁ Ιησους τας πολεις πασας και τας κωμας, διδασκων εν ταις συναγωγαις αυτων, και κηρυσσων το ευαγγελιον της βασιλειας, και θεραπευων πασαν νοσον και πασαν μαλακιαν εν τῳ λαῳ.

και κηρυσσοντας ειρηνην επ᾽ αυτον. *Mich. iii.* 5. ευαγγελισασθαι πτωχοις—κηρυξαι αιχμαλωτοις αφεσιν, κ.τ.λ. *Esa. lxi.* 1. πασαν μαλακιαν και πασαν πληγην. *Deut. xxviii.* 61. *Conf.* 2 *Reg. xviii.* 20-25. *Marc. vi.* 6. *Luc. xiii.* 22. *Dan. ii.* 44.

36 Ιδων δε τους οχλους, εσπλαγχνισθη περι αυτων, ὁτι ησαν εκλελυμενοι και ερριμμενοι ὡσει προβατα μη εχοντα ποιμενα.

ουκ επισλαγχνισθησῃ. *Deut. xiii.* 8. *Sym.* εκσπλαγχνισθησῃ. *alii.* τα δε σπλαγχνα των ασεβων ανελεημονα. *Prov. xii.* 10. *Sir. xxx.* 7. σπλαγχνα. *Gen. xliii.* 30. *Alex. Ald. Compl.* πιειν τοις εκλελυμενοις. 2 *Reg. xvi.* 2. ὡς προβατα οἱς ουκ εστι ποιμην. 3 *Reg. xxii.* 17. ὡσει προβατα οἱς ουκ εστι ποιμην. *Num. xxvii.* 17. *Judith. xi.* 19. που εστι το ποιμνιον ὁ εδοθη σοι, προβατα δοξης σου; *Jer. xiii.* 20. και εδειξαν—τα σωματα ερριμμενα. 1 *Mac. xi.* 4. ῥιφεις ἡμιθνητος. *Sap. xviii.* 18. προσευξαι δη περι ἡμων. *Jer. xliv.* 3. *Conf. Zach. x.* 2. *Marc. vi.* 34. *Num. xxvii.* 17. 3 *Reg. xxii.* 17. σκυλμος. 3 *Mac. iii.* 25. *vii.* 5. ελεγχων και παιδευων και διδασκων και επιστρεφων ὡς ποιμην το ποιμνιον αυτου. *Sir. xviii.* 13. και σωσει αυτους Κυριος ὁ Θεος αυτων εν τῃ ἡμερᾳ εκεινῃ, ὡς προβατα λαον αυτου. *Zach. ix.* 16. [ἱνα και ὁ Κυριος εις ὑμας σπλαγχνισθεις ελεησῃ ὑμας. *Test. XII Patr. p.* 642.]

37 Τοτε λεγει τοις μαθηταις αὑτου. Ὁ μεν θερισμος πολυς, οἱ δε εργαται ολιγοι·

κατεχοντα δρεπανον εν καιρῳ θερισμου. *Jer. xxvii.* 16. *Conf. Luc. x.* 2. *Joan. iv.* 35. *Act. xvi.* 9. 2 *Thess. iii.* 1. αρχου τρυγᾳν σεαυτῳ, εν τῳ επιστρεφειν με την αιχμαλωσιαν του λαου μου. *Ose. vi.* 12.

38 Δεηθητε ουν του κυριου του θερισμου, ὁπως εκβαλῃ εργατας εις τον θερισμον αὑτου.

και εδεηθην Κυριου εν τῳ καιρῳ εκεινῳ. *Deut. iii.* 23. εργαζεσθαι την γην. *Gen. ii.* 5, 15. *Alex. iv.* 2. και εργωνται τῳ Κυριῳ. *Jer. xxxvii.* 9. *Conf. Luc. vi.* 12, 13. εκβαλλειν. *Conf. Sir. vii.* 26. εξαποστειλατε δρεπανα, ὁτι παρεστιν ὁ τρυγητος, κ. τ. λ. *Joel. iii.* 13. ὁπως. *Conf. Jon. i.* 6. διηλθε θερος, παρηλθεν αμητος, και ἡμεις ου διεσωθημεν. *Jer. viii.* 20. June 18. 1851.

Κεφ. ι. 10.

ΚΑΙ προσκαλεσαμενος τους δωδεκα μαθητας αὑτου, εδωκεν αυτοις εξουσιαν πνευματων ακαθαρτων, ὡστε εκβαλλειν αυτα, και θεραπευειν πασαν νοσον και πασαν μαλακιαν.

προσκαλεσαμενος δε Ισαακ τον Ιακωβ, ευλογησεν αυτον. *Gen. xxviii.* 1. εδωκεν αυτοις εξουσιαν των επ᾽ αυτης. *Sir. xvii.* 2. *Conf. x.* 4. ὡστε. *Jos. x.* 14. *Conf. Marc. i.* 13. *Luc. vi.* 7. *ix.* 1. ευαγγελισασθαι πτωχοις απεσταλκε με, κ. τ. λ. *Esa. lxi.* 1, 2. εν χειρι αυτου ψυχη παντων ζωντων και πνευμα παντος ανθρωπου. *Job. xii.* 10. εξουσια της γης. *Sir. x.* 4. θεραπευειν. *Tob. xii.* 3.

2 Των δε δωδεκα αποστολων τα ονοματα εστι ταυτα· πρωτος Σιμων ὁ λεγομενος Πετρος, και Ανδρεας ὁ αδελφος αυτου·

και ταυτα τα ονοματα των ανδρων. *Num. i.* 5. *iii.* 3. 18. 2 *Reg. xxiii.* 23-39. *Conf.* 1 *Mac. ii.* 2-5. *Act. i.* 13. Οζιας ὁ [υἱος] του Μιχα εκ της φυλης Συμεων, και Αβρις ὁ του Γοθονιηλ. *Judith. vi.* 15.

3 Ιακωβος ὁ του Ζεβεδαιου, και Ιωαννης ὁ αδελφος αυτου· Φιλιππος, και Βαρθολομαιος· Θωμας, και Ματθαιος ὁ τελωνης· Ιακωβος ὁ του Αλφαιου, και Λεββαιος ὁ επικληθεις Θαδδαιος·
4 Σιμων ὁ Κανανιτης, και Ιουδας Ισκαριωτης ὁ και παραδους αυτον.

ου μη παραδωσι σε. *Jer. xlv.* 20. 1 *Mac. vii.* 35. 2 *Mac. xiv.* 33. Καριαθκαιβααλ, ἁυτη εστι Καριαθιαριμ. *Jos. xv.* 25. *apud Bos. in annotat.* [Σιμων ὁ Κανανaιος. *Act. Thom. c.* 1.] *Conf. Luc. vi.* 15.

5 Τουτους τους δωδεκα απεστειλεν ὁ Ιησους, παραγγειλας αυτοις, λεγων, Εις ὁδον εθνων μη απελθητε, και εις πολιν Σαμαρειτων μη εισελθητε·

νυν δευρο, αποστειλω σε. *Exod. iii.* 10. εμε απεστειλε Κυριος. 1 *Reg. xv.* 1. παραγγειλατε τῳ λαῳ. *Jos. vi.* 6. απελευσεσθε απο ονειδισμου των εθνων. *Neh. v.* 9. τῃ ὁδῳ Αιγυπτου. *Jer. ii.* 18. *Conf. Gen. iii.* 24. εν πολεσι Σαμαρειας. 4 *Reg. xvii.* 24.

6 Πορευεσθε δε μαλλον προς τα προβατα τα απολωλοτα οικου Ισραηλ.

ὡς προβατον πλανωμενον. *Esa.* xiii. 14. liii. 6. προβατα απολωλοτα εγενηθη ὁ λαος μου. *Jer.* xxvii. 6. επλανηθην ὡς προβατον απολωλος. *Ps.* cxviii. 175. οικος Ισραηλ. *Ps.* cxiii. 17. *Conf. Act.* xiii. 46. *Joan.* i. 11. *Rom.* xv. 8. *Matt.* xv. 24. *Luc.* i. 54. *Ezech.* xxxiv. 5. 1 *Pet.* ii. 25. και σωσω τα προβατα μου, κ. τ. λ. *Ezech.* xxxiv. 22. καλεσαι ενιαυτον Κυριου δεκτον και ἡμεραν ανταποδοσεως, παρακαλεσαι παντας τους πενθουντας, κ. τ. λ. *Esa.* lxi. 2.

7 Πορευομενοι δε κηρυσσετε, λεγοντες, Ὁτι εγγικεν ἡ βασιλεια των ουρανων.

πορευομενοι—διηγεισθε. *Jud.* v. 10. και εκηρυξεν—λεγων. *Exod.* xxxii. 5. ὁτι εγγιζει ὁ δικαιωσας με. *Esa.* l. 8. ηγγικε γαρ το σωτηριον μου. lvi. 1. ἡκει ὁ καιρος, ηγγικεν ἡ ἡμερα. *Ezech.* vii. 7. *Conf. Luc.* ix. 2. x. 9. *Dan.* ix. 25. *Mal.* iii. 1. 4 *Reg.* v. 15, 16.

8 Ασθενουντας θεραπευετε, λεπρους καθαριζετε, νεκρους εγειρετε, δαιμονια εκβαλλετε. δωρεαν ελαβετε, δωρεαν δοτε.

του λεπρου· ᾗ αν ἡμερᾳ καθαρισθῃ. *Lev.* xiv. 2. xv. 27. αναστησονται οἱ νεκροι, και εγερθησονται. *Esa.* xxvi. 19. εξελευσεται δωρεαν ανευ αργυριου. *Exod.* xxi. 11. δωρεαν επραθητε, και ου μετα αργυριου λυτρωθησεσθε. *Esa.* lii. 3. *Conf. Matt.* vii. 22. *Act.* xx. 33. 1 *Cor.* ix. 12. 2. *Cor.* xi. 9. xii. 12. αγορασατε και φαγετε ανευ αργυριου και τιμης, κ. τ. λ. *Esa.* lv. 1.

9 Μη κτησησθε χρυσον, μηδε αργυρον, μηδε χαλκον εις τας ζωνας ὑμων,

και πολυν χρυσον κτησασθε εν αυτῃ. *Sir.* li. 28. *Conf. Marc.* vi. 8. *Luc.* ix. 3. 3 *Reg.* ix. 7, 8. *Deut.* viii. 4. *Neh.* ix. 21.

10 Μη πηραν εις ὁδον, μηδε δυο χιτωνας, μηδε ὑποδηματα, μηδε ῥαβδον· αξιος γαρ ὁ εργατης της τροφης αυτου εστιν.

πηρα. 2 *Reg.* iv. 42. *Sym.* και εὑρεν αυτους αξιους ἑαυτου. *Sap.* iii. 5. *Conf. Tob.* iv. 14. v. 17, 18. *Luc.* x. 7. 1 *Cor.* ix. 7. 1 *Tim.* v. 18. *Deut.* xxiv. 14. *Lev.* xix. 13. *Judith.* x. 5. xiii. 11, 17. ἡ πηρα των βρωματων. [πηρα· ἡ θηκη των αρτων. *Suid.*] ῥαβδος. *Exod.* xxi. 20. *Gen.* xxxviii. 18. και δουναι αυτοις επισιτισμον εις την ὁδον. *Gen.* xlii. 25. xlv. 21.

11 Εις ἡν δ' αν πολιν η κωμην εισελθητε, εξετασατε τις εν αυτῃ αξιος εστι· κακει μεινατε, ἑως αν εξελθητε.

και τι εμερισεν ὁ Θεος ανωθεν, και κληρονομια ἱκανου εξ ὑψιστων; *Job.* xxxi. 2.

12 Εισερχομενοι δε εις την οικιαν, ασπασασθε αυτην.

εισηλθε δε—εις την οικιαν. *Gen.* xxiv. 32. και ησπασαντο αυτον εις ειρηνην. *Jud.* xviii. 15. και ησπασαντο αλληλους ειρηνικως. 1 *Mac.* vii. 29. ερωτησατε δη τα εις ειρηνην την Ἱερουσαλημ. *Ps.* cxxi. 6.

13 Και εαν μεν ᾐ ἡ οικια αξια, ελθετω ἡ ειρηνη ὑμων επ᾽ αυτην· εαν δε μη ᾐ αξια, ἡ ειρηνη ὑμων προς ὑμας επιστραφητω.

και ηλθεν επ᾽ εμε πνευμα. *Ezech.* ii. 2. *Esa.* xxxii. 15. και ἡ προσευχη μου εις κολπον μου αποστραφησεται. *Ps.* xxxiv. 13. το ῥημα μου—ου μη αποστραφῃ. *Esa.* lv. 11. *Ps.* xxxv. 13. και ερειτε ταδε εις ὡρας, και συ ὑγιαινων και ὁ οικος σου, και παντα τα ὑγιαινοντα. 1 *Reg.* xxv. 6.

14 Και ὁς εαν μη δεξηται ὑμας, μηδε ακουσῃ τους λογους ὑμων, εξερχομενοι της οικιας η της πολεως εκεινης, εκτιναξατε τον κονιορτον των ποδων ὑμων.

οἱ ανδρες της πολεως. *Gen.* xix. 4. κονιορτος ποδων αυτου. *Nah.* i. 3. και ερριψα τον κονιορτον εις τον χειμαρρουν. *Deut.* ix. 21. *Conf.* 4 *Reg.* v. 17. *Alex. Ald. Marc.* vi. 11. *Jer.* vii. 29. *Ezech.* v. 1. *Luc.* ix. 5. *Act.* xiii. 51. xviii. 6. και την αναβολην μου εξετιναξα, και ειπα, Οὑτως εκτιναξαι ὁ Θεος παντα ανδρα ὁς ου στησει τον λογον Κυριου, κ. τ. λ. *Neh.* v. 13.

15 Αμην λεγω ὑμιν, Ανεκτοτερον ἑσται γῃ Σοδομων και Γομορρων εν ἡμερᾳ κρισεως, η τῃ πολει εκεινῃ.

ἡμερα γαρ κρισεως Κυριου. *Esa.* xxxiv. 8. Ζω εγω, λεγει Κυριος, ει πεποιηκε Σοδομα αὑτη και αἱ θυγατερες αυτης ὁν τροπον εποιησας συ και αἱ θυγατερες σου. *Ezech.* xvi. 48. ευκοπον εστι. 1 *Mac.* iii. 18. λεγω δε ὑμιν αληθως. *Luc.* ix. 7. *Jer.* xxxv. 6.

16 Ιδου, εγω αποστελλω ὑμας ὡς προβατα εν μεσῳ λυκων· γινεσθε ουν φρονιμοι ὡς οἱ οφεις, και ακεραιοι ὡς αἱ περιστεραι.

ιδου εξαποστελλω τον αγγελον μου. *Mal.* iii. 1. *Luc.* x. 3. απεστειλα προς ὑμας τους παιδας μου. *Jer.* xlii. 15. *Ezech.* ii. 4. εν μεσῳ των υἱων Ισραηλ. *Lev.* xxii. 32. *et pass.* εν μεσῳ προβατων. *Ezech.* xxxiv. 12. τι κοινωνησει λυκος αμνῳ; *Sir.* xiii. 17. ὡς προβατα εν θλιψει. *Mich.* ii. 12. οἱ αρχοντες αυτης—ὡς λυκοι ἁρπαζοντες. *Ezech.* xxii. 27. ὁ δε οφις ην φρονιμωτατος παντων των θηριων. *Gen.* iii. 1. [ὡς οφις διαλυσαι σοφιαν αλληλων εν λογοις παρανομων. *Psalt. Sal.* iv. 11.] και ὡς περιστερα, οὑτω μελετω. *Esa.* xxxviii. 14. *Ps.* liv. 4-6. [γινεσθε ουν σοφοι εν Θεῳ και φρονιμοι. *Test. XII Patr. p.* 673.] [ακεραιον βιον. *Jos.*

Ant. i. 2. 2.] *Conf. Rom. xvi.* 19. 1 *Cor. xiv.* 20. *Ephes. v.* 15. *Phil. ii.* 15. σοφοι εισι του κακοποιησαι, το δε καλως ποιησαι ουκ επεγνωσαν. *Jer. iv.* 22.

17 Προσεχετε δε απο των ανθρωπων· παραδωσουσι γαρ ὑμας
εις συνεδρια, και εν ταις συναγωγαις αὑτων μαστιγωσουσιν
ὑμας.

προσεχε απο κακουργου. *Sir. xi.* 33. *Conf.* 1 *Mac. xiv.* 28. 2 *Mac. vii.* 12. *xiv.* 20. εαν αξιος ῃ πληγων ὁ ασεβων, καθιεις αυτον εναντι των κριτων, και μαστιγωσουσιν αυτον, κ. τ. λ. *Deut. xxv.* 2. *Conf. Act. ii.* 40. *Matt. xxiv.* 9. *Marc. xiii.* 9. *Luc. xii.* 11. *xxi.* 12. μη καταπιστευετε εν φιλοις, κ. τ. λ. *Mich. vii.* 5, 6. εν συναγωγῃ ἁμαρτωλων εκκαυθησεται πυρ, και εν εθνει απειθει εξεκαυθη οργη. *Sir. xvi.* 6. παρεστησαν οἱ βασιλεις της γης, και οἱ αρχοντες, κ. τ. λ. *Ps. ii.* 3, 4.

18 Και επι ἡγεμονας δε και βασιλεις αχθησεσθε ἑνεκεν εμου,
εις μαρτυριον αυτοις και τοις εθνεσιν.

εις μαρτυριον. *Deut. xxxi.* 36. και αξουσιν αυτους εις Βαβυλωνα. *Jer. xx.* 5. *Lev. xiii.* 2. 2 *Par. xxii.* 9. ἑνεκεν σου. *Gen. xii.* 13. γνωθι ὡς ελαβον περι σου ονειδισμον. *Jer. xv.* 15. και ελαλουν εν τοις μαρτυριοις σου εναντιον βασιλεων, και ουκ ῃσχυναμην. *Ps. cxviii.* 46.

19 Ὁταν δε παραδιδωσιν ὑμας, μη μεριμνησητε πως η τι
λαλησητε· δοθησεται γαρ ὑμιν εν εκεινῃ τῃ ὡρᾳ τι λαλησετε·

αυτῃ τῃ ὡρᾳ. *Dan. iii.* 6, 15. και εγω ανοιξω το στομα σου, και συμβιβασω σε ὁ μελλεις λαλησαι. *Exod. iv.* 12. *Conf. Luc. xii.* 11. *xxi.* 14, 16.

20 Ου γαρ ὑμεις εστε οἱ λαλουντες, αλλα το Πνευμα του
πατρος ὑμων το λαλουν εν ὑμιν.

και το πνευμα μου δωσω εν ὑμιν. *Ezech. xxxvi.* 27. *xxxvii.* 14. Κυριος Κυριος διδωσι μοι γλωσσαν παιδειας του γνωναι ἡνικα δει ειπειν λογον. *Esa. l.* 4. εν τουτῳ γνωσεσθε ὁτι Θεος ζων εν ὑμιν. *Jos. iii.* 10. νυν ουχ ὑμεις με απεσταλκατε ὡδε, αλλα ὁ Θεος. *Gen. xlv.* 8. *Exod. xvi.* 8. και κατα παντα ὁσα εαν εντειλωμαι σοι, λαλησεις. *Jer. i.* 6. *Conf. Act. ii.* 4. *iv.* 8. *vi.* 10. 1 *Reg. iii.* 9. τις εδωκε στομα ανθρωπῳ; και τις εποιησε δυσκωφον και κωφον, βλεποντα και τυφλον; ουκ εγω ὁ Θεος; *Exod. iv.* 10, 11.

21 Παραδωσει δε αδελφος αδελφον εις θανατον, και πατηρ
τεκνον· και επαναστησονται τεκνα επι γονεις, και θανατωσουσιν αυτους.

παρεδοθη εις θανατον. Esa. liii. 12. *πολλοι επανιστανται επ' εμε. Ps. iii.* 1. *και εθανατωσαν αυτην εκει.* 2 *Par. xxiii.* 15. *διοτι υἱος ατιμαζει πατερα, θυγατηρ επαναστησεται επι την μητερα αυτης, κ. τ. λ. Mich. vii.* 6. *Conf. Marc. xiii.* 12.

22 Και εσεσθε μισουμενοι ὑπο παντων δια το ονομα μου· ὁ δε
ὑπομεινας εις τελος, οὑτος σωθησεται.

μακαριος ὁ ὑπομενων. Dan. xii. 12. *εις τελος. Conf. Dan. xi.* 13. *Neh. xiii.* 6. *εις τελος. Ps. lxxiii.* 11. *τις ὑπομενει ἡμεραν εισοδου αυτου; Mal. iii.* 2. *οἱ μισουντες με δωρεαν. Ps. xxxiv.* 19. *ὁτι ἑνεκα σου θανατουμεθα ὁλην την ἡμεραν, ελογισθημεν ὡς προβατα σφαγης. Ps. xliii.* 22. *επιστραφητε επ' εμε, και σωθησεσθε. Esa. xlv.* 22. *βοηθησον μοι, και σωθησομαι. Ps. cxviii.* 117. *Conf. Luc. xxi.* 17.

23 Ὁταν δε διωκωσιν ὑμας εν τῃ πολει ταυτῃ, φευγετε εις
την αλλην. αμην γαρ λεγω ὑμιν, Ου μη τελεσητε τας πολεις
του Ισραηλ, ἑως αν ελθῃ ὁ υἱος του ανθρωπου.

ουκ—ἑως αν. Gen. xlix. 10. *MS. A. et Cot. ετελεσαν εν πασιν ανδρασι. Esd. x.* 17. *ἑως αν τελεσωσιν ὁλον τον αμητον. Ruth. ii.* 21. *Conf. Kypke in loc. et Sir. xliii.* 26. *εις συντελειαν ἡμερων. Dan. xii.* 13. *συνετελεσε διαβαινων. Jos. iii.* 17. *iv.* 1.

24 Ουκ εστι μαθητης ὑπερ τον διδασκαλον, ουδε δουλος ὑπερ
τον κυριον αυτου.

ακοη ὑπερ θυσιαν. 1 *Reg. xv.* 22. *Conf.* 2 *Reg. xi.* 11, 12. *Joan. xiii.* 15. *Luc. vi.* 40. *και αναστας Μωυσης και Ιησους ὁ παρεστηκως αυτῳ. Exod. xxiv.* 13.

25 Αρκετον τῳ μαθητῃ ἱνα γενηται ὡς ὁ διδασκαλος αυτου,
και ὁ δουλος ὡς ὁ κυριος αυτου. ει τον οικοδεσποτην Βεελζεβουλ
εκαλεσαν, ποσῳ μαλλον τους οικιακους αυτου;

Conf. Matt. vi. 34. *Num. xxi.* 3. *Jud. vi.* 32. *Marc. iii.* 22. *Luc. xi.* 15. *Joan. vii.* 20. *viii.* 48. *αρκετον. Deut. xxv.* 2. *Aquil. ὡς, pariter ac. Esa. xxiv.* 2.

26 Μη ουν φοβηθητε αυτους· ουδεν γαρ εστι κεκαλυμμενον,
ὁ ουκ αποκαλυφθησεται· και κρυπτον, ὁ ου γνωσθησεται.

μη φοβηθῃς αυτους. Ezech. ii. 6. *μη φοβηθητε—φησι Κυριος, ὁτι μεθ' ὑμων εγω. Jer. xlix.* 11. *Prov. xxviii.* 1. *Esa. xli.* 10. *αποκαλυψει Κυριος τα κρυπτα σου. Sir. i.* 30. *xlii.* 26. *Conf. Marc. iv.* 22. *Luc. viii.* 17. *Job. xii.* 22. *γυμνος ὁ ᾁδης ενωπιον αυτου, και ουκ εστι περιβολαιον τῃ απωλειᾳ, κ. τ. λ. Job. xxi.* 6. *ουδε εσται τοπος του κρυβηναι τους ποιουντας τα ανομα. xxxiv.* 22.

27 Ὁ λεγω ὑμιν εν τῃ σκοτιᾳ, ειπατε εν τῳ φωτι· και ὁ εις το ους ακουετε, κηρυξατε επι των δωματων.

σκοτια. *Job. xxviii.* 3. *Mich. iii.* 6. [σκοτος, Αττικως· σκοτια, Ἑλληνικως. *Mœris.*] και εσται εν σκοτει τα εργα αυτων. *Esa. xxix.* 15. παντα τα ῥηματα ταυτα εις τα ωτα αυτων. *Gen. xx.* 8. λαλησον ουν κρυφῃ εις τα ωτα του λαου. *Exod. xi.* 2. επ' ακρων δε τειχεων κηρυσσεται, κ. τ. λ. *Prov. i.* 21-23. ουκ εν κρυφῃ λελακηκα. *Esa. xlv.* 19. αυτη δε ανεβιβασεν αυτους επι το δωμα. *Jos. ii.* 6. 2 *Reg. xi.* 2. συ την σοφιαν κηρυξεις, ἱνα φρονησις σοι ὑπακουσῃ· επι γαρ των ὑψηλων ακρων εστιν, κ. τ. λ. *Prov. viii.* 1-5.

28 Και μη φοβηθητε απο των αποκτεινοντων το σωμα, την δε ψυχην μη δυναμενων αποκτειναι· φοβηθητε δε μαλλον τον δυναμενον και ψυχην και σωμα απολεσαι εν γεεννῃ.

μη φοβηθῃς απ' αυτων. *Ezech. iii.* 9. εστιν απολλυων την ψυχην αυτου. *Sir. xx.* 22. εἱλου γαρ μου την ψυχην, ἱνα μη αποληται. *Esa. xxxviii.* 17. μη φοβηθω μεν τον δοκουντα αποκτεινειν το σωμα, μεγας γαρ ψυχης εν αιωνιῳ βασανισμῳ κειμενος τοις παραβαινουσι την εντολην του Θεου. 4 *Mac. xiii.* σωμα και ψυχην προδιδωμι περι των πατριων νομων. 2 *Mac. vii.* 37. στομα καταψευδομενον αναιρει ψυχην. *Sap. i.* 11. *Conf. Sap. xvi.* 13, 14. *etc. Jer. i.* 8. 1 *Pet. iii.* 14. Κυριος θανατοι, και ζωογονει, καταγει εις ᾁδην, και αναγει. 1 *Reg. ii.* 6. μη φοβηθητε ουδε μη ταραχθητε· Κυριον αυτον ἁγιασατε, και αυτος εσται σου φοβος. *Esa. viii.* 12, 13.

29 Ουχι δυο στρουθια ασσαριου πωλειται; και ἑν εξ αυτων ου πεσειται επι την γην ανευ του πατρος ὑμων·

ει πεσειται ορνεον επι της γης. *Amos. iii.* 5. *Conf. Ps. cxlvi.* 9. *Job. xxxviii.* 41. ανευ εμου. *Esa. lxv.* 11. *Sym.* τῃ τυχῃ. *alii.* παντα προς σε προσδοκωσι, δουναι την τροφην αυτοις ευκαιρον, κ. τ. λ. *Ps. ciii.* 27, 30.

30 Ὑμων δε και αἱ τριχες της κεφαλης πασαι ηριθμημεναι εισι.

Ζῃ Κυριος, ει πεσειται απο της τριχος του υἱου σου, κ. τ. λ. 2 *Reg. xiv.* 11. *Conf. Luc. xxi.* 18. *Act. xxvii.* 34. ὁ αριθμων πληθη αστρων, και πασιν αυτοις ονοματα καλων. *Ps. cxlvi.* 4. *Conf. Job. xxxi.* 4.

31 Μη ουν φοβηθητε· πολλων στρουθιων διαφερετε ὑμεις.

μη φοβηθητε, φησι Κυριος, *οτι μεθ' υμων ειμι. Jer. xlix.* 11. *ευνοια προς ημας διαφεροντας παντων εθνων.* 3 *Mac. vi.* 26.

32 Πας *ουν οστις ομολογησει εν εμοι εμπροσθεν των ανθρωπων, ομολογησω καγω εν αυτω εμπροσθεν του πατρος μου του εν ουρανοις.*

και νυν δοτε ομολογιαν και δοξαν τω Κυριω. 1 *Esd. ix.* 8. *εν τω ονοματι σου εξομολογησομεθα. Ps. xliii.* 8. *cxviii.* 46. *Neh. ix.* 2, 3. *τους δοξαζοντας με δοξασω, και ο εξουθενων με ατιμωθησεται.* 1 *Reg. ii.* 30. *Conf. Marc. viii.* 38. *Luc. ix.* 26. *xii.* 8. 2 *Tim. ii.* 12. *Apoc. iii.* 5. *πας οστις. Deut. i.* 39.

33 *Οστις δ' αν αρνησηται με εμπροσθεν των ανθρωπων, αρνησομαι αυτον καγω εμπροσθεν του πατρος μου του εν ουρανοις.*

απαρνησονται οι ανθρωποι τα χειροποιητα. Esa. xxxi. 7. *Conf. εστι γαρ αισχυνη επαγουσα αμαρτιαν, κ. τ. λ. Sir. iv.* 21.

34 Μη *νομισητε οτι ηλθον βαλειν ειρηνην επι την γην· ουκ ηλθον βαλειν ειρηνην, αλλα μαχαιραν.*

βαλειν. i. e. δουναι. Ita. Sir. xxx. [*al. xxxiii.*] 27. *αποστελω εις αυτους την μαχαιραν. Jer. ix.* 16. *Conf. Luc. xii.* 49. *Lev. xxvi.* 25. *Ezech. xxi.* 22. *Jer. xv.* 10.

35 Ηλθον *γαρ διχασαι ανθρωπον κατα του πατρος αυτου, και θυγατερα κατα της μητρος αυτης, και νυμφην κατα της πενθερας αυτης·*

36 Και *εχθροι του ανθρωπου, οι οικιακοι αυτου.*

ανθρωπος (filius.) Deut. xxii. 30. *Sir. iii.* 11. *διοτι υιος ατιμαζει πατερα, θυγατηρ επαναστησεται επι την μητερα αυτης, νυμφη επι την πενθεραν αυτης, εχθροι παντες ανδρος οι εν τω οικω αυτου. Mich. vii.* 6. *Conf. Matt. xxiv.* 9. *Marc. xiii.* 12. *κατα. Ps. ii.* 2. *xl.* 9. *Jer. xii.* 6.

37 *Ο φιλων πατερα η μητερα υπερ εμε, ουκ εστι μου αξιος· και ο φιλων υιον η θυγατερα υπερ εμε, ουκ εστι μου αξιος.*

ακοη υπερ θυσιαν αγαθην. 1 *Reg. xv.* 22. *ο λεγων τω πατρι και τη μητρι,* Ουχ *εωρακα σε, κ. τ. λ. Deut. xxxiii.* 9. *Conf. Luc. xiv.* 26.

38 Και *ος ου λαμβανει τον σταυρον αυτου και ακολουθει οπισω μου, ουκ εστι μου αξιος.*

και ακολουθησω οπισω σου. 3 *Reg. xix.* 20. *Ps. cxlii.* 3. *ου γαρ συνηκολουθησαν οπισω μου. Num. xxxii.* 11. *ευρεν αυτους αξιους*

ἑαυτου. *Sap. iii.* 5. *vi.* 16. και ληψεται ανομημα αυτου. *Lev. xvii.* 16. *Deut. i.* 41. *Amos. v.* 26. οἱ σπειροντες εν δακρυσιν, εν αγαλλιασει θεριουσι. *Ps. cxxv.* 5. *Conf. Marc. viii.* 34. *Luc. ix.* 23.

39 Ὁ εὑρων την ψυχην αὑτου, απολεσει αυτην· και ὁ απολεσας την ψυχην αὑτου ἑνεκεν εμου, εὑρησει αυτην.

και ζησεται ἡ ψυχη μου ἑνεκεν σου. *Gen. xii.* 13. *xx.* 18. εσται ἡ ψυχη αυτου εις σκυλα. *Jer. xxi.* 9. και εσται ἡ ψυχη αυτου εις εὑρημα. *xlv.* 2. *xlvi.* 18. *Prov. xxix.* 10. *Conf. Joan. xii.* 25. *Prov. xi.* 24. *xiii.* 7. *Marc. viii.* 35. *Luc. ix.* 24. εστιν απολλυων την ψυχην αυτου δι᾽ αισχυνην, και απο αφρονος προσωπου απολει αυτην. *Sir. xx.* 22. πορευομενοι επορευοντο, και εκλαιον βαλλοντες τα σπερματα αυτων· ερχομενοι δε ἡξουσιν εν αγαλλιασει αιροντες δραγματα αυτων. *Ps. cxxv.* 6. οἱ ἁμαρτανοντες πολεμιοι εισι της ἑαυτων ζωης. *Tob. xii.* 10.

40 Ὁ δεχομενος ὑμας, εμε δεχεται· και ὁ εμε δεχομενος, δεχεται τον αποστειλαντα με.

οἱ μεν γαρ τους αγνοουντας ουκ εδεχοντο. *Sap. xix.* 14. *Conf. Luc. x.* 16. *Joan. xiii.* 20. *xiv.* 21.

41 Ὁ δεχομενος προφητην εις ονομα προφητου, μισθον προφητου ληψεται· και ὁ δεχομενος δικαιον εις ονομα δικαιου, μισθον δικαιου ληψεται·

ὁ δε σπειρων δικαιοσυνην ληψεται μισθον πιστον. *Prov. xi.* 21. *Conf. Agg. i.* 6. και εγενετο αυτοις ἡ πλινθος εις λιθον. *Gen. xi.* 3. *Conf. Gen. xx.* 7. και ευλογησω τους ευλογουντας σε, και τους καταρωμενους σε καταρασομαι. *xii.* 3. [φερνης ονοματι, *dotis nomine. Jos. Ant. xii.* 4. 1.] ην προφητευων επι τῳ ονοματι Κυριου. *Jer. xxxiii.* 20.

42 Και ὁς εαν ποτισῃ ἑνα των μικρων τουτων ποτηριον ψυχρου μονον εις ονομα μαθητου, αμην λεγω ὑμιν, Ου μη απολεσῃ τον μισθον αὑτου.

επαξω την χειρα μου επι τους μικρους. *Zach. xiii.* 7. ου ποτιουσιν αυτον ποτηριον εις παρακλησιν. *Jer. xvi.* 7. *Conf. Marc. ix.* 41. ὑδωρ ψυχρον. *Prov. xxv.* 25. εαν ολιγον σοι ὑπαρχῃ, κατα το ολιγον μη φοβου ποιειν ελεημοσυνην, κ. τ. λ. *Tob. iv.* 8, 9. δανειζει Θεῳ ὁ ελεων πτωχον, κατα δε το δομα αυτου ανταποδωσει αυτῳ. *Prov. xix.* 17. *Conf.* 1 *Tim. vi.* 17-19. και οἱ συνιεντες λαμψουσιν ὡς ἡ λαμπροτης του στερεωματος, και απο των δικαιων των πολλων, ὡς οἱ αστερες εις τους αιωνας, και ετι. *Dan.*

xii. 3. δικαιοι εις τον αιωνα ζωσι, και εν Κυριῳ ὁ μισθος αυτων, και ἡ φροντις αυτων παρα Ὑψιστου. *Sap. v.* 15.

June 15. 1851.

Κεφ. ια. 11.

ΚΑΙ εγενετο ὁτε ετελεσεν ὁ Ιησους διατασσων τοις δωδεκα μαθηταις αὑτου, μετεβη εκειθεν του διδασκειν και κηρυσσειν εν ταις πολεσιν αυτων.

και εγενετο μετα την τελευτην Μωυση. *Jos. i.* 1. διατασσειν. *Dan. i.* 5. και ὡς ετελεσθη ταυτα. *Esd. ix.* 1. και εγενετο ὡς επαυσατο—και συνετελεσε παντα τα ῥηματα ταυτα. *Judith. x.* 1. ἑως συνετελεσε πας ὁ λαος διαβαινων τον Ιορδανην. *Jos. iii.* 17. ευαγγελισασθαι πτωχοις, κ. τ. λ. *Esa. lxi.* 1-3.

2 Ὁ δε Ιωαννης ακουσας εν τῳ δεσμωτηριῳ τα εργα του Χριστου, πεμψας δυο των μαθητων αὑτου,

εργα του Θεου. *Ps. lxv.* 5. *Hab. iii.* 2. του Κυριου. *Ps. cvi.* 24. *etc.* 2 *Mac. iii.* 36. *Conf. Luc. vii.* 18, 19. μεγαλα τα εργα Κυριου, εξεζητημενα εις παντα τα θεληματα αυτου. *Ps. cx.* 2.

3 Ειπεν αυτῳ, Συ ει ὁ ερχομενος, η ἑτερον προσδοκωμεν;

και ειπα, Τι οὑτοι Κυριε; *Zach. i.* 9. ὁ ερχομενος. *Hab. ii.* 3. ιδου εγω ερχομαι. *Zach. ii.* 10. *Ps. cxvii.* 26. ἑως εαν ελθῃ—και αυτος προσδοκια εθνων. *Gen. xlix.* 10. *Esa. xxxv.* 4. *Dan. ix.* 24. *Conf. Heb. ix.* 10. μη καταισχυνης με απο της προσδοκιας μου. *Ps. cxviii.* 116. *Conf. Gen. iii.* 15. *xii.* 3. *xlix.* 10. *Num. xxiv.* 17. *Deut. xviii.* 15-18. *Ps. ii.* 6-12. *Esa. vii.* 14. *Jer. xxiii.* 5, 6.

4 Και αποκριθεις ὁ Ιησους, ειπεν αυτοις, Πορευθεντες απαγγειλατε Ιωαννῃ ἁ ακουετε και βλεπετε·

και αποκριθεις Ἀβρααμ ειπε. *Gen. xviii.* 27. *Esa. xxi.* 9. πορευθεις δε, ελαβε και ηνεγκε τῃ μητρι. *Gen. xxvii.* 14.

5 Τυφλοι αναβλεπουσι, και χωλοι περιπατουσι· λεπροι καθαριζονται, και κωφοι ακουουσι· νεκροι εγειρονται, και πτωχοι ευαγγελιζονται·

και ακουσονται εν τῃ ἡμερᾳ εκεινῃ κωφοι λογους βιβλιου, και οἱ εν τῳ σκοτει, και οἱ εν τῃ ὁμιχλῃ· οφθαλμοι τυφλων οψονται. *Esa. xxix.* 18, 19. τυφλοις αναβλεψιν. *lxi.* 1. τοτε ἁλειται ὡς ελαφος ὁ χωλος. *xxxv.* 6. και ωτα κωφων ακουσονται. *xxxv.* 5. ευαγγελισασθαι πτωχοις *lxi.* 1. αναστησονται οἱ νεκροι, και εγερθησονται. *xxvi.* 19. *Conf. Ps. cxlv.* 8. *Joan. ii.* 23. *Luc. iv.* 18. *Sap. x.* 21.

6 Και μακαριος εστιν, ὁς εαν μη σκανδαλισθῃ εν εμοι.

παρθενον μη καταμανθανε, μηποτε σκανδαλισθῃς εν τοις επιτιμιοις αυτης. *Sir. ix.* 5. —και ὑπερηφανος σκανδαλισθησονται. *Sir. xxiii.* 8. *Conf. Esa. viii.* 14. *Rom. ix.* 32. 1 *Pet. ii.* 8. *Luc. ii.* 34. *Joan. vi.* 60. 1 *Cor. i.* 23. μακαριοι ὡν αφεθησαν αἱ ανομιαι, κ. τ. λ. *Ps. xxxi.* 1, 2. μακαριοι αμωμοι εν ὁδῳ, οἱ πορευομενοι εν νομῳ Κυριου. *cxviii.* 1.

7 Τουτων δε πορευομενων, ηρξατο ὁ Ιησους λεγειν τοις οχλοις περι Ιωαννου, Τι εξηλθετε εις την ερημον θεασασθαι; καλαμον ὑπο ανεμου σαλευομενον;

εμαστιξεν αυτον, ενθεν και ενθεν κραδανας αυτον ὡς καλαμον ὑπο ανεμου. 3 *Mac. ii.* 21, 22. *Conf. Luc. vii.* 24. *Matt. iii.* 5.

8 Αλλα τι εξηλθετε ιδειν; ανθρωπον εν μαλακοις ἱματιοις ημφιεσμενον; ιδου, οἱ τα μαλακα φορουντες, εν τοις οικοις των βασιλεων εισιν.

αλλα τι; *Conf. Gen. xxxiv.* 31. γυμνον απολλυμενον, και ουκ ημφιασα. *Job. xxxi.* 19. εν τοις βασιλειοις. *Est. i.* 9. 2 *Reg. xvi.* 21. *Vide Luc. vii.* 25. και ενδυσονται δερριν τριχινην, κ. τ. λ. *Zach. xiii.* 4. και τον οικον του βασιλεως. 3 *Reg. ix.* 10. εφορεσε διαδημα. *Sir. xi.* 5. ανηρ δασυς, κ. τ. λ. 4 *Reg. i.* 8. [αμφιασονται στολας λαμπρας. *Act. Thom.*]

9 Αλλα τι εξηλθετε ιδειν; προφητην; Ναι, λεγω ὑμιν, και περισσοτερον προφητου·

Conf. Luc. i. 76. *vii.* 26. *Joan. i.* 23. ὁτι πνευμα περισσον εν αυτῳ. *Dan. v.* 12. *Conf. Jos. Ant. xviii.* 6. 2.

10 Οὑτος γαρ εστι περι οὑ γεγραπται, Ιδου, εγω αποστελλω τον αγγελον μου προ προσωπου σου, ὁς κατασκευασει την ὁδον σου εμπροσθεν σου.

ιδου εξαποστελλω τον αγγελον μου, και επιβλεψεται ὁδον [ὁστις ἑτοιμαζει ὁδον. *Theod.*] προ προσωπου μου. *Mal. iii.* 1. *Marc. i.* 2. *Luc. vii.* 27. *CITAT.* 20.

11 Αμην λεγω ὑμιν, Ουκ εγηγερται εν γεννητοις γυναικων μειζων Ιωαννου του Βαπτιστου· ὁ δε μικροτερος εν τῃ Βασιλειᾳ των ουρανων μειζων αυτου εστιν.

και ουκ ανεστη ετι προφητης εν Ισραηλ, ὡς Μωυσης. *Deut. xxxiv.* 10. —γεννητος γυναικος. *Job. xiv.* 1. *Conf. xxv.* 4. και εγω ειμι μικροτερος εν τῳ οικῳ του πατρος μου. *Jud. vi.* 15. *Alex.*

γεννημασι γυναικων. *Sir.* x. 18. *Conf. Esa.* xxx. 26. και εσται, εν τῃ ἡμερᾳ εκεινῃ, ὑπερασπιει Κυριος ὑπερ των κατοικουντων Ἱερουσαλημ, κ. τ. λ. *Zach.* xii. 8.

12 Απο δε των ἡμερων Ιωαννου του Βαπτιστου ἑως αρτι, ἡ βασιλεια των ουρανων βιαζεται, και βιασται ἁρπαζουσιν αυτην.

και εβιασατο αυτον, και ελαβε. *Gen.* xxxiii. 11. *Sir.* xxxiv. 21. *Conf. Exod.* xix. 24. *Luc.* i. 16. *Matt.* iii. 2, 5. και χρονος στενος εστι—και απο τουτου σωθησεται. *Jer.* xxxvii. 7. ἡκασι παντες οἱ υἱοι σου μακροθεν, και αἱ θυγατερες σου επ' ωμων αρθησονται, κ. τ. λ. *Esa.* lx. 4. απο τοτε ἡ βασιλεια του Θεου ευαγγελιζεται, και πας εις αυτην βιαζεται. *Luc.* xvi. 16. [αἱ μεγαλαι των φυσεων χρονοις ου δοκιμαζονται μακροις, αλλα δυναμει βιαζομεναι φθανειν εις ὑποδοχην. *Philo. de Joseph.* p. 354.]

13 Παντες γαρ οἱ προφηται και ὁ νομος ἑως Ιωαννου προεφητευσαν.

μνησθητε νομου Μωυση του δουλου μου, κ. τ. λ. *Mal.* iv. 4. και παντες οἱ προφηται επροφητευον οὑτως. 3 *Reg.* xxii. 12. δια του νομου και των προφητων. *Prol. Sir.* 2 *Mac.* xv. 9. ἑως χριστου ἡγουμενου. *Dan.* ix. 25. *Conf. Luc.* xvi. 16. i. 17.

14 Και ει θελετε δεξασθαι, αυτος εστιν Ηλιας ὁ μελλων ερχεσθαι.

εαν αρα ακουσωσιν, η πτοηθωσι, κ. τ. λ. *Ezech.* ii. 5. δεξασθαι στροφας λογων. *Prov.* i. 3. και ιδου, εγω αποστελω ὑμιν Ηλιαν τον Θεσβιτην, πριν ελθειν την ἡμεραν Κυριου. *Mal.* iv. 5. *Conf. Luc.* i. 17. *Joan.* i. 21. *Matt.* xvii. 10. *Sir.* xlviii. 1.

15 Ὁ εχων ωτα ακουειν, ακουετω.

λογος σοφος εις ευηκοον ους. *Prov.* xxv. 12. προσεθηκε μοι ωτιον ακουειν. *Esa.* l. 4, 5. και τοις ωσιν αυτων βαρεως ηκουσαν—μηποτε ιδωσι—και τοις ωσιν ακουσωσι. *Esa.* vi. 10. l. 4. *Conf. Deut.* xxix. 4. *Ezech.* xii. 2. *Rev.* ii. 7. ὁ ακουων ακουετω, και ὁ απειθων απειθετω. *Ezech.* iii. 27.

16 Τινι δε ὁμοιωσω την γενεαν ταυτην; ὁμοια εστι παιδαριοις εν αγοραις καθημενοις, και προσφωνουσι τοις ἑταιροις αὑτων,

τινι με ὡμοιωσατε; *Esa.* xlvi. 5. τι μαρτυρησω σοι, η τι ὁμοιωσω σοι θυγατερ Ἱερουσαλημ; *Thren.* ii. 13. ουκ εστιν ουδεν επι της γης ὁμοιον αυτῳ, κ. τ. λ. *Job.* xli. 25. την πολιν—οικοδομουσι τας τε αγορας αυτης. 1 *Esd.* ii. 18. καλεσατε τας θρηνουσας, κ. τ. λ.

Jer. ix. 17, 18. *Conf. Tob. ii.* 3. *Luc. vii.* 31. *Jer. xv.* 17. *xvi.* 8, 9. εν ταις αγοραις, *in plateis. Cant. iii.* 2.

17 Και λεγουσιν, Ηυλησαμεν ὑμιν, και ουκ ωρχησασθε· εθρηνησαμεν ὑμιν, και ουκ εκοψασθε.

ὡσει ευφραινομενους εισελθειν μετα αυλου. *Esa. xxx.* 29. μουσικη εν πενθει ακαιρος διηγησις, κ. τ. λ. *Sir. xxii.* 6.

18 Ηλθε γαρ Ιωαννης μητε εσθιων μητε πινων, και λεγουσι, Δαιμονιον εχει.

ιδου εισιν εσθιοντες και πινοντες. 3 *Reg. i.* 25. ηλθε εσθιων. *Ita*, ελευσονται δειλοι. *Sap. iv.* 20. εσθιοντες, και πινοντες, και ἑορταζοντες. 3 *Reg. iii.* 46. 1 *Par. xii.* 39. *Conf. Luc. i.* 15. *Joan. x.* 20. *Ose. ix.* 7.

19 Ηλθεν ὁ υἱος του ανθρωπου εσθιων και πινων, και λεγουσιν, Ιδου, ανθρωπος φαγος και οινοποτης, τελωνων φιλος και ἁμαρτωλων. και εδικαιωθη ἡ σοφια απο των τεκνων αὑτης.

ανθρωπος φαγος—γυνη χηρα. 2 *Reg. xiv.* 5. ανθρωπος γεωργος. *Gen. ix.* 20. εδικαιωθη. *Sir. i.* 21. *et Grot. in loc.* μετα πασης σαρκος κατα την δοσιν αυτου, και εχορηγησεν αυτην [σοφιαν] τοις αγαπωσιν αυτον, κ. τ. λ. *Sir. i.* 10-14. μια δε ουσα [σοφια] παντα δυναται, και μενουσα εν αὑτῃ τα παντα καινιζει, και κατα γενεας εις ψυχας ὁσιας μεταβαινουσα, φιλους Θεου και προφητας κατασκευαζει, κ. τ. λ. φωτι συγκρινομενη εὑρισκεται προτερα· τουτο μεν γαρ διαδεχεται νυξ, σοφιας δε ουκ αντισχυει κακια. *Sap. vii.* 27-30. και, *sed.* 1 *Reg. i.* 2. 2 *Reg. xv.* 3. *Judith. xiii.* 6. *Ps. lxxvii.* 68. [και αυτος ελθων ὡς ανθρωπος εσθιων και πινων μετα των ανθρωπων, κ. τ. λ. *Test. XII Patr. p.* 696.]

20 Τοτε ηρξατο ονειδιζειν τας πολεις, εν αἱς εγενοντο αἱ πλεισται δυναμεις αυτου, ὁτι ου μετενοησαν.

και ηρξατο θρηνειν αυτον. *Tob. x.* 4. εν πασιν τουτοις ου μετενοησεν ὁ λαος. *Sir. xlviii.* 16. ουκ εστιν ανθρωπος ὁ μετανοων, κ. τ. λ. *Jer. viii.* 6. *Conf. Luc. x.* 12, 13. *Esa. xxiii.* 1. *Ezech. iii.* 6, 7.

21 Ουαι σοι, Χοραζιν, ουαι σοι, Βηθσαϊδαν, ὁτι ει εν Τυρῳ και Σιδωνι εγενοντο αἱ δυναμεις αἱ γενομεναι εν ὑμιν, παλαι αν εν σακκῳ και σποδῳ μετενοησαν.

ουαι καρδιαις δειλαις. *Sir. ii.* 12-14. ουαι σοι Μωαβ. *Num. xxi.* 29. ουαι σοι Ἱερουσαλημ, ὁτι ουκ εκαθαρισθης οπισω μου. *Jer. xiii.* 27. εν νηστειαις και σακκῳ και σποδῳ. *Dan. ix.* 3. *Alex. Ald. Comp. Est. iv.* 3. *Jon. iii.* 5, 6. *Judith. iv.* 8-12. 1 *Mac. ii.*

14. και τι ὑμεις εμοι Τυρος και Σιδων, και πασα Γαλιλαια αλλοφυλων; μη ανταποδομα ὑμεις ανταποδιδοτε μοι; η μνησικακειτε ὑμεις επ' εμοι; κ. τ. λ. *Joel. iii.* 4, 5. [*De Sidon. et Tyr. conf. Jos. Ant. i.* 6. 2. *xv.* 4. 1. *xi.* 8. 3, 4. *C. Apion. i.* 17.]

22 Πλην λεγω ὑμιν, Τυρῳ και Σιδωνι ανεκτοτερον εσται εν ἡμερᾳ κρισεως, η ὑμιν.

πλην επι ταπεινῳ μακροθυμησον, και επ' ελεημοσυνην μη παρελκυσῃς αυτον. *Sir. xxix.* 8. *xlv.* 22. εν ἡμερᾳ κρισεως. *Prov. vi.* 34. *Esa. xxxiv.* 8. ολολυξατε πλοια Καρχηδονος, κ. τ. λ. *Esa. xxiii.* 14.

23 Και συ, Καπερναουμ, ἡ ἑως του ουρανου ὑψωθεισα, ἑως ᾁδου καταβιβασθησῃ· ὁτι ει εν Σοδομοις εγενοντο αἱ δυναμεις αἱ γενομεναι εν σοι, εμειναν αν μεχρι της σημερον.

ἑως του ουρανου. *Deut. iv.* 11. [ὑψωθησαν ἑως των αστρων. *Psalt. Sal. i.* 5.] ὁτι κατεβιβαζον αυτον εις ᾁδου. *Ezech. xxxi.* 16. *Conf. Esa. xiv.* 12. *lvii.* 9. 1 *Reg. ii.* 6. αυτος μαστιγοι και ελεει, καταγει εις ᾁδην, και αναγει. *Tob. xiii.* 2. μεχρι θανατου. 2 *Mac. xiii.* 14. *Job. xxxviii.* 11. ὁτι πυρ—καυθησεται ἑως ᾁδου κατω. *Deut. xxxii.* 22. *Conf. Jer. xlix.* 16. *Obd.* 3. 1 *Cor. i.* 27, 29. *Deut. i.* 28. *ix.* 1. *Luc. x.* 15. *Gen. xi.* 4. *Deut. i.* 8.

24 Πλην λεγω ὑμιν, ὁτι γῃ Σοδομων ανεκτοτερον εσται εν ἡμερᾳ κρισεως, η σοι.

ου φεισεται εν ἡμερᾳ κρισεως. *Prov. vi.* 34. και εμεγαλυνθη ανομια θυγατρος λαου μου ὑπερ ανομιας Σοδομων, κ. τ. λ. *Thren. iv.* 6. [ανεκτοτερων· ελαφροτερων, ἡμερωτερων. *Hesych.*]

25 Εν εκεινῳ τῳ καιρῳ αποκριθεις ὁ Ιησους, ειπεν, Εξομολογουμαι σοι, πατερ, Κυριε του ουρανου και της γης, ὁτι απεκρυψας ταυτα απο σοφων και συνετων, και απεκαλυψας αυτα νηπιοις.

αποκριθεις, *locutus. Ita Deut. xxv.* 9. *xxvii.* 14. *Dan. iii.* 14. *Exod. xxi.* 5. *Vide Keuchen. in loc.* εν τῳ καιρῳ εκεινῳ. *Deut. iii.* 23. εν εκεινῳ τῳ καιρῳ. *Dan. iii.* 8. *LXX.* εγενετο δε εν τῳ καιρῳ εκεινῳ. *Esa. xxxviii.* 1. τινι ανηγγειλαμεν κακα, και τινι ανηγγειλαμεν αγγελιαν; οἱ απογεγαλακτισμενοι απο γαλακτος, οἱ απεσπασμενοι απο μαστου. *Esa. xxviii.* 9. [εδιδαξε τα μυστηρια, και απεκαλυψε τῳ αιωνι τα εν ουρανῳ. *Lib. Henoch. ap. Fabric. p.* 189.] εξομολογησομαι σοι Κυριε. 2 *Reg. xxii.* 50. Κυριος ὁ Θεος του ουρανου και ὁ Θεος της γης. *Gen. xxiv.* 7. τους σοφους και συνε-

τους φαυλους καλουσιν, κ. τ. λ. *Prov. xvi.* 21. ἡ μαρτυρια Κυριου πιστη, σοφιζουσα νηπια. *Ps. xviii.* 7. *Ps. cxviii.* 130. εκχεων ατιμιαν επ' αρχοντας, ταπεινους δε ιασατο. *Job. xii.* 21. πολλοι εισιν ὑψηλοι και επιδοξοι, αλλα πρᾳεσιν αποκαλυπτεται μυστηρια. *Sir. iii.* 21. *Comp.* και την συνεσιν των συνετων κρυψω. *Esa. xxix.* 14. ευδοκησον, Κυριε, του ῥυσασθαι με. *Ps. xxxix.* 13. *Conf. Sap. x.* 21. *Luc. x.* 21. 1 *Cor. i.* 26.

26 Ναι, ὁ πατηρ, ὁτι οὑτως εγενετο ευδοκια εμπροσθεν σου.

ει δε και αυτος εκρινεν οὑτως, τις εστιν ὁ αντειπων αυτῳ; ὁ γαρ αυτος ηθελησε, και εποιησε. *Job. xxiii.* 13. πασα ἡ βουλη μου στησεται, και παντα ὁσα βεβουλευμαι ποιησω. *Esa. xlvi.* 10. ναι, ναι ὁ Θεος του πατρος μου. *Judith. ix.* 12. εμπροσθεν. *Esa. xlv.* 1.

27 Παντα μοι παρεδοθη ὑπο του πατρος μου· και ουδεις επιγινωσκει τον υἱον, ει μη ὁ πατηρ· ουδε τον πατερα τις επιγινωσκει, ει μη ὁ υἱος, και ᾡ εαν βουληται ὁ υἱος αποκαλυψαι.

Conf. Joan. iii. 35. *xiii.* 3. *xvii.* 2. παραδεδωκα ενωπιον ὑμων την γην. *Deut. i.* 8. *Alex. Conf. Sap. viii.* 2-4. *Dan. xii.* 10.

28 Δευτε προς με παντες οἱ κοπιωντες και πεφορτισμενοι, καγω αναπαυσω ὑμας.

δευτε οπισω μου, και αξω ὑμας. 4 *Reg. vi.* 19. επιστραφητε επ' εμε, και σωθησεσθε, κ. τ. λ. *Esa. xlv.* 22. δευτε, εκζητησατε τον Κυριον. 4 *Reg. xxii.* 13. και αναπαυσω αυτον απο παντων των εχθρων. 1 *Par. xxii.* 9. 18. αυτος κοπιων και εκλελυμενος. 2 *Reg. xvii.* 2. οἱ διψωντες πορευεσθε εφ' ὑδωρ, κ. τ. λ. *Esa. lv.* 1. *Conf. Sir. xvii.* 24. εκοπιασα εν στεναγμῳ. *Ps. vi.* 6. *lxviii.* 3. *Conf. Joan. vii.* 37, 38. *ὡσει φορτιον βαρυ εβαρυνθησαν επ' εμε. *Ps. xxxvii.* 4. αιρετε αυτα καταδεδεμενα ὡς φορτιον κοπιωντι εκλελυμενῳ. *Esa. xlvi.* 1.

29 Αρατε τον ζυγον μου εφ' ὑμας, και μαθετε απ' εμου, ὁτι πρᾳος ειμι και ταπεινος τῃ καρδιᾳ· και εὑρησετε αναπαυσιν ταις ψυχαις ὑμων.

αγαθον ανδρι ὁταν αρῃ ζυγον. *Thren. iii.* 27. *Sir. li.* 26. *vi.* 24, 25. του δουλευειν αυτῳ ὑπο ζυγον ἑνα. *Sophon. iii.* 9. βαρος ὑπερ σε μη αρῃς. *Sir. xiii.* 2. δι' αυτου σωθησονται οἱ ταπεινοι του λαου. *Esa. xiv.* 32. τους ταπεινους τῳ πνευματι. *Ps. xxxiii.* 18. *Dan. v.* 22. στομα δε ταπεινων μελετᾳ σοφιαν. *Prov. xi.* 2. ὁτι επηλθε πραΰτης εφ' ἡμας, και παιδευθησομεθα. *Ps. lxxxix.* 10. [πραοτης. *Alex. Ald. Comp.*] εὑροντες αυτοις αναπαυσιν. *Esa.*

xxxiv. 14. επ' εσχατων γαρ εὑρησεις την αναπαυσιν αυτης [*sc.* σοφιας.] *Sir. vi.* 28. ουκ ελογισατο τῃ ψυχῃ αυτου. *Esa. xliv.* 19. και εὑρησετε ἁγνισμον ταις ψυχαις ὑμων. *Jer. vi.* 16. *Conf. Zach. ix.* 9. *Phil. ii.* 7. 8. 2 *Cor. x.* 1. τις ὡς Κυριος ὁ Θεος ἡμων; ὁ εν ὑψηλοις κατοικων, και τα ταπεινα εφορων εν τῳ ουρανῳ, και εν τῃ γῃ; *Ps. cxii.* 5, 6. *Esa. lvii.* 15. ὑποθες τον ωμον σου και βασταξον αυτην, και μη προσοχθισῃς τοις δεσμοις αυτης. *Sir. vi.* 25. ολιγον εκοπιασα, και εὑρον εμαυτῳ πολλην αναπαυσιν. *li.* 27.

30 Ὁ γαρ ζυγος μου χρηστος, και το φορτιον μου ελαφρον εστιν.

Conf. 3 *Reg. xii.* 14. 1 *Joan. v.* 3. *Ezech. xi.* 19, 20. *Act. xv.* 10. *Gal. v.* 1. *Sap. viii.* 16. ελαφρος. *Exod. xviii.* 26. *Job. vii.* 6. *ix.* 25. *xxiv.* 18. ὁ γαρ ζυγος αυτης ζυγος σιδηρους, και οἱ δεσμοι αυτης δεσμοι χαλκεοι. *Sir. xxviii.* 20. αἱ ὁδοι αυτης ὁδοι καλαι, και πασαι αἱ τριβοι αυτης εν ειρηνῃ. *Prov. iii.* 17. κουφον εστι. 4 *Reg. xx.* 10. *Conf. Sir. xi.* 21. τι Κυριος εκζητει παρα σου αλλ' η του ποιειν κριμα, και αγαπᾳν ελεον, κ. τ. λ. *Mich. vi.* 8. June 20. 1851

ΚΕΦ. ιβ. 12.

ΕΝ εκεινῳ τῳ καιρῳ επορευθη ὁ Ιησους τοις σαββασι δια των σποριμων· οἱ δε μαθηται αυτου επεινασαν, και ηρξαντο τιλλειν σταχυας και εσθιειν.

εν εκεινῳ τῳ καιρῳ διεστειλε Κυριος την φυλην. *Deut. x.* 8. τα σαββατα μου ἁγιαζετε. *Ezech. xx.* 20. και τουτο ηρξαντο ποιησαι. *Gen. xi.* 6. *Conf. Marc. ii.* 23. *Luc. vi.* 1. εαν δε εισελθῃς εις αμητον του πλησιον σου, και συλλεξῃς εν ταις χερσι σου σταχυς, κ. τ. λ. *Deut. xxiii.* 25.

2 Οἱ δε Φαρισαιοι ιδοντες ειπον αυτῳ, Ιδου, οἱ μαθηται σου ποιουσιν, ὁ ουκ εξεστι ποιειν εν σαββατῳ.

ουκ εξεστιν ἡμιν ιδειν. *Esd. iv.* 14. ουκ αγορωμεν παρ' αυτων εν σαββατῳ. *Neh. x.* 31. 1 *Reg. xxi.* 4.

3 Ὁ δε ειπεν αυτοις, Ουκ ανεγνωτε τι εποιησε Δαβιδ, ὁτε επεινασεν αυτος και οἱ μετ' αυτου;

και νυν, ει εισιν ὑπο την χειρα σου πεντε αρτοι, δος εις χειρα μου το εὑρεθεν, κ. τ. λ. 1 *Reg. xxi.* 3-6. και ερει αυτῳ, Αναγνωθι τουτο. *Esa. xxix.* 12. οἱ μετ' αυτου. (*comites*) *Ezech. xxxviii.* 22. οὑτος εστιν ὁ οικος Κυριου του Θεου. 1 *Par. xxii.* 1.

4 Πως εισηλθεν εις τον οικον του Θεου, και τους αρτους της
προθεσεως εφαγεν, οὓς ουκ εξον ην αυτῳ φαγειν, ουδε τοις μετ᾽
αυτου, ει μη τοις ἱερευσι μονοις;

και εισηλθον οἱ ἱερεις εσω εις τον οικον Κυριου. 2 Par. xxix. 16. οικος Θεου. Esd. vi. 8. et passim. αρτους του προσωπου. Neh. x. 33. αρτους ενωπιους. Exod. xxv. 30. xxix. 33. και εδωκεν αυτῳ Αβιμελεχ ὁ ἱερευς τους αρτους της προσθεσεως. 1 Reg. xxi. 6. Lev. xxiv. 6-9. viii. 31.

5 Η ουκ ανεγνωτε εν τῳ νομῳ, ὁτι τοις σαββασιν οἱ ἱερεις εν
τῳ ἱερῳ το σαββατον βεβηλουσι, και αναιτιοι εισι;

και ανεγνω εν βιβλιῳ νομου. Neh. iv. 18. και βεβηλουτε την ἡμεραν του σαββατου; xiii. 17. Ezech. xxii. 8. 26. 1 Mac. ii. 34. Conf. Num. xxviii. 9. Joan. vii. 22.

6 Λεγω δε ὑμιν, ὁτι του ἱερου μειζων εστιν ὡδε.

Conf. Mal. iii. 1. 2 Par. vi. 18. Luc. xi. 31. Joan. xiv. 28. και πλησω τον οικον τουτον δοξης, λεγει Κυριος παντοκρατωρ· εμον το αργυριον, και εμον το χρυσιον, κ. τ. λ. Agg. ii. 8, 9.

7 Ει δε εγνωκειτε τι εστιν, Ελεον θελω και ου θυσιαν, ουκ αν
κατεδικασατε τους αναιτιους.

ελεος θελω η θυσιαν. Ose. vi. 7. και αἱμα αθωον καταδικαζονται. Ps. xciii. 21. Conf. Mich. vi. 6, 7. Sir. xxxii. 1. 1 Reg. xv. 22. Eccles. v. 1. Esa. i. 11. Matt. ix. 13. CITAT. 19.

8 Κυριος γαρ εστι και του σαββατου ὁ υἱος του ανθρωπου.

τῃ ἡμερᾳ τῃ ἑβδομῃ σαββατα Κυριῳ τῳ Θεῳ σου. Exod. xx. 10.

9 Και μεταβας εκειθεν, ηλθεν εις την συναγωγην αυτων.

Conf. Marc. iii. 1. Luc. vi. 7. Conf. Neh. viii. [Jos. Ant. xix. 6. 3.]

10 Και ιδου, ανθρωπος ην την χειρα εχων ξηραν· και επηρω-
τησαν αυτον, λεγοντες, Ει εξεστι τοις σαββασι θεραπευειν;
ἱνα κατηγορησωσιν αυτου.

Conf. Esa. xxxii. 6. lix. 4. Luc. xiii. 14. xiv. 3. Joan. ix. 16. ανηκα τας χειρας, και εξηρανθησαν. Esa. xxxvii. 27. και ιδου εξηρανθη ἡ χειρ αυτου, ἡν εξετεινε. 3 Reg. xiii. 4.

11 Ὁ δε ειπεν αυτοις, Τις εσται εξ ὑμων ανθρωπος, ὁς ἑξει
προβατον ἑν, και εαν εμπεσῃ τουτο τοις σαββασιν εις βοθυνον,
ουχι κρατησει αυτο και εγερει;

Conf. Exod. xxiii. 4, 5. Deut. xxii. 4. εμπεσειται εις τον βοθυνον.

Esa. xxiv. 18. *Jer. xlviii.* 44. *Ω οἱ ποιμαινοντες τα ματαια, καταλελοιποτες τα προβατα, κ. τ. λ.* *Zach. xi.* 17. *δικαιος οικτειρει ψυχας κτηνων αυτου.* *Prov. xii.* 10.

12 Ποσῳ ουν διαφερει ανθρωπος προβατου; ὡστε εξεστι τοις σαββασι καλως ποιειν.

του καλως ποιησαι την Ἰηρουσαλημ. *Zach. viii.* 15. *ὡστε.* *Sap. xvi.* 25. *σοφοι εισι του κακοποιησαι, το δε καλως ποιησαι ουκ επεγνωσαν.* *Jer. iv.* 22. *Conf. sup. cap. x.* 31. *ποιησωμεν ανθρωπον κατ᾽ εικονα ἡμετεραν, και καθ᾽ ὁμοιωσιν· και αρχετωσαν των ιχθυων, κ. τ. λ.* *Gen. i.* 26, 27.

13 Τοτε λεγει τῳ ανθρωπῳ, Εκτεινον την χειρα σου· και εξετεινε, και αποκατεσταθη ὑγιης ὡς ἡ αλλη.

εαν δε αποκαταστῃ ὁ χρως ὁ ὑγιης. *Lev. xiii.* 16. *Conf.* 3 *Reg. xiii.* 6. *ὑγιης και ισχυων τῃ ἑξει.* *Sir. xxx.* 13. [*αποκαταστησῃ την χειρα μου.* *Test. XII Patr.* 535.]

14 Οἱ δε Φαρισαιοι συμβουλιον ελαβον κατ᾽ αυτου εξελθοντες, ὁπως αυτον απολεσωσιν.

και οἱ αρχοντες συνηχθησαν επιτοαυτο κατα του Κυριου και κατα του Χριστου αυτου. *Ps. ii.* 2. *περιῃειν ζητων ὁπως λαβω αυτην εις εμαυτον.* *Sap. viii.* 18. *Conf. Marc. iii.* 6. *Luc. vi.* 11. *Joan. x.* 39. *xi.* 53. [*De Pharis. Jos. Ant. xviii.* 1, 2.]

15 Ὁ δε Ιησους γνους ανεχωρησεν εκειθεν· και ηκολουθησαν αυτῳ οχλοι πολλοι, και εθεραπευσεν αυτους παντας·

και Δαυϊδ ανεχωρησε και διεσωθη. 1 *Reg. xix.* 10. *και την γυναικα μου εθεραπευσε.* *Tob. xii.* 2. *τον ιωμενον πασας τας νοσους σου.* *Ps. cii.* 3.

16 Και επετιμησεν αυτοις, ἱνα μη φανερον αυτον ποιησωσιν·

ὡς δε φανερον εγενηθη το πραγμα. 2 *Mac. i.* 33.

17 Ὁπως πληρωθῃ το ῥηθεν δια Ησαϊου του προφητου, λεγοντος,

του πληρωθηναι λογον Κυριου δια στοματος Ἱερεμιου. 2 *Par. xxxvi.* 21.

18 Ιδου, ὁ παις μου, ὁν ἡρετισα· ὁ αγαπητος μου, εις ὁν ευδοκησεν ἡ ψυχη μου· θησω το πνευμα μου επ᾽ αυτον, και κρισιν τοις εθνεσιν απαγγελει·

18-21.] *ὁ παις μου, αντιληψομαι αυτου· Ισραηλ ὁ εκλεκτος μου,*

προσεδεξατο αυτον ἡ ψυχη μου, [ὁν ηρετισεν ἡ ψυχη μου. *Euseb.*] εδωκα το πνευμα μου επ' αυτον, κρισιν τοις εθνεσιν εξοισει. Ου κεκραξεται, ουδε ανησει, ουδε ακουσθησεται εξω ἡ φωνη αυτου. Καλαμον τεθλασμενον ου συντριψει, και λινον καπνιζομενον ου σβεσει, αλλα εις αληθειαν εξοισει κρισιν. Αναλαμψει, και ου θραυσθησεται ἑως αν θῃ επι της γης κρισιν, και επι τῳ ονοματι αυτου εθνη ελπιουσι. *Esa. xlii.* 1-4. ὁ υἱος μου, εις ὁν ἡρετισεν εν αυτῳ Κυριος. 1 *Par. xxix.* 1. *Comp. Conf. Num. xiv.* 8. *Mal. iii.* 17. που εστιν ὁ Θεος εν αυτοις το πνευμα το ἁγιον; *Esa. lxiii.* 11. *Conf. Grot. ad. loc. CITAT.* 21.

19 Ουκ ερισει, ουδε κραυγασει· ουδε ακουσει τις εν ταις πλατειαις την φωνην αυτου.

ουκ ερισει ουτε κραξει. *Esa. xlii.* 2. *LXX. apud. Justin.* ουτε ακουσεται τις εν ταις πλατειαις την φωνην αυτου. *Justin. apud Grot.* αληθεια γαρ και ελεγχος παρ' αυτῳ, εξαγαγοι δε εις τελος το κριμα μου. *Job. xxiii.* 7.

20 Καλαμον συντετριμμενον ου κατεαξει, και λινον τυφομενον ου σβεσει· ἑως αν εκβαλῃ εις νικος την κρισιν.

εις νικος. 2 *Reg. ii.* 16. *Job. xxxvi.* 7. *Thren. iii.* 18. *i. e.* εις τον αιωνα. *Conf.* 1 *Cor. xv.* 54. *Ps. ix.* 9. *Thren. v.* 20. *Vide Krebs. in loc. et De Dieu. Amos. viii.* 7. κατεαχθη κερας Μωαβ. *Jer. xlviii.* 25. *Conf. Ps. cxlvi.* 3.

21 Και εν τῳ ονοματι αυτου εθνη ελπιουσι.

επ' αυτῳ εθνη ελπιουσι. *Esa. xi.* 10. *Conf. Rom. xv.* 12.

22 Τοτε προσηνεχθη αυτῳ διαμονιζομενος τυφλος και κωφος· και εθεραπευσεν αυτον, ὡστε τον τυφλον και κωφον και λαλειν και βλεπειν.

τοτε ανοιχθησονται οφθαλμοι τυφλων, και ωτα κωφων ακουσονται, τοτε ἁλειται ὡς ελαφος ὁ χωλος, κ. τ. λ. *Esa. xxxv.* 5, 6. *Conf. Luc. xi.* 14. [δαιμονιζομενοι. *Jos. Ant. viii.* 2. 5.]

23 Και εξισταντο παντες οἱ οχλοι και ελεγον, Μητι οὑτος εστιν ὁ υἱος Δαβιδ;

και εξεστη πας ὁ λαος σφοδρα. *Exod. xix.* 18. 1 *Reg. xiv.* 15. *Joan. iii.* 2. *vii.* 31. εκ καρπου της κοιλιας σου θησομαι επι του θρονου σου. *Ps. cxxxi.* 11. και διαθηκην τῳ Δαυιδ υἱῳ εκ φυλης Ιουδα, κληρονομια βασιλεως υἱου εξ υἱου μονου· κ. τ. λ. *Sir. xlv.* 25, 26.

24 Οἱ δε Φαρισαιοι ακουσαντες ειπον, Οὑτος ουκ εκβαλλει τα δαιμονια, ει μη εν τῳ Βεελζεβουλ αρχοντι των δαιμονιων.

Conf. Matt. vii. 22. *ix.* 34. *Marc. iii.* 22. *Luc. xi.* 15. 4 *Reg. i.* 2. ὁ Μωυσης οὑτος, κ. τ. λ. *Exod. xxxii.* 1.

25 Ειδως δε ὁ Ιησους τας ενθυμησεις αυτων, ειπεν αυτοις, Πασα βασιλεια μερισθεισα καθ' ἑαυτης ερημουται· και πασα πολις η οικια μερισθεισα καθ' ἑαυτης ου σταθησεται.

Conf. Marc. iii. 23, 24. οψεσθε—τα ενθυμηματα αυτων. *Ezech. xiv.* 23. τοτε μεριζεται ὁ λαος Ισραηλ. 3 *Reg. xvi.* 21. και ἡ πολις αὑτη ερημωθησεται. *Jer. xxxiii.* 9. και επεγερθησονται Αιγυπτιοι επ' Αιγυπτιους, και πολεμησει ανθρωπος τον αδελφον αυτου, κ. τ. λ. *Esa. xix.* 2. *Luc. xi.* 16. φαγεται γαρ Μανασσης του Εφραϊμ, και Εφραϊμ του Μανασση, κ. τ. λ. *Esa. ix.* 21.

26 Και ει ὁ Σατανας τον Σαταναν εκβαλλει, εφ' ἑαυτον εμερισθη· πως ουν σταθησεται ἡ βασιλεια αυτου;

Conf. Marc. iii. 26. και [*sed.*] *Ita, Gen. xxxi.* 7. εν τῳ καταρασθαι ασεβη τον Σαταναν, αυτος καταραται την ἑαυτου ψυχην. *Sir. xxi.* 27. [απο του Σατανα και των πνευματων αυτου. *Test. XII Patr. pp.* 650, 657.]

27 Και ει εγω εν βεελζεβουλ εκβαλλω τα δαιμονια, οἱ υἱοι ὑμων εν τινι εκβαλλουσι; δια τουτο αυτοι ὑμων εσονται κριται.

28 Ει δε εγω εν Πνευματι Θεου εκβαλλω τα δαιμονια, αρα εφθασεν εφ' ὑμας ἡ βασιλεια του Θεου.

ουδε εν ισχυϊ, αλλα εν πνευματι μου. *Zach. iv.* 6. ὁς πνευμα Θεου ἁγιον εν ἑαυτῳ εχει. *Dan. iv.* 5. *vi.* 3. εν τῳ Θεῳ μου ὑπερβησομαι τειχος. *Ps. xvii.* 29. *Conf. Luc. xi.* 20. αχρι γαρ και ὑμων εφθασαμεν εν τῳ ευαγγελιῳ του Χριστου. 2 *Cor. x.* 14. φθανει προς αυτους. *Eccles. viii.* 14. *xii.* 1. μεγαλη ἡ αρχη αυτου, και της ειρηνης αυτου ουκ εστιν ὁριον, κ. τ. λ. *Esa. ix.* 7. αναστησει ὁ Θεος του ουρανου βασιλειαν, κ. τ. λ. *Dan. ii.* 44. και ὁ καιρος εφθασε, και την βασιλειαν κατεσχον. *Dan. vii.* 22.

29 Η πως δυναται τις εισελθειν εις την οικιαν του ισχυρου και τα σκευη αυτου διαρπασαι, εαν μη πρωτον δησῃ τον ισχυρον, και τοτε την οικιαν αυτου διαρπασει;

και διαρπασαι τα ὑπαρχοντα αυτων. *Est. iii.* 13. *Zach. xiv.* 1. ἡλιος—σκευος θαυμαστον. *Sir. xliii.* 2. και των ισχυρων μεριει σκυλα. *Esa. liii.* 12. *Conf. Luc. xi.* 22. *Joan. xvi.* 11. *Tob. viii.* 3. αλλα πως δυνησομαι λαβειν το αργυριον; *Tob. v.* 2. μη ληψεται

τις παρα γιγαντος σκυλα; και εαν αιχμαλωτευση τις αδικως, σωθησεται; *Esa. xlix.* 24.

30 Ὁ μη ων μετ' εμου, κατ' εμου εστι· και ὁ μη συναγων μετ' εμου, σκορπιζει.

εσομαι και μετα σου. *Jos. iii.* 7. οἱ μετ' εμου. *viii.* 5. *Exod. xxiii.* 2. *Job. xxiv.* 1. και προσελθων Ιησους, ειπεν αυτῳ, Ἡμετερος ει, η των ὑπεναντιων; *Jos. v.* 13. *xxiv.* 15. *Conf. Luc. xi.* 23.

31 Δια τουτο λεγω ὑμιν, Πασα ἁμαρτια και βλασφημια αφεθησεται τοις ανθρωποις· ἡ δε του Πνευματος βλασφημια ουκ αφεθησεται τοις ανθρωποις.

32 Και ὁς αν ειπῃ λογον κατα του υἱου του ανθρωπου, αφεθησεται αυτῳ· ὁς δ' αν ειπῃ κατα του Πνευματος του ἁγιου, ουκ αφεθησεται αυτῳ, ουτε εν τουτῳ τῳ αιωνι ουτε εν τῳ μελλοντι.

ὁτι ουκ αφεθησεται ὑμων αὑτη ἡ ἁμαρτια. *Esa. xxii.* 14. αλλα τας του παντοκρατορος χειρας ουτε ζων ουτε αποθανων εκφευξομαι. 2 *Mac. vi.* 26. ανεβη ὁ θυμος Κυριου εν τῳ λαῳ αυτου, ἑως ουκ ην ιαμα. 2 *Par. xxxvi.* 16. αυτοι δε ηπειθησαν, και παρωξυναν το πνευμα το ἁγιον αυτου. *Esa. lxiii.* 10. *Conf. Marc. iii.* 29. 1 *Joan. v.* 16. *Heb. vi.* 4. *x.* 26. 1 *Reg. ii.* 25. και εαν ωσιν αἱ ἁμαρτιαι ὑμων ὡς φοινικουν, ὡς χιονα λευκανω. κ. τ. λ. *Esa. i.* 18. *Ezech. xxxiii.* 11. ουχ ὑστερησει δε απο δικαιων κριμα· θυμος δε επ' ασεβεις εσται, κ. τ. λ. *Job. xxxvi.* 17, 18. και εν τῳ αιωνι. *Sap. iv.* 2.

33 Η ποιησατε το δενδρον καλον, και τον καρπον αυτου καλον, η ποιησατε το δενδρον σαπρον, και τον καρπον αυτου σαπρον· εκ γαρ του καρπου το δενδρον γινωσκεται.

αμπελων καλος. *Esa. xxvii.* 2. ξυλον καλον. *Gen. ii.* 9. καρποι δε ασεβων ἁμαρτιας. *Prov. x.* 16. [ἁμαρτιαι. *Ald.*] *Prov. xv.* 7. *Conf. Luc. vi.* 44. και εσται ὡς το ξυλον το πεφυτευμενον παρα τας διεξοδους, κ. τ. λ. *Ps. i.* 3, 4. τι ποιησω ετι τῳ αμπελωνι μου, και ουκ εποιησα αυτῳ; κ. τ. λ. *Esa. v.* 1-5. ξυλον καρπιμον ποιουν καρπον. *Gen. i.* 12.

34 Γεννηματα εχιδνων, πως δυνασθε αγαθα λαλειν, πονηροι οντες; εκ γαρ του περισσευματος της καρδιας το στομα λαλει.

γεννηματα του Ενακ. *Jos. xv.* 14. *Comp.* γεννηματα δικαιοσυνης. *Ose. x.* 12. στομα δικαιου μελετησει σοφιαν. *Ps. xxxvi.* 30. ει αλλαξεται Αιθιοψ το δερμα αυτου—και ὑμεις δυνησεσθε ευποιησαι

μεμαθηκοτες τα κακα. *Jer. xiii.* 23. *Conf. Sir. xxvii.* 6. *Luc. vi.* 45. ταφος ανεῳγμενος ὁ λαρυγξ αυτων, ταις γλωσσαις αυτων εδολιουσαν, ιος ασπιδων ὑπο τα χειλη αυτων. *Ps. xiii.* 3.

35 Ὁ αγαθος ανθρωπος εκ του αγαθου θησαυρου της καρδιας εκβαλλει τα αγαθα· και ὁ πονηρος ανθρωπος εκ του πονηρου θησαυρου εκβαλλει πονηρα.

ουτοι εισι θησαυροι δικαιοσυνης. *Esa. xxxiii.* 6. τον θησαυρον αυτου τον αγαθον, τον ουρανον. *Deut. xxviii.* 12. παση φυλακῃ τηρει σην καρδιαν, εκ γαρ τουτων εξοδοι ζωης. *Prov. iv.* 23. θες τον θησαυρον σου κατ' εντολας Ὑψιστου. *Sir. xxix.* 11. *Exod. xx.* 7. *Ephes. v.* 4-6. εργα δικαιων ζωην ποιει, καρποι δε ασεβων ἁμαρτιας. *Prov. x.* 16. αργυρος πεπυρωμενος γλωσσα δικαιου, καρδια δε ασεβους εκλειψει, κ. τ. λ. *Prov. x.* 20, 21. ιασις γλωσσης δενδρον ζωης, ὁ δε συντηρων αυτην πλησθησεται πνευματος. *xv.* 4. *Ps. xxxvi.* 30. ανηρ αγαθος ουτος, κ. τ. λ. 2 *Reg. xviii.* 27. *Conf. Prov. xiv.* 10, 14.

36 Λεγω δε ὑμιν, Ὁτι παν ῥημα αργον, ὁ εαν λαλησωσιν οἱ ανθρωποι, αποδωσουσι περι αυτου λογον εν ἡμερᾳ κρισεως.

του αποδιδοναι αυτοις τους σατραπας λογον. *Dan. vi.* 2. ἡμερα γαρ κρισεως Κυριου. *Esa. xxxiv.* 8. *Prov. vi.* 34. ματαιον λογον και ψευδη. *Prov. xxx.* 8. αργον. *Lev. xix.* 7. *Sym.* ὁτι συμπαν το ποιημα ὁ Θεος αξει εν κρισει εν παντι παρεωραμενῳ, εαν αγαθον, και εαν πονηρον. *Eccles. xii.* 14. ῥημα κενον. *Job. xv.* 3. *Alex.*

37 Εκ γαρ των λογων σου δικαιωθησῃ, και εκ των λογων σου καταδικασθησῃ.

ὁπως αν δικαιωθῃς εν τοις λογοις σου. *Ps. l.* 4. ὁτι ου δικαιωθησεται ενωπιον σου πας ζων. *cxlii.* 2. ἡσυχιαν παρεξει, και τις καταδικασεται; *Job. xxxiv.* 29. *Sir. v.* 13. λογοι ασεβων δολιοι· στομα δε ορθων ῥυσεται αυτους. *Prov. xii.* 6, 13, 14. ὁς φυλασσει στομα τηρει την ἑαυτου ψυχην, ὁ δε προπετης χειλεσι πτοησει ἑαυτον. *xiii.* 3. θανατος και ζωη εν χειρι γλωσσης, κ. τ. λ. *xviii.* 21.

38 Τοτε απεκριθησαν τινες των Γραμματεων και Φαρισαιων, λεγοντες, Διδασκαλε, θελομεν απο σου σημειον ιδειν.

Conf. Marc. viii. 11. *Luc. xi.* 16. 1 *Cor. i.* 22. *xiv.* 22.

39 Ὁ δε αποκριθεις ειπεν αυτοις, Γενεα πονηρα και μοιχαλις σημειον επιζητει· και σημειον ου δοθησεται αυτῃ, ει μη το σημειον Ιωνα του προφητου.

ὑμεις δε προσαγαγετε ὡδε υἱοι ανομοι, σπερμα μοιχων και πορνης. *Esa. lvii.* 3. αιτησαι σεαυτῳ σημειον παρα Κυριου. *Esa. vii.* 11, 14. ὁτι μοιχαλιδες εισι. *Ezech. xxiii.* 35. γενεαι δικαιοσυνης. *Esa. lxi.* 3. γενεᾳ δικαιᾳ. *Ps. xiii.* 5. ὁ προφητης Ιωνας. *Tob. xiv.* 8. *Conf. Marc. viii.* 38. *Joan. iv.* 48.

40 Ὡσπερ γαρ ην Ιωνας εν τῃ κοιλιᾳ του κητους τρεις ἡμερας και τρεις νυκτας, οὑτως εσται ὁ υἱος του ανθρωπου εν τῃ καρδιᾳ της γης τρεις ἡμερας και τρεις νυκτας.

και ην Ιωνας εν τη κοιλιᾳ του κητους τρεις ἡμερας και τρεις νυκτας. *Jon. i.* 17. *ii.* 1. 1 *Reg. xxx.* 12. απερριψας με εις βαθη καρδιας θαλασσης. *Jon. ii.* 3. *Prov. xxiii.* 34. *Ezech. xxvii.* 4, 25, 26, 27. ὡσπερ γαρ—οὑτως και. *Eccles. v.* 15. οὑτως εσται. *Obd.* 15.

41 Ανδρες Νινευιται αναστησονται εν τῃ κρισει μετα της γενεας ταυτης, και κατακρινουσιν αυτην· ὁτι μετενοησαν εις το κηρυγμα Ιωνα· και ιδου, πλειον Ιωνα ὡδε.

κατακρινει δε δικαιος. *Sap. iv.* 16. κηρυξον εν αυτῃ κατα το κηρυγμα. *Jon. iii.* 2. δια τουτο, ουκ αναστησονται οἱ ασεβεις εν κρισει. *Ps. i.* 5. οἱ ανδρες της πολεως, οἱ Σοδομιται. *Gen. xix.* 4. *xxvi.* 7. οἱ ανδρες Νινευη. *Jon. iii.* 5. *Conf. Luc. xi.* 32. *Sap. iv.* 16. ιδου δεδωκα ὑμιν παντα χορτον. *Gen. i.* 29. *xii.* 11. *Jos. viii.* 8. *Conf. Ezech. xvi.* 51, 52.

42 Βασιλισσα νοτου εγερθησεται εν τῃ κρισει μετα της γενεας ταυτης, και κατακρινει αυτην· ὁτι ηλθεν εκ των περατων της γης ακουσαι την σοφιαν Σολομωντος· και ιδου, πλειον Σολομωντος ὡδε.

και επληθυνθη ἡ σοφια Σολομωντος σφοδρα. 3 *Reg. iv.* 30. *Ald. Comp. x.* 1. και ειδε βασιλισσα Σαβα την σοφιαν Σαλωμων. 2 *Par. ix.* 3. *Conf. Sir. xlvii.* 13-23. και εγερθησονται οἱ εν τοις μνημειοις. *Esa. xxvi.* 19. παντα τα περατα της γης. *Ps. xcvii.* 3. *xlviii.* 11. *Dan. iv.* 17. *LXX.* πλειονα ειναι (*dominum agere.*) *Ezech. xxix.* 15. *Vide Keuchen. in loc.* διατουτο, δωσει Κυριος αυτος ὑμιν σημειον, κ. τ. λ. *Esa. vii.* 14. ὁτι παιδιον εγεννηθη ἡμιν, κ. τ. λ. *ix.* 6. [*Conf. Jos. Ant. viii.* 2. 5.] [βασιλισσα ουδεις των αρχαιων ειπε, αλλα βασιλεια, η βασιλις. *Phryn.*]

43 Ὁταν δε το ακαθαρτον πνευμα εξελθῃ απο του ανθρωπου, διερχεται δι' ανυδρων τοπων, ζητουν αναπαυσιν, και ουχ εὑρισκει.

και ειπεν ὁ Κυριος τῳ διαβολῳ—και ὁ διαβολος ειπε—περιελθων την γην και εμπεριπατησας την ὑπ' ουρανον, κ. τ. λ. *Job. i.* 7. *ii.* 2. και το πνευμα το ακαθαρτον εξαρω απο της γης. *Zach. xiii.* 2. ουχ εὑρουσα ἡ περιστερα αναπαυσιν. *Gen. viii.* 9. και δαιμονια εκει ορχησονται. *Esa. xiii.* 21. εν γῃ ερημῳ και αβατῳ και ανυδρῳ. *Ps. lxii.* 1. *Jer. ii.* 6. επ' εσχατων γαρ εὑρησεις την αναπαυσιν αυτης. *Sir. vi.* 28. *Conf. Tob. viii.* 3. *Luc. xi.* 24. οἱ δε αδικοι κλυδωνισθησονται, και αναπαυσασθαι ου δυνησονται. *Esa. lvii.* 20.

44 Τοτε λεγει, Επιστρεψω εις τον οικον μου, ὁθεν εξηλθον· και ελθον εὑρισκει σχολαζοντα, σεσαρωμενον, και κεκοσμημενον.

τραπεζα κεκοσμημενη. *Ezech. xxiii.* 41. *Sir. xxix.* 26. —εις τα ορη, ὁθεν. *Ps. cxx.* 1. σχολαζοντα. *Ex. v.* 8, 17. [δυο πνευματα σχολαζουσι τῳ ανθρωπῳ· το της ασθενειας (*l.* αληθειας) και το της πλανης. *Test. XII Patr.* 612.]

45 Τοτε πορευεται και παραλαμβανει μεθ' ἑαυτου ἑπτα ἑτερα πνευματα πονηροτερα ἑαυτου, και εισελθοντα κατοικει εκει· και γινεται τα εσχατα του ανθρωπου εκεινου χειρονα των πρωτων. Οὑτως εσται και τῃ γενεᾳ ταυτῃ τῃ πονηρᾳ.

ἑπτα, *plures. Conf.* 1 *Reg. ii.* 5. πλειστους. *Sym. Ruth. iv.* 15. *Esa. iv.* 1. τα εσχατα. *Ps. lxxii.* 17. χειρων κυνος. 1 *Reg. xvii.* 43. τι τα εσχατα τουτων; *Dan. xii.* 8. *Conf. Job. i.* 2. *Pet. ii.* 20. *Heb. vi.* 4. *x.* 26. ὁ δε Κυριος ευλογησε τα εσχατα Ιωβ, η τα εμπροσθεν. *Job. xlii.* 12. [ὁ διαβολος οικειουται αυτον ὡς ιδιον σκευος. *Test. XII Patr.* 673.] οὑτως εσται, κ. τ. λ. *Est. vi.* 9, 11.

46 Ετι δε αυτου λαλουντος τοις οχλοις, ιδου, ἡ μητηρ και οἱ αδελφοι αυτου εἱστηκεισαν εξω, ζητουντες αυτῳ λαλησαι.

ετι αυτου λαλουντος αυτοις. *Gen. xxix.* 9. ιδου εγω, και τα παιδια ἁ μοι εδωκεν ὁ Θεος. *Esa. viii.* 18. *Heb. ii.* 15. *Marc. iii.* 31. *Luc. viii.* 19.

47 Ειπε δε τις αυτῳ, Ιδου, ἡ μητηρ σου και οἱ αδελφοι σου εξω ἑστηκασι, ζητουντες σοι λαλησαι.

ην δε τις. *Exod. ii.* 1. ὁ λεγων τῳ πατρι και τῃ μητρι, Ουχ ἑωρακα σε, και τους αδελφους αυτου ουκ επεγνω, και τους υἱους αυτου απεγνω, κ. τ. λ. *Deut. xxxiii.* 9.

48 Ὁ δε αποκριθεις ειπε τῳ ειποντι αυτῳ, Τις εστιν ἡ μητηρ μου; και τινες εισιν οἱ αδελφοι μου;

απηλλοτριωμενος εγενηθην τοις αδελφοις μου, και ξενος τοις ὑιοις της μητρος μου. *Ps. lxviii.* 8.

49 Και εκτεινας την χειρα αὑτου επι τους μαθητας αὑτου, ειπεν, Ιδου, ἡ μητηρ μου και οἱ αδελφοι μου.

και εξετεινε Κυριος την χειρα αυτου προς με. *Jer. i.* 9. *Gen. xlviii.* 14. εξετεινε δε Μωυσης την χειρα επι την θαλασσαν. *Exod. xiv.* 21. αδελφε μου, Ιωναθαν. 2 *Reg. i.* 26.

50 Ὁστις γαρ αν ποιησῃ το θελημα του πατρος μου του εν ουρανοις, αυτος μου αδελφος, και αδελφη, και μητηρ εστιν.

διδαξον με του ποιειν το θελημα σου. *Ps. cxlii.* 10. ειπον την σοφιαν σην αδελφην ειναι. *Prov. vii.* 4. *Cant. v.* 1. θανατον επεκαλεσαμην πατερα μου ειναι, μητερα δε μου και αδελφην σαπριαν. *Job. xvii.* 14. *Conf. Heb. ii.* 11-13. *Gal. iii.* 28. *Deut. xxxiii.* 9. διηγησομαι το ονομα σου τοις αδελφοις μου. *Ps. xxi.* 22. τις δῳη σε, αδελφιδε μου θηλαζοντα μαστους μητρος μου, κ. τ. λ. *Cant. viii.* 1. πολλα τα τεκνα της ερημου, μαλλον η της εχουσης τον ανδρα. *Esa. liv.* 1. July 1. 1851.

ΚΕΦ. ιγ. 13.

ΕΝ δε τῃ ἡμερᾳ εκεινῃ εξελθων ὁ Ιησους απο της οικιας, εκαθητο παρα την θαλασσαν·

εν τῃ ἡμερᾳ εκεινῃ. *Deut. xxxii.* 44. ἡ αμμος ἡ παρα την θαλασσαν. 3 *Reg. iv.* 29. *Conf. Marc. iv.* 1. *Luc. viii.* 4. οικια. *Gen. xix.* 4.

2 Και συνηχθησαν προς αυτον οχλοι πολλοι, ὡστε αυτον εις το πλοιον εμβαντα καθησθαι· και πας ὁ οχλος επι τον αιγιαλον ἑιστηκει.

συνηχθησαν πας ὁ λαος ὡς ανηρ ἑις. *Neh. viii.* 1. και οἱ ἱερεις συνηχθησαν προς αυτον. 2 *Par. xi.* 13. παρῳκησεν παρ' αιγιαλον θαλασσων. *Jud. v.* 17. *Alex. Oxon. Ald. Comp.* ὡστε. *Jos. x.* 14. και αυτος προσδοκια εθνων. *Gen. xlix.* 10.

3 Και ελαλησεν αυτοις πολλα εν παραβολαις, λεγων, Ιδου, εξηλθεν ὁ σπειρων του σπειρειν.

και ελαλησε Σαλωμων τρισχιλιας παραβολας. 3 *Reg. iv.* 32. ανοιξω εν παραβολαις το στομα μου. *Ps. lxxvii.* 2. *xlviii.* 4. ουκ ελαλησα ὑμιν, λεγων; *Gen. xlii.* 22. του σπειρειν, *conf. Ps. cxlix.* 7-9. *(consilium indicat.)*

4 Και εν τῳ σπειρειν αυτον, ἁ μεν επεσε παρα την ὁδον· και
ηλθε τα πετεινα, και κατεφαγεν αυτα.

εν τῳ πρωϊ σπειρον το σπερμα σου. Eccles. xi. 6. Esa. xvii. 11. οἱ σπειροντες εν δακρυσιν, εν αγαλλιασει θεριουσι. Ps. cxxv. 6. ὁ σπειρων φαυλα, θερισει κακα. Prov. xxii. 8. ὁ δε σπειρων δικαιοσυνην ληψεται μισθον πιστον. Prov. xi. 21. μη ὁλην την ἡμεραν αροτριασει ὁ αροτριων; η σπορον προετοιμασει, πριν εργασασθαι την γην; Esa. xxviii. 24.

5 Αλλα δε επεσεν επι τα πετρωδη, ὁπου ουκ ειχε γην πολλην·
και ευθεως εξανετειλε, δια το μη εχειν βαθος γης·

τῳ εξανατελλοντι εν ορεσι χορτον. Ps. cxlvi. 8. Gen. ii. 9. εις το βαθος της γης. Ezech. xxxii. 18, 24. xxxi. 14, 16. δια το πεποιηκεναι. Jud. iii. 12. [πετρωδη. Jos. Vit. § 37.]

6 Ἡλιου δε ανατειλαντος εκαυματισθη, και δια το μη εχειν
ῥιζαν, εξηρανθη.

ου δωσει ῥιζαν εις βαθος. Conf. Sap. iv. 3. ὡσει χορτος δωματων, ὁς προ του εκσπασθηναι εξηρανθη· οὑ ουκ επληρωσε την χειρα αυτου ὁ θεριζων, και τον κολπον αυτου ὁ τα δραγματα συλλεγων. Ps. cxxviii. 6, 7.

7 Αλλα δε επεσεν επι τας ακανθας, και ανεβησαν αἱ ακανθαι,
και απεπνιξαν αυτα.

και μη σπειρητε επ᾽ ακανθαις. Jer. iv. 3. ακανθα και χορτος αναβησεται. Esa. xxxii. 13. ακανθαι και τριβολαι αναβησονται. Ose. x. 8. Conf. Gen. iii. 18.

8 Αλλα δε επεσεν επι την γην την καλην, και εδιδου καρπον,
ὁ μεν ἑκατον, ὁ δε ἑξηκοντα, ὁ δε τριακοντα.

ἡ γη καλη. Num. xiii. 20. αμπελος δωσει τον καρπον αυτης. Zach. viii. 12. Ps. i. 3. εσπειρε δε Ισαακ εν τῃ γῃ εκεινῃ· και εὑρεν εν τῳ ενιαυτῳ εκεινῳ ἑκατοστευουσαν κριθην. Gen. xxvi. 12. Ps. cxxv. 6.

9 Ὁ εχων ωτα ακουειν, ακουετω.

κωφοι τα ωτα εχοντες. Esa. xliii. 8. ωτα ακουειν. Deut. xxix. 4. Ezech. xii. 2. Conf. Luc. viii. 8. Marc. iv. 9. ὁ ακουων ακουετω, και ὁ απειθων απειθετω. Ezech. iii. 27. προσεθηκε μοι ωτιον ακουειν, κ. τ. λ. Esa. l. 4, 5.

10 Και προσελθοντες οἱ μαθηται ειπον αυτῳ, Διατι εν παρα-
βολαις λαλεις αυτοις;

ειπον (rogabant) Zach. i. 9. ανοιξω εν παραβολαις το στομα μου, φθεγξομαι προβληματα απ᾽ αρχης. Ps. lxxvii. 2.

11 Ὁ δε αποκριθεις ειπεν αυτοις, Ὅτι ὑμιν δεδοται γνωναι τα
μυστηρια της βασιλειας των ουρανων, εκεινοις δε ου δεδοται.

και ουκ εγνωσαν μυστηρια του Θεου. *Sap. ii.* 22. *Dan. iv.* 6. αυτος εστι Θεος θεων, ὁ αποκαλυπτων μυστηρια. *ii.* 47. ουκ εδωκεν αυτῳ ὁ Θεος κακοποιησαι με. *Gen. xxxi.* 7. *Num. xxi.* 23. ου δωσει εις τον αιωνα σαλον τῳ δικαιῳ. *Ps. liv.* 22. εδοθη ἁγιοις Ὑψιστου. *Dan. vii.* 27. και λαος γινωσκοντες Θεον. *xi.* 32. *Conf. Luc. x.* 22. *Joan. x.* 14. ουχ ὑμιν γνωναι; 2 *Par. xiii.* 5. *Mich. iii.* 1. *Sir. xviii.* 5. ᾡ εδοθη σοφια και επιστημη. *Exod. xxxvi.* 1. *Job.* *xv.* 8. *Conf.* 1 *Cor. ii.* 10. 1 *Joan. ii.* 17. *Matt. xi.* 25.

12 Ὁστις γαρ εχει, δοθησεται αυτῳ, και περισσευθησεται· ὁσ-
τις δε ουκ εχει, και ὁ εχει αρθησεται απ᾽ αυτου.

περισσευων τον πλησιον αὑτου δικαιος. *Prov. xii.* 26. *Aq.* επερισσευσεν ὑπερ τους βασιλεις τους εμπροσθεν. 1 *Mac. iii.* 30. *Conf. Marc. iv.* 25. *Luc. viii.* 1, 8. *Rev. xxii.* 11. εισιν οἱ πλουτιζοντες ἑαυτους μηδεν εχοντες. *Prov. xv.* 7. [εχειν· επιμελεισθαι και φυλασσειν. *Phavor.*]

13 Δια τουτο εν παραβολαις αυτοις λαλω, ὁτι βλεποντες ου
βλεπουσι, και ακουοντες ουκ ακουουσιν, ουδε συνιουσι.

εαν μη πιστευσητε ουδε μη συνητε. *Esa. vii.* 9, εμπιστευσατε εν Κυριῳ Θεῳ ἡμων, και εμπιστευθησεσθε, κ. τ. λ. 2 *Par. xx.* 20.

14 Και αναπληρουται επ᾽ αυτοις ἡ προφητεια Ησαϊου, ἡ λε-
γουσα, Ακοῃ ακουσετε, και ου μη συνητε· και βλεποντες
βλεψετε, και ου μη ιδητε.

ιδου γεγραπται εν τῃ προφητειᾳ Ἡσαϊου. 2 *Par. xxxii.* 32. εις αναπληρωσιν ῥηματος του Κυριου. 1 *Esd. i.* 57.

15 Επαχυνθη γαρ ἡ καρδια του λαου τουτου, και τοις ωσι
βαρεως ηκουσαν, και τους οφθαλμους αὑτων εκαμμυσαν· μη-
ποτε ιδωσι τοις οφθαλμοις, και τοις ωσιν ακουσωσι, και τῃ
καρδιᾳ συνωσι, και επιστρεψωσι, και ιασωμαι αυτους.

14,15] Ακοῃ ακουσετε, και ου μη συνητε, και βλεποντες βλεψετε, και ου μη ιδητε. Επαχυνθη γαρ ἡ καρδια του λαου τουτου, και τοις ωσιν αυτων βαρεως ηκουσαν, και τους οφθαλμους εκαμμυσαν, μηποτε ιδωσι τοις οφθαλμοις, κ. τ. λ. *Esa. vi.* 9, 10. *Conf. Marc. iv.* 12. *Luc. viii.* 10. *Joan. xii.* 40. *Act. xxviii.* 26. *Rom. xi.* 8. 2 *Cor. iii.* 14, 15. [καταμυειν, Αττικως· καμμυειν, Μακεδονικως. *Conf. Fisch. Prolus. p.* 678.] *CITAT.* 22.

16 Ὑμων δε μακαριοι οἱ οφθαλμοι, ὁτι βλεπουσι· και τα ωτα
ὑμων, ὁτι ακουει.

μακαριοι οἱ ιδοντες σε. *Sir. xlviii.* 11. οἱ οφθαλμοι ὑμων βλεπουσι. *Gen. xlv.* 12. *Deut. iii.* 21. ὁτι ους ηκουσε και εμακαρισε με. *Job. xxix.* 10, 11. *Conf. Luc. x.* 23. και ακουσονται εν τῃ ἡμερᾳ εκεινῃ κωφοι λογους βιβλιου, και οἱ εν τῳ σκοτει, και οἱ εν τῃ ὁμιχλῃ· οφθαλμοι τυφλων οψονται, κ. τ. λ. *Esa. xxix.* 18. Κυριε—απεκαλυψας το ωτιον του δουλου σου, κ. τ. λ. 2 *Reg. vii.* 27.

17 Αμην γαρ λεγω ὑμιν, ὁτι πολλοι προφηται και δικαιοι επεθυμησαν ιδειν ἁ βλεπετε, και ουκ ειδον· και ακουσαι ἁ ακουετε, και ουκ ηκουσαν.

ουαι οἱ επιθυμουντες την ἡμεραν Κυριου. *Amos. v.* 18. δειξω αυτῳ, και ουχι νυν· μακαριζω, και ουκ εγγιζει. *Num. xxiv.* 17. *Heb. xi.* 39. 1 *Pet. i.* 11. εζητησα αυτον, και ουχ εὑρον αυτον. *Cant. iii.* 2.

18 Ὑμεις ουν ακουσατε την παραβολην του σπειροντος.

Conf. Marc. iv. 14. *Luc. viii.* 11. νοησει τε παραβολην και σκοτεινον λογον, ῥησεις τε σοφων και αινιγματα. *Prov. i.* 6.

19 Παντος ακουοντος τον λογον της βασιλειας και μη συνιεντος, ερχεται ὁ πονηρος και ἁρπαζει το εσπαρμενον εν τῃ καρδιᾳ αυτου· οὑτος εστιν ὁ παρα την ὁδον σπαρεις.

ηλθε και εδωκε. *Esd. v.* 16. 2 *Reg. xiii.* 36. [ὁ πονηρος. *Act. Thom. c.* 45.]

20 Ὁ δε επι τα πετρωδη σπαρεις, οὑτος εστιν ὁ τον λογον ακουων, και ευθυς μετα χαρας λαμβανων αυτον·

μετα κλαυθμου. *Esa. xv.* 3. ὁταν απεκτεινεν αυτους, εζητουν αυτον, και επεστρεφον, και ωρθριζον προς τον Θεον, κ. τ. λ. *Ps. lxxvii.* 34-37. ὡσει χορτος δωματων, ὁς προ του εκσπασθηναι εξηρανθη. *Ps. cxxviii.* 6. *Conf. Esa. lviii.* 2. *Joan. v.* 35. ελαβε με. *Ps. xvii.* 16.

21 Ουκ εχει δε ῥιζαν εν ἑαυτῳ, αλλα προσκαιρος εστι· γενομενης δε θλιψεως η διωγμου δια τον λογον, ευθυς σκανδαλιζεται.

και ῥιζαν λογου εὑρησομεν εν αυτῳ; *Job. xix.* 28. *Sap. iv.* 3. καταλειφθησεται ἁμαρτωλος, και λοιδορος και ὑπερηφανος σκανδαλισθησονται εν αυτοις. *Sir. xxiii.* 8. προσκαιρος. *Conf. Heb. xi.* 25. [των προσκαιρων απαλλαξας καταξιωσας με των αθανατων και αει οντων. *Act. Thom. c.* 15. *Jos. Ant. ii.* 4. 4.]

22 Ὁ δε εις τας ακανθας σπαρεις, οὑτος εστιν ὁ τον λογον ακουων, και ἡ μεριμνα του αιωνος τουτου και ἡ απατη του πλουτου συμπνιγει τον λογον, και ακαρπος γινεται.

G

και γινῃ αυτοις ὡς φωνη ψαλτηριου ἡδυφωνου, ευαρμοστου, και ακουσονται σου τα ῥηματα, και ου μη ποιησουσιν αυτα. *Ezech.* xxxiii. 32. συμπαντα τον αιωνα εδωκε, εν καρδιᾳ αυτων. *Eccles.* iii. 11. πονος ακαρπος. *Sap.* xv. 4. *Conf. Sir.* xxxi. 1. 2 *Tim.* iv. 10. ἡ μεριμνα του πλουτου. *Sir.* xxxiv. 1. μη σπειρητε επ᾽ ακανθαις. *Jer.* iv. 3. [απατη ακοης. *Philo. de Decal. p.* 752. απατη οψεως. *Ib. p.* 875.]

23 Ὁ δε επι την γην την καλην σπαρεις, οὑτος εστιν ὁ τον λογον ακουων και συνιων· ὃς δη καρποφορει, και ποιει ὁ μεν ἑκατον, ὁ δε ἑξηκοντα, ὁ δε τριακοντα.

και εγω ηκουσα και ου συνηκα. *Dan.* xii. 8. ὁ συνετος ακροατης. *Esa.* iii. 3. *Conf. Ps.* i. 3. οὑτως εσται το ῥημα μου, ὁ εαν εξελθῃ εκ του στοματος μου, ου μη αποστραφῃ, κ. τ. λ. *Esa.* lv. 11. ἁ δη ἑωρακα, αναγγελω σοι. *Job.* xv. 17. *Conf. Gen.* xxvi. 12.

24 Αλλην παραβολην παρεθηκεν αυτοις, λεγων, Ὡμοιωθη ἡ βασιλεια των ουρανων ανθρωπῳ σπειροντι καλον σπερμα εν τῳ αγρῳ αὑτου·

και παρεθηκεν αυτοις παντας τους λογους τουτους. *Exod.* xix. 7. πορεομενοι επορευοντο, και εκλαιον βαλλοντες τα σπερματα αυτων· ερχομενοι δε ἡξουσιν, κ. τ. λ. *Ps.* cxxv. 6. ὁ νομος ὃν παρεθετο Μωυσης. *Deut.* iv. 44. και ειπον παραβολην, κ. τ. λ. *Ezech.* xvii. 1.

25 Εν δε τῳ καθευδειν τους ανθρωπους, ηλθεν αυτου ὁ εχθρος και εσπειρε ζιζανια ανα μεσον του σιτου, και απηλθεν.

αναμεσον των πετρων. *Esa.* lvii. 5. φθονῳ δε διαβολου θανατος εισηλθεν εις τον κοσμον· πειραζουσι δε αυτον οἱ της εκεινου μεριδος οντες. *Sap.* ii. 24. [ὁ εχθρος, *Satanas. Test. XII Patr. p.* 657. *Act. Thom. c.* 30.] *Conf.* 1 *Pet.* v. 8.

26 Ὁτε δε εβλαστησεν ὁ χορτος, και καρπον εποιησε, τοτε εφανη και τα ζιζανια.

βλαστησατω ἡ γη—σπειρον σπερμα. *Gen.* i. 11. και σπειρετε διακενης τα σπερματα ὑμων. *Lev.* xxvi. 16. ξυλον καρπιμον ποιουν καρπον. *Gen.* i. 12. το ὑδωρ εφανη. 2 *Mac.* i. 33. *Conf. Cant.* ii. 12, 13.

27 Προσελθοντες δε οἱ δουλοι του οικοδεσποτου ειπον αυτῳ, Κυριε, ουχι καλον σπερμα εσπειρας εν τῳ σῳ αγρῳ; ποθεν ουν εχει τα ζιζανια;

Conf. Matt. xiii. 37. σπειρατε πυρους, και ακανθας θερισατε. *Jer.* xii. 13. *Alex.* εμεινα του ποιησαι σταφυλην, κ. τ. λ. *Esa.* v. 4.

28 Ὁ δε εφη αυτοις, Εχθρος ανθρωπος τουτο εποιησεν. οἱ δε
δουλοι ειπον αυτῳ, Θελεις ουν απελθοντες συλλεξωμεν αυτα;

ανθρωπος πολεμιστης. 1 Reg. xvi. 18. Comp. ανδρες λησται. Ezech. xxii. 9. θυγατηρ ανθρωπου ἱερεως. Lev. xxii. 12. ἡ δε εφη. Gen. xxiv. 47. και τα απιπτοντα του θερισμου σου ου συλλεξεις. Lev. xix. 9.

29 Ὁ δε εφη, Ου· μηποτε συλλεγοντες τα ζιζανια, εκριζωσητε
ἁμα αυτοις τον σιτον.

μηποτε ειπωσιν οἱ Αιγυπτιοι. Exod. xxxii. 12. Esd. iv. 12. εκριζωσαι και αχρειωσαι αυτο. Dan. iv. 11. LXX. μη συναπολεσῃς δικαιον μετα ασεβους. Gen. xviii. 23. ἁμα γεωργῳ. Jer. xxxviii. 24. Deut. xxxiii. 5.

30 Αφετε συναυξανεσθαι αμφοτερα μεχρι του θερισμου· και
εν τῳ καιρῳ του θερισμου ερω τοις θερισταις, Συλλεξατε πρω-
τον τα ζιζανια, και δησατε αυτα εις δεσμας προς το κατα-
καυσαι αυτα· τον δε σιτον συναγαγετε εις την αποθηκην μου.

και επιστραφησεσθε, και οψεσθε αναμεσον δικαιου, και αναμεσον ανομου, και αναμεσον του δουλευοντος Θεῳ και του μη δουλευοντος. Mal. iii. 18. αφετε αυτον καταρασθαι. 2 Reg. xvi. 11. ληψεσθε δε δεσμην ὑσσωπου. Exod. xii. 22. εις αποθηκην. xvi. 23. 32. Judith. ii. 15. και συναξεις τον καρπον αυτης. Lev. xxv. 3. συναυξανειν. 2 Mac. iv. 4. τι το αχυρον προς τον σιτον; Jer. xxiii. 28.

31 Αλλην παραβολην παρεθηκεν αυτοις, λεγων, Ὁμοια εστιν
ἡ βασιλεια των ουρανων κοκκῳ σιναπεως, ὁν λαβων ανθρωπος
εσπειρεν εν τῳ αγρῳ αὑτου·

και ιδου νεφελη μικρα ὡς ιχνος ανθρωπου απαγουσα ὑδωρ, κ. τ. λ. 3 Reg. xviii. 44. Conf. Exod. xxi. 1. Luc. xiii. 18. Esa. ii. 2. Mich. iv. 1. λαβων—εσπειρε. Conf. Num. iii. 6. και καταφυτευσω, και εξοισει βλαστον, και ποιησει καρπον, και εσται εις κεδρον μεγαλην, κ. τ. λ. Ezech. xvii. 23. Conf. Dan. iv. 7-9.

32 Ὁ μικροτερον μεν εστι παντων των σπερματων· ὁταν δε αυ-
ξηθῃ, μειζον των λαχανων εστι, και γινεται δενδρον, ὡστε ελ-
θειν τα πετεινα του ουρανου, και κατασκηνουν εν τοις κλαδοις
αυτου.

και εγω ειμι μικροτερος εν οικῳ του πατρος μου. Jud. vi. 15. και εν τοις κλαδοις αυτου κατεσκηνουν τα ορνεα του ουρανου. Dan. iv. 18. επ᾽ αυτα τα πετεινα ουρανου κατασκηνωσει. Ps. ciii. 12. αποστειλον τον αρτον σου επι προσωπον του ὑδατος, ὁτι εν πληθει ἡμερων εὑρησεις αυτον. Eccles. xi. 1. Job. iv. 12. Alex.

33 Αλλην παραβολην ελαλησεν αυτοις, Ὁμοια εστιν ἡ βασιλεια
των ουρανων ζυμῃ, ἡν λαβουσα γυνη ενεκρυψεν εις αλευρου σατα
τρια, ἑως οὑ εζυμωθη ὁλον.

αναστησει ὁ Θεος του ουρανου βασιλειαν. *Dan. iii.* 44. τρια σατα σεμιδαλεως. *Gen. xviii.* 6. *Aq. et. Sym.* και ἑξηκοντα κοροι αλευρου. 3 *Reg. iv.* 22. *Conf. Luc. xiii.* 20. ἑως του ζυμωθηναι αυτο ὁλον. *Ose. vii.* 4. *Ald.* ενεπλησθη ἡ συμπασα του γνωναι τον Κυριον, ὡς ὑδωρ πολυ κατακαλυψαι θαλασσας. *Esa. xi.* 9.

34 Ταυτα παντα ελαλησεν ὁ Ιησους εν παραβολαις τοις οχ-
λοις, και χωρις παραβολης ουκ ελαλει αυτοις.

Conf. Marc. iv. 33, 34. ελαλησεν αυτοις Ααρων παντα, κ. τ. λ. *Exod. iv.* 30.

35 Ὁπως πληρωθῃ το ῥηθεν δια του προφητου, λεγοντος, Ανοιξω
εν παραβολαις το στομα μου· ερευξομαι κεκρυμμενα απο κα-
ταβολης κοσμου.

το πληρωθηναι ῥημα Κυριου. 2 *Par. xxxvi.* 22. ανοιξω εν παραβολαις το στομα μου, φθεγξομαι προβληματα απ' αρχης. *Ps. lxxvii.* 2. εξερυξαιντο τα χειλη μου ὑμνον. *Ps. cxviii.* 171. καταβολης. 2 *Mac. ii.* 29. ερευγω. *Ps. xviii.* 2. *Conf. Rom. xvi.* 25. 1 *Cor. ii.* 7. *Col. i.* 26. *Ephes. iii.* 9. *CITAT.* 23.

36 Τοτε αφεις τους οχλους, ηλθεν εις την οικιαν ὁ Ιησους· και
προσηλθον αυτῳ οἱ μαθηται αυτου, λεγοντες, Φρασον ἡμιν την
παραβολην των ζιζανιων του αγρου.

διδαξατε με—ει τι πεπλανημαι, φρασατε μοι. *Job. vi.* 24. *xii.* 8.

37 Ὁ δε αποκριθεις ειπεν αυτοις, Ὁ σπειρων το καλον σπερμα,
εστιν ὁ υἱος του ανθρωπου·

αποκριθεις δε Ισαακ—ειπεν αυτῳ. *Gen. xxvii.* 39. σπειρατε ἑαυτοις εις δικαιοσυνην. *Ose. x.* 12. ὁ δε σπειρων δικαιοσυνην ληψεται μισθον πιστον. *Prov. xi.* 21. σπειρον σπερμα. *Gen. i.* 12. ὡς υἱος ανθρωπου. *Dan. vii.* 13. το δε χρυσιον της γης εκεινης καλον. *Gen. ii.* 12.

38 Ὁ δε αγρος, εστιν ὁ κοσμος· το δε καλον σπερμα, οὑτοι εισιν
οἱ υἱοι της βασιλειας· τα δε ζιζανια, εισιν οἱ υἱοι του πονηρου·

Conf. Joel. iii. 13. *Joan. viii.* 44. *Col. i.* 16. *Luc. xxiv.* 47. *Act. xiii.* 10. 1 *Joan. iii.* 8. *Gen. iii.* 15. *Rom. x.* 18. και ἡ γη επακουσεται τον σιτον, και τον οινον, και το ελαιον, κ. τ. λ. *Ose. ii.* 22, 23. πατηρ του κοσμου (*Adam*). *Sap. x. i.* οἱ υἱοι της ακρας. 1 *Mac. iv.* 2. οἱ υἱοι της χωρας. *Esd. ii.* 1.

39 Ὁ δε εχθρος ὁ σπειρας αυτα, εστιν ὁ διαβολος· ὁ δε θερισ-
μος, συντελεια του αιωνος εστιν· οἱ δε θερισται, αγγελοι εισιν.

προ του θερισμου, ὁταν συντελεσθῃ ανθος. *Esa. xviii.* 5. *Joel iii.* 13. κατεχοντα δρεπανον εν καιρῳ θερισμου. *Jer. xxvii.* 16. ὁ διαβολος. *Job. i. Zach. iii.* 1. 1 *Par. xxi.* 1. *Sap. ii.* 24. ἑως καιρου συντελειας. *Conf. Dan. xii.* 4. 13. *Jer. iv.* 27. *Apoc. xiv.* 15. και αναστησῃ εις τον κληρον σου εις συντελειαν ἡμερων. *Dan. xii.* 13. *Conf. Joel iii.* 13. διηλθε θερος, παρηλθεν αμετος, και ἡμεις ου διεσωθημεν. *Jer. viii.* 20.

40 Ὡσπερ ουν συλλεγεται τα ζιζανια, και πυρι κατακαιεται,
οὑτως εσται εν τῃ συντελειᾳ του αιωνος τουτου.

ὡσπερ—οὑτως. *Eccles. v.* 15. οὑτως εσται. διοτι ιδου ἡμερα ερχεται καιομενη ὡς κλιβανος κ. τ. λ. *Mal. iv.* 1. εγγυς ἡμερα Κυριου—ὁν τροπον—οὑτως εσται σοι. *Obd.* 15.

41 Αποστελει ὁ υἱος του ανθρωπου τους αγγελους αὑτου, και
συλλεξουσιν εκ της βασιλειας αυτου παντα τα σκανδαλα και
τους ποιουντας την ανομιαν,

τους ποιουντας την ανομιαν. *Ps. xxxvi.* 1. *Job. xxxi.* 3. και εθηκαν εν τοις πεδιοις σκανδαλα. *Judith v.* 1. εις σκανδαλα ψυχαις ανθρωπων. *Sap. xiv.* 11. *xvi.* 23. *Jos. xxiii.* 13. (σκανδαλον παρανομον. *Psalt. Sal. iv.* 27.) *Conf.* 1 *Cor. xi.* 19. *Rom. xvi.* 17. 2 *Pet. ii.* 1. χιλιαι χιλιαδες ελειτουργουν αυτῳ, κ. τ. λ. *Dan. vii.* 10.

42 Και βαλουσιν αυτους εις την καμινον του πυρος· εκει εσται
ὁ κλαυθμος και ὁ βρυγμος των οδοντων.

εμβαλειν εις την καμινον του πυρος. *Dan. iii.* 20. ὁτι εκδικησις ασεβους πυρ και σκωληξ. *Sir. vii.* 17. *Conf. Apoc. xix.* 20. *xx.* 10. [επι δε τους ασεβεις επαξει Κυριος πυρ αιωνιον. *Test. XII Patr. p.* 645. χαος του πυρος—βασανος—δεσμωτηριον. *p.* 194.]

43 Τοτε οἱ δικαιοι εκλαμψουσιν ὡς ὁ ἡλιος, εν τῃ βασιλειᾳ
του πατρος αὑτων. Ὁ εχων ωτα ακουειν, ακουετω.

και οἱ συνιεντες εκλαμψουσιν ὡς ἡ λαμπροτης του στερεωματος. κ. τ. λ. *Dan. xii.* 3. *Alex. Comp.* αἱδε ὁδοι των δικαιων ὁμοιως φωτι λαμπουσι, κ. τ. λ. *Prov. iv.* 18. ὡς χρυσον εν χωνευτηριῳ εδοκιμασεν αυτους—και εν καιρῳ επισκοπης αυτων αναλαμψουσι. *Sap. iii.* 6, 7. 1 *Cor. xv.* 41.

44 Παλιν ὁμοια εστιν ἡ βασιλεια των ουρανων θησαυρῳ κε-
κρυμμενῳ εν τῳ αγρῳ, ὁν εὑρων ανθρωπος εκρυψε· και απο της
χαρας αυτου ὑπαγει και παντα ὁσα εχει πωλει, και αγοραζει
τον αγρον εκεινον.

Conf. Prov. viii. 10. ὁ ακουων ακουετω. *Ezech. iii.* 27. *Sap. vii.* 8. απο (*præ*). *Gen. iii.* 14. *Esa. xxxii.* 12. εαν ζητησῃς αυτην (σοφιαν) ὡς αργυριον, και ὡς θησαυρους εξερευνησῃς αυτην. *Prov. ii.* 4.

45 Παλιν ὁμοια εστιν ἡ βασιλεια των ουρανων ανθρωπῳ εμπορῳ, ζητουντι καλους μαργαριτας·

ανθρωπος γεωργος. *Gen. ix.* 20. ανθρωπος αδελφος. *ix.* 5. ανθρωπος Μωυσης. *Num. xii.* 3. καλους. *Conf. Gen. ii.* 12.

46 Ὁς εὑρων ἑνα πολυτιμον μαργαριτην, απελθων πεπρακε παντα ὁσα ειχε, και ηγορασεν αυτον.

αληθειαν κτησαι, και μη απωσῃ σοφιαν, κ. τ. λ. *Prov. xxiii.* 23. *Ald. Comp.* τιμιωτερα δε εστι λιθων πολυτελων, κ. τ. λ. *Prov. iii.* 15. βαδισαντες αγορασατε. *Esa. lv.* 1. *Conf. Prov. viii.* 10, 11. ουκ ισωθησεται αυτῃ χρυσιον και ὑαλος, και το αλλαγμα αυτης σκευη χρυσα. *Job. xxviii.* 17, 18. *Conf. Ps. xxvi.* 4.

47 Παλιν ὁμοια εστιν ἡ βασιλεια των ουρανων σαγηνῃ βληθεισῃ εις την θαλασσαν, και εκ παντος γενους συναγαγουσῃ·

και οἱ βαλλοντες σαγηνας. *Esa. xix.* 8. *Conf. Ezech. xxvi.* 5.

48 Ἡν, ὁτε επληρωθη, αναβιβασαντες επι τον αιγιαλον, και καθισαντες, συνελεξαν τα καλα εις αγγεια, τα δε σαπρα εξω εβαλον.

και ανεβιβασαν τον Ιωσηφ εκ του λακκου. *Gen. xxxvii.* 28. αγγεια του ελαιου. 1 *Reg. ix.* 7. οὑτοι εις ζωην αιωνιον, και οὑτοι εις αισχυνην αιωνιον. *Dan. xii.* 2. ξυλον σαθρον. *Job. xli.* 18. *xxxiii.* 21.

49 Οὑτως εσται εν τῃ συντελειᾳ του αιωνος· εξελευσονται οἱ αγγελοι, και αφοριουσι τους πονηρους εκ μεσου των δικαιων,

Conf. Matt. xxiv. iii. 31. *xviii.* 20. 2 *Thess. i.* 7-10. *Apoc. xx.* 12-15. μετα την συντελειαν του ενιαυτου. 2 *Par. xxiv.* 23, και αφοριειτε αυτους αναμεσον των κτηνων. *Lev. xx.* 25. φευγετε εκ μεσου Βαβυλωνος. *Jer. xxviii.* 6. *Conf. inf. xxv.* 32. τους δε αμνους διεστειλεν Ιακωβ—και διεχωρισεν ἑαυτῳ ποιμνια καθ' ἑαυτον, κ. τ. λ. *Gen. xxx.* 40.

50 Και βαλουσιν αυτους εις την καμινον του πυρος· εκει εσται ὁ κλαυθμος και ὁ βρυγμος των οδοντων.

51 Λεγει αυτοις ὁ Ιησους, Συνηκατε ταυτα παντα; Λεγουσιν αυτῳ, Ναι, Κυριε.

τις σοφος και συνησει ταυτα; *Ose. xiv.* 10. και συνηκεν ὁ λαος εν τῃ αναγνωσει. *Neh. viii.* 8.

52 Ὁ δε ειπεν αυτοις, Δια τουτο πας Γραμματευς μαθητευθεις εις την βασιλειαν των ουρανων, ὁμοιος εστιν ανθρωπῳ οικοδεσποτῃ, ὁστις εκβαλλει εκ του θησαυρου αὑτου καινα και παλαια.

σοφια γραμματεως εν ευκαιριᾳ σχολης. Sir. xxxviii. 24. και αυτος γραμματευς ταχυς εν νομῳ Μωυση. Esd. vii. 5. νεα προς παλαια. Cant. vii. 13. Conf. 1 Esd. viii. 3. 3 Reg. vii. 51.

53 Και εγενετο ὁτε ετελεσεν ὁ Ιησους τας παραβολας ταυτας, μετηρεν εκειθεν·

και μετηρεν εκειθεν. Gen. xii. 8. Aq. εδιδαξε γνωσιν—και κοσμιον παραβολων. Eccles. xii. 9.

54 Και ελθων εις την πατριδα αὑτου, εδιδασκεν αυτους εν τῃ συναγωγῃ αυτων, ὡστε εκπληττεσθαι αυτους και λεγειν, Ποθεν τουτῳ ἡ σοφια αὑτη και αἱ δυναμεις;

την γην πατριδος αυτου. Jer. xxii. 10. δυναμιν και ενεργειαν εκπλαγεντες. Sap. xiii. 4. Conf. Marc. vi. 1. Luc. iv. 16. διηγησομαι το ονομα σου τοις αδελφοις μου, εν μεσῳ εκκλησιας ὑμνησω σε. Ps. xxi. 22. ουκ εκρυψα το ελεος σου και την αλεθειαν σου απο συναγωγης πολλης. Ps. xxxix. 10. δυναμιν Κυριου. Job. xxxvii. 14.

55 Ουχ οὑτος εστιν ὁ του τεκτονος υἱος; ουχι ἡ μητηρ αυτου λεγεται Μαριαμ, και οἱ αδελφοι αυτου Ιακωβος και Ιωσης και Σιμων και Ιουδας;

πλουσιος ελαλησε, και παντες εσιγησαν—πτωχος ελαλησε, και ειπαν, Τις οὑτος; Sir. xiii. 23. εγω ειμι σκωληξ και ουκ ανθρωπος, ονειδος ανθρωπων και εξουθενημα λαου. Ps. xxi. 6. Conf. Joan. vi. 42. Esa. liii. 3. και τις πατηρ αυτου; και δια τουτο εγενηθη εις παραβολην, Η και Σαουλ εν προφηταις; 1 Reg. x. 12. εγενηθημεν εις ονειδος τοις γειτοσιν ἡμων, μυκτηρισμος και χλευασμος τοις κυκλῳ ἡμων. Ps. lxxviii. 4. οὑτος ην ὁν εσχομεν ποτε εις γελωτα, και εις παραβολην ονειδισμου. Sap. v. 3.

56 Και αἱ αδελφαι αυτου ουχι πασαι προς ἡμας εισι; ποθεν ουν τουτῳ ταυτα παντα;

57 Και εσκανδαλιζοντο εν αυτῳ. Ὁ δε Ιησους ειπεν αυτοις, Ουκ εστι προφητης ατιμος, ει μη εν τῃ πατριδι αὑτου και εν τῃ οικιᾳ αὑτου.

ὁ ζητων νομον εμπληθησεται αυτου, και ὁ ὑποκρινομενος σκανδαλισθησεται εν αυτῳ. Sir. xxxv. 15. εις ουθεν λογισθησονται, και ατιμον, κ. τ. λ. Sap. iii. 17. Conf. Esa. viii. 14. Conf. Marc. vi. 4.

Luc. iv. 24. *Joan. iv.* 44. τοις δυο οικοις Ισραηλ εις παγιδα και εις σκανδαλον. *Esa. viii.* 14. *Theod.*

58 Και ουκ εποιησεν εκει δυναμεις πολλας, δια την απιστιαν αυτων.

σπερμα απιστον. *Esa. xvii.* 10. αδελφοι αυτου τῃ πατριδι αυτου. 1 *Par. v.* 7. εν τῳ Θεῳ ποιησομεν δυναμιν. *Ps. cvii.* 13. *Conf. Marc. vi.* 5. ὁτι εὑρισκεται τοις μη πειραζουσιν αυτον, εμφανιζεται δε τοις μη απιστουσιν αυτῳ. κ. τ. λ. *Sap. i.* 2, 3. και υἱοι λοιμοι ειπαν, Τις σωσει ἡμας οὑτος; και ητιμασαν αυτον, και ουκ ηνεγκαν αυτῳ δωρα. 1 *Reg. x.* 27. τις σε κατεστησεν αρχοντα; κ. τ. λ. *Exod. ii.* 14.

ΚΕΦ. ιδ. 14.

ΕΝ εκεινῳ τῳ καιρῳ ηκουσεν Ἡρωδης ὁ τετραρχης την ακοην Ιησου,

εν τῳ καιρῳ εκεινῳ. *Esa. xxxix.* 1. *Jer. iii.* 17. *iv.* 11. *Deut. i.* 9. ηκουσε βασιλευς την ακοην αυτων. *Jer. xxvii.* 43. εν εκεινῳ τῳ καιρῳ διεστειλε Κυριος την φυλην. *Deut. x.* 8. *Conf. Marc. vi.* 14. *Luc. ix.* 7. [*De Herod. Antip. Tetrarch. conf. Jos. Ant. xviii.* 5. 7.]

2 Και ειπε τοις παισιν αὑτου, Οὑτος εστιν Ιωαννης ὁ Βαπτιστης· αυτος ηγερθη απο των νεκρων, και δια τουτο αἱ δυναμεις ενεργουσιν εν αυτῳ.

και ειπεν ὁ βασιλευς τοις παισιν αυτου. 1 *Esd. i.* 30. 1 *Reg. xvi.* 15, 17. νεκροι—εγερθησονται. *Esa. xxvi.* 19. *Conf. Sir. xlviii.* 5.

3 Ὁ γαρ Ἡρωδης κρατησας τον Ιωαννην, εδησεν αυτον και εθετο εν φυλακῃ, δια Ἡρωδιαδα την γυναικα Φιλιππου του αδελφου αὑτου.

και εθετο αυτους εν φυλακῃ ἡμερας τρεις. *Gen. xlii.* 17. *Conf. Marc. vi.* 17. *Luc. iii.* 19. κρατησας. 2 *Reg. vi.* 6. *Cant. iii.* 4. [τισι δε των Ιουδαιων εδοκει ολωλεναι τον Ἡρωδου στρατον ὑπο του Θεου και μαλα δικαιως τιννυμενου κατα ποινην Ιωαννου του επικαλουμενου βαπτιστου, κ. τ. λ. *Jos. Ant. xviii.* 6. 2. τοτε δε και Φιλιππος, Ἡρωδου δε ην αδελφος, κ. τ. λ. *xviii.* 5. 6.] [*De Herodiâ, fil. Aristob. fil. Herod. Mag. conf. Jos. Ant. xvii.* 1. *xviii.* 7.]

4 Ελεγε γαρ αυτῳ ὁ Ιωαννης, Ουκ εξεστι σοι εχειν αυτην.

ασχημοσυνην γυναικος αδελφου σου ουκ αποκαλυψεις, ασχημοσυνη αδελφου σου εστι. *Lev. xviii.* 16. ουκ εξεστιν ἡμιν ιδειν. *Esd. iv.* 14. γυναικα ληψῃ, και ανηρ ἑτερος ἑξει αυτην. *Deut. xxviii.* 30. *Esa. xiii.* 16.

5 Και θελων αυτον αποκτειναι, εφοβηθη τον οχλον, ὅτι ὡς προφητην αυτον ειχον.

Conf. Luc. xx. 6. εχειν (*reputare*). 2 *Mac.* vi. 11. Εσδρας ὡς γραμματευς. 1 *Esd.* viii. 3.

6 Γενεσιων δε αγομενων του Ἡρωδου, ωρχησατο ἡ θυγατηρ της Ἡρωδιαδος εν τῳ μεσῳ, και ηρεσε τῳ Ἡρωδῃ·

ἱνα αγητε τας ἡμερας της σκηνοπηγιας. 2 *Mac.* i. 9. *Est.* ix. 19, 21. 1 *Esd.* i. 17. και ἡ γυνη ἡ αν αρεσῃ τῳ βασιλει. *Est.* ii. 4. ἡμερα γενεσεως ην Φαραω. *Gen.* xl. 20. 2 *Mac.* vi. 7. *Conf.* 3 *Reg.* i. 8, 9. ηρεσεν αυτῳ το κορασιον. *Est.* ii. 9.

7 Ὁθεν μεθ' ὁρκου ὡμολογησεν αυτῃ δουναι ὁ εαν αιτησηται.

ὁθεν. *Sap.* xii. 23. *Epist. Jer.* 64. μεθ' ὁρκου. *Lev.* v. 4. *Jer.* xliv. 26. *Conf. Num.* xxxii. 11. ποιησομεν τας ὁμολογιας ἡμων ἁς ὡμολογηκαμεν. *Jer.* li. 25. και ειπεν ὁ βασιλευς, Τι θελεις Εσθηρ; και τι σου εστι το αξιωμα; ἑως του ἡμισους της βασιλειας μου, και εσται σοι. *Est.* v. 3.

8 Ἡ δε προβιβασθεισα ὑπο της μητρος αὑτης, Δος μοι, φησιν, ὡδε επι πινακι την κεφαλην Ιωαννου του Βαπτιστου.

προβιβασαι γε εδωκεν εν τῃ διανοιᾳ αυτῳ. *Exod.* xxxv. 34. *Deut.* vi. 7. 21. ει εὑρον χαριν ενωπιον του βασιλεως, δοθητω ἡ ψυχη τῳ αιτηματι μου, κ. τ. λ. *Est.* vii. 3.

9 Και ελυπηθη ὁ βασιλευς, δια δε τους ὁρκους και τους συνανακειμενους εκελευσε δοθηναι·

τοτε ὁ βασιλευς—πολυ ελυπηθη επ' αυτῳ. *Dan.* vi. 14. δια τον ὁρκον. *Jos.* ix. 20. 2 *Reg.* xxi. 7. αυτος ανακειται, εσθιει, και πινει. 1 *Esd.* iv. 10. 9-14. και—και. *Conf.* ταδε ποιησαι μοι ὁ Θεος —ει στησεται ἡ κεφαλη Ἑλισαιε επ' αυτῳ σημερον. 4 *Reg.* vi. 31.

10 Και πεμψας απεκεφαλισε τον Ιωαννην εν τῃ φυλακῃ.

εξαπεστειλεν εξ ουρανου, και εσωσε με. *Ps.* lvi. 3. cv. 20. *Vide Grot. ad loc.* v. 3. αποκεφαλιζειν. 1. *Reg.* xxxi. 9. *Comp. Ps.* cli. 7. πεμψας απεκεφ—*pro* πεμψας τινας απεκεφ. και απεστειλα αναγγειλαι. *Gen.* xxxii. 5. xxxviii. 25.

11 Και ηνεχθη ἡ κεφαλη αυτου επι πινακι, και εδοθη τῳ κορασιῳ· και ηνεγκε τῃ μητρι αὑτης.

λαβετε την κεφαλην—και ενεγκατε προς με. 4 *Reg.* iv. 6. πορευθεις δε ελαβε, και ηνεγκε τῃ μητρι. *Gen.* xxvii. 14.

12 Και προσελθοντες οἱ μαθηται αυτου ηραν το σωμα, και εθαψαν αυτο· και ελθοντες απηγγειλαν τῳ Ιησου.

ου κοιμηθησεται το σωμα αυτου επι του ξυλου, αλλα ταφῃ θαψετε. Deut. xxi. 23.

13 *Και ακουσας ὁ Ιησους ανεχωρησεν εκειθεν εν πλοιῳ εις ερη-*
μον τοπον κατ᾽ ιδιαν. Και ακουσαντες οἱ οχλοι ηκολουθησαν αυτῳ πεζῃ απο των πολεων.

κατ᾽ ιδιαν. 2 Mac. iv. 5. και εξηλθεν ὁ βασιλευς και παντες οἱ παιδες αυτου πεζῃ, [πεζοι Comp. Ald. Alex.] και εστησαν εν οικῳ τῳ μακραν. 2. Reg. xv. 17. Conf. Marc. vi. 32. Luc. ix. 10. Joan. vi. 2. [πασι τοις πλεουσι και τοις πεζουσι. Philo. De vit. Mos. p. 632.]

14 *Και εξελθων ὁ Ιησους ειδε πολυν οχλον, και εσπλαγχνισθη επ᾽ αυτους, και εθεραπευσε τους αρρωστους αυτων.*

προ αρρωστιας θεραπευου. Sir. xviii. 19. σπλαγχνα σου. Jer. xxviii. 13. Conf. Marc. vi. 35. Luc. ix. 12. xv. 32. Joan. vi. 5. [ει δε σπαγχνιζεται (Deus) εφ᾽ ἡμας. Act. Thom. c. xxxviii.] [εγω γαρ δυο ἡμερας και νυκτας ουκ εγευσαμην, σλαγχνιζομενος επι Ιωσηφ. Test. XII Patr. 656.]

15 *Οψιας δε γενομενης, προσηλθον αυτῳ οἱ μαθηται αυτου, λεγοντες, Ερημος εστιν ὁ τοπος, και ἡ ὡρα ηδη παρηλθεν· απολυσον τους οχλους, ἱνα απελθοντες εις τας κωμας, αγορασωσιν ἑαυτοις βρωματα.*

ἑως οὑ ὁ καιρος παρελθῃ. Dan. ii. 9. Job. xvii. 11. οχλους απελυσε. 2 Mac. xiv. 23. ὡς δε οψια εγενετο. Judith. xiii. 1. ὁτι αριστου ὡρα εστι. Sus. 13. αγορασαι βρωματα. Gen. xlii. 7.

16 *Ὁ δε Ιησους ειπεν αυτοις, Ου χρειαν εχουσιν απελθειν· δοτε αυτοις ὑμεις φαγειν.*

ου χρειαν εχομεν ἡμεις περι του ῥηματος τουτου αποκριθηναι. Dan. iii. 16. και εδωκαν φαγειν. 2 Par. xxviii. 15. μη δυνησεται ὁ Θεος ἑτοιμασαι τραπεζαν εν ερημῳ; Ps. lxxvii. 19-21.

17 *Οἱ δε λεγουσιν αυτῳ, Ουκ εχομεν ὡδε ει μη πεντε αρτους και δυο ιχθυας.*

18 *Ὁ δε ειπε, Φερετε μοι αυτους ὡδε.*

19 *Και κελευσας τους οχλους ανακλιθηναι επι τους χορτους, και λαβων τους πεντε αρτους και τους δυο ιχθυας, αναβλεψας εις τον ουρανον, ευλογησε· και κλασας εδωκε τοις μαθηταις τους αρτους, οἱ δε μαθηται τοις οχλοις.*

και ελαβεν αρτους. Gen. xxi. 14. αναβλεψον δη εις τον ουρανον. Gen. xv. 5. Job. xxxv. 5. και ου μη κλασθῃ αρτος. Jer. xvi. 7. Conf. Marc. vi. 40-45. Luc. ix. 12. Joan. vi. 9. 4 Reg. iv. 42-44. και ειπε,

Δος τῳ λαῳ και εσθιετωσαν, ὁτι ταδε λεγει Κυριος, Φαγονται και καταλειψουσι. Και εφαγον και κατελιπον κατα το ῥημα Κυριου. 4 *Reg. iv.* 43, 44. ανακλιθητε και ευφρανθητε. 1 *Reg. xvi.* 5. *Comp. Conf.* 3 *Reg. xvii.*

20 Και εφαγον παντες, και εχορτασθησαν· και ηραν το περισσευον των κλασματων, δωδεκα κωφινους πληρεις.

και εφαγον και ενεπλησθησαν σφοδρα. *Ps. lxxvii.* 29. *Ald. Comp.* εν ἡμεραις λιμου χορτασθησονται. *Ps. xxxvi.* 19. παν ὁ εαν περισσευσῃ σοι ποιει ελεημοσυνην. *Tob. iv.* 16. *Conf. Exod. xvi.* 23.

21 Οἱ δε εσθιοντες ησαν ανδρες ὡσει πεντακισχιλιοι, χωρις γυναικων και παιδιων.

και ησαν ῳδαι αυτου πεντακισχιλιαι. 3 *Reg. iv.* 32. ὡσει ὡραν θυσιας ἑσπερινης. *Dan. ix.* 21. ὡσει δεκα χιλιαδες. *Jud. iii.* 29. χωρις των γυναικων. *Gen. xlvi.* 26. χωρις δουλων αυτων και παιδισκων αυτων, οὑτοι ἑπτακισχιλιοι, κ. τ. λ. *Esd. ii.* 65.

22 Και ευθεως ηναγκασεν ὁ Ιησους τους μαθητας αὑτου εμβηναι εις το πλοιον, και προαγειν αυτον εις το περαν, ἑως οὑ απολυσῃ τους οχλους.

ὁ αναγκαζων. *Prov. vi.* 7. και περαν του Ιορδανου, Γαλιλαια των εθνων. *Esa. ix.* 1. εμβας εις πλοιον. 1 *Mac. xv.* 37. ἑως οὑ. *Ps. lxxi.* 7. *xciii.* 15. *Gen. xxvi.* 13.

23 Και απολυσας τους οχλους, ανεβη εις το ορος κατ᾽ ιδιαν προσευξασθαι. Οψιας δε γενομενης, μονος ην εκει.

Conf. Marc. vi. 46. *Joan. vi.* 15. αναβηθι—εις το ορος. *Exod. xxxiv.* 2.

24 Το δε πλοιον ηδη μεσον της θαλασσης ην, βασανιζομενον ὑπο των κυματων· ην γαρ εναντιος ὁ ανεμος.

25 Τεταρτῃ δε φυλακῃ της νυκτος απηλθε προς αυτους ὁ Ιησους, περιπατων επι της θαλασσης.

εν φυλακῃ τῃ πρωϊνῃ. 1 *Reg. xi.* 11. *Ald. Comp.* εν ετει τεταρτῳ. 3 *Reg. xxii.* 41. *Zach. vii.* 1. και περιπατων ὡς επ᾽ εδαφους επι θαλασσης. *Job. ix.* 8. ὁ στεγαζων εν ὑδασι τα ὑπερῳα αυτου, ὁ τιθεις νεφη την επιβασιν αυτου· ὁ περιπατων επι πτερυγων ανεμων. *Ps. ciii.* 3.

26 Και ιδοντες αυτον οἱ μαθηται επι την θαλασσαν περιπατουντα, εταραχθησαν, λεγοντες, Ὁτι φαντασμα εστι· και απο του φοβου εκραξαν.

εταραχθησαν παντες. *Ps. lxxv.* 5. φαντασμα. *Conf.* 1 *Reg. xxviii.* 12-14. *Job. iv.* 15. *Dan. x.* 6. *Sap. xvii.* 15. [*Jos. Ant. i.* 20. 2.]

27 Ευθεως δε ελαλησεν αυτοις ὁ Ιησους, λεγων, Θαρσειτε· εγω
ειμι, μη φοβεισθε.

θαρσησον γυναι, μη φοβηθης τη καρδια σου. *Judith. xi.* 1. ελαλησεν αυτω Κυριος. *Gen. xii.* 4. ουκ ελαλησα ὑμιν, λεγων; *xlii.* 22. εγω ειμι Ιωσηφ, κ. τ. λ. *xlv.* 3, 4. εγω ειμι, εγω ειμι. *Esa. xliii.* 25. *Conf. Esa. xlii.* 1-5.

28 Αποκριθεις δε αυτω ὁ Πετρος ειπε, Κυριε, ει συ ει, κελευσον
με προς σε ελθειν επι τα ὑδατα.

αποκριθεις δε—ειπε. *Gen. xxiii.* 10. εκελευσε προσαγαγειν τον ἑτερον. *Susan.* 56. ειδοσαν σε ὑδατα, ὁ Θεος, ειδοσαν σε ὑδατα, κ. τ. λ. *Ps. lxxvi.* 16. διεῤῥηξε θαλασσαν, και διηγαγεν αυτους. *lxxvii.* 13. συ γαρ ει Θεος, και ουκ ηδειμεν, κ. τ. λ. *Esa. xlv.* 15.

29 Ὁ δε ειπεν, Ελθε. Και καταβας απο του πλοιου ὁ Πετρος
περιεπατησεν επι τα ὑδατα, ελθειν προς τον Ιησουν.

καταβησονται απο των πλοιων. *Ezech. xxvii.* 29.

30 Βλεπων δε τον ανεμον ισχυρον, εφοβηθη· και αρξαμενος
καταποντιζεσθαι εκραξε, λεγων, Κυριε, σωσον με.

εαν πορευθω εν μεσω θλιψεως, ζησεις με. *Ps. cxxxvii.* 7.

31 Ευθεως δε ὁ Ιησους εκτεινας την χειρα, επελαβετο αυτου,
και λεγει αυτω, Ολιγοπιστε, εις τι εδιστασας;

σωσον με, Κυριε. *Ps. xi.* 1. υἱοι, οἱς ουκ εστι πιστις εν αυτοις. *Deut. xxxii.* 20. ὁ δε δικαιος εκ πιστεως μου ζησεται. *Hab. ii.* 4. μη απειθησης φοβω Κυριου, και μη προσελθης αυτω εν καρδια δισση. *Sir. i.* 27. οἱ ολιγοψυχοι τη διανοια ισχυσατε, μη φοβεισθε. *Esa. xxxv.* 4. *Conf.* 2 *Reg. xv.* 5. 4 *Reg. vi.* 7. *Matt. xxviii.* 17.

32 Και εμβαντων αυτων εις το πλοιον, εκοπασεν ὁ ανεμος·

και επηγαγεν ὁ Θεος πνευμα—και εκοπασε το ὑδωρ. *Gen. viii.* 1. το πυρ. *Num. xi.* 2. και επεταξε τη καταιγιδι, και εστη εις αυραν, και εσιγησαν τα κυματα αυτης, κ. τ. λ. *Ps. cvi.* 29, 30.

33 Οἱ δε εν τω πλοιω ελθοντες προσεκυνησαν αυτω, λεγοντες,
Αληθως Θεου υἱος ει.

και Χαλδαιοι εν πλοιοις δεθησονται. *Esa. xliii.* 14. και γαρ αληθως αδελφη μου εστιν εκ πατρος. *Gen. xx.* 12. υἱος μου ει συ. *Ps. ii.* 7. *Conf. Joan. i.* 50. *Ps. ii.* 6, 7.

34 Και διαπερασαντες ηλθον εις την γην Γεννησαρετ.

διαπερασαι τον Ιορδανην. 2 *Reg. xix.* 15. *Ald. Deut. xx.* 13. Γεννησαρ. 1 *Mac. xi.* 67. *Conf. Marc. vi.* 53. [Γεννεσαρ χωρα—λιμνη Γεννεσαρ. *Jos. Bell. Jud. iii.* 10. 7, 8.]

35 Και επιγνοντες αυτον οἱ ανδρες του τοπου εκεινου, απεστειλαν εις ὁλην την περιχωρον εκεινην, και προσηνεγκαν αυτῳ παντας τους κακως εχοντας·

και οἱ ανθρωποι οἱ εκ του τοπου. *Gen.* *xxxviii.* 21, 22. και το κακως εχον ουκ εσωματοποιησατε. *Ezech.* *xxxiv.* 4. και παντα τα περιχωρα Σαρων. 1 *Par.* *v.* 16. *Neh.* *iii.* 9, 12. και αυτος προσδοκια εθνων. *Gen.* *xlix.* 10.

36 Και παρεκαλουν αυτον, ἱνα μονον ἁψωνται του κρασπεδου του ἱματιου αυτου· και ὁσοι ἡψαντο, διεσωθησαν.

παρακαλω ουν ὑμας και αξιω. 2 *Mac.* *ix.* 26. *xv.* 8. ἁψηται το ακρον του ἱματιου αυτου. *Agg.* *ii.* 13. *Conf.* *Luc.* *viii.* 44. *Act.* *xix.* 12. *Exod.* *xxviii.* 33. *Num.* *xv.* 38. εχρισε σε ὁ Θεος ὁ Θεος σου ελαιον αγαλλιασεως παρα τους μετοχους σου· σμυρνα, και στακτη, και κασια απο των ἱματιων σου, κ. τ. λ. *Ps.* *xliv.* 7, 8. και επιλαβωνται του κρασπεδου ανδρος Ιουδαιου. *Zach.* *viii.* 23. *Conf.* *supra* *ix.* 20. διασωζειν. *Jer.* *viii.* 20. *Conf.* *v.* 17, 18. διεθεντο προς αυτους διαθηκην του διασωσαι αυτους. *Jos.* *ix.* 15.

ΚΕΦ. ιε. 15.

ΤΟΤΕ προσερχονται τῳ Ιησου οἱ απο Ἱεροσολυμων Γραμματεις και Φαρισαιοι, λεγοντες,

Conf. *Marc.* *vii.* 1. *Matt.* *iii.* 7. Συριαν αφ' ἡλιου ανατολων, και τους Ἑλληνας αφ' ἡλιου δυσμων. *Esa.* *ix.* 12. *Conf.* *Esd.* *vii.* 6.

2 Διατι οἱ μαθηται σου παραβαινουσι την παραδοσιν των πρεσβυτερων; ου γαρ νιπτονται τας χειρας αὑτων, ὁταν αρτον εσθιωσιν.

διοτι παρεβησαν τον νομον. *Esa.* *xxiv.* 5. *Alex.* *Ald.* *Comp.* οἱ παραβαινοντες εντολας. *Sir.* *x.* 19. Ααρων και παντες οἱ πρεσβυτεροι. *Exod.* *xviii.* 12. και νιψεται Ααρων και οἱ υἱοι αυτου εξ αυτου τας χειρας και τους ποδας ὑδατι. *Exod.* *xxx.* 19. και δῳ μοι αρτον φαγειν. *Gen.* *xxviii.* 20. *Conf.* *Marc.* *vii.* 1, 3. και επιστρεψας ελουσαμην, και ησθιον τον αρτον μου εν λυπῃ. *Tob.* *ii.* 5. [*De* *Pharis.* *tradit.* *Jos.* *Ant.* *xiii.* 10. 6.]

3 Ὁ δε αποκριθεις ειπεν αυτοις, Διατι και ὑμεις παραβαινετε την εντολην του Θεου δια την παραδοσιν ὑμων;

ἱνατι ὑμεις παραβαινετε το ῥημα Κυριου; *Num.* *xiv.* 41.

4 Ὁ γαρ Θεος ενετειλατο λεγων, Τιμα τον πατερα σου, και

την μητερα· και, Ὁ κακολογων πατερα η μητερα, θανατῳ τελευτατω·

Τιμα τον πατερα σου και την μητερα σου. *Exod. xx.* 12. [*apud Philo. p.* 128.] *CITAT.* 24. ὁ κακολογων πατερα αυτου η μητερα αυτου τελευτησει θανατῳ. *Exod. xxi.* 16. *CITAT.* 25. [*Conf. Philo. p.* 361. *Edit. Col.*] εν εργῳ και λογῳ τιμα τον πατερα σου. *Sir. iii.* 8. *Conf. Deut. v.* 16. *Ephes. vi.* 2. *Lev. xix.* 3. κακολογουντος πατερα η μητερα, σβεσθησεται λαμπτηρ. *Prov. xx.* 20.

5 Ὑμεις δε λεγετε, Ὃς αν ειπῃ τῳ πατρι η τῃ μητρι, Δωρον,
ὁ εαν εξ εμου ωφεληθῃς, και ου μη τιμησῃ τον πατερα αὑτου
η την μητερα αὑτου·

εξ ἡς (*sc.* δοξης) ουκ ωφεληθησονται. *Jer. ii.* 11. ὁθεν ουκ ωφεληθησεσθε. *vii.* 8. δωρον τῳ Κυριῳ. *Lev. xxvii.* 9. *Prov. xx.* 25.

6 Και ηκυρωσατε την εντολην του Θεου δια την παραδοσιν
ὑμων.

μη ακυρους ποιησεις εμους λογους. *Prov. v.* 7. *i.* 25. καιρος του ποιησαι τῳ Κυριῳ, διεσκεδασαν τον νομον σου. *Ps. cxviii.* 126. νομον Κυριου απεδοκιμασαν. *Jer. viii.* 9. *Ose. iv.* 6. πως ερειτε, Ὁτι σοφοι εσμεν ἡμεις, και νομος Κυριου μεθ' ἡμων εστιν; εις ματην εγενηθη σχοινος ψευδης γραμματευσι. *Jer. viii.* 8.

7 Ὑποκριται, καλως προεφητευσε περι ὑμων Ησαϊας, λεγων,

καλως. *Jer. i.* 12. Ἱερεμιου προφητευοντος τους λογους τουτους. *Jer. xx.* 1. εαν μη πιστευσητε, ουδε μη συνητε. *Esa. vii.* 9. Ἡσαϊας ὁ προφητης ὁ μεγας και πιστος εν ὁρασει αυτου, κ. τ. λ. *Sir. xlviii.* 22-25. ὑποκριται. *Job. xxxiv.* 30. *xxxvi.* 13. καλως. *Esa. xxiii.* 16.

8 Εγγιζει μοι ὁ λαος οὑτος τῳ στοματι αὑτων, και τοις χει-
λεσι με τιμᾳ· ἡ δε καρδια αυτων πορῤω απεχει απ' εμου.

9 Ματην δε σεβονται με, διδασκοντες διδασκαλιας, ενταλ-
ματα ανθρωπων.

8, 9.] εγγιζει μοι ὁ λαος οὑτος εν τῳ στοματι αυτου, και εν τοις χειλεσιν αυτων τιμωσι με, ἡ δε καρδια αυτων πορῤω απεχει απ' εμου· ματην δε σεβονται με, διδασκοντες ενταλματα ανθρωπων και διδασκαλιας. *Esa. xxix.* 13. *Conf. Marc. vii.* 6. *Col. ii.* 22. *Mal. ii.* 7-9. *CITAT.* 26.

10 Και προσκαλεσαμενος τον οχλον, ειπεν αυτοις, Ακουετε και
συνιετε.

προσκαλεσαμενος δε Ισαακ τον Ιακωβ, ευλογησε. *Gen. xxviii.* 1.

διο συνετοι καρδιας ακουσατε μου. Job. xxxiv. 10. Conf. Marc. vii. 14. Deut. iv. 1. Esa. xlvi. 3. Ose. v. 1.

11 Ου το εισερχομενον εις το στομα κοινοι τον ανθρωπον· αλλα το εκπορευομενον εκ του στοματος, τουτο κοινοι τον ανθρωπον.

το εκπορευομενον εκ του στοματος ὑμων. Num. xxxii. 24. ουδε εισεληλυθεν εις το στομα μου παν κρεας ἑωλον. Ezech. iv. 14. Dan. x. 3. Conf. Act. x. 14, 15. Rom. xiv. 14. 1 Cor. viii. 4. 1 Tim. iv. 4. Tit. i. 15. του μη φαγειν κοινα. 1 Mac. i. 62. κτηνη κοινα. 1 Mac. i. 47. Conf. Ps. xviii. 14. Esa. lix. 3. Jer. ix. 3-6.

12 Τοτε προσελθοντες οἱ μαθηται αυτου, ειπον αυτῳ, Οιδας ὁτι οἱ Φαρισαιοι ακουσαντες τον λογον εσκανδαλισθησαν;

εἱς εστιν ανηρ εις το επερωτησαι δι' αυτου τον Κυριον, και εγω μεμισηκα αυτον, ὁτι ου λαλει περι εμου καλα, αλλ' η κακα, κ. τ. λ. 3 Reg. xxii. 8, 13.

13 Ὁ δε αποκριθεις ειπε, Πασα φυτεια, ἡν ουκ εφυτευσεν ὁ πατηρ μου ὁ ουρανιος, εκριζωθησεται.

πεφυτευμενοι εν τῳ οικῳ Κυριου εν ταις αυλαις του Θεου ἡμων εξανθησουσι. Ps. xci. 13. δια τουτο φυτευσεις φυτευμα απιστον. Esa. xvii. 10. εκριζουν, και κατασκαπτειν, και απολυειν. Jer. i. 10. Conf. Joan. xv. 2. 1 Cor. iii. 12. [ἡ φυτεια αυτων εῤῥιζωμενη εις τον αιωνα, ουκ εκτιλησονται πασας τας ἡμερας. Psalt. Sal. xiv. 3.]

14 Αφετε αυτους· ὁδηγοι εισι τυφλοι τυφλων· τυφλος δε τυφλον εαν ὁδηγῃ, αμφοτεροι εις βοθυνον πεσουνται.

αφες αυτην. 4 Reg. iv. 16. αφετε με. Esa. xxii. 4. εμπεσειται εις τον βοθυνον. Esa. xxiv. 18. xlii. 16. xlviii. 44. Conf. Luc. vi. 39. Rom. ii. 19. Jer. v. 31. Esa. ix. 16. Mich. iii. 6, 7. και εσται καθως ὁ λαος, οὑτως και ὁ ἱερευς. Ose. iv. 9. μετοχος ειδωλων Εφραϊμ εθηκεν ἑαυτῳ σκανδαλα. 17.

15 Αποκριθεις δε ὁ Πετρος ειπεν αυτῳ, Φρασον ἡμιν την παραβολην ταυτην.

διδαξατε με—ει τι πεπλανημαι, φρασατε μοι. Job. vi. 24. αποκριθεις δε Ιακωβ, ειπε τῳ Λαβαν. Gen. xxxi. 36. Conf. Marc. vii. 17. νοησει τε παραβολην και σκοτεινον λογον. Prov. i. 16.

16 Ὁ δε Ιησους ειπεν, Ακμην και ὑμεις ασυνετοι εστε;

ακμη. Sym. ἑως του νυν. Gen. xviii. 12. LXX. Conf. Marc. vii. 18. Prov. i. 22. [ακμην· ετι. Hesych. et Suid.]

17 Ουπω νοειτε, ὁτι παν το εισπορευομενον εις το στομα, εις την κοιλιαν χωρει, και εις αφεδρωνα εκβαλλεται;

Conf. 4 *Reg.* x. 27. αφεδρος. *Lev.* xv. 19, 20. [λυματα, καθαρμασι, ταις της γαστρος εις αφεδρωνα αποκρισεσι. *Suid.*]

18 Τα δε εκπορευομενα εκ του στοματος εκ της καρδιας εξερχεται, κακεινα κοινοι τον ανθρωπον.

θυειν ὑεια, και κτηνη κοινα. 1 *Mac.* i. 47. του μη φαγειν κοινα. 62. *Conf. Num.* xix. 8. *ubi LXX.* ακαθαρτος. *Conf. Jac.* iii. 6. τα ῥηματα του στοματος αυτου ανομια και δολος. *Ps.* xxxv. 3.

19 Εκ γαρ της καρδιας εξερχονται διαλογισμοι πονηροι, φονοι, μοιχειαι, πορνειαι, κλοπαι, ψευδομαρτυριαι, βλασφημιαι·

παση φυλακῃ τηρει σην καρδιαν, εκ γαρ τουτων εξοδοι ζωης. *Prov.* iv. 23. βαθεια ἡ καρδια παρα παντα, και ανθρωπος εστι, και τις γνωσεται αυτον; *Jer.* xvii. 9. διαλογισμοι αυτων εις κακον. *Ps.* lv. 5. *Conf. Gen.* vi. 5. viii. 21. *Marc.* vii. 21. *Esa.* liii. 6. lviii. 3-5. *Eccles.* vii. 8.

20 Ταυτα εστι τα κοινουντα τον ανθρωπον· το δε ανιπτοις χερσι φαγειν, ου κοινοι τον ανθρωπον.

21 Και εξελθων εκειθεν ὁ Ιησους ανεχωρησεν εις τα μερη Τυρου και Σιδωνος.

εις μερος της Φοινικης. *Exod.* xvi. 35. εκ μερους των ὁριων σου. *Num.* xx. 16. *Job.* xxvi. 14. *Esa.* vii. 18. και τι ὑμεις εμοι Τυρος, και Σιδων, και πασα Γαλιλαια αλλοφυλων; κ. τ. λ. *Joel.* iii. 4.

22 Και ιδου, γυνη Χαναναια απο των ὁριων εκεινων εξελθουσα εκραυγασεν αυτῳ, λεγουσα, Ελεησον με, Κυριε, υἱε Δαβιδ· ἡ θυγατηρ μου κακως δαιμονιζεται.

απο των ὁριων της Ιδουμαιας. *Jos.* xv. 1. *Conf.* 3 *Reg.* xiii. 14. Κυριε ελεησον με. *Ps.* xl. 4. lxxxv. 3. και προσκυνησουσιν αυτῳ θυγατερες Τυρου εν δωροις, κ. τ. λ. *Ps.* xliv. 12. *Ezech.* iii. 6. *Matt.* iv. 24. το πονηρον δαιμονιον. *Tob.* iii. 8. [κακως· δεινως. *Hesych.*]

23 Ὁ δε ουκ απεκριθη αυτῃ λογον. και προσελθοντες οἱ μαθηται αυτου ηρωτων αυτον, λεγοντες, Απολυσον αυτην, ὁτι κραζει οπισθεν ἡμων.

και εκωφευσαν, και ουκ απεκριθησαν αυτῳ λογον. 4 *Reg.* xviii. 36. 3 *Reg.* xviii. 21. καιρος του σιγαν, και καιρος του λεγειν. *Eccles.* iii. 7.

24 Ὁ δε αποκριθεις ειπεν, Ουκ απεσταλην ει μη εις τα προβατα τα απολωλοτα οικου Ισραηλ.

παντες ὡς προβατα επλανηθημεν. *Esa.* liii. 6. προβατα απολωλοτα εγενηθη ὁ λαος μου. *Jer.* xxvii. 6. *Ezech.* xxxiv. 5, 6. ὡς προβατον

πλανωμενον. Esa. xiii. 14. *liii.* 6. *που ὁ αναβιβασας—τον ποιμενα των προβατων*; *lxiii.* 11. *οικος* Ισραηλ, λεγει Κυριος, Κυριος, *προβατα μου και προβατα ποιμνιου μου εστε. Ezech. xxxiv.* 30, 31. *εις pro προς.* 3 *Reg. ii.* 28. *Matt. xxiii.* 34. *Act. ix.* 2. *Conf. Act. xiii.* 46. *Rom. xv.* 8. *απεσταλην. Conf. Esa. vi.* 8.

25 Ἡ δε ελθουσα προσεκυνει αυτῳ, λεγουσα, Κυριε, βοηθει μοι.
ὁ Θεος βοηθησον μοι. Ps. lxix. 5. *βοηθησον μοι, και σωθησομαι. cxviii.* 117. Κυριε *βοηθε μου, και λυτρωτα μου. Ps. xviii.* 14. *Conf. Marc. ix.* 22. *και προσεκυνησαν αυτῳ. Gen. xliii.* 26.

26 Ὁ δε αποκριθεις ειπεν, Ουκ εστι καλον λαβειν τον αρτον
των τεκνων, και βαλειν τοις κυναριοις.
ου καλον ειναι. Gen. ii. 18. *Ps. xvii.* 27. *και αἱ ιδεαι των παιδαριων των εσθοντων την τραπεζαν του βασιλεως. Dan. i.* 13. *Conf. Sap. vii.* 6. *νηπια ῃτησαν αρτον, κ. τ. λ. Thren. iv.* 4.

27 Ἡ δε ειπε, Ναι, Κυριε· και γαρ τα κυναρια εσθιει απο των
ψιχιων των πιπτοντων απο της τραπεζης των κυριων αὑτων.
Ναι *δη επ' αληθειας εγω επλανηθην. Job. xix.* 4. Ναι· *ιδου* Σαρρα *ἡ γυνη σου τεξεται σοι υἱον. Gen. xvii.* 19. *οὑς ουχ ἡγησαμην αξιους κυνων των εμων νομαδων. Job. xxx.* 1. *χειρων κυνος.* 1 *Reg. xvii.* 43. 2 *Reg. iii.* 8. *φαγειν απο— Gen. iii.* 1, 2, 5. *Lev. vii.* 8, 11.

28 Τοτε αποκριθεις ὁ Ιησους ειπεν αυτῃ, Ω γυναι, μεγαλη σου
ἡ πιστις· γενηθητω σοι ὡς θελεις. Και ιαθη ἡ θυγατηρ αυτης
απο της ὡρας εκεινης.
Ω Κυριε, *πως ποιησομεν*; 4 *Reg. vi.* 15. *εγενηθη κατα το ῥημα. Gen. xliv.* 2. *αυτῃ τῃ ὡρᾳ ὁ λογος συνετελεσθη. Dan. iv.* 30. *γενοιτο το ελεος σου* Κυριε *εφ' ἡμας, καθαπερ ηλπισαμεν επι σε. Ps. xxxii.* 22. *Conf.* 1 *Reg. ii.* 30. *απο της ἡμερας.* 2 *Reg. xiii.* 32.

29 Και μεταβας εκειθεν ὁ Ιησους ηλθε παρα την θαλασσαν της
Γαλιλαιας· και αναβας εις το ορος, εκαθητο εκει.
ταχυ ποιει χωρα Ζαβυλων, *ἡ γη* Νεφθαλειμ, *και οἱ λοιποι οἱ την παραλιαν, και περαν του* Ιορδανου Γαλιλαια *των εθνων. Isa. ix.* 1. [*Jos. Bell. Jud. iii.* 9. 7.] *αναβαινετε εις το ορος. Deut. i.* 41. [*παρα ποταμον βαδιζων. Jos. Ant. ii.* 5. 5.]

30 Και προσηλθον αυτῳ οχλοι πολλοι, εχοντες μεθ' ἑαυτων
χωλους, τυφλους, κωφους, κυλλους και ἑτερους πολλους, και
ερρῖψαν αυτους παρα τους ποδας του Ιησου· και εθεραπευσεν
αυτους,
οἱ δε ἱερεις—ῥιψαντες ἑαυτους. 2 *Mac. iii.* 15. *και την γυναικα*

μου εθεραπευσε. *Tob. xii.* 2. εκαλεσεν αυτην κατα ποδας αυτου. *Esa. xli.* 2. [κυλλος· χωλος, καμπυλος. *Hesych.*] *Conf. Marc. vii.* 13.

31 Ὡστε τους οχλους θαυμασαι, βλεποντας κωφους λαλουντας, κυλλους ὑγιεις, χωλους περιπατουντας, και τυφλους βλεποντας· και εδοξασαν τον Θεον Ισραηλ.

ὡστε. *Jos. x.* 14. τοτε ανοιχθησονται οφθαλμοι τυφλων, και ωτα κωφων ακουσονται, κ. τ. λ. *Esa. xxxv.* 5. και δοξασουσι το ονομα σου. *Ps. lxxxv.* 9. τον Θεον του Ισραηλ φοβηθησονται. *Es. xxix.* 23. και γνωσονται τα εθνη ὁτι εγω ειμι Κυριος, ἁγιος εν Ισραηλ. *Ezech. xxxix.* 7. και διαβησονται προς σε, και προσκυνησουσι σοι, και εν σοι προσευξονται· ὁτι εν σοι ὁ Θεος εστι, και ουκ εστι Θεος πλην σου. Συ γαρ ει Θεος, και ουκ ηδειμεν, ὁ Θεος του Ισραηλ σωτηρ. *Esa. xlv.* 14. *xxix.* 18. *xxxv.* 5. *xlii.* 7, 18.

32 Ὁ δε Ιησους προσκαλεσαμενος τους μαθητας αὑτου ειπε, Σπλαγχνιζομαι επι τον οχλον, ὁτι ηδη ἡμερας τρεις προσμενουσι μοι, και ουκ εχουσι τι φαγωσι. και απολυσαι αυτους νηστεις ου θελω, μηποτε εκλυθωσιν εν τῃ ὁδῳ.

τα δε σπλαγχνα των ασεβων ανελημονα. *Prov. xii.* 10. σπλαγχνιζειν. 1 *Reg. xv.* 21. *alii, Deut. xiii.* 8. *Sym.* επισπλαγχνιζομενος. *Prov. xvii.* 3. [σπλαγχνιζομενος επι Ιωσηφ. *Test. XII Patr. p.* 636.] *Jer. xxviii.* 13. *Gen. xliii.* 10. *alii.* ἡμεις εκλελυμεθα ασιτουντες σημερον. 1 *Mac. iii.* 17. τους οχλους απελυσε. 2 *Mac. xiv.* 23. ὁτι δωσομεν τοις ανδρασι σου τοις εκλυομενοις αρτους. *Jud. viii.* 5. *Edit. Hervag.* δοτε δη αρτους εις τροφην τῳ λαῳ—ὁτι εκλειπουσι. *Edit. Bos.* νηστεις. *Dan. vi.* 18. *LXX.* νηστις ὁ ασιτος. *Suidas.* εν τῃ ὁδῳ. *Gen. xlii.* 38. *xlv.* 24. Ὡραιον ελεος εν καιρῳ θλιψεως αυτου, ὡς νεφελαι ὑετου εν καιρῳ αβροχιας. *Sir. xxxii.* 20. μηποτε. *Gen. xxiv.* 5. *Exod. xxxii.* 12. *Ps. lxxviii.* 10.

33 Και λεγουσιν αυτῳ οἱ μαθηται αυτου, Ποθεν ἡμιν εν ερημιᾳ αρτοι τοσουτοι, ὡστε χορτασαι οχλον τοσουτον;

και κατελαλησεν του Θεου, και ειπαν, Μη δυνησεται ὁ Θεος ἑτοιμασαι τραπεζαν εν ερημῳ; *Ps. lxxvii.* 19. τους πτωχους αυτης χορτασω αρτων. *Ps. cxxxi.* 15. ὡστε. *Num. viii.* 11. ποθεν μοι κρεα δουναι παντι τῳ λαῳ τουτῳ; κ. τ. λ. *Num. xi.* 13-22. *Conf.* 4 *Reg. iv.* 43. δος τῳ λαῳ, και εσθιετωσαν, ὁτι ταδε λεγει Κυριος, Φαγονται, και καταλειψουσι. *Conf. Marc. viii.* 1-12.

34 Και λεγει αυτοις ὁ Ιησους, Ποσους αρτους εχετε; Οι δε ειπον, Ἑπτα, και ολιγα ιχθυδια.

ποσαι ἡμεραι ετων ζωης μου; 2 *Reg. xix.* 34. *Conf.* 3 *Reg. xvii.* 12.

35 Και εκελευσε τοις οχλοις αναπεσειν επι την γην·
και ανεπεσα του φαγειν. *Tob. ii.* 1. *Judith. xii.* 16.

36 Και λαβων τους ἑπτα αρτους και τους ιχθυας, ευχαριστη-
σας εκλασε, και εδωκε τοις μαθηταις αὑτου, οἱ δε μαθηται τῳ
οχλῳ.
και ληψομαι αρτον, και φαγεσθε. *Gen. xviii.* 5. και ελαβεν αρτους. *xxi.* 14. ου μη κλασθῃ αρτος. *Jer. xvi.* 7. εδωκε τα εδεσματα και τους αρτους. *Gen. xxvii.* 17. και ηνεγκε προς τον ανθρωπον του Θεου πρωτογννηματων εικοσι αρτους, κ. τ. λ. 4 *Reg. iv.* 42.

37 Και εφαγον παντες, και εχορτασθησαν· και ἠραν το περισ-
σευον των κλασματων, ἑπτα σπυριδας πληρεις.
και εφαγον και ενεπλησθησαν σφοδρα. *Ps. lxxvii.* 29. *Alex. Comp.* και εφαγον, και κατελιπον, κ. τ. λ. 4 *Reg. iv.* 44. ἑνεκεν κλασματων αρτων. *Ezech. xiii.* 19. κλασματι αρτου. *Jud. xix.* 5. *Alex. O. Ald. Comp.* [ἁ δ' αν περισσευῃ, κατακαιουσι. *Jos. Ant. iii.* 9. 2.] *Conf. Marc. viii.* 8.

38 Οἱ δε εσθιοντες ησαν τετρακισχιλιοι ανδρες, χωρις γυναικων
και παιδιων.
ἑξακοσιαι χιλιαδες πεζων ὁ λαος, εν οἱς ειμι εν αυτοις· και συ ειπας, Κρεα δωσω αυτοις φαγειν, κ. τ. λ. *Num. xi.* 21. *Vide cap. xiv.* 20-23. των υἱων Λευι τετρακισχιλιοι και ἑξακοσιοι. 1 *Par. xii.* 26. χωρις των γυναικων υἱων. *Gen. xlvi.* 26. ὁτι εχορτασε ψυχην κενην, και πεινωσαν ενεπλησεν αγαθων. *Ps. cvi.* 9.

39 Και απολυσας τους οχλους ενεβη εις το πλοιον, και ηλθεν εις
τα ὁρια Μαγδαλα. July 5

ΚΕΦ. ις. 16.

ΚΑΙ προσελθοντες οἱ Φαρισαιοι και Σαδδουκαιοι, πειραζοντες επηρωτησαν αυτον σημειον εκ του ουρανου επιδειξαι αυτοις.
και ηλθε πειρασαι αυτον εν αινιγμασι. 3 *Reg. x.* 1. 2 *Par. ix.* 1. επηρωτησαν. *Conf. Prov. xvii.* 28. αιτησαι σεαυτῳ σημειον παρα Κυριου. *Esa. vii.* 11. *Conf. Matt. iii.* 7. *Marc. viii.* 12. *Luc. xii.* 54. *Joan. iv.* 48. 1 *Cor. i.* 22. ουκ εκπειρασεις Κυριον τον Θεον σου. *Deut. vi.* 16. [*De Pharis. Jos. Ant. xviii.* 13. *De Sadd. xiii.* 5. 9.]

2 Ὁ δε αποκριθεις ειπεν αυτοις, Οψιας γενομενης λεγετε,
Ευδια· πυῤῥαζει γαρ ὁ ουρανος.
ὡς δε οψια εγενετο. *Judith. xiii.* 1. και ιδου νεφελη μικρα ὡς ιχνος ανδρος αναγουσα ὑδωρ, κ. τ. λ. 3 *Reg. xviii.* 44, 45. ευδια. *Sir. iii.* 15.

3 Και πρωϊ, Σημερον χειμων· πυῤῥαζει γαρ στυγναζων ὁ ουρανος. Ὑποκριται, το μεν προσωπον του ουρανου γινωσκετε διακρινειν, τα δε σημεια των καιρων ου δυνασθε;

παν το προσωπον της γης. *Gen. ii.* 6. νυξ στυγνη. *Sap. xvii.* 5. τι ποιησομεν σοι, και κοπασει ἡ θαλασσα αφ' ἡμων; ὁτι ἡ θαλασσα επορευετο και εξηγειρε μαλλον κλυδωνα. κ. τ. λ. *Jon. i.* 11-16. χειμων. *Esd. x.* 9. 1 *Esd. ix.* 6. [ὡς δε εισηλθομεν, γινεται χειμων σφοδρος. *Test. XII Patr. p.* 670. παντων γαρ εστηλιτευται των επι γης, εν ουρανῳ σημεια. *Philo. de Monarch. p.* 824.]

4 Γενεα πονηρα και μοιχαλις σημειον επιζητει· και σημειον ου δοθησεται αυτῃ, ει μη το σημειον Ιωνα του προφητου. Και καταλιπων αυτους, απηλθε.

γενεας γαρ αδικου χαλεπα τα τελη. *Sap. iii.* 19. γενεα σκολια και παραπικραινουσα. *Ps. lxxvii.* 8. εσομαι μαρτυς ταχυς—και επι τας μοιχαλιδας. *Mal. iii.* 5. ὁτι παντες μοιχωνται, συνοδος αθετουντων. *Jer. ix.* 2. δια τουτο δωσει Κυριος αυτος ὑμιν σημειον. *Esa. vii.* 14. τουτο δε σοι το σημειον. *xxxvii.* 30. και (*sed*) *Gen. xxxi.* 7. *Conf. Jon. ii. Luc. xi.* 29, 30. *Gen. vi.* 3.

5 Και ελθοντες οἱ μαθηται αυτου εις το περαν επελαθοντο αρτους λαβειν.

και διεβη—εις το περαν. 1 *Reg. xxvi.* 13. *Conf. Marc. viii.* 14.

6 Ὁ δε Ιησους ειπεν αυτοις, Ὁρατε και προσεχετε απο της ζυμης των Φαρισαιων και Σαδδουκαιων.

προσεχε απο κακουργου. *Sir. xi.* 33. *Conf.* 1 *Cor. v.* 6, 7. πας ὁς αν φαγῃ ζυμην, εξολοθρευθησεται. *Exod. xii.* 15. αφανιειτε ζυμην εκ των οικιων. *xii.* 15. εξηγαγεν ὑμας Κυριος—και ου βρωθησεται ζυμη. *xiii.* 3. ου θυσεις επι ζυμῃ αἱμα θυμιαματος μου. *xxiii.* 18.

7 Οἱ δε διελογιζοντο εν ἑαυτοις λεγοντες, Ὁτι αρτους ουκ ελαβομεν.

ειδες—και παντας διαλογισμους εν εμοι. ηκουσας—παντας τους διαλογισμους αυτων. *Thren. iii.* 60, 61. ειπε δε εν ἑαυτῳ. *Est. vi.* 6. συ συνηκας τους διαλογισμους μου απο μακροθεν. *Ps. cxxxviii.* 2. Κυριος γινωσκει τους διαλογισμους των ανθρωπων, ὁτι εισι ματαιοι. *xciii.* 11. *Conf. Luc. ix.* 47.

8 Γνους δε ὁ Ιησους ειπεν αυτοις, Τι διαλογιζεσθε εν ἑαυτοις, ολιγοπιστοι, ὁτι αρτους ουκ ελαβετε;

9 Ουπω νοειτε, ουδε μνημονευετε τους πεντε αρτους των πεντακισχιλιων, και ποσους κοφινους ελαβετε;

10 Ουδε τους ἑπτα αρτους των τετρακισχιλιων, και ποσας σπυριδας ελαβετε;

9. 10.] μνημονευετε τα θαυμασια αυτου, ἁ εποιησε. 1 *Par. xvi.* 12. *Conf. Joan. vi.* 9-12. *Sup. xiv.* 17-20. *xv.* 34-38. *Marc. vi.* 38. *Luc. ix.* 13.

11 Πως ου νοειτε, ὁτι ου περι αρτου ειπον ὑμιν προσεχειν απο της ζυμης των Φαρισαιων και Σαδδουκαιων;

ἱνα αναγγειλῃ σοι, ὁτι ουκ επ᾽ αρτῳ μονῳ ζησεται ὁ ανθρωπος, κ. τ. λ. *Deut. viii.* 3. νοησει τε παραβολην, κ. τ. λ. *Prov. i.* 6.

12 Τοτε συνηκαν, ὁτι ουκ ειπε προσεχειν απο της ζυμης του αρτου, αλλ᾽ απο της διδαχης των Φαρισαιων και Σαδδουκαιων.

ὁτι ου συνηκαν εις τα εργα Κυριου. *Ps. xxvii.* 5. και ανομησωσιν ανομοι, και ου συνησουσι παντες ανομοι, και οἱ νοημονες συνησουσι. *Dan. xii.* 10. [διδαχη αντι του διδασκαλια. *Suid.*]

13 Ελθων δε ὁ Ιησους εις τα μερη Καισαρειας της Φιλιππου, ηρωτα τους μαθητας αὑτου, λεγων, Τινα με λεγουσιν οἱ ανθρωποι ειναι, τον υἱον του ανθρωπου;

ερωτᾳ σε, λεγων, τινος ει; *Gen. xxxii.* 17. *xliii.* 27. υἱος ανθρωπου. *Dan. vii.* 13. *Conf. Marc. viii.* 27. *Luc. ix.* 18. υἱος ανθρωπου. *Ps. viii.* 4, 5. *Heb. ii.* 6. [*De Cæs. Philip. Jos. Ant. xviii.* 2. 1.]

14 Οἱ δε ειπον, Οἱ μεν Ιωαννην τον Βαπτιστην· αλλοι δε Ηλιαν· ἑτεροι δε Ἱερεμιαν, η ἑνα των προφητων.

ὁ δε του κοσμου βασιλευς αποθανοντας ἡμας ὑπερ των αυτου νομων εις αιωνιον αναβιωσιν ζωης ἡμας αναστησει. 2 *Mac. vii.* 9. ιδου εγω αποστελω ὑμιν Ηλιαν τον Θεσβιτην, κ. τ. λ. *Mal. iv.* 5. *Conf. Luc. ix.* 8. και αυτος (Ἱερεμιας) εν μητρᾳ ἡγιασθη προφητης, κ. τ. λ. *Sir. xlix.* 7. *etc.* Ηλιας. *Sir. xlviii.* 9. *Conf. Matt. xvii.* 3. 4.

15 Λεγει αυτοις, Ὑμεις δε τινα με λεγετε ειναι;

16 Αποκριθεις δε Σιμων Πετρος ειπε, Συ ει ὁ Χριστος, ὁ υἱος του Θεου του ζωντος.

κληθησονται—υἱοι Θεου ζωντος. *Ose. i.* 10. φωνη Θεου ζωντος. *Deut. v.* 26. *Dan. vi.* 20, 26. *Ps. xli.* 2. υἱος μου ει συ, κ. τ. λ. *Ps. ii.* 7. Χριστος. *Ps. ii.* 1. *Dan. ix.* 25. *Conf. Joan. vi.* 69. *xi.* 27. *Act. viii.* 37. 1 *Joan. iv.* 15. *v.* 5. *Heb. i.* 5. *Matt. xxvi.* 63.

17 Και αποκριθεις ὁ Ιησους ειπεν αυτῳ, Μακαριος ει, Σιμων

βαρ Ιωνα· ὁτι σαρξ και αἱμα ουκ απεκαλυψε σοι, αλλ᾽ ὁ
πατηρ μου ὁ εν τοις ουρανοις.

γενεα σαρκος και αἱματος. *Sir. xiv.* 18. ὁτι προς σε απεκαλυψα το δικαιωμα μου. *Jer. xi.* 20. *xx.* 12. ·αλλα πνευμα εστιν εν βροτοις· πνοη δε παντακρατορος εστιν ἡ διδασκουσα. *Job. xxxii.* 8. *Conf. Matt. xi.* 27. *Joan. i.* 14. *Gal. i.* 16. [בר־יהונה]

18 Καγω δε σοι λεγω, ὁτι συ ει Πετρος, και επι ταυτῃ τῃ
πετρᾳ οικοδομησω μου την εκκλησιαν, και πυλαι ᾁδου ου κατ-
ισχυσουσιν αυτης.

ῳκοδομησαν αμφοτεραι τον οικον του Ισραηλ. *Ruth. iv.* 11. οικοδομησω αυτους. *Jer. xl.* 7. *Ezech. xxxvi.* 10. πορευσομαι εν πυλαις ᾁδου. *Esa. xxxviii.* 10. *Sap. xvi.* 13. μη κατισχυσατω προς σε. 2 *Par. xiv.* 11. εν μεσῳ εκκλησιας και συναγωγης. *Prov. v.* 14. 1 *Par. xiii.* 2. 1 *Mac. ii.* 56. *iii.* 13, 14, 19. *et Grot. ad loc.* αυτους ηδη προς πυλαις ᾁδου καθεστωτας. 3 *Mac. v.* 51. ἑως των πυλων του θανατου. *Ps. cvi.* 18. ιδου ανηρ, Ανατολη ονομα αυτῳ· και ὑποκατωθεν αυτου ανατελει, και οικοδομησει τον οικον Κυριου, κ. τ. λ. *Zach. vi.* 12, 13. κατα το ονομα αυτου οὑτος εστι. 1 *Reg. xxv.* 25.

19 Και δωσω σοι τας κλεις της βασιλειας των ουρανων· και ὁ
εαν δησῃς επι της γης, εσται δεδεμενον εν τοις ουρανοις· και ὁ
εαν λυσῃς επι της γης, εσται λελυμενον εν τοις ουρανοις.

δωσω αυτῳ την κλεῖδα οικου Δαβιδ. *Esa. xxii.* 22. λελυται αυτης ἡ ἁμαρτια. *xl.* 2. αἱ ἁμαρτιαι σου λυθησονται. *Sir. xxviii.* 2. *Conf. Joan. xx.* 23. *Apoc. iii.* 7. 4 *Reg. ii.* 15.

20 Τοτε διεστειλατο τοις μαθηταις αὑτου, ἱνα μηδενι ειπωσιν,
ὁτι αυτος εστιν Ιησους ὁ Χριστος.

Conf. Marc. viii. 30. *Luc. ix.* 21. διαστελλειν. *Ezech. iii.* 18-21.

21 Απο τοτε ηρξατο ὁ Ιησους δεικνυειν τοις μαθηταις αὑτου,
ὁτι δει αυτον απελθειν εις Ἱεροσολυμα, και πολλα παθειν απο
των πρεσβυτερων και αρχιερεων και Γραμματεων, και αποκ-
τανθηναι, και τῃ τριτῃ ἡμερᾳ εγερθηναι.

απο τοτε. *Eccles. viii.* 12. δειξω ὑμιν την ὁδον την αγαθην. 1 *Reg. xii.* 23. εν τῃ ἡμερᾳ τῃ τριτῃ εξαναστησομεθα, και ζησομεθα ενωπιον αυτου, κ. τ. λ. *Ose. vi.* 3. πρεσβυτεροις και τοις ἱερευσι και τῳ λοιπῳ δημῳ. 1 *Mac. xiv.* 20. *xii.* 35. οἱ αρχοντες των ἱερεων. *Neh. xii.* 7. δεινα πασχων. *Sir. xxxviii.* 16. *Conf. Marc. viii.* 31.

Luc. ix. 22. και συντριβη απ᾽ αυτων. 1 *Mac. viii.* 6. ηχθη εις θανατον. *Conf. Esa. liii.* 2-8. *Dan. ix.* 26. *Ps. xxi.*

22 Και προσλαβομενος αυτον ὁ Πετρος ηρξατο επιτιμᾳν αυτῳ, λεγων, Ἱλεως σοι, Κυριε· ου μη εσται σοι τουτο.

ηρξαντο ᾳδειν. 2 *Par. xxix.* 27. ἱλεως μοι Κυριε του ποιησαι τουτο. 2 *Reg. xxiii.* 17. 1 *Par. xi.* 19. *Gen. xliii.* 23. *Vide Grot. et Kypke in loc.* 1 *Mac. ii.* 21. *Conf. Matt. xxvi.* 31. *Luc. ix.* 23. 1 *Cor. i.* 18, 23. *Gal. v.* 11. *Rom. ix.* 32. *Esa. liii.* 8, 14. [ὁ ἱερος λογος ὁρκον ου δεοντι καιρῳ ποιουμενοις ου μετριως επιτιμα και ονειδιζει. *Philo de Legg. p.* 773.] *Conf.* 3 *Reg. xxii.* 13. *Act. xxi.* 11-13.

23 Ὁ δε στραφεις ειπε τῳ Πετρῳ, Ὑπαγε οπισω μου, σατανα, σκανδαλον μου ει· ὁτι ου φρονεις τα του Θεου, αλλα τα των ανθρωπων.

σαταν. *Zach. iii.* 1. *alii.* σαταν εν πολεμῳ. 1 *Reg. xxix.* 4. *alii.* και ην σαταν τῳ Ισραηλ. 3 *Reg. xi.* 25. *xiv.* 23. *Aq. Conf. Matt. iv.* 10. *Sir. xxi.* 27. και ουκ εστιν αυτοις σκανδαλον. *Ps. cxviii.* 165. και φρονειν τα ἡμων. 1 *Mac. x.* 20. 2 *Mac. xiv.* 26. εις παγιδα και εις σκανδαλον. *v.* 4. εις μεγαλην παγιδα—εις ενεδρον—και εις διαβολον πονηρον. 1 *Mac. i.* 35, 36. απηλλοτριωθησαν εις τα οπισω. *Esa. i.* 4. *Aq. Theod.* απεστραφης με—οπισω πορευσῃ. *Jer. xv.* 6. *Conf. Rom. viii.* 7. κακως εφρονησαν περι Θεου. *Sap. xiv.* 30. και φρονειν τα ἡμων, και συντηρειν φιλιαν. 1 *Mac. x.* 20. [Σαταν· αντικειμενος. *Lex. Cyrill.* השטן διαβολος. *Job. i.* 6.]

24 Τοτε ὁ Ιησους ειπε τοις μαθηταις αὑτου, Ει τις θελει οπισω μου ελθειν, απαρνησασθω ἑαυτον, και αρατω τον σταυρον αὑτου, και ακολουθειτω μοι.

απαρνησονται οἱ ανθρωποι τα χειροποιητα. *Esa. xxxi.* 7. ὁτι ηγαπηκει αλλοτριους, και οπισω αυτων επορευετο. *Jer. ii.* 25. ου γαρ συνηκολουθησαν οπισω μου. *Num. xxxii.* 11. καλον το πορευεσθαι οπισω Κυριου. *Sir. xlvi.* 10. 2 *Reg. xvii.* 9. *Conf.* 1 *Mac. ii.* 27. *Marc. viii.* 34. *Luc. ix.* 23. *xiv.* 27. μακαριος δε ανθρωπος ὁν ηλεγξεν ὁ Κυριος, νουθετημα δε παντοκρατορος μη απαναινου. *Job. v.* 17. *Conf. Esd. vi.* 11. *Est. vii.* 10. [*Jos. Bell. Jud. ii.* 14.]

25 Ὁς γαρ αν θελῃ την ψυχην αὑτου σωσαι, απολεσει αυτην· ὁς δ᾽ αν απολεσῃ την ψυχην αὑτου ἑνεκεν εμου, εὑρησει αυτην.

απο συμβουλου φυλαξον την ψυχην σου. *Sir. xxxvii.* 8. ἑτοιμασον την ψυχην σου εις πειρασμον. *Sir. ii.* 1. την ἑαυτων ψυχην αφαιρουνται. *Prov. i.* 19. *Conf. Marc. viii.* 35. *Joan. xii.* 25. εστιν

απολλυων την ψυχην αυτου δι' αισχυνην, και απο αφρονος προσωπου απολει αυτην. Sir. xx. 22.

26 Τι γαρ ωφελειται ανθρωπος, εαν τον κοσμον ὁλον κερδηση, την δε ψυχην αὑτου ζημιωθη; η τι δωσει ανθρωπος ανταλλαγμα της ψυχης αὑτου;

ου δωσει τῳ Θεῳ εξιλασμα ἑαυτου, και την τιμην της λυτρωσεως της ψυχης αυτου. Ps. xlviii. 7, 8. φευγετε και σωσατε τας ψυχας ὑμων. Jer. xxxi. 6. τι ωφελει γλυπτον; Hab. ii. 18. Jer. ii. 11. ουκ ωφελησει ὑπαρχοντα εν ἡμερᾳ θυμου. Prov. xi. 4. Alex. Jer. xxiii. 32. Esa. xxx. 7. ουκ ωφελησουσι θησαυροι ανομους. Prov. x. 2. φιλου πιστου ουκ εστιν ανταλλαγμα. Sir. vi. 15. δωσω ανταλλαγμα, δια πασας τας ἁμαρτιας σου. Jer. xv. 13. Conf. Esa. xliii. 3. και τον ὁλον κοσμον. 2 Mac. viii. 18. Conf. Prov. xix. 19. Luc. ix. 25. Marc. viii. 36. Ps. xlviii. 7. ὁς φυλασσει εντολην, τηρει την ἑαυτου ψυχην· ὁ δε καταφρονων των ἑαυτου ὁδων απολειται. Prov. xix. 16. δερμα ὑπερ δερματος, παντα ὁσα ὑπαρχει ανθρωπῳ, δωσει ὑπερ της ψυχης αυτου. Job. ii. 4. Alex. αποθανοι ἡ ψυχη μου εν ψυχαις δικαιων, και γενοιτο το σπερμα μου ὡς το σπερμα τουτων. Num. xxiii. 10. κερδηση. Job. xxii. 3. Alex.

27 Μελλει γαρ ὁ υἱος του ανθρωπου ερχεσθαι εν τῃ δοξῃ του πατρος αὑτου μετα των αγγελων αὑτου· και τοτε αποδωσει ἑκαστῳ κατα την πραξιν αυτου.

ἁ μελλει γινεσθαι. Esa. xlviii. 6. Job. iii. 7. και οφθησεται εν τῃ δοξῃ αυτου. Ps. ci. 16. αποδιδωσιν ἑκαστῳ κατα τα εργα. Prov. xxiv. 12. Conf. Job. xxxiv. 11. Ps. lxi. 12. Rom. ii. 6. και ἡξει Κυριος ὁ Θεος μου, και παντες οἱ ἁγιοι μετ' αυτου. Zach. xiv. 5. χιλιαι χιλιαδες ελειτουργουν αυτῳ, και μυριαι μυριαδες παρειστηκεισαν αυτῳ. Dan. vii. 10. ὡς ὑ υἱος ανθρωπου ερχομενος. 13. ἑως ανταποδῳ ανθρωπῳ κατα τας πραξεις αυτου, κ. τ. λ. Sir. xxxii. 19.

28 Αμην λεγω ὑμιν, Εισι τινες των ὡδε ἑστηκοτων, οἱτινες ου μη γευσωνται θανατου, ἑως αν ιδωσι τον υἱον του ανθρωπου ερχομενον εν τῃ βασιλειᾳ αὑτου.

και ιδου μετα των νεφελων του ουρανου, ὡς υἱος ανθρωπου ερχομενος—και ἡ βασιλεια αυτου ου διαφθαρησεται. Dan. vii. 13, 14. πλουτον εξ οὑ ου γευσεται. Job. xx. 18. Ps. xxxiii. 8. Prov. xxxi. 18. ὁπως χαριτι Θεου ὑπερ παντος γευσηται θανατου. Heb. ii. 9. Conf. Marc. ix. 1. Luc. ix. 27. μνησθητι μου Κυριε, ὁταν ελθῃς εν τῃ βασιλειᾳ σου. xxiii. 42.

July 10. 1851.

ΚΕΦ. ιζ. 17.

ΚΑΙ *μεθ' ἡμερας ἑξ παραλαμβανει ὁ* Ιησους *τον* Πετρον
και Ιακωβον *και* Ιωαννην *τον αδελφον αυτου, και ανα-*
φερει αυτους εις ορος ὑψηλον κατ' ιδιαν.

και μετα τας ἑβδομαδας τας ἑξηκονταδυο. Dan. ix. 26. *επ' ορος ὑψηλον αναβηθι ὁ ευαγγελιζομενος* Σιων. *Esa. xl.* 9. *Exod. xxiv.* 12. *και εγενετο μεθ' ἡμερας πλειους. Jos. xxiii.* 1. *Conf. Marc. ix.* 2. *Luc. ix.* 28. *και παρελαβεν αυτον εις αγρουσκοπιαν. Num. xxiii.* 14.

2 *Και μετεμορφωθη εμπροσθεν αυτων, και ελαμψε το προσω-*
πον αυτου ὡς ὁ ἡλιος, τα δε ἱματια αυτου εγενετο λευκα ὡς
το φως.

το προσωπον Μωυσεως, *ὁτι δεδοξασται. Exod. xxxiv.* 35. *θρονος αυτου ὡς ὁ ἡλιος. Ps. lxxxviii.* 36. *Conf. Esa. xxiv.* 2. *αναβαλλομενος φως ὡς ἱματιον. Ps. ciii.* 2. *Conf. Dan. xii.* 3. *Joan. i.* 14. *εποπται γενηθεντες της εκεινου μεγαλειοτητος.* 2 *Pet. i.* 16.

3 *Και ιδου, ωφθησαν αυτοις* Μωσης *και* Ηλιας, *μετ' αυτου*
συλλαλουντες.

και ωφθησαν εν τῳ τοπῳ του Θεου. *Exod. xxiv.* 11. *συλλαλειν αυτῳ. Exod. xxxiv.* 35. *Esa. vii.* 6. *Conf. Matt. xxii.* 31, 32. Ηλιας. *Conf.* 3 *Reg. xvii.* 19. 4 *Reg. i.* 2. *ii.* 6. 2 *Par. xxi.* 12. *Sir. xlviii.* 9.

4 Αποκριθεις *δε ὁ* Πετρος *ειπε τῳ* Ιησου, Κυριε, *καλον εστιν*
ἡμας ὡδε ειναι· ει θελεις, ποιησωμεν ὡδε τρεις σκηνας, σοι μιαν,
και Μωσῃ *μιαν, και μιαν* Ηλιᾳ.

μια—μια—μια. Conf. 1 *Reg. x.* 3. *αγαθον μοι ην ειναι εκει.* 2 *Reg. xiv.* 32. *πολλοι λεγουσι,* Τις *δειξει ἡμιν τα αγαθα; εσημειωθη εφ' ἡμας το φως του προσωπου σου. Ps. iv.* 6. *και εποιησεν ἑαυτῳ εκει οικιας, και τοις κτηνεσιν αυτου εποιησε σκηνας. Gen. xxxiii.* 17. *ηγαπημενον ὑπο* Θεου *και ανθρωπων* Μωυσην, *κ.τ.λ. Sir. xlv.* 1. *etc. και ανεστη* Ηλιας *προφητης ὡς πυρ, κ. τ. λ. Sir. xlviii.* 1. *Conf. Marc. ix.* 5, 6. *Luc. ix.* 33.

5 Ετι *αυτου λαλουντος, ιδου, νεφελη φωτεινη επεσκιασεν αυ-*
τους· και ιδου, φωνη εκ της νεφελης, λεγουσα, Οὑτος *εστιν ὁ*
ὑιος μου ὁ αγαπητος, εν ᾡ ευδοκησα· αυτου ακουετε.

επεσκιαζεν επ' αυτην ἡ νεφελη. Exod. xl. 35. *τι φωτεινοτερον ἡλιου; Sir. xvii.* 31. *και ευθυς φωνη* Κυριου *εγενετο προς αυτον. Gen.*

xv. 4. φωνη απ' ουρανου εγενετο. *Dan. iv.* 28. *vii.* 13. τον ὑιον σου —ὁν ηγαπησας. *Gen. xxii.* 2. [*Aq.* μονογενην] ὁτι ευδοκησει Κυριος εν σοι. *Esa. lxii.* 4. *Hab. ii.* 4. και ευδοκησω εν αυτῳ, και ενδοξασθησομαι. *Agg. i.* 8. ακουσατε μου νησοι. *Esa. xlix.* 1. αυτου ακουσεσθε. *Deut. xviii.* 15, 19. εν νεφελαις δοξης. *Sir. l.* 7. και οφθησεται ἡ δοξα του Κυριου, και ἡ νεφελη. 2 *Mac. ii.* 8. *Conf. Marc. i.* 11. *Joan. i.* 34. *Esa. xlii.* 1. *Ephes. i.* 21. *Phil. ii.* 9. *Col. i.* 13. οὑτος εστιν ὁ ὑιος μου ὁ αγαπητος, εις ὁν εγω ευδοκησα. 2 *Pet. i.* 17. [ὡς φωτεινον φωτιεις εν Ιακωβ, και ὡς ἡλιος εσῃ τῳ Ισραηλ. *Test. XII Patr. p.* 549.]

6 Και ακουσαντες οἱ μαθηται, επεσον επι προσωπον αὑτων, και εφοβηθησαν σφοδρα.

και εφοβηθη—σφοδρα. *Num. xxii.* 3. και ειδε πας ὁ λαος, και εξεστη, και επεσαν επι προσωπον. *Lev. ix.* 24. και επεσον επι προσωπον αυτων επι την γην. *Jud. xiii.* 20. *Conf. Num. xvi.* 22.

7 Και προσελθων ὁ Ιησους ἡψατο αυτων, και ειπεν, Εγερθητε και μη φοβεισθε.

μη φοβεισθε. *Deut. i.* 21. και ἡψατο μου, και εστησε με επι ποδας. *Dan. viii.* 18. *ix.* 21. *x.* 10, 18. 2 *Reg. xii.* 17.

8 Επαραντες δε τους οφθαλμους αὑτων, ουδενα ειδον, ει μη τον Ιησουν μονον.

και επαρας Λωτ τους οφθαλμους αυτου. *Gen. xiii.* 10. *Ezech. xviii.* 6. [ει μη *pro* αλλα. *Conf. Hoogev. p.* 24.]

9 Και καταβαινοντων αυτων απο του ορους, ενετειλατο αυτοις ὁ Ιησους, λεγων, Μηδενι ειπητε το ὁραμα, ἑως οὑ ὁ ὑιος του ανθρωπου εκ νεκρων αναστῃ.

καταβαινοντος δε αυτου απο του ορους. *Exod. xxxiv.* 29. εις αιωνιον αναβιωσιν ζωης ἡμας αναστησει. 2 *Mac. vii.* 9. *xii.* 44. εις ἡμεραν αναστασεως. *Sophon. iii.* 8. αναστησαι το δερμα μου. *Job. xix.* 26. *Conf. Marc. viii.* 30. εγενηθη ῥημα Κυριου προς Ἀβραμ εν ὁραματι. *Gen. xv.* 1. ὑιος μου ει συ, εγω σημερον γεγεννηκα σε. *Ps. ii.* 7.

10 Και επηρωτησαν αυτον οἱ μαθηται αυτου, λεγοντες. Τι ουν οἱ Γραμματεις λεγουσιν, ὁτι Ηλιαν δει ελθειν πρωτον;

και ιδου εγω αποστελω ὑμιν Ηλιαν τον Θεσβιτην, πριν ελθειν την ἡμεραν Κυριου. *Mal. iv.* 5. *iii.* 23. *Conf. Marc. ix.* 11. *Joan. i.* 21, 25. ἁ δει γενεσθαι. *Dan. ii.* 28. επηρωτησεν ἡμας—λεγων. *xliii.* 7.

11 Ὁ δε Ιησους αποκριθεις ειπεν αυτοις, Ηλιας μεν ερχεται πρωτον, και αποκαταστησει παντα·

αποκριθεις δε Ιωσηφ ειπεν αυτῳ. Gen. xl. 18. αποκαταστησω αυτους. Jer. xvi. 15. Vide Sir. xlviii. 10-12. ὁς (Ηλιας) αποκαταστησει καρδιαν πατρος προς υἱον. Mal. iv. 6. Conf. Luc. i. 17. Matt. xi. 14. Marc. ix. 12.

12 Λεγω δε ὑμιν, ὁτι Ηλιας ηδη ηλθε, και ουκ επεγνωσαν αυτον, αλλ᾿ εποιησαν εν αυτῳ ὁσα ηθελησαν· οὑτω και ὁ υἱος του ανθρωπου μελλει πασχειν ὑπ᾿ αυτων.

ου φοβηθησομαι τι ποιησει μοι σαρξ. Ps. lv. 4. cii. 10. Conf. Matt. iii. 7. xiv. 3. xvi. 21. τα χειριστα παθων. 2 Mac. ix. 28. ὡς θελεις. Est. iii. 11. Comp. γνωσονται τον προφητην ὁν απεστειλεν αυτοις Κυριος *εν πιστει. Jer. xxxv. 9. Conf. Sir. xii. 12. xliv. 23. τι τουτο εποιησας ἡμιν; Gen. xx. 9.*

13 Τοτε συνηκαν οἱ μαθηται, ὁτι περι Ιωαννου του Βαπτιστου ειπεν αυτοις.

ὁτι ου συνηκαν εις τα εργα Κυριου. *Ps. xxvii. 5. και οἱ νοημονες συνησουσι. Dan. xii. 10.* [*Ιωαννου του επικαλ.* Βαπτιστου. *Jos. Ant. xviii. 6. 2.*]

14 Και ελθοντων αυτων προς τον οχλον, προσηλθεν αυτῳ ανθρωπος γονυπετων αυτῳ,

και μη ευχου, και μη προσελθῃς μοι περι αυτων. Jer. vii. 16. Esa. viii. 3. και επεσεν επι τα γονατα αυτου. 2 Par. vi. 13. πιπτω επι προσωπον μου. Dan. viii. 18. Conf. Marc. ix. 14. Luc. ix. 38.

15 Και λεγων, Κυριε, ελεησον μου τον υἱον, ὁτι σεληνιαζεται και κακως πασχει· πολλακις γαρ πιπτει εις το πυρ, και πολλακις εις το ὑδωρ.

ἱνα μη αγνοουντες δι᾿ ὁ κακως πασχουσιν, απολωνται. Sap. xviii. 19. ελεησον με, Κυριε, *ὁτι ασθενης ειμι. Ps. vi. 2. εξηλθε δε ὁ διαβολος απο του* Κυριου· *και επαισε τον* Ιωβ *ἑλκει πονηρῳ απο ποδων ἑως κεφαλης. Job. ii. 7. σεληνιαζεται. Conf. Matt. iv. 24. κακως πασχει. Sap. xviii. 19.*

16 Και προσηνεγκα αυτον τοις μαθηταις σου, και ουκ ηδυνηθησαν αυτον θεραπευσαι.

Conf. 2 Reg. xiv. 29-31. Dan. ii. 10.

17 Αποκριθεις δε ὁ Ιησους ειπεν, Ω γενεα απιστος και διεστραμμενη, ἑως ποτε εσομαι μεθ᾿ ὑμων; ἑως ποτε ανεξομαι ὑμων; φερετε μοι αυτον ὡδε.

γενεα εξεστραμμενη. Deut. xxxii. 20. σπερμα απιστον. Esa. xvii. 10. ἑως ποτε; Ps. xiii. 1. xciii. 3. Prov. vi. 9. Jer. iv. 14. ου γαρ

ειμι μεθ' ὑμων. *Deut.* i. 42. ω πολις αἱματων. *Nah.* iii. 1. ω πονηρον ενθυμημα. *Sir.* xxxvii. 3. ανεξομαι. *Esa.* xlvi. 4. lxiii. 15.

18 Και επετιμησεν αυτῳ ὁ Ιησους, και εξηλθεν απ' αυτου το
δαιμονιον, και εθεραπευθη ὁ παις απο της ὡρας εκεινης.

και επετιμησεν αυτῳ ὁ πατηρ αυτου. *Gen.* xxxvii. 10. εν αυτῃ τῃ ὡρα. *Dan.* v. 5. επιτιμησαι Κυριος εν σοι διαβολε. *Zach.* iii. 3. *Conf. Matt.* vii. 22. δαιμονιον. *Esa.* xxxiv. 14. *Bar.* iv. 35.

19 Τοτε προσελθοντες οἱ μαθηται τῳ Ιησου κατ' ιδιαν ειπον,
Διατι ἡμεις ουκ ηδυνηθημεν εκβαλειν αυτο;

κατ' ιδιαν. 2 *Mac.* iv. 5. εγω δε ου δυνησομαι διασωθηναι εις το ορος. *Gen.* xix. 19. *Exod.* xix. 23. *Conf. Marc.* ix. 28.

20 Ὁ δε Ιησους ειπεν αυτοις, Δια την απιστιαν ὑμων. αμην
γαρ λεγω ὑμιν, Εαν εχητε πιστιν ὡς κοκκον σιναπεως, ερειτε
τῳ ορει τουτῳ, Μεταβηθι εντευθεν εκει, και μεταβησεται· και
ουδεν αδυνατησει ὑμιν.

υἱοι οἱς ουκ εστι πιστις εν αυτοις. *Deut.* xxxii. 20. και ου πιστις ενισχυσεν επι της γης. *Jer.* ix. 3. μη αδυνατησει παρα τῳ Θεῳ ῥημα; *Gen.* xviii. 14. τα ορη μεταστησεσθαι. *Esa.* liv. 10. *Ps.* xlv. 2. εκει. *Conf. Gen.* xix. 20, 22. *Marc.* xi. 23. *Luc.* xvii. 6. 1 *Cor.* xiii. 2. εντευθεν. *Gen.* xxxvii. 17. xlii. 15. *Conf.* 2 *Par.* xx. 20.

21 Τουτο δε το γενος ουκ εκπορευεται, ει μη εν προσευχῃ και
νηστειᾳ.

αγαθον προσευχη μετα νηστειας και ελεημοσυνης. *Tob.* xii. 8. *Conf.* 3 *Reg.* xvii. 20. και εδωκα το προσωπον μου προς Κυριον τον Θεον, του εκζητησαι προσευχην και δεησεις εν νηστειαις και σακκῳ. *Dan.* ix. 3. ὁλη ἡ κτισις εν ιδιῳ γενει, κ. τ. λ. *Sap.* xix. 6.

22 Αναστρεφομενων δε αυτων εν τῃ Γαλιλαιᾳ, ειπεν αυτοις ὁ
Ιησους, Μελλει ὁ υἱος του ανθρωπου παραδιδοσθαι εις χειρας
ανθρωπων,

παραδιδωμι σε εις χειρας ὡν μισεις. *Ezech.* xxiii. 28. εις χειρας αδικων. *Job.* xvi. 12. *Jer.* xxxii. 36. *Dan.* i. 2. *LXX. Conf. Ps.* xxii. 15-22. *Esa.* liii. 7-12. *Dan.* ix. 26. *Marc.* ix. 31. *Luc.* ix. 44. *Joan.* x. 18. *Act.* ii. 23. μελλει. *Conf. Sap.* xiv. 1.

23 Και αποκτενουσιν αυτον, και τῃ τριτῃ ἡμερᾳ εγερθησεται.
Και ελυπηθησαν σφοδρα.

εν τῃ ἡμερᾳ τῃ τριτῃ εξαναστησομεθα. *Ose.* vi. 3. και ελυπηθην σφοδρα. *Neh.* v. 6. *Jon.* iv. 10. ῥομφαια εξεγερθητι επι τους ποιμενας μου, και επι ανδρα πολιτην μου, κ. τ. λ. *Zach.* xiii. 7.

24 Ελθοντων δε αυτων εις Καπερναουμ, προσηλθον οἱ τα δι-
δραχμα λαμβανοντες τῳ Πετρῳ, και ειπον, Ὁ διδασκαλος
ὑμων ου τελει τα διδραχμα;

και ληψῃ το αργυριον της εισφορας. *Exod. xxx.* 16. *Conf. Marc. ix.* 33. *Rom. xiii.* 6. διδραχμα. *Exod. xxx.* 13. *xxxviii.* 26. ὁ δε σικλος νομισμα Ἑβραιων ων, Αττικας δεχεται δραχμας τεσσαρας. *Jos. Ant. iii.* 8. 2.] διδασκαλος. 2 *Mac. i.* 10.

25 Λεγει Ναι. Και ὁτε εισηλθεν εις την οικιαν, προεφθασεν
αυτον ὁ Ιησους λεγων, Τι σοι δοκει, Σιμων; οἱ βασιλεις της
γης απο τινων λαμβανουσι τελη η κηνσον; απο των ὑιων αὑ-
των, η απο των αλλοτριων;

οἱ βασιλεις της γης. *Ps. ii.* 2. αἱ δεκαται και τα τελη. 1 *Mac. x.* 31. *Conf. Neh. x.* 32. *Esa. ix.* 7. προφθασον αυτους. *Ps. xvi.* 13.

26 Λεγει αυτῳ ὁ Πετρος, Απο των αλλοτριων. Εφη αυτῳ ὁ Ιη-
σους, Αραγε ελευθεροι εισιν οἱ ὑιοι.

και ειπεν αυτῳ, αρα γε γυνη σου εστι; *Gen. xxvi.* 9. *Conf. Deut. xxi.* 14.

27 Ἱνα δε μη σκανδαλισωμεν αυτους, πορευθεις εις την θαλασ-
σαν, βαλε αγκιστρον, και τον αναβαντα πρωτον ιχθυν ἀρον·
και ανοιξας το στομα αυτου, εὑρησεις στατηρα· εκεινον λαβων
δος αυτοις αντι εμου και σου.

μηποτε σκανδαλισθῃς. *Sir. ix.* 5. οἱ βαλλοντες αγκιστρον. *Esa. xix.* 8. γινεσθε αντ᾽ εμου και του αδελφου μου. 1 *Mac. xvi.* 3. και αρχετε των ιχθυων της θαλασσης. *Gen. i.* 28. *Conf. Ps. viii.* 8. τα πετεινα του ουρανου, και τους ιχθυας της θαλασσης, τα διαπορευομενα τριβους θαλασσων, κ. τ. λ. και προσεταξε Κυριος κητει μεγαλῳ καταπιειν τον Ιωναν, κ. τ. λ. *Jon. ii.* 1. λαβων—δος. *Num. iii.* 6. *Jos. ii.* 4. *Exod. xxix.* 5. *Conf.* 2 *Cor. viii.* 9. *Jac. ii.* 5.

July 23 1851.

ΚΕΦ. ιη. 18.

ΕΝ εκεινῃ τῃ ὡρᾳ προσηλθον οἱ μαθηται τῳ Ιησου, λεγον-
τες, Τις αρα μειζων εστιν εν τῃ βασιλειᾳ των ουρανων;

ἡ βασιλεια αυτου, βασιλεια αιωνιος. *Dan. iii.* 33. *vii.* 14. 27. αναστησει ὁ Θεος του ουρανου βασιλειαν. *ii.* 44. εν αυτῃ τῃ ὡρᾳ. *Dan. v.* 5. μειζων *pro* μεγιστος. *Ita. Luc. ix.* 46. *xxii.* 24. 26. *Joan. x.* 9. *Conf. Gen. xxvi.* 13. *Marc. ix.* 33.

2 Και προσκαλεσαμενος ὁ Ιησους παιδιον, εστησεν αυτο εν
μεσῳ αυτων,

προσκαλεσαμενος δε Ισαακ τον Ιακωβ, ευλογησεν αυτον. *Gen. xxviii.* 1. εν μεσῳ αυτων. *Ezech. xliii.* 7. και στησει αυτην εναντι Κυριου. *Num. xvi.* 18. 30. και ειπε Κυριος προς με, Μη λεγε, οτι νεωτερος εγω ειμι, κ. τ. λ. *Jer. i.* 7. και εκαλεσε (Κυριος) Σαμουηλ, Σαμουηλ, κ. τ. λ. 1 *Reg. iii.* 6. *Conf. Marc. ix.* 36, 37.

3 Και ειπεν, Αμην λεγω ὑμιν, Εαν μη στραφητε και γενησθε
ὡς τα παιδια, ου μη εισελθητε εις την βασιλειαν των ουρανων.

και εισελευσεται εις την βασιλειαν του βασιλεως. *Dan. xi.* 9. και στραφησῃ εις ανδρα αλλον. 1 *Reg.* x. 6. και ἡ βασιλεια και ἡ εξουσια—εδοθη ἁγιοις Ὑψιστου. *Dan. vii.* 27. τῃ κακιᾳ νηπιαζετε. 1 *Cor. xiv.* 20. *Conf. Esa. lvii.* 15. 1 *Cor. xiv.* 20. *Marc. x.* 14. *Luc. xviii.* 16. 1 *Pet. ii.* 1, 2. εισελευσῃ εις τον κιβωτον. *Gen. vi.* 11. *xix.* 3.

4 Ὁστις ουν ταπεινωσῃ ἑαυτον ὡς το παιδιον τουτο, οὑτος εσ-
τιν ὁ μειζων εν τῃ βασιλειᾳ των ουρανων.

και ταπεινωσῃς σεαυτον εναντι Κυριου. *Job. xxii.* 23. εγω ειμι μικροτερος εν οικῳ. *Jud. vi.* 15. ει μη εταπεινοφρονουν—ὡς το απογεγαλακτισμενον επι την μητερα αυτου. *Ps. cxxx.* 2. ὁσῳ μεγας ει, τοσουτῳ ταπεινου σεαυτον. *Sir. iii.* 18. και επι τινα επιβλεψω, αλλ' η επι τον ταπεινον και ἡσυχιον, και τρεμοντα τους λογους μου; *Esa. lxvi.* 1, 2.

5 Και ὁς εαν δεξηται παιδιον τοιουτον ἑν επι τῳ ονοματι μου,
εμε δεχεται·

λειτουργειν και ευλογειν επι τῳ ονοματι Κυριου. *Deut. xviii.* 5. *Alex. Ald. xxi.* 5. ην προφητευων επι τῳ ονοματι Κυριου. *Jer. xxxiii.* 20.

6 Ὁς δ' αν σκανδαλισῃ ἑνα των μικρων τουτων των πιστευ-
οντων εις εμε, συμφερει αυτῳ, ἱνα κρεμασθῃ μυλος ονικος επι
τον τραχηλον αυτου, και καταποντισθῃ εν τῳ πελαγει της θα-
λασσης.

ὡς συμφερει, και ὡς βελτιον ὑμιν. *Jer. xxxiii.* 14. σκανδαλισθῃς εν τοις επιτιμιοις αυτης. *Sir. ix.* 5. *xxxii.* 16. *xxxiii.* 7. και εκρεμασαν τα βρεφη εκ των τραχηλων. 1 *Mac. i.* 61. μη με καταποντισατω καταιγις ὑδατος. *Ps. lxviii.* 15. *Conf. Marc. ix.* 42. *Luc. xvii.* 1. μη αφησθε των χριστων μου, και εν τοις προφηταις μου μη πονηρευεσθε. *Ps. civ.* 15. ὁ ἁπτομενος ὑμων ὡς ὁ ἁπτομενος της κορης του οφθαλμου αυτου. *Zach. ii.* 8. [πελαγος· μεγεθος πληθος, βυθος, πλατος θαλασσης. *Hesych.*]

7 Ουαι τῳ κοσμῳ απο των σκανδαλων· αναγκη γαρ εστιν
ελθειν τα σκανδαλα. πλην ουαι τῳ ανθρωπῳ εκεινῳ, δι' οὑ το
σκανδαλον ερχεται.

ουαι. Sir. ii. 12. *φυλαξον με απο παγιδος—και απο σκανδαλων. Ps. cxl.* 9. *σκανδαλα ψυχαις ανθρωπων. Sap. xiv.* 11. *πλην γινωσκε ὁτι ουκ εσται το προτερημα σου. Jud. iv.* 9. *και ἡ ἁμαρτια ενωπιον* Κυριου *των παιδαριων μεγαλη σφοδρα, ὁτι ηθετουν την θυσιαν* Κυριου. 1 *Reg. ii.* 17. 2 *Reg. xii.* 14. *Conf.* 1 *Cor. xi.* 19.

8 Ει *δε ἡ χειρ σου η ὁ πους σου σκανδαλιζει σε, εκκοψον αυτα και βαλε απο σου· καλον σοι εστιν εισελθειν εις την ζωην χωλον η κυλλον, η δυο χειρας η δυο ποδας εχοντα βληθηναι εις το πυρ το αιωνιον.*

τις αναγγελει ὑμιν ὁτι πυρ καιεται; τις αναγγελει ὑμιν τον τοπον τον αιωνιον; Esa. xxxiii. 14. *ουκ ιδου τουτο ὡς δαλος εξεσπασμενος εκ πυρος; Zach. iii.* 3. *αναστασις εις ζωην.* 2 *Mac. vii.* 14.

9 Και *ει ὁ οφθαλμος σου σκανδαλιζει σε, εξελε αυτον και βαλε απο σου· καλον σοι εστι μονοφθαλμον εις την ζωην εισελθειν, η δυο οφθαλμους εχοντα βληθηναι εις την γεενναν του πυρος.*

8, 9.] *αγαθον πεποιθεναι επι* Κυριον, *η πεποιθεναι επ' ανθρωπον. Ps. cxvii.* 8. *ὡς καλον ελεγξαι η θυμουσθαι. Sir. xx.* 1. *ὁτι πυρ—καυθησεται ἑως ᾁδου κατω. Deut. xxxii.* 22. *εμβαλειν εις την καμινον του πυρος την καιομενην. Dan. iii.* 20. *αιωνιος βασανος δια πυρος.* 4 *Mac. xii.* 12. *ix.* 9. *x.* 15. *xiii.* 15. *καλον ποιησαι ελεημοσυνην η θησαυρισαι χρυσιον. Tob. xii.* 8. *φυλαξον εμας εντολας και βιωσεις, τους δε εμους λογους ὡσπερ κορας ομματων. Prov. vii.* 2. *Conf. Jon. iv.* 4. *Marc. ix.* 43. *Dan. xii.* 2. *Esa. xxvi.* 21. *xxxv.* 10. *Job. xxxvi.* 17. *Deut. xiii.* 6.

10 Ὁ*ρατε μη καταφρονησητε ἑνος των μικρων τουτων· λεγω γαρ ὑμιν, ὁτι οἱ αγγελοι αυτων εν ουρανοις δια παντος βλεπουσι το προσωπον του πατρος μου του εν ουρανοις.*

ὁρατε, και σαββατα μου φυλαξεσθε. Exod. xxxi. 13. *xxv.* 40. *των ὁρωντων το προσωπον του βασιλεως.* 4 *Reg. xxv.* 19. *Tob. xii.* 15. *οἱ εγγυς του βασιλεως, οἱ πρωτοι παρακαθημενοι τῳ βασιλει. Est. i.* 14. *Conf. Gen. xxxii.* 21. *xliii.* 3. *xliv.* 23. *Exod. x.* 28. *αγγελος γαρ αγαθος συμπορευσεται αυτῳ, κ. τ. λ. Tob. v.* 21. *δια παντος sc. χρονου. Conf. Sap. xi.* 13. 2 *Mac. viii.* 36. *Heb. i.* 14. *παρεμβαλει αγγελος* Κυριου *κυκλῳ των φοβουμενων αυτον, και ῥυσεται αυτους. Ps. xxxiii.* 7. *xci.* 2. *Job. xxxvi.* 14. *Conf. Gen. xxxii.* 1, 2. *Luc. i.* 19. *Dan. vii.* 16. *Apoc. viii.* 2. *Heb. i.* 14. [*αγγελος δυναμεως συνεπεται μοι εν πασι. Test. XII Patr. p.* 592. *Conf. p.* 547. 586. 618.] *Conf. Matt. vi.* 9.

11 Ηλθε γαρ ὁ υἱος του ανθρωπου σωσαι το απολωλος.

συναξει τους απολομενους Ισραηλ. *Esa. xi.* 12. επλανηθην ὡς προβατον απολωλος. *Ps. cxviii.* 176. ηλθον—αγοραζειν. *Gen. xlii.* 5. *Conf. Luc. xix.* 10. *Joan. iii.* 17. 1 *Cor. viii.* 11. ὁ υἱος του ανθρωπου. *Conf. Ezech. i.* 26. *Dan. vii.* 13, 14. *Matt. i.* 21.

12 Τι ὑμιν δοκει; εαν γενηται τινι ανθρωπῳ ἑκατον προβατα, και πλανηθῃ ἑν εξ αυτων, ουχι αφεις τα εννενηκονταεννεα επι τα ορη πορευθεις ζητει το πλανωμενον;

παντες ὡς προβατα επλανηθημεν. *Esa. liii.* 6. ὡς προβατον πλανωμενον. *xiii.* 14. ὡσπερ ζητει ὁ ποιμην το ποιμνιον αυτου—ὁτ' αν ῃ γνοφος και νεφελη εν μεσῳ προβατων διακεχωρισμενων, οὑτως εκζητησω τα προβατα μου. *Ezech. xxxiv.* 12. *Conf. Luc. xv.* 4. *Deut. xxii.* 1. *Jer. l.* 9.

13 Και εαν γενηται εὑρειν αυτο, αμην λεγω ὑμιν, ὁτι χαιρει επ' αυτῳ μαλλον, η επι τοις εννενηκονταεννεα τοις μη πεπλανημενοις.

και εχαρη επ' αυτοις Εζεκιας. 4 *Reg. xx.* 13. εξεστη δε—επι πασι τοις αγαθοις. *Exod. xviii.* 9. *Conf. Mich. vii.* 18. *Sophon. iii.* 17.

14 Οὑτως ουκ εστι θελημα εμπροσθεν του πατρος ὑμων του εν ουρανοις, ἱνα αποληται εἱς των μικρων τουτων.

δεκτον—εναντι Κυριου. *Exod. xxviii.* 34. εμπροσθεν. *Ps. xviii.* 14. του ποιησαι το θελημα σου. *Ps. xxxix.* 8. φειδῃ δε παντων, ὁτι σα εστι δεσποτα φιλοψυχε. *Sap. xi.* 26. και τῳ βραχιονι αυτου συναξει αρνας, και εν γαστρι εχουσας παρακαλεσει. *Esa. xl.* 11. και επαξω την χειρα μου επι τους μικρους. *Zach. xiii.* 7. *Conf. Ezech. xxxiv.* 4, 5.

15 Εαν δε ἁμαρτησῃ εις σε ὁ αδελφος σου, ὑπαγε και ελεγξον αυτον μεταξυ σου και αυτου μονου. εαν σου ακουσῃ, εκερδησας τον αδελφον σου·

ου μισησεις τον αδελφον σου τῃ διανοιᾳ σου· ελεγμῳ ελεγξεις τον πλησιον σου, και ου ληψῃ δι' αυτον ἁμαρτιαν. *Lev. xix.* 17. και ουχ ἡμαρτηκα εις σε. 1 *Reg. xxiv.* 12. *xix.* 4. *Conf. Luc. xvii.* 3. ζων μεταξυ ἁμαρτωλων. *Sap. iv.* 10. ελεγξον φιλον, κ. τ. λ. *Sir. xix.* 13-17. *Jac. v.* 19. εκερδησας. 1 *Cor. ix.* 19. 1 *Pet. iii.* 1.

16 Εαν δε μη ακουσῃ, παραλαβε μετα σου ετι ἑνα η δυο, ἱνα επι στοματος δυο μαρτυρων η τριων σταθῃ παν ῥημα.

εαν ἁμαρτῃ, επι στοματος δυο μαρτυρων, και επι στοματος τριων μαρτυρων, στησεται παν ῥημα. *Deut. xix.* 15. *Conf.* 2 *Cor. xiii.* 1. *Joan. viii.* 17. *Heb. x.* 28. *CITAT.* 27.

17 Εαν δε παρακουσῃ αυτων, ειπε τῃ εκκλησιᾳ· εαν δε και της
εκκλησιας παρακουσῃ, εστω σοι ὡσπερ ὁ εθνικος και ὁ τελωνης.

εκαλεσα ὑμας, και ουχ ὑπηκουσατε· ελαλησα, και παρηκουσατε. *Esa. lxv.* 12. *Est. iii.* 8. και ειπε Δαυιδ πασῃ εκκλησιᾳ. 1 *Par. xiii.* 2. *xxix.* 1. εθνικος (*impius*). *Ita* αλλοτριος και ὑπερηφανος. *Sir. xxxv.* 18. *Conf. Rom. xvi.* 17. 2 *Thess. iii.* 14. 2 *Joan.* 10. κρεισσων ανηρ ελεγχων ανδρος σκληροτραχηλου, εξαπινης γαρ φλεγομενου αυτου ουκ εστιν ιασις. *Prov. xxix.* 1. και πας ὁ χωριζομενος της ακαθαρσιας εθνων. *Esd. vi.* 21. εαν δε και. *Job. xiii.* 14. εκκλησια πιστων. 1 *Mac. iii.* 13. [τελωνης. *Jos. Ant. xii.* 4. 1.]

18 Αμην λεγω ὑμιν, ὁσα εαν δησητε επι της γης, εσται δεδεμενα
εν τῳ ουρανῳ· και ὁσα εαν λυσητε επι της γης, εσται λελυ-
μενα εν τῳ ουρανῳ.

αἱ ἁμαρτιαι σου λυθησονται. *Sir. xxviii.* 2. *Conf. sup. xvi.* 19. *Joan. xx.* 23. *Act. xv.* 28. *Esa. xxii.* 22.

19 Παλιν λεγω ὑμιν, ὁτι εαν δυο ὑμων συμφωνησωσιν επι της
γης περι παντος πραγματος οὑ εαν αιτησωνται, γενησεται αυ-
τοις παρα του πατρος μου του εν ουρανοις.

λεγω ὑμιν—εγω ειπα. *Ps. lxxxi.* 6. και συνεφωνησαν οἱ ἱερεις του μη λαβειν αργυριον. 4 *Reg. xii.* 8. ου γαρ δυνησομαι ποιησαι πραγμα. *Gen. xix.* 22. περι του πραγματος τουτου. 1 *Par. xxi.* 7. και καιρος τῳ παντι πραγματι ὑπο τον ουρανον. *Eccles. iii.* 1. περι παντος πραγματος, οὑ—*Ita*, κακων, ὡν εγω επαγω. *Jer. xxviii.* 64. *Dan. v.* 19. *Conf.* 1 *Joan. iii.* 22. *Jac. v.* 16. *Gen. xiv.* 3. *Esa. vii.* 2. παρα Κυριου εγενετο αὑτη. *Ps. cxvii.* 23.

20 Οὑ γαρ εισι δυο η τρεις συνηγμενοι εις το εμον ονομα, εκει
ειμι εν μεσῳ αυτων.

Θεος εγγιζων εγω ειμι, λεγει Κυριος, και ουχι Θεος πορρωθεν. *Jer. xxiii.* 23. Κυριος κατασκηνων εν μεσῳ των υἱων Ισραηλ. *Num. xxxv.* 34. και Δαυιδ αρχων εν μεσῳ αυτων. *Ezech. xxxiv.* 24. *xlviii.* 8. *Zach. ii.* 5, 11. ἡμεις εν ονοματι Κυριου Θεου ἡμων μεγαλυνθησομεθα. *Ps. xix.* 7. και ὁ Θεος εισακουσεται σου, ετι λαλουντος σου, ερει, Ιδου παρειμι. *Esa. lviii.* 9. Ιδου επι των χειρων μου εζωγραφηκα σου τα τειχη, και ενωπιον μου ει διαπαντος, κ. τ. λ. *Esa. xlix.* 16. *Conf. Gen. xlix.* 10. *Joan. xx.* 19. 26.

21 Τοτε προσελθων αυτῳ ὁ Πετρος ειπε, Κυριε, ποσακις ἁμαρ-
τησει εις εμε ὁ αδελφος μου, και αφησω αυτῳ; ἑως ἑπτακις;

ποσακις ὁρκιζω σε ἱνα μη λαλησῃς; 2 *Par. xviii.* 15. ὁτι ουκ

αφεθησεται ὑμιν ἡ ἁμαρτια. *Esa.* xx. 14. και αφες πασας τας ἁμαρτιας μου. *Ps.* xxiv. 18. xxxi. 1, 6. *Amos.* i. 3. τις Θεος ὡσπερ συ, εξαιρων ανομιας, κ. τ. λ. *Mich.* vii. 18, 19. *Esa.* lv. 7. ἑπτακις, *sæpissime.* *Conf.* *Ps.* cxviii. 164. *Gen.* xxxiii. 3. 3 *Reg.* xviii. 43. 4 *Reg.* v. 14. ὁ αδελφος = ὁ πλησιον. *Gen.* xiii. 11. xxvi. 31.

22 Λεγει αυτῳ ὁ Ιησους, Ου, λεγω σοι, ἑως ἑπτακις, αλλ᾽ ἑως ἑβδομηκοντακις ἑπτα.

ὁτι ἑπτακις εκδεδικηται εν Καϊν· εκ δε Λαμεχ, ἑβδομηκοντακις ἑπτα. *Gen.* iv. 24. *Jer.* xv. 9. ου—αλλ᾽. *Conf.* 1 *Reg.* vi. 3.

23 Δια τουτο ὡμοιωθη ἡ βασιλεια των ουρανων ανθρωπῳ βασιλει, ὁς εθελησε συναραι λογον μετα των δουλων αὑτου.

ἡ βασιλεια των ουρανων. *Conf.* ανθρωπῳ βασιλει = παιδα την παρθενον. *Deut.* xxii. 28. *Dan.* ii. 44. vii. 14, 27. ix. 25. γυναικος πορνης. *Jud.* xi. 1. του αποδιδοναι—λογον. *Dan.* vi. 2. [συναρασθαι· συναρμοζασθαι, συγκαταθεσθαι. *Etym. Mag.*]

24 Αρξαμενου δε αυτου συναιρειν, προσηνεχθη αυτῳ εἱς οφειλετης μυριων ταλαντων.

Conf. 1 *Par.* xxix. 7. *Esd.* ix. 6. *Ps.* xxxvii. 4. xxxix. 12. cxxix. 3, 4.

25 Μη εχοντος δε αυτου αποδουναι, εκελευσεν αυτον ὁ κυριος αυτου πραθηναι, και την γυναικα αυτου και τα τεκνα, και παντα ὁσα ειχε, και αποδοθηναι.

και απεδωκε το αργυριον. *Jud.* xvii. 4. *Conf.* 4 *Reg.* iv. 1. *Neh.* v. 8. *Lev.* xxv. 30. ἡνικα αν εχῃ ἡ χειρ σου βοηθειν. *Prov.* iii. 27.

26 Πεσων ουν ὁ δουλος προσεκυνει αυτῳ λεγων, Κυριε, μακροθυμησον επ᾽ εμοι, και παντα σοι αποδωσω.

και επεσεν επι προσωπον αυτου, και προσεκυνησε. 1 *Reg.* xx. 41. *et pass.* εμακροθυμησε Κυριος επ᾽ αυτοις. *Sir.* xviii. 10. xxxii. 19. *Ps.* lxxxv. 13. ελεημων ανηρ μακροθυμει. *Prov.* xix. 11. *Conf.* *Neh.* ix. 17. *Ps.* lxxxv. 5. μετεστραφη ἡ καρδια μου εν τῳ αυτῳ, συνεταραχθη ἡ μεταμελεια μου. *Ose.* xi. 8.

27 Σπλαγχνισθεις δε ὁ κυριος του δουλου εκεινου απελυσεν αυτον, και το δανειον αφηκεν αυτῳ.

τα δε σπλαγχνα των ασεβων ανελεημονα. *Prov.* xii. 10. ουκ επισπλαγχνισθησῃ. *Deut.* xiii. 8. *Sym.* και παν οφειλημα βασιλικον—αφιεσθω σοι. 1 *Mac.* xv. 8. αφησεις παν χρεος ιδιον ὁ οφειλει σοι ὁ πλησιον. *Deut.* xv. 1, 2. απελυσεν αυτον και απηλθε.

Ps. xxxiii. 1. *Neh. v.* 7-10. εαν δε αργυριον εκδανεισης τῳ αδελφῳ τῳ πενιχρῳ παρα σοι, ουκ εσῃ αυτον κατεπειγων, ουκ επιθησεις αυτῳ τοκον. *Exod. xxii.* 25. δανειον. *Deut. xxiv.* 11.

28 Εξελθων δε ὁ δουλος εκεινος εὑρεν ἑνα των συνδουλων αὑτου, ὁς ωφειλεν αυτῳ ἑκατον δηναρια, και κρατησας αυτον επνιγε λεγων, Αποδος μοι ὁ τι οφειλεις.

περι αργυριου οὑ ωφειλεν Ιωναθαν. 1 *Mac. xiii.* 15. και επνιγεν αυτον πνευμα πονηρον. 1 *Reg. xvi.* 14. ενεχυρασμον οφειλοντος αποδωσει. *Ezech. xviii.* 7. αλλ' αποδος αυτῳ παραυτικα. *Tob. iv.* 14. *Conf. Ezech. xlv.* 9. *Esa. lviii.* 3. *Deut. xv.* 2.

29 Πεσων ουν ὁ συνδουλος αυτου εις τους ποδας αυτου παρεκαλει αυτον, λεγων, Μακροθυμησον επ' εμοι, και παντα αποδωσω σοι.

παρεκαλει και ῃτειτο την βασιλισσαν. *Est. vii.* 7. *Ald. Comp.* πλην επι ταπεινῳ μακροθυμησον. *Sir. xxix.* 8. αυτος δε εστιν οικτιρμων, και ἱλασεται ταις ἁμαρτιαις αυτων, και ου διαφθερει, κ. τ. λ. *Ps. lxxvii.* 38. αποδωσει τα λυτρα αυτου. *Lev. xxv.* 52.

30 Ὁ δε ουκ ηθελεν, αλλα απελθων εβαλεν αυτον εις φυλακην, ἑως οὑ αποδῳ το οφειλομενον.

εαν δε μη θελητε. *Esa. i.* 20. ειπον θεσθαι τουτον εν φυλακῃ, και εσθιειν αυτον αρτον θλιψεως, και ὑδωρ θλιψεως, κ. τ. λ. 3 *Reg. xxii.* 27. ἑως οὑ, *sc.* χρονου. *Conf. Ps. lxxi.* 7. *xciii.* 15. *Gen. xxvi.* 13.

31 Ιδοντες δε οἱ συνδουλοι αυτου τα γενομενα, ελυπηθησαν σφοδρα· και ελθοντες διεσαφησαν τῳ κυριῳ αὑτων παντα τα γενομενα.

και ελυπηθην σφοδρα. *Neh. v.* 6. δεον ἡγησαμεθα διασαφησαι ὑμιν. 2 *Mac. i.* 18. και ελυπηθη—και ωργισθη. *Est. i.* 12. ηρξατο Μωυσης διασαφησαι τον νομον τουτον, λεγων, κ. τ. λ. *Deut. i.* 5. γενομενα. *Esa. ii.* 1. *Conf.* 2 *Mac. i.* 18. 20. *Gen. xxxvii.* 2.

32 Τοτε προσκαλεσαμενος αυτον ὁ κυριος αυτου λεγει αυτῳ, Δουλε πονηρε, πασαν την οφειλην εκεινην αφηκα σοι, επει παρεκαλεσας με·

ανθρωπος ανθρωπῳ συντηρει οργην, και παρα Κυριου ζητει ιασιν. *Sir. xxviii.* 3. ὁ εκδικων παρα Κυριου εὑρησει εκδικησιν, και τας ἁμαρτιας αυτου διατηρων διατηρησει. *xxviii.* 1. ελεγξαι σε το σον στομα και μη εγω, τα δε χειλη σου καταμαρτυρησουσι σου. *Job. xv.* 6. *Conf. Luc. xix.* 22. *Matt. vi.* 12. *Rom. iii.* 19.

33 Ουκ εδει και σε ελεησαι τον συνδουλον σου, ὡς και εγω σε ηλεησα;

ὡς, pariter ac. Esa. xxiv. 2. Conf. Ephes. iv. 32. Col. iii. 13.

34 Και οργισθεις ὁ κυριος αυτου παρεδωκεν αυτον τοις βασανισταις, ἑως οὑ αποδῳ παν το οφειλομενον αὑτῳ.

και ωργισθη Κυριος, κ. τ. λ. *3 Reg. xi. 9.* βασανιστηριον, (*carcer.*) *Jer. xx. 2. Sym.* [στρεβλουμενοι· δεσμουμενοι. στρεβλουται· βασανιζεται. *Hesych. Phav.*] *Conf. 2 Thess. i. 8, 9. Apoc. xiv. 10.*

35 Οὑτω και ὁ πατηρ μου ὁ επουρανιος ποιησει ὑμιν, εαν μη αφητε, ἑκαστος τῳ αδελφῳ αὑτου, απο των καρδιων ὑμων τα παραπτωματα αυτων.

αυτος (Θεος) την κατοικιαν επουρανιον εχων. *2 Mac. iii. 39.* ισως εσται μακροθυμος τοις παραπτωμασι σου. *Dan. iv. 24.* ὁτι ουκ αφεθησεται ὑμιν αὑτη ἡ ἁμαρτια. *Esa. xxii. 14.* αφες αδικημα τῳ πλησιον σου, και τοτε δεηθεντος σου αἱ ἁμαρτιαι σου λυθησονται. *Sir. xxviii. 2.* απο καρδιας αυτων λαλουσι. *Jer. xxiii. 16, 20. Conf. Marc. xi. 26. Jac. ii. 13.* ὁς φρασσει τα ωτα αυτου του μη επακουσαι ασθενους, και αυτος επικαλεσεται, και ουκ εσται ὁ εισακουων. *Prov. xxi. 13.*

ΚΕΦ. ιθ. 19.

ΚΑΙ εγενετο ὁτε ετελεσεν ὁ Ιησους τους λογους τουτους, μετηρεν απο της Γαλιλαιας, και ηλθεν εις τα ὁρια της Ιουδαιας περαν του Ιορδανου.

και εγενετο ὡς επαυσατο—και συνετελεσε παντα τα ῥηματα ταυτα. *Judith. x. 1. Gen. vi. 1.* κατα το ὁριον αυτων. *Jos. xix. 49. Num. xxii. 36.* και παρεγενοντο εις ἁλωνα Αταδ, ὁ εστι περαν του Ιορδανου. *Gen. l. 10.* και μετηρεν εκειθεν. *Gen. xii. 8. Aq. Conf. Marc. x. 1. Joan. iii. 22.*

2 Και ηκολουθησαν αυτῳ οχλοι πολλοι, και εθεραπευσεν αυτους εκει.

3 Και προσηλθον αυτῳ οἱ Φαρισαιοι πειραζοντες αυτον, και λεγοντες αυτῳ, Ει εξεστιν ανθρωπῳ απολυσαι την γυναικα αὑτου κατα πασαν αιτιαν;

ενωπιον ανθρωπου η γυναικος. *Tob. vi. 7.* και απελυσαν αυτας συν τεκνοις. *1 Esd. ix. 36. Conf. Sir. xxv. 26.* ει μη πορευεται κατα χειρα σου, απο των σαρκων σου αποτεμε αυτην. *Conf. Jer. iii. 8.* δια τηνδε την αιτιαν τουσδε πεπτωκεναι. *2 Mac. xii. 40.* μειζων ἡ

αιτια μου του αφεθηναι με. Gen. iv. 13. *εν αιτια φονου. Prov. xxvii.* 17. *ουκ εξεστι. Esd. iv.* 14. 1 *Mac. xiv.* 44. *Conf. sup. cap. xvi.* 1. *Mal. ii.* 14-16. *Conf. Matt. iii.* 7. [*κατα τοιαυτην αιτιαν. Jos. Ant. iv.* 8. 23.] *κατα την δοξαν.* 2 *Mac. vi.* 11. *Sir. iv. xxix.* 9.

4 Ὁ δε αποκριθεις ειπεν αυτοις, Ουκ ανεγνωτε ὁτι ὁ ποιησας
απ' αρχης αρσεν και θηλυ εποιησεν αυτους;

ποιημα ὁ εποιησεν ὁ Θεος απ' αρχης. Eccles. iii. 11. *αρσεν και θηλυ εποιησεν αυτους. Gen. i.* 27. *v.* 2. [*αρρὲν τε και θηλυ δεδημιουργησθαι. Philo. p.* 12. *ὁ και ἡμεραν ὁ ποιων. ib. p.* 7.] *απ' αρχης κτισεως. Marc. x.* 6. *Conf. Esa. xxix.* 11, 12. *CITAT.* 28.

5 Και ειπεν, Ἑνεκεν τουτου καταλειψει ανθρωπος τον πατερα
και την μητερα, και προσκολληθησεται τῃ γυναικι αὑτου, και
εσονται οἱ δυο εις σαρκα μιαν·

ἑνεκεν τουτου καταλειψει ανθρωπος τον πατερα αυτου και την μητερα, και προσκολληθησεται προς την γυναικα αυτου· και εσονται οἱ δυο εις σαρκα μιαν. Gen. ii. 24. [*Philo. de Gigant. p.* 228.] *Conf. Ephes. v.* 31. 1 *Cor. vi.* 16. *ὡστε. Sap. vi.* 25. *Marc. x.* 7, 8. *Conf. Mal. ii.* 14. Κυριος *διεμαρτυρατο αναμεσον σου, και αναμεσον γυναικος νεοτητος σου, ἡν εγκατελιπες, κ. τ. λ. Ps. lxii.* 8. *CITAT.* 29.

6 Ὡστε ουκετι εισι δυο, αλλα σαρξ μια· ὁ ουν ὁ Θεος συνεζευξεν, ανθρωπος μη χωριζετω.

7 Λεγουσιν αυτῳ, Τι ουν Μωσης ενετειλατο δουναι βιβλιον
αποστασιου, και απολυσαι αυτην; Λεγει αυτοις,

και γραψει αυτῃ βιβλιον αποστασιου——και εξαποστελει αυτην εκ της οικιας αυτου. Deut. xxiv. 1. *ποιον το βιβλιον του αποστασιου της μητρος ὑμων, ᾡ εξαπεστειλα αυτην; κ. τ. λ. Esa. l.* 1. *Jer. iii.* 8. *και ενετειλαμην κ. τ. λ. Deut. i.* 18.

8 Ὁτι Μωσης προς την σκληροκαρδιαν ὑμων επετρεψεν ὑμιν
απολυσαι τας γυναικας ὑμων· απ' αρχης δε ου γεγονεν οὑτω.

και περιτεμεισθε την σκληροκαρδιαν ὑμων. Deut. x. 16. *Citat. Philo. de Vict. p.* 661. *Sir. xvi.* 11. *Jer. iv.* 4. *απ' αρχης. Conf. Joan. i.* 1. *Gen. i.* 1. *και εγενετο οὑτως. vi.* 9. 11.

9 Λεγω δε ὑμιν, ὁτι ὁς αν απολυσῃ την γυναικα αὑτου, ει μη
επι πορνειᾳ, και γαμησῃ αλλην, μοιχαται· και ὁ απολελυ-
μενηνγαμησας μοιχαται.

Conf. Marc. x. 11. *Luc. xvi.* 18. 1 *Cor. vii.* 11. μη σκληρυνητε τας καρδιας ὑμων, κ. τ. λ. *Ps. xciv.* 8. *Conf. Gen. xii.* 18, 19. *xx.* 3.

10 Λεγουσιν αυτῳ οἱ μαθηται αυτου, Ει οὑτως εστιν ἡ αιτια του ανθρωπου μετα της γυναικος, ου συμφερει γαμησαι.

ου συμφερει τῳ βασιλει εασαι αυτους. *Est. iii.* 8. *Prov. xix.* 9. συνοικησαι λεοντι και δρακοντι ευδοκησω, η ενοικησαι μετα γυναικος πονηρας. *Sir. xxv.* 16. *Conf. Prov. xxi.* 19. κρεισσον οικειν εν τῃ ερημῳ, η μετα γυναικος μαχιμου και γλωσσωδους και οργιλου.

11 Ὁ δε ειπεν αυτοις, Ου παντες χωρουσι τον λογον τουτον, αλλ᾽ οἱς δεδοται.

και ουκ εχωρει αυτους ἡ γη κατοικειν ἁμα. *Gen. xiii.* 6. ου μη δυνηται ἡ γη ὑπενεγκειν παντας τους λογους αυτου. *Amos. vii.* 10. εδοθη ἁγιοις Ὑψιστου. *Dan. vii.* 27. *Conf.* 1 *Cor. vii.* 2, 7, 9, 17. [χωρουσι. *Act. Thom.* § 50.]

12 Εισι γαρ ευνουχοι, οἱτινες εκ κοιλιας μητρος εγεννηθησαν οὑ-
τω· και εισιν ευνουχοι, οἱτινες ευνουχισθησαν ὑπο των ανθρω-
πων· και εισιν ευνουχοι, οἱτινες ευνουχισαν ἑαυτους, δια την
βασιλειαν των ουρανων. Ὁ δυναμενος χωρειν, χωρειτω.

και αυτος εν μητρᾳ ἡγιασθη προφητης. *Sir. xlix.* 7. εκ κοιλιας μητρος μου. *Job. i.* 21. *Esa. xlviii.* 8. ταδε λεγει Κυριος τοις ευνουχοις, ὁσοι αν φυλαξωνται τα σαββατα μου. κ. τ. λ. *Esa. lvi.* 4, 5. *Conf. Sap. iii.* 14. 1 *Cor. vii.* 32, 34. *Esa. xxxix.* 7. *Conf. Est. i.* 12. *Sir. xxx.* 19. [εκτεμουσιν εξ ὑμων εις ευνουχους ταις γυναιξιν. *Test. XII Patr. p.* 616.]

13 Τοτε προσηνεχθη αυτῳ παιδια, ἱνα τας χειρας επιθῃ αυ-
τοις, και προσευξηται· οἱ δε μαθηται επετιμησαν αυτοις·

και δωσω αυτοις ὁδον ἑτεραν—εις αγαθον αυτοις και τοις τεκνοις αυτων. *Jer. xxxix.* 39. και επιθησει τας χειρας επι την κεφαλην. *Lev. iii.* 2. *viii.* 13. *et pass. Conf.* 4 *Reg. v.* 11. *Marc. x.* 13. εκτεινας δε Ισραηλ την χειρα την δεξιαν, επεβαλεν επι την κεφαλην Εφραιμ —και ευλογησεν αυτους, και ειπεν, κ. τ. λ. *Gen. xlviii.* 14, 15.

14 Ὁ δε Ιησους ειπεν, Αφετε το παιδια, και μη κωλυετε αυτα
ελθειν προς με· των γαρ τοιουτων εστιν ἡ βασιλεια των ουρανων.

δικαιος δε εαν φθασῃ τελευτησαι, εν αναπαυσει εσται, κ. τ. λ. τελειωθεις εν ολιγῳ επληρωσε χρονους μακρους, κ. τ. λ. *Sap. iv.* 7-15. αφες αυτην. 4 *Reg. iv.* 27. *Conf. Matt. xv.* 14. εκωλυσε σε Κυριος του μη ελθειν. 1 *Reg. xxv.* 26. κωλυσον αυτους. *Num. xi.* 28, 29. *Conf. Gen. xxi.* 17. 1 *Reg. i.* 11, 22. *ii.* 18. *Luc. xviii.* 15. 1 *Cor.*

xiv. 20. ὡς ποιμην ποιμανει το ποιμνιον αυτου, και τῳ βραχιονι αυτου συναξει αρνας, κ. τ. λ. *Esa. xl.* 11.

15 Και επιθεις αυτοις τας χειρας, επορευθη εκειθεν.

16 Και ιδου, εἱς προσελθων ειπεν αυτῳ, Διδασκαλε αγαθε, τι αγαθον ποιησω, ἱνα εχω ζωην αιωνιον;

οὑτοι εις ζωην αιωνιον. *Dan. xii.* 2. ζωσειν εις ζωην αιωνιον. 4 *Mac. xv.* 2. ην δε τις εκ της φυλης Λευι. *Exod. ii.* 1. *Conf. Matt. viii.* 19. *Luc. xviii.* 18. *Dan. xii.* 12. ἱνα ζῃς συ. *Deut. xxx.* 6. [διδασκαλος ανθρωπων. *Jos. Ant. xviii.* 4. 3.]

17 Ὁ δε ειπεν αυτῳ, Τι με λεγεις αγαθον; ουδεις αγαθος, ει μη εἱς ὁ Θεος. Ει δε θελεις εισελθειν εις την ζωην, τηρησον τας εντολας.

ουκ εστι ποιων αγαθον, ουκ εστιν ἑως ἑνος. *Ps. lii.* 3. εἱς εστι σοφος φοβερος σφοδρα. *Sir. i.* 8. τηρησον δε εμην βουλην. *Prov. iii.* 21. Κυριος μονος δικαιος, και οὐκ εστιν αλλος πλην αυτου. *Sir. xviii.* 2. *Comp. Exod. xxiv.* 7. και γαρ τουτο εστι τηρησις εντολων. *Sir. xxxv.* 23. ὁτι συ μονος αγαθος εν πασῃ βασιλειᾳ, και δυνατος εν επιστημῃ, και θαυμαστος εν στρατευμασι πολεμου. *Judith. xi.* 8. ὁτι ουκ εστιν ἁγιος ὡς Κυριος, και ουκ εστι δικαιος ὡς ὁ Θεος ἡμων, κ. τ. λ. 1 *Reg. ii.* 2. *Conf. Sap. viii.* 19. σοι μεν γαρ αναστασις εις ζωην ουκ εσται. 2 *Mac. vii.* 14. *Conf. Esa. xxvi.* 14. *lvii.* 15. αενναου ζωης. 2 *Mac. vii.* 36.

18 Λεγει αυτῳ, Ποιας; Ὁ δε Ιησους ειπε, Το, Ου φονευσεις· Ου μοιχευσεις· Ου κλεψεις· Ου ψευδομαρτυρησεις·

19 Τιμα τον πατερα σου, και την μητερα· και, Αγαπησεις τον πλησιον σου ὡς σεαυτον.

18, 19,] *Exod. xx.* 12-16. *Lev. xix.* 18. *Deut. v.* 17. *Conf. cap. xxii.* 39. *Marc. x.* 17-20. *Gal. v.* 14. *Rom. xiii.* 9. εκ ποιας πολεως συ ει; 2 *Reg. xv.* 2. *CITAT.* 30, 31.

20 Λεγει αυτῳ ὁ νεανισκος· Παντα ταυτα εφυλαξαμην εκ νεοτητος μου· τι ετι ὑστερω;

και φυλαξεσθε παντα τα προσταγματα μου. *Lev. xviii.* 5. *Deut. iv.* 2. εκ νεοτητος μου. *Ps. lxxxvii.* 15. *Gen. viii.* 21. *xlviii.* 15. ἱνα γνω τι ὑστερω εγω. *Ps. xxxviii.* 4. *Neh. ix.* 21.

21 Εφη αυτῳ ὁ Ιησους, Ει θελεις τελειος ειναι, ὑπαγε πωλησον σου τα ὑπαρχοντα, και δος πτωχοις· και ἑξεις θησαυρον εν ουρανῳ· και δευρο ακολουθει μοι.

Νωε ανθρωπος δικαιος, τελειος ων εν τῃ γενεᾳ αυτου. *Gen. vi.* 9.

Job. i. 1. τελειος εσῃ εναντιον Κυριου του Θεου σου. *Deut. xviii.* 13. δανειζει Θεῳ ὁ ελεων πτωχον, κ. τ. λ. *Prov. xix.* 17. ὁς διδωσι πτωχοις, ουκ ενδεηθησεται. *Prov. xxviii.* 27. ὁ ελεων πτωχον, αυτος διατρεφησεται. *xxii.* 9. και παντα τα ὑπαρχοντα αυτου δους ῥυσεται ἑαυτον. *Prov. vi.* 31. θεμα γαρ αγαθον θησαυριζεις σεαυτῳ εις ἡμεραν αναγκης. *Tob. iv.* 9. ου γαρ συνεπηκολουθησαν οπισω μου. *Num. xxxii.* 11. *Sir. xxix.* 11. *Conf. Luc. xii.* 33. δευτε οπισω μου. 4 *Reg. vi.* 19. δευρο συ, βασιλευσον εφ᾽ ἡμων. *Jud. ix.* 14. 1 *Reg. xvi.* 1. 4 *Reg. v.* 5.

22 Ακουσας δε ὁ νεανισκος τον λογον, απηλθε λυπουμενος· ην γαρ εχων κτηματα πολλα.

Conf. Ps. xvi. 14. *Est. vi.* 12. [κτηματα· παντα τα ὑπαρχοντα. *Hesych.*]

23 Ὁ δε Ιησους ειπε τοις μαθηταις αὐτου, Αμην λεγω ὑμιν, ὁτι δυσκολως πλουσιος εισελευσεται εις την βασιλειαν των ουρανων.

και μη καυχασθω ὁ πλουσιος εν τῳ πλουτῳ αυτου. *Jer. ix.* 23. *Sir. xxxv.* 5. και ανθρωπος εν τιμῃ ων ου συνηκε, κ. τ. λ. *Ps. xlviii.* 12, 20. εισελευσεται εις την βασιλειαν του βασιλεως. *Dan. xi.* 9. μακαριος πλουσιος ὁς εὑρεθη αμωμος. *Sir. xxxiv.* 8. *Conf. Marc. x.* 24. 1 *Tim. vi.* 9, 10. 1 *Cor. i.* 26. *Jac. ii.* 5. *Job. xxxi.* 25. ὁ πεποιθως επι πλουτῳ, οὑτος πεσειται, κ. τ. λ. *Prov. xi.* 28. ελιπανθη, επαχυνθη, επλατυνθη, και εγκατελιπε τον Θεον τον ποιησαντα αυτον. *Deut. xxxii.* 15. *Citatur a Philone. p.* 349. [μακαριος οὑ μνημονευει ὁ Θεος εν συμμετριᾳ αυταρκεσιας· εαν ὑπερπλεονασῃ ὁ ανθρωπος, εξαμαρτανει. *Psalt. Sal. p.* 935.]

24 Παλιν δε λεγω ὑμιν, ευκοπωτερον εστι καμηλον δια τρυπηματος ῥαφιδος διελθειν, η πλουσιον εις την βασιλειαν του Θεου εισελθειν.

ευκοπον εστι συγκλεισθηναι πολλους εν χερσιν ολιγων. 1 *Mac. iii.* 18. *Sir. xxii.* 15. ει αλλαξεται Αιθιοψ το δερμα αυτου, και παρδαλις τα ποικιλματα αυτης, και ὑμεις δυνησεσθε ευποιησαι, μεμαθηκοτες τα κακα. *Jer. xiii.* 23. *Conf. Marc. x.* 24, 25.

25 Ακουσαντες δε οἱ μαθηται αυτου εξεπλησσοντο σφοδρα, λεγοντες, Τις αρα δυναται σωθηναι;

σφοδρα λελυπησαι συ; *Jon. iv.* 9. *Conf. Prov. xi.* 31.

26 Εμβλεψας δε ὁ Ιησους ειπεν αυτοις, Παρα ανθρωποις τουτο αδυνατον εστι, παρα δε Θεῳ παντα δυνατα εστι.

μη αδυνατησει παρα τω Θεω ῥημα ; Gen. xviii. 14. *Jer. xxxii.* 17. *οιδα ὁτι παντα δυνασαι, αδυνατει δε σοι ουδεν. Job. xlii.* 2. *τρια δε εστιν αδυνατα μοι νοησαι. Prov. xxx.* 18. *Conf. Luc. i.* 37. *xviii.* 27. *Zach. viii.* 6. *εμβλεποντες. Conf. Jud. xvi.* 27. *Alex. Ald.*

27 Τοτε *αποκριθεις ὁ* Πετρος *ειπεν αυτω*, Ιδου, *ἡμεις αφηκαμεν παντα, και ηκολουθησαμεν σοι· τι αρα εσται ἡμιν ;*

τι εστι βασιλισσα Εσθηρ ; *Est. v.* 6. *τι εστι ἡμιν ; Conf. Est. vii.* 2. 1 *Reg. xvii.* 20. *Ald. Comp. Luc. xviii.* 28. *Esa. xxx.* 23. *ειπα τω* Κυριω, Κυριος *μου ει συ, ὁτι των αγαθων μου ου χρειαν εχεις, κ. τ. λ. Ps. xv.* 2. *Prov. xi.* 24.

28 Ὁ *δε* Ιησους *ειπεν αυτοις*, Αμην *λεγω ὑμιν, ὁτι ὑμεις οἱ ακολουθησαντες μοι, εν τη παλιγγενεσια, ὁταν καθιση ὁ υἱος του ανθρωπου επι θρονου δοξης αὑτου, καθισεσθε και ὑμεις επι δωδεκα θρονους, κρινοντες τας δωδεκα φυλας του* Ισραηλ.

ὁταν βασιλευς δικαιος καθιση επι θρονου. Prov. xx. 8. *ταις δωδεκα φυλαις των υἱων* Ισραηλ. *Ezech. xlvii.* 13. *Conf. Esd. vi.* 7. Δαν *κρινει τον λαον αυτου. Gen. xlix.* 16. *κρινουσιν εθνη. Sap. iii.* 8. *εκαθισας επι θρονου ὁ κρινων. Ps. ix.* 4. *ὑπομενω ἑως παλιν γενωμαι. Job. xiv.* 14. *ἑως αν ελθη ἡ ἁγια φυσις μου. Theod. Sym. απο θρονου δοξης σου. Sap. ix.* 10. *Conf. Dan. vii.* 9, 10. *Act. iii.* 21. 2 *Pet. iii.* 13. [*τον επικρεμαμενον αει του θανατου φοβον απωσω, και τεθνεωτα δεει ζωπυρησας, καθαπερ εκ παλιγγενεσιας ανηγειρας. Philo. leg. ad Cai. p.* 729. *παλιγγενεσια* Αβελ *του δολοφονηθεντος. Id de post. Caini. p.* 249. *εις παλιγγενεσιαν ὁρμησομεν, μετα ασωματων συγκριτοι. Id. de Cherub. p.* 127. [*παλιγγενεσια της πατριδος. Jos. Ant. xi.* 3. 9.] *παλιγγενεσια· το εκ δευτερου αναγεννηθηναι, η ανακαινισθηναι. Hesych.*]

29 Και *πας ὁς αφηκεν οικιας, η αδελφους, η αδελφας, η πατερα, η μητερα, η γυναικα, η τεκνα, η αγρους, ἑνεκεν του ονοματος μου, ἑκατονταπλασιονα ληψεται, και ζωην αιωνιον κληρονομησει.*

λυτρωσαι ἡμας ἑνεκεν του ονοματος σου. Ps. xliii. 26. *cviii.* 21. *lxxviii.* 9. *και ἡ κληρονομια αυτων εις τον αιωνα εσται. Ps. xxxvi.* 18. *και κληρονομησουσιν οἱ εκλεκτοι μου. Esa. lxv.* 9. *ἑκατονταπλασιων. Conf.* 2 *Reg. xxiv.* 3. *οὑτοι εις ζωην αιωνιον. Dan. xii.* 2. *αισχυνην κληρονομησει. Sir. vi.* 1. *Conf. Marc. x.* 29. *Luc. xviii.* 29, 30. *Job. xlii.* 10. *ὁ λεγων τω πατρι και τη μητρι*, Ουχ *ἑωρακα σε, κ. τ. λ. Deut. xxxiii.* 9.

30 Πολλοι *δε εσονται πρωτοι εσχατοι, και εσχατοι πρωτοι.*

ἡ πρωτη και ἡ εσχατη. *Dan. xi.* 29. *Conf. Marc. x.* 31. *Luc. xiii.* 30. ουχ ὡς εμβλεψεται ανθρωπος, οψεται ὁ Θεος· ὁτι ανθρωπος οψεται εις προσωπον, ὁ δε Θεος οψεται εις καρδιαν. 1 *Reg. xvi.* 7. ακαθαρτος παρα Θεῳ πας ὑψηλοκαρδιος. *Prov. xvi.* 5.

July 25. 1851.

ΚΕΦ. κ. 20.

ὉΜΟΙΑ γαρ εστιν ἡ βασιλεια των ουρανων ανθρωπῳ οικοδεσποτῃ, ὁστις εξηλθεν ἁμα πρωϊ μισθωσασθαι εργατας εις τον αμπελωνα αὑτου.

Αμπελων εγενηθη τῳ Σαλωμων εν Βεελαμων· εδωκε τον αμπελωνα αυτου τοις τηρουσιν. κ. τ. λ. *Cant. viii.* 11, 12. ἑως το πρωϊ. *Jud. xix.* 25, 26. ἁμα τῃ ἡμερᾳ. 1 *Mac. iv.* 6. *Mich. ii.* 1. ὁ γαρ αμπελων Κυριου—οικος του Ισραηλ, κ. τ. λ. *Esa. v.* 1-7. *xvi.* 10. ανθρωπος οικοδεσποτης = ανθρωπος γεωργος. *Gen. ix.* 20. ανθρωπου ἱερεως. *Conf. Deut. v.* 26. [ἁμα τῃ ἑῳ. *Philo. de Joseph.* 541. 556.] μισθωσασθαι. *Conf. Jud. ix.* 4. 2 *Par. xxiv.* 12.

2 Συμφωνησας δε μετα των εργατων εκ δηναριου την ἡμεραν, απεστειλεν αυτους εις τον αμπελωνα αὑτου.

και συνεφωνησαν—του μη λαβειν αργυριον. 4 *Reg. xii.* 8. και ελαλησα προς ὑμας ορθριζων, και λεγων, Και απεστελλον προς ὑμας τους δουλους μου, κ. τ. λ. *Jer. xxv.* 3, 4. [συνεφωνησε μετ' αυτου τριων λιτρων αργυριου. *Act. Thom. c.* 2.] εργατης. *Sir. xix.* 1.

3 Και εξελθων περι την τριτην ὡραν, ειδεν αλλους ἑστωτας εν τῃ αγορᾳ αργους·

περι μεσας νυκτας. *Exod. xi.* 4. αργους. *Conf. Sir. xxxvii.* 11.

4 Κακεινοις ειπεν, Ὑπαγετε και ὑμεις εις τον αμπελωνα, και ὁ εαν ᾐ δικαιον δωσω ὑμιν.

Conf. Col. iv. 1. 2 *Pet. v.* 4. κακεινοις. *Esa. lvii.* 6.

5 Οἱ δε απηλθον. Παλιν εξελθων περι ἑκτην και ἐνατην ὡραν, εποιησεν ὡσαυτως.

και οἱ περιπατοι οἱ ὑπερῳοι ὡσαυτως. *Ezech. xlii.* 5.

6 Περι δε την ἑνδεκατην ὡραν εξελθων, εὑρεν αλλους ἑστωτας αργους, και λεγει αυτοις, Τι ὡδε ἑστηκατε ὁλην την ἡμεραν αργοι;

ὁλην την ἡμεραν. *Ps. xxiv.* 5. παντα ὁσα αν εὑρῃ ἡ χειρ σου του ποιησαι, ὡς ἡ δυναμις σου ποιησον, κ. τ. λ. *Eccles. ix.* 10.

7 Λεγουσιν αυτῳ, Ὁτι ουδεις ἡμας εμισθωσατο· λεγει αυτοις, Ὑπαγετε και ὑμεις εις τον αμπελωνα, και ὁ εαν ῃ δικαιον ληψεσθε.

και εμισθωσατο με. Jud. xviii. 4.

8 Οψιας δε γενομενης λεγει ὁ κυριος του αμπελωνος τῳ επιτροπῳ αὑτου, Καλεσον τους εργατας, και αποδος αυτοις τον μισθον, αρξαμενος απο των εσχατων ἑως των πρωτων.

ὁ κυριος του ταυρου. Exod. xxi. 28. Conf. Esa. i. 3. απεδωκεν ὁσιοις μισθον κοπων αυτων. Sap. x. 17. Tob. iv. 18. απο μικρου ἑως μεγαλου. Gen. xix. 11. Jer. xlii. 1, 8. xliv. 12. ὡς δε οψια εγενετο. Judith. xiii. 1. Conf. Marc. xi. 11.

9 Και ελθοντες οἱ περι την ἑνδεκατην ὡραν, ελαβον ανα δηναριον.

Conf. 1 Par. xv. 26. ανα εἱς ἑκαστος των πυλωνων. Apoc. xxi. 21. ανα τρεις. Exod. xiv. 7. alii. Conf. 1 Par. xxix. 14.

10 Ελθοντες δε οἱ πρωτοι ενομισαν ὁτι πλειονα ληψονται· και ελαβον και αυτοι ανα δηναριον.

νομισας δε ὁ Μενελαος ειληφεναι καιρον ευφυη. 2 Mac. iv. 32. ουκ επλεονασεν ὁ το πολυ, και ὁ το ελαττον ουκ ηλαττονησεν, κ. τ. λ. Exod. xvi. 18. 2 Cor. viii. 15. Luc. xiv. 10, 11.

11 Λαβοντες δε εγογγυζον κατα του οικοδεσποτου

γογγυζετε καθ' ἡμων; Exod. xvi. 7. Alex. Conf. Mal. iii. 13, 14.

12 Λεγοντες, ὁτι οὑτοι οἱ εσχατοι μιαν ὡραν εποιησαν, και ισους ἡμιν αυτους εποιησας, τοις βαστασασι το βαρος της ἡμερας και τον καυσωνα.

της οσμης αφορητον βαρος. 2 Mac. ix. 10. βαρος ὑπερ σε μη αρης. Sir. xiii. 2. που συνελεξας σημερον και που εποιησας; Ruth. ii. 19. Tob. x. 7. Conf. 4 Reg. iv. 18-20. Judith. viii. 3. εγενομην της ἡμερας συγκαιομενος τῳ καυσωνι. Gen. xxxi. 40. Alex. Jon. iv. 8.

13 Ὁ δε αποκριθεις ειπεν ἑνι αυτων, Ἑταιρε, ουκ αδικω σε· ουχι δηναριου συνεφωνησας μοι;

Ὁ κρινων πασαν την γην, ου ποιησεις κρισιν; Gen. xviii. 25.

14 Αρον το σον και ὑπαγε. θελω δε τουτῳ τῳ εσχατῳ δουναι ὡς και σοι·

ὁτι εγω εποιησα την γην εν τῃ ισχυϊ μου τῃ μεγαλῃ—και δωσω αυτην ᾡ εαν δοξῃ εν οφθαλμοις μου, κ. τ. λ. Jer. xxxiv. 5, 6.

15 Η ουκ εξεστι μοι ποιησαι ὁ θελω εν τοις εμοις; η ὁ οφθαλμος σου πονηρος εστιν, ὁτι εγω αγαθος ειμι;

οφθαλμος πονηρος. *Sir. xiv.* 10. *xxxiv.* 13. καθαρος ὁ οφθαλμος του μη ὁραν πονηρα. *Hab. i.* 13. και πονηρευσηται ὁ οφθαλμος σου τῳ αδελφῳ σου τῳ επιδεομενῳ. *Deut. xv.* 9, 10. τι τουτο εποιησας ἡμιν; *Gen. xx.* 9. συ τις ει, ὁτι ειπας, Δικαιος ειμι εναντι Κυριου; *Job. xxxv.* 2. μη αποποιου μου το κριμα· οιει δε με αλλως σοι κεχρηματικεναι, η ἱνα αναφανῃς δικαιος; *xl.* 3.

16 Οὑτως εσονται οἱ εσχατοι πρωτοι, και οἱ πρωτοι εσχατοι· πολλοι γαρ εισι κλητοι, ολιγοι δε εκλεκτοι.

πασα φαραγξ πληρωθησεται, και παν ορος και βουνος ταπεινωθησεται, κ. τ. λ. *Esa. xl.* 4, 5. Αδωνιας και παντες οἱ κλητοι αυτου. 3 *Reg. i.* 41, 49. Ισραηλ, ὁ κλητος μου. *Sym. Esa. xlviii.* 11. οἱ εκλεκτοι μου ου κοπιασουσιν εις κενον. *Esa. lxv.* 23. πρωται και εσχαται. 2 *Par. xxviii.* 26. *Vide Grot. in loc. Marc. x.* 31. *Luc. vii.* 47. *xiii.* 30. *Sap. iii.* 9.

17 Και αναβαινων ὁ Ιησους εις Ἱεροσολυμα, παρελαβε τους δωδεκα μαθητας κατ᾽ ιδιαν εν τῃ ὁδῳ, και ειπεν αυτοις,

κατ᾽ ιδιαν. 2 *Mac. iv.* 5. *Conf. Matt. xvi.* 21. *Marc. x.* 33. *Luc. xviii.* 31. εν τῃ ὁδῳ. *Gen. xlii.* 38. *xlv.* 24.

18 Ιδου, αναβαινομεν εις Ἱεροσολυμα, και ὁ υἱος του ανθρωπου παραδοθησεται τοις Αρχιερευσι και Γραμματευσι· και κατακρινουσιν αυτον θανατῳ,

ιδου. *Mal. iii.* 1. 3 *Reg. xvii.* 23. εαν αναβῃ—εις Ἱερουσαλημ. 3 *Reg. xii.* 27. και κατεκριναν αυτην αποθανειν. *Sus.* 41. *Conf. Matt. xxi.* 38. *Marc. xiv.* 64. *Ps. ii.* 1-3. *xxii.* 1. *Esa. liii. Dan. ix.* 24-27.

19 Και παραδωσουσιν αυτον τοις εθνεσιν εις το εμπαιξαι και μαστιγωσαι και σταυρωσαι· και τῃ τριτῃ ἡμερᾳ αναστησεται.

και Κυριος παρεδωκεν αυτον ταις ἁμαρτιαις ἡμων, κ. τ. λ. *Esa. liii.* 6. εν τῃ ἡμερᾳ τῃ τριτῃ αναστησομεθα. *Ose. vi.* 3. *Alex.* αναστησονται οἱ νεκροι. *Esa. xxvi.* 19. *Ezech. xxv.* 4. οιδα γαρ ὁτι αενναος εστιν ὁ εκλυειν με μελλων, επι γης αναστησαι το δερμα μου, κ. τ. λ. *Job. xix.* 25. τον νωτον μου εδωκα εις μαστιγας. *Esa. l.* 6. εκτισε γαρ εις το ειναι. *Sap. i.* 14. *Conf. Joan. xviii.* 32. *Act. iv.* 27. σταυρωθητω. *Est. vii.* 9.

20 Τοτε προσηλθεν αυτῳ ἡ μητηρ των υἱων Ζεβεδαιου μετα των υἱων αὑτης, προσκυνουσα και αιτουσα τι παρ᾽ αυτου.

Conf. Marc. x. 35. αιτησαι σεαυτῳ σημειον παρα Κυριου. *Esa. vii.* 11.

21 Ὁ δε ειπεν αυτῃ, Τι θελεις; Λεγει αυτῳ, Ειπε ἱνα καθισωσιν οὑτοι οἱ δυο υἱοι μου, εἱς εκ δεξιων σου, και εἱς εξ ευωνυμων, εν τῃ βασιλειᾳ σου.

και παντες οἱ δυνατοι εκ δεξιων και εξ ευωνυμων του βασιλεως. 2 *Reg. xvi.* 6. 3 *Reg. ii.* 19. *xxii.* 19. 2 *Par. iii.* 16. μιαν εις ὁλοκαυτωμα, και μιαν περι ἁμαρτιας. *Lev. xii.* 8. *xiv.* 22. θρονος δοξης. *Jer. xvii.* 12. και εκαθισε Σαλωμων επι θρονον βασιλειας. 3 *Reg. i.* 46. *Conf.* 1 *Par. xxviii.* 5. *Heb. xii.* 2. *Ps. xliv.* 9. τι θελεις Εσθηρ, και τι σου εστι το αξιωμα; κ. τ. λ. *Est. v.* 3.

22 Αποκριθεις δε ὁ Ιησους ειπεν, Ουκ οιδατε τι αιτεισθε. δυνασθε πιειν το ποτηριον, ὁ εγω μελλω πινειν, και το βαπτισμα, ὁ εγω βαπτιζομαι, βαπτισθηναι; Λεγουσιν αυτῳ, Δυναμεθα.

εποτισας ἡμας οινον κατανυξεως. *Ps. lix.* 3. ποτηριον—οινου ακρατου. *lxxiv.* 8. *Jer. xxv.* 15. *Conf. Marc. x.* 32-52. *Joan. xviii.* 11. *Marc. xiv.* 36. *Luc. xii.* 50. ποτηριον αφανισμου και ερημωσεως. *Ezech. xxiii.* 33. ἡ ανομια με βαπτιζει. *Esa. xxi.* 4. εβαπτισθησαν εθνη εν διαφθορᾳ. *Ps. ix.* 16. *alii.* εβαπτισθην εις απεραντους καταδυσεις. *lxviii.* 3. *Sym.* δυναμεθα. *Conf.* 3 *Reg. xxii.* 22.

23 Και λεγει αυτοις, Το μεν ποτηριον μου πιεσθε, και το βαπτισμα, ὁ εγω βαπτιζομαι, βαπτισθησεσθε· το δε καθισαι εκ δεξιων μου και εξ ευωνυμων μου, ουκ εστιν εμον δουναι, αλλ᾽ οἱς ἡτοιμασται ὑπο του πατρος μου.

Κυριος εν τῳ ουρανῳ ἡτοιμασε τον θρονον. *Ps. cii.* 19. μη και σοι ἡτοιμασθη βασιλευειν; *Esa. xxx.* 33. μη φοβου, ὁτι σοι αὑτη ἡτοιμασμενη ην απο του αιωνος. *Tob. vi.* 17. *Gen. xxiv.* 14. ουχ ὑμιν γνωναι. 2 *Par. xiii.* 5. ουκ εστιν, (*non decet,*) 1 *Par. xv.* 2. *Vide Keuchen. p.* 135. *in loc.* ὁτι ποτηριον εν χειρι Κυριου. *Ps. lxxiv.* 8. το ποτηριον του θυμου αυτου. *Esa. li.* 17. *Conf.* 2 *Par. iii.* 16, 17. *Act. xii.* 2. *Rom. viii.* 17. 1 *Cor. ii.* 9. 2 *Cor. i.* 7. *Heb. xi.* 16. *Apoc. i.* 9. ἱκανως εν ῥυπῳ με εβαψας. *Job. ix.* 31. και ἑτοιμασατω μοι αφ᾽ οὑ εποιησα ανθρωπον εις τον αιωνα, κ. τ. λ. *Esa. xliv.* 7. καθου εκ δεξιων μου. *Ps. cix.* 1. [οἱ δη ὑστερον εβαπτισαν την πολιν. *i. e. calamitatibus postea urbem obruerunt. Jos. Bell. Jud. iv.* 3. 3. σον εστιν εκποριζειν. *Ant. ii.* 16. 1.]

24 Και ακουσαντες οἱ δεκα ηγανακτησαν περι των δυο αδελφων.

ὡς ηκουσαν—ηγανακτησαν λιαν. *Draco.* 28. *Conf. Marc. x.* 41. *Luc. xxii.* 24. περι Σαῤῥας. *Gen. xii.* 17. *Exod. viii.* 12.

25 Ὁ δε Ιησους προσκαλεσαμενος αυτους ειπεν, Οιδατε ὁτι οἱ αρχοντες των εθνων κατακυριευουσιν αυτων, και οἱ μεγαλοι κατεξουσιαζουσιν αυτων.

εν τῳ αυτον κατακυριευσαι των πενητων. *Ps. ix.* 10. *Sir. xvii.* 4. *Jer. iii.* 14. *Ps. lxi.* 8. *Conf. Marc. x.* 42. *Luc. xxii.* 25. τοτε ὁ βασιλευς εν θυμῳ και οργῃ ειπεν απολεσαι παντας τους σοφους, κ. τ. λ. *Dan. ii.* 12.

26 Ουχ οὑτως δε εσται εν ὑμιν· αλλ᾽ ὁς εαν θελῃ εν ὑμιν μεγας γενεσθαι, εστω ὑμων διακονος·

ουχ οὑτως ἡ μαντεια σου, ουχ οὑτως. *Esa. xvi.* 6. *Ps. i.* 4. και ουχ οὑτως εσται. *Gen. xxxiv.* 7. *Jer. v.* 13. και Ναιμαν ὁ αρχων —ην ανηρ μεγας. 4 *Reg. v.* 1. προ συντριβης ὑψουται καρδια ανδρος, και προ δοξης ταπεινουται. *Prov. xviii.* 12.

27 Και ὁς εαν θελῃ εν ὑμιν ειναι πρωτος, εστω ὑμων δουλος·

ὁσῳ μεγας ει, τοσουτῳ ταπεινου σεαυτον. *Sir. iii.* 18.

28 Ὡσπερ ὁ υἱος του ανθρωπου ουκ ηλθε διακονηθηναι, αλλα διακονησαι και δουναι την ψυχην αὐτου λυτρον αντι πολλων.

και δωσουσιν ἑκαστος λυτρα της ψυχης αυτου. *Exod. xxx.* 12. *xxi.* 30. ὁ Κυριος εβασιλευσεν, αγιαλλιασθω ἡ γη, ευφρανθητωσαν νησοι πολλαι. *Ps. xcvi.* 1. γινεσθε αντ᾽ εμου, και του αδελφου μου. 1 *Mac. xvi.* 3. ἡ ψυχη ἡμων ανθ᾽ ὑμων εις θανατον. *Jos. ii.* 14. εδωκε γαρ την ψυχην αυτου ὑπερ σου. *Sir. xxix.* 15. δωσει ψυχην αντι ψυχης. *Exod. xxi.* 23. ηλθον—αγοραζειν. *Gen. xlii.* 5. *Conf. Phil. ii.* 7. *Luc. xxii.* 27. αντιψυχον της του εθνους ἁμαρτιας. 4 *Mac.* 18. πολλων *i. e.* παντων. *Esa. liii.* 11. και πολλοι των καθευδοντων εν γης χωματι εξεγερθησονται, οὑτοι εις ζωην αιωνιον, και οὑτοι εις ονειδισμον και εις αισχυνην αιωνιον. *Dan. xii.* 2. τις δωῃ τον θανατον μου αντι σου; 2 *Reg. xviii.* 33. αντι ψυχων αυτων λαβε την εμην ψυχην. 4 *Mac.* 6. αδελφος ου λυτρουται, λυτρωσεται ανθρωπος; ου δωσει τῳ Θεῳ εξιλασμα ἑαυτου. *Ps. xlviii.* 7. εαν δωτε περι ἁμαρτιας, ἡ ψυχη ὑμων οψεται σπερμα μακροβιον, κ. τ. λ. *Esa. liii.* 10. *Dan. ix.* 24-26. ὁτι αιρεται απο της γης ἡ ζωη αυτου, απο των ανομιων του λαου μου ηχθη εις θανατον. *Esa. liii.* 8. [ὑπερ του—λυτρα καταθεσθαι των σωματων. *Philo. de Sept et Fest. p.* 1184. *Loesner.*]

29 Και εκπορευομενων αυτων απο Ιεριχω, ηκολουθησεν αυτῳ οχλος πολυς.

Conf. Marc. x. 46. *Luc. xviii.* 37. εκπορευομενων απο. *Exod. v.* 20.

30 Και ιδου, δυο τυφλοι καθημενοι παρα την ὁδον, ακουσαντες
ὁτι Ιησους παραγει, εκραξαν λεγοντες, Ελεησον ἡμας, Κυριε,
ὑιος Δαβιδ.

οἱ παραγοντες. Ps. cxxviii. 8. ελεησον ἡμας Κυριε, ελεησον ἡμας. Ps. cxxii. 3. Conf. Matt. ix. 27. xii. 23. Joan. vii. 31. Κυριος σοφοι τυφλους. Ps. cxlv. 8. Esa. xxix. 18. xxxv. 5, 6. xlii. 16–18.

31 Ὁ δε οχλος επετιμησεν αυτοις ἱνα σιωπησωσιν. οἱ δε μειζον
εκραζον λεγοντες, Ελεησον ἡμας, Κυριε, ὑιος Δαβιδ.

ἡ ριζα του Ιεσσαι. Esa. xi. 1–10. τα ὁσια Δαυιδ τα πιστα. lv. 3. και επιτιμησεν αυτῳ ὁ πατηρ αυτου. Gen. xxxvii. 10.

32 Και στας ὁ Ιησους εφωνησεν αυτους και ειπε, Τι θελετε
ποιησω ὑμιν;

στας—εστη του τικτειν. Gen. xxix. 35. Jos. iii. 1–3. φωνησον αυτον προς με. Tob. v. 8. Jer. xvii. 11. οικτιρμων και ελεημων ὁ Κυριος, κ. τ. λ. Ps. cxliv. 8, 9. και ειπε Κυριος προς Σαλωμων, Αιτεσαι τι αιτημα σεαυτῳ. 3 Reg. iii. 5. τι επιθυμει ἡ ψυχη σου, και τι ποιησω σοι; 1 Reg. xx. 4.

33 Λεγουσιν αυτῳ, Κυριε, ἱνα ανοιχθωσιν ἡμων οἱ οφθαλμοι.

τοτε ανοιχθησονται οφθαλμοι τυφλων, κ. τ. λ. Esa. xxxv. 5. αποκαλυψον τους οφθαλμους μου, και κατανοησω τα θαυμασια εκ του νομου σου. Ps. cxviii. 18. ἱνα pro ὁτι. Conf. Sap. xiii. 9.

34 Σπλαγχνισθεις δε ὁ Ιησους ἡψατο των οφθαλμων αυτων·
και ευθεως ανεβλεψαν αυτων οἱ οφθαλμοι, και ηκολουθησαν
αυτῳ.

και ἡψατο του στοματος μου. Jer. i. 9. και ανεβλεψαν οἱ οφθαλμοι αυτου. 1 Reg. xiv. 27. κηρυξαι—και τυφλοις αναβλεψιν. Esa. lxi. 1. ὁ δε επισπλαγχνιζομενος ελεηθησεται. Prov. xvii. 5. Esa. xlii. 18. Deut. xiii. 8. Sym. 1 Reg. xxiii. 21. Theod. οικτιρμων και ελεημων ὁ Κυριος, μακροθυμος και πολυελεος. Ps. cxliv. 8. και αξω τυφλους εν ὁδῳ ᾗ ουκ εγνωσαν, και τριβους ἁς ουκ ᾐδεισαν, —ποιησω αυτοις το σκοτος εις φως, κ. τ. λ. Esa. xlii. 16–18.

Jul. 26. 1851.

ΚΕΦ. κα. 21.

1 ΚΑΙ ὁτε ηγγισαν εις Ἱεροσολυμα, και ηλθον εις Βηθφαγη
προς το ορος των ελαιων, τοτε ὁ Ιησους απεστειλε δυο
μαθητας,

και ηγγισαν προς Ζοροβαβελ. Esd. iv. 2. Conf. Marc. xi. 1. Luc.

xix. 29. και στησονται οἱ ποδες αυτου εν τῃ ἡμερᾳ εκεινῃ επι το ορος των Ελαιων, το κατεναντι Ἱερουσαλημ εξ ανατολων. *Zach. xiv.* 4. [*Conf. Jos. Ant. xx.* 7. 6. *Bell. Jud. v.* 2. 3.]

2 Λεγων αυτοις, Πορευθητε εις την κωμην την απεναντι ὑμων· και ευθεως εὑρησετε ονον δεδεμενην, και πωλον μετ' αυτης· λυσαντες αγαγετε μοι.

και επορευθη εις Γεδσουρ. 2 *Reg. xiii.* 38. απεστειλε—εις Αραβα, απεναντι Κενερωθ. *Jos. xi.* 1, 2. και εξαπεστειλεν—ονους εικοσι και πωλους δεκα. *Gen. xxxii.* 13, 15. δεσμευων—τον πωλον αυτου. *xlix.* 11. *Job. xxxix.* 5. αγαγετε. *Gen. xlii.* 34.

3 Και εαν τις ὑμιν ειπῃ τι, ερειτε, Ὁτι ὁ Κυριος αυτων χρειαν εχει· ευθεως δε αποστελει αυτους.

ὡν ουν εαν χρειαν εχητε. 2 *Mac. ii.* 15. *Ps. xv.* 1. ὁτι σα τα παντα, και εκ των σων δεδωκαμεν σοι. 1 *Par. xxix.* 14. *Ps. xxiv.* 1. ὁτι εμα εστι παντα τα θηρια, κ. τ. λ. *xlix.* 10, 11.

4 Τουτο δε ὁλον γεγονεν, ἱνα πληρωθῃ το ῥηθεν δια του προφητου, λεγοντος,

πληρωθηναι ῥημα Κυριου δια στοματος Ἱερεμιου. 2 *Par. xxxvi.* 22. Ιησους, εν τῳ πληρωσαι λογον, εγενετο κριτης εν Ισραηλ. 1 *Mac. ii.* 55. ὁλον ὑακινθινον. *Exod. xxviii.* 27.

5 Ειπατε τῃ θυγατρι Σιων, Ιδου, ὁ βασιλευς σου ερχεται σοι, πραϋς και επιβεβηκως επι ονον και πωλον υἱον ὑποζυγιου.

ειπατε τῃ θυγατρι Σιων. *Esa. lxii.* 11. Ιδου ὁ βασιλευς ερχεται σοι, δικαιος, και σωζων, αυτος πραϋς, και επιβεβηκως επι ὑποζυγιον και πωλον νεον. *Zach. ix.* 9. αυτος επιβεβηκει επι της ονου. *Num. xxii.* 22. επεβησαν επι τας καμηλους. *Gen. xxiv.* 61. επιβω επ' αυτην. 2 *Reg. xix.* 26. *Vide Grot. in loc. et Joan. xii.* 15. υἱους κριων. *Ps. xxviii.* 1. [επι ὑποζυγιον και πωλον ονου. *Justin.*] *Conf. Jud. v.* 10. *x.* 4. *xii.* 14. *CITAT.* 32.

6 Πορευθεντες δε οἱ μαθηται, και ποιησαντες καθως προσεταξεν αυτοις ὁ Ιησους,

ὁ ου προσεταξε Κυριος αυτοις. *Lev. x.* 1. καθως εθετο ὁ πατηρ μου. 3 *Reg. xxi.* 34. [καθοτι, Αττικως· καθως, Ἑλληνικως. *Mœris.*]

7 Ηγαγον την ονον και τον πωλον, και επεθηκαν επανω αυτων τα ἱματια αὑτων, και επεκαθισαν επανω αυτων.

και ελαβεν ἑκαστος το ἱματιον αυτου, και εθηκαν ὑποκατω αυτου. 4 *Reg. ix.* 13. και επιβαλουσιν επ' αυτην ἱματιον. *Num. iv.* 6, 7, 8. επικαθιζειν. *Gen. xxxi.* 34. *Lev. xv.* 20. και επεκαθισαν

ανηρ επι την ἡμιονον αυτου. 2 *Reg. xiii.* 29. *Conf.* 3 *Reg. i.* 44. *Apoc. xvii.* 9. *Marc. xi.* 7. *Luc. xix.* 35. *Joan. xii.* 14.

8 Ὁ δε πλειστος οχλος εστρωσαν ἑαυτων τα ἱματια εν τῃ ὁδῳ. αλλοι δε εκοπτον κλαδους απο των δενδρων, και εστρωννυον εν τῃ ὁδῳ.

σακκον και σποδον εστρωσαν ἑαυτοις. *Est. iv.* 3. *Job. xvii.* 3. ὁδοι ανεργων εστρωμεναι ακανθαις. *Prov. xv.* 19. *Conf.* 2 *Mac. x.* 7. μετα αινεσεως και βαΐων. 1 *Mac. xiii.* 51. *Conf. Joan. xii.* 13. *Lev. xxiii.* 40. και ελαβεν ἑκαστος το ἱματιον αυτου, και εθηκαν ὑποκατω αυτου, κ. τ. λ. 4 *Reg. ix.* 13. [πλειστος. *Jos. Ant. v.* 1. 24.]

9 Οἱ δε οχλοι οἱ προαγοντες και οἱ ακολουθουντες εκραζον, λεγοντες, Ὡσαννα τῳ υἱῳ Δαβιδ· ευλογημενος ὁ ερχομενος εν ονοματι Κυριου. Ὡσαννα εν τοις ὑψιστοις.

Ευλογημενος ὁ ερχομενος εν ονοματι Κυριου. *Ps. cxvii.* 26. ὁ Ὑψιστος εν ὑψηλοις κατοικων. *Esa. lvii.* 15. ὁ δε συνιστωρ μου εν ὑψιστοις. *Job. xvi.* 19. *Tob. xiii.* 18. εν ὑψιστοις Κυριος. *Sir. xliii.* 9. τερπου και ευφραινου θυγατερ Σιων, διοτι ιδου εγω ερχομαι, και κατασκηνωσω εν μεσῳ σου, λεγει Κυριος. *Zach. ii.* 10. *Conf. Ps. cxxviii.* 8. και ερεις εν τῃ ἡμερᾳ εκεινῃ, Ὑμνειτε Κυριον, βοατε το ονομα αυτου, κ.τ.λ. *Esa. xii.* 4. הושׁיע־נא Ω Κυριε σωσον δη, ω Κυριε ευοδωσον δη. [Ὡσαννα Δοξαν σημαινει· παρα τισι δε, Σωσον δη, ουκ ορθως. *Suidas.*] *CITAT.* 33.

10 Και εισελθοντος αυτου εις Ἱεροσολυμα, εσεισθη πασα ἡ πολις, λεγουσα, Τις εστιν οὑτος;

εταραχθη και εσεισθη ἡ γη. 2 *Reg. xxii.* 8. και ειπαν, Τις οὑτος; *Sir. xiii.* 23. τις οὑτος ὁ παραγενομενος εξ Εδωμ, κ. τ. λ. *Esa. lxiii.* 1. *Conf. Ruth. i.* 19. 1 *Reg. xvi.* 4.

11 Οἱ δε οχλοι ελεγον, Οὑτος εστιν Ιησους ὁ προφητης, ὁ απο Ναζαρετ της Γαλιλαιας.

Γαβαηλῳ τῳ (πολεως *scil.*) του Γαβρια. *Tob. iv.* 20. προφητην αναστησω αυτοις εκ των αδελφων αυτων. *Deut. xviii.* 18. *Conf. Luc. vii.* 16. *Joan. vi.* 14. μεχρι του παραγενηθηναι προφητην. 1 *Mac. iv.* 46. ἑως του αναστηναι προφητην πιστον. *xiv.* 41. Γαλιλαια των εθνων. *Esa. ix.* 1. *Conf. Matt. ii.* 23.

12 Και εισηλθεν ὁ Ιησους εις το ἱερον του Θεου, και εξεβαλε παντας τους πωλουντας και αγοραζοντας εν τῳ ἱερῳ, και τας τραπεζας των κολλυβιστων κατεστρεψε, και τας καθεδρας των πωλουντων τας περιστερας.

εν τῳ παραγινεσθαι αυτους εις το ἱερον του Θεου. 1 *Esd. v.* 44. *ὁ αγοραζων ὡς ὁ πωλων. Esa. xxiv.* 2. *Conf. Marc. xi.* 15. *Luc. xix.* 45. *Joan. ii.* 13. *Deut. xiv.* 25. *και κατεστρεψεν αυτην ανω, και επεσεν ἡ σκηνη. Jud. vii.* 13. *Alex. και εξαιφνης ἡξει εις τον ναον ἑαυτου* Κυριος, *κ. τ. λ. Mal. iii.* 1, 2.

13 Και *λεγει αυτοις,* Γεγραπται, Ὁ *οικος μου, οικος προσευχης κληθησεται· ὑμεις δε αυτον εποιησατε σπηλαιον ληστων.*

ιδου γεγραπται εν βιβλιῳ βασιλεων. Est. x. 2. *ὁ γαρ οικος μου οικος προσευχης κληθησεται πασι τοις εθνεσι. Esa. lvi.* 7. *μη σπηλαιον ληστων ὁ οικος μου. Jer. vii.* 11. *και ὁ οικος της προσευχης μου δοξασθησεται. Esa. lx.* 7. *Conf. Jer. vii.* 11. 1 *Mac. vii.* 37. *Marc. xi.* 17. *Luc. xix.* 46. *CITAT.* 34.

14 Και *προσηλθον αυτῳ τυφλοι και χωλοι εν τῳ ἱερῳ· και εθεραπευσεν αυτους.*

τυφλος, η χωλος. Lev. xxi. 18. *την γυναικα μου εθεραπευσε. Tob. xii.* 3.

15 Ιδοντες *δε οἱ* Αρχιερεις *και οἱ* Γραμματεις *τα θαυμασια ἁ εποιησε, και τους παιδας κραζοντας εν τῳ ἱερῳ και λεγοντας,* Ὡσαννα *τῳ υἱῳ* Δαβιδ, *ηγανακτησαν,*

ὁ ποιων θαυμασια. Ps. lxxvi. 14. *cvi.* 24. *Sir. xliii.* 25. *xlviii.* 14. *τα θαυμασια τα μεγαλα—ἁ εποιησε* Μωυσης. *Deut. xxxiv.* 12. *ηγανακτησαν λιαν. Draco.* 28. *εις ματην εγενηθη σχοινος ψευδης γραμματευσι. Jer. viii.* 8. *αλλ᾽ ὁταν ιδωσι τα τεκνα αυτων τα εργα μου, δι᾽ εμε ἁγιασουσι το ονομα μου, και ἁγιασουσι τον ἁγιον* Ιακωβ, *κ. τ. λ. Esa. xxix.* 23. *τοτε ανοιχθησονται οφθαλμοι τυφλων, κ. τ. λ. Esa. xxxv.* 5, 6.

16 Και *ειπον αυτῳ,* Ακουεις *τι οὑτοι λεγουσιν;* Ὁ *δε* Ιησους *λεγει αυτοις,* Ναι. *ουδεποτε ανεγνωτε,* Ὁτι *εκ στοματος νηπιων και θηλαζοντων κατηρτισω αινον;*

ελαβεν Εζηκιας*—και ανεγνω αυτα.* 4 *Reg. xix.* 14. *εκ στοματος κ. τ. λ. Ps. viii.* 2. *Sap. x.* 21. *νηπιος, puer. Prov. xxiii.* 13. *Sir. xxx.* 12. *CITAT.* 35.

17 Και *καταλιπων αυτους εξηλθεν εξω της πολεως εις* Βηθανιαν, *και ηυλισθη εκει.*

απηλθεν εις την παρεμβολην, και ηυλισθη εκει. Jos. vi. 11. *Ald. Jud. xviii.* 2. *xix.* 6. *Cant. vii.* 11. *Conf. Marc. xi.* 11. *Joan. vi.* 15. *xi.* 1, 18. *Luc. x.* 38.

18 Πρωϊας *δε επαναγων εις την πολιν, επεινασε·*

εξοδους πρωϊας και ἑσπερας τερψεις. Ps. lxiv. 8. *Conf. Marc. xi.* 12. *Heb. iv.* 15. *Luc. iv.* 2. *επαναγων.* 2 *Mac. ix.* 21.

19 Και ιδων συκην μιαν επι της ὁδου, ηλθεν επ᾽ αυτην, και
ουδεν εὑρεν εν αυτῃ ει μη φυλλα μονον· και λεγει αυτῃ, Μηκετι
εκ σου καρπος γενηται εις τον αιωνα. Και εξηρανθη παρα-
χρημα ἡ συκη.

εικων μια. Dan. ii. 31. *επιστολην μιαν. Esd. iv.* 8. *ου κλιθησεται εις τον αιωνα του αιωνος. Ps. ciii.* 5. *εσται σοι οικετης εις τον αιωνα. Deut. xv.* 17. *τι ποιησω ετι τῳ αμπελωνι μου, και ουκ εποιησα αυτῳ; διοτι εμεινα του ποιησαι σταφυλην, εποιησε δε ακανθας. Esa. v.* 4. *Conf. Heb. vi.* 8. *Apoc. xxii.* 11.

20 Και ιδοντες οἱ μαθηται εθαυμασαν, λεγοντες, Πως παρα-
χρημα εξηρανθη ἡ συκη;

ὡς τειχος πιπτον παραχρημα. Esa. xxx. 13. *Conf. Marc. xi.* 20. *πως κατελογισθη εν υἱοις Θεου; Sap. v.* 5. *Conf. Esa. xl.* 6-8.

21 Αποκριθεις δε ὁ Ιησους ειπεν αυτοις, Αμην λεγω ὑμιν, Εαν
εχητε πιστιν, και μη διακριθητε, ου μονον το της συκης ποιη-
σετε, αλλα καν τῳ ορει τουτῳ ειπητε, Αρθητι και βληθητι εις
την θαλασσαν, γενησεται·

Conf. Sir. i. 27. *ου μονον—αλλα και. Prol. Sir. Conf. Jac. i.* 6. *Cap. xvii.* 20. *μετατιθεσθαι ορη κ. τ. λ. Ps. xlv.* 2.

22 Και παντα ὁσα αν αιτησητε εν τῃ προσευχῃ, πιστευοντες,
ληψεσθε.

αιτει παρα του Θεου αυτου τα αιτηματα. Dan. vi. 13. *εδωκεν αυτοις το αιτημα αυτων. Ps. cv.* 15. *και ετι εμου λαλουντος εν τῃ προσευχῃ. Dan. ix.* 21. *και εσται πριν η κεκραξαι αυτους, εγω ὑπακουσομαι αυτων· ετι λαλουντων αυτων, ερω, Τι εστι; Esa. lxv.* 24. *πιστευοντες. Gen. xv.* 6. *Conf. Marc. xi.* 24. *Luc. xi.* 9. *Joan. xv.* 7. 1 *Joan. iii.* 22. 2 *Par. xx.* 20.

23 Και ελθοντι αυτῳ εις το ἱερον, προσηλθον αυτῳ διδασκοντι
οἱ Αρχιερεις και οἱ Πρεσβυτεροι του λαου, λεγοντες, Εν ποιᾳ
εξουσιᾳ ταυτα ποιεις; και τις σοι εδωκε την εξουσιαν ταυτην;

και εξαιφνης ἡξει εις τον ναον ἑαυτου Κυριος. Mal. iii. 1. *πρεσβυτεροι του λαου. Num. xi.* 16. *εδωκεν αυτοις εξουσιαν ποιησαι τα δικαιωματα.* 1 *Mac. i.* 13. *και εν παση τῃ εξουσιᾳ αυτου. Esa. xxxix.* 2. *Sir. xvii.* 2. 2 *Mac. vii.* 16. *Conf. Marc. xi.* 28. *Luc. xx.* 2. *τις σε κατεστησεν αρχοντα και δικαστην εφ᾽ ἡμιν; Exod. ii.* 14. *Conf. Act. iv.* 7. *vii.* 27. *εν ποιᾳ εξουσιᾳ pro εν τινος εξου-*

σια. *Ita*, εκ ποιας πολεως συ ει; 2 *Reg. xv.* 2. ποιᾳ ὁδῳ πεπορευεται; 3 *Reg. xiii.* 12. *Conf. Num. xxvii.* 18–23.

24 Αποκριθεις δε ὁ Ιησους ειπεν αυτοις, Ερωτησω ὑμας καγω λογον ἑνα, ὁν εαν ειπητε μοι, καγω ὑμιν ερω εν ποιᾳ εξουσιᾳ ταυτα ποιω.

ειπητε *i. e.* αποκριθητε μοι, *Marc. xi.* 29. *Ita Gen. xxix.* 26. *Exod. xxi.* 5. *etc. Conf. Luc. xiv.* 3. πλην λογον ἑνα εγω αιτουμαι παρα σου. 2 *Reg. iii.* 13. ερωτησω δε σε, συ δε μοι αποκριθητι. *Job. xxxviii.* 3. *xl.* 2. *Conf. Prov. xxvi.* 4, 5. *Luc. vi.* 9. *Col. iv.* 6.

25 Το βαπτισμα Ιωαννου ποθεν ην; εξ ουρανου, η εξ ανθρωπων; Οἱ δε διελογιζοντο παρ᾽ ἑαυτοις, λεγοντες, Εαν ειπωμεν, Εξ ουρανου, ερει ἡμιν, Διατι ουν ουκ επιστευσατε αυτῳ;

ουκ εστι διαφορα εναντιον του Θεου του ουρανου σωζειν εν πολλοις η εν ολιγοις. 1 *Mac. iii.* 18. *ix.* 46. 2 *Mac. vii.* 11. εν διαβουλιοις οἱς διαλογιζονται. *Ps. ix.* 23. *Conf. Luc. xx.* 5, 6. *etc.* ποθεν. *Conf.* 4 *Reg. vi.* 27. Κυριος γινωσκει τους διαλογισμους των ανθρωπων, ὁτι εισι ματαιοι. *Ps. xciii.* 11.

26 Εαν δε ειπωμεν, Εξ ανθρωπων, φοβουμεθα τον οχλον· παντες γαρ εχουσι τον Ιωαννην ὡς προφητην.

και εσομαι—ὡς καταφρονων. *Gen. xxvii.* 12. και εφοβηθη—τον λαον σφοδρα. *Num. xxii.* 3. *Conf. Marc. vi.* 20. *xi.* 32. *Luc. xx.* 6. εχειν (*reputare*). 2 *Mac. vi.* 11. [*Jos. Ant. xviii.* 6. 2.]

27 Και αποκριθεντες τῳ Ιησου ειπον, Ουκ οιδαμεν. Εφη αυτοις και αυτος, Ουδε εγω λεγω ὑμιν εν ποιᾳ εξουσιᾳ ταυτα ποιω.
28 Τι δε ὑμιν δοκει; Ανθρωπος ειχε τεκνα δυο, και προσελθων τῳ πρωτῳ ειπε, Τεκνον, ὑπαγε, σημερον εργαζου εν τῳ αμπελων ιμου.

οἱς αν δοξῃ τῃ καρδιᾳ. *Exod. xxv.* 2. εθετο αυτον εν τῳ παραδεισῳ —εργαζεσθαι αυτον. *Gen. ii.* 15. τεκνον. *Gen. xvii.* 16, 22.

29 Ὁ δε αποκριθεις ειπεν, Ου θελω· ὑστερον δε μεταμεληθεις, απηλθε.

ὁ λογος ὁν ελαλησας προς ἡμας τῳ ονοματι Κυριου, ουκ ακουσομεν σου, κ. τ. λ. *Jer. xliv.* 16, 17. και ουκ ηθελε παρακαλεισθαι. *Gen. xxxvii.* 35. ὑστερον εγω μετενοησα. *Prov. xxiv.* 32. *Jer. xxix.* 2. *xxxi.* 19. μεταμεληθῃς. *Prov. xxv.* 8. οικετης λεγων τῳ δεσποτῃ, ὡς αρεσκει ου ποιησω. εαν μετα ταυτα ποιησῃ, κ. τ. λ. *Sir. xix.* 21. *Edit. Drusii.* ὁ δε ουκ ηθελε. *Gen. xxxix.* 8.

30 Και προσελθων τῳ δευτερῳ ειπεν ὡσαυτως. ὁ δε αποκριθεις
ειπεν, Εγω κυριε· και ουκ απηλθε.

ιδου εγω. 1 *Reg. iii.* 8. *Num. xiv.* 40. 2 *Reg. ii.* 10. *Gen. xxii.* 1. *Ζω εγω, ταδε λεγει Κυριος, Ου βουλομαι τον θανατον του ασεβους, ὡς αποστρεψαι τον ασεβη απο της ὁδου αυτου, κ. τ. λ. Ezech. xxxiii.* 11. *Conf. Rom. ii.* 17-25. *Tit. i.* 16.

31 Τις εκ των δυο εποιησε το θελημα του πατρος; Λεγουσιν
αυτῳ, Ὁ πρωτος. Λεγει αυτοις ὁ Ιησους, Αμην λεγω ὑμιν, ὁτι
οἱ τελωναι και αἱ πορναι προαγουσιν ὑμας εις την βασιλειαν
του Θεου.

διδαξον με του ποιειν το θελημα σου. Ps. cxlii. 10. *ὁ σοφος εν λογοις προαξει ἑαυτον. Sir. xx.* 27. *Job. xv.* 6. *ειδον ανδρα δοξαντα παρ᾽ αυτῳ σοφον ειναι, ελπιδα μεντοι εσχε μαλλον αφρων αυτου. Prov. xxvi.* 12. *συ ει ανηρ ὁ ποιησας τουτο.* 2 *Reg. xii.* 7.

32 Ηλθε γαρ προς ὑμας Ιωαννης εν ὁδῳ δικαιοσυνης, και ουκ
επιστευσατε αυτῳ, οἱ δε τελωναι και αἱ πορναι επιστευσαν
αυτῳ· ὑμεις δε ιδοντες ου μετεμεληθητε ὑστερον του πιστευσαι
αυτῳ.

ὁδον δε δικαιοσυνης ουκ ηδεισαν. Job. xxiv. 13. *Prov. xxi.* 16. *τας ὁδους σου Κυριε γνωρισον μοι. Ps. xxiv.* 4. *και ουκ επιστευσατε αυτῳ. Deut. ix.* 23. *Exod. xiv.* 31. *Conf. Luc. iii.* 12, 13. *Jon. iii.* 5. *και ειπαν, Ου πορευσομεθα. Jer. vi.* 16. *Conf. Ps. lxxxi.* 11, 12. *Zach. vii.* 11, 12. *Esa. xxxv.* 8. *Jer. vi.* 16.

33 Αλλην παραβολην ακουσατε. Ανθρωπος τις ην οικοδεσποτης,
ὁστις εφυτευσεν αμπελωνα, και φραγμον αυτῳ περιεθηκε, και
ωρυξεν εν αυτῳ ληνον, και ῳκοδομησε πυργον, και εξεδοτο αυ-
τον γεωργοις, και απεδημησεν.

εστιν ανηρ τις. 2 *Par. xviii.* 7. *Ald. και τις ὁ ανθρωπος ὁστις εφυτευσεν αμπελωνα, και ουκ ευφρανθη εξ αυτου; Deut. xx.* 6. *και προληνιον ωρυξα εν αυτῳ. Esa. v.* 2. *ἱνατι καθειλες τον φραγμον αυτης; Ps. lxxix.* 12. *κατελιπεν—εις αμπελουργους και εις γεωργους. Jer. lii.* 13. *ὑποληνιον. Agg. ii.* 17. *εδωκε τον αμπελωνα αυτου τοις τηρουσι. Cant. viii.* 11. *Conf. Marc. xii.* 1. *Luc. xx.* 9. *Jer. ii.* 21. *Ps. lxxx.* 8-16. *Joan. xv.* 1.

34 Ὁτε δε ηγγισεν ὁ καιρος των καρπων, απεστειλε τους δου-
λους αὑτου προς τους γεωργους, λαβειν τους καρπους αυτου·

ηγγικεν ὁ καιρος ἡμων. Thren. iv. 18. *λαβετε απο των καρπων της γης. Gen. xliii.* 11. *ὁ τον καρπον αυτου δωσει εν καιρῳ αυτου.*

Ps. i. 3. και απεστελλον προς ὑμας τους δουλους μου τους προφητας, κ. τ. λ. *Jer. xxv.* 4-7. εξελευσονται προς σε. *Deut. xxviii.* 7. εισηλθε προς τους ἱερεις. *Jos. vi.* 6. *Conf. Zach. i.* 3-6.

35 Και λαβοντες οἱ γεωργοι τους δουλους αυτου, ὁν μεν εδειραν, ὁν δε απεκτειναν, ὁν δε ελιθοβολησαν.

Conf. 3 *Reg. xxii.* 24. *Jer. xx.* 2. 2 *Par. xxiv.* 21. 1 *Esd. i.* 50-53. λαβοντες—εδειραν. *Conf. Num. iii.* 6. *Jos. ii.* 4. *Exod. xxix.* 5.

36 Παλιν απεστειλεν αλλους δουλους πλειονας των πρωτων· και εποιησαν αυτοις ὡσαυτως.

παλιν εξαπεστειλε την περιστεραν εκ της κιβωτου. *Gen. viii.* 10. του μη ειναι αυτους πλειονας εν τοις εθνεσι. *Ezech. xxix.* 15. τι τουτο εποιησας ἡμιν; *Gen. xx.* 9. *Conf. Neh. ix.* 26. *Act. vii.* 52. 1 *Thess. ii.* 15. *Heb. xi.* 36. *Jer. xxxvii.* 15.

37 Ὑστερον δε απεστειλε προς αυτους τον υἱον αὐτου, λεγων, Εντραπησονται τον υἱον μου.

μηδε πρεσβυτου εντραπωμεν πολιας πολυχρονιους. *Sap. ii.* 10. *Conf. Heb. i.* 1. ειπα, Πλην φοβεισθε με, και δεξασθε παιδειαν, κ. τ. λ. *Sophon. iii.* 7. *Ps. ii.* 12. *Esa. v.* 4.

38 Οἱ δε γεωργοι ιδοντες τον υἱον, ειπον εν ἑαυτοις, Οὑτος εστιν ὁ κληρονομος· δευτε αποκτεινωμεν αυτον, και κατασχωμεν την κληρονομιαν αυτου.

ειπε δε εν ἑαυτῳ. *Est. vi.* 6. νυν ουν δευτε αποκτεινωμεν αυτον. *Gen. xxxvii.* 20. και εξαρουμεν και γε τον κληρονομον ὑμων. 2 *Reg. xiv.* 7. δωσετε την κληρονομιαν τῳ αδελφῳ αυτου. *Num. xxvii.* 9. 2 *Reg. xiv.* 7. *Ps. ii.* 8. *Heb. i.* 2. και επονηρευοντο του αποκτειναι αυτον. *Gen. xxxvii.* 18. μνησθητι ἡμων Κυριε εν τῃ ευδοκιᾳ του λαου σου, επισκεψαι ἡμας εν τῳ σωτηριῳ σου, του ιδειν εν τῃ χρηστοτητι των εκλεκτων σου, του ευφρανθηναι εν τῃ ευφροσυνῃ του εθνους σου, του επαινεισθαι μετα της κληρονομιας σου. *Ps. cv.* 4, 5.

39 Και λαβοντες αυτον εξεβαλον εξω του αμπελωνος και απεκτειναν.

εκβαλε εκ συνεδριου λοιμον. *Prov. xxii.* 10. *Jud. xi.* 7. *Joan. xi.* 53. *Conf. Heb. xiii.* 12. *Esa. liii.*

40 Ὁταν ουν ελθῃ ὁ κυριος του αμπελωνος, τι ποιησει τοις γεωργοις εκεινοις;

ὁ κυριος του ταυρου. *Exod. xxi.* 28. *xxix.* 34. *Conf. Jer. xiv.* 4. *xxxviii.* 24.

41 Λεγουσιν αυτῳ, Κακους κακως απολεσει αυτους· και τον
αμπελωνα εκδοσεται αλλοις γεωργοις, οἱτινες αποδωσουσιν
αυτῳ τους καρπους εν τοις καιροις αυτων.

και ερει ανθρωπος, Ει αρα εστι καρπος τῳ δικαιῳ, αρα εστιν ὁ Θεος κρινων αυτους εν τῃ γῃ. *Ps. lvii.* 11. καιρους καρποφορους. *Act. xiv.* 17. *Lev. xxvi.* 4. εν ταις ἡμεραις αυτου λυτρωσασθω ἡμας. *Sir. l.* 24. αυτους *abundat. Ita,* και τα παιδαρια ταυτα οἱ τεσσαρες αυτοι, εδωκεν αυτοις ὁ Θεος συνεσιν. *Dan. i.* 17. νυν δε αναγγελω ὑμιν τι εγω ποιησω τῳ αμπελωνι μου, αφελω τον φραγμον αυτου, κ.τ.λ. *Esa. v.* 5. [κακοι κακως απολοντο. *Jos. Ant. xii.* 5. 4.]

42 Λεγει αυτοις ὁ Ιησους, Ουδεποτε ανεγνωτε εν ταις γραφαις,
Λιθον ὁν απεδοκιμασαν οἱ οικοδομουντες, οὑτος εγενηθη εις κεφ-
αλην γωνιας· παρα Κυριου εγενετο αὑτη, και εστι θαυμαστη
εν οφθαλμοις ἡμων;

λιθον ὁν απεδοκιμασαν οἱ οικοδομουντες, κ.τ.λ. *Ps. cxvii.* 22. *Conf. Esa. xxviii.* 16. *Zach. iv.* 7. *Marc. xii.* 10. *Luc. xx.* 17. *Act. iv.* 11. αὑτη *pro* τουτο. *Ita,* μιαν ῃτησαμην παρα Κυριου, ταυτην εκζητησω. *Ps. xxvi.* 4. 1 *Cor. x.* 17. [*Bos. Ellips.* 453.] *Jud. xiii.* 8. 1 *Pet. ii.* 7. [αδελφος ὁν απεδοσθε εις Αιγυπτον, εκεινος ὁν ὁρατε νυν παρεστωτα, αυτος ειμι εγω. *Philo. de Joseph. p.* 560.] και πασας τας γωνιας του Ισραηλ. 1 *Reg. xiv.* 38. και εγαθυνθη ὁ λογος εν οφθαλμοις αυτων. 1 *Mac. i.* 12. *CITAT.* 36.

43 Δια τουτο λεγω ὑμιν, ὁτι αρθησεται αφ᾽ ὑμων ἡ βασιλεια
του Θεου, και δοθησεται εθνει ποιουντι τους καρπους αυτης.

ανοιξατε πυλας, εισελθετω λαος φυλασσων δικαιοσυνην, και φυλασσων αληθειαν, κ. τ. λ. *Esa. xxvi.* 2, 3. ξυλον καρπιμον ποιουν καρπον. *Gen. i.* 11. *Conf. Dan. ii.* 44. *Matt. iii.* 2. *Heb. xii.* 28. εσεσθε μοι βασιλειον ἱερατευμα, κ.τ.λ. *Exod. xix.* 6.

44 Και ὁ πεσων επι τον λιθον τουτον συνθλασθησεται· εφ᾽ ὁν δ᾽
αν πεσῃ, λικμησει αυτον.

και τα οστεα αυτων συνεθλασαν. *Mich. iii.* 3. *Ps. lxxiv.* 10. λεπτυνει και λικμησει πασας τας βασιλειας. *Dan. ii.* 44. λικμησει αυτον εκ του τοπου αυτου. *Job. xxvii.* 21. ὡς λιθος δοκιμασιας ισχυρος εσται επ᾽ αυτῳ. *Sir. vi.* 21. και εσται εν τῃ ἡμερᾳ εκεινῃ θησομαι την Ἱερουσαλημ λιθον καταπατουμενον πασι τοις εθνεσι, κ. τ. λ. *Zach. xii.* 3. *Conf. Dan. ii.* 34, 35. *Esa. viii.* 15. *Luc. xx.* 18.

45 Και ακουσαντες οἱ Αρχιερεις και οἱ Φαρισαιοι τας παραβο-
λας αυτου, εγνωσαν ὁτι περι αυτων λεγει·

συ ει ὁ ανηρ ὁ ποιησας τουτο, κ.τ.λ. 2 *Reg. xii.* 7. *εἱς εστιν ανηρ εις το επερωτησαι δι' αυτου τον Κυριον, και εγω μεμισηκα αυτον, ὁτι ου λαλει περι εμου καλα, αλλ' η κακα, κ.τ.λ.* 3 *Reg. xxii.* 8. *Conf. Prov. ix.* 7-9. *xv.* 12.

46 Και ζητουντες αυτον κρατησαι, εφοβηθησαν τους οχλους, επειδη ὡς προφητην αυτον ειχον.

Εσδρας—ὡς γραμματευς. 1 *Esd. viii.* 3. *εκρατησαν αυτον οἱ αλλοφυλοι. Ps. lv.* 1. *εφοβηθη—τον λαον σφοδρα. Num. xxii.* 3. *εχειν (reputare)* 2 *Mac. vi.* 11. *επειδη. Prov. i.* 24. *Jer. xxv.* 8. *εκει εδειλιασαν φοβῳ, οὑ ουκ ην φοβος, ὁτι ὁ Θεος εν γενεᾳ δικαιᾳ. Ps. xiii.* 5. July 29. 1851.

Κεφ. κβ. 22.

ΚΑΙ αποκριθεις ὁ Ιησους παλιν ειπεν αυτοις εν παραβολαις, λεγων,

και αποκριθεις Ἀβρααμ ειπε. Gen. xviii. 27. *και ειπα προς ὑμας εν τῳ καιρῳ εκεινῳ, λεγων. Deut. i.* 9. *Conf. Ezech. xvii.* 1-10.

2 Ὡμοιωθη ἡ βασιλεια των ουρανων ανθρωπῳ βασιλει, ὁστις εποιησε γαμους τῳ υἱῳ αυτου·

και εποιησεν αυτοις γαμον. Tob. viii. 19. 1 *Mac. ix.* 37. *Gen. xxix.* 22. *Est. i.* 5. *ἡμερας γαμων και ευφροσυνης. ix.* 22. *Conf. Luc. xiv.* 16. *Apoc. xix.* 7, 9. *Esa. lv.* 1, 2. *εσφαξε τα ἑαυτης θυματα, εκερασεν εις κρατηρα τον ἑαυτης οινον, κ. τ. λ.—απεστειλε τους ἑαυτης δουλους, συγκαλουσα, κ. τ. λ. Prov. ix.* 2-6. *Sophon. i.* 7.

3 Και απεστειλε τους δουλους αὑτου καλεσαι τους κεκλημενους εις τους γαμους, και ουκ ηθελον ελθειν.

ου κεκληκεν ἡ βασιλισσα μετα του βασιλεως ουδενα εις την δοχην, αλλ' η εμε, και εις την αυριον κεκλημαι. Est. v. 12. *Conf. Zach. vii.* 7, 12. *και ουκ ηθελε παρακαλεισθαι. Gen. xxxvii.* 35.

4 Παλιν απεστειλεν αλλους δουλους, λεγων, Ειπατε τοις κεκλημενοις, Ιδου, το αριστον μου ἡτοιμασα, οἱ ταυροι μου και τα σιτιστα τεθυμενα, και παντα ἑτοιμα· δευτε εις τους γαμους.

και ποιησει Κυριος σαβαωθ πασι τοις εθνεσιν· επι το ορος τουτο πιονται ευφροσυνην, πιονται οινον, κ. τ. λ. Esa. xxv. 6, 7. *απεστειλε προς αυτον αλλον πεντηκονταρχον.* 4 *Reg. i.* 11. *και τουτο αριστον Σαλωμων.* 3 *Reg. iv.* 22. *Comp.* [*δοχην· αριστον. Hescyh. et. Phav.*] *ἑτοιμασον την τραπεζαν, φαγετε, πιετε. Esa. xxi.* 5.

Cant. v. 1. αγε μοι εις τον γαμον. *Tob. ix.* 2. ηλθον εις τον γαμον. *ver.* 6. μοσχοι σιτευτοι. *Jer. xxvi.* 21. *Conf. Deut. xii.* 15.

5 Οἱ δε αμελησαντες απηλθον, ὁ μεν εις τον ιδιον αγρον, ὁ δε εις την εμποριαν αὑτου·

οἱ αμελησαντες του δικαιου, και του Κυριου αποσταντες. *Sap. iii.* 10. εδοξε δε γελοιαζειν εναντιον των γαμβρων αυτου. *Gen. xix.* 14. *Conf. Heb. ii.* 3. *Prov. i.* 7. *Ps. cv.* 24, 25.

6 Οἱ δε λοιποι κρατησαντες τους δουλους αυτου, ὑβρισαν και απεκτειναν.

γιγαντες ερχονται—χαιροντες ἁμα και ὑβριζοντες. *Esa. xiii.* 3. *xxiii.* 12. τοις λοιποις συνδουλοις. *Esd. iv.* 7.

7 Ακουσας δε ὁ βασιλευς ωργισθη, και πεμψας τα στρατευματα αὑτου απωλεσε τους φονεις εκεινους, και την πολιν αυτων ενεπρησε.

μηποτε οργισθη Κυριος, και απολεισθε. *Ps. ii.* 12. και ελυπηθη ὁ βασιλευς και ωργισθη. *Est. i.* 12. *Conf. Deut. xxviii.* 49. *Esa. x.* 5-7. *Luc. xiii.* 34. *xix.* 27, 43. *Dan. ix.* 26. φονευς. 4 *Reg. ix.* 31. *Comp. Sap. xii.* 5. *Zach. xiv.* 1, 2.

8 Τοτε λεγει τοις δουλοις αὑτου, Ὁ μεν γαμος ἑτοιμος εστιν, οἱ δε κεκλημενοι ουκ ησαν αξιοι.

και σφαξον θυματα, και ἑτοιμασον. *Gen. xliii.* 16, 25. *Ps. lxiv.* 9. *lxxvii.* 24. και εὑρεν αυτους αξιους ἑαυτου. *Sap. iii.* 5. [πολλους—των κεκλημενων. *Jos. Ant. xi.* 4. 1. *Krebs.*]

9 Πορευεσθε ουν επι τας διεξοδους των ὁδων, και ὁσους αν εὑρητε, καλεσατε εις τους γαμους.

σοφια εν εξοδοις ὑμνειται. *Prov. i.* 20. οἱ διψωντες πορευεσθε εφ᾽ ὑδωρ, κ. τ. λ. *Esa. lv.* 1. *lviii.* 1. *Ps. cxliv.* 14. [διεξοδους· ὁθεν εκπορευονται. *Hescyh.*]

10 Και εξελθοντες οἱ δουλοι εκεινοι εις τας ὁδους, συνηγαγον παντας ὁσους εὑρον, πονηρους τε και αγαθους· και επλησθη ὁ γαμος ανακειμενων.

ἑαν τε αγαθον, και εαν τε πονηρον. *Eccles. xii.* 14. *Ald.* αυτος ανακειται, εσθιει και πινει. 1 *Esd. iv.* 10. ποιουσι γαμον μεγαν. 1 *Mac. ix.* 37.

11 Εισελθων δε ὁ βασιλευς θεασασθαι τους ανακειμενους, ειδεν εκει ανθρωπον ουκ ενδεδυμενον ενδυμα γαμου·

Conf. 2 Cor. v. 3. Ephes. iv. 24. Col. iii. 10. 1 Pet. v. 5. Apoc. iii. 4. ενεδυσε γαρ με ἱματιον σωτηριου και χιτωνα ευφροσυνης, ὡς νυμφιῳ περιεθηκε μοι μιτραν, και ὡς νυμφην κατεκοσμησε με κοσμῳ. *Esa. lxi.* 10. εξηγαγε ενδυμα πασι τοις δουλοις, κ. τ. λ. 4 *Reg. x.* 22-25. *Esa. lii.* 1. αφελετε τα ἱματια τα ῥυπαρα—και ενδυσατε αυτον ποδηρη, κ. τ. λ. *Zach. iii.* 5. *Conf. Gen. xlv.* 22. *Jud. xiv.* 12. *Ps. xliv.* 13, 14. *lxi.* 3, 10. *lxiv.* 6.

12 Και λεγει αυτῳ, Ἑταιρε, πως εισηλθες ὡδε μη εχων ενδυμα γαμου; Ὁ δε εφιμωθη.

φιμων χειλη. *Prov. xvii.* 28. *alii.* και ὡς φιμος εν στοματι αποτρεπει ελεγμους. *Sir. xx.* 29. *Conf. Ps. xxxvii.* 13, 14. *l.* 4.

13 Τοτε ειπεν ὁ βασιλευς τοις διακονοις, Δησαντες αυτου ποδας και χειρας, αρατε αυτον και εκβαλετε εις το σκοτος το εξωτερον· εκει εσται ὁ κλαυθμος και ὁ βρυγμος των οδοντων.

μονοις δε εκεινοις επετετατο βαρεια νυξ, εικων του μελλοντος αυτους διαδεχεσθαι σκοτους, ἑαυτοις δε ησαν βαρυτεροι σκοτος. *Sap. xvii.* 21.

14 Πολλοι γαρ εισι κλητοι, ολιγοι δε εκλεκτοι.

13, 14.] εβρυξαν οδοντας. *Thren. ii.* 16. *Job. xvi.* 9. εμβαλειν εις την καμινον του πυρος την καιομενην. *Dan. iii.* 20. *Sap. xvii.* 17. *Conf. Num. xiv.* 38. *Esd. viii.* 3. 3 *Reg. xxi.* 11. *Sap. xx.* 16.

15 Τοτε πορευθεντες οἱ Φαρισαιοι συμβουλιον ελαβον ὁπως αυτον παγιδευσωσιν εν λογῳ.

επαγιδευθης εν ῥημασι στοματος σου. *Prov. vi.* 1. *Sym.* περιῃειν ζητων ὁπως λαβω αυτην εις εμαυτον. *Sap. viii.* 18. και ἱνατι συ παγιδευεις την ψυχην μου θανατωσαι αυτην; 1 *Reg. xxviii.* 9. *Conf.* 3 *Reg. i.* 12. *Tob. iv.* 18.

16 Και αποστελλουσιν αυτῳ τους μαθητας αὑτων μετα των Ἡρωδιανων, λεγοντες, Διδασκαλε, οιδαμεν ὁτι αληθης ει, και την ὁδον του Θεου εν αληθειᾳ διδασκεις, και ου μελει σοι περι ουδενος, ου γαρ βλεπεις εις προσωπον ανθρωπων.

Κυριε του Ισραηλ αληθινος ει. 1 *Esd. viii.* 89. διδασκω ουν σε αληθη λογον. *Prov. xxii.* 21. εν φοβῳ Κυριου, εν αληθειᾳ. 2 *Par. xix.* 9. διδαξει πρᾳεις ὁδους αυτου. *Ps. xxiv.* 10. ου μελει μοι. *Tob. x.* 5. προσωπον αυτου λαμβανετε. *Job. xiii.* 8. *Olymp. Theod.* βλεποντες ψευδη. *Ezech. xiii.* 6. *Conf.* 3 *Reg. xvii.* 24. [διδασκαλος ανθρωπων των ἡδονῃ τ' αληθη δεχομενων. *Jos. de Christ. Ant. xviii.* 3. 3.]

17 Ειπε ουν ἡμιν, τι σοι δοκει; εξεστι δουναι κηνσον Καισαρι, η ου;

Conf. Jer. xlii. 1-3. *Deut. xvii.* 14, 15. *Neh. v.* 4. ουκ εξεστιν ἡμιν ιδειν. *Esd. iv.* 14. 1 *Mac. iv.* 44. 1 *Esd. ii.* 19. *Act. v.* 37. [κηνσος, *census*. επικεφαλαιον. *Meurs. Gloss. p.* 242.]

18 Γνους δε ὁ Ιησους την πονηριαν αυτων ειπε, Τι με πειραζετε, ὑποκριται;

τι λοιδορεισθε μοι, και τι πειραζετε Κυριον; *Exod. xvii.* 2. εγω γαρ οιδα την πονηριαν αυτων. *Deut. xxxi.* 21. ὑποκ. *Job. xxxiv.* 30.

19 Επιδειξατε μοι το νομισμα του κηνσου. Οἱ δε προσηνεγκαν αυτῳ δηναριον.

εδωκαν εις θησαυρους του εργου χρυσου νομισματος δυο μυριαδας. *Neh. vii.* 71. [δηναριον, το νομισμα. *Meurs. p.* 120.]

20 Και λεγει αυτοις, Τινος ἡ εικων αὑτη και ἡ επιγραφη;

1 *Mac. xv.* 6. *et Grot. ad loc.*

21 Λεγουσιν αυτῳ, Καισαρος. Τοτε λεγει αυτοις, Αποδοτε ουν τα Καισαρος, Καισαρι· και τα του Θεου, τῳ Θεῳ.

αποδωσεις τον μισθον αυτου. *Deut. xxiv.* 15. *Tob. iv.* 14. *Conf. Rom. xiii.* 7. φοβου τον Θεον, υἱε, και βασιλεα, κ. τ. λ. *Prov. xxiv.* 21. [ετησιον αποδιδοναι δασμον τῳ βασιλει. *Philo. de Opific. Mund.* 19.]

22 Και ακουσαντες εθαυμασαν· και αφεντες αυτον απηλθον.

23 Εν εκεινῃ τῃ ἡμερᾳ προσηλθον αυτῳ Σαδδουκαιοι, οἱ λεγοντες μη ειναι αναστασιν, και επηρωτησαν αυτον,

εις ἡμεραν αναστασεως. *Sophon. iii.* 8. ὑπερ αναστασεως διαλογιζομενος. 2 *Mac. xii.* 43. αναστασις εις ζωην. 2 *Mac. vii.* 14. *Conf. Dan. xii.* 2. *Marc. xii.* 18. *Act. xxiii.* 8. *Matt. iii.* 7. [*De Sadduc. conf. Jos. ad loc. laudat. Luc. xx.* 27. Σαδδουκαιοις τας ψυχας ὁ λογος συναφανιζει τοις σωμασι. *Jos. Ant. xviii.* 1. 4. ψυχης τε την διαμονην, και τας καθ' ᾁδου τιμωριας και τιμας αναιρουσι. *Bell. Jud. ii.* 8. 14.] *Conf. Job. xlii.* 17. *Sophon. iii.* 8.

24 Λεγοντες, Διδασκαλε, Μωσης ειπεν, Εαν τις αποθανῃ, μη εχων τεκνα, επιγαμβρευσει ὁ αδελφος αυτου την γυναικα αυτου, και αναστησει σπερμα τῳ αδελφῳ αὑτου.

εισελθε προς την γυναικα του αδελφου σου, και επιγαμβρευσαι αυτην, και αναστησον σπερμα τῳ αδελφῳ σου. *Gen. xxxviii.* 8. εαν δε κατοικωσιν αδελφοι επι το αυτο, και αποθανῃ εἱς εξ αυτων, σπερμα δε μη ῃ αυτῳ, ουκ εσται ἡ γυνη του τεθνηκοτος εξω ανδρι μη εγγιζοντι· ὁ αδελφος του ανδρος αυτης εισελευσεται προς αυτην, και ληψεται αυτην ἑαυτῳ γυναικα, και συνοικησει αυτῃ. *Deut. xxv.* 5. 1 *Mac. x.* 54, 56. *Conf. Marc. xii.* 19. *Luc. xx.* 28. *CITAT.* 37.

25 Ησαν δε παρ' ἡμιν ἑπτα αδελφοι· και ὁ πρωτος γαμησας
ετελευτησε· και μη εχων σπερμα, αφηκε την γυναικα αὑτου
τῳ αδελφῳ αὑτου.

και ησαν παρα τῳ βασιλει. Dan. i. 19. *και αφηκαν τα καταλοιπα τοις νηπιοις αυτων. Ps. xvi.* 14.

26 Ὁμοιως και ὁ δευτερος, και ὁ τριτος, ἑως των ἑπτα.

27 Ὑστερον δε παντων απεθανε και ἡ γυνη.

ὑστερον. Jer. xxix. 2. *xxxi.* 19. *Conf. Eccles. i.* 4.

28 Εν τῃ ουν αναστασει, τινος των ἑπτα εσται γυνη; παντες
γαρ εσχον αυτην.

γυναικα ληψῃ, και ανηρ ἑτερος ἑξει αυτην. Deut. xxviii. 30. *ὁτι γυναικας δεκαοκτω ειχε.* 2 *Par. xi.* 21. *ὁτι ην δεδομενη ανδρασιν ἑπτα. Tob. iii.* 8.

29 Αποκριθεις δε ὁ Ιησους ειπεν αυτοις, Πλανασθε, μη ειδοτες
τας γραφας, μηδε την δυναμιν του Θεου.

Conf. Ps. xv. 9-11. *xvi.* 15. *xlviii.* 15. *Dan. xii.* 2, 3. *Ose. xiii.* 14. *οιδα γαρ ὁτι αεννα ος εστιν ὁ εκλυειν με μελλων επι γης, αναστησαι το δερμα μου το αναντλουν ταυτα· παρα γαρ Κυριου ταυτα μοι συνετελεσθη, κ. τ. λ. Job. xix.* 25. *Conf. Esa. xxv.* 8. *ἡ ὁδος των ασεβων πλανησει αυτους. Prov. xii.* 7.

30 Εν γαρ τῃ αναστασει ουτε γαμουσιν, ουτε εκγαμιζονται,
αλλ' ὡς αγγελοι του Θεου εν ουρανῳ εισι.

Conf. Tob. xii. 19-21. *σοι μεν γαρ αναστασις εις ζωην ουκ εσται.* 2 *Mac. vii.* 14. *εαν γαρ αποθανῃ ανθρωπος, ζησεται—ὑπομενω ἑως παλιν γενωμαι. Job. xiv.* 14.

31 Περι δε της αναστασεως των νεκρων, ουκ ανεγνωτε το ῥηθεν
ὑμιν ὑπο του Θεου, λεγοντος,

αναστησονται οἱ νεκροι. Esa. xxvi. 19. *ὑπομεινον με, λεγει Κυριος, εις ἡμεραν αναστασεως μου. Sophon. iii.* 8.

32 Εγω ειμι ὁ Θεος Αβρααμ, και ὁ Θεος Ισαακ, και ὁ Θεος
Ιακωβ; ουκ εστιν ὁ Θεος Θεος νεκρων, αλλα ζωντων.

εγω ειμι ὁ Θεος του πατρος σου, Θεος Ἀβρααμ, και Θεος Ισαακ, κ. τ. λ. Exod. iii. 6. *xv.* 16. *Marc. xii.* 26. *Luc. xx.* 37. *αλλα ζω εγω και ζων το ὀνομα μου. Num. xiv.* 21. [*ονομα αιωνιον Θεος Αβρααμ, Θεος Ισαακ, και Θεος Ιακωβ. Philo. p.* 280.] *και οἱ προφηται, μη τον αιωνα ζησονται; Zach. i.* 5. *Conf. Matt. xvii.* 3. *Act. vii.* 32. *Heb. xi.* 16. *Marc. xii.* 26. *Gen. xvii.* 7. *Lev. xxvi.* 12. *Laudatur a Philone, de Abrah.* 280. *De Som.* 457. 458. *CITAT.* 38.

33 Και ακουσαντες οἱ οχλοι εξεπλησσοντο επι τῃ διδαχῃ αυτου.

εις διδαχην. *Ps. lix.* 1. εξεστη δε Ιοθορ επι πασι τοις αγαθοις. *Exod. xviii.* 9. εξεχυθη χαρις εν χειλεσι σου, δια τουτο ευλογησε σε ὁ Θεος κ.τ.λ. *Ps. xliv.* 2. εξεπλησσοντο. 2 *Mac. vii.* 12.

34 Οἱ δε Φαρισαιοι ακουσαντες ὁτι εφιμωσε τους Σαδδουκαιους, συνηχθησαν επι το αυτο,

συναχθωμεν επι το αυτο. *Neh. vi.* 2. *Ps. ii.* 2. φιμων χειλη. *Prov. xvii.* 29. *Alii. Conf. Marc. xii.* 28. *Luc. x.* 25.

35 Και επηρωτησεν εἱς εξ αυτων νομικος, πειραζων αυτον και λεγων,

εἱς εξ ἡμων. *Gen. iii.* 22. *xlii.* 16. 2 *Mac. vii.* 2. [νομικος. *Conf. Jos. Bell. Jud.* 2. *xxi.* 7.] πειραζων. *Conf.* 3 *Reg. x.* 1.

36 Διδασκαλε, ποια εντολη μεγαλη εν τῳ νομῳ;

ὡς γεγραπται εν τῳ νομῳ. *Neh. x.* 34. μιαν απο πασων των εντολων. *Lev. iv.* 13. *xxii.* 27. και νυν Ισραηλ, τι Κυριος ὁ Θεος σου αιτειται παρα σου, αλλ' η φοβεισθαι Κυριον, κ. τ. λ. *Deut. x.* 12.

37 Ὁ δε Ιησους ειπεν αυτῳ, Αγαπησεις Κυριον τον Θεον σου, εν ὁλῃ τῃ καρδιᾳ σου, και εν ὁλῃ τῃ ψυχῃ σου, και εν ὁλῃ τῃ διανοιᾳ σου.

και αγαπησεις Κυριον τον Θεον σου εξ ὁλης της διανοιας σου, και εξ ὁλης της ψυχης σου, και εξ ὁλης της δυναμεως σου. *Deut. vi.* 5. *Vide Grot. in loc. Conf. Deut. x.* 12. *xxx.* 6. *Marc. xii.* 30. *Luc. x.* 27. *CITAT.* 39.

38 Αὑτη εστι πρωτη και μεγαλη εντολη.

Ακουε Ισραηλ, Κυριος ὁ Θεος ἡμων, Κυριος εἱς εστι. *Deut. vi.* 4.

39 Δευτερα δε ὁμοια αυτῃ, Αγαπησεις τον πλησιον σου ὡς σεαυτον.

και αγαπησεις τον πλησιον σου ὡς σεαυτον. *Lev. xix.* 18. *Conf. Matt. v.* 43. *Marc. xii.* 31. *Luc. x.* 27. *Rom. xiii.* 9, 10. *Gal. v.* 14. *Jac. ii.* 8. 1 *Joan. iii.* 10. *iv.* 21. [*CITAT.* 31.]

40 Εν ταυταις ταις δυσιν εντολαις ὁλος ὁ νομος και οἱ προφηται κρεμανται.

του νομου και των προφητων. *Prol. Sir. Conf. Rom. v.* 13. τελος λογου, το παν ακουε· τον Θεον φοβου. *Eccles. xii.* 13. *Conf. Esa. xxii.* 24. εξ ἡμων κρεμαται ἡ ψυχη αυτων. *Judith. viii.* 24.

41 Συνηγμενων δε των Φαρισαιων, επηρωτησεν αυτους ὁ Ιησους, λεγων,

συνηγμενοι. *Conf. Deut. xxxiii.* 5. *Neh. viii.* 3.

42 Τι ὑμιν δοκει περι του Χριστου; τινος υἱος εστι; Λεγουσιν αυτῳ, Του Δαβιδ.

ακουσατε δη οικος Δαυιδ—ιδου ἡ παρθενος εν γαστρι ληψεται. κ. τ. λ. Esa. vii. 13, 14. *ὁτι παιδιον εγγεννηθη ἡμιν, κ. τ. λ. ix.* 6. *και εξελευσεται ῥαβδος εκ της ῥιζης Ιεσσαι, κ. τ. λ. xi.* 1. *Ose. xiii.* 14. *Ezech. xxxiv.* 23. *Amos. ix.* 11. *ἑως χριστου ἡγουμενου. Dan. ix.* 25. *υἱος μου ει συ. Conf. Ps. ii.* 6-8.

43 Λεγει αυτοις, Πως ουν Δαβιδ εν πνευματι Κυριον αυτον καλει; λεγων,

και επεμαρτυρω αυτοις εν πνευματι σου. Neh. ix. 30. *προφητευσον, υἱε ανθρωπου, και ειπον τῳ πνευματι. Ezech. xxxvii.* 9. *Conf.* 4 *Reg. xxiii.* 2. *Act. i.* 16.

44 Ειπεν ὁ Κυριος τῳ Κυριῳ μου, Καθου εκ δεξιων μου, ἑως αν θω τους εχθρους σου ὑποποδιον των ποδων σου.

Ps. cix. 1. *ειπε ὁ Κυριος τῳ Κυριῳ, κ. τ. λ. Conf. Marc. xii.* 36. *Luc. xx.* 42. *Act. ii.* 34, 35. *Heb. i.* 13. *αυτος επικαλεσεται με, Πατηρ μου ει συ. Ps. lxxxviii.* 26. *επεκαλεσαμην Κυριον πατερα Κυριου μου, κ.τ.λ. Sir. li.* 10. *edit. Drusii. και επιγνωσονται διοτι εγω αδωναι Κυριος. Ezech.xxv.*17. *xxvi.* 5. *Ald. Comp. CITAT.* 40.

45 Ει ουν Δαβιδ καλει αυτον Κυριον, πως υἱος αυτου εστι;

την γενεαν αυτου τις διηγησεται; Esa. liii. 8.

46 Και ουδεις εδυνατο αυτῳ αποκριθηναι λογον· ουδε ετολμησε τις απ᾽ εκεινης της ἡμερας επερωτησαι αυτον ουκετι.

και ουδεις απεκριθη αυτῳ λογον. Esa. xxxvi. 21. *επτοηθησαν, ουκ απεκριθησαν ετι, επαλαιωσαν εξ αυτων λογους. Job. xxxii.* 15. *Conf. Luc. xx.* 40. *Marc. xii.* 34. *Esa. l.* 2-9. *αποκριθηναι pro αποκρινασθαι. Ita* 2 *Par. x.* 6. *Conf. Fisch. Prolus. p.* 685.

Κεφ. κγ. 23.

ΤΟΤΕ ὁ Ιησους ελαλησε τοις οχλοις και τοις μαθηταις αὑτου,

και ελαλησε Κυριος προς Μωυσην, λεγων. Lev. iv. 1, 2. *ουκ ελαλησα ὑμιν, λεγων; Gen. xlii.* 22. *Marc. vii.* 14. *Luc. xii.* 1.

2 Λεγων, Επι της Μωσεως καθεδρας εκαθισαν οἱ Γραμματεις και οἱ Φαρισαιοι·

ὁτι επισκεπησεται ἡ καθεδρα σου. 1 *Reg. xx.* 18. *εν καθεδρᾳ πρεσβυτερων. Ps. cvi.* 32. *επι καθεδρᾳ—εκαθισε. i.* 1. *Conf. Esd. vii.* 6.

Neh. viii. 1. ὁτι χειλη ἱερεως φυλαξεται γνωσιν, και νομον εκζητησουσιν εκ στοματος αυτου. *Mal. ii.* 7. *Conf.* 1 *Par. xxvii.* 1.

3 Παντα ουν, ὁσα αν ειπωσιν ὑμιν τηρειν, τηρειτε και ποιειτε· κατα δε τα εργα αυτων μη ποιειτε· λεγουσι γαρ και ου ποιουσι.

κατα ταυτα ελαλησεν Αστιν, ποιησατε ουν περι τουτου νομον και κρισιν. *Est. i.* 13-15. *Jon. iii.* 10. οὑτοι οἱ λογοι οὑς ειπε Κυριος ποιησαι αυτους. *Exod. xxxv.* 1. δικαιοσυνην τηρων, και ποιων ελεος. *Exod. xxxiv.* 7. *Alex. Conf. Exod. xviii.* 19, 20.

4 Δεσμευουσι γαρ φορτια βαρεα και δυσβαστακτα, και επιτιθεασιν επι τους ωμους των ανθρωπων· τῳ δε δακτυλῳ αὑτων ου θελουσι κινησαι αυτα.

φορτιον βαρυ. *Ps. xxxvii.* 4. αιρετε αυτα καταδεδεμενα ὡς φορτιον κοπιωντι εκλελυμενῳ. *Esa. xlvi.* 1. εθηκεν επι ωμων αυτου. *Jud. ix.* 48. βαρυ λιθος και δυσβαστακτον αμμος. *Prov. xxvii.* 3. δεσμευω. *Gen. xxxvii.* 7. *Conf. Luc. xi.* 46. *Act. xv.* 10. *Gal. vi.* 13. *Esa. x.* 1. *Ps. xxviii.* 10, 11. *l.* 16-20.

5 Παντα δε τα εργα αὑτων ποιουσι προς το θεαθηναι τοις ανθρωποις. Πλατυνουσι δε τα φυλακτηρια αὑτων, και μεγαλυνουσι τα κρασπεδα των ἱματιων αὑτων·

τεθεαμενος εργα του μεγιστου Θεου. 2 *Mac. iii.* 36. και επιθησετε επι τα κρασπεδα των πτερυγιων κλωσμα ὑακινθινον. *Num. xv.* 38. *Deut. vi.* 8. *xxii.* 12. *Prov. iii.* 3. *vi.* 21. *vii.* 3. *Conf. Marc. xii.* 38. *Luc. xi.* 43. προς το μακρυναι. *Jer. xxxiv.* 10. δευρο μετ' εμου, και ιδε εν τῳ ζηλωσαι με τῳ Κυριῳ. κ. τ. λ. 4 *Reg. x.* 16. [φυλακτηριον. *Conf. Jos. Ant. iv.* 8. 13.]

6 Φιλουσι τε την πρωτοκλισιαν εν τοις δειπνοις, και τας πρωτοκαθεδριας εν ταις συναγωγαις,

φιλουντες νυσταξαι. *Esa. lvi.* 10. *Conf. Marc. xii.* 38. *Luc. xi.* 43. 3 *Joan.* 9. *Prov. xxv.* 6, 7.

7 Και τους ασπασμους εν ταις αγοραις, και καλεισθαι ὑπο των ανθρωπων, ῥαββι, ῥαββι.

και εκυκλωσαν εν αγορᾳ οἱ κοπτομενοι. *Eccles. xii.* 5. [רבי]

8 Ὑμεις δε μη κληθητε, ῥαββι· εἱς γαρ εστιν ὑμων ὁ καθηγητης, ὁ Χριστος· παντες δε ὑμεις αδελφοι εστε.

Conf. Jac. iii. 1. ει Κυριος ειμι εγω, που εστιν ὁ φοβος μου; *Mal. i.* 6. αδελφος ὑπο αδελφου βοηθουμενος. *Prov. xviii.* 9.

9 Και πατερα μη καλεσητε ὑμων επι της γης· εἱς γαρ εστιν ὁ πατηρ ὑμων, ὁ εν τοις ουρανοις.

Conf. Mal. i. 6. Joan. vi. 45. 1 Thess. iv. 9. εἱς εστιν σοφος, κ. τ. λ. *Sir. i. 8.* βροτον ου μη εντραπω, κ. τ. λ. *Job. xxxii. 21, 22.*

10 Μηδε κληθητε καθηγηται· εἱς γαρ ὑμων εστιν ὁ καθηγητης, ὁ Χριστος.

11 Ὁ δε μειζων ὑμων εσται ὑμων διακονος.

ὁσῳ μεγας ει, τοσουτῳ ταπεινου σεαυτον. *Sir. iii. 18.* μειζων, *i. e.* μεγιστος. *Ita,* προτερα παντων. *Sir. i. 4. Prov. xxix. 23.*

12 Ὁστις δε ὑψωσει ἑαυτον, ταπεινωθησεται· και ὁστις ταπεινωσει ἑαυτον, ὑψωθησεται.

οἱ ὑψηλοι τῃ ὑβρει συντριβησονται, και οἱ ὑψηλοι ταπεινωθησονται. *Esa. x. 33. ii. 11. lvii. 15. 1 Reg. ii. 7. Job. xxii. 29. Prov. xv. 33. xviii. 12.* μη εξυψου σεαυτον, ἱνα μη πεσῃς. *Sir. i. 30. Conf. Luc. xiv. 11. Jac. iv. 6.* ὁστις. *Conf. Sap. xix. 15.*

13 Ουαι ὑμιν, Γραμματεις και Φαρισαιοι, ὑποκριται, ὁτι κατεσθιετε τας οικιας των χηρων, και προφασει μακρα προσευχομενοι· δια τουτο ληψεσθε περισσοτερον κριμα.

ουαι ὑμιν, ὁτι, κ. τ. λ. *Jer. iv. 13.* ουαι αυτοις, ὁτι απεπηδησαν απ᾽ εμου. *Ose. vii. 13.* οικιαι ασεβων αφανισθησονται. *Prov. xiv. 11.* θυσιαι ασεβων βδελυγμα Κυριῳ, κ.τ.λ. *xv. 8.* Κυριος εστηρισε δε ὁριον χηρας. *xv. 26. Esa. i. 17.* ανεχεσθε γαρ, ει τις ὑμας καταδουλοι, ει τις κατεσθιει. *2 Cor. xi. 20.* τους κατεσθιοντας τον Ισραηλ. *Esa. ix. 12. Conf. Luc. xi. 52. Ezech. xxii. 25. 2 Tim. iii. 6. Tit. i. 11. Sap. ii. 12-14.* εις δε κτημα ορφανων μη εισελθῃς. *Prov. xxiii. 10. Conf. Marc. xii. 40. Luc. xx. 47.* Χηρας δε εξαπεσταλκας κενας, ορφανους δε εκακωσας. *Job. xxii. 9.* λαλων ῥηματα προφασεις ψευδεις. *Ose. x. 4.* εζητουν προφασιν εὑρειν. *Dan. vi. 4.* πριν ευξασθαι ἑτοιμασον σεαυτον, και μη γινου ὡς ανθρωπος πειραζων τον Κυριον. *Sir. xviii. 23.* κριμα θανατου. *Deut. xx. 22.* το κριμα αυτου κατα σπουδην ερχεται. *Sir. xxi. 5.*

14 Ουαι δε ὑμιν, Γραμματεις και Φαρισαιοι, ὑποκριται, ὁτι κλειετε την βασιλειαν των ουρανων εμπροσθεν των ανθρωπων· ὑμεις γαρ ουκ εισερχεσθε, ουδε τους εισερχομενους αφιετε εισελθειν.

κλεισαι οικιαν του μη εισελθειν. *Esa. xxiv. 10.* ανοιξω εμπροσθεν αυτου θυρας. *Esa. xlv. 1.* [οἱ εμπροσθεν αυτης ὑπηρετουντες. *Act. Thom. ix. 7.*] μη αφῃς. *Sir. xxiii. 1.*

15 Ουαι ὑμιν, Γραμματεις και Φαρισαιοι, ὑποκριται, ὁτι περι-
αγετε την θαλασσαν και την ξηραν, ποιησαι ἑνα προσηλυτον,
και ὁταν γενηται, ποιειτε αυτον υἱον γεεννης διπλοτερον ὑμων.

ὁς εποιησε την θαλασσαν και την ξηραν. *Jon. i.* 9. *Gen. i.* 9. υἱος θανατου. 1 *Reg. xx.* 31. 2 *Reg. xii.* 5. πολεμησομεν σε δια της θαλασσης και δια της ξηρας. 1 *Mac. viii.* 32. *Conf. Luc. xx.* 47. *Marc. xii.* 40. κατα πολιν και χωραν—και πολλοι των εθνων περιετεμοντο, και Ιουδαϊζον δια τον φοβον των Ιουδαιων. *Est. ix.* 17.

16 Ουαι ὑμιν, ὁδηγοι τυφλοι, οἱ λεγοντες, Ὁς αν ομοσῃ εν τῳ
ναῳ, ουδεν εστιν· ὁς δ' αν ομοσῃ εν τῳ χρυσῳ του ναου, οφειλει.

και τις τυφλος αλλ' η οἱ παιδες μου, και κωφοι αλλ' η οἱ κυριευοντες αυτων; κ. τ. λ. *Esa. xlii.* 19. και ωμοσεν εν τῳ ζωντι εις τον αιωνα. *Dan. xii.* 7. ὁτι αυτος και της σοφιας ὁδηγος εστι. *Sap. vii.* 15. ιδετε, ὁτι εκτετυφλωνται παντες, ουκ εγνωσαν,—και εισι πονηροι ουκ ειδοτες συνεσιν, κ. τ. λ. *Esa. lvi.* 10, 11.

17 Μωροι και τυφλοι· τις γαρ μειζων εστιν, ὁ χρυσος, η ὁ ναος
ὁ ἁγιαζων τον χρυσον;

οὑτος λαος μωρος. *Deut. xxxii.* 6. *Jer. v.* 21. *Ps. xciii.* 8. εγω Κυριος ὁ ἁγιαζων ὑμας. *Lev. xx.* 8. ἁγιαζουσα ἡγιασα το αργυριον. *Jud. xvii.* 3. *Sir. xlv.* 4. *xlix.* 7. μειζων. *Conf. Exod. xxx.* 26-29. *Num. xvi.* 38, 39. *Joan. xv.* 20.

18 Και, Ὁς εαν ομοσῃ εν τῳ θυσιαστηριῳ, ουδεν εστιν· ὁς δ' αν
ομοσῃ εν τῳ δωρῳ τῳ επανω αυτου, οφειλει.

19 Μωροι και τυφλοι· τι γαρ μειζον, το δωρον, η το θυσια-
στηριον το ἁγιαζον το δωρον;

Conf. Exod. xxix. 37. εσται εις ουδεν. *Esa. xiv.* 23.

20 Ὁ ουν ομοσας εν τῳ θυσιαστηριῳ, ομνυει εν αυτῳ και εν
πασι τοις επανω αυτου·

21 Και ὁ ομοσας εν τῳ ναῳ ομνυει εν αυτῳ και εν τῳ κατοι-
κουντι αυτον.

Conf. 3 *Reg. viii.* 13. *Alex.* 2 *Par. vi.* 2. Κυριε ηγαπησα—τοπον σκηνωματος δοξης σου. *Ps. xxv.* 8. *cxxxi.* 4. 14.

22 Και ὁ ομοσας εν τῳ ουρανῳ, ομνυει εν τῳ θρονῳ του Θεου,
και εν τῳ καθημενῳ επανω αυτου.

23 Ουαι ὑμιν, Γραμματεις και Φαρισαιοι, ὑποκριται, ὁτι απο-
δεκατουτε το ἡδυοσμον και το ανηθον και το κυμινον, και αφη-

κατε τα βαρυτερα του νομου, την κρισιν και τον ελεον και την πιστιν· ταυτα εδει ποιησαι, κακεινα μη αφιεναι.

ὁ ουρανος μου θρονος. *Esa. lxvi.* 1. δεκατην αποδεκατωσεις παντος γεννηματος. *Deut. xiv.* 22. εκζητησατε κρισιν, ῥυσασθε αδικουμενον. *Esa. i.* 17. ποιειν κριμα, και αγαπᾳν ελεον. *Mich. vi.* 8. ποιειν δικαια και αληθευειν, αρεστα παρα Θεῳ μαλλον ἠ θυσιων αἱμα. *Prov. xxi.* 3. *Conf. Tob. i.* 6, 7. *Luc. xi.* 42. επιστολαι βαρειαι. 2 *Cor. x.* 10. *Ose. vi.* 6.

24 Ὁδηγοι τυφλοι, οἱ διϋλιζοντες τον κωνωπα, την δε καμηλον καταπινοντες.

και οφθαλμοι εισιν ὡσαυτως τυφλοι. *Esa. xliii.* 8. οἱ πινοντες τον διυλισμενον οινον. *Amos. vi.* 6. *Conf. Esa. xxv.* 6. *Aq. Sym.* ιδου ακοη ὑπερ θυσιαν αγαθην, και ἡ επακροασις ὑπερ στεαρ κριων. 1 *Reg. xv.* 22.

25 Ουαι ὑμιν, Γραμματεις και Φαρισαιοι, ὑποκριται, ὁτι καθαριζετε το εξωθεν του ποτηριου και της παροψιδος, εσωθεν δε γεμουσιν εξ ἁρπαγης και ακρασιας.

οὑ αρας το στομα αυτου γεμει και πικριας. *Ps. ix.* 27. και ἡ ἁρπαγη του πτωχου εν τοις οικοις ὑμων. *Esa. iii.* 14. *Conf. Luc. xi.* 39. *Rom. iii.* 14. *Marc. vii.* 4. ὑποκριται. *Job. xxxiv.* 30. *xxxvi.* 13.

26 Φαρισαιε τυφλε, καθαρισον πρωτον το εντος του ποτηριου και της παροψιδος, ἱνα γενηται και το εκτος αυτων καθαρον.

Conf. Tit. i. 15. αποπλυνε απο κακιας την καρδιαν σου—ἱνα σωθῃς, κ. τ. λ. *Jer. iv.* 14. λουσασθε, καθαροι γενεσθε, κ. τ. λ. *Esa. i.* 16, 17. *Joan. xiii.* 8-10. *Ps. l.* 7.

27 Ουαι ὑμιν, Γραμματεις και Φαρισαιοι, ὑποκριται, ὁτι παρομοιαζετε ταφοις κεκονιαμενοις, οἱτινες εξωθεν μεν φαινονται ὡραιοι, εσωθεν δε γεμουσιν οστεων νεκρων και πασης ακαθαρσιας.

αυτος ὡραιος τῃ οψει σφοδρα. 3 *Reg. i.* 6. λιθους μεγαλους και κονιασεις αυτους κονιᾳ. *Deut. xxvii.* 2. 4. κεκονιαμενοις μετα αδικιας. *Prov. xxi.* 9. *Conf. Luc. xi.* 44. *Jer. xiii.* 27. *Num. xix.* 16. τοιχε κεκονιαμενε, κ. τ. λ. *Act. xxiii.* 3. *Ezech. xviii.* 31.

28 Οὑτω και ὑμεις εξωθεν μεν φαινεσθε τοις ανθρωποις δικαιοι, εσωθεν δε μεστοι εστε ὑποκρισεως και ανομιας.

πας ανηρ φαινεται ἑαυτῳ δικαιος, κατευθυνει δε καρδιας Κυριος. *Prov. xxi.* 2. μεστον οστεων ανθρωπινων. *Ezech. xxxvii.* 1. δια την εμην ὑποκρισιν. 2 *Mac. vi.* 25. μη επιβλεψῃς επι την οψιν αυτου,

κ.τ.λ. 1 *Reg. xvi.* 7. ἰδου γαρ αληθειαν ηγαπησας, τα αδηλα και τα κρυφια της σοφιας σου εδηλωσας μοι. *Ps. l.* 6. [εξαραι ὁ Θεος τους εν ὑποκρισει ζωντας μετα ὁσιων. *Psalt. Sal. p.* 929.]

29 Ουαι ὑμιν, Γραμματεις και Φαρισαιοι, ὑποκριται, ὁτι οικοδομειτε τους ταφους των προφητων, και κοσμειτε τα μνημεια των δικαιων,

ᾠκοδομησε Σιμων επι τον ταφον του πατρος. 1 *Mac. xiii.* 27-29. *Conf. Luc. xi.* 47. εν ὑποκρισει ῥημασι. *Ps. xxxiv.* 16. *Sym.*

30 Και λεγετε, Ει ημεν εν ταις ἡμεραις των πατερων ἡμων, ουκ αν ημεν κοινωνοι αυτων εν τῳ αἱματι των προφητων.

επι σοι ηλπισαν οἱ πατερες ἡμων. *Ps. xxi.* 4. κοινωνοι κλεπτων. *Esa. i.* 23. εν τῳ αἱματι αυτων. *Ezech. xxii.* 4. *Ald. Conf.* 2 *Par. xxxvi.* 15, 16. *Jer. ii.* 30.

31 Ὡστε μαρτυρειτε ἑαυτοις, ὁτι υἱοι εστε των φονευσαντων τους προφητας·

και επεμαρτυραμην σοι. 3 *Reg. ii.* 42. *Conf. Jer. ii.* 30. ὡστε. *Sap. vi.* 25. και τους προφητας σου απεκτειναν. *Neh. ix.* 26. ελεγξαι σε το σον στομα και μη εγω, τα δε χειλη σου καταμαρτυρησουσι σου. *Job. xv.* 6. εξουθενησαν αυτον αἱ γλωσσαι αυτων. *Ps. lxiii.* 8. μαρτυρες εισι πονηριας κατα γονεων εν εξετασμῳ αυτων. *Sap. iv.* 6.

32 Και ὑμεις πληρωσατε το μετρον των πατερων ὑμων.

τουτο το μετρον, κ.τ.λ. *Zach. v.* 6. ουπω γαρ αναπεπληρωνται αἱ ἁμαρτιαι των Αμοῤῥαιων ἑως του νυν. *Gen. xv.* 16. 1 *Thess. ii.* 16. *Dan. viii.* 23. *Conf. Num. xxxii.* 13, 14. μακροθυμων ὁ δεσποτης, μεχρι του καταντησαντας αυτους προς εκπληρωσιν ἁμαρτιων κολασαι. 2 *Mac. vi.* 14. *Conf. Sap. xix.* 4. *Esa. i.* 15.

33 Οφεις, γεννηματα εχιδνων, πως φυγητε απο της κρισεως της γεεννης;

ἡμερα—κρισεως Κυριου. *Esa. xxxiv.* 8. φευγετε και σωσατε τας ψυχας ὑμων. *Jer. xxxi.* 6. *Conf. sup. iii.* 7. *Luc. iii.* 7. *Marc. ix.* 47. [גיא הנם]. Εννομ. *Jos. xv.* 8.

34 Δια τουτο, ιδου, εγω αποστελλω προς ὑμας προφητας και σοφους και Γραμματεις· και εξ αυτων αποκτενειτε και σταυρωσετε, και εξ αυτων μαστιγωσετε εν ταις συναγωγαις ὑμων, και διωξετε απο πολεως εις πολιν·

απεστειλα προς ὑμας τους παιδας μου, τους προφητας, κ.τ.λ.

Jer. li. 4, 5. *xxv.* 4. *xxvi.* 5. *Mal. iv.* 5. ιδετε ὡς ὁ δικαιος απωλετο, κ. τ. λ. *Esa. lvii.* 1, 2. ὁτι ακριτως απολλυτε ἡμας. 1 *Mac. ii.* 37. *Conf.* 2 *Par. xxiv.* 22. (τινας) εξ αυτων. *Ita,* ερευνησατε και ιδετε ει εστι μεθ' ὑμων (τις) των δουλων Κυριου. 4 *Reg. x.* 23. *Dan. viii.* 10. *Exod. xvii.* 5. *ii.* 1-6, 25. *Prov. xxii.* 25. *Bos. Conf. Luc. xi.* 49. *Act. v.* 40. 2 *Cor. xi.* 24, 25. *Apoc. xviii.* 24. *Neh. ix.* 26. πολιν εκ πολεως. 2 *Par. xxx.* 10.

35 Ὁπως ελθῃ εφ' ὑμας παν αἱμα δικαιον, εκχυνομενον επι της γης, απο του αἱματος Αβελ του δικαιου, ἑως του αἱματος Ζαχαριου υἱου Βαραχιου, ὁν εφονευσατε μεταξυ του ναου και του θυσιαστηριου.

και γαρ το ὑμετερον αἱμα των ψυχων ὑμων—εκ χειρος ανθρωπου αδελφου εκζητησω, κ. τ. λ. *Gen. ix.* 5, 6. *Num. xxxv.* 33. *Jer. ii.* 30. χειρες εκχεουσαι αἱμα δικαιου. *Prov. vi.* 17. *Thren. iv.* 13. *Sir. xxxi.* 22. απο Ευιλατ ἑως Σουρ. 1 *Reg. xv.* 7. φωνη αἱματος του αδελφου σου βοᾳ προς με. *Gen. iv.* 10. Ζαχαριαν υἱον Βαραχιου. *Esa. viii.* 2. *Conf. Luc. xi.* 50. θυσιαστηριον. *Conf. Exod. xxx.* 27. *xxxv.* 15. *Comp.* ελευσονται επι σε πασαι αἱ καταραι αὑται. *Deut. xxviii.* 15, 45. και γε αἱμα αθωον εξεχεε Μανασσης πολυ σφοδρα ἑως οὑ επλησε την Ἱερουσαλημ, κ. τ. λ. 4 *Reg. xxi.* 16. *xxiv.* 4. *Conf.* 2 *Par. xxiv.* 21, 22. εν αυλῃ οικου Κυριου μεταξυ ὑδατος. *Sap. xvi.* 19. *Heb. xi.* 4. 1 *Joan. iii.* 12.

36 Αμην λεγω ὑμιν, Ἡξει ταυτα παντα επι την γενεαν ταυτην.

και εσται ὁταν ἡξει τα σημεια ταυτα επι σε, κ. τ. λ. 1 *Reg. x.* 7. *Deut. xxviii.* 2. *Conf. Ezech. xii.* 21-28. λαλησω, και ποιησω, λεγει Κυριος. γενεα σκολια και διεστραμμενη. *Deut. xxxii.* 5.

37 Ἱερουσαλημ, Ἱερουσαλημ, ἡ αποκτεινουσα τους προφητας και λιθοβολουσα τους απεσταλμενους προς αὑτην, ποσακις ηθελησα επισυναγαγειν τα τεκνα σου, ὁν τροπον επισυναγει ορνις τα νοσσια ἑαυτης ὑπο τας πτερυγας, και ουκ ηθελησατε;

Ω πολις ψευδης. *Jer. vi.* 6. Ω πολις αἱματων. *Ezech. xxiv.* 6, 7. πολις του ἁγιου σου εγενηθη ερημος. *Esa. lxiv.* 10. εν σκεπῃ των πτερυγων σου σκεπασεις με. *Ps. xvi.* 8. σκεπασθησομαι εν σκεπῃ των πτερυγων σου. *lx.* 4. *lxii.* 7. *lvi.* 2. *xc.* 1. και ουκ ηθελησαν εισακουσαι μου. *Ezech. xx.* 8. ὡς αετος σκεπασαι την νοσσιαν αυτου. *Deut. xxxii.* 11. ὁν τροπον. *Ita. Esa. xiv.* 20, 24. *Dan. ii.* 45. ὑπο τας πτερυγας αυτου ελπιεις. *Ps. xc.* 4. και τρυγων—οὑ θησει τα νοσσια ἑαυτης. *Ps. lxxxiii.* 3. *Conf. Esa. li.* 17-28. *Luc. xiii.* 34. εγω δε εδωκα την προσδοκιαν ταυτην, και ουκ εμνησθης μου. *Conf.*

Esa. lxvi. 6-9. τις σωσει και παρακαλεσει σε, παρθενος θυγατερ Σιων; ὁτι εμεγαλυνθη ποτηριον συντριβης σου, τις ιασεται σε; κ. τ. λ. *Thren. ii.* 13. *Conf. Jer. iv.* 14. *vi.* 8. [τα νοσσια, ἡ νοσσια, Ἑλληνικως· νεοσσος, νεοττος, νεοσσια, νεοττια, Αττικως. *Conf. Fisch. Prolog. p.* 677.]

38 Ιδου, αφιεται ὑμιν ὁ οικος ὑμων ερημος.

ὁ οικος μου εστιν ερημος. *Agg. i.* 9. και δωσω την Ἱερουσαλημ εις μετοικιαν, και εις κατοικτηριον δρακοντων, κ. τ. λ. *Jer. ix.* 11. *Dan. ix.* 26, 27. [και δι᾽ αυτον (*Messiam*) εσονται τα ἁγια ὑμων ερημα, κ. τ. λ. *Test. XII Patr. p.* 582.] ὁτι εις ερημωσιν εσται ὁ οικος οὑτος. *Jer. xxii.* 5. *xii.* 7. [αγονος γαρ ουσα και στειρα, δεισασα μη κατα το παντελες ερημος γενεας ὁ θεοφιλης οικος απολειφθῃ. (*Sara*) *Philo. De Abrah. p.* 384. *Jos. Bell. Jud. pass.*]

39 Λεγω γαρ ὑμιν, Ου μη με ιδητε απ᾽ αρτι, ἑως αν ειπητε, Ευλογημενος ὁ ερχομενος εν ονοματι Κυριου.

ευλογημενος ὁ ερχομενος εν ονοματι Κυριου. *Ps. cxvii.* 26. *Conf. Luc. xiii.* 35. *Ose. iii.* 4, 5. *Zach. xii.* 10. [*CITAT.* 38.]

ΚΕΦ. κδ. 24.

ΚΑΙ εξελθων ὁ Ιησους επορευετο απο του ἱερου· και προσηλθον οἱ μαθηται αυτου επιδειξαι αυτῳ τας οικοδομας του ἱερου.

εξηλθεν Ἱερεμιας απο Ἱερουσαλημ του πορευθηναι, κ. τ. λ. *Jer. xliv.* 12. πορευομενον απο της γης. *Gen. viii.* 3. επιδειξειν. *Conf.* 4 *Reg. xx.* 13. ὁτι ουκ ανθρωπῳ ἡ οικοδομη, αλλ᾽ η Κυριῳ. 1 *Par. xxix.* 1. *Alex. Conf. Marc. xiii.* 1. *Luc. xxi.* 5. *Ps. cxxvi.* 1.

2 Ὁ δε Ιησους ειπεν αυτοις, Ου βλεπετε παντα ταυτα; αμην λεγω ὑμιν, Ου μη αφεθῃ ὡδε λιθος επι λιθον, ὁς ου μη καταλυθησεται.

βλεπων επι πτωσει εχθρων. *Sir. xxv.* 7. και τον οικον τουτον κατελυσε. *Esd. v.* 12. προ του θειναι λιθον επι λιθον εν τῳ ναῳ Κυριου. *Agg. ii.* 16. *Conf. Luc. xix.* 44. 3 *Reg. ix.* 7. *Mich. iii.* 12. *Jer. xxvi.* 18. *Ezech. viii.* 6. *x.* 17-19. *Ose. ix.* 12.

3 Καθημενου δε αυτου επι του ορους των ελαιων, προσηλθον αυτῳ οἱ μαθηται κατ᾽ ιδιαν, λεγοντες, Ειπε ἡμιν, ποτε ταυτα εσται; και τι το σημειον της σης παρουσιας, και της συντελειας του αιωνος;

τι το σημειον ὁτι ιασεται με Κυριος, κ.τ.λ. 4 *Reg. xx.* 8, 9. και στησονται οἱ ποδες αυτου εν τῃ ἡμερᾳ εκεινῃ επι το ορος των Ελαιων, το κατεναντι Ἱερουσαλημ εξ ανατολων. κ. τ. λ. *Zach. xiv.* 4. *Conf.* 1 *Reg. ii.* 34. *xiv.* 10. και τουτο σοι το σημειον. *Exod. iii.* 12. ποιησον μετ᾽ εμου σημειον εις αγαθον. *Ps. lxxxv.* 17. εις συντελειαν ἡμερων. *Dan. xii.* 13. ἑως πληρωθωσι καιροι του αιωνος. *Tob. xiv.* 5. ἑως ποτε το περας ὡν ειρηκας των θαυμασιων; *Dan. xii.* 6. κατ᾽ ιδιαν. 2 *Mac. iv.* 5. και εγω ηκουσα, και ου συνηκα· και ειπα, Κυριε, τι τα εσχατα τουτων; *Dan. xii.* 8. [ἑως παρουσιας του Θεου της δικαιοσυνης, του ἡσυχασαι τον Ιακωβ εν ειρηνῃ και παντα εθνη. *Test. XII Patr. p.* 614.]

4 Και αποκριθεις ὁ Ιησους ειπεν αυτοις, Βλεπετε μητις ὑμας πλανησῃ.

αναβηθι εις ειρηνην—βλεπε, ηκουσα της φωνης σου. 1 *Reg. xxv.* 35. ανθ᾽ ὡν επλανησαν τον λαον μου. *Ezech. xiii.* 10. *Conf. Marc. xiii.* 5. *Ephes. v.* 6. *Col. ii.* 8. 2 *Thess. ii.* 3. 1 *Joan. iv.* 1. 3. μη αναπειθετωσαν ὑμας οἱ ψευδοπροφηται, κ. τ. λ. *Jer. xxxvi.* 8.

5 Πολλοι γαρ ελευσονται επι τῳ ονοματι μου, λεγοντες, Εγω ειμι ὁ Χριστος· και πολλους πλανησουσι.

ἁ προφητευουσιν επι τῳ ονοματι μου. *Jer. xxiii.* 25. *Conf.* 3 *Reg. xiii.* 12-14. πνευματι πορνειας επλανηθησαν. *Ose. iv.* 12. Ταδε λεγει Κυριος επι τους προφητας τους πλανωντας τον λαον μου, κ. τ. λ. *Mich. iii.* 5. *Jer. xiv.* 14. *xxiii.* 21-25. ἑως χριστου ἡγουμενου. *Dan. ix.* 25. [*Conf. Jos. Ant. xx.* 8. 5.]

6 Μελλησετε δε ακουειν πολεμους και ακοας πολεμων. ὁρατε, μη θροεισθε· δει γαρ παντα γενεσθαι. αλλ᾽ ουπω εστι το τελος.

και εξιλασμος ἡξει, και ζητησει ειρηνην, και ουκ εσται, κ. τ. λ. *Ezech. vii.* 25. ὁταν μελλῃ πληρουσθαι. *Jer. xxxvi.* 10. και ακοαι και σπουδαι ταραξουσιν αυτον εξ ανατολων και απο βορρᾶ, κ. τ. λ. *Dan. xi.* 44. μελλοντες ουν αγειν τον καθαρισμον. 2 *Mac. ii.* 16. ἁ δει γενεσθαι. *Dan. ii.* 28. ὁρατε και τα σαββατα μου φυλαξεσθε. *Exod. xxxi.* 13. θροεισθαι. *Cant. v.* 4. ὁτι ετι εις καιρον. *Dan. xi.* 35. *Conf. Jer. iv.* 27. *v.* 10, 18. *Dan. ix.* 24-27. [μη θροεισθε—μη λυπεισθε. *Test. XII Patr. p.* 651.] *Cant. v.* 4.

7 Εγερθησεται γαρ εθνος επι εθνος, και βασιλεια επι βασιλειαν· και εσονται λιμοι και λοιμοι και σεισμοι κατα τοπους.

και επεγερθησονται Αιγυπτιοι επ᾽ Αιγυπτιους. *Esa. xix.* 2. επισκοπη γαρ εσται μετα βροντης και σεισμου. *Esa. xxix.* 6. λιμος και θανατος. *Sir. xxxix.* 34. *Conf. Act. xi.* 28. Δια θυμον οργης

Κυριου συγκεκαυται ἡ γη ὁλη, κ. τ. λ. *Esa. ix.* 19-21. [*Conf. Jos. Ant. xv.* 5. 2. *Bell. Jud. iv.* 6. 1.] [κατα τοπους. *Philo. De Mund. Opific. p.* 13.]

8 Παντα δε ταυτα αρχη ωδινων.

ωδινες καθεξουσι σε. *Jer. xiii.* 21. *Ose. xiii.* 12. ωδινες ελαβον κατοικουντας Φυλιστιειμ. *Exod. xv.* 14. 1 *Thess. v.* 3. επι πασι τουτοις ουκ απεστραφη ὁ θυμος, αλλ᾽ ετι ἡ χειρ ὑψηλη. *Esa. ix.* 12, 17. *Conf. Ps. xlvii.* 6. *Esa. xiii.* 8.

9 Τοτε παραδωσουσιν ὑμας εις θλιψιν, και αποκτενουσιν ὑμας· και εσεσθε μισουμενοι ὑπο παντων των εθνων δια το ονομα μου.

παραδουναι αυτους εις σφαγην. *Esa. xxxiv.* 2. εις ψυχας θλιβοντων με. *Ps. xxvi.* 12. και επληθυνθησαν οἱ μισουντες με αδικως. *Ps. xxxvii.* 19. εσεσθε μισουμενοι = εστω διαχωριζων. *Gen. i.* 6. *Exod. vii.* 15. *Marc. xiii.* 9. *Luc. xxi.* 12. *Joan. xv.* 20. *Apoc. ii.* 10. *Act. iv.* 1. *etc.* [εν τοις εθνεσιν εσεσθε εις καταραν και εις διασκορπισμον, κ. τ. λ. *Test. XII Patr. p.* 582.]

10 Και τοτε σκανδαλισθησονται πολλοι, και αλληλους παραδωσουσι, και μισησουσιν αλληλους·

διοτι υἱος ατιμαζει πατερα, θυγατηρ επαναστησεται επι την μητερα αυτης, κ. τ. λ. *Mich. vii.* 6. καταλειφθησεται ἁμαρτωλος, και λοιδορος, και ὑπερηφανος σκανδαλισθησονται εν αυτοις. *Sir. xxiii.* 8. και ησπασαντο αλληλους. *Exod. xviii.* 7. *Conf. Dan. vii.* 25. *Marc. xiii.* 12. *Luc. xxi.* 16.

11 Και πολλοι ψευδοπροφηται εγερθησονται, και πλανησουσι πολλους·

ψευδη οἱ προφηται προφητευουσι. *Jer. xiv.* 14. και τους ἁγιους Ὑψιστου πλανησει. *Dan. vii.* 25. *Ald. Comp. Conf.* 2 *Pet. ii.* 1. 11-26.] [οἱ δε γοητες και απατεωνες ανθρωποι τον οχλον επειθον αυτοις εις την ερημιαν ἑπεσθαι, κ. τ. λ. *Jos. Ant. xx.* 7. 6. *Bell. Jud. ii.* 4. 5. 12. *vi.* 5.] ψευδοπροφηται. *Jer. vi.* 13.

12 Και δια το πληθυνθηναι την ανομιαν, ψυγησεται ἡ αγαπη των πολλων·

επληθυνθη επ᾽ εμε αδικια ὑπερηφανων. *Ps. cxviii.* 69. *Jer. xxx.* 12. ὁτι αἱ ανομιαι ἡμων επληθυνθησαν ὑπερ κεφαλης. *Esd. ix.* 6. ανομια ασεβους. *Ezech. xxxiii.* 12. *Conf.* 2 *Tim. iv.* 16. *Heb. x.* 25. [του σωματος αυτου ψυχομενου δια τον χρονον. *Jos. Ant. vii.* 14. 3.]

13 Ὁ δε ὑπομεινας εις τελος, οὑτος σωθησεται.

και εις το τελος των καιρων—επελευσεται. *Dan. xi.* 13. μακαριος ὁ ὑπομενων. *xii.* 12. *Conf. Apoc. ii.* 10.

14 Και κηρυχθησεται τουτο το ευαγγελιον της βασιλειας εν ὁλῃ τῃ οικουμενῃ, εις μαρτυριον πασι τοις εθνεσι. και τοτε ἡξει το τελος.

—κηρυξατε ταυτα εν τοις εθνεσι. *Joel. iii.* 9. εις το τελος των καιρων. *Dan. xi.* 13. ἡκει ὁ καιρος. *vii.* 7. το τελος των ἡμερων. *Neh. xiii.* 6. τα τελη των αιωνων. 1 *Cor. x.* 11. λογον συντετμημενον Κυριος ποιησει εν τῃ οικουμενῃ ὁλῃ. *Esa. x.* 23. ευαγγελιον της βασιλειας. *Conf.* 2 *Reg. xviii.* 20-25. εις μαρτυριον. *Sophon. iii.* 8. *Rom. x.* 18. *Col. i.* 6. 23. Ιδου το περας ἡκει, κ. τ. λ. *Ezech. vii.* 5-12.

15 Ὁταν ουν ιδητε το βδελυγμα της ερημωσεως, το ῥηθεν δια Δανιηλ του προφητου, ἑστως εν τοπῳ ἁγιῳ· (ὁ αναγινωσκων νοειτω·)

το βδελυγμα ερημωσεως. *Dan. xii.* 11. *ix.* 27. εν προφητειᾳ Αγγαιου του προφητου. *Esd. vi.* 14. εν τοπῳ ἁγιῳ. *Ps. lxvii.* 5. 1 *Mac. i.* 54. *Conf. Marc. xiii.* 14. *Luc. xxi.* 20. και επιρριψω επι σε βδελυγμον κατα τας ακαθαρσιας σου, κ. τ. λ. *Nah. iii.* 6. [Δανιηλος και περι της των Ῥωμαιων ἡγεμονιας ανεγραψε και ὁτι ὑπ' αυτων ερημωθησεται, κ.τ.λ. *Jos. Ant. x.* 11. 7.] εννοηθητι εν τῳ ῥηματι, και συνες εν τῃ οπτασιᾳ. *Dan. ix.* 23. *CITAT.* 41.

16 Τοτε οἱ εν τῃ Ιουδαιᾳ φευγετωσαν επι τα ορη·

εγω δε ου δυνησομαι διασωθηναι εις το ορος. *Gen. xix.* 19. ω, ω φευγετε απο γης βορρα. *Zach. ii.* 6. *Conf.* 1 *Mac. ii.* 29. *Jer. vi.* 1. φευγετε και σωσατε τας ψυχας ὑμων, και εσεσθε ὡσπερ ονος αγριος εν ερημῳ. *Jer. xxxi.* 6.

17 Ὁ επι του δωματος, μη καταβαινετω αραι τι εκ της οικιας αὑτου·

17, 18] διοτι ὁ κτωμενος προς τον πωλουντα ουκετι μη επιστρεψει. κ. τ. λ. *Ezech. vii.* 13. μη περιβλεψῃ εις τα οπισω. *Gen. xix.* 17.

18 Και ὁ εν τῳ αγρῳ, μη επιστρεψατω οπισω αραι τα ἱματια αὑτου.

Conf. Matt. vi. 26. *Luc. xii.* 23.

19 Ουαι δε ταις εν γαστρι εχουσαις και ταις θηλαζουσαις, εν εκειναις ταις ἡμεραις.

ουαι καρδιαις δειλαις—ουαι ὑμιν τοις απολωλεκοσι την ὑπομονην, κ. τ. λ. *Sir. ii.* 12, 14. εν ταις ἡμεραις εκειναις. *Joel. iii.* 1. *Vide*

Grot. ad loc. Conf. Luc. xxiii. 29. και αἱ εν γαστρι εχουσαι αυτων διαῤῥαγησονται. *Ose. xiv.* 1. *Conf. Thren. iv.* 3-10.

20 Προσευχεσθε δε ἱνα μη γενηται ἡ φυγη ὑμων χειμωνος, μηδε εν σαββατῳ.

Conf. Act. i. 12. *Exod. xvi.* 29. ὁ χειμων παρηλθε. *Cant. ii.* 11. του βεβηλωσαι την ἡμεραν των σαβ. 1 *Mac. ii.* 34.

21 Εσται γαρ τοτε θλιψις μεγαλη, οἱα ου γεγονεν απ᾽ αρχης κοσμου ἑως του νυν, ουδ᾽ ου μη γενηται.

αφ᾽ ἡς ἡμερας εκτισται, ἑως της ἡμερας ταυτης. *Exod. ix.* 18. *x.* 14. θλιψις οἱα ου γεγονεν αφ᾽ οὑ γεγενηται εθνος εν τῃ γῃ, ἑως του καιρου εκεινου. *Dan. xii.* 1. απο γενεσεως μου ἑως του νυν. *Ezech. iv.* 14. και εγενετο θλιψις μεγαλη εν τῳ Ισραηλ, κ. τ. λ. 1 *Mac. ix.* 27. ὁ του κοσμου κτιστης. 2 *Mac. vii.* 23. *Conf. Joel. ii.* 2. *Mal. iv.* 1.

22 Και ει μη εκολοβωθησαν αἱ ἡμεραι εκειναι, ουκ αν εσωθη πασα σαρξ· δια δε τους εκλεκτους κολοβωθησονται αἱ ἡμεραι εκειναι.

κατεφθειρε πασα σαρξ την ὁδον αυτου. *Gen. vi.* 12. πασα σαρξ, χορτος. *Esa. xl.* 7. οἱ εκλεκτοι μου ου κοπιασουσιν εις κενον. *Esa. lxv.* 23. *Sap. iii.* 9. χαρις και ελεος τοις εκλεκτοις αυτου. *Sap. iii.* 9. Ω ω, τις ζησεται, ὁταν θῃ ταυτα ὁ Θεος; *Num. xxiv.* 23. κολοβουσι τας χειρας αυτων. 2 *Reg. iv.* 12. εσμικρυνας τας ἡμερας. *Ps. lxxxviii.* 45. συνετμηθησαν. *Dan. ix.* 24. *Conf. Marc. xiii.* 20. ετη δε ασεβων ολιγωθησεται. *Prov. x.* 27. ου πασα σαρξ, (*nemo mortalium*). *Ita Sir. xxx.* 20, 29. *et ibidem Bretsch. Vide Test. Patr. p.* 581. δι᾽ ἁμαρτιας ασεβων κρισεις εγειρονται, ανηρ δε πανουργος κατασβεσει αυτας. *Prov. xxviii.* 2. ὡς βαλανος ὁταν εκπεσῃ εκ της θηκης αυτης. *Esa. vi.* 13. *Zach. xiii.* 8. [*Jos. Bell. Jud. passim.*]

23 Τοτε εαν τις ὑμιν ειπῃ, Ιδου, ὡδε ὁ Χριστος, η ὡδε, μη πιστευσητε.

—και μη πιστευετε αυτῳ. 2 *Par. xxxii.* 15. μη πιστευσῃς εν αυτοις, ὁτι λαλησουσι. *Jer. xii.* 6. *Conf. Marc. xiii.* 21. *Luc. xvii.* 23. *xxi.* 8. [*Jos. Ant. xx.* 8. 6. *Bell. Jud. ii.* 13. 4.]

24 Εγερθησονται γαρ ψευδοχριστοι και ψευδοπροφηται, και δωσουσι σημεια μεγαλα και τερατα, ὡστε πλανησαι, ει δυνατον, και τους εκλεκτους.

και εδωκε Κυριος σημεια και τερατα μεγαλα. *Deut. vi.* 22. *xxix.* 3. δοτε ἡμιν σημειον η τερας. *Exod. vii.* 9. *Esa. vii.* 14. *viii.* 18.

και τους ἁγιους Ὑψιστου πλανησει. *Dan. vii.* 25. *Ald. Comp.* και εκλεκτοι ανισχυες εσονται [σκανδαλισθησονται. *Aq.*] *Esa. xl.* 30. *Conf. Marc. xiii.* 22. 2 *Pet. iii.* 17. και αναστησονται οἱ εκλεκτοι αυτου, και ουκ εσται ισχυς του στηναι. *Dan. xi.* 15. εαν αναστη εν σοι προφητης—και δῳ σοι σημειον η τερας, κ.τ.λ. *Deut. xiii.* 1-3.

25 Ιδου, προειρηκα ὑμιν.

τις ὡσπερ εγω;—και τα επερχομενα προ του ελθειν, κ. τ. λ. *Esa. xliv.* 7, 8. *xlviii.* 5, 6. [προειρηκα. *Jos. Bell. Jud. vi.* 2. 1.]

26 Εαν ουν ειπωσιν ὑμιν, Ιδου, εν τῃ ερημῳ εστι, μη εξελθητε, Ιδου, εν τοις ταμειοις, μη πιστευσητε.

φωνη βοωντος εν τῃ ερημῳ, κ. τ. λ. *Esa. xl.* 3. εν τοις ταμειοις. *Conf. Gen. xliii.* 30. μη πιστευσῃς. *Jer. xii.* 6.

27 Ὡσπερ γαρ ἡ αστραπη εξερχεται απο ανατολων και φαινεται ἑως δυσμων, οὑτως εσται και ἡ παρουσια του υἱου του ανθρωπου.

και Κυριος εσται επ᾽ αυτους, και εξελευσεται ὡς αστραπη. *Zach. ix.* 14. απο ανατολων ἡλιου μεχρι δυσμων. *Ps. xlix.* 1. ὡσαυτως και αστραπη ὁταν επιφανῃ ευοπτος εστι. *Epist. Jer.* 61. συνιδων —την των πληθων παρουσιαν. 2 *Mac. xv.* 21. *viii.* 12. οὑτως εσται. *Obd.* 15. και τις ὑπομενει ἡμεραν εισοδου αυτου; κ. τ. λ. *Mal. iii.* 2. *iv.* 5. *Conf. sup.* 3.

28 Ὁπου γαρ εαν ῃ το πτωμα, εκει συναχθησονται οἱ αετοι.

το πτωμα του λεοντος. *Jud. xiv.* 8. νεοσσοι δε αυτου φυρονται εν αἱματι, οὑ δ᾽ αν ωσι τεθνεωτες, παραχρημα εὑρισκονται. *Job. xxxix.* 30. συναχθησονται επ᾽ αυτους λαοι. *Ose. x.* 10. *Mich. ii.* 2. *Conf. Luc. xvii.* 37. *Amos. ix.* 1-4. *Jer. xvi.* 16.

29 Ευθεως δε μετα την θλιψιν των ἡμερων εκεινων, ὁ ἡλιος σκοτισθησεται, και ἡ σεληνη ου δωσει το φεγγος αὑτης, και οἱ αστερες πεσουνται απο του ουρανου, και αἱ δυναμεις των ουρανων σαλευθησονται.

και σκοτισθησεται του ἡλιου ανατελλοντος, κ. τ. λ. *Esa. xiii.* 10. *Eccles. xii.* 2. ἡμεραι θλιψεως μου. 2 *Reg. xxii.* 19. *Ps. lviii.* 19. *Gen. xxxv.* 3. και σεισθησεται ὁ ουρανος· ὁ ἡλιος και ἡ σεληνη συσκοτασουσι, και αστρα δυσουσι το φεγγος αυτων. *Joel. ii.* 10. *Nah. i.* 5. προσεκυνησε πασῃ τῃ δυναμει του ουρανου. 4 *Reg. xxi.* 3. και ἡ σεληνη ου δωσει το φως αυτης. *Esa. xiii.* 10. ευθεως. *Job. v.* 3. τακησονται πασαι αἱ δυναμεις των ουρανων—και παντα τα αστρα πεσειται. *Esa. xxxiv.* 4. *Conf. Marc. xiii.* 24-26. *Luc. xxi.* 25. *Ezech. xxxii.* 7. *Esa. xiii.* 10. *Joel. ii.* 31. *Amos. v.* 20. *Sophon. i.* 14.

30 Και τοτε φανησεται το σημειον του ὑιου του ανθρωπου εν
τῳ ουρανῳ· και τοτε κοψονται πασαι αἱ φυλαι της γης, και
οψονται τον ὑιον του ανθρωπου, ερχομενον επι των νεφελων του
ουρανου μετα δυναμεως και δοξης πολλης.

βασιλεα μετα δοξης οψεσθε. *Esa. xxxiii.* 17. και κοψεται ἡ γη κατα φυλας φυλας. *Zach. xii.* 12. πασαι αἱ φυλαι της γης. *Gen. xii.* 3. και ιδου, μετα των νεφελων του ουρανου, ὡς ὑιος ανθρωπου ερχομενος, κ. τ. λ. *Dan. vii.* 13. επι δε σε φανησεται Κυριος, κ. τ. λ. *Esa. lx.* 2. του ιδειν την δυναμιν σου και την δοξαν σου. *Ps. lxii.* 2. *Esa. vii.* 14. *Conf. Matt. xxvi.* 64. *Marc. xiv.* 62. *Apoc. xiv.* 14. *Zach. xii.* 10. και επιβλεψονται προς με, κ. τ. λ.

31 Και αποστελει τους αγγελους αὑτου μετα σαλπιγγος φω-
νης μεγαλης, και επισυναξουσι τους εκλεκτους αυτου εκ των
τεσσαρων ανεμων, απ᾽ ακρων ουρανων ἑως ακρων αυτων.

ανηγαγον την κιβωτον—και μετα φωνης σαλπιγγος. 2 *Reg. vi.* 15. και εσται εν τῃ ἡμερᾳ εκεινῃ, σαλπιουσι τῃ σαλπιγγι τῃ μεγαλῃ, κ. τ. λ. *Esa. xxvii.* 13. διασπορα ὑμων απ᾽ ακρων του ουρανου. *Neh. i.* 9. του ιδειν εν τῃ χρηστοτητι των εκλεκτων σου. *Ps. cv.* 5. εκ των τεσσαρων ανεμων—συναξω ὑμας. *Zach. ii.* 6. *Ezech. xxxvii.* 21. απ᾽ ακρου του ουρανου ἑως ακρου του ουρανου. *Deut. xxx.* 4. *iv.* 32. *Conf.* 1 *Cor. xv.* 52. 1 *Thess. iv.* 16. και αρει σημειον εις τα εθνη, και συναξει τους απολομενους Ισραηλ—εκ των τεσσαρων πτερυγων της γης. *Esa. xi.* 12.

32 Απο δε της συκης μαθετε την παραβολην· Ὁταν ηδη ὁ κλα-
δος αυτης γενηται ἁπαλος, και τα φυλλα εκφυῃ, γινωσκετε
ὁτι εγγυς το θερος·

και εν θερει και εν εαρι εσται οὑτως. *Zach. xiv.* 8. ἁπαλα λαχανα. *Lev. ii.* 14. *Aq.* νοησει τε παραβολην και σκοτεινον λογον. *Prov. i.* 6. μαθετε ακουειν. *Esa. xxviii.* 19. [σταχυας εκφυεντας. *Jos. Ant. ii.* 5. 5.] [εκφυναι· εκβλαστησαι, γεννηθηναι. *Hesych.*]

33 Οὑτω και ὑμεις, ὁταν ιδητε παντα ταυτα, γινωσκετε ὁτι
εγγυς εστιν επι θυραις.

εκαθισεν επι θυραις. *Prov. ix.* 14. *Cant. vii.* 13. ὁτι εγγυς ἡ ἡμερα του Κυριου. *Ezech. xxx.* 3. *Joel. i.* 15. *ii.* 1. *Sophon. i.* 7. *Conf. Marc. xiii.* 29. *Luc. xxi.* 29. *Jacob. v.* 9. τα ακρα της απαλοτητος. *Ezech. xvii.* 4. [ὁταν ὁ πολεμος εγγυς και επι θυραις ων ηδη τυγχανει. *Philo. De Agric. p.* 208.] Ιδου το περας ἡκει. Ιδου ἡ ἡμερα Κυριου, κ. τ. λ. *Ezech. vii.* 5, 6.

34 Αμην λεγω ὑμιν, ου μη παρελθῃ ἡ γενεα αὑτη, ἑως αν παντα ταυτα γενηται.

ὡσει χλοη παρελθοι. *Ps. lxxxix.* 5. και παρηλθον, και ιδου ουκ ην. *xxxvi.* 36. *Esa. li.* 6. διηλθε θερος, παρηλθεν αμητος, και ἡμεις ου διεσωθημεν. *Jer. viii.* 20. ου μη ὑπαρξῃ ἁμαρτωλος. *Ps. xxxvi.* 10.

35 Ὁ ουρανος και ἡ γη παρελευσονται, οἱ δε λογοι μου ου μη παρελθωσι.

ἡ εξουσια αυτου, εξουσια αιωνιος, ἡτις ου παρελευσεται. *Dan. vii.* 14. αυτοι (οἱ ουρανοι) απολουνται, συ δε διαμενεις. *Ps. ci.* 26. εις τον αιωνα Κυριε ὁ λογος σου. *cxviii.* 89. 2 *Pet. iii.* 7. *Esa. li.* 6.

36 Περι δε της ἡμερας εκεινης και της ὡρας ουδεις οιδεν, ουδε οἱ αγγελοι των ουρανων, ει μη ὁ πατηρ μου μονος.

Conf. Marc. xiii. 32. *Act. i.* 7. *Luc. xvii.* 20. ἡ ἡμερα εκεινη γνωστη τῳ Κυριῳ, κ. τ. λ. *Zach. xiv.* 7. *Conf. Deut. xxix.* 29.

37 Ὡσπερ δε αἱ ἡμεραι του Νωε, οὑτως εσται και ἡ παρουσια του ὑιου του ανθρωπου.

37-39.] ὡσπερ—οὑτως. *Eccles. v.* 15. οὑτως εσται. *Obd.* 15. *Job. xxii.* 15-17. *Conf. Luc. xvii.* 26. *Gen. vi.* 3, 4. 1 *Pet. iii.* 20.

38 Ὡσπερ γαρ ησαν εν ταις ἡμεραις ταις προ του κατακλυσμου, τρωγοντες και πινοντες, γαμουντες και εκγαμιζοντες, αχρι ἡς ἡμερας εισηλθε Νωε εις την κιβωτον,

εν ἡμεραις Οζιου—προ δυο ετων του σεισμου. *Amos. i.* 1. μετα τον κατακλυσμον. *ix.* 28. και την πολιν, και το ἁγιον διαφθερει συν τῳ ἡγουμενῳ τῳ ερχομενῳ, και εκκοπησονται εν τῳ κατακλυσμῳ, κ. τ. λ. *Dan. ix.* 26. *LXX.* αχρι αιωνος; 2 *Mac. xiv.* 15. οἱ καθευδοντες επι κλινων ελεφαντινων, και κατασπαταλωντες επι ταις στρωμναις αυτων, κ. τ. λ. *Amos. vi.* 3-6. *Conf. Gen. vii.* 1. εισελθε συ και πας ὁ οικος σου εις την κιβωτον, ὁτι σε ειδον δικαιον εναντιον μου εν τῃ γενεᾳ ταυτῃ.

39 Και ουκ εγνωσαν, ἑως ηλθεν ὁ κατακλυσμος και ηρεν ἁπαντας, οὑτως εσται και ἡ παρουσια του ὑιου του ανθρωπου.

λεγοντες, Ειρηνη, ειρηνη· και που εστιν ειρηνη; κ. τ. λ. *Jer. vi.* 14, 15. ανδρες δικαιοι αιρονται—ηρται ὁ δικαιος. *Esa. lvii.* 1. *Conf. Esa. xxii.* 12-14. του αραι το γενος Ιακωβ. 1 *Mac. v.* 2.

40 Τοτε δυο εσονται εν τῳ αγρῳ· ὁ εἱς παραλαμβανεται, και ὁ εἱς αφιεται.

και ληψομαι ὑμας, ἑνα εκ πολεως, και δυο εκ πατριας, κ.τ.λ. *Jer. iii.* 14. *Hab. ii.* 4. *Gen. xix.* 16. *Conf. Luc. xvii.* 35.

41 Δυο αληθουσαι εν τῳ μυλωνι· μια παραλαμβανεται, και μια αφιεται.

φωνης της αληθουσης. *Eccles. xii.* 4. μιαν—μιαν. *Conf. Lev. xii.* 8. *Esa. xlvii.* 2. *Exod. xi.* 5.

42 Γρηγορειτε ουν, ὁτι ουκ οιδατε ποιᾳ ὡρᾳ ὁ Κυριος ὑμων ερχεται.

επεταξε—τοις παρ᾽ αυτου γρηγορειν. 1 *Mac. xii.* 27. *Jer. i.* 12. *Conf. Marc. xiii.* 33-35. *Luc. xxi.* 34. 1 *Thess. v.* 2. 2 *Pet. iii.* 10.

43 Εκεινο δε γινωσκετε, ὁτι ει ᾐδει ὁ οικοδεσποτης ποιᾳ φυλακῃ ὁ κλεπτης ερχεται, εγρηγορησεν αν, και ουκ αν ειασε διορυγηναι την οικιαν αὑτου.

ουκ εᾳ με αναπνευσαι. *Job. ix.* 18. και φυλακη εν νυκτι. *Ps. lxxxix.* 4. διωρυξεν εν σκοτει οικιας. *Job. xxiv.* 16. *Prov. vii.* 19. ου μη εασῃ. *Dan. ii.* 44. *LXX. Conf. Apoc. iii.* 3. *Exod. xxii.* 2, 3. 4 *Reg. xi.* 6. *Hab. ii.* 1. ᾐδει. *Gen. xix.* 33.

44 Δια τουτο και ὑμεις γινεσθε ἑτοιμοι· ὁτι ᾗ ὡρᾳ ου δοκειτε, ὁ υἱος του ανθρωπου ερχεται.

γινεσθε ἑτοιμοι. *Exod. xix.* 15. *xxxiv.* 2. 1 *Thess. v.* 6. 2 *Pet. iii.* 12.

45 Τις αρα εστιν ὁ πιστος δουλος και φρονιμος, ὁν κατεστησεν ὁ κυριος αυτου επι της θεραπειας αὑτου, του διδοναι αυτοις την τροφην εν καιρῳ;

μνησθειη των δουλων αυτου των πιστων. 2 *Mac. i.* 2. και κατεστησας αυτον επι τα εργα των χειρων σου. *Ps. viii.* 6. δουναι την τροφην αυτοις ευκαιρον. *ciii.* 27. εν καιρῳ. *i.* 3. και κατεστησεν αυτον επι του οικου αυτου. *Gen. xxxix.* 4. *Exod. ii.* 14. *Dan. ii.* 48. *Conf. Luc. xii.* 14, 42, 43, *etc. Gal. vi.* 10. *Act. xx.* 28. Ω ποιμενες Ισραηλ, μη βοσκουσι ποιμενες ἑαυτους; ου τα προβατα βοσκουσιν οἱ ποιμενες; *Ezech. xxxiv.* 2. εχαρη δε Φαραω και ἡ θεραπεια αυτου. *Gen. xlv.* 16. μη εὑρησομεν ανθρωπον τοιουτον; κ. τ. λ. *Gen. xli.* 38. ὁ θεραπων μου Μωυσης—πιστος εστι. *Num. xii.* 7.

46 Μακαριος ὁ δουλος εκεινος, ὁν ελθων ὁ κυριος αυτου εὑρησει ποιουντα οὑτως.

μακαριος ανθρωπος ὁς εὑρε σοφιαν. *Prov. iii.* 13. *viii.* 34. μακαριος ὁ ὑπομενων, κ. τ. λ. *Dan. xii.* 12, 13. *Conf. Apoc. xvi.* 15.

47 Αμην λεγω ὑμιν, Ὁτι επι πασι τοις ὑπαρχουσιν αὑτου καταστησει αυτον.

και ειπεν, ὁτι—. *Gen. xxix.* 33. *Jos. ii.* 24. τα ὑπαρχοντα. *Gen.*

xii. 5. *xiii.* 6. *xxxix.* 4. 2 *Par. xxxi.* 3. *Conf. Luc. xxii.* 29, 30. *Dan. xii.* 3. Ιδου καθιστημι σε σημερον επι παση γη Αιγυπτου. *Gen. xli.* 41, 43.

48 Εαν δε ειπη ὁ κακος δουλος εκεινος εν τη καρδια αὑτου, Χρονιζει ὁ κυριος μου ελθειν,

ειπον εγω εν καρδια μου. *Eccles. ii.* 1. ἡ λεγουσα εν καρδια αυτης, εγω ειμι. *Sap. ii.* 15. *Deut. ix.* 4. ὁτι ερχομενος ἡξει, και ου μη χρονιση. *Hab. ii.* 3. *Dan. ix.* 19. *Conf. Esa. xxxii.* 6. λεγοντες, μακραι αἱ ἡμεραι, απολωλεν ὁρασις, κ. τ. λ. *Ezech. xii.* 22, 23.

49 Και αρξηται τυπτειν τους συνδουλους, εσθιειν δε και πινειν μετα των μεθυοντων,

αυτος ανακειται, εσθιει, και πινει. 1 *Esd. iv.* 10. μη μεθυκεσθε εν οινοις. *Prov. xxiii.* 30. ὁρα ανθρωπον Αιγυπτιον τυπτοντα τινα Ἑβραιον. *Exod. ii.* 11. Ιδου το γαλα κατεσθετε, και τα ερια περιβαλλεσθε, κ. τ λ. *Ezech. xxxiv.* 3. αρξηται. *Conf. Gen. xviii.* 27.

50 Ἡξει ὁ κυριος του δουλου εκεινου εν ἡμερα ἡ ου προσδοκα, και εν ὡρα ἡ ου γινωσκει,

προσεδοκων το σωτηριον σου, Κυριε. *Ps. cxviii.* 166. ἡ ἡμερα ἡν προσεδοκωμεν. *Thren. ii.* 16. και οφθη εν τη ευφροσυνη αυτων, και εκεινοι αισχυνθησονται. *Esa. lxvi.* 5. *Conf. Prov. xxix.* 1.

51 Και διχοτομησει αυτον, και το μερος αυτου μετα των ὑποκριτων θησει· εκει εσται ὁ κλαυθμος και ὁ βρυγμος των οδοντων.

μετα μοιχων την μεριδα σου ετιθεις. *Ps. xlix.* 18. *Dan. iv.* 12, 20. = ἡμισευσε. *Gen. xxxiii.* 1. *Aq. Vide Grot. in loc.* αὑτη ἡ μερις των προνομευσαντων ὑμας, και κληρονομια τοις ὑμας κληρονομησασι. *Esa. xvii.* 14. ὑποκριτων. *Job. xxxiv.* 30. *Sir. i.* 27, 28. ζωην δε και ελεος εθου παρ' εμοι. *Job. x.* 12. σχισει σε μεσον. *Sus.* 55. πρισαι σε μεσον. 59. εκει. *Ps. xxxv.* 12. ὁτι αξιοι εισι της εκεινου μεριδος ειναι. *Sap. i.* 16. αὑτη ἡ μερις ανθρωπου ασεβους παρα Κυριου, και κτημα ὑπαρχοντων αυτω παρα του επισκοπου. *Job. xx.* 29. τις αναγγελει ὑμιν ὁτι πυρ καιεται; τις αναγγελει ὑμιν τον τοπον τον αιωνιον; *Esa. xxxiii.* 14. *Conf. cap. viii.* 12. *xiii.* 42.

Aug. 1. 1851.

ΚΕΦ. κε. 25.

ΤΟΤΕ ὁμοιωθησεται ἡ βασιλεια των ουρανων δεκα παρθενοις, αἱτινες λαβουσαι τας λαμπαδας αὑτων εξηλθον εις απαντησιν του νυμφιου.

και ελαβε λαμπαδας. Jud. xv. 4. και εξηλθεν εις απαντησιν αυτου. 2 Par. xix. 2. et pass. [Conf. 4 Esd. ii. 38. signati in convivio (ad conviv.) Domini.] ἡ βασιλεια των ουρανων. Dan. ii. 44. vii. 14. 27. ix. 25. περιβεβλημενη, πεποικιλμενη, απενεχθησονται τω βασιλει παρθενοι οπισω αυτης, αἱ πλησιον αυτης απενεχθησονται σοι. Ps. xliv. 14. Conf. Ezech. xvii. 2. xxiv. 3.

2 Πεντε δε ησαν εξ αυτων φρονιμοι, και πεντε μωραι.

ὁ καλαθος ὁ εἱς συκων χρηστων σφοδρα—και ὁ καλαθος ὁ ἑτερος συκων πονηρων σφοδρα, κ. τ. λ. Jer. xxiv. 2. Conf. 1 Joan. ii. 19.

3 Αἱτινες μωραι, λαβουσαι τας λαμπαδας ἑαυτων, ουκ ελαβον μεθ' ἑαυτων ελαιον·

Conf. Esa. xlviii. 1, 2. Ezech. xxxiii. 31. και ληψεσθε—ελαιον εις την φαυσιν. Exod. xxv. 6. xxvii. 20.

4 Αἱ δε φρονιμοι ελαβον ελαιον εν τοις αγγειοις αὑτων μετα των λαμπαδων αὑτων.

αγγεια του ελαιου. Num. iv. 9. Conf. Ps. xlv. 7. Zach. iv. 2, 3.

5 Χρονιζοντος δε του νυμφιου, ενυσταξαν πασαι και εκαθευδον.

ταχυ ερχεται, και ου χρονιει. Esa. xiv. 1. Hab. ii. 3. ενυσταξεν ἡ ψυχη μου απο ακηδιας. Ps. cxviii. 28. μηδε νυσταξῃ ὁ φυλασσων σε. Ps. cxx. 3, 4. Sir. xxxi. 2. Conf. Jac. iii. 2. Rom. xiii. 11. νυμφιος. Conf. Esa. lxii. 5. Joel. ii. 16.

6 Μεσης δε νυκτος κραυγη γεγονεν, Ιδου, ὁ νυμφιος ερχεται, εξερχεσθε εις απαντησιν αυτου.

και ανεστη μεσης της νυκτος. 3 Reg. iii. 20. ιδου ὁ βασιλευς ερχεται, κ. τ. λ. Zach. ix. 9. Conf. 1 Thess. iv. 16. Ps. xlix. 3-5. Mal. iii. 1, 2. φωνη νυμφιου. Jer. xl. 11.

7 Τοτε ηγερθησαν πασαι αἱ παρθενοι εκειναι, και εκοσμησαν τας λαμπαδας αὑτων.

ηγερθη δε Φαραω. και ενυπνιασθη. Gen. xli. 4, 5. και εκοσμησε την κεφαλην αυτης. 4. Reg. ix. 30. Ald. Comp. κοσμησον τραπεζαν. Sir. xxix. 26. Conf. 1 Reg. iii. 3.

8 Αἱ δε μωραι ταις φρονιμοις ειπον, Δοτε ἡμιν εκ του ελαιου ὑμων, ὁτι αἱ λαμπαδες ἡμων σβεννυνται.

και φως ασεβων σβεσθησεται—ὁ δε λυχνος επ' αυτῳ σβεσθησεται. Job. xviii. 5, 6. φως δικαιων διαπαντος. Prov. xiii. 9. λαμπτηρ δε ασεβων σβεσθησεται. xxiv. 20. Conf. Jud. vii. 16-20.

9 Απεκριθησαν δε αἱ φρονιμοι, λεγουσαι, Μηποτε ουκ αρκεσῃ

ἡμιν και ὑμιν· πορευεσθε δε μαλλον προς τους πωλουντας, και αγορασατε ἑαυταις.

ἑκαστος το αρκουν αυτῳ συναριθμησεται. *Exod. xii.* 4. μηποτε ουκ εστι θεοσεβεια εν τῳ τοπῳ τουτῳ. *Gen. xx.* 11. *Ald. xxiv.* 5, 39. *Conf. Hoogev. p.* 519. οἱ διψωντες πορευεσθε εφ' ὑδωρ, κ. τ. λ. *Esa. lv.* 1. *Conf. Luc. xii.* 35. 2 *Tim. ii.* 25. *Apoc. iii.* 18. [μηποτε δια την αυτην αιτιαν. *Philo. De Cain. et Abel. p.* 142.]

10 Απερχομενων δε αυτων αγορασαι, ηλθεν ὁ νυμφιος· και αἱ ἑτοιμοι εισηλθον μετ' αυτου εις τους γαμους, και εκλεισθη ἡ θυρα.

Conf. Luc. xiii. 25. και ιδου θρους, και αποσκευη πολλη, και ὁ νυμφιος εξηλθε, και οἱ φιλοι αυτου. 1 *Mac. ix.* 39. ετι αυτων γρηγορουντων, κλειεσθωσαν αἱ θυραι. *Neh. vii.* 3. και εστωσαν ἑτοιμοι εις την ἡμεραν την τριτην. *Exod. xix.* 11. *Esa. lxi.* 10.

11 Ὑστερον δε ερχονται και αἱ λοιπαι παρθενοι, λεγουσαι, Κυριε, κυριε, ανοιξον ἡμιν.

12 Ὁ δε αποκριθεις ειπεν, Αμην λεγω ὑμιν, ουκ οιδα ὑμας.

αποκριθεις δε Ιωσηφ, ειπε. *Gen. xl.* 18. *et pass.* ὁτι γινωσκει Κυριος ὁδους δικαιων. *Ps. i.* 6. 2 *Tim. ii.* 19. *Esa. xxii.* 22.

13 Γρηγορειτε ουν, ὁτι ουκ οιδατε την ἡμεραν ουδε την ὡραν, εν ᾑ ὁ υἱος του ανθρωπου ερχεται.

επεταξε—τοις παρ' αυτου, γρηγορειν. 1 *Mac. xii.* 27. *Conf. Luc. xxi.* 36. 1 *Cor. xvi.* 13. 1 *Pet. v.* 8. *Apoc. xvi.* 15.

14 Ὡσπερ γαρ ανθρωπος αποδημων εκαλεσε τους ιδιους δουλους, και παρεδωκεν αυτοις τα ὑπαρχοντα αυτου·

εδωκεν αυτῳ ὁ Θεος πλουτον και ὑπαρχοντα. *Eccles. v.* 18. ὁ εαν παραδιδως, εν αριθμῳ και σταθμῳ. *Sir. xlii.* 7. *Conf. Luc. xix.* 12.

15 Και ᾧ μεν εδωκε πεντε ταλαντα, ᾧ δε δυο, ᾧ δε ἑν, ἑκαστῳ κατα την ιδιαν δυναμιν· και απεδημησεν ευθεως.

και τι ποιησω τα ἑκατον ταλαντα ἁ εδωκα. 2 *Par. xxv.* 9. δεκα ταλαντα—ἁ παρεθεμην Γαβαηλῳ. *Tob. iv.* 20. *Rom. xii.* 6. 1 *Cor. xii.* 7. *Ephes. iv* 11. κατα δυναμιν σου. *Sir. xxix.* 20. ὡς σοι ὑπαρχοι κατα το πληθος, ποιησον εξ αυτων ελεημοσυνην· εαν ολιγον σοι ὑπαρχῃ, κατα το ολιγον μη φοβου ποιειν ελεημοσυνην. *Tob. iv.* 8. *Alex.* [απεδημησε. *Jos. Ant. viii.* 13. 5.]

16 Πορευθεις δε ὁ τα πεντε ταλαντα λαβων, ειργασατο εν αυτοις, και εποιησεν αλλα πεντε ταλαντα.

εργαζεσθε το εργον ὑμων προ καιρου. Sir. li. 30. *εργαζομενος εν πασι. x.* 27. *Conf. Esa. xxiii.* 18. *xlix.* 23. *Conf. Luc. xix.* 13. *και μνησθηση* Κυριου *του* Θεου *σου, ὁτι αυτος σοι διδωσιν ισχυν του ποιησαι δυναμιν, κ. τ. λ. Deut. viii.* 18.

17 Ὡσαυτως και ὁ τα δυο, εκερδησε και αυτος αλλα δυο.

18 Ὁ δε το ἑν λαβων, απελθων ωρυξεν εν τῃ γῃ, και απεκρυψε
το αργυριον του κυριου αὑτου.

σοφια κεκρυμμενη και θησαυρος αφανης. Sir. xx. 30. *Prov. xviii.* 8, 9.

19 Μετα δε χρονον πολυν ερχεται ὁ κυριος των δουλων εκεινων,
και συναιρει μετ᾽ αυτων λογον.

μετ᾽ ου πολυν δε χρονον. 2 *Mac. vi.* 1. *του αποδιδοναι αυτοις τους σατραπας λογον. Dan. vi.* 2. 1 *Mac. x.* 40. *εμον το αργυριον, και εμον το χρυσιον. Agg. ii.* 8. *Conf. cap. xviii.* 23.

20 Και προσελθων ὁ τα πεντε ταλαντα λαβων, προσηνεγκεν
αλλα πεντε ταλαντα, λεγων, Κυριε, πεντε ταλαντα μοι παρ-
εδωκας· ιδε, αλλα πεντε ταλαντα εκερδησα επ᾽ αυτοις. talento

21 Εφη δε αυτῳ ὁ κυριος αυτου, Ευ, δουλε αγαθε και πιστε,
επι ολιγα ης πιστος, επι πολλων σε καταστησω· εισελθε εις
την χαραν του κυριου σου.

καταστησον Κυριε *νομοθετην επ᾽ αυτους. Ps. ix.* 20. *xliv.* 18. *Gen. xli.* 33. *εισελευσονται εις την καταπαυσιν μου. Ps. xciv.* 11. *Conf. Esa. lxi.* 7. *Luc. xxii.* 29, 30. *Gen. xxxix.* 4. 6. 2 *Cor. i.* 7. *Conf. Est. ix.* 18. *ἱνα ἡ χαρα ἡ εμη εν ὑμιν μεινῃ. Joan. xv.* 11. *συνεργοι της χαρας ὑμων.* 2 *Cor. i.* 24. *Conf. Ps. xv.* 11.

22 Προσελθων δε και ὁ τα δυο ταλαντα λαβων ειπε, Κυριε,
δυο ταλαντα μοι παρεδωκας· ιδε, αλλα δυο ταλαντα εκερδησα
επ᾽ αυτοις.

23 Εφη αυτῳ ὁ κυριος αυτου, Ευ, δουλε αγαθε και πιστε, επι
ολιγα ης πιστος, επι πολλων σε καταστησω· εισελθε εις την
χαραν του κυριου σου.

και κατεστησας αυτον επι τα εργα των χειρων σου. Ps. viii. 6. *Dan. ii.* 48. *ευ γεγονε. Ezech. xxi.* 15. [*και εις την χαραν αυτου* [Θεου] *εσῃ. Ac. Thom. c.* 36. *ἱνα την εν ολιγοις πιστιν δελεαρ καθεις, αγκιστρευσηται την εν μειζοσιν απιστιαν. Philo. de Jud. p.* 720.] *τις εξουδενωσεν εις ἡμερας μικρας; Zach. iv.* 10.

24 Προσελθων δε και ὁ το ἑν ταλαντον ειληφως ειπε, Κυριε,

εγνων σε ὁτι σκληρος ει ανθρωπος, θεριζων ὁπου ουκ εσπειρας,
και συναγων ὁθεν ου διεσκορπισας·

και ὁ ανθρωπος σκληρος και πονηρος. 1 *Reg.* *xxv.* 3. σπειρατε πυρους, και ακανθας θεριστε. *Jer.* *xii.* 13. *Esa.* *xix.* 4. ὁθεν, *ubi.* *Exod.* *xxx.* 36. και κατεδυναστευον οἱ Αιγυπτιοι τους υἱους Ισραηλ βιᾳ. Και κατωδυνων αυτων την ζωην εν τοις εργοις τοις σκληροις. *Exod.* *i.* 13, 14. ειληφα. *Lev.* *vii.* 24. τι ἱκανος, ὁτι δουλευσομεν αυτῳ; και τις ωφελεια, ὁτι απαντησομεν αυτῳ; κ. τ. λ. *Job.* *xxi.* 15, 16. και διασκορπισον επι την πολιν. *Ezech.* *x.* 2. *Esa.* *xxviii.* 9. *Aq.* σπειρειν. *LXX.* *Theod.* συναγων. *Conf.* *Esa.* *xxiii.* 18. *xxxix.* 16.

25 Και φοβηθεις, απελθων εκρυψα το ταλαντον σου εν τῃ γῃ·
ιδε, εχεις το σον.

ὁτι σα τα παντα, και εκ των σων δεδωκαμεν σοι. 1 *Par.* *xxix.* 14.

26 Αποκριθεις δε ὁ κυριος αυτου ειπεν αυτῳ, Πονηρε δουλε και
οκνηρε, ηδεις ὁτι θεριζω ὁπου ουκ εσπειρα, και συναγω ὁθεν ου
διεσκορπισα;

ελεγξαι σε το σον στομα, και μη εγω, κ. τ. λ. *Job.* *xv.* 6. το στομα σου απεκριθη κατα σου, κ.τ.λ. 2 *Reg.* *i.* 16.

27 Εδει ουν σε βαλειν το αργυριον μου τοις τραπεζιταις· και
ελθων εγω εκομισαμην αν το εμον συν τοκῳ.

κομιουμαι τον σιτον μου καθ᾽ ὡραν αυτου. *Ose.* *ii.* 9. μετα τοκου εδωκε, και πλεονασμον ελαβε. *Ezech.* *xviii.* 13. κομισασθαι παρα της γυναικος τον αρραβωνα. *Gen.* *xxxviii.* 20. *Esa.* *lvii.* 11. [τραπεζιτης. *Jos.* *Ant.* *xii.* 2. 3.]

28 Αρατε ουν απ᾽ αυτου το ταλαντον, και δοτε τῳ εχοντι τα
δεκα ταλαντα.

δεκα ταλαντα αργυριου. 4 *Reg.* *v.* 5. *Conf.* *Luc.* *xix.* 24.

29 Τῳ γαρ εχοντι παντι δοθησεται, και περισσευθησεται· απο
δε του μη εχοντος, και ὁ εχει, αρθησεται απ᾽ αυτου.

περισσευων τον πλησιον αυτου δικαιος. *Prov.* *xii.* 26. *Aq.* *Conf.* *Marc.* *iv.* 25. *Luc.* *viii.* 18. *Joan.* *xv.* 2. *Apoc.* *xxii.* 11. εξαλειφθητωσαν εκ βιβλου ζωντων, και μετα δικαιων μη γραφητωσαν. *Ps.* *lxviii.* 28. *Conf.* *Ose.* *ii.* 9. *Thren.* *ii.* 6.

30 Και τον αχρειον δουλον εκβαλλετε εις το σκοτος το εξωτε-
ρον· εκει εσται ὁ κλαυθμος και ὁ βρυγμος των οδοντων.

εν τῃ αχρειοτητι ελαττωσις και ενδεια μεγαλη. *Tob.* *iv.* 13. ηχρειωθησαν. *Ps.* *xiii.* 3. και εσομαι αχρειος εν οφθαλμοις σου. 2 *Reg.* *vi.* 22. *Ep.* *Jer.* 17. εις γην σκοτους αιωνιου, οὑ ουκ εστι φεγγος.

Job. x. 22. *Sap.* xvii. 21. *Sir.* xx. 30. *Conf. Matt.* viii. 12. *Luc.* xvii. 10. *Jer.* xv. 1, 2. *Ezech.* xv. 5.

31 Ὁταν δε ελθῃ ὁ υἱος του ανθρωπου εν τῃ δοξῃ αὑτου, και παντες οἱ ἁγιοι αγγελοι μετ᾽ αυτου, τοτε καθισει επι θρονου δοξης αὑτου,

εκαθισας επι θρονου ὁ κρινων δικαιοσυνην. *Ps.* ix. 4. xx. 5. *Esa.* vi. 1. και ιδου, μετα των νεφελων του ουρανου, ὡς υἱος ανθρωπου ερχομενος. *Dan.* ix. 13, 14. και εσται εις θρονον δοξης. *Esa.* xxii. 23. και οφθησεται εν τῃ δοξῃ αυτου. *Ps.* ci. 16. ὁταν βασιλευς δικαιος καθισῃ επι θρονου. *Prov.* xx. 8. *Conf. Esa.* lvi. 1. *Dan.* vii. 9. παντες αγγελοι μου. *Job.* xxxviii. 7. i. 6. ii. 1. η ει τινα αγγελων ἁγιων οψῃ. v. 1. και παντες οἱ ἁγιοι μετ᾽ αυτου. *Zach.* xiv. 5. 2 *Thess.* i. 7. *Apoc.* i. 7. *Heb.* i. 7. *Juda.* 14. *Marc.* viii. 38. *Luc.* ix. 26.

32 Και συναχθησεται εμπροσθεν αυτου παντα τα εθνη, και αφοριει αυτους απ᾽ αλληλων, ὡσπερ ὁ ποιμην αφοριζει τα προβατα απο των εριφων·

Θεος ὑμων, ὁ αφορισας ὑμας απο παντων των εθνων. *Lev.* xx. 26. ιδου εγω διακρινω αναμεσον προβατου και προβατου, κριων και τραγων. *Ezech.* xxxiv. 17. και—ὁ ἱερευς—αφοριει αυτα. *Lev.* xiv. 12. και οψεσθε αναμεσον δικαιου, και αναμεσον ανομου, κ. τ. λ. *Mal.* iii. 18. *Conf. Rom.* xiv. 10. 2 *Cor.* v. 10. *Apoc.* xx. 12.

33 Και στησει τα μεν προβατα εκ δεξιων αὑτου, τα δε εριφια εξ ευωνυμων.

ἡμεις γαρ λαος σου και προβατα νομης σου. *Ps.* lxxviii. 13. *Conf. Gen.* xlviii. 13. *Ps.* xliv. 9. καθου εκ δεξιων μου. cix. 1.

34 Τοτε ερει ὁ βασιλευς τοις εκ δεξιων αὑτου, Δευτε οἱ ευλογημενοι του πατρος μου, κληρονομησατε την ἡτοιμασμενην ὑμιν βασιλειαν απο καταβολης κοσμου.

σπερμα ηυλογημενον ὑπο Θεου. *Esa.* lxi. 9. lxv. 23. μη και σοι ἡτοιμασθη βασιλευειν; *Esa.* xxx. 33. μη φοβου ὁτι σοι αὑτη ἡτοιμασμενη ην απο του αιωνος. *Tob.* vi. 17. και ἑτοιμασατω μοι αφ᾽ οὑ εποιησα ανθρωπον εις τον αιωνα, κ. τ. λ. *Esa.* xliv. 7. οἱ ευλογημενοι—*ver.* 41. οἱ κατηραμενοι. *Conf. Deut.* xxviii. καταβολη. 2 *Mac.* ii. 29. και κληρονομησουσιν οἱ εκλεκτοι μου. *Esa.* lxv. 9. [δια τουτο ἡ κληρονομια αυτων ᾁδης, και σκοτος, και απωλεια, και ουχ εὑρεθησονται εν ἡμερᾳ ελεου δικαιων. *Psalt. Sal.* 954, 5.] *Conf. Sap.* v. 15, 16. *Num.* xxiv. 27. 1 *Pet.* i. 3, 9.

35 Επεινασα γαρ, και εδωκατε μοι φαγειν· εδιψησα, και εποτισατε με· ξενος ημην, και συνηγαγετε με·

36 Γυμνος, και περιεβαλετε με· ησθενησα, και επεσκεψασθε με· εν φυλακη ημην, και ηλθετε προς με.

35, 36.] εαν ιδης γυμνον, περιβαλε, κ. τ. λ. *Esa. lviii.* 7. *Job. xxii.* 6. [ην, Αττικως· ημην, Ἑλληνικως. *Mœris.*] τον αρτον αυτου τω πεινωντι δωσει, και γυμνον περιβαλει. *Ezech. xviii.* 7. *Tob. iv.* 16. ποτισον με δη μικρον ὑδωρ, ὁτι εδιψησα. *Jud. iv.* 19. και συνηγαγεν αυτην εις τον οικον αυτου. 2 *Reg. xi.* 27. συναξεις αυτον ενδον εις την οικιαν σου. *Deut. xxii.* 2. *Jos. xviii.* 2. μη οκνει επισκεπτεσθαι αρρωστον. *Sir. vii.* 35. εξω δε ουκ ηυλιζετο ξενος, ἡ δε θυρα μου παντι ελθοντι ανεωκτο. *Job. xxxi.* 32. δανειζει Θεω ὁ ελεων πτωχον, κ. τ. λ. *Prov. xix.* 17.

37 Τοτε αποκριθησονται αυτω οἱ δικαιοι, λεγοντες, Κυριε, ποτε σε ειδομεν πεινωντα, και εθρεψαμεν; η διψωντα, και εποτισαμεν;

38 Ποτε δε σε ειδομεν ξενον, και συνηγαγομεν; η γυμνον, και περιεβαλομεν;

39 Ποτε δε σε ειδομεν ασθενη, η εν φυλακη, και ηλθομεν προς σε;

και τις ειμι εγω—ὁτι ισχυσαμεν, κ. τ. λ. 1 *Par. xxix.* 14.

40 Και αποκριθεις ὁ βασιλευς ερει αυτοις, Αμην λεγω ὑμιν, εφ' ὁσον εποιησατε ἑνι τουτων των αδελφων μου των ελαχιστων, εμοι εποιησατε.

και αποκριθεντες ερουσι. *Deut. xxi.* 7. *xxv.* 9. *et pass.* τι τουτο εποιησας ἡμιν; *Gen. xx.* 9. ελαχιστος. *Sap. vi.* 6. *Conf. Prov. xxi.* 13. *Heb. vi.* 10. ὁ συκοφαντων πενητα παροξυνει τον ποιησαντα αυτον, ὁ δε τιμων αυτον ελεει πτωχον. *Prov. xiv.* 31. αδελφοι. *Conf. Deut. xv. ii.* 3. τω αδελφω τω πενιχρω παρα σοι. *Exod. xxii.* 25.

41 Τοτε ερει και τοις εξ ευωνυμων, Πορευεσθε απ' εμου, οἱ κατηραμενοι, εις το πυρ το αιωνιον, το ἡτοιμασμενον τω διαβολω και τοις αγγελοις αυτου.

πορευομενον απο της γης. *Gen. viii.* 3. οἱ ευλογουντες σε, ευλογηνται, και οἱ καταρωμενοι σε κεκατηρανται. *Num. xxiv.* 9. *Conf. Esa. lxvi.* 15, 16. *xvii.* 13. αιωνιος βασανος δια πυρος. 4 *Mac. xii.* 12. *ix.* 9. ὁ διαβολος. *Job. i. Zach. iii.* 1. 1 *Par. xxi.* 1. *Sap. ii.* 24. *Luc. xiii.* 27. αποστητε απ' εμου παντες οἱ εργαζομενοι την ανο-

μιαν. Ps. vi. 8. *επικαταρατοι οἱ εκκλινοντες απο των εντολων. Ps. cxviii.* 21. *Conf. Luc. xiii.* 27. 2 *Pet. ii.* 4. *Jud.* 6. [*επι δε τους ασεβεις επαξει* Κυριος *πυρ αιωνιον. Test. XII Patr. p.* 645. *προσεχετε ἑαυτοις απο του* Σατανα *και των πνευματων αυτου. p.* 657. *ἡ κληρονομια αυτων ᾅδης, και σκοτος, και απωλεια. Psalt. Sal. xiv.* 6.] *Conf. Jer. xvii.* 1. *Esa. xxxiii.* 14.

42 Επεινασα *γαρ, και ουκ εδωκατε μοι φαγειν· εδιψησα, και ουκ εποτισατε με·*

ουδε ὑδωρ διψωντας εποτισας, αλλα πεινωντων εστερηρας ψωμον, κ. τ. λ. Job. xxii. 7-9. *Conf. Esa. lviii.* 7. *Ezech. xviii.* 7.

43 Ξενος *ημην, και ου συνηγαγετε με· γυμνος, και ου περιεβαλετε με· ασθενης, και εν φυλακῃ, και ουκ επεσκεψασθε με.*

ουκ ην ανηρ συναγων αυτους εις οικιαν. Jud. xix. 15.

44 Τοτε *αποκριθησονται αυτῳ και αυτοι, λεγοντες,* Κυριε, *ποτε σε ειδομεν πεινωντα, η διψωντα, η ξενον, η γυμνον, η ασθενη, η εν φυλακῃ, και ου διηκονησαμεν σοι;*

45 Τοτε *αποκριθησεται αυτοις, λεγων,* Αμην *λεγω ὑμιν, εφ᾽ ὁσον ουκ εποιησατε ἑνι τουτων των ελαχιστων, ουδε εμοι εποιησατε.*

Conf. Prov. xiv. 31. *Act. ix.* 5. *ὁ ἁπτομενος ὑμων ὡς ὁ ἁπτομενος της κορης του οφθαλμου αυτου. Zach. ii.* 8. *ὁς φρασσει τα ωτα αυτου του μη επακουσαι ασθενους, και αυτος επικαλεσεται, και ουκ εσται ὁ εισακουων. Prov. xxi.* 13.

46 Και *απελευσονται οὑτοι εις κολασιν αιωνιον· οἱ δε δικαιοι εις ζωην αιωνιον.*

οὑτοι εις ζωην αιωνιον, και οὑτοι εις ονειδισμον και εις αισχυνην αιωνιον. Dan. xii. 2. *σωζειν εις ζωην αιωνιον.* 4 *Mac. xv.* 2. *και αυτοι ληψονται την κολασιν αυτων. Ezech. xliii.* 11. *πας γαρ βροτος εις γην απελευσεται. Job. xxxiv.* 15. [*απεισιν,* Αττικως· *απελευσεται,* Ἑλληνικως. *Mœris.*] *κολασις. Sap. xvi.* 24. *και αναστησῃ εις κληρον σου εις συντελειαν ἡμερων. Dan. xii.* 13. Aug. 15. 1851

ΚΕΦ. κϛ. 26.

ΚΑΙ *εγενετο ὁτε ετελεσεν ὁ* Ιησους *παντας τους λογους τουτους, ειπε τοις μαθηταις αὑτου,*

και εγενετο μετα την τελευτην. Jos. i. 1. *ὡς δε επαυσατο λαλων*

παντας τους λογους. *Num. xvi.* 31. και ὡς ετελεσθη ταυτα. *Esd.* *ix.* 1. *Conf. Marc. xiv.* 1. *Luc. xxii.* 1. *Joan. xi.* 55.

2 Οιδατε ὁτι μετα δυο ἡμερας το πασχα γινεται, και ὁ υἱος του ανθρωπου παραδιδοται εις το σταυρωθηναι.

ὁτι ουκ εγενηθη το πασχα τουτο. 4 *Reg. xxiii.* 22. [πασχα σημαινει ὑπερβασια. *Jos. Ant. ii.* 14. 6.] και Κυριος παρεδωκεν αυτον ταις ἁμαρτιαις ἡμων. *Esa. liii.* 6. και δια τας ανομιας αυτων παρεδοθη. 12. εις το. *Sap. i.* 14. σταυρωθητω. *Est. vii.* 9.

3 Τοτε συνηχθησαν οἱ Αρχιερεις και οἱ Γραμματεις και οἱ Πρεσβυτεροι του λαου εις την αυλην του Αρχιερεως του λεγομενου Καϊαφα,

αρχοντες των πατριων των ἱερεων. 1 *Par. xxiv.* 6. και οἱ ἱερεις συνηχθησαν προς αυτον. 2 *Par. xi.* 13. αρχοντες λαων συνηχθησαν. *Ps. xlvi.* 9. οὑτοι εισι πρεσβυτεροι του λαου. *Num. xi.* 16. και αναστας Εσδρας απο της αυλης του ἱερου. 1 *Esd. ix.* 1. τις των πρωτευοντων γραμματεων. 2 *Mac. vi.* 18. εις ματην εγενηθη σχοινος ψευδης γραμματευσι. *Jer. viii.* 8. *Conf. Joan. xi.* 47. *Ps. ii.* 2. *Act. iv.* 26. [Ιωσηπος, ὁ και Καϊαφας· *Jos. Ant. xviii.* 2. 2.]

4 Και συνεβουλευσαντο ἱνα τον Ιησουν κρατησωσι δολῳ, και αποκτεινωσιν.

Conf. Ps. xl. 7. και εκρατησεν αυτην. 2 *Reg. vi.* 6.

5 Ελεγον δε, Μη εν τῃ ἑορτῃ, ἱνα μη θορυβος γενηται εν τῳ λαῳ.

θορυβος. *Prov. i.* 27. μη ἡμιν—μη. *Ps. cxv.* 1. *Edit. Pearson.*

6 Του δε Ιησου γενομενου εν Βηθανιᾳ εν οικιᾳ Σιμωνος του λεπρου,

Marc. xiv. 3. *Joan. xi.* 1. 18. λεπρος. *Lev. xiii.* 44.

7 Προσηλθεν αυτῳ γυνη, αλαβαστρον μυρου εχουσα βαρυτιμου, και κατεχεεν επι την κεφαλην αυτου ανακειμενου.

και επεχεε Μωυσης—επι την κεφαλην Ααρων. *Lev. viii.* 12. 4 *Reg. ix.* 3, 6. το κωνωπειον εν ᾧ κατεκειτο εν ταις μεθαις. *Judith. xiii.* 15. καθως απαλειφεται ὁ αλαβαστρος. 4 *Reg. xxi.* 13. *Gen. xxviii.* 18. *Conf. Ps. xxii.* 5. *cxxxii.* 2. *Eccles. ix.* 8.

8 Ιδοντες δε οἱ μαθηται αυτου ηγανακτησαν, λεγοντες, Εις τι ἡ απωλεια αὑτη;

9 Ηδυνατο γαρ τουτο το μυρον πραθηναι πολλου, και δοθηναι τοις πτωχοις.

απωλεια. *Lev. vi.* 3, 4. ὁς διδωσι πτωχοις ουκ ενδεηθησεται. *Prov. xxviii.* 27. πραθησεται αργυριου. *Deut. xxi.* 14. *Marc. xiv.* 5.

10 Γνους δε ὁ Ιησους ειπεν αυτοις, Τι κοπους παρεχετε τῃ γυ-
ναικι; εργον γαρ καλον ειργασατο εις εμε.

και παρεσχον πονον τοις βοηθησασιν αυτοις. Sir. xxix. 4. αγωνα παρεχειν. Esa. vii. 13. εργον εγω εργαζομαι. Hab. i. 5. Sir. xxix. 4. Num. viii. 15, 19. κοπος. Job. v. 6. Jer. xx. 18.

11 Παντοτε γαρ τους πτωχους εχετε μεθ᾽ ἑαυτων· εμε δε ου
παντοτε εχετε.

μεθ᾽ ἑαυτων. Gen. xliii. 22. ου γαρ μη εκλιπῃ ενδεης απο της γης σου, κ. τ. λ. Deut. xv. 11. παντοτε. Sap. xix. 18. Conf. Sturz. de Dialect. Maced. p. 187.

12 Βαλουσα γαρ αὑτη το μυρον τουτο επι του σωματος μου,
προς το ενταφιασαι με εποιησεν.

και προσεταξεν—ενταφιασαι τον πατερα αυτου. Gen. l. 2. και επλησαν αρωματων και γενη μυρων, κ. τ. λ. 2 Par. xvi. 14. [μηδεις με ενταφιασῃ πολυτελει εσθητι. Test. XII Patr. p. 619.]

13 Αμην λεγω ὑμιν, ὁπου εαν κηρυχθῃ το ευαγγελιον τουτο,
εν ὁλῳ τῳ κοσμῳ, λαληθησεται και ὁ εποιησεν αὑτη, εις μνη-
μοσυνον αυτης.

και τον ὁλον κοσμον εν ἑνι νευματι καταβαλειν. 2 Mac. viii. 18. εις μνημοσυνον αιωνιον εσται δικαιος. Ps. cxii. 6. Sir. xlv. 11, 13. Exod. xvii. 14. Ose. xiv. 8. και εγενετο λαλημα εις γυναικας. Ezech. xxiii. 10. Conf. Prov. xxii. 1. 1 Reg. ii. 30. Ps. xcvii. 2, 3. Esa. lii. 10. αμην apud LXX οντως. Num. xxii. 37. αληθως. Jos. vii. 20. ευαγγελιζομενοι. Joel. ii. 32.

14 Τοτε πορευθεις εἱς των δωδεκα, ὁ λεγομενος Ιουδας Ισκα-
ριωτης, προς τους αρχιερεις,

οἱ δωδεκα. Ita, 2 Reg. xxiii. 18, 19. Conf. Marc. xiv. 10. Luc. xxii. 4. τον λεγομενον Θεραν ποταμον. 1 Esd. viii. 41.

15 Ειπε, Τι θελετε μοι δουναι, καγω ὑμιν παραδωσω αυτον;
Οἱ δε εστησαν αυτῳ τριακοντα αργυρια·

και εστησαν τον μισθον μου τριακοντα αργυρους, κ. τ. λ. Zach. xi. 12. 1 Esd. viii. 55. Jer. xxxii. 9. παραδωσι. xxxviii. 20. 1 Mac. vii. 35. 2 Mac. xiv. 33. τι μοι δωσεις, κ. τ. λ. Gen. xxxviii. 16.

16 Και απο τοτε εζητει ευκαιριαν ἱνα αυτον παραδῳ.

απο τοτε. Eccles. viii. 12. εαν ευκαιριας τυχω. 1 Mac. xi. 42.

17 Τῃ δε πρωτῃ των αζυμων προσηλθον οἱ μαθηται τῳ Ιησου,
λεγοντες αυτῳ, Που θελεις ἑτοιμασωμεν σοι φαγειν το πασχα;

ἑπτα ἡμερας αζυμα εδεσθε. *Lev. xxiii.* 6. *xxxv.* 40. και σφαξον θυματα, και ἑτοιμασον. *Gen. xliii.* 16. και εφαγον—το πασχα. *Esd. vi.* 21. *Conf.* 1 *Esd. i.* 6-20. *Marc. xiv.* 12. *Luc. xxii.* 7. *Exod. xii.* 6. [ἡ ἑορτη των αζυμων. *Jos. Bell. Jud. v.* 3. 1.]

18 Ὁ δε ειπεν, Ὑπαγετε εις την πολιν προς τον δεινα, και ει-
πατε αυτῳ, Ὁ διδασκαλος λεγει, Ὁ καιρος μου εγγυς εστι·
προς σε ποιω το πασχα μετα των μαθητων μου.

εις τον τοπον τον δεινα. 1 *Reg. xxi.* 2. *Aq. Sym. Theod.* ηγγικεν ὁ καιρος ἡμων. *Thren. iv.* 18. ἡκει ὁ καιρος, ηγγικεν ἡ ἡμερα. *Ezech. vii.* 7. 12. και ποιησεις το πασχα Κυριῳ. *Deut. xvi.* 1. *et pass.* [ουκ αν—φασκων—τον δεινα ευδοκιμον ανδρα χρησθαι. *Philo. De immutabil. Dei. p.* 317.]

19 Και εποιησαν οἱ μαθηται ὡς συνεταξεν αυτοις ὁ Ιησους, και
ἡτοιμασαν το πασχα.

καθα συνεταξεν αυτοις Μωυσης. *Exod. xii.* 35. *Jos. iv.* 8. *Job. xlii.* 9. [εν ἡ (ἑορτῃ) ουχ οἱ μεν ιδιωται προσαγουσι τῳ βωμῳ τα ἱερεια, θυουσι δ' οἱ ἱερεις, αλλα νομου προσταξει συμπαν το εθνος ἱερατωι των κατα μερος ἑκαστου τας ὑπερ αυτου θυσιας αναγοντος τοτε και χειρουργουντος. *Philo. De Vit. Mos. iii. p.* 686.]

20 Οψιας δε γενομενης ανεκειτο μετα των δωδεκα.

αυτος ανακειται, εσθιει, και πινει. 1 *Esd. iv.* 10. ὡς δε οψια εγενετο. *Judith. xiii.* 1.

21 Και εσθιοντων αυτων ειπεν, Αμην λεγω ὑμιν, ὁτι εἱς εξ ὑμων
παραδωσει με.

εξ ὑμων ἑνα. *Gen. xlii.* 16. *Conf. Ps. liv.* 12-14. *Marc. xiv.* 18. *Luc. xxii.* 21. *Joan. xiii.* 21. και ειπεν ὁτι—. *Gen. xxix.* 33. *Jos. ii.* 24.

22 Και λυπουμενοι σφοδρα ηρξαντο λεγειν αυτῳ, ἑκαστος αυ-
των, Μητι εγω ειμι, Κυριε;

ηρξαντο ᾳδειν. 2 *Par. xxix.* 27. μητι πτερνιει ανθρωπος Θεον; *Mal. iii.* 8. *Gen. xx.* 9.

23 Ὁ δε αποκριθεις ειπεν, Ὁ εμβαψας μετ' εμου εν τῳ τρυ-
βλιῳ την χειρα, οὑτος με παραδωσει.

και μη συνθλιβου αυτῳ εν τρυβλιῳ. *Sir. xxxiv.* 14. *Conf. Marc. xiv.* 20. ὁ εσθιων αρτους μου εμεγαλυνεν επ' εμε πτερνισμον. *Ps. xl.* 9. [και εμβαψομεν τον χιτωνα Ιωσηφ. *Test. XII Patr. p.* 637.]

24 Ὁ μεν υἱος του ανθρωπου ὑπαγει, καθως γεγραπται περι

αυτου· ουαι δε τῳ ανθρωπῳ εκεινῳ, δι οὑ ὁ υἱος του ανθρωπου παραδιδοται· καλον ην αυτῳ, ει ουκ εγεννηθη ὁ ανθρωπος εκεινος.

καθως γεγραπται εν τῳ νομῳ Μωυσῃ. *Dan. ix.* 13. 4 *Reg. xiv.* 6. και Κυριος παρεδωκεν αυτον ταις ἁμαρτιαις ἡμων. *Esa. liii.* 6. παρεδοθη. *ver.* 12. εγω δε απολυομαι. *Gen. xv.* 2. αποτρεχω την ὁδον, καθα και παντες οἱ επι της γης. *Jos. xxiii.* 14. ιδου εγω πορευομαι τελευταν. *Gen. xxv.* 32. καλον. *Gen. ii.* 18. *Jon. iv.* 3. *Conf. Ps. xxi. Esa. liii.* 3. *Dan. ix.* 26. επικαταρατος ἡ ἡμερα εν ᾑ ετεκεν με ἡ μητηρ μου, μη εστω επευκτη. *Jer. xx.* 14. και θελησεις ει μη εγενηθης, και την ἡμεραν του τοκετου σου καταρασῃ. *Sir. xxiii.* 14. *Conf. Job. xvii.* 1. *Apoc. ix.* 6.

25 Αποκριθεις δε Ιουδας ὁ παραδιδους αυτον, ειπε, Μητι εγω ειμι, ῥαββι; Λεγει αυτῳ, Συ ειπας.

συ ει ὁ ανηρ ὁ ποιησας τουτο. 2 *Reg. xii.* 7. *Conf.* 4 *Reg. v.* 25.

26 Εσθιοντων δε αυτων, λαβων ὁ Ιησους τον αρτον, και ευλογησας, εκλασε και εδιδου τοις μαθηταις, και ειπε, Λαβετε, φαγετε· τουτο εστι το σωμα μου.

διαθρυπτε πεινωντι τον αρτον σου. *Esa. lviii.* 7. τον αρτον αυτου τῳ πεινωντι δωσει. *Ezech. xviii.* 7. κλασθῃ αρτος. *Jer. xvi.* 7. *Conf. Marc. xiv.* 22. *Luc. xxii.* 19. 1 *Cor. xi.* 23. 25. και λαβουσα, εφαγε· *Gen. iii.* 6. [το φαγειν συμβολον εστι τροφης ψυχικης. *Philo. De Alleg.*]

27 Και λαβων το ποτηριον, και ευχαριστησας, εδωκεν αυτοις, λεγων, Πιετε εξ αυτου παντες·

λαβε το ποτηριον. *Jer. xxv.* 15. επιεν εκ του οινου. *Gen. ix.* 21. ποτηριον σωτηριου ληψομαι. *Ps. cxv.* 13. *Conf.* 1 *Reg. ix.* 13. 1 *Cor. x.* 4. *Ps. xv.* 5. *xxii.* 5.

28 Τουτο γαρ εστι το αἱμα μου, το της καινης διαθηκης, το περι πολλων εκχυνομενον εις αφεσιν ἁμαρτιων.

τις Θεος ὡσπερ συ, εξαιρων ανομιας, και ὑπερβαινων ασεβειας, κ.τ.λ. *Mich. vii.* 18, 19. *Conf. Lev. xvii.* 11. *Esa. xxv.* 6. *lv.* 1. *Ezech. iii.* 3. *Prov. ix.* 5. ιδου το αἱμα της διαθηκης. *Exod. xxiv.* 8. ουκ αφεθησεται ὑμιν αὑτη ἡ ἁμαρτια. *Esa. xxii.* 14. *Ps. xxiv.* 18. *Lev. iv.* 20. *et pass.* και τας ἁμαρτιας αυτων αυτος ανοισει. *Esa. liii.* 11. προσευχου περι του λαου τουτου. *Jer. vii.* 16. *xi.* 14. *xxxvii.* 3. εις αφεσιν. *Conf. Esa. vii.* 11. διαθησομαι τῳ οικῳ Ισραηλ και τῳ οικῳ Ιουδα διαθηκην καινην. *Jer. xxxviii.* 31. *Conf. Marc. xiv.* 24. *Heb. xii.* 24. *Rom. v.* 15. *Apoc. iii.* 12. *x.* 9.

29 Λεγω δε ὑμιν, ὁτι ου μη πιω απ' αρτι εκ τουτου του γεννη-
ματος της αμπελου, ἑως της ἡμερας εκεινης, ὁταν αυτο πινω
μεθ' ὑμων καινον εν τῃ βασιλειᾳ του πατρος μου.

αἱμα σταφυλης. *Sir.* *xxxix.* 26. *i.* 15. ἑως της ἡμερας ταυτης. *Jud.* *i.* 21. *vi.* 24. ονομα καινον. *Esa.* *lxv.* 15. ασμα καινον. *Ps.* *xxxii.* 3. πνευμα καινον. *Ezech.* *xxxvi.* 26. καρπον γεννηματος. *Ps.* *cvi.* 37. *Conf.* *Ose.* *x.* 1. *Deut.* *xxii.* 9. *Num.* *vi.* 2-4. *Luc.* *xxii.* 18. [τα γεννηματα των αγρων. *Philo.* *p.* 176. το της οπωρας γεννημα. *De Creat.* 733.] βασιλεια Θεου. *Sap.* *x.* 10.

30 Και ὑμνησαντες εξηλθον εις το ορος των ελαιων.

στησονται οἱ ποδες αυτου εν τῃ ἡμερᾳ εκεινῃ επι το ορος των ελαιων. *Zach.* *xiv.* 4. *Conf.* *Exod.* *xv.* 1 *Mac.* *iv.* 24. 2 *Mac.* *x.* 38. *Joan.* *xviii.* 4. και επιστευσαν τοις λογοις αυτου, και ῃνεσαν την αινεσιν αυτου. *Ps.* *cv.* 12. ὑμνουντες τῳ Κυριῳ, και ευλογουντες κατα Δαυιδ βασιλεα του Ισραηλ. κ. τ. λ. 1 *Esd.* *v.* 60, 61.

31 Τοτε λεγει αυτοις ὁ Ιησους, Παντες ὑμεις σκανδαλισθησεσθε
εν εμοι εν τῃ νυκτι ταυτῃ. γεγραπται γαρ, Παταξω τον ποι-
μενα, και διασκορπισθησεται τα προβατα της ποιμνης.

καταλειφθησεται ἁμαρτωλος, και λοιδορος και ὑπερηφανος σκανδαλισθησονται εν αυτοις. *Sir.* *xxiii.* 8. γεγραπται. *Tob.* *i.* 6. 4 *Reg.* *xvii.* 37. *Esd.* *iii.* 4. παταξατε τους ποιμενας, και εκσπασατε τα προβατα. *Zach.* *xiii.* 7. παταξον τον ποιμενα, και διασκορπισθησονται. *Alex.* *Barb.* *MS.* *Ald.* *Comp.* *Cyr.* που εστι το ποιμνιον ὁ εδοθη σοι, προβατα δοξης σου; *Jer.* *xiii.* 20. *Conf.* *Marc.* *xiv.* 27. *Joan.* *xvi.* 32. *Gal.* *v.* 11. *Rom.* *ix.* 32. *CITAT.* 42.

32 Μετα δε το εγερθηναι με, προαξω ὑμας εις την Γαλιλαιαν.

33 Αποκριθεις δε ὁ Πετρος ειπεν αυτῳ, Ει και παντες σκανδα-
λισθησονται εν σοι, εγω ουδεποτε σκανδαλισθησομαι.

32, 33.] και μετα το αποθανειν Εσρωμ. 1 *Par.* *ii.* 24. ουδεποτε. *Exod.* *x.* 16. εν τῃ ἡμερᾳ τῃ τριτῃ εξαναστησομεθα, και ζησομεθα ενωπιον αυτου, και γνωσομεθα, κ.τ.λ. *Ose.* *vi.* 2, 3. *Conf.* *Marc.* *xiv.* 28. *xvi.* 7. *Joan.* *xiii.* 37. αὑτη ἡ ὁδος αυτων σκανδαλον αυτοις. *Ps.* *xlviii.* 13. δια τουτο ὑπομεινον με, λεγει Κυριος, εις ἡμεραν αναστασεως μου εις μαρτυριον. *Sophon.* *iii.* 8.

34 Εφη αυτῳ ὁ Ιησους, Αμην λεγω σοι, ὁτι εν ταυτῃ τῃ νυκτι,
πριν αλεκτορα φωνησαι, τρις απαρνησῃ με.

πριν η συντελεσθηναι τας ἡμερας του γαμου. *Tob.* *viii.* 20. 3 *Mac.* *v.* 23. εφωνησε περδιξ. *Jer.* *xvii.* 11. τρις. 1 *Reg.* *xx.* 41. *Conf.*

Marc. xiv. 30. *Luc. xxii.* 34. *Joan. xiii.* 38. αλεκτωρ. *Prov. xxx.* 31. [αλεκτρυων, Αττικως· αλεκτωρ, Ἑλληνικως. *Phav.*]

35 Λεγει αυτῳ ὁ Πετρος, Καν δεῃ με συν σοι αποθανειν, ου μη
σε απαρνησομαι. Ὁμοιως και παντες οἱ μαθηται ειπον.

εαν και απολεσθαι με δεῃ. *Est. iv.* 16. απαρνησονται οἱ ανθρωποι τα χειροποιητα. *Esa. xxxi.* 7. *Conf. Prov. xvi.* 18. *Jer. xvii.* 9.

36 Τοτε ερχεται μετ' αυτων ὁ Ιησους εις χωριον λεγομενον
Γεθσημανη, και λεγει τοις μαθηταις, Καθισατε αυτου, ἑως οὑ
απελθων προσευξωμαι εκει.

χωριων. 1 *Par. xxvii.* 27. καθισατε αυτου. *Gen. xxii.* 5. *Conf. Marc. xiv.* 32. *Joan. xviii.* 1. *Cap. v.* 14.

37 Και παραλαβων τον Πετρον και τους δυο υἱους Ζεβεδαιου,
ηρξατο λυπεισθαι και αδημονειν.

αδημονειν. *Job. xxviii.* 21. *Aq. Ps. lxi.* 3. *Sym.* και ηρξατο θρηνειν αυτον. *Tob. x.* 4. *Conf. Joan. xii.* 27. ανθρωπος εν πληγῃ ων, και ειδως φερειν μαλακιαν. *Esa. liii.* 3. παραλαβων. *Gen. xxii.* 3.

38 Τοτε λεγει αυτοις, Περιλυπος εστιν ἡ ψυχη μου ἑως θανα-
του· μεινατε ὡδε και γρηγορειτε μετ' εμου.

σφοδρα λελυπημαι εγω ἑως θανατου. *Jon. iv.* 9. *Esa. xxxviii.* 1. *Sir. iv.* 28. περιεσχον με ωδινες θανατου. *Ps. cxiv.* 3. τοτε. *Esd. iv.* 23, 24. *Ps. cxviii.* 6. ἱνατι περιλυπος ει ἡ ψυχη μου; *Ps. xli.* 5, 11. μεινατε ὡδε. *Jud. xix.* 9. *Comp. Esa. liii.* 10. *Ps. lxviii.* 1. και εγρηγορησε Κυριος επι τοις κακοις, κ.τ.λ. *Bar. ii.* 9. *Dan. ix.* 14. *Jer. i.* 12. *Aq. Sym. Conf. Sturz. de Voc. Alex. p.* 157. *Fisch. de Vitiis Lex. p.* 677.

39 Και προελθων μικρον, επεσεν επι προσωπον αὑτου προσευ-
χομενος και λεγων, Πατερ μου, ει δυνατον εστι, παρελθετω απ'
εμου το ποτηριον τουτο· πλην ουχ ὡς εγω θελω, αλλ' ὡς συ.

προηγον απο της πολεως επι πλειον. 2 *Mac. x.* 27. επεσον επι προσωπον. 2 *Par. vii.* 3. το ποτηριον γαρ της πτωσεως—εξεπιες και εξεκενωσας. *Esa. li.* 17. ποτηριον αφανισμου. *Ezech. xxiii.* 33. *Ps. lxxiv.* 8. *Esa. lxiii.* 3. πλην γινωσκε ὁτι ουκ εσται το προτερημα σου. *Jud. iv.* 9. *Conf. Heb. v.* 7, 8. *Joan. xii.* 27. *Matt. x.* 2. *Phil. ii.* 8. του ποιησαι το θελημα σου ὁ Θεος, κ.τ.λ. *Ps. xxxix.* 8.

40 Και ερχεται προς τους μαθητας, και εὑρισκει αυτους κα-
θευδοντας, και λεγει τῳ Πετρῳ, Οὑτως ουκ ισχυσατε μιαν
ὡραν γρηγορησαι μετ' εμου;

41 Γρηγορειτε και προσευχεσθε, ἱνα μη εισελθητε εις πειρασμον. το μεν πνευμα προθυμον, ἡ δε σαρξ ασθενης.

προθυμος τῃ καρδιᾳ. 2 *Par. xxix.* 31. και εμνησθη ὁτι σαρξ εισι. *Ps. lxxvii.* 39. *cxviii.* 4. 5. εξελιπεν ἡ καρδια μου και ἡ σαρξ μου. *Ps. lxxii.* 26. *Conf. Mat. vi.* 13.

42 Παλιν εκ δευτερου απελθων προσηυξατο, λεγων, Πατερ μου, ει ου δυναται τουτο το ποτηριον παρελθειν απ᾽ εμου, εαν μη αυτο πιω, γενηθητω το θελημα σου.

εκ δευτερου. *Jos. v.* 2. διδαξον με του ποιειν το θελημα σου. *Ps. cxlii.* 10. εγενηθη κατα το ῥημα. *Gen. xliv.* 2. ὡς δ᾽ αν ῃ θελημα εν ουρανω, οὑτω ποιησει. 1 *Mac. iii.* 60. *Conf. Matt. vi.* 10.

43 Και ελθων εὑρισκει αυτους παλιν καθευδοντας· ησαν γαρ αυτων οἱ οφθαλμοι βεβαρημενοι.

οἱ οφθαλμοι δε αυτου εβαρυωπησαν. *Gen. xlviii.* 10. *Alex. Ald.*

44 Και αφεις αυτους, απελθων παλιν, προσηυξατο εκ τριτου, τον αυτον λογον ειπων.

Conf. Dan. ix. 17-19. *Luc. xviii.* 1. 2 *Cor. xii.* 8.

45 Τοτε ερχεται προς τους μαθητας αὑτου, και λεγει αυτοις, Καθευδετε το λοιπον και αναπαυεσθε; ιδου, ηγγικεν ἡ ὡρα, και ὁ υἱος του ανθρωπου παραδιδοται εις χειρας ἁμαρτωλων.

ηγγικεν ὁ καιρος ἡμων. *Thren. iv.* 18. 1 *Mac. ix.* 10. και παρεδωκεν αυτους εις χειρας εχθρων. *Ps. cv.* 41. *Job. xvi.* 12. ἡμεραι ερχονται και (*quibus*) αποστελω. *Jer. xxxi.* 12. αναπαυου. *Dan. xii.* 13.

46 Εγειρεσθε, αγωμεν. ιδου, ηγγικεν ὁ παραδιδους με.

47 Και ετι αυτου λαλουντος, ιδου, Ιουδας εἱς των δωδεκα ηλθε, και μετ᾽ αυτου οχλος πολυς μετα μαχαιρων και ξυλων, απο των αρχιερεων και πρεσβυτερων του λαου.

ετι αυτου λαλουντος αυτοις. *Gen. xxix.* 9. *Dan. ix.* 20, 21. και παρηλθε—και πας ὁ οχλος ὁ μετ᾽ αυτου. 2 *Reg. xv.* 22. [ξυλοις τυπτειν. *Jos. Vit.* 45. *Bell. Jud. v.* 3. 1.] *Conf. Marc xiv.* 43. *Luc. xxii.* 47. *Joan. xviii.* 3. *Act. i.* 16. πρεσβυτεροι του λαου. *Num. xi.* 16.

48 Ὁ δε παραδιδους αυτον εδωκεν αυτοις σημειον, λεγων, Ὁν αν φιλησω, αυτος εστι· κρατησατε αυτον.

και τουτο σοι το σημειον. 4 *Reg. xix.* 29. και ποιησεις μοι σημειον ὁτι συ λαλεις. *Jud. vi.* 17. *Alex.* εγγισον μοι, και φιλησον με. Και εγγισας εφιλησεν αυτον. *Gen. xxvii.* 26, 27. *Conf. Joan. xviii.* 3.

49 Και ευθεως προσελθων τῳ Ιησου ειπε, Χαιρε, ῥαββι, και κατεφιλησεν αυτον.

Conf. 2 *Reg.* *xx.* 9. ὁ ανθρωπος της ειρηνης μου, εφ' ὁν ηλπισα, κ.τ.λ. *Ps.* *xl.* 9. και κατεφιλησε τους υἱους. *Gen.* *xxxii.* 55.

50 Ὁ δε Ιησους ειπεν αυτῳ, Ἑταιρε, εφ' ᾡ παρει; Τοτε προσ-
ελθοντες επεβαλον τας χειρας επι τον Ιησουν, και εκρατησαν
αυτον.

μη επιβαλης την χειρα σου επι το παιδαριον. *Gen.* *xxii.* 12. [καθαρος εστιν απο της ασεβειας των αρχιερεων, οἱτινες επιβαλουσι τας χειρας αυτων επι τον Σωτηρα του κοσμου. *Test. XII Patr.* *p.* 577.]

51 Και ιδου, εἱς των μετα Ιησου, εκτεινας την χειρα, απε-
σπασε την μαχαιραν αὑτου, και παταξας τον δουλον του αρ-
χιερεως, αφειλεν αυτου το ωτιον.

Δανιηλ και οἱ μετ' αυτου. *Dan.* *ii.* 18. *LXX.* *Ezech.* *xxxviii.* 22. οὑτος εσπασατο την ῥομφαιαν. 1 *Par.* *xi.* 11. εν τῳ σπασαι μαχαιραν. *Ezech.* *xxvi.* 15. και αφειλε την κεφαλην αυτου. 1 *Reg.* *xvii.* 51. 2 *Mac.* *v.* 3. 1 *Par.* *xxi.* 5. *Jud.* *viii.* 20. 1 *Par.* *xi.* 11, 20. *Conf.* *Joan.* *xviii.* 10. και εξετεινε—την χειρα αυτου λαβειν την μαχαιραν, κ. τ. λ. *Gen.* *xxii.* 10. παταξας. *Exod.* *xxi.* 12. 18. εις ακοην ωτιου ὑπηκουσε μοι. *Ps.* *xvii.* 44. δυο σκελη, η λοβον ωτιου. *Amos.* *iii.* 12. *Sir.* *xxi.* 5. *Conf.* *Marc.* *xiv.* 47. *Luc.* *xxii.* 51.

52 Τοτε λεγει αυτῳ ὁ Ιησους, Αποστρεψον σου την μαχαιραν
εις τον τοπον αυτης· παντες γαρ οἱ λαβοντες μαχαιραν, εν
μαχαιρᾳ απολουνται.

και εισηνεγκαν—την κιβωτον εις τον τοπον αυτης. 2 *Par.* *v.* 7. ου ληψεται εθνος επ' εθνος μαχαιραν. *Esa.* *ii.* 4. και ἁμα παντες απολουνται μαχαιρᾳ. *Esa.* *xxxi.* 3. *Marchali MS. apud Bos. Conf.* *Gen.* *ix.* 6. *Apoc.* *xiii.* 10. *Rom.* *xii.* 19.

53 Η δοκεις ὁτι ου δυναμαι αρτι παρακαλεσαι τον πατερα μου,
και παραστησει μοι πλειους η δωδεκα λεγεωνας αγγελων;

και ιδου ηλθον οἱ αγγελοι του Θεου παραστηναι ενωπιον του Κυριου. *Job.* *i.* 6. *ii.* 1. *Jer.* *xv.* 11. [παρακαλει τον Θεον ὑπερεχειν. *Jos.* *Ant.* *vi.* 22.] πλειους η δωδεκα μυριαδες ανθρωπων. *Jon.* *iv.* 11. εαν ωσι χιλιοι αγγελοι θανατηφοροι, εἱς αυτων ου μη τρωσῃ αυτον. *Job.* *xxxiii.* 23. *Conf.* *Dan.* *vii.* 10. αρτι. *Dan.* *ix.* 22. *LXX.*

54 Πως ουν πληρωθωσιν αἱ γραφαι, ὁτι οὑτω δει γενεσθαι;

πληρωθηναι το ῥημα Κυριου ὁ ελαλησε. 3 *Reg.* *ii.* 27. 3 *Reg.* *i.* 14.

ἁ δει γενεσθαι. Dan. ii. 28. Conf. Esa. liii. 7-10. Ps. ii. 1. Dan. ix. 26. κατα την γραφην βιβλιου Μωυση. *Esd. viii. 18.*

55 Εν εκεινῃ τῃ ὡρᾳ ειπεν ὁ Ιησους τοις οχλοις, Ὡς επι λῃστην
εξηλθετε μετα μαχαιρων και ξυλων συλλαβειν με; καθ'
ἡμεραν προς ὑμας εκαθεζομην διδασκων εν τῳ ἱερῳ, και ουκ
εκρατησατε με.

εν αυτῃ τῃ ὡρᾳ. Dan. v. 5. καθ' ἡμεραν. i. 5. Num. iv. 16. τον βασιλεα—συνελαβον ζωντα. Jos. viii. 23. 4 Reg. vii. 12. εαν δε εξελθῃς εις πολεμον επι τους εχθρους σου. Deut. xx. 1.

56 Τουτο δε ὁλον γεγονεν, ἱνα πληρωθωσιν αἱ γραφαι των προ-
φητων. Τοτε οἱ μαθηται παντες αφεντες αυτον, εφυγον.

Conf. Joan. xviii. 15. Ps. xl. 9. Esa. liii. 12. Dan. ix. 26. Marc. xv. 28. και ἱστων ῥημα παιδος αυτου, και την βουλην των αγγελων αυτου αληθευων. Esa. xliv. 26. Conf. Ps. lxxxvii. 8. Job. xix. 13, 14.

57 Οἱ δε κρατησαντες τον Ιησουν απηγαγον προς Καϊαφαν
τον αρχιερεα, ὁπου οἱ Γραμματεις και οἱ Πρεσβυτεροι συνηχ-
θησαν.

και συνηγαγεν ὁ βασιλευς τους πρεσβυτερους. 2 Par. x. 6. Jer. li. 44. απηγαγον. Addit. Est. xii. 3. προς. Deut. xxviii. 7. Jos. vi. 7. Esa. viii. 14. γραμματεις. 2 Mac. vi. 18. Neh. viii. 1.

58 Ὁ δε Πετρος ηκολουθει αυτῳ απο μακροθεν, ἑως της αυλης
του αρχιερεως· και εισελθων εσω εκαθητο μετα των ὑπηρετων,
ιδειν το τελος.

και εισηλθον οἱ ἱερεις εσω εις τον οικον Κυριου. *2 Par. xxix. 16, 18. του συγκαθησθαι αυτους μετ' εμου. Ps. c. 6. απο μακροθεν. Ps. xxxvii. 7. 12. τουτο το τελος παντος ανθρωπου. Eccles. vii. 3. Alex. [το τελος του πραγματος εις κακιαν αγει. Test. XII Patr. p. 689.] Conf. Marc. xiv. 53. Luc. xxii. 54. Joan. xviii. 12, 24.*

59 Οἱ δε Αρχιερεις και οἱ Πρεσβυτεροι και το συνεδριον ὁλον
εζητουν ψευδομαρτυριαν κατα του Ιησου, ὁπως αυτον θανα-
τωσωσι,

ου ψευδομαρτυρησεις κατα του πλησιον σου. Exod. xx. 16. επιδοτε ἡμιν ὁπως πιωμεν. Amos. iv. 2. και οἱ αρχοντες συνηχθησαν επι-τοαυτο κατα του Κυριου, *και κατα του* Χριστου *αυτου. Ps. ii. 2. Conf. Matt. v. 22. xiv. 55. Ps. xxvi. 12. Marc. xiv. 55. εν τῃ ταπεινωσει ἡ κρισις αυτου ηρθη. Esa. liii. 8.*

60 Και ουχ εὑρον· και πολλων ψευδομαρτυρων προσελθοντων,
ουχ εὑρον. ὑστερον δε προσελθοντες δυο ψευδομαρτυρες

και μαρτυς εἱς ου μαρτυρησει επι ψυχην. *Num. xxxv.* 30. αναστάντες μαρτυρες αδικοι, ἁ ουκ εγινωσκον, επηρωτων με. *Ps. xxxiv.* 11. [παρελθοντες κατηγορωσι. *Philo. de legg. p.* 789.] και πασαν προφασιν και παραπτωμα και αμπλακημα ουχ εὑρον κατ' αυτου, ὁτι πιστος ην, κ.τ.λ. *Dan. vi.* 4, 5. ὑστερον. *Prov. v.* 4.

61 Ειπον, Οὑτος εφη, Δυναμαι καταλυσαι τον ναον του Θεου, και δια τριων ἡμερων οικοδομησαι αυτον.

τον οικον τουτον κατελυσε. *Esd. v.* 12. δι' ἑπτα ετων. *Deut. xv.* 1. *Conf. Act. xxiv.* 17. *vi.* 13. *Joan. ii.* 19. οὑτος. *Conf. Exod. xxxii.* 1. 4 *Reg. ix.* 11. τον ναον. *Conf. Amos. viii.* 3.

62 Και αναστας ὁ Αρχιερευς ειπεν αυτῳ, Ουδεν αποκρινῃ; τι οὑτοι σου καταμαρτυρουσιν;

63 Ὁ δε Ιησους εσιωπα. και αποκριθεις ὁ Αρχιερευς ειπεν αυτῳ, Εξορκιζω σε κατα του Θεου του ζωντος, ἱνα ἡμιν ειπῃς, ει συ ει ὁ Χριστος, ὁ υἱος του Θεου.

ὡρκισεν αυτον κατα του Θεου. 2 *Par. xxxvi.* 13. ωμοσε κατα του θρονου. *Judith. i.* 12. ωμοσεν εν τῳ ζωντι εις τον αιωνα. *Dan. xii.* 7. ὁ δουλος του Θεου του ζωντος. *vi.* 20. *Conf. Matt. xvi.* 16. εγω ὁρκιζω σε ἱνα μη λαλησῃς προς με πλην την αληθειαν εν ονοματι Κυριου. 2 *Par. xviii.* 15. *Conf.* 3 *Reg. xxii.* 16. *Marc. v.* 7. *Heb. i.* 5. *Joan. i.* 50. υἱος μου ει συ. *Ps. ii.* 7. ὁτι παιδιον εγεννηθη ἡμιν, υἱος και εδοθη ἡμιν. *Esa. ix.* 6. ἑως Χριστου ἡγουμενου. *Dan. ix.* 25. και αυτος δια το κεκακωσθαι ουκ ανοιγει το στομα αυτου—και ὡς αμνος εναντιον του κειροντος αφωνος, οὑτως ουκ ανοιγει το στομα. *Esa. liii.* 7. *Ps. xxxvii.* 13. φωνη ορκισμου. *Lev. v.* 1.

64 Λεγει αυτῳ ὁ Ιησους, Συ ειπας. πλην λεγω ὑμιν, Απ' αρτι οψεσθε τον υἱον του ανθρωπου καθημενον εκ δεξιων της δυναμεως, και ερχομενον επι των νεφελων του ουρανου.

καθου εκ δεξιων μου. *Ps. cix.* 1. και ιδου μετα των νεφελων του ουρανου ὡς υἱος ανθωπου ερχομενος. *Dan. vii.* 13. βασιλεα μετα δοξης οψεσθε. *Esa. xxxiii.* 17. ἑως της δυναμεως του ουρανου. *Dan. viii.* 10. *Heb. viii.* 1. λεγει δε Μωυσης, Ειρηκας. *Exod. x.* 29. Καθως ειρηκας. *Ald.* Ὁυτως ειρηκας. *Comp.* εγω ειπα. *Ps. lxxxi.* 6. πλην εν γῃ λαου ου κληρονομησει. *Sir. xlv.* 22. *Conf. Rom. xiv.* 10. *Luc. xxi.* 27. *Joan. vi.* 62.

65 Τοτε ὁ Αρχιερευς διερρηξε τα ἱματια αὑτου, λεγων, Ὁτι εβλασφημησε· τι ετι χρειαν εχομεν μαρτυρων; ιδε, νυν ηκουσατε την βλασφημιαν αυτου.

διερρηγμενα εχων τα ἱματια και την ἱεραν εσθητα. 1 *Esd. viii.* 73. *Gen. xxxvii.* 29, 34. και ὁ ἱερευς ὁ μεγας—τα ἱματια ου διαρρηξει. *Lev. xxi.* 10. εβλασφημησαν εις εμε. 4 *Reg. xix.* 6, 22. *Comp.* και χρειαν εχει βοηθειας. *Sap. xiii.* 16. ιδε. ηκουσα της φωνης των βλασφημιων σου. *Ezech. xxxv.* 12. 3 *Reg. xxi.* 27. *Judith. xiv.* 18. 1 *Mac. xi.* 71. *ii.* 14. και εν τοις ανομοις ελογισθη. *Esa. liii.* 12. *Dan. ix.* 24-27. αρχιερευς. *Lev. iv.* 3. [*Jos. Ant. iii.* 7. 1.]

66 Τι ὑμιν δοκει; Οἱ δε αποκριθεντες ειπον, Ενοχος θανατου εστι.

και απεκριθησαν—και ειπαν. *Agg. ii.* 14. θανατῳ ενοχος εσται. *Gen. xxvi.* 11. ενοχος ἑαυτῳ εσται. *Jos. ii.* 19. *Exod. xxii.* 2, 3. οἱ ενοχοι σου. *Esa. liv.* 17. *Lev. xxiv.* 16. παρεδοθη εις θανατον. *Esa. liii.* 12. και εγενετο, Ἱερεμιου παυσαμενου λαλουντος παντα ἁ συνεταξε Κυριος αυτῳ λαλησαι παντι τῳ λαῳ, και συνελαβοσαν αυτον οἱ ἱερεις, και οἱ ψευδοπροφηται, και πας ὁ λαος, λεγων, Θανατῳ αποθανῃ, κ.τ.λ. *Jer. xxxiii.* 8. και ειπαν οἱ ἱερεις και οἱ ψευδοπροφηται προς τους αρχοντας και παντι τῳ λαῳ, Κρισις θανατου τῳ ανθρωπῳ τουτῳ, ὁτι επροφητευσε κατα της πολεως ταυτης, καθως ηκουσατε εν τοις ωσιν ὑμων. *xxxiii.* 11.

67 Τοτε ενεπτυσαν εις το προσωπον αυτου, και εκολαφισαν αυτον· οἱ δε ερῥαπισαν,

εδωκα—τας δε σιαγονας μου εις ῥαπισματα, το δε προσωπον μου ουκ απεστρεψα απο αισχυνης εμπτυσματων. *Esa. l.* 6. *liii.* 3.

68 Λεγοντες, Προφητευσον ἡμιν, Χριστε, τις εστιν ὁ παισας σε;

και επαταξε τον Μιχαιαν επι την σιαγονα, και ειπε, Ποιον πνευμα Κυριου το λαλησαι εν σοι; 3 *Reg. xxii.* 24. *Conf. Gen. xxxvii.* 19. 4 *Reg. ii.* 24.

69 Ὁ δε Πετρος εξω εκαθητο εν τῃ αυλῃ, και προσηλθεν αυτῳ μια παιδισκη λεγουσα, Και συ ησθα μετα Ιησου του Γαλιλαιου.

ὁ δε Μαρδοχαιος εθεραπευεν εν τῃ αυλῃ. *Est. ii.* 9. *Conf. Marc. xiv.* 65. *Luc. xxii.* 64. 55. *Joan. xviii.* 17. *Esa. l.* 6. οἱ μεθ' ἡμων. 4 *Reg. vi.* 16. *ix.* 32. *Exod. xxiii.* 2. ησθα. *Gen. xl.* 13. *Num. x.* 30. *Job. xxii.* 3. [*De Galilæis, Jos. Bell. Jud. iii.* 3. 2.]

70 Ὁ δε ηρνησατο εμπροσθεν παντων, λεγων, Ουκ οιδα τι λεγεις.

ηρνησατο δε Σαῤῥα, λεγουσα. *Gen. xviii.* 15. εμπροσθεν αυτου. *Esa. xlv.* 1. αρνουμενοι γαρ σε ειδεναι ασεβεις. *Sap. xvi.* 16. ὁτι

απεστραπται το προσωπον αυτου, ητιμασθη, και ουκ ελογισθη. Esa. liii. 3. οἱ εγγιστα μου μακροθεν εστησαν. Ps. xxxvii. 11.

71 Εξελθοντα δε αυτον εις τον πυλωνα, ειδεν αυτον αλλη, και
λεγει τοις εκει, Και οὑτος ην μετα Ιησου του Ναζωραιου.

Conf. Matt. ii. 23. του πυλωνος. Jud. xviii. 16. Alex.

72 Και παλιν ηρνησατο μεθ' ὁρκου, Ὁτι ουκ οιδα τον ανθρωπον.

μεθ' ὁρκου. Lev. v. 4. Num. xxx. 11. Conf. Esa. xlviii. 1. Zach. v. 3. ὁτι, profecto. 1 Reg. i. 30. Gen. xxviii. 16. εκελευσε παραδιδοναι τον ανδρα. των δε μεθ' ὁρκων φασκοντων μη γινωσκειν που ποτ' εστιν ὁ ζητουμενος, κ.τ.λ. 2 Mac. xiv. 32.

73 Μετα μικρον δε προσελθοντες οἱ ἑστωτες ειπον τῳ Πετρῳ,
Αληθως και συ εξ αυτων ει· και γαρ ἡ λαλια σου δηλον σε
ποιει.

μετα μικρον. (paulo post.) Ita, προ μικρου. (paulo antea). Sap. xv. 8. ἡ λαλια σου ὡραια. Cant. iv. 3. Job. xxxiii. 1. Jud. xii. 6. Neh. xiii. 24. Dan. x. 9. LXX. αληθως. Jer. xxxv. 6. Gen. xx. 12. και συ ης ὡς εἱς εξ αυτων. Obad. 11. και γαρ. Job. v. 2. Conf. Luc. xxii. 59. Joan. xviii. 26, 27.

74 Τοτε ηρξατο καταναθεματιζειν και ομνυειν, Ὁτι ουκ οιδα
τον ανθρωπον. Και ευθεως αλεκτωρ εφωνησε.

και ανεθεματισεν αυτον. Num. xxi. 3. Jos. vi. 21. 1 Mac. v. 5. Conf. Jud. xxi. 18. 1 Reg. xiv. 24. Marc. xiv. 71. εφωνησε περδιξ. Jer. xvii. 11. ὁτι. Conf. Gen. xxix. 33. Jos. ii. 24.

75 Και εμνησθη ὁ Πετρος του ῥηματος του Ιησου ειρηκοτος αυτῳ,
Ὁτι πριν αλεκτορα φωνησαι, τρις απαρνησῃ με. Και εξελθων
εξω εκλαυσε πικρως.

εκλαυσε πικρως. Gen. l. 1. Ald. Conf. Luc. xxii. 61. αφετε με, πικρως κλαυσομαι· μη κατισχυσητε παρακαλειν με επι το συντριμμα της θυγατρος του γενους μου. Esa. xxii. 4. ὁτι ουκ εστι λογος αδικος εν γλωσσῃ μου· ιδου Κυριε συ εγνως παντα, κ.τ.λ. Ps. cxxxviii. 4. Conf. Job. xiii. 26, 27. September 1. 1851.

ΚΕΦ. κζ. 27.

ΠΡΩΙΑΣ δε γενομενης, συμβουλιον ελαβον παντες οἱ Αρχιερεις και οἱ Πρεσβυτεροι του λαου κατα του Ιησου, ὡστε θανατωσαι αυτον·

το πρωϊ εγενηθη. Exod. x. 13. που εισιν οἱ γραμματικοι; που εισιν οἱ συμβουλευοντες; Esa. xxxiii. 18. κατα του Κυριου, και κατα

του Χριστου αυτου. *Ps. ii.* 2. και ζητει του θανατωσαι αυτον. *Ps. xxxvi.* 32. ὡστε εργαζεσθαι τα εργα Κυριου. *Num. viii.* 11. *Conf. Marc. xv.* 1. *Luc. xxii.* 66. *Joan. xviii.* 28. *Act. iv.* 26. εγενοντο λογιζομενοι κοπους, και εργαζομενοι κακα εν ταις κοιταις αυτων, και ἁμα τῃ ἡμερᾳ συνετελουν αυτα. *Mich. ii.* 1.

2 Και δησαντες αυτον απηγαγον, και παρεδωκαν αυτον Ποντιῳ Πιλατῳ τῳ ἡγεμονι.

Conf. Gen. xxii. 9. *Joan. xviii.* 12. *Act. iii.* 13. [Πιλατος ὁ της Ιουδαιας ἡγεμων. *Jos. Ant. xviii.* 3. 1.]

3 Τοτε ιδων Ιουδας ὁ παραδιδους αυτον, ὁτι κατεκριθη, μεταμεληθεις απεστρεψε τα τριακοντα αργυρια τοις Αρχιερευσι και τοις Πρεσβυτεροις,

αποστρεψας αποδωσεις αυτῳ. *Exod. xxiii.* 4. *Conf. Exod. xxi.* 32. *Gen. xliii.* 12, 18. μεταμεμελημαι γαρ. 1 *Mac. xi.* 10. αρχοντες των πατριων των ἱερεων. 1 *Par. xxiv.* 6. [*Jos. Ant. xx.* 8. 8. *Bell. Jud. iv.* 3. 6. *Krebs. p.* 3.] *Conf. Zach. xi.* 12.

4 Λεγων, Ἡμαρτον παραδους αἱμα αθωον. Οἱ δε ειπον, Τι προς ἡμας; συ οψει.

ἡμαρτηκα, ὁτι παρεβην τον λογον Κυριου. 1 *Reg. xv.* 24. *Num. xxii.* 34. αθωος ειμι—απο των αἱματων Αβεννηρ. 2 *Reg. iii.* 28. *Gen. xxiv.* 41. ἱνατι ἁμαρτανεις εις αἱμα αθωον; 1 *Reg. xix.* 5. *Conf. Gen. iv.* 10. οψει. *Exod. vi.* 1. 4 *Mac.* 19. προς σε το πραγμα. 1 *Esd. viii.* 95. *x.* 4. 2 *Mac. iv.* 28.

5 Και ῥιψας τα αργυρια εν τῳ ναῳ, ανεχωρησε· και απελθων απηγξατο.

ανεχωρησε—απο προσωπου. *Exod. ii.* 15. ελυπηθη σφοδρα, ὡστε απαγξασθαι. *Tob. iii.* 10. *Conf. Act. i.* 18. 2 *Reg. xvii.* 23.

6 Οἱ δε Αρχιερεις λαβοντες τα αργυρια ειπον, Ουκ εξεστι βαλειν αυτα εις τον κορβαναν, επει τιμη αἱματος εστι.

ου γαρ ην αυτῳ εξον εισελθειν εις την αυλην. *Est. iv.* 2. εαν δε του ὑδατος σου πιωμεν—δωσω τιμην σοι. *Num. xx.* 19. *Exod. xxxiv.* 20. [τον ἱερον θησαυρον, καλειται δε κορβανας. *Jos. Bell. Jud. ii.* 9.] *Conf. Deut. xxiii.* 18. 1 *Par. xxii.* 8.

7 Συμβουλιον δε λαβοντες, ηγορασαν εξ αυτων τον αγρον του κεραμεως, εις ταφην τοις ξενοις.

8 Διο εκληθη ὁ αγρος εκεινος, αγρος αἱματος, ἑως της σημερον.

και εκληθη το ονομα του τοπου εκεινου Εμπυρισμος. *Num. xi.* 3, 34. ἑως της σημερον ἡμερας. 1 *Reg. xxix.* 6. *Deut. xxxiv.* 6. *Jos.*

iv. 9. δια τουτο εκληθη το ονομα του τοπου εκεινου. *Jud. ii.* 5. *Alex. Ald. Comp. Oxon. Gen. xxxi.* 48. *Act. i.* 19. [και λαβοντες την τιμην του Ιωσηφ, επρασαντο ὑποδηματα τοις τεκνοις—ειποντες, ὁτι τιμη αἱματος εστι αδελφου ἡμων αυτη, και ου φαγωμεθα αυτην, κ.τ.λ. *Test. XII Patr. p.* 634.]

9 Τοτε επληρωθη το ῥηθεν δια Ἱερεμιου του Προφητου, λεγοντος, Και ελαβον τα τριακοντα αργυρια, την τιμην του τετιμημενου, ὁν ετιμησαντο, απο υἱων Ισραηλ·

10 Και εδωκαν αυτα εις τον αγρον του κεραμεως, καθα συνεταξε μοι Κυριος.

9. 10.] του πληρωθηναι λογον Κυριου δια στοματος Ἱερεμιου. 2 *Par. xxxvi.* 21. και ελαβον τους τριακοντα αργυρους, και ενεβαλον αυτους εις τον οικον Κυριου εις το χωνευτηριον. *Zach. xi.* 13. *Conf. Jer. xxxii.* 9. καθα συνεταξεν αυτοις Μωυσης. *Exod. xii.* 35. [των ζωων τα πρωτοτοκα—τα εκ των μη καθαρων καθ' αξιαν τιμησαμενοι. *Philo. de Vict. p.* 846.] *CITAT.* 43.

11 Ὁ δε Ιησους εστη εμπροσθεν του ἡγεμονος· και επηρωτησεν αυτον ὁ ἡγεμων, λεγων, Συ ει ὁ βασιλευς των Ιουδαιων; Ὁ δε Ιησους εφη αυτῳ, Συ λεγεις.

και ανεδειξε Σεδεκειαν βασιλεα της Ιουδαιας και Ἱερουσαλημ. 1 *Esd. i.* 46. ιδου ὁ βασιλευς σου ερχεται. *Zach. ix.* 9. *Conf. Marc. xv.* 2. ὑμεις λεγετε ὁτι εγω ειμι. *Luc. xxii.* 70.

12 Και εν τῳ κατηγορεισθαι αυτον ὑπο των Αρχιερεων και των Πρεσβυτερων, ουδεν απεκρινατο.

κατηγορουμενος ὑπο των φιλων. 2 *Mac. x.* 13. ὡς προβατον επι σφαγην ηχθη, και ὡς αμνος εναντιον του κειροντος αφωνος, οὑτως ουκ ανοιγει το στομα, κ.τ.λ. *Esa. liii.* 7. επανεστησαν μοι μαρτυρες αδικοι, και εψευσατο ἡ αδικια ἑαυτῃ. *Ps. xxvi.* 12. *xxxiv.* 11. ὁτι ψευδη μου κατεμαρτυρησαν. *Sus.* 43. *Conf. Act. viii.* 32.

13 Τοτε λεγει αυτῳ ὁ Πιλατος, Ουκ ακουεις ποσα σου καταμαρτυρουσι;

Conf. Joan. xviii. 35. ποσα. *Conf. Gen. xlvii.* 8. *Ps. xxxiv.* 17. *alii.*

14 Και ουκ απεκριθη αυτῳ προς ουδε ἑν ῥημα, ὡστε θαυμαζειν τον ἡγεμονα λιαν.

και ου κατελειφθη εξ αυτων ουδε εἱς. 2 *Reg. xiii.* 30. και ουκ απεκριθη ὁ λαος λογον. 3 *Reg. xviii.* 21. *Job. xiv.* 4. και ὡσει αλαλος ουκ ανοιγων το στομα αυτου. *Ps. xxxvii.* 13. *Conf. Esa. viii.* 18. και εσιωπησαν, και ουδεις απεκριθη αυτῳ λογον. *Esa.*

xxxvi. 21. ὡσει τερας εγενηθην τοις πολλοις. *Ps. lxxi.* 7. ὡστε θαυμασαι παντας. 2 *Mac. i.* 22. *Conf. Marc. xv.* 4, 5.

15 Κατα δε ἑορτην ειωθει ὁ ἡγεμων απολυειν ἑνα τῳ οχλῳ δεσμιον, ὁν ηθελον.

απολυων δε τους αιτιους. *Sus.* 53. *Conf. Luc. xxiii.* 17. *Joan. xviii.* 39. ειωθεν. *Sir. xxxvii.* 14. κατα τους Ιησου χρονους. 2 *Mac. xii.* 15.

16 Ειχον δε τοτε δεσμιον επισημον, λεγομενον Βαραββαν.

ανηρ επισημος. 3 *Mac. vi.* 1. [οἱ δια πληθος αδικηματων επισημοι. *Jos. Ant. v.* 7. 1.]

17 Συνηγμενων ουν αυτων, ειπεν αυτοις ὁ Πιλατος, Τινα θελετε απολυσω ὑμιν; Βαραββαν, η Ιησουν τον λεγομενον Χριστον;

Δωσιθεος ὁ Δριμυλου λεγομενος. 3 *Mac. i.* 3. *Conf. Joan. xix.* 15.

18 Ηδει γαρ ὁτι δια φθονον παρεδωκαν αυτον.

και ουκ εστι φθονος—εν αυτοις. 1 *Mac. viii.* 16. ηδεισαν γαρ ὁτε Δανιηλ προσευχεται. *Dan. vi.* 5. *LXX. Conf. Act. vii.* 9. επολεμησαν με δωρεαν. *Ps. cviii.* 3. *Conf. Joan. xv.* 25.

19 Καθημενου δε αυτου επι του βηματος, απεστειλε προς αυτον ἡ γυνη αυτου, λεγουσα, Μηδεν σοι και τῳ δικαιῳ εκεινῳ· πολλα γαρ επαθον σημερον κατ᾽ οναρ δι᾽ αυτον.

προσηλθεν επι το βημα Λυσιας. 2 *Mac. xiii.* 26. και εκαθητο επι της κοπριας. *Job. ii.* 8. τι ὑμιν και Κυριῳ τῳ Θεῳ Ισραηλ; *Jos. xxii.* 24. και απεστειλαν προς αυτον αλληλους λογοις ειρηνικοις, λεγοντες. *Judith. iii.* 1. τι εμοι και ὑμιν υἱοι Σαρουιας; 2 *Reg. xvi.* 10. *Conf. Job. xxxiii.* 15-17. [επι βηματος ὑψηλου σταθεις. *Jos. Ant. iv.* 8-12.]

20 Οἱ δε Αρχιερεις και οἱ Πρεσβυτεροι επεισαν τους οχλους, ἱνα αιτησωνται τον Βαραββαν, τον δε Ιησουν απολεσωσιν·

και επεισε Δαυιδ τους ανδρας αυτου εν λογοις. 1 *Reg. xxiv.* 8. *Conf. Marc. xv.* 11. *Luc. xxiii.* 18. *Joan. xviii.* 40. *Act. iii.* 14.

21 Αποκριθεις δε ὁ ἡγεμων ειπεν αυτοις, Τινα θελετε απο των δυο απολυσω ὑμιν; Οἱ δε ειπον, Βαραββαν.

22 Λεγει αυτοις ὁ Πιλατος, Τι ουν ποιησω Ιησουν τον λεγομενον Χριστον; Λεγουσιν αυτῳ παντες, Σταυρωθητω.

τι ουν ποιησω (εις *subaud.*) Ιησουν; *Ita,* οὑτω ποιησεις τον μοσχον

σου. *Exod. xxii.* 30. τι τουτο εποιησας ἡμιν; *Gen. xx.* 9. οὑτω ποιησεις τον αμπελωνα σου. *Exod. xxiii.* 11. ειπε δε ὁ βασιλευς, Σταυρωθητω επ' αυτου. *Est. vii.* 9. *Conf. Zach. xi.* 8.

23 Ὁ δε ἡγεμων εφη, Τι γαρ κακον εποιησεν; Οἱ δε περισσως
εκραζον, λεγοντες, Σταυρωθητω.

περισσως σφοδρα. *Esa. lvi.* 12. τι ἡμαρτηκα, και τι εὑρεθη εν εμοι αδικημα; 1 *Reg. xxvi.* 18. μη ποιησαι μεθ' ἡμων κακον. *Gen. xxvi.* 29. ἱνατι αποθνησκει; τι πεποιηκε; 1 *Reg. xx.* 32. *Conf. Act. xxi.* 36. *xxii.* 22. *Gen. xxxvii.* 18.

24 Ιδων δε ὁ Πιλατος, ὁτι ουδεν ωφελει, αλλα μαλλον θορυβος
γινεται, λαβων ὑδωρ, απενιψατο τας χειρας απεναντι του
οχλου, λεγων, Αθωος ειμι απο του αἱματος του δικαιου τουτου·
ὑμεις οψεσθε.

τι ωφελησαν πλειον η κοπους; *Sir. xxxi.* 23. απεναντι του θυσιαστηριου. *Lev. vi.* 14. *et pass.* αθωος ειμι—απο των αἱματων Αβεννηρ. 2 *Reg. iii.* 28. *Susan.* 46. νιψομαι εν αθωοις τας χειρας μου. *Ps. xxv.* 6. *Deut. xxi.* 6. 7. των εκχεοντων αἱμα δικαιον. *Thren. iv.* 13. αθωος εγω απο του αἱματος ταυτης. *Susan.* 46. *Joel. iii.* 19. απονιπτειν. 3 *Reg. xxii.* 28. *Conf. Deut. xxi.* 9. *Ps. xxv.* 6. [αἱματι γαρ αἱμα καθαιρεται τῳ του κτειναντος, τῳ του επιβουλευσαντος. *Philo. de Leg. p.* 800. ανυπαιτιος και αθωα ισθι. *Ib. p.* 786.] *Conf. Jer. ii.* 22, 35. *Job. ix.* 30, 31.

25 Και αποκριθεις πας ὁ λαος ειπε, Το αἱμα αυτου εφ' ἡμας
και επι τα τεκνα ἡμων.

το αἱμα σου εσται επι την κεφαλην σου. 3 *Reg. ii.* 37. *Ezech. xxxiii.* 5. *Conf. Act. v.* 28. *Deut. xix.* 10. *Jos. ii.* 19. *Gen. xxvii.* 13. αἱμα αθωον διδοτε εφ' ὑμας, και επι την πολιν ταυτην, και επι τους κατοικουντας εν αυτῃ. *Jer. xxxiii.* 15. εξ ἁμαρτιων προφητων αυτης, αδικιων ἱερεων αυτης, των εκχεοντων αἱμα δικαιον εν μεσῳ αυτης. *Thren. iv.* 13.

26 Τοτε απελυσεν αυτοις τον Βαραββαν· τον δε Ιησουν φρα-
γελλωσας παρεδωκεν ἱνα σταυρωθῃ.

ανθρωπος εν πληγῃ ων. *Esa. liii.* 3. απελυσεν αυτον, και απηλθε. *Ps. xxxiii.* 1. τον νωτον μου εδωκα εις μαστιγας. *Esa. l.* 6. επι τον νωτον μου ετεκταινον οἱ ἁμαρτωλοι. *Ps. cxxviii.* 3. [φραγελλωσας με, κ.τ.λ. *Test. XII Patr. p.* 728.] Κυριος παρεδωκεν αυτον ταις ἁμαρτιαις ἡμων. *Esa. liii.* 6. *Conf. Marc. xv.* 15. *Joan. xix.* 1. *Luc. xxiii.* 25. τι αἱ πληγαι αὑται αναμεσον των χειρων σου; και ερει, ἁς επληγην εν τῳ οικῳ τῳ αγαπητῳ μου. *Zach. xiii.* 6.

27 Τοτε οἱ στρατιωται του ἡγεμονος, παραλαβοντες τον Ιη-
σουν εις το πραιτωριον, συνηγαγον επ᾽ αυτον ὁλην την σπειραν·

κατεστησεν αυτους επι των σπειρων. 2 Mac. xii. 20. συναχθεντες επ᾽ εμε. Gen. xxxiv. 30. [πραιτωριον. Conf. Act. Thom. c. 19. ubi mox vocatur παλατιον.]

28 Και εκδυσαντες αυτον, περιεθηκαν αυτῳ χλαμυδα κοκκινην·

και περιθησεις τον ἱματισμον σου επι σε. Ruth. iii. 3. εξεδυσατο. Gen. xxxvii. 23. alii. 2 Reg. xiii. 18. χλαμυς. 2 Mac. xii. 35. [Conf. Philo. in Flacc. p. 970. βυβλον μεν ευρυναντες αντι διαδηματος, επιτιθεασιν αυτου τῃ κεφαλῃ, κ.τ.λ. οἱ μεν ὡς ασπασομενοι, οἱ δε ὡς δικασομενοι, κ. τ. λ.—ειτ᾽ εκ περιεστωτος εν κυκλῳ πληθους, εξηκει βοη τις ατοπος, Μαριν (i.e. Κυριον, apud. Syros) αποκαλουντων.]

28-31.] *και—και. Conf. 3 Reg. xv. 3, 4. Esa. xi. 12-16. et passim.*

29 Και πλεξαντες στεφανον εξ ακανθων, επεθηκαν επι την
κεφαλην αυτου, και καλαμον επι την δεξιαν αυτου· και γο-
νυπετησαντες εμπροσθεν αυτου, ενεπαιζον αυτῳ, λεγοντες,
Χαιρε, ὁ βασιλευς των Ιουδαιων·

ὁ στεφανος της ελπιδος, ὁ πλεκεις της δοξης. Esa. xxviii. 5. Exod. xxviii. 14. επιθησει—επι την κεφαλην. Lev. xiv. 18. xvi. 21. ητιμασθη, και ουκ ελογισθη. Esa. liii. 3. και κατ᾽ εμου ευφρανθησαν και συνηχθησαν, κ. τ. λ. Ps. xxxiv. 15. lxx. 7. [προσηλουν δ᾽ οἱ στρατιωται δι᾽ οργην και μισος τους αλοντας, αλλον αλλῳ σχηματι προς χλευην, και δια το πληθος, χωρα τε ενελειπετο τοις σταυροις, και σταυροι τοις σωμασι. Jos. Bell. Jud. v. 11. 1. p. 1247. Edit. Hudson.]

30 Και εμπτυσαντες εις αυτον, ελαβον τον καλαμον, και
ετυπτον εις την κεφαλην αυτου.

και τυπτετε πυγμαις ταπεινον. Esa. lviii. 4. το προσωπον μου ουκ απεστρεψα απο αισχυνης εμπτυσματων. l. 6. Conf. Mich. v. 1. Esa. l. 6. lii. 14.

31 Και ὁτε ενεπαιξαν αυτῳ, εξεδυσαν αυτον την χλαμυδα, και
ενεδυσαν αυτον τα ἱματια αυτου· και απηγαγον αυτον εις το
σταυρωσαι.

και λαβομενος της χλαμυδος, ηγεν αυτον. 2 Mac. xii. 35. και εμπαικται κυριευσουσιν αυτων. Esa. iii. 4. Sir. xxvii. 28. και απηγαγε με εις σκοτος. Thren. iii. 2. Gen. xl. 3. xlii. 16. ὡς προβατον επι σφαγην ηχθη. Esa. liii. 7. εις το ειναι. Sap. i. 14.

32 Εξερχομενοι δε εὑρον ανθρωπον Κυρηναιον, ονοματι Σιμωνα·
τουτον ηγγαρευσαν ἱνα αρῃ τον σταυρον αυτου.

Conf. Marc. xv. 21. *Luc. xxiii.* 26. *Heb. xiii.* 12. οἱ ανθρωποι οἱ εν Σοδομοις. *Gen. xiii.* 13. [κελευω μηδε αγγαρευεσθαι τα των Ιουδαιων ὑποζυγια. *Jos. Ant. xiii.* 2, 3.] σταυρον. *Esd. vi.* 11.

33 Και ελθοντες εις τοπον λεγομενον Γολγοθα, ὁς εστι λεγο-
μενος κρανιου τοπος,

διατουτο εκληθη το ονομα του τοπου εκεινου. *Jud. ii.* 5. *Alex. Ald. Comp. Marc. xv.* 22. *Luc. xxiii.* 33. *Joan. xix.* 17.

34 Εδωκαν αυτῳ πιειν οξος μετα χολης μεμιγμενον· και γευ-
σαμενος, ουκ ηθελε πιειν.

και εδωκαν εις το βρωμα μου χολην, και εις την διψαν μου εποτισαν με οξος. *Ps. lxviii.* 21. επιδοτε ἡμιν ὁπως πιωμεν. *Amos. iv.* 2. και ουκ ηθελησε πιειν αυτο. 2 *Reg. xxiii.* 16, 17. οινον και μεθυσμα ου πεπωκα. 1 *Reg. i.* 15. *Luc. xxiii.* 34. *Joan. xix.* 29.

35 Σταυρωσαντες δε αυτον, διεμερισαντο τα ἱματια αυτου,
βαλλοντες κληρον· ἱνα πληρωθῃ το ῥηθεν ὑπο του προφητου,
Διεμερισαντο τα ἱματια μου ἑαυτοις, και επι τον ἱματισμον
μου εβαλον κληρον.

Ps. xxi. 18. πληρωθηναι το ῥημα Κυριου ὁ ελαλησε. 3 *Reg. ii.* 27. διεμερισαντο τα ἱματια μου ἑαυτοις, και επι τον ἱματισμον μου εβαλον κληρον. *Ps. xxi.* 18. *CITAT.* 44.

36 Και καθημενοι ετηρουν αυτον εκει.

οἱ δε σοι οφθαλμοι εμας ὁδους τηρειτωσαν. *Prov. xxiii.* 26. εκει. *Gen. xix.* 20, 22.

37 Και επεθηκαν επανω της κεφαλης αυτου την αιτιαν αυτου
γεγραμμενην, ΟΥΤΟΣ ΕΣΤΙΝ ΙΗΣΟΥΣ Ο ΒΑΣΙΛΕΥΣ
ΤΩΝ ΙΟΥΔΑΙΩΝ.

Conf. Marc. xv. 26. *Luc. xxiii.* 38. βασιλευς—επι Σιων. *Ps. ii.* 6. *Conf. Ezech. xxxvii.* 24-26. *Gen. xiv.* 18. *Num. xxiv.* 7. 1 *Reg. xii.* 12. *Ps. lxxxviii.* 18. *cxlix.* 2. [αιτια. *Jos. Ant. iv.* 8. 23.]

38 Τοτε σταυρουνται συν αυτῳ δυο λῃσται, εἱς εκ δεξιων και
εἱς εξ ευωνυμων.

ἑνα εκ δεξιων, και ἑνα εξ ευωνυμων. 2 *Par. iii.* 17. *Alex.* εν τοις ανομοις ελογισθη. *Esa. liii.* 12. *Luc. xxiii.* 33.

39 Οἱ δε παραπορευομενοι εβλασφημουν αυτον, κινουντες τας
κεφαλας αὑτων,

παντες οἱ θεωρουντες με εξεμυκτηρισαν με, ελαλησαν εν χειλεσιν, εκινησαν κεφαλην. Ps. xxi. 7. εθου ἡμας εις παραβολην εν τοις εθνεσι, κινησιν κεφαλης εν τοις λαοις. Ps. xliii. 14. Sir. xii. 18. Esa. xxxvii. 22. Jer. xviii. 16. Thren. ii. 15.

40 Και λεγοντες, Ὁ καταλυων τον ναον, και εν τρισιν ἡμεραις οικοδομων, σωσον σεαυτον· ει υἱος ει του Θεου, καταβηθι απο του σταυρου.

και τον οικον τουτον κατελυσε. Esd. v. 12. ει γαρ εστιν ὁ δικαιος. υἱος Θεου, αντιληψεται αυτου, και ῥυσεται αυτον εκ χειρος ανθεστηκοτων, κ. τ. λ. Sap. ii. 18. Conf. cap. xxvi. 61. Joan. ii. 19, 20. Luc. iv. 23.

41 Ὁμοιως δε και οἱ Αρχιερεις εμπαιζοντες μετα των Γραμματεων και Πρεσβυτερων ελεγον,

42 Αλλους εσωσεν, ἑαυτον ου δυναται σωσαι. ει βασιλευς Ισραηλ εστι, καταβατω νυν απο του σταυρου, και πιστευσομεν αυτῳ.

φθεγξαμενος εν εμοι εταπεινωσε με Κυριος εν ἡμερᾳ οργης θυμου αυτου. Thren. i. 12. Conf. Sap. ii. 18.

43 Πεποιθεν επι τον Θεον· ῥυσασθω νυν αυτον, ει θελει αυτον. ειπε γαρ, Ὁτι Θεου ειμι υἱος.

οἱ πεποιθοτες επι Κυριον. Ps. cxxiv. 1. Esa. xxxvi. 7. ηλπισεν επι Κυριον, ῥυσασθω αυτον, σωσατω αυτον, ὁτι θελει αυτον. Ps. xxi. 8. xviii. 22. 1 Reg. xviii. 22. επαγγελλεται γνωσιν εχειν Θεου, και παιδα Κυριου ἑαυτον ονομαζει. Sap. ii. 13. και ἡμεις ελογισαμεθα αυτον ειναι εν πονῳ. κ. τ. λ. Esa. liii. 4.

44 Το δ' αυτο και οἱ λῃσται οἱ συσταυρωθεντες αυτῳ ωνειδιζον αυτῳ.

Conf. Luc. xxiii. 39. Ps. lxviii. 9.

45 Απο δε ἑκτης ὡρας σκοτος εγενετο επι πασαν την γην ἑως ὡρας εννατης·

ἑως ὡρας αριστου. 2 Reg. xxiv. 15. οἱ γαρ αστερες του ουρανου, και ὁ Ωριων, και πας ὁ κοσμος του ουρανου, το φως ου δωσουσι, κ.τ.λ. Esa. xiii. 10. l. 3. δυσεται ὁ ἡλιος μεσημβριας. Amos. viii. 9.

46 Περι δε την εννατην ὡραν ανεβοησεν ὁ Ιησους φωνῃ μεγαλῃ, λεγων, Ηλι, Ηλι, λαμα σαβαχθανι; τουτ' εστι, Θεε μου, Θεε μου, ἱνατι με εγκατελιπες;

περι δε τον καιρον εκεινον. 2. *Mac. ix.* 1. *και ανεβοησα φωνῃ μεγαλῃ.* *Ezech. xi.* 13. 2 *Reg. xv.* 23. *Gen. xxxix.* 15. *ὁ Θεος ὁ Θεος μου προσχες μοι, ἱνατι εγκατελιπες με;* *Ps. xxi.* 1. *Conf. Grot. ad loc.* *Exod. xxxii.* 11. *Ps. x.* 1. *παντοκρατωρ Θεε.* 3 *Mac. vi.* 2. *και ἱνατι αποθνησκετε οικος Ισραηλ;* *Ezech. xviii.* 31. 1 *Cor. x.* 29. *Conf. Viger. Herm. p.* 456. *CITAT.* 45.

47 *Τινες δε των εκει ἑστωτων ακουσαντες ελεγον, Ὁτι Ηλιαν φωνει οὑτος.*

Conf. Sir. xlviii. 1-4. *και ιδου εγω αποστελω ὑμιν Ηλιαν κ. τ. λ.* *Mal. iv.* 5. *Conf. Matt. xi.* 14. *Marc. vi.* 15. *ix.* 11.

48 *Και ευθεως δραμων εἱς εξ αυτων, και λαβων σπογγον, πλησας τε οξους, και περιθεις καλαμῳ εποτιζεν αυτον.*

εἱς εξ ἡμων. *Gen. iii.* 22. *xlii.* 16. *εδωκαν εις το βρωμα μου χολην, και εις την διψαν μου εποτισαν με οξος.* *Ps. lxviii.* 21. *επλησε τον ασκον ὑδατος, και εποτισε το παιδιον.* *Gen. xxi.* 19. *Conf. Marc. xv.* 36. *Luc. xxiii.* 36. *Joan. xix.* 29.

49 *Οἱ δε λοιποι ελεγον, Αφες, ιδωμεν ει ερχεται Ηλιας σωσων αυτον.*

και νυν—αφες—ει δε μη. *Exod. xxxii.* 32. *εα δε.* *Job. xix.* 5. *ιδωμεν ει οἱ λογοι αυτου αληθεις, και πειρασωμεν τα εν εκβασει αυτου.* *Sap. ii.* 17. *οἱ λοιποι.* *Jos. xvii.* 2. *Esd. iv.* 7.

50 *Ὁ δε Ιησους παλιν κραξας φωνῃ μεγαλῃ, αφηκε το πνευμα.*

εν εξοδῳ πνευματος αυτου. *Sir. xxxviii.* 23. *και το πνευμα επιστρεψῃ προς τον Θεον.* *Eccles. xii.* 7. *και αφηκε.* *Jud. ii.* 21. *εγενετο δε εν τῳ αφιεναι αυτην την ψυχην.* *Gen. xxxv.* 18. *φωνῃ μου προς Κυριον εκεκραξα.* *Ps. cxli.* 1. *παρεδοθη εις θανατον ἡ ψυχη αυτου.* *Esa. liii.* 12. *Conf. Luc. xxiii.* 46. *Joan. xix.* 30.

51 *Και ιδου, το καταπετασμα του ναου εσχισθη εις δυο απο ανωθεν ἑως κατω· και ἡ γη εσεισθη, και αἱ πετραι εσχισθησαν·*

και διοριει το καταπετασμα ὑμων αναμεσον του ἁγιου και αναμεσον του ἁγιου των ἁγιων. *Exod. xxvi.* 33. 2 *Par. iii.* 14. *σχισθησεται πετρα.* *Esa. xlviii.* 21. *ενεθυμηθη βουλευσασθαι εισελθειν εις τον ναον.* 3 *Mac. i.* 30. *σχισθησεται το ορος των ελαιων, το ἡμισυ αυτου.* *Zach. xiv.* 4. *Esa. ii.* 21. *απο—ἑως κατω.* *Ezech. i.* 27. *viii.* 2. *σεισθησεται ὁ ουρανος και ἡ γη.* *Joel. iii.* 16. *δυο δυο.* *Gen. vi.* 19. *και διερρηξεν αυτα (τα ἱματια) εις δυο ῥηγματα.* 4 *Reg. ii.* 12. *φωνη κραυγης εκ πολεως, φωνη εκ ναου, φωνη Κυριου ανταποδιδοντος*

ποδιδοντος ανταποδοσιν τοις αντικειμενοις, κ. τ. λ. *Esa. lxiv.* 6, 7. *Nah. i.* 5. *Hab. iii.* 10-12. [των πετρων σχιζομενων, και του ἡλιου σβεννυμενου, και των ὑδατων ξηραινομενων—επι τῳ παθει του ὑψιστου, κ. τ. λ. *Test. XII Patr.* 548.]

52 Και τα μνημεια ανεῳχθησαν, και πολλα σωματα των κεκοιμημενων ἁγιων ηγερθη,

ιδου εγω ανοιγω τα μνηματα ὑμων, και αναξω ὑμας εκ των μνηματων ὑμων, κ. τ. λ. *Ezech. xxxvii.* 12-14. και κοιμηθησῃ μετα των πατερων σου. 1 *Par. xvii.* 11. αναστησονται οἱ νεκροι, και εγερθησονται οἱ εν τοις μνημειοις. *Esa. xxvi.* 19. *Ose. xiii.* 14. *Conf. Ps. xvii.* 8. *Joel. iii.* 15. *Joan. v.* 25. 1 *Cor. xv.* 20.

53 Και εξελθοντες εκ των μνημειων, μετα την εγερσιν αυτου, εισηλθον εις την ἁγιαν πολιν, και ενεφανισθησαν πολλοις.

Ἱερουσαλημ, πολις ἡ ἁγια. *Esa. lii.* 1. *Neh. xi.* 1. εμφανιζεται δε τοις μη απιστουσιν αυτῳ. *Sap. i.* 2. *Conf. Esa. xlviii.* 2.

54 Ὁ δε ἑκατονταρχος και οἱ μετ᾽ αυτου τηρουντες τον Ιησουν, ιδοντες τον σεισμον και τα γενομενα, εφοβηθησαν σφοδρα, λεγοντες, Αληθως Θεου υἱος ην οὑτος.

—αυτον, και επι παντας τους μετ᾽ αυτου. *Ezech. xxxviii.* 22. αληθως Κυριος ὁ Θεος αυτος ὁ Θεος. 3 *Reg. xviii.* 39. *Conf. Marc. xv.* 39. *Luc. xxiii.* 47. υἱος μου ει συ. *Ps. ii.* 7. *Conf.* 2 *Reg. i.* 14.

55 Ησαν δε εκει γυναικες πολλαι απο μακροθεν θεωρουσαι, αἱτινες ηκολουθησαν τῳ Ιησου απο της Γαλιλαιας, διακονουσαι αυτῳ·

και οἱ εγγιστα μου απο μακροθεν εστησαν. *Ps. xxxvii.* 11. *Alex. Ald. Comp. Conf. Luc. viii.* 2. ησαν—θεωρουσαι = εστω διαχωριζον. *Gen. i.* 6.

56 Εν αἱς ην Μαρια ἡ Μαγδαληνη, και Μαρια ἡ του Ιακωβου και Ιωση μητηρ, και ἡ μητηρ των υἱων Ζεβεδαιου.

57 Οψιας δε γενομενης, ηλθεν ανθρωπος πλουσιος απο Αριμαθαιας, τουνομα Ιωσηφ, ὁς και αυτος εμαθητευσε τῳ Ιησου·

ὡς δε οψια εγενετο. *Judith. xiii.* 1. εμαθητευσε (ἑαυτον) τῳ Ιησου. *Ita*, και μεταβαλει (ἑαυτον) εις αἱμα. *Exod. vii.* 17. [τινι Ῥααζαρῳ μεν τουνομα. *Jos. Ant. viii.* 7. 6.] ανθρωπος ην εξ Αρμαθαιμ Σιφα, εξ ορους Εφραϊμ, και ονομα αυτῳ Ἑλκανα. 1 *Reg. i.* 1. *vii.* 17. [ανηρ απο Γισχαλων—Ιωαννης ονομα. *Jos. Bell. Jud. ii.* 21. 1.] *Marc. xv.* 42. *Luc. xxiii.* 50. *Joan. xix.* 38-42.

58 Οὑτος προσελθων τῳ Πιλατῳ, ῃτησατο το σωμα του Ιησου. τοτε ὁ Πιλατος εκελευσεν αποδοθηναι το σωμα.

ου κοιμηθησεται το σωμα αυτου επι του ξυλου, αλλα ταφῃ θαψετε αυτο εν τῃ ἡμερᾳ εκεινῃ, ὁτι κεκατηραμενος ὑπο Θεου πας κρεμαμενος επι ξυλου· και ου μη μιανειτε την γην, ἡν Κυριος ὁ Θεος σου διδωσι σοι εν κληρῳ. *Deut. xxi.* 23. [*Jos. Ant. i.* 4. 8.]

59 Και λαβων το σωμα ὁ Ιωσηφ ενετυλιξεν αυτο σινδονι καθαρᾳ,

σινδονας. *Prov. xxxi.* 24. και δωσω τους πονηρους αντι της ταφης αυτου, και τους πλουσιους αντι του θανατου αυτου. *Esa. liii.* 9.

60 Και εθηκεν αυτο εν τῳ καινῳ αὑτου μνημειῳ, ὁ ελατομησεν εν τῃ πετρᾳ· και προσκυλισας λιθον μεγαν τῃ θυρᾳ του μνημειου, απηλθεν.

ὁτι ελατομησας σεαυτῳ ὡδε μνημειον. *Esa. xxii.* 16. και εθηκαν εν τῃ σορῳ. *Gen. l.* 26. εν τῳ ταφῳ ἑαυτου. 2 *Reg. xiii.* 30. *Conf. Marc. xv.* 46. εμβλεψατε εις την στερεαν πετραν ἡν ελατομησατε. *Esa. li.* 1. *Conf. Joan. xx.* 1. *Dan. vi.* 17.

61 Ην δε εκει Μαρια ἡ Μαγδαληνη, και ἡ αλλη Μαρια, καθημεναι απεναντι του ταφου.

και εκαθισεν απεναντι αυτου. *Gen. xxi.* 16. *Conf. sup.* 56.

62 Τῃ δε επαυριον, ἡτις εστι μετα την παρασκευην, συνηχθησαν οἱ Αρχιερεις και οἱ Φαρισαιοι προς Πιλατον,

εγενετο δε εν τῃ επαυριον. *Gen. xix.* 34. [εν σαββασιν, η τῃ προ ταυτης παρασκευῃ, απο ὡρας εννατης. *Jos. Ant. xvi.* 6. 2.]

63 Λεγοντες, Κυριε, εμνησθημεν ὁτι εκεινος ὁ πλανος ειπεν ετι ζων, Μετα τρεις ἡμερας εγειρομαι.

εν τῃ ἡμερᾳ τῃ τριτῃ αναστησομεθα, κ. τ. λ. *Ose. vi.* 3. *Alex.* και εγενετο μετα τας ἑπτα ἡμερας. *Ezech. iii.* 16. [ὁν, ευθυς μετ' ογδοην ἡμεραν περιτεμνουσι. *quem statim die octavo circumcidunt. Jos. Ant. i.* 12. 2.] [και ανδρα ανακαινοποιουντα τον νομον εν δυναμει Ὑψιστου, πλανον προσαγορευσετε, και τελος, ὡς νομιζετε, αποκτενειτε αυτον, ουκ ειδοτες αυτου το αναστημα, κ. τ. λ. *Test. XII Patr. p.* 582.]

64 Κελευσον ουν ασφαλισθηναι τον ταφον ἑως της τριτης ἡμερας· μηποτε ελθοντες οἱ μαθηται αυτου νυκτος κλεψωσιν αυτον, και ειπωσι τῳ λαῳ, Ηγερθη απο των νεκρων· και εσται ἡ εσχατη πλανη χειρων της πρωτης.

ἡ εσχατη πλανη (*ultima fraus*). σοφια πανουργων επιγνωσεται

τας ὁδους αυτων, ανοια δε αφρονων εν πλανῃ. Prov. xiv. 8. *εθαψα αυτους κλεπτων. Tob. i.* 18, 19. *ὁ εγειρας νεκρον εκ θανατου και εξ ᾁδου. Sir. xlviii.* 5. *των αλλων εστι χειρονα. Sap. xv.* 18. [*μηποτε, ne forte. Sir. xlii.* 9, 10, 11. *Hoogev. p.* 518.] *ὁτι μειζων ἡ κακια ἡ εσχατη η ἡ πρωτη.* 2 *Reg. xiii.* 15.

65 Εφη *δε αυτοις ὁ* Πιλατος, Εχετε *κουστωδιαν· ὑπαγετε, ασφαλισασθε ὡς οιδατε.*

και ησφαλισαμην σε τῃ δεξιᾳ. Esa. xli. 10. *ασφαλισαμενος σιδηρῳ. Sap. xiii.* 15. *απο ενεδρευοντων ησφαλισατο. Sap. x.* 12. *xiii.* 15. [*κουστωδια, Lat. Custodia.*]

66 Οἱ *δε πορευθεντες ησφαλισαντο τον ταφον, σφραγισαντες τον λιθον μετα της κουστωδιας.*

ουκ εστι σοφια, ουκ εστι ανδρεια, ουκ εστι βουλη κατεναντι Κυριου. *Prov. xxi.* 30. *Aq. Sym. Theod. πηγη εσφραγισμενη. Cant. iv.* 12. *πυλην της πηγης ησφαλισατο* Σαλωμων. *Neh. iii.* 15. *Conf. Jos. viii.* 29. *Marc. xv.* 46. *και ηνεγκαν λιθον, και επεθηκαν επι το στομα του λακκου, και εσφραγισατο ὁ βασιλευς εν τῳ δακτυλιῳ αυτου. Dan. vi.* 17. Sept. 4. 1851.

ΚΕΦ. *κη.* 28.

ΟΨΕ *δε σαββατων, τῃ επιφωσκουσῃ εις μιαν σαββατων, ηλθε* Μαρια *ἡ* Μαγδαληνη, *και ἡ αλλη* Μαρια, *θεωρησαι τον ταφον.*

οψε σαββατων = διαγενομενου του σαββατου. Marc. xvi. 1. *Conf. Krebs. et Loesn. μιαν, i. e. πρωτην σαββατων. Ita, μια του μηνος. Ezech. xxxii.* 1. *Esd. iii.* 6. *ἡμερα μια. Gen. i.* 5. *Num. i.* 1. 18. *Exod. xl.* 2. *τῃ επιφωσκουσῃ sc. ἡμερᾳ. απο της ὡρας του διαφωτισαι τον ἡλιον ἑως ἡμισους της ἡμερας. Neh. viii.* 3. *Vide Grot. et Keuchen in loc. θεωρησαι. Job. xiii.* 1. *Ald. Conf. Marc. xvi.* 1. *Luc. xxiv.* 1. *Joan. xx.* 1.

2 Και *ιδου, σεισμος εγενετο μεγας· αγγελος γαρ* Κυριου, *καταβας εξ ουρανου, προσελθων απεκυλισε τον λιθον απο της θυρας, και εκαθητο επανω αυτου.*

εσται σεισμος μεγας επι γης Ισραηλ. *Ezech. xxxviii.* 19. *καταβαινοντα εκ του ουρανου. Dan. iv.* 20. *Alex. απεκυλισε τον λιθον απο του στοματος του φρεατος. Gen. xxix.* 10. [*συσσεισμος· λαιλαψ, συστροφη ανεμου. Suid. Conf.* 4 *Reg. ii.* 11.]

3 Ην *δε ἡ ιδεα αυτου ὡς αστραπη, και το ενδυμα αυτου λευκον ὡσει χιων.*

το προσωπον αυτου ὡς ἡ ὁρασις αστραπης κ.τ.λ. *Dan. x.* 6. ὡς χιονα λευκανω. *Esa. i.* 18. *Dan. vii.* 9. και εγεννησε κατα την ιδεαν αυτου. *Gen. v.* 3. *Dan. i.* 13. ὡσει πυρ. *Job. xxviii.* 5. *Conf. Jud. xiii.* 20, 21. *Thren. iv.* 7. *Dan. vii.* 9. *Apoc. iii.* 4, 5, 18. *iv.* 4. [τοτε μοι δοκει πρωτον—λαβειν φαντασιαν—η προφητων τινων, η αγγελων μεταβαλλοντων απο πνευματικης και ψυχοειδους ουσιας εις ανθρωπομορφον ιδεαν. *Philo. de Abrah. p.* 366.] [επεθυμουν ιδειν την ιδεαν αυτου, και την μορφωσιν της οψεως αυτου. *Test. XII Patr. p.* 742.]

4 Απο δε του φοβου αυτου εσεισθησαν οἱ τηρουντες, και εγενοντο ὡσει νεκροι.

απο της φωνης της πτωσεως αυτου εσεισθησαν. *Ezech. xxxi.* 16. και εγενετο ὡσει κονιορτος απο ἁλωνος. *Dan. ii.* 35. ὡς νεκρους. *Ps. cxlii.* 3. *Thren. iii.* 6. [τηρουντες. *Test. XII Patr. p.* 636.]

5 Αποκριθεις δε ὁ αγγελος ειπε ταις γυναιξι, Μη φοβεισθε ὑμεις· οιδα γαρ ὁτι Ιησουν τον εσταυρωμενον ζητειτε.

και απεκριθη ὁ αγγελος Κυριου. *Zach. i.* 12. μη φοβεισθε. *Deut. i.* 21. *xx.* 3. και ζητησω ὁν ηγαπησεν ἡ ψυχη μου· εζητησα αυτον, και ουχ εὑρον αυτον. *Cant. iii.* 2. σταυρωθητω. *Est. vii.* 9.

6 Ουκ εστιν ὡδε· ηγερθη γαρ, καθως ειπε. δευτε, ιδετε τον τοπον, ὁπου εκειτο ὁ Κυριος.

δευτε, και ιδετε. 4 *Reg. vii.* 14. *Ps. xlv.* 8. *lxv.* 4. ιδου ὁ τοπος εν ᾡ ἡμεις οικουμεν. 4 *Reg. vi.* 1. ὑπομεινον με, λεγει Κυριος, εις ἡμεραν αναστασεως μου εις μαρτυριον. *Sophon. iii.* 8.

7 Και ταχυ πορευθεισαι ειπατε τοις μαθηταις αυτου, ὁτι ηγερθη απο των νεκρων, και ιδου, προαγει ὑμας εις την Γαλιλαιαν· εκει αυτον οψεσθε. ιδου, ειπον ὑμιν.

Conf. Marc. xiv. 28. *Joan. xxi.* 1. *Act. i.* 3. και απηγγειλα ὑμιν; μαρτυρες ὑμεις εστε, ει εστι Θεος πλην εμου. *Esa. xliv.* 8. *xlv.* 21.

8 Και εξελθουσαι ταχυ απο του μνημειου μετα φοβου και χαρας μεγαλης, εδραμον απαγγειλαι τοις μαθηταις αυτου.

μετα χαρας μεγαλης. 1 *Par. xxix.* 22. *Comp.* φευγετε απο γης. *Zach. ii.* 6. δουλευσατε τῳ Κυριῳ εν φοβῳ, και αγαλλιασθε αυτῳ εν τρομῳ. *Ps. ii.* 11. *Conf. Esd. iii.* 12, 13. *Marc. xvi.* 8.

9 Ὡς δε επορευοντο απαγγειλαι τοις μαθηταις αυτου, και ιδου, ὁ Ιησους απηντησεν αυταις, λεγων, Χαιρετε. Αἱ δε προσελθουσαι εκρατησαν αυτου τους ποδας, και προσεκυνησαν αυτῳ.

και απηντησεν αυτῳ. 3 *Reg. ii.* 34. χαιρειν. 2 *Mac. ix.* 19. και επελαβετο των ποδων αυτου. 4 *Reg. iv.* 27. και ιδου. *Gen. xxiv.*

15. και προσκυνουσι τα ιχνη των ποδων σου. *Esa. lx.* 14. *Comp.* ὁτι εμοι καμψει παν γονυ. *Esa. xlv.* 24. *Conf. Marc. xvi.* 9. *Joan. xx.* 14. *Esa. lxiv.* 5.

10 Τοτε λεγει αυταις ὁ Ιησους, Μη φοβεισθε· ὑπαγετε, απαγγειλατε τοις αδελφοις μου, ἱνα απελθωσιν εις την Γαλιλαιαν, κακει με οψονται.

διηγησομαι το ονομα σου τοις αδελφοις μου. *Ps. xxi.* 22. *Heb. ii.* 11. *Rom. viii.* 29. *Conf. Esa. ix.* 1, 2.

11 Πορευομενων δε αυτων, ιδου, τινες της κουστωδιας ελθοντες εις την πολιν απηγγειλαν τοις Αρχιερευσιν ἁπαντα τα γενομενα.

12 Και συναχθεντες μετα των Πρεσβυτερων, συμβουλιον τε λαβοντες, αργυρια ἱκανα εδωκαν τοις στρατιωταις,

λαοι ἱκανοι. *Hab. ii.* 13. 1 *Mac. xiii.* 11. τε. *Conf.* 3 *Mac. i.* 12. *vi.* 41. *Conf. Ps. ii.* 1-7. σκευη ἱκανα. 1 *Mac. xv.* 26.

13 Λεγοντες, Ειπατε, Ὁτι οἱ μαθηται αυτου νυκτος ελθοντες εκλεψαν αυτον ἡμων κοιμωμενων.

εθαψα αυτους κλεπτων. *Tob. i.* 18, 19. *Conf.* 2 *Reg. xix.* 41.

14 Και εαν ακουσθῃ τουτο επι του ἡγεμονος, ἡμεις πεισομεν αυτον, και ὑμας αμεριμνους ποιησομεν.

βεβαιον, ασφαλες, αμεριμνον. *Sap. vii.* 23. *Ps. cxi.* 7. *Sym.* επεισε Δαυιδ τους ανδρας αυτου εν λογοις. 1 *Reg. xxiv.* 8. *Conf.* 1 *Joan. iii.* 19. επηγγειλατο χρηματα ἱκανα τῳ Πτολεμαιῳ προς το πεισαι τον βασιλεα. 2 *Mac. iv.* 45-47.

15 Οἱ δε λαβοντες τα αργυρια, εποιησαν ὡς εδιδαχθησαν. και διεφημισθη ὁ λογος οὑτος παρα Ιουδαιοις μεχρι της σημερον.

και εγενετο εις προσταγμα—ἑως της σημερον. 1 *Reg. xxx.* 25. ὁτι πωποτε ουκ ερρεθη λογος τοιουτος περι Σωσαννης. *Susan.* 27.

16 Οἱ δε ἑνδεκα μαθηται επορευθησαν εις την Γαλιλαιαν, εις το ορος οὑ εταξατο αυτοις ὁ Ιησους.

απο του καιρου οὑ εταξατο αυτῳ. 2 *Reg. xx.* 5. και επορευθησαν σπουδῃ εις Ἱερουσαλημ. *Esd. iv.* 23. *Conf. cap. xxvi.* 32. *Marc. xvi.* 14. *Joan. vi.* 70. και στησονται οἱ ποδες αυτου εν ἡμερᾳ εκεινῃ επι το ορος των ελαιων. *Zach. xiv.* 4.

17 Και ιδοντες αυτον, προσεκυνησαν αυτῳ· οἱ δε εδιστασαν.

[διστάζει· διχονοει, απορει, αμφιβαλλει. *Hesych.*]

18 Και προσελθων ὁ Ιησους ελαλησεν αυτοις, λεγων, Εδοθη μοι πασα εξουσια εν ουρανῳ και επι γης.

ελαλησεν αυτῳ—λεγων. Gen. xvii. 3. et pass. εξουσια αυτου εξουσια αιωνιος. Dan. iv. 31. vii. 14. και εξουσια εδοθη αυτῃ. vii. 6. εποιησεν ὁ Θεος τον ουρανον και την γην. Gen. i. 1. σοι εισιν οἱ ουρανοι, και ση εστιν ἡ γη. Ps. lxxxviii. 11. εν χειρι Κυριου *εξουσια της γης. Sir. x. 4. εν χειρι αυτου ψυχη παντων ζωντων, και πνευμα παντος ανθρωπου. Job. xii. 10. Conf. Joan. iii. 35. Heb. i. 3. Ps. lxxxviii. 27. cix. 1, 2. Esa. ix. 6, 7.*

19 Πορευθεντες ουν μαθητευσατε παντα τα εθνη, βαπτιζοντες αυτους εις το ονομα του Πατρος και του Υἱου και του ἁγιου Πνευματος,

παρεσταναι εναντι Κυριου *του Θεου, λειτουργειν και ευλογειν επι τῳ ονοματι αυτου—λειτουργησει τῳ ονοματι* Κυριου *του Θεου αυτου. Deut. xviii. 5. 7. το πνευμα το ἁγιον. Num. vi. 24-27. βαπτιζοντες αυτους (τα εθνη). Ita, τα εθνη ὁσοι ακηκοασι. Num. xiv. 15. Conf. Elsn. in loc. Marc. xvi. 15. Luc. xxiv. 47. 2 Cor. xiii. 13. 2 Joan. 9. 1 Pet. i. 2. Ephes. ii. 18. και επορευετο προφητευων, κ.τ.λ. 1 Reg. xix. 23. και νυν* Κυριος Κυριος *απεστειλε με, και το πνευμα αυτου. Esa. xlviii. 16.*

20 Διδασκοντες αυτους τηρειν παντα ὁσα ενετειλαμην ὑμιν· και ιδου, εγω μεθ᾽ ὑμων ειμι πασας τας ἡμερας ἑως της συντελειας του αιωνος. Αμην.

τηρησον δε εμην βουλην. Prov. iii. 21. τα δε ῥηματα μου τηρειτω. iii. 1. ὁσα ενετειλατο Κυριος*—διδαξαι ὑμας. Deut. vi. 1. xii. 32. ουκ αναβησεσθε—ου γαρ ειμι μεθ᾽ ὑμων. Deut. i. 42. ιδου. Mal. iii. 1. 3 Reg. xvii. 24. ἑως γηρως εγω ειμι. Esa. xlvi. 4. ετι λαλουντος σου ερει,* Ιδου *παρειμι. lviii. 9. και εσται ὁ Θεος σου μετα σου διαπαντος. 11. ἑως συντελειας. Esd. ix. 14. ἑως της συντελειας καιρου. Dan. ix. 27. Conf. Agg. ii. 4, 5.* Κυριος *δε χρηστος ων, και ειδως το πλασμα αυτου, ουτε ανηκεν αυτους, ουτε εγκατελιπε φειδομενος αυτων. Sir. xvii. 21. Edit. Drusii. ουκ ανησει σε, ουδε μη σε εγκαταλιπῃ. Deut. xxxi. 8. Jos. i. 5. Heb. xiii. 5. και ευλογητον το ονομα της δοξης αυτου εις τον αιωνα και εις αιωνα του αιωνος· και πληρωθησεται της δοξης αυτου πασα ἡ γη. γενοιτο, γενοιτο. Ps. lxxi. 19. μεθ᾽ ὑμων εγω ειμι, λεγει* Κυριος *ὁ παντοκρατωρ, και το* Πνευμα *μου εφεστηκεν εν μεσῳ ὑμων· θαρσειτε. Agg. ii. 6. και συ δευρο, και αναπαυου· ετι γαρ ἡμεραι και ὡραι εις αναπληρωσιν συντελειας, και αναστησῃ εις τον κληρον σου εις συντελειαν ἡμερων. Dan. xii. 12. και ερει πας ὁ λαος,* Αμην. *1 Par. xvi. 36. και ειπε πασα ἡ εκκλησια,* Αμην. *Neh. v. 13. viii. 8.*

Sept. 5. 1851.

ΕΥΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΜΑΡΚΟΝ.

ΚΕΦ. α. 1.

ΑΡΧΗ του ευαγγελιου Ιησου Χριστου, ὑιου του Θεου·

αρχη λογου Κυριου εν Ωσηε. *Ose. i.* 2. εν αρχη του ευαγγελιου. *Phil. iv.* 15. *Conf. Matt. iii.* 17. *Ps. ii.* 7. *Joan. i.* 50.

2 Ὡς γεγραπται εν τοις προφηταις, Ιδου, εγω αποστελλω τον αγγελον μου προ προσωπου σου, ὁς κατασκευασει την ὁδον σου εμπροσθεν σου.

ὡς γεγραπται εν βιβλῳ Μωυση. 2 *Par. xxxv.* 12. Ιδου εξαποστελλω τον αγγελον μου, και επιβλεψεται ὁδον προ προσωπου μου. *Mal. iii.* 1. φιλους Θεου και προφητας κατασκευαζει (σοφια). *Sap. vii.* 27. ιδου γεγραπται εν τῃ προφητειᾳ Ἡσαϊου. 2 *Par. xxxii.* 32. *Conf. Matt. xi.* 10. *Luc. vii.* 27. *CITAT.* 46.

3 Φωνη βοωντος εν τῃ ερημῳ, Ἑτοιμασατε την ὁδον Κυριου· ευθειας ποιειτε τας τριβους αυτου.

φωνη βοωντος, κ. τ. λ. *Esa. xl.* 3. *Matt. iii.* 3. *Luc. iii.* 4. *Joan. i.* 23. ευφρανθητι ερημος διψωσα, αγαλλιασθω ερημος, και ανθειτω ὡς κρινον. και εξανθησει και αγαλλιασεται τα ερημα του Ιορδανου, κ. τ. λ. *Esa. xxxv.* 1. *CITAT.* 47.

4 Εγενετο Ιωαννης βαπτιζων εν τῃ ερημῳ, και κηρυσσων βαπτισμα μετανοιας εις αφεσιν ἁμαρτιων.

και εσομαι αυτῳ προσκυνων. *Dan. vii.* 27. *LXX.* και ανθρωπος ην προφητευων τῳ ονοματι Κυριου. *Jer. xxxiii.* 20. κηρυξατε ταυτα εν τοις εθνεσι. *Joel. iii.* 9. και κηρυσσοντας ειρηνην. *Mich. iii.* 5. συ ὁ Θεος αφιων ἁμαρτιας. *Neh. ix.* 17. *Ald. Comp. Conf. Matt. iii.* 1. *Luc. iii.* 3. *Joan. i.* 31. *Mal. iv.* 5. *Esa. i.* 16-18.

5 Και εξεπορευετο προς αυτον πασα ἡ Ιουδαια χωρα, και οἱ Ἱεροσολυμιται· και εβαπτιζοντο παντες εν τῳ Ιορδανῃ ποταμῳ ὑπ᾽ αυτου, εξομολογουμενοι τας ἁμαρτιας αὑτων.

πασα ἡ χωρα. *Jer. iv.* 29. οἱ κατα την χωραν. 2 *Mac. ix.* 24. απεθαυμασαν σε χωραι. *Sir. xlvii.* 17. μη αισχυνθης ὁμολογησαι εφ᾽ ἁμαρτιαις σου. *Sir. iv.* 26. *Dan. vi.* 10. *Ps. xxxii.* 5. εν πασῃ τῃ Ιουδαιᾳ και Ἱερουσαλημ. *Judith. iv.* 13. *Conf. Matt. iii.* 5.

και προσευχομενος και εξομολογουμενος εναντιον του Θεου. *Dan.*
vi. 10. [ὁμολογουμενων τας ἁμαρτιας αυτων. *Jos. Ant. viii.* 4. 6.]
Ἱεροσολυμιτης. 4 *Mac. iv.* 22.

6 Ην δε Ιωαννης ενδεδυμενος τριχας καμηλου, και ζωνην δερματινην περι την οσφυν αὐτου, και εσθιων ακριδας και μελι αγριον.

ανηρ δασυς, και ζωνην δερματινην περιεζωσμενος την οσφυν αυτου.
και ειπεν, Ηλιου ὁ Θεσβιτης οὗτος εστι. 4 *Reg. i.* 8. *Conf. Lev.*
xi. 22. *Matt. iii.* 4. *Zach. xiii.* 4.

7 Και εκηρυσσε, λεγων, Ερχεται ὁ ισχυροτερος μου οπισω μου, οὗ ουκ ειμι ἱκανος κυψας λυσαι τον ἱμαντα των ὑποδηματων αυτου.

και εκηρυξεν Ααρων, λεγων. *Exod. xxxii.* 5. *Jon. iii.* 4. ισχυροτερος μου εστι. *Num. xxii.* 6. *Alex. Ald. Comp. Sap. xvi.* 6. ουχ ἱκανος ειμι. *Exod. iv.* 10. *Gen. xxxii.* 10. *Joel. ii.* 1. οἱ ἱμαντες των ὑποδηματων. *Esa. v.* 27. *Conf. Matt. iii.* 11. *Luc. iii.* 16. *Joan. i.* 27. *Act. xiii.* 25. κυψας. *Conf. Judith. xiii.* 17.

8 Εγω μεν εβαπτισα ὑμας εν ὑδατι· αυτος δε βαπτισει ὑμας εν Πνευματι ἁγιῳ.

ουδε εν ισχυϊ, αλλα εν πνευματι μου. *Zach. iv.* 6. εν πνευματι Κυριου. *Mich. iii.* 8. *Esa. xliv.* 3. *liii.* 5. 7. *Joel. ii.* 28. *Ezech. xxxvi.* 25-27. *lxiii.* 10. *Act. i.* 5. *ii.* 4. 1 *Cor. xii.* 13.

9 Και εγενετο εν εκειναις ταις ἡμεραις, ηλθεν Ιησους απο Ναζαρετ της Γαλιλαιας, και εβαπτισθη ὑπο Ιωαννου εις τον Ιορδανην.

και εγενηθη. 4 *Reg. xxv.* 1. *Esa. vi.* 1. εσται εν ταις ἡμεραις εκειναις. *Jos. xx.* 6. *Alex.* και εγενετο εν τῃ ἡμερᾳ εκεινῃ. 2 *Reg. xviii.* 7. *Ruth. i.* 1. *Conf. Matt. iii.* 13. *Luc. iii.* 21. *Joan. i.* 32.

9-13.] και—και. *Conf.* 1 *Reg. xv.* 3-10. *Esa. xi.* 5-16. *et passim.*

10 Και ευθεως αναβαινων απο του ὑδατος, ειδε σχιζομενους τους ουρανους, και το Πνευμα ὡσει περιστεραν καταβαινον επ᾽ αυτον·

αναβησεται απο του Ιορδανου. *Jer. xxvii.* 44. *Cant. iv.* 2. *vi.* 5. πνευμα Κυριου επ᾽ εμε. *Esa. lxi.* 1. εδωκα το πνευμα μου επ᾽ αυτον. *xlii.* 1. κατεβη πνευμα παρα Κυριου. *lxiii.* 14. και ηνοιχθησαν οἱ ουρανοι, και ιδον ὁρασεις Θεου. *Ezech. i.* 1. *Matt. iii.* 16, 17.

11 Και φωνη εγενετο εκ των ουρανων, Συ ει ὁ υἱος μου ὁ αγαπητος, εν ᾧ ευδοκησα.

και ηκουσαν της φωνης Κυριου *του* Θεου. *Gen. iii.* 8, 10. *τον υἱον σου τον αγαπητον. Gen. xxii.* 2. *ubi Aquila habet μονογενη. xii.* 16. *ὁτι ευδοκησε* Κυριος *εν σοι. Esa. lxii.* 4. *και ευδοκησω εν αυτῳ. Agg. i.* 8. *Conf. Ps. ii.* 7. *Esa. xlii.* 1. 2 *Pet. i.* 17. *Col. i.* 13. Ιακωβ *ὁ παις μου, αντιληψομαι αυτου·* Ισραηλ *ὁ εκλεκτος μου, προσεδεξατο αυτον ἡ ψυχη μου, εδωκα το πνευμα μου επ᾽ αυτον, κρισιν τοις εθνεσιν εξοισει, κ.τ.λ. Esa. xlii.* 1, 2. *Conf. Exod. xxiv.* 26.

12 Και *ευθυς το* Πνευμα *αυτον εκβαλλει εις την ερημον.*

εξεβαλεν αυτους εις γην ἑτεραν. Deut. xxix. 28. *Sir. vii.* 26. *Conf. Matt. iv.* 1. *Luc. iv.* 1. *Cant. iii.* 6. 2 *Mac. v.* 27.

13 Και *ην εκει εν τῃ ερημῳ ἡμερας τεσσαρακοντα, πειραζομενος ὑπο του* Σαταν*α, και ην μετα των θηριων· και οἱ αγγελοι διηκονουν αυτῳ.*

και επορευθη εν ισχυϊ της βρωσεως εκεινης τεσσαρακοντα ἡμερας και τεσσαρακοντα νυκτας. 3 *Reg. xix.* 8. *ἡμεραν πειρασμου εν τῃ ερημῳ. Ps. xciv.* 8. Σατανας. *Conf. Matt. iv.* 10. *και προσκυνησατωσαν αυτῳ παντες αγγελοι* Θεου. *Deut. xxxii.* 43. *Conf. Matt. iv.* 11. *Heb. i.* 14. *Job. v.* 22, 23.

14 Μετα *δε το παραδοθηναι τον* Ιωαννην, *ηλθεν ὁ* Ιησους *εις την* Γαλιλαιαν, *κηρυσσων το ευαγγελιον της βασιλειας του* Θεου,

και μετα το καθαρισθηναι αυτον. Ezech. xliv. 26. *απεσταλκε με—κηρυξαι αιχμαλωτοις αφεσιν, κ. τ. λ. Esa. lxi.* 1-4. *το ευαγγελιον της βασιλειας. Conf.* 2 *Reg. xviii.* 20-25. *Matt. iv.* 12. *Luc. iv.* 14. *Joan. iv.* 1-3. *Mal. iv.* 5.

15 Και *λεγων,* Ὁτι *πεπληρωται ὁ καιρος, και ηγγικεν ἡ βασιλεια του* Θεου· *μετανοειτε και πιστευετε εν τῳ ευαγγελιῳ.*

ηγγικεν ὁ καιρος ἡμων, επληρωθησαν αἱ ἡμεραι ἡμων. Thren. iv. 18. *ἡκει ὁ καιρος, ηγγικεν ἡ ἡμερα. Ezech. vii.* 7, 12. *Dan. viii.* 17. *iii.* 33. *ουκ εστιν ανθρωπος ὁ μετανοων απο της κακιας αυτου. Jer. viii.* 6. *επιστευσαν εν τῳ* Θεῳ. *Ps. lxxvii.* 22. *ταις εντολαις σου επιστευσα. cxviii.* 66. *Conf. Matt. iii.* 2. *φυλασσεσθε κρισιν, και ποιησατε δικαιοσυνην· ηγγικε γαρ το σωτηριον μου παραγινεσθαι, και το ελεος μου αποκαλυφθηναι. Esa. lvi.* 1. *και ευαγγελιζομενος οὑς* Κυριος *προσκεκληται. Joel. ii.* 32.

16 Περιπατων *δε παρα την θαλασσαν της* Γαλιλαιας, *ειδε* Σιμωνα *και* Ανδρεαν *τον αδελφον αυτου, βαλλοντας αμφιβληστρον εν τῃ θαλασσῃ· (ησαν γαρ ἁλιεις·)*

αμφιβαλει το αμφιβληστρον αυτου. Hab. i. 17. *εγω αποστελλω*

τους ἁλιεις τους πολλους, κ.τ.λ. *Jer. xvi.* 16. *Conf. Matt. iv.* 18. *Luc. v.* 4. *Joan. i.* 42. *Esa. xix.* 8. *lvii.* 15. *Ps. lxxvii.* 70, 71.

17 Και ειπεν αυτοις ὁ Ιησους, Δευτε οπισω μου, και ποιησω ὑμας γενεσθαι ἁλιεις ανθρωπων.

ὁτι καλον το πορευεσθαι οπισω Κυριου. *Sir. xlvi.* 10. ποιησω την ερημον εις ἑλη ὑδατων. *Esa. xli.* 18. *Jer. vi.* 8. ιδου ἡμεραι ερχονται εφ' ὑμας, και ληψονται ὑμας εν ὁπλοις, κ.τ.λ. *Amos. iv.* 2.

17-22.] και—και. *Conf.* 1 *Reg. xv.* 3-10. *Esa. xi.* 5-16. *et passim.*

18 Και ευθεως αφεντες τα δικτυα αὑτων, ηκολουθησαν αυτῳ.

Conf. 3 *Reg. xix.* 19.

19 Και προβας εκειθεν ολιγον ειδεν Ιακωβον τον του Ζεβεδαιου, και Ιωαννην τον αδελφον αυτου, και αυτους εν τῳ πλοιῳ καταρτιζοντας τα δικτυα.

Conf. Matt. iv. 21. ὁ λεγων τῳ πατρι και τῃ μητρι, Ουκ ἑωρακα σε, κ.τ.λ. *Deut. xxxiii.* 9. *Conf. Ps. lxviii.* 8.

20 Και ευθεως εκαλεσεν αυτους· και αφεντες τον πατερα αὑτων Ζεβεδαιον εν τῳ πλοιῳ μετα των μισθωτων, απηλθον οπισω αυτου.

και εξελθατε οπισω αυτης. 2 *Par. xxiii.* 14. *Alex. xxvi.* 17. καταστησεις με εις κεφαλην εθνων· λαος ὁν ουκ εγνων εδουλευσε μοι, εις ακοην ωτιου ὑπηκουσε μοι, κ.τ.λ. *Ps. xvii.* 43, 44.

21 Και εισπορευονται εις Καπερναουμ· και ευθεως τοις σαββασιν εισελθων εις την συναγωγην εδιδασκε.

των εισπορευομενων εις την πολιν. *Gen. xxiii.* 10, 18. *Est. i.* 5. *Conf. Matt. iv.* 13, 23. *Luc. iv.* 31. *Act. xiii.* 14. *xv.* 21. [ἑκαστης ἑβδομαδος των αλλων εργων αφεμενους, επι την ακροασιν του νομου εκελευσε συλλεγεσθαι, κ.τ.λ. *Jos. c. Ap. Conf. Grot. ad loc.*]

22 Και εξεπλησσοντο επι τῃ διδαχῃ αυτου· ην γαρ διδασκων αυτους ὡς εξουσιαν εχων, και ουχ ὡς οἱ Γραμματεις.

εξεστη δε—επι πασι τοις αγαθοις. *Exod. xviii.* 9. δυναμιν και ενεργειαν εκπλαγεντες. *Sap. xiii.* 4. 2 *Mac. vii.* 12. εις διδαχην. *Ps. lix.* 1. ὡραιος καλλει παρα τους υἱους των ανθρωπων, εξεχυθη χαρις εν χειλεσι σου. δια τουτο ευλογησε σε ὁ Θεος εις τον αιωνα, κ.τ.λ. *Ps. xliv.* 2, 3. [διδαχη, αντι του διδασκαλια. *Suid.*] ἡ εξουσια αυτου εξουσια αιωνιος. *Dan. iv.* 31. εξουσιαν εχων. 2 *Mac. vii.* 16. *x.* 13. *Conf. Matt. vii.* 28. *Luc. iv.* 32. *Jer. xxiii.* 29.

23 Και ην εν τῃ συναγωγῃ αυτων ανθρωπος εν πνευματι ακαθαρτῳ, και ανεκραξε

και το πνευμα το ακαθαρτον εξαρω απο της γης. Zach. xiii. 2. ανεκραξε, λεγων. i. 17. Conf. Luc. iv. 33.

24 Λεγων, Εα, τι ἡμιν και σοι, Ιησου Ναζαρηνε; ηλθες απολεσαι ἡμας; οιδα σε τις ει, ὁ ἁγιος του Θεου.

ἁγιος εν αγιοις ονομα αυτῳ. Esa. lvii. 15. Jacob. ii. 19. Conf. Matt. viii. 29. εα δε. Job. xix. 5. Luc. i. 35. iv. 34. Dan. ix. 24. Ps. xv. 10. Act. ii. 31. α, α. Jud. vi. 22. Conf. Jos. vii. 7. Aq. Jer. i. 6. Joel. i. 15. ah! vah! eheu!

25 Και επετιμησεν αυτῳ ὁ Ιησους, λεγων, Φιμωθητι, και εξελθε εξ αυτου.

φιμων χειλη. Prov. xvii. 28. alii. Conf. Ps. xlix. 16. Luc. iv. 35. επιτιμησαι Κυριος εν σοι, Διαβολε. Zach. iii. 3.

26 Και σπαραξαν αυτον το πνευμα το ακαθαρτον, και κραξαν φωνῃ μεγαλῃ, εξηλθεν εξ αυτου.

εσπαραξεν αυτον επι την γην. Dan. viii. 7. LXX. σπαρασσεται ἡ καρδια μου. Jer. iv. 19. φωνῃ μου προς Κυριον εκεκραξα. Ps. iii. 4. φωνῃ μεγαλῃ. Ezech. xi. 13. Conf. Luc. ix. 39.

27 Και εθαμβηθησαν παντες, ὡστε συζητειν προς αὑτους, λεγοντας, Τι εστι τουτο; τις ἡ διδαχη ἡ καινη αὑτη, ὁτι κατ' εξουσιαν και τοις πνευμασι τοις ακαθαρτοις επιτασσει, και ὑπακουουσιν αυτῳ;

εθαμβηθη—σφοδρα. 1 Mac. vi. 8. Ps. lii. 5. Theod. Sap. xvii. 3. ὡστε. Jos. x. 14. [κατα κρατος. Jos. Ant. viii. 11. 3.] προς αυτους, inter se. Ita, και τῳ προσηλυτῳ τῳ προσπορευομενῳ προς ὑμας. Num. xv. 24. τι εστι τουτο; i. e. τις εστιν οὑτος; Conf. Joan. i. 21. τι εστιν ανθρωπος; Ps. viii. 4. ελοιδορειτο προς Μωυσην. Exod. xvii. 2.

28 Εξηλθε δε ἡ ακοη αυτου ευθυς εις ὁλην την περιχωρον της Γαλιλαιας.

και ἡ ακοη ηλθεν ἑως Ιωαβ. 3 Reg. ii. 18. και πασαν την περιχωρον Αργοβ. Deut. iii. 13, 14. Alex. Conf. Mich. v. 4.

29 Και ευθεως εκ της συναγωγης εξελθοντες ηλθον εις την οικιαν Σιμωνος και Ανδρεου, μετα Ιακωβου και Ιωαννου.

Conf. Matt. viii. 14. Luc. iv. 38.

30 Ἡ δε πενθερα Σιμωνος κατεκειτο πυρεσσουσα· και ευθεως λεγουσιν αυτῳ περι αυτης.

κατεκειτο. *Prov. vi.* 9. *Conf. Joan. xi.* 3. 1 *Cor. ix.* 5.

31 Και προσελθων ηγειρεν αυτην, κρατησας της χειρος αυτης· και αφηκεν αυτην ὁ πυρετος ευθεως, και διηκονει αυτοις.

και εκρατησαν—της χειρος αυτου. *Gen. xix.* 16. πυρετος. *Deut. xxviii.* 22. *Conf. Ps. cii.* 3. *cxv.* 12.

32 Οψιας δε γενομενης, ὁτε εδυ ὁ ἡλιος, εφερον προς αυτον παντας τους κακως εχοντας και τους δαιμονιζομενους·

ὡς δε οψια εγενετο. *Judith. xiii.* 1. εδυ γαρ ὁ ἡλιος. *Gen. xxviii.* 11. και το κακως εχον ουκ εσωματοποιησατε. *Ezech. xxxiv.* 4. *Conf. Matt. iv.* 24. *viii.* 16. *Luc. iv.* 40. [τους δαιμονιζομενους. *Conf. Jos. Ant. vi.* 8. 2. *viii.* 2. 5.]

33 Και ἡ πολις ὁλη επισυνηγμενη ην προς την θυραν·

επισυνηχθη εκκλησια μεγαλη. 1 *Mac. v.* 16.

34 Και εθεραπευσε πολλους κακως εχοντας ποικιλαις νοσοις· και δαιμονια πολλα εξεβαλε, και ουκ ηφιε λαλειν τα δαιμονια, ὁτι ῃδεισαν αυτον.

ουκ αφηκεν ανθρωπον αδικησαι αυτους. *Ps. civ.* 14. ηφιε *pro* αφῃ, *ab ant.* αφιεω. μη αφῃς με πεσειν εν αυτοις. *Sir. xxiii.* 1. *Conf. Luc. iv.* 41. *Act. xvi.* 17, 18. [τα γαρ καλουμενα δαιμονια, ταυτα δε πονηρων εστιν ανθρωπων πνευματα, τοις ζωσιν εισδυομενα και κτεινοντα τους βοηθειας μη τυγχανοντας, κ. τ. λ. *Jos. Bell. Jud. vii.* 6. 3. *p.* 1308. *Edit. Huds.*]

35 Και πρωϊ εννυχον λιαν αναστας εξηλθε, και απηλθεν εις ερημον τοπον, κακει προσηυχετο.

και αναστας αναβηση εις τον τοπον. *Deut. xvii.* 8. *Conf. Luc. iv.* 42. εννυχον. 3 *Mac. v.* 5. ορθρου βαθεος. *Luc. xxiv.* 1.

36 Και κατεδιωξαν αυτον ὁ Σιμων και οἱ μετ᾽ αυτου·

επ᾽ αυτον και τους μετ᾽ αυτου. *Ezech. xxxviii.* 22. μη συναντησωσιν ὑμιν οἱ καταδιωκοντες. *Jos. ii.* 16, 22. καταδιωξει. *Ps. xxii.* 6. *Ose. ii.* 7. *Cant. iii.* 2, 3.

37 Και εὑροντες αυτον, λεγουσιν αυτῳ, Ὁτι παντες ζητουσι σε.

ὁ αγγελος της διαθηκης, ὁν ὑμεις θελετε. *Mal. iii.* 1.

38 Και λεγει αυτοις, Αγωμεν εις τας εχομενας κωμοπολεις, ἱνα κακει κηρυξω· εις τουτο γαρ εξεληλυθα.

εξελευσεται ῥαβδος εκ της ῥιζης Ιεσσαι. *Esa. xi.* 1. *Ps. cxliv.* 4. κηρυξαι αιχμαλωτοις αφεσιν, κ. τ. λ. *Esa. lxi.* 1. *Conf. Luc. iv.* 43. εχομενας. *Conf. Deut. xxx.* 20. *Job. ii.* 3. ευαγγελισασθαι

πτωχοις απεσταλκε με, κ. τ. λ. *Esa. lxi.* 1. αναστηθι, και πορευθητι εις Νινευη—και κηρυξον εν αυτῃ, ὁτι ανεβη ἡ κραυγη της κακιας αυτης προς με. *Jon. i.* 1. *iii.* 1.

39 Και ην κηρυσσων εν ταις συναγωγαις αυτων, εις ὁλην την Γαλιλαιαν, και τα δαιμονια εκβαλλων.

pro εν ὁλῃ τῃ Γαλιλαιᾳ. *Ita*, εις πασας τας πολεις. *Jud. xx.* 48. εστω διαχωριζον. *Gen. i.* 6.

40 Και ερχεται προς αυτον λεπρος, παρακαλων αυτον και γονυπετων αυτον, και λεγων αυτῳ, Ὁτι εαν θελῃς, δυνασαι με καθαρισαι.

ὁ νομος του λεπρου. ᾗ ἀν ἡμερᾳ καθαρισθῃ. *Lev. xiv.* 2. *xv.* 27. παρεκαλει και ητειτο. *Est. vii.* 7. *Ald. Comp.* *Conf. Luc. v.* 12. *Matt. viii.* 2. 4 *Reg. v.* 7. ῥυσεται με, ὁτι ηθελησε με. *Ps. xvii.* 19.

41 Ὁ δε Ιησους σπλαγχνισθεις, εκτεινας την χειρα, ἡψατο αυτου, και λεγει αυτῳ, Θελω, καθαρισθητι.

τα δε σπλαγχνα των ασεβων ανελεημονα. *Prov. xii.* 10. ὁ δε Θεος ἡμων—παντα ὁσα ηθελησεν, εποιησε. *Ps. cxiii.* 3. *cxxxiv.* 6. *Conf. Matt. ix.* 36. *Luc. vii.* 13. *Heb. ii.* 17. *iv.* 15.

42 Και ειποντος αυτου, ευθεως απηλθεν απ᾽ αυτου ἡ λεπρα, και εκαθαρισθη.

αυτος ειπε, και εγενηθησαν, κ.τ.λ. *Ps. xxxii.* 9. *Gen. i.* 3.

43 Και εμβριμησαμενος αυτῳ, ευθεως εξεβαλεν αυτον,

εμβριμησεται. *Esa. xvii.* 13. *Sym.* *Thren. ii.* 6. *Conf. Matt. ix.* 30. απο προσωπου της εμβριμησεως σου. *Ps. xxxvii.* 3. *Aq. Sym.* εμβριμημα. *Thren. ii.* 6. [εμβριμησαι· κελευσαι. *Hesych.*]

44 Και λεγει αυτῳ, Ὁρα μηδενι μηδεν ειπῃς· αλλ᾽ ὑπαγε, σεαυτον δειξον τῳ ἱερει, και προσενεγκε περι του καθαρισμου σου ἁ προσεταξε Μωσης, εις μαρτυριον αυτοις.

ᾗ αν ἡμερᾳ καθαρισθῃ, και προσαχθησεται προς τον ἱερεα—και προσταξει ὁ ἱερευς, και ληψονται τῳ κεκαθαρισμενῳ δυο ορνιθια, κ.τ.λ. *Lev. xiv.* 2-30. εις μαρτυριον. *Gen. xxi.* 30. ὁ ου προσεταξε Κυριος αυτοις. *Lev. x.* 1. *xiii.* 2. ὁρα. *Exod. iv.* 21.

45 Ὁ δε εξελθων ηρξατο κηρυσσειν πολλα και διαφημιζειν τον λογον, ὡστε μηκετι αυτον δυνασθαι φανερως εις πολιν εισελθειν· αλλ᾽ εξω εν ερημοις τοποις ην, και ηρχοντο προς αυτον πανταχοθεν.

ηρξατο—ποιησαι. Gen. ii. 3. *ηρξατο* Μωυσης *διασαφησαι τον νομον. Deut. i.* 5. *τον λογον (rem. negotium.) Sic, Exod. xviii.* 19. *Conf. Gen. xviii.* 14. *Matt. ix.* 31. *Luc. i.* 37. *v.* 15. *πανταχοθεν.* 4 *Mac. xiii.* 1. *xv.* 32. *και συσσεισω παντα τα εθνη, και ἡξει τα εκλεκτα παντων των εθνων, κ.τ.λ. Agg. ii.* 8. *Ps. xviii.* 4.

ΚΕΦ. β. 2.

ΚΑΙ *παλιν εισηλθεν εις* Καπερναουμ *δι' ἡμερων· και ηκουσθη ὁτι εις οικον εστι,*

και παλιν εξηλθεν εις τον λαον. 2 *Par. xix.* 4. *εις οικον pro εν τῳ οικῳ. Vide cap. ult. v.* 39. *ἡμερων δε διαγενομενων τινων. Act. xxv.* 13. *δια τεσσαρακοντα ἡμερων. Deut. ix.* 11. *Conf. Matt. ix.* 1. *Luc. v.* 18. *και ηκουσθη.* 2 *Par. xxvi.* 15. *Edit. Pearson.*

2 Και *ευθεως συνηχθησαν πολλοι, ὡστε μηκετι χωρειν μηδε τα προς την θυραν· και ελαλει αυτοις τον λογον.*

και ηρξαντο του αναστησαι λογον. Ezech. xiii. 6. *ὡστε. Jos. x.* 14. *ελαλησε δε ὁ* Θεος *προς* Μωυσην, *και ειπε προς αυτον,* Εγω Κυριος. *Exod. vi.* 2. *και ουκ εχωρει αυτους ἡ γη κατοικειν ἁμα. Gen. xiii.* 6. *τα περι την μητραν αυτης.* 1 *Reg. i.* 6. [*επι σφαγῃ των περι* Αριστοβουλου, *ob interemptum Aristobulum. Jos. Ant. xvii.* 4. 3.] *τα προς τον* Θεον. *Exod. xviii.* 19. *ερειδετω ὁ ἡμετερος λογος εις την καρδιαν. Prov. iv.* 4.

3 Και *ερχονται προς αυτον, παραλυτικον φεροντες, αιρομενον ὑπο τεσσαρων.*

4 Και *μη δυναμενοι προσεγγισαι αυτῳ δια τον οχλον, απεστεγασαν την στεγην ὁπου ην, και εξορυξαντες χαλωσι τον κραββατον, εφ' ᾡ ὁ παραλυτικος κατεκειτο.*

και εχαλασαν αυτον εις τον λακκον. Jer. xlv. 6. *Conf. Jud. xvi.* 27. [*σκιμπους,* Αττικως· *κραββατος,* Ἑλληνικως. *Mœris.*] [*κραββατος. Act. Thom.* 50, 51.] *το κωνωπειον εν ᾡ κατεκειτο. Judith. xiii.* 15.

5 Ιδων *δε ὁ* Ιησους *την πιστιν αυτων, λεγει τῳ παραλυτικῳ,* Τεκνον, *αφεωνται σοι αἱ ἁμαρτιαι σου.*

ειδεν ὁ λαος την πιστιν του Σιμωνος. 1 *Mac. xiv.* 35. *Alex. Ald. Comp. και αφιησιν ἁμαρτιας, και σωζει. Sir. ii.* 11. *και αφες πασας τας ἁμαρτιας μου. Ps. xxiv.* 18. *Esa. xxxviii.* 17. *Matt. ix.* 2. *Luc. v.* 18, 19.

6 Ησαν δε τινες των Γραμματεων εκει καθημενοι, και διαλογι-
ζομενοι εν ταις καρδιαις αὑτων,

τις των πρωτευοντων γραμματεων. 2 *Mac. vi.* 18. ειπῃς εν τῃ καρδιᾳ. *Deut. viii.* 17. και—ελαλει εν τῃ καρδιᾳ αυτης. 1 *Reg. i.* 13. παντες οἱ διαλογισμοι—εις κακον. *Ps. lv.* 5. ἁ λεγετε εν ταις καρδιαις ὑμων. *Ps. iv.* 5. ησαν—καθημενοι. *Conf. Gen. i.* 6. *Exod. vii.* 15. *Conf. Matt. xvi.* 7, 8.

7 Τι οὑτος οὑτω λαλει βλασφημιας; τις δυναται αφιεναι ἁμαρ-
τιας, ει μη εἱς, ὁ Θεος;

εαν ειπῃ βλασφημιαν. *Dan. iii.* 29. βλασφημειν εν λογοις. 4 *Reg. xix.* 4. *Conf. Matt. ix.* 3, 5. *Luc. v.* 21. *xviii.* 19. *Job. xiv.* 4. ὁτι παρα σοι ὁ ἱλασμος εστιν, ἑνεκεν του ονοματος σου. *Ps. cxxix.* 4. τις Θεος ὡσπερ συ, εξαιρων ανομιας, και ὑπερβαινων ασεβειας κ. τ. λ. *Mich. vii.* 18. *Esa. xliii.* 25. *Dan. ix.* 9.

8 Και ευθεως επιγνους ὁ Ιησους τῳ πνευματι αὑτου, ὁτι οὑτως
διαλογιζονται εν ἑαυτοις, ειπεν αυτοις, Τι ταυτα διαλογιζεσθε
εν ταις καρδιαις ὑμων;

ἱνα τους διαλογισμους της καρδιας σου γνῳς. *Dan. ii.* 30. συ συνηκας τους διαλογισμους μου. *Ps. cxxxviii.* 2. *Thren. iii.* 59. *Conf. Joan. ii.* 24. *Act. i.* 24. τῳ πνευματι. *Esa. xxix.* 34.

9 Τι εστιν ευκοπωτερον, ειπειν τῳ παραλυτικῳ, Αφεωνται σοι
αἱ ἁμαρτιαι· η ειπειν, Εγειραι και αρον σου τον κραββατον,
και περιπατει;

αφεθῃ γαρ αυτοις ἡ ἁμαρτια. *Esa. xxxiii.* 24. *Ps. xxxi.* 1.

10 Ἱνα δε ειδητε, ὁτι εξουσιαν εχει ὁ υἱος του ανθρωπου αφιε-
ναι επι της γης ἁμαρτιας, (λεγει τῳ παραλυτικῳ,)

εξουσια αυτου εξουσια αιωνιος. *Dan. iv.* 31. εξουσιαν εν ανθρωποις εχων. 2 *Mac. vii.* 16. *Conf. Dan. vii.* 13, 14. *Matt. ix.* 5-8.

11 Σοι λεγω, Εγειραι και αρον τον κραββατον σου, και ὑπαγε
εις τον οικον σου.

12 Και ηγερθη ευθεως, και αρας τον κραββατον, εξηλθεν εναν-
τιον παντων· ὡστε εξιστασθαι παντας, και δοξαζειν τον Θεον,
λεγοντας, Ὁτι ουδεποτε οὑτως ειδομεν.

οὑτος μου Θεος, και δοξασω αυτον. *Exod. xv.* 2. και δοξασουσι το ονομα σου. *Ps. lxxxv.* 9. και εξεστησαν και εξανεστησαν παντες. 3 *Reg. i.* 49. *Alex. Ald. Comp.* και εξεστη ἡ ψυχη αυτου και ἡ ψυχη του λαου. *Esa. vii.* 2. εναντιον παντων των πολιτων. *Gen. xxiii.* 11. *Conf. Matt. ix.* 33. *Luc. v.* 26.

13 Και εξηλθε παλιν παρα την θαλασσαν· και πας ὁ οχλος ηρχετο προς αυτον, και εδιδασκεν αυτους.

ἡ αμμος ἡ παρα την θαλασσαν. 3 *Reg. iv.* 29. *Matt. xiii.* 1.

14 Και παραγων ειδε Λευϊν τον του Αλφαιου, καθημενον επι το τελωνιον, και λεγει αυτῳ, Ακολουθει μοι. Και αναστας ηκολουθησεν αυτῳ.

και αναστας ακολουθησον αυτοις. *Num. xxii.* 20. *Conf. Matt. ix.* 9. *Luc. v.* 27. [τελωνιον· ὁ τοπος, εν ᾡ καθιζεται ὁ τελωνης. *Suid.*]

15 Και εγενετο εν τῳ κατακεισθαι αυτον εν τῃ οικιᾳ αυτου, και πολλοι τελωναι και ἁμαρτωλοι συνανεκειντο τῳ Ιησου και τοις μαθηταις αυτου· ησαν γαρ πολλοι, και ηκολουθησαν αυτῳ.

εγενετο εν τῳ βωᾳν ανδρας. 2 *Par. xiii.* 15. και εγενετο—και. *Gen. xxiv.* 30. ἁμαρτωλοι. *Conf. Amos. ix.* 8. *Ps. i.* 1, 5. *Esa. xiii.* 9. αυτος ανακειται, εσθιει και πινει. 1 *Esd. iv.* 10.

16 Και οἱ Γραμματεις και οἱ Φαρισαιοι, ιδοντες αυτον εσθιοντα μετα των τελωνων και ἁμαρτωλων, ελεγον τοις μαθηταις αυτου, Τι ὁτι μετα των τελωνων και ἁμαρτωλων εσθιει και πινει;

και εγω εισελευσομαι εις τον οικον μου του φαγειν και πιειν. 2 *Reg. xi.* 11. οἱ λεγοντες, Πορρῳ απ᾽ εμου, μη εγγισῃς μοι, ὁτι καθαρος ειμι, κ. τ. λ. *Esa. lxv.* 5. τουτῳ, ὁ συνηθιον. *Ps. c.* 5.

17 Και ακουσας ὁ Ιησους λεγει αυτοις, Ου χρειαν εχουσιν οἱ ισχυοντες ιατρου, αλλ᾽ οἱ κακως εχοντες. ουκ ηλθον καλεσαι δικαιους, αλλα ἁμαρτωλους εις μετανοιαν.

και χρειαν εχει βοηθειας. *Sap. xiii.* 16. ου χρειαν εχει σοφιας ενδεης φρενων. *Prov. xviii.* 2. και παρορᾳς αμαρτηματα ανθρωπων εις μετανοιαν. *Sap. xi.* 23. *Conf. Matt. ix.* 12. *Luc. v.* 31. 1 *Tim. i.* 15. ὑγιης και ισχυων τῃ ἑξει. *Sir. xxx.* 14. *Jos. xiv.* 11. ὁ ιωμενος τους συντετριμμενους την καρδιαν, και δεσμευων τα συντριμματα αυτων. *Ps. cxlvi.* 3. ιασηται Κυριος το συντριμμα του λαου αυτου, και την οδυνην της πληγης σου ιασεται. *Esa. xxx.* 26.

18 Και ησαν οἱ μαθηται Ιωαννου και οἱ των Φαρισαιων νηστευοντες· και ερχονται και λεγουσιν αυτῳ, Διατι οἱ μαθηται Ιωαννου και οἱ των Φαρισαιων νηστευουσιν, οἱ δε σοι μαθηται ου νηστευουσι;

ερχονται και λεγουσι—ηλθε και εδωκε. *Esd. v.* 16. ηλθον, και επηραν την φωνην αυτων. 2 *Reg. xiii.* 36. ησαν—νηστευοντες. = *Gen. i.* 6. *Exod. vii.* 15. *Conf. Luc. v.* 33. *Matt. ix.* 14. *vi.* 16.

19 Και ειπεν αυτοις ὁ Ιησους, Μη δυνανται οἱ υἱοι του νυμφωνος, εν ᾡ ὁ νυμφιος μετ᾽ αυτων εστι, νηστευειν; ὁσον χρονον μεθ᾽ ἑαυτων εχουσι τον νυμφιον, ου δυνανται νηστευειν·

ὁσον χρονον εζη. *Jos. iv.* 14. παντα τον χρονον ὁσον αν ζῃς. *Deut. xii.* 19. φωνη ευφροσυνης—φωνη νυμφιου, και φωνη νυμφης. *Jer. xl.* 11. εαν εισελθῃς εις τον νυμφωνα. *Tob. vi.* 16. *Ps. xliv.* 11-16.

20 Ελευσονται δε ἡμεραι, ὁταν απαρθῃ απ᾽ αυτων ὁ νυμφιος, και τοτε νηστευσουσιν εν εκειναις ταις ἡμεραις.

ιδου ἡμεραι ερχονται. *Amos. iv.* 2. καταλυσω—φωνην νυμφιου, και φωνην νυμφης. *Jer. vii.* 34. *xvi.* 8. *xxv.* και ενηστευσαν τῃ ἡμερᾳ εκεινῃ. 1 *Mac. iii.* 47. *Conf. Zach. xiii.* 7. *Dan. ix.* 26.

21 Και ουδεις επιβλημα ῥακους αγναφου επιρῤαπτει επι ἱματιῳ παλαιῳ· ει δε μη, αιρει το πληρωμα αυτου το καινον του παλαιου, και χειρον σχισμα γινεται.

σακκον ερῥαψαν επι βυρσης μου. *Job. xvi.* 15. το καινον (μερος τι) του παλαιου. *Ita*, των ἑαυτου αρτων εδωκε τῳ πτωχῳ. *Prov. xxii.* 9. *Conf. Bos. Ellips. p.* 162. *Conf. Matt. ix.* 16, 17.

22 Και ουδεις βαλλει οινον νεον εις ασκους παλαιους· ει δε μη, ῥησσει ὁ οινος ὁ νεος τους ασκους, και ὁ οινος εκχειται και οἱ ασκοι απολουνται· αλλα οινον νεον εις ασκους καινους βλητεον.

οινον νεον. *Esa. xlix.* 26. ασκον οινου. 1 *Reg. x.* 3. *xvi.* 20.

23 Και εγενετο παραπορευεσθαι αυτον εν τοις σαββασι δια των σποριμων, και ηρξαντο οἱ μαθηται αυτου ὁδον ποιειν τιλλοντες τους σταχυας.

και εγενετο. *Conf.* 4 *Reg. xxv.* 1. ηρξατο—ποιησαι. *Gen. ii.* 3. *Conf. Matt. xii.* 1. *Luc. vi.* 1. *Conf. Deut. xxiii.* 25. [ὁδον ποιειν. *Jos. Ant. ii.* 16. *iv.* 1, 2.] αἱ ἁβραι αυτης παρεπορευοντο παρα τον ποταμον. *Exod. ii.* 5. οἱ παραπορευομενοι την ὁδον. *Ps. lxxix.* 12.

24 Και οἱ Φαρισαιοι ελεγον αυτῳ, Ιδε, τι ποιουσιν εν τοις σαββασιν, ὁ ουκ εξεστι;

[ουκ εστιν ἡμων εν τοις σαββασιν, ουτε εν τῃ ἑορτῃ, ὁδευειν. *Jos. Ant. xiii.* 8. 4.] *Conf. Num. xxv.* 32-36. *Neh. xiii.* 15-22.

25 Και αυτος ελεγεν αυτοις, Ουδεποτε ανεγνωτε, τι εποιησε Δαβιδ, ὁτε χρειαν εσχε και επεινασεν αυτος και οἱ μετ᾽ αυτου;

αυτον και—τους μετ᾽ αυτου. *Ezech. xxxviii.* 22. χρειαν εχειν. 1 *Joan. iii.* 17. *Conf.* 1 *Reg. xxi.* 3-6. τις ἡ χρεια σου; *Sir. xiii.* 6.

26 Πως εισηλθεν εις τον οικον του Θεου επι Αβιαθαρ του αρχι-
ερεως, και τους αρτους της προθεσεως εφαγεν, οὓς ουκ εξεστι
φαγειν ει μη τοις ἱερευσι, και εδωκε και τοις συν αυτῳ ουσι;

και εδωκεν αυτῳ Αβιμελεχ ὁ ἱερευς τους αρτους της προθεσεως. 1 *Reg. xxi.* 6. και εσται Ααρων και τοις υἱοις αυτου. και φαγονται αυτα εν τοπῳ ἁγιῳ. *Lev. xxiv.* 9. ουκ εξεστιν ἡμιν ιδειν. *Esd. iv.* 14. και ουκ εξεσται ουδενι του λαου. 1 *Mac. xiv.* 44. και εισηλθεν εις οικον Κυριου. 1 *Reg. i.* 24. επι Σιμωνος αρχιερεως. 1 *Mac. xiii.* 42. επι Μωυσῃ, *tempore Mosis.* 2 *Mac. ii.* 8. Αβιαθαρ. 1 *Reg. xxii.* 20-22. 3 *Reg. ii.* 26, 27. Ιουδας δε ὁ Μακκαβαιος και οἱ συν αυτῳ. 2 *Mac. viii.* 1. *Conf. Exod. xxix.* 32. *Lev. viii.* 31. *xxiv.* 5-9.

27 Και ελεγεν αυτοις, Το σαββατον δια τον ανθρωπον εγενετο,
ουχ ὁ ανθρωπος δια το σαββατον.

αλλ᾽ ου δια τον τοπον το εθνος, αλλα δια το εθνος τον τοπον ὁ Κυριος εξελεξατο. 2 *Mac. v.* 19.

28 Ὡστε κυριος εστιν ὁ υἱος του ανθρωπου και του σαββατου.

ελεος θελω η θυσιαν, και επιγνωσιν Θεου η ὁλοκαυτωματα. *Ose. vi,* 7. *Conf. Deut. x.* 12. *Mich. vi.* 8. ὡστε. *Sap. vi.* 25. *Luc. vi.* 5.

ΚΕΦ. γ. 3.

ΚΑΙ εισηλθε παλιν εις την συναγωγην, και ην εκει ανθρω-
πος εξηραμμενην εχων την χειρα·

και ιδου εξηρανθη ἡ χειρ αυτου. 3 *Reg. xiii.* 4. *Conf. Matt. xii.* 9-14. *Luc. vi.* 6-10. *Joan. v.* 3.

1-25.] και—και. 1 *Reg. xv.* 3-10. *Esa. xi.* 5-16. *et passim.*

2 Και παρετηρουν αυτον ει τοις σαββασι θεραπευσει αυτον, ἱνα
κατηγορησωσιν αυτου.

παρατηρησεται ὁ ἁμαρτωλος τον δικαιον. *Ps. xxxvi.* 12. *Dan. vi,* 11. 2 *Reg. iii.* 30. και κατηγορησαν του λαου. 1 *Mac. vii.* 6.

3 Και λεγει τῳ ανθρωπῳ τῳ εξηραμμενην εχοντι την χειρα,
Εγειραι εις το μεσον.

εις το μεσον. 3 *Reg. vi.* 8. εις μεσον αυτων. *Neh. iv.* 11. *Conf,* 2 *Reg. xii.* 17.

4 Και λεγει αυτοις, Εξεστι τοις σαββασιν αγαθοποιησαι, η
κακοποιησαι; ψυχην σωσαι, η αποκτειναι; Οἱ δε εσιωπων.

ουκ ελαθες με αγαθοποιων. *Tob. xii.* 13. του σωσαι—την ψυχην

μου. *Ps. cviii.* 31. ου μη αγαθοποιηση Κυριος, ουδε μη κακωση. *Sophon. i.* 12. *Jud. xvii.* 13. *Alex. Ald. Comp.* 1 *Mac. xi.* 33. 2 *Mac. i.* 2. *Conf. Esa. i.* 13-17.

5 Και περιβλεψαμενος αυτους μετ᾽ οργης, συλλυπουμενος επι τῃ πωρωσει της καρδιας αυτων, λεγει τῳ ανθρωπῳ, Εκτεινον την χειρα σου. Και εξετεινε, και αποκατεσταθη ἡ χειρ αυτου ὑγιης ὡς ἡ αλλη.

περιβλεψαμενος δε ὡδε και ὡδε, ουχ ὁρᾳ ουδενα. *Exod. ii.* 12. *Job. vii.* 8. πεπωρωνται γαρ απο οργης οἱ οφθαλμοι μου. *Job. xvii.* 7. *Conf. Gen. l.* 21. και παλιν αποκατεσταθη εις την χροαν της σαρκος αυτης. *Exod. iv.* 7. *Conf. Matt. xii.* 13. ὑγιης και ισχυων τῃ ἑξει. *Sir. xxx.* 14. οργιζεσθε, και μη ἁμαρτανετε. *Ps. iv.* 4. και εγενετο καθως το προτερον. 3 *Reg. xiii.* 6. [τυφλωσις ασεβειας, και πηρωσις ἁμαρτιας. *Test. XII Patr. p.* 576.]

6 Και εξελθοντες οἱ Φαρισαιοι ευθεως μετα των Ἡρωδιανων συμβουλιον εποιουν κατ᾽ αυτου, ὁπως αυτον απολεσωσι.

Conf. Ps. ii. 2. *Matt. xxii.* 16. *iii.* 7. *Ps. xxxvi.* 32.

6, 7,] και λογοις μισους εκυκλωσαν με—αντι του αγαπᾳν με, ενδιεβαλλον με· εγω δε προσηυχομην. *Ps. cviii.* 3, 4.

7 Και ὁ Ιησους ανεχωρησε μετα των μαθητων αὑτου προς την θαλασσαν· και πολυ πληθος απο της Γαλιλαιας ηκολουθησαν αυτῳ· και απο της Ιουδαιας,

ανεχωρησεν—εις πεδιον Συριας. *Ose. xii.* 12. 2 *Mac. v.* 27. πληθος πολυ. 2 *Par. xiii.* 8. *Deut. xxvi.* 5. Γαλιλαια. *Jos. xx.* 7. *xxi.* 32. *Neh. viii.* 15. *Judith. iv.* 11.

8 Και απο Ἱεροσολυμων, και απο της Ιδουμαιας, και περαν του Ιορδανου· και οἱ περι Τυρον και Σιδωνα, πληθος πολυ, ακουσαντες ὁσα εποιει, ηλθον προς αυτον.

και εγραψεν—ὁσα εποιησαν. *Esa. ix.* 29. *Conf. Luc. vi.* 17. *Joan. vi.* 1. Ιδουμαια. *Esa. xxxiv.* 5. *Ezech. xxxv.* 15. *xxxvi.* 5. Τυρος και Σιδων. *Jos. xix.* 28. *Ps. xliv.* 12. *Ezech. xxvi.* 2. 8.

9 Και ειπε τοις μαθηταις αὑτου, ἱνα πλοιαριον προσκαρτερῃ αυτῳ, δια τον οχλον, ἱνα μη θλιβωσιν αυτον.

οὑτοι οἱ λογοι, οὑς ειπε Κυριος ποιησαι αυτους. *Exod. xxxv.* 1. πολλοι οἱ εκδιωκοντες με και θλιβοντες με. *Ps. cxviii.* 157. 1 *Mac. xv.* 14. οὑτοι προσεκαρτερουν εν τῃ οικιᾳ. *Susan.* 7.

10 Πολλους γαρ εθεραπευσεν, ὡστε επιπιπτειν αυτῳ, ἱνα αυτου ἁψωνται, ὁσοι ειχον μαστιγας·

ὁσοι εν τῳ δεσμωτηριῳ, και παντα ὁσα ποιουσιν εκει. *Gen.* *xxxix.* 22. πολλαι αἱ μαστιγες του ἁμαρτωλου. *Ps.* *xxxi.* 10. *Conf.* *Gen.* *xii.* 17. *Num.* *xi.* 33. ὁ μεμαστιγωμενος εις σωμα αυτου. *Sir.* *xxx.* 14. ταις μαστιξι σου. *Tob.* *xiii.* 14. θειᾳ μαστιγι. 2 *Mac.* *ix.* 11. 3 *Mac.* *ii.* 21. θεραπευσε. *Tob.* *xii.* 3.

11 Και τα πνευματα τα ακαθαρτα, ὁταν αυτον εθεωρει, προσεπιπτεν αυτῳ, και εκραζε λεγοντα, Ὁτι συ ει ὁ υἱος του Θεου.

και το πνευμα το ακαθαρτον εξαρω απο της γης. *Zach.* *xiii.* 2. δευτε προσκυνησωμεν και προσπεσωμεν αυτῳ. *Ps.* *xciv.* 6. *Conf.* *Matt.* *viii.* 29. *Luc.* *iv.* 41. *Joan.* *i.* 50. *Ps.* *ii.* 7. *Esa.* *ix.* 6. *Alex.*

12 Και πολλα επετιμα αυτοις, ἱνα μη αυτον φανερον ποιησωσι.

του τα κεκρυμμενα φανερα ποιουντος. 2 *Mac.* *xii.* 41. *Conf.* *Matt.* *xii.* 16. *Act.* *xvi.* 18.

13 Και αναβαινει εις το ορος, και προσκαλειται οὑς ηθελεν αυτος· και απηλθον προς αυτον.

και ανεβη εις το ορος. *Exod.* *xxiv.* 18. προσκαλεσαμενος δε Ισαακ τον Ιακωβ. *Gen.* *xxviii.* 1. αυτος. *Conf.* *Esa.* *liii.* 5. 7. *Matt.* *x.* 1.

14 Και εποιησε δωδεκα, ἱνα ωσι μετ᾽ αυτου, και ἱνα αποστελλῃ αυτους κηρυσσειν,

εποιησε—ὁ ποιησας [*i.e.* καταστησας] τον Μωυσην και τον Ααρων. 1 *Reg.* *xii.* 6. *Conf.* *Heb.* *iii.* 2. κηρυξαι αιχμαλωτοις αφεσιν, και τυφλοις αναβλεψιν, κ.τ.λ. *Esa.* *lxi.* 1.

15 Και εχειν εξουσιαν θεραπευειν τας νοσους, και εκβαλλειν τα δαιμονια·

και προ αρῥωστιας θεραπευου. *Sir.* *xviii.* 19. *xxxviii.* 7. *Conf.* *Matt.* *iv.* 24. *vii.* 22. *Esa.* *xxxv.* 5, 6. *Zach.* *xiii.* 2.

16 Και επεθηκε τῳ Σιμωνι ονομα Πετρον·

και επεθηκε το ονομα αυτου, Σεδεκιαν. 4 *Reg.* *xxiv.* 17. *Alex.* *Conf.* *Joan.* *i.* 42. *Luc.* *vi.* 14, 15.

17 Και Ιακωβον τον του Ζεβεδαιου, και Ιωαννην τον αδελφον του Ιακωβου· και επεθηκεν αυτοις ονοματα Βοανεργες, ὁ εστιν, υἱοι βροντης·

Conf. *Esa.* *lviii.* 1. *Jer.* *xxiii.* 29. οἱ υἱοι της ακρας· 1 *Mac.* *iv.* 2. οἱ υἱοι της χωρας. *Esd.* *ii.* 1. *Conf.* *Luc.* *ix.* 54.

18 Και Ανδρεαν, και Φιλιππον, και Βαρθολομαιον, και Ματθαιον, και Θωμαν, και Ιακωβον τον του Αλφαιου, και Θαδδαιον, και Σιμωνα τον Κανανιτην,

19 Και Ιουδαν Ισκαριωτην, ὃς και παρεδωκεν αυτον. Και ερχονται εις οικον·

παραδωσι. *Jer. xlv.* 20. 1 *Mac. vii.* 35. 2 *Mac. xiv.* 33.

20 Και συνερχεται παλιν οχλος, ὥστε μη δυνασθαι αυτους μητε αρτον φαγειν.

συνηλθοσαν επι το αυτο. *Jos. ix.* 2. και δῳ μοι αρτον φαγειν. *Gen. xxviii.* 20. *xxxvii.* 24. ὥστε. *Jos. x.* 14. *Conf. Gen. xiii.* 6.

21 Και ακουσαντες οἱ παρ᾽ αυτου εξηλθον κρατησαι αυτον· ελεγον γαρ, Ὁτι εξεστη.

οἱ παρα του βασιλεως. 1 *Mac. ii.* 15. τι ὁτι εισηλθεν ὁ επιληπτος οὗτος προς σε; 4 *Reg. ix.* 11. *Jer. xxxvi.* 26. *Gen. xix.* 14. 2 *Cor. v.* 13. τοις παρ᾽ αυτου. 1 *Mac. xii.* 27. *Susan.* 33. κρατησαι αυτον. 4 *Reg. iv.* 8. *Joan. x.* 20. *Act. xxvi.* 24. ὁτι εξεστη = ὁτι ηκουσε. *Gen. xxix.* 33.

22 Και οἱ Γραμματεις οἱ απο Ἱεροσολυμων καταβαντες ελεγον, Ὁτι Βεελζεβουλ εχει, και, Ὁτι εν τῳ αρχοντι των δαιμονιων εκβαλλει τα δαιμονια.

αυτος γραμματευς ταχυς εν νομῳ Μωυση. *Esd. vii.* 6. και συ Εσδρα—καταστησον γραμματεις και κριτας. *vii.* 25. *Conf. Matt. ix.* 34. *x.* 25. *Luc. xi.* 15, 18, 19. *Joan. vii.* 20. 4 *Reg. i.* 2.

23 Και προσκαλεσαμενος αυτους, εν παραβολαις ελεγεν αυτοις, Πως δυναται Σατανας Σαταναν εκβαλλειν;

ανοιξω εν παραβολαις το στομα μου. *Ps. lxxvii.* 2. *Ezech. xvii.* 2. *xxiv.* 3. *Conf. Matt. xii.* 25, 26.

24 Και εαν βασιλεια εφ᾽ ἑαυτην μερισθῃ, ου δυναται σταθηναι ἡ βασιλεια εκεινη·

και ου μη δυνωνται στηναι. *Ps. xvii.* 38. *xxxv.* 13. τοτε μεριζεται ὁ λαος Ισραηλ. 3 *Reg. xvi.* 21. *Conf. Esa. ix.* 21. *Ps. cxxxii.* 1.

25 Και εαν οικια εφ᾽ ἑαυτην μερισθῃ, ου δυναται σταθηναι ἡ οικια εκεινη·

26 Και ει ὁ Σατανας ανεστη εφ᾽ ἑαυτον και μεμερισται, ου δυναται σταθηναι, αλλα τελος εχει.

επανιστανται επ᾽ εμε. *Ps. iii.* 1. *Cap. xiii.* 12. εν τῳ καταρασθαι

ασεβη τον Σαταναν, αυτος καταραται την ἑαυτου ψυχην. *Sir. xxi.* 27. *Conf. Matt. iv.* 10. [το τελος επερχομενον. *De Diluvio. lib. Henoch. p.* 191.] *Conf. Sir. xiii.* 15, 16.

27 Ου δυναται ουδεις τα σκευη του ισχυρου, εισελθων εις την οικιαν αυτου, διαρπασαι, εαν μη πρωτον τον ισχυρον δησῃ, και τοτε την οικιαν αυτου διαρπασει.

και ου παρειστηκει ουδεις. *Gen. xlv.* 1. και ουκ ειδεν ουδεις. *Exod. x.* 23. και διαρπασαι τα ὑπαρχοντα αυτων. *Est. iii.* 13. *Conf. Matt. xii.* 29. *Luc. xi.* 21. *Esa. xlix.* 24. *liii.* 12.

28 Αμην λεγω ὑμιν, ὁτι παντα αφεθησεται τα ἁμαρτηματα τοις υἱοις των ανθρωπων, και βλασφημιαι ὁσας αν βλασφημησωσιν·

ἁμαρτημα θανατου. *Deut. xxii.* 26. ἁμαρτηματα του Ισραηλ. *Ose. x.* 8. αφεθῃ—αυτοις ἡ ἁμαρτια. *Esa. xxxiii.* 24. και αφεθησεται αυτῳ ἡ ἁμαρτια. *Lev. xix.* 22. *et pass.* οἱ υἱοι των ανθρωπων. *Ps. xxxv.* 7. *Gen. xi.* 5. 3 *Reg. viii.* 38. *Conf. Matt. xii.* 31. *Luc. xii.* 10. 1 *Joan. v.* 16. 1 *Reg. ii.* 25. *Heb. vi.* 4.

29 Ὁς δ' αν βλασφημησῃ εις το Πνευμα το ἁγιον, ουκ εχει αφεσιν εις τον αιωνα, αλλ' ενοχος εστιν αιωνιου κρισεως·

λογων—ὡν εβλασφημησαν εις εμε. 4 *Reg. xix.* 6. *Comp.* ὁτι ουκ αφεθησεται ὑμιν αὑτη ἡ ἁμαρτια. *Esa. xxii.* 14. *lxiii.* 10. ενοχος εστιν, ανταποθανειται. *Exod. xxii.* 3. αυτος Κυριος εις κρισιν ἡξει. *Esa. iii.* 13. εις αισχυνην αιωνιον. *Dan. xii.* 2.

30 Ὁτι ελεγον, Πνευμα ακαθαρτον εχει.

ανθρωπον, ὁς εχει πνευμα εν ἑαυτῳ. *Num. xxvii.* 18. και το πνευμα το ακαθαρτον εξαρω απο της γης. *Zach. xiii.* 2. *Joan. x* 20.

31 Ερχονται ουν οἱ αδελφοι και ἡ μητηρ αυτου, και εξω ἑστωτες απεστειλαν προς αυτον, φωνουντες αυτον.

ου φωνησουσιν εν τῳ λαρυγγι αυτων. *Ps. cxiii.* 7. *Conf. Matt. xii.* 46-48. *Luc. viii.* 19. *Deut. xxxiii.* 9.

32 Και εκαθητο οχλος περι αυτον· ειπον δε αυτῳ, Ιδου, ἡ μητηρ σου και οἱ αδελφοι σου εξω ζητουσι σε.

33 Και απεκριθη αυτοις λεγων, Τις εστιν ἡ μητηρ μου η οἱ αδελφοι μου;

34 Και περιβλεψαμενος κυκλῳ τους περι αὑτον καθημενους, λεγει, Ιδε, ἡ μητηρ μου και οἱ αδελφοι μου.

και ὁ λαος παρεμβεβληκως κυκλῳ αυτου. 1 *Reg. xxvi.* 5. αρον κυκλῳ τους οφθαλμους σου. *Esa. xlix.* 18. *lx.* 14. *Conf. Ps. xv.* 3.

35 Ὁς γαρ αν ποιησῃ το θελημα του Θεου, οὑτος αδελφος μου
και αδελφη μου και μητηρ εστι.

εγω ποιησω παν το θελημα σου. 3 *Reg.* *v.* 8. *Comp.* διδαξον με του ποιειν το θελημα σου. *Ps. cxlii.* 10. *Matt. xii.* 50. διηγησομαι το ονομα σου τοις αδελφοις μου, εν μεσῳ εκκλησιας ὑμνησω σε. *Ps. xxi.* 22. *c.* 6.

ΚΕΦ. δ. 4.

ΚΑΙ παλιν ηρξατο διδασκειν παρα την θαλασσαν· και συν-
ηχθη προς αυτον οχλος πολυς, ὡστε αυτον εμβαντα εις
το πλοιον καθησθαι εν τῃ θαλασσῃ· και πας ὁ οχλος προς την
θαλασσαν επι της γης ην.

ηρξατο Μωυσης διασαφησαι τον νομον. *Deut. i.* 5. οχλον πολυν. *Dan. xi.* 13. και πας ὁ οχλος ὁ μετ᾽ αυτου. 2 *Reg. xv.* 22. εμβας εις πλοιον. 1 *Mac. xv.* 37. ὡστε. *Jos. x.* 14. *Conf. Matt. xiii.* 1. *Luc. viii.* 4. εκαθητο εν τῳ οικῳ αυτου. 4 *Reg. vi.* 32.

2 Και εδιδασκεν αυτους εν παραβολαις πολλα, και ελεγεν
αυτοις εν τῃ διδαχῃ αὑτου,

3 Ακουετε. ιδου, εξηλθεν ὁ σπειρων του σπειραι·

ακουε λογον Κυριου. *Ezech. xx.* 47. *Conf. Matt. xiii.* 3. *xviii.* 23. κλινω εις παραβολην το ους μου κ.τ.λ. *Ps. xlviii.* 4.

4 Και εγενετο εν τῳ σπειρειν, ὁ μεν επεσε παρα την ὁδον, και
ηλθε τα πετεινα του ουρανου και κατεφαγεν αυτο.

και εγενετο εν τῳ κοπτειν αυτους. *Ezech. ix.* 8. 2 *Par. xiii.* 15. *Conf. Esa. xxviii.* 23-26. *Joan. iv.* 35-38. *Matt. xiii.* 4.

5 Αλλο δε επεσεν επι το πετρωδες, ὁπου ουκ ειχε γην πολλην·
και ευθεως εξανετειλε, δια το μη εχειν βαθος γης·

6 Ἡλιου δε ανατειλαντος εκαυματισθη, και δια το μη εχειν
ῥιζαν εξηρανθη.

7 Και αλλο επεσεν εις τας ακανθας· και ανεβησαν αἱ ακαν-
θαι, και συνεπνιξαν αυτο, και καρπον ουκ εδωκε.

8 Και αλλο επεσεν εις την γην την καλην· και εδιδου καρπον
αναβαινοντα και αυξανοντα, και εφερεν ἑν τριακοντα, και ἑν
ἑξηκοντα, και ἑν ἑκατον.

ἑν—ἑν—ἑν. *Conf.* 1 *Reg. x.* 4. *Exod. xviii.* 3, 4. *Matt. xiii.* 5-8.

9 Και ελεγεν αυτοις, Ὁ εχων ωτα ακουειν, ακουετω.

Conf. Matt. xi. 15, τα ωτα ακουειν δωσουσι. *Esa. xxxii.* 3,

10 Ὅτε δε εγενετο καταμονας, ηρωτησαν αυτον οἱ περι αυτον
συν τοις δωδεκα την παραβολην.

οἱ περι τον Νεεμιαν. 2 *Mac. i.* 33. Γομερ και παντες οἱ περι αυτον. *Ezech. xxxviii.* 6. *xxxix.* 4. καταμονας εκαθημην. *Jer. xv.* 17. *Conf. Matt. xiii.* 10. *Luc. viii.* 9. *Prov. xiii.* 20.

11 Και ελεγεν αυτοις, Ὑμιν δεδοται γνωναι το μυστηριον της
βασιλειας του Θεου· εκεινοις δε τοις εξω, εν παραβολαις τα
παντα γινεται·

Vide Matt. xiii. 11. οἱ εκτος (*Ethnici*). *Sir. prol. Conf.* 1 *Cor. ii.* 10. και εξουσια εδοθη αυτοις. *Dan. vii.* 6. τι δε εστι σοφια, και πως εγενετο, απαγγελω, και ουκ αποκρυψω ὑμιν μυστηρια, αλλ᾽ απ᾽ αρχης γενεσεως εξιχνιασω, κ.τ.λ. *Sap. vi.* 22.

12 Ἱνα βλεποντες βλεπωσι, και μη ιδωσι· και ακουοντες ακου-
ωσι, και μη συνιωσι· μηποτε επιστρεψωσι, και αφεθῃ αυτοις
τα ἁμαρτηματα.

Esa. vi. 10, 11. *xliv.* 18. *Vide Matt. xiii.* 14. *ubi verba LXX citantur. et Conf. Luc. viii.* 10. *Joan. xii.* 40. *Act. xxviii.* 26. *Rom. xi.* 8. 2 *Cor. iii.* 14. *Deut. xxix.* 4. *Vide CITAT.* 48.

13 Και λεγει αυτοις, Ουκ οιδατε την παραβολην ταυτην; και
πως πασας τας παραβολας γνωσεσθε;

14 Ὁ σπειρων, τον λογον σπειρει·

14, 15.] και ηρξαντο του αναστησαι λογον. *Ezech. xiii.* 6. ὁ σπειρων φαυλα θερισει κακα. *Prov. xxii.* 8. και δῳ σπερμα τῳ σπειροντι, και αρτον εις βρωσιν. *Esa. lv.* 10. σπειρατε ἑαυτοις εις δικαιοσυνην. *Ose. x.* 12. *Conf. Matt. xiii.* 19. Σατανας. *Conf. Matt. iv.* 10.

14-23.] *Conf. Matt. xiii.* 4-9.

15 Οὑτοι δε εισιν οἱ παρα την ὁδον, ὁπου σπειρεται ὁ λογος,
και ὁταν ακουσωσιν, ευθεως ερχεται ὁ Σατανας και αιρει τον
λογον τον εσπαρμενον εν ταις καρδιαις αυτων.

16 Και οὑτοι εισιν ὁμοιως οἱ επι τα πετρωδη σπειρομενοι, οἱ
ὁταν ακουσωσι τον λογον, ευθεως μετα χαρας λαμβανουσιν
αυτον,

17 Και ουκ εχουσι ῥιζαν εν ἑαυτοις, αλλα προσκαιροι εισιν·
ειτα γενομενης θλιψεως η διωγμου δια τον λογον, ευθεως σκαν-
δαλιζονται.

δια τον λογον. *Conf.* 2 *Mac. vii.* 23. *Esa. lviii.* 2. *Ezech. xxxiii.* 31, 32. *Joan. v.* 35. *Prov. xii.* 3, 12.

18 Και οὑτοι εισιν οἱ εις τας ακανθας σπειρομενοι, οὑτοι εισιν οἱ τον λογον ακουοντες,

Conf. Luc. viii. 14. *Matt. xiii.* 22. *Prov. xxii.* 5.

19 Και αἱ μεριμναι του αιωνος τουτου, και ἡ απατη του πλουτου, και αἱ περι τα λοιπα επιθυμιαι εισπορευομεναι συμπνιγουσι τον λογον, και ακαρπος γινεται.

Conf. 1 *Tim. vi.* 9. 2 *Tim. iv.* 10. *Luc. x.* 41. *xii.* 17-21.

20 Και οὑτοι εισιν οἱ επι την γην την καλην σπαρεντες, οἱτινες ακουουσι τον λογον και παραδεχονται, και καρποφορουσιν, ἑν τριακοντα, και ἑν ἑξηκοντα, και ἑν ἑκατον.

οἱτινες. *Conf. Deut. v.* 26. *Sap. xix.* 15. *Matt. xiii.* 23.

21 Και ελεγεν αυτοις, Μητι ὁ λυχνος ερχεται, ἱνα ὑπο τον μοδιον τεθῃ η ὑπο την κλινην, ουχ ἱνα επι την λυχνιαν επιτεθῃ;

Conf. Matt. v. 15. *Luc. viii.* 16. *xi.* 33. *Esa. lx.* 1. εθηκεν ὁ παις την χειρα αυτου ὑπο τον μηρον. *Gen. xxiv.* 9. 1 *Cor. xii.* 7.

22 Ου γαρ εστι τι κρυπτον, ὁ εαν μη φανερωθῃ· ουδε εγενετο αποκρυφον, αλλ᾽ ἱνα εις φανερον ελθῃ.

εγω Κυριος—μη απ᾽ εμου κρυβησεται τι; *Jer. xxxix.* 27. του τα κεκρυμμενα φανερα ποιουντος. 2 *Mac. xii.* 41. *Conf. Matt. x.* 26. *Luc. viii.* 17. *xii.* 2. *Ps. xxxix.* 9, 10. *lxxvii.* 4.

23 Ει τις εχει ωτα ακουειν, ακουετω.

Conf. Matt. xi. 15. *Apoc. ii.* 7. *Prov. xviii.* 15. *xxviii.* 9.

24 Και ελεγεν αυτοις, Βλεπετε τι ακουετε. εν ᾡ μετρῳ μετρειτε, μετρηθησεται ὑμιν, και προστεθησεται ὑμιν τοις ακουουσιν.

ου ποιησετε αδικον εν κρισει, εν μετροις. *Lev. xix.* 35. *Conf. Matt. vii.* 2. *Luc. vi.* 38. υἱος απολειπομενος φυλαξαι παιδειαν πατρος, μελετησει ῥησεις κακας. *Prov. xix.* 27. προσεχετε τοις ωσιν ὑμων, και επακολουθησατε ταις ὁδοις μου, κ. τ. λ. *Esa. lv.* 3.

25 Ὁς γαρ αν εχῃ, δοθησεται αυτῳ· και ὁς ουκ εχει, και ὁ εχει αρθησεται απ᾽ αυτου.

Conf. Matt. xiii. 12. ὁ δοκει εχειν. *Luc. viii.* 18. *Joan. xv.* 2. *Apoc. xxii.* 11. αυτοι παρεζηλωσαν με επ᾽ ου Θεῳ—καγω παραζηλωσω αυτους επ᾽ ουκ εθνει. *Deut. xxxii.* 21.

26 Και ελεγεν, Οὑτως εστιν ἡ βασιλεια του Θεου, ὡς εαν ανθρωπος βαλῃ τον σπορον επι της γης,

εαν δε επιπεση—επι παν σπερμα σποριμον. Lev. xi. 37. *μη ὁλην την ἡμεραν αροτριασει ὁ αροτριων; η σπορον προετοιμασει, πριν εργασασθαι την γην; Esa. xxviii.* 24. *μακαριοι οἱ σπειροντες επι παν ὑδωρ, κ. τ. λ. xxxii.* 20. *πορευομενοι επορευοντο, και εκλαιον βαλλοντες τα σπερματα αυτων· ερχομενοι δε ἡξουσιν εν αγαλλιασει, αιροντες τα δραγματα αυτων. Ps. cxxv.* 6. *Conf. Matt. xiii.* 24. 1 *Cor. xv.* 38. 1 *Pet. i.* 23. *Prov. xi.* 18. *Eccles. xi.* 4-6.

27 Και καθευδη και εγειρηται νυκτα και ἡμεραν, και ὁ σπορος βλασταιη και μηκυνηται ὡς ουκ οιδεν αυτος.

ὁ εφυτευσε Κυριος, πιτυν, και ὑετος εμηκυνε. Esa. xliv. 14. *Ps. xci.* 13. *ὁτι ου δυνησεται ανθρωπος του εὑρειν συν το ποιημα το πεποιημενον ὑπο τον ἡλιον, κ. τ. λ. Eccles. viii.* 17. *Jac. iii.* 18.

28 Αυτοματη γαρ ἡ γη καρποφορει, πρωτον χορτον, ειτα σταχυν, ειτα πληρη σιτον εν τῳ σταχυϊ.

και τα αυτοματα αναβαινοντα του αγρου. Lev. xxv. 5. *σταχυες—πληρεις και καλοι και εκλεκτοι. Gen. xli.* 5. 7. 22. *καρποφορει. Heb. iii.* 16. *Sap. x.* 7. *Conf. Esa. lv.* 11. *lxi.* 11. [*καρπων φυσεις—ἁς απαυτοματιζουσα ἡ του ετους ὡρα παρεχεται. Philo. De incorrupt. Mund. p.* 944.] *Prov. iv.* 18. *Ose. vi.* 3.

29 Ὁταν δε παραδῳ ὁ καρπος, ευθεως αποστελλει το δρεπανον, ὁτι παρεστηκεν ὁ θερισμος.

εξαποστειλατε δρεπανα, ὁτι παρεστηκεν ὁ τρυγητος. Joel. iii. 13. *προ του θερισμου, ὁταν συντελεσθῃ ανθος. Esa. xviii.* 5. *κατεχοντα δρεπανον εν καιρῳ θερισμου. Jer. xxvii.* 16. *Coll. Esa. xvi.* 9. *Job. v.* 26. *Apoc. xiv.* 15, 19. *Gal. vi.* 9. 2 *Tim. iv.* 7.

30 Και ελεγε, Τινι ὁμοιωσωμεν την βασιλειαν του Θεου; η εν ποιᾳ παραβολῃ παραβαλωμεν αυτην;

τῃ ἱππῳ μου—ὡμοιωσα σε. Cant. i. 9. *ii.* 2, 3. *τινι με ὡμοιωσατε; Esa. xlvi.* 5. *Conf. Thren. ii.* 13. *Matt. xi.* 16. *Luc. xiii.* 18. *Ezech. xvii.* 2. *xxiv.* 3. [*προς εκεινον παραβαλλομενον, cum eo (Mosi.) comparatum. Jos. c. Apion. ii.* 15. *Bretchn.*] *εδειξεν αυτῳ βασιλειαν Θεου. Sap. x.* 10. *Conf. Jud. ix.* 15.

31 Ὡς κοκκῳ σιναπεως, ὁς ὁταν σπαρῃ επι της γης, μικροτερος παντων των σπερματων εστι των επι της γης·

εγω ειμι μικροτερος εν τῳ οικῳ του πατρος μου. Jud. vi. 15. *Conf. Matt. xiii.* 32. *Luc. xiii.* 19. *Ps. lxxi.* 16. *Esa. ii.* 2, 3.

32 Και ὁταν σπαρῃ, αναβαινει, και γινεται παντων των λα-

χανων μειζων, και ποιει κλαδους μεγαλους, ὡστε δυνασθαι ὑπο την σκιαν αυτου τα πετεινα του ουρανου κατασκηνουν.

και ὑποκατω αυτου κατεσκηνουν τα θηρια τα αγρια, και εν τοις κλαδοις αυτου κατῳκουν τα ορνεα του ουρανου. *Dan. iv.* 9. 18. και ξυλον καρπιμον ποιουν καρπον. *Gen. i.* 12. ὡστε. *Jos. x.* 14. *Conf. Ezech. xvii.* 22-24. *Amos. ix.* 11-15. *Mich. iv.* 1, 2.

33 Και τοιαυταις παραβολαις πολλαις ελαλει αυτοις τον λογον, καθως ηδυναντο ακουειν·

ακουειν, (*intelligere.*) *Gen. xi.* 7. *Conf. Matt. xiii.* 34. *Joan. vi.* 12.

34 Χωρις δε παραβολης ουκ ελαλει αυτοις· κατ᾽ ιδιαν δε τοις μαθηταις αὑτου επελυε παντα.

λυων συνδεσμους. *Dan. v.* 12. *Conf.* 2 *Pet. i.* 19. κατ᾽ ιδιαν. 2 *Mac.* 4. 5. ανδρι κατα το ενυπνιον αυτου επελυσε. *Gen. xli.* 12. *alii. Conf. Gen. xl.* 8. *Ose. iii.* 4. *Sym. Theod.*

35 Και λεγει αυτοις εν εκεινῃ τῃ ἡμερᾳ οψιας γενομενης, Διελθωμεν εις το περαν.

καθα ειπε Κυριος εν τῃ ἡμερᾳ εκεινῃ. *Jos. xiv.* 12. *Alex. Conf. Matt. viii.* 18, 23. *Luc. viii.* 22. δευρο, και διελθωμεν επι την γην κ. τ. λ. 3 *Reg. xviii.* 5. ὡς δε οψια εγενετο. *Judith. xiii.* 1. και διεβη Δαυιδ εις το περαν. 1 *Reg. xxvi.* 13. *Conf. Gen. iv.* 8.

36 Και αφεντες τον οχλον, παραλαμβανουσιν αυτον ὡς ην εν τῳ πλοιῳ· και αλλα δε πλοιαρια ην μετ᾽ αυτου.

και ελυσεν—και αφηκεν αυτον. *Ps. civ.* 20. *Luc. viii.* 23.

37 Και γινεται λαιλαψ ανεμου μεγαλη· τα δε κυματα επεβαλλεν εις το πλοιον, ὡστε αυτο ηδη γεμιζεσθαι.

λαιλαψ μεγαλη. *Jer. xxxii.* 32. ὡστε. 1 *Mac. iv.* 2. [λαιλαψ· ανεμου συστροφη μετα ὑετου. *Hesych.*]

38 Και ην αυτος επι τῃ πρυμνῃ επι το προσκεφαλαιον καθευδων· και διεγειρουσιν αυτον, και λεγουσιν αυτῳ, Διδασκαλε, ου μελει σοι ὁτι απολλυμεθα;

εθηκαν ὑπο το προσκεφαλαιον Δαρειου. 1 *Esd. iii.* 8. ου μελει μοι —ὁτι. κ. τ. λ. *Tob. x.* 5. ὁπως διασωσῃ ὁ Θεος ἡμας, και ου μη απολωμεθα. *Jon. i.* 6. ἱνατι ὑπνοις Κυριε; *Ps. xliii.* 23.

39 Και διεγερθεις επετιμησε τῳ ανεμῳ, και ειπε τῃ θαλασσῃ, Σιωπα, πεφιμωσο. Και εκοπασεν ὁ ανεμος, και εγενετο γαληνη μεγαλη.

και επετιμησε τῃ ερυθρᾳ θαλλασσῃ. *Ps. cv.* 9. *lxxxviii.* 9. και εκο-

πασε το ὑδωρ. Gen. viii. 1. *το πυρ. Num. xi.* 2. *Conf. Matt. viii.* 26.

40 Και ειπεν αυτοις, Τι δειλοι εστε οὑτω; πως ουκ εχετε πιστιν;

ουαι καρδιαις δειλαις—ουαι καρδια παρειμενῃ, ὁτι ου πιστευει. Sir. ii. 12, 13. *ουκ εχον πιστιν. Jer. xv.* 18. *Conf. Deut. xxxii.* 20. *εαν μη πιστευσητε, ουδε μη συνητε. Esa. vii.* 9. 2 *Par. xx.* 20.

41 Και εφοβηθησαν φοβον μεγαν, και ελεγον προς αλληλους, Τις αρα οὑτος εστιν, ὁτι και ὁ ανεμος και ἡ θαλασσα ὑπακουουσιν αυτῳ;

και εφοβηθησαν οἱ ανδρες φοβον μεγαν. Jon. i. 10. 1 *Mac. x.* 8. *και ελυπηθη Ιωνας λυπην μεγαλην. iv.* 1. *προς αλληλους. Gen. xlii.* 28. *εκοψαντο κοπετον μεγαν.* 1 *Mac. iv.* 39. *ii.* 70. *και παντα ὑπακουει. Sir. xlii.* 23. *Conf. Job. xxvi.* 12. *Ps. cvi.* 24. *συ δεσποζεις του κρατους της θαλασσης, τον δε σαλα των κυματων αυτης συ καταπραϋνεις. Ps. lxxxviii.* 9. *Sir. xliii.* 23-25.

Κεφ. ε. 5.

ΚΑΙ ηλθον εις το περαν της θαλασσης, εις την χωραν των Γαδαρηνων.

και εξηλθεν—εις το περαν Μαχμας. 1 *Reg. xiii.* 23. *Ald. τις διαπερασει ἡμιν εις το περαν της θαλασσης; Deut. xxx.* 13. *την χωραν των Φοινικων. Jos. v.* 12. 1 *Par. xx.* 1. *Conf. Matt. viii.* 28. *Luc. viii.* 26. [*De Gadarenis conf. Jos. Bell. Jud. i.* 20. 3. *iii.* 7, 1. *iv.* 7. 3, 4.]

2 Και εξελθοντι αυτῳ εκ του πλοιου, ευθεως απηντησεν αυτῳ εκ των μνημειων ανθρωπος εν πνευματι ακαθαρτῳ,

εν τοις μνημασι, και εν τοις σπηλαιοις κοιμωνται δια ενυπνια, οἱ εσθοντες κρεας ὑειον, και ζωμον θυσιων. Esa. lxv. 4. *και το πνευμα το ακαθαρτον εξαρω απο της γης. Zach. xiii.* 2.

3 Ὁς την κατοικησιν ειχεν εν τοις μνημειοις· και ουτε ἁλυσεσιν ουδεις ηδυνατο αυτον δησαι,

τους κατοικουντας εν ταφοις. Ps. lxvii. 6. *Conf. Dan. iv.* 32, 33.

4 Δια το αυτον πολλακις πεδαις και ἁλυσεσι δεδεσθαι, και διεσπασθαι ὑπ᾽ αυτου τας ἁλυσεις, και τας πεδας συντετριφθαι, και ουδεις αυτον ισχυε δαμασαι·

και εδησεν αυτον εν πεδαις. Jer. xlvi. 7. *Comp. Theod. πληγεντες ὑπο Κυριου. Exod. xvi.* 3. *η ουκ ισχυω του εξελεσθαι; Esa. l.* 2. *οὑτως παντα λεπτυνει και δαμασει. Dan. ii.* 40. *και τας στηλας*

αυτων συντριψετε. *Deut. vii.* 5. και διεσπασε τας νευρας, ὡς ει τις αποσπασοι στρεμμα στυππιου, κ. τ. λ. *Jud. xvi.* 9.

5 Και διαπαντος νυκτος και ἡμερας εν τοις ορεσι και εν τοις μνημασιν ην κραζων και κατακοπτων ἑαυτον λιθοις.

ὁτι ἡμερας και νυκτος εβαρυνθη επ' εμε. *Ps. xxxi.* 4. *liv.* 10. και κατακοψουσιν εν μαχαιραις. *Jer. xx.* 4. εξηλθε δε ὁ Διαβολος απο του Κυριου, και επαισε τον Ιωβ ἑλκει πονηρῳ απο ποδων ἑως κεφαλης. *Job. ii.* 7. *Conf.* 3 *Reg. xviii.* 28.

6 Ιδων δε τον Ιησουν απο μακροθεν, εδραμε και προσεκυνησεν αυτῳ,

και εισηλθε—προς τον βασιλεα—και προσεκυνησεν αυτῳ. 2 *Reg. xiv.* 33. *Conf. Ezech. xvi.* 6. *Esa. lvii.* 19.

7 Και κραξας φωνῃ μεγαλῃ ειπε, Τι εμοι και σοι, Ιησου, υἱε του Θεου του ὑψιστου; ὁρκιζω σε τον Θεον, μη με βασανισῃς·

και εκραξεν εν φωνῃ μεγαλῃ. 2 *Reg. xix.* 4. *Alex. Ald. Ps. iii.* 4. τι εμοι και σοι εστι βασιλευ της Ιουδαιας; 1 *Esd. i.* 26. *Joan. ii.* 4. οἱ δουλοι του Θεου του ὑψιστου. *Dan. iii.* 26. ἱερευς του Θεου του ὑψιστου. *Gen. xiv.* 18-20. αυτος σου τηρησει κεφαλην. *Gen. iii.* 15. *Conf. Matt. viii.* 29. 2 *Pet. ii.* 4. *Jud.* 6. 1 *Thess. v.* 27. ποσακις εγω ὁρκιζω σε ὁπως λαλησῃς προς με αληθειαν εν ονοματι Κυριου; 3 *Reg. xxii.* 16. *Conf. Matt. xxvi.* 63.

8 (Ελεγε γαρ αυτῳ, Εξελθε, το πνευμα το ακαθαρτον, εκ του ανθρωπου.)

και πνευμα εξηλθε παρα Κυριου. *Num. xi.* 31. 3 *Reg. xxii.* 21. *Conf. Tob. iii.* 8, 9. *Act. xvi.* 18. *Matt. iv.* 24.

9 Και επηρωτα αυτον, Τι σοι ονομα; Και απεκριθη λεγων, Λεγεων ονομα μοι, ὁτι πολλοι εσμεν.

10 Και παρεκαλει αυτον πολλα, ἱνα μη αυτους αποστειλῃ εξω της χωρας.

11 Ην δε εκει προς τα ορη αγελη χοιρων μεγαλη βοσκομενη·

12 Και παρεκαλεσαν αυτον παντες οἱ δαιμονες, λεγοντες, Πεμψον ἡμας εις τους χοιρους, ἱνα εις αυτους εισελθωμεν·

Conf. Job. i. 12. *ii.* 6. *Matt. viii.* 30. *Luc. viii.* 32.

10-12.] ὁ δε Αμαν παρεκαλει και ῃτειτο την βασιλισσαν. *Est. vii.* 7. *Ald. Comp.* 2 *Mac. xv.* 8. μεγα πολυ πληθος. *Exod. i.* 9. *Comp.* προς τῳ Λιβανῳ. *Jos. ix.* 1. *Conf. Lev. xi.* 7, 8. *Deut. xiv.* 8. *Esa. lxv.* 4. *lxvi.* 3.

13 Και επετρεψεν αυτοις ευθεως ὁ Ιησους. και εξελθοντα τα
πνευματα τα ακαθαρτα εισηλθον εις τους χοιρους· και ὡρμη-
σεν ἡ αγελη κατα του κρημνου εις την θαλασσαν· ησαν δε ὡς
δισχιλιοι· και επνιγοντο εν τῃ θαλασσῃ.

και επετρεψεν οὑτως γενεσθαι. Est. ix. 14. πνευμα πονηρον παρα Κυριου πνιγει σε. 1 Reg. xvi. 15. Ald. Comp. κατα του τειχους εκρημνισαν. 2 Mac. vi. 10. και εξηλθε πνευμα. 2 Reg. xxii. 21. και εισηλθεν εις αυτους το πνευμα. Ezech. xxxvii. 10. εξελθε, και ποιησον οὑτως. 3 Reg. xxii. 22. ὡς τετρακοσιους. xxii. 6. αγελαι των αιγων. Cant. iv. 1.

14 Οἱ δε βοσκοντες τους χοιρους εφυγον, και ανηγγειλαν εις την
πολιν και εις τους αγρους. και εξηλθον ιδειν τι εστι το γεγο-
νος·

αναγγειλατε εις Ζογορα. Jer. xxxi. 4. Matt. viii. 33. Luc. viii. 34.

15 Και ερχονται προς τον Ιησουν, και θεωρουσι τον δαιμονιζο-
μενον καθημενον και ἱματισμενον και σωφρονουντα, τον εσχη-
κοτα τον λεγεωνα· και εφοβηθησαν.

πνευμα Θεου ἁγιον εν ἑαυτῳ εχει. Dan. iv. 5. μη ληψεται τις παρα γιγαντος σκυλα; και εαν αιχμαλωτευσῃ τις αδικως, σωθησεται; Esa. xlix. 24. Conf. 1 Reg. vi. 20. 1 Par. xiii. 12. Luc. viii. 35.

16 Και διηγησαντο αυτοις οἱ ιδοντες, πως εγενετο τῳ δαιμονι-
ζομενῳ, και περι των χοιρων.

διαγνωθι πως διηλθες την ερημον. Deut. ii. 7. Luc. viii. 36.

17 Και ηρξαντο παρακαλειν αυτον απελθειν απο των ὁριων
αυτων.

Conf. Act. xvi. 39. 1 Cor. ii. 14. Gen. xxvi. 16. 3 Reg. xvii. 18.

18 Και εμβαντος αυτου εις το πλοιον, παρεκαλει αυτον ὁ δαι-
μονισθεις, ἱνα ῃ μετ' αυτου.

και κοιμηθησεται μετ' αυτου. 3 Reg. i. 2. εμβας εις πλοιον. 1 Mac. xv. 37. Conf. Luc. viii. 38. Ps. cxv. 12. 3 Reg. x. 8.

19 Ὁ δε Ιησους ουκ αφηκεν αυτον, αλλα λεγει αυτῳ, Ὑπαγε
εις τον οικον σου προς τους σους, και αναγγειλον αυτοις ὁσα σοι
ὁ Κυριος εποιησε, και ηλεησε σε.

20 Και απηλθε και ηρξατο κηρυσσειν εν τῃ Δεκαπολει, ὁσα
εποιησεν αυτῳ ὁ Ιησους· και παντες εθαυμαζον.

19, 20.] ὁ Θεος—ἁ εποιησας μοι μεγαλεια. Ps. lxx. 19. Ald. Comp. Gen. xxxix. 22. Κυριε ελεησον με. Ps. xl. 4. et pass. και εκηρυχθη,

και ερρεθη εν τη Νινευη. *Jon. iii.* 7. δευρο εις τον οικον σου. 3 *Reg. i.* 53. αναγγειλατε τοις υἱοις ὑμων. *Jos. iv.* 22. δευτε, ακουσατε, και διηγησομαι—ὁσα εποιησε τη ψυχη μου. *Ps. lxv.* 16.

21 Και διαπερασαντος του Ιησου εν τω πλοιω παλιν εις το περαν, συνηχθη οχλος πολυς επ᾽ αυτον, και ην παρα την θαλασσαν.

τις διαπερασει ἡμιν εις το περαν; *Deut. xxx.* 13. *Esa. xxiii.* 2. και συνηχθη ὁ λαος. *Esd. iii.* 1. *Conf. Matt. ix.* 1. *Luc. viii.* 40.

22 Και ιδου, ερχεται εἱς των αρχισυναγωγων, ονοματι Ιαειρος, και ιδων αυτον, πιπτει προς τους ποδας αυτου·

και προσεπεσε προς τους ποδας αυτου. *Exod. iv.* 25. *Conf. Matt. ix.* 18. *Luc. viii.* 41. εἱς των ανθρωπων. *Jud. xvi.* 7. 2 *Reg. xiii.* 13.

23 Και παρεκαλει αυτον πολλα, λεγων, Ὁτι το θυγατριον μου εσχατως εχει· ἱνα ελθων επιθης αυτη τας χειρας ὁπως σωθη, και ζησεται.

τω φοβουμενω τον Κυριον ευ εσται επ᾽ εσχατων. *Sir. i.* 13. *ii.* 7. *Prov. v.* 11. επιθησεις τας χειρας σου επ᾽ αυτον. *Num. xxvii.* 18, 23. και επικαλεσαι με εν ἡμερα θλιψεως, και εξελουμαι σε, κ. τ. λ. *Ps. xlix.* 15. [εν εσχατοις οντα. *Jos. Ant. ix.* 8. 6.] *Conf. Sir. vii.* 36.

24 Και απηλθε μετ᾽ αυτου· και ηκολουθει αυτω οχλος πολυς, και συνεθλιβον αυτον.

25 Και γυνη τις ουσα εν ῥυσει αἱματος ετη δωδεκα,

δια της ῥυσεως, αὑτη ἡ ακαθαρσια αυτου. *Lev. xv.* 3, 25. εν τη ῥυσει αυτου. 33. *Conf. Matt. ix.* 20. συνθλιβειν. *Sir. xxxiv.* 15.

26 Και πολλα παθουσα ὑπο πολλων ιατρων, και δαπανησασα τα παρ᾽ ἑαυτης παντα, και μηδεν ωφεληθεισα, αλλα μαλλον εις το χειρον ελθουσα,

ου δαπανησει—τα οντα μετ᾽ εμου. *Judith. xii.* 4. ελθειν εις διαφθοραν. *Job. xxxiii.* 28. ὑμεις δε εστε ιατροι αδικοι, και ιατροι κακων παντες. *Job. xiii.* 4. *Ald.* [αμεινον εσεσθαι μαλλον. *Philo.*]

27 Ακουσασα περι του Ιησου, ελθουσα εν τω οχλω οπισθεν, ἡψατο του ἱματιου αυτου·

28 Ελεγε γαρ, Ὁτι καν των ἱματιων αυτου αψωμαι, σωθησομαι.

29 Και ευθεως εξηρανθη ἡ πηγη του αἱματος αυτης, και εγνω τω σωματι ὁτι ιαται απο της μαστιγος.

και εξηρανθη ὁ χειμαῤῥους. 3 *Reg. xvii.* 7. αποστησον απ' εμου τας μαστιγας σου. *Ps. xxxviii.* 10. μεμαστιγωμενος εις σωμα αυτου. *Sir. xxx.* 14. και καθαριει αυτην απο της πηγης του αἱματος αυτης. *Lev. xii.* 7. *xx.* 18. Κυριε ὁ Θεος μου εκεκραξα προς σε, και ιασω με. *Ps. xxix.* 2. *Conf. Matt. ix.* 20. *Luc. viii.* 44.

30 Και ευθεως ὁ Ιησους επιγνους εν ἑαυτῳ την εξ αὑτου δυναμιν εξελθουσαν, επιστραφεις εν τῳ οχλῳ, ελεγε, Τις μου ἡψατο των ἱματιων;

Conf. Matt. ix. 22. *Luc. vi.* 19. *viii.* 45. *Zach. viii.* 23.

31 Και ελεγον αυτῳ οἱ μαθηται αυτου, Βλεπεις τον οχλον συνθλιβοντα σε, και λεγεις, Τις μου ἡψατο;

32 Και περιεβλεπετο ιδειν την τουτο ποιησασαν.

33 Ἡ δε γυνη φοβηθεισα και τρεμουσα, ειδυια ὁ γεγονεν επ' αυτῃ, ηλθε και προσεπεσεν αυτῳ, και ειπεν αυτῳ πασαν την αληθειαν.

τρεμοντες και φοβουμενοι. *Dan. v.* 19. *vi.* 26. μη λαλησης προς με πλην την αληθειαν. 2 *Par. xviii.* 15. *Conf. Ps. cii.* 2. [πυθομενος πασαν αληθειαν. *Jos. Bell. Jud. vii.* 2.] *Luc. viii.* 47.

34 Ὁ δε ειπεν αυτῃ, Θυγατερ, ἡ πιστις σου σεσωκε σε· ὑπαγε εις ειρηνην, και ισθι ὑγιης απο της μαστιγος σου.

ὁ δε ειπε. *Gen. xxxiii.* 15. ακουσον θυγατερ. *Ps. xliv.* 10. και νυν θυγατερ μη φοβου. *Ruth. iii.* 11. βαδιζε εις ειρηνην. 2 *Reg. xv.* 9. και επιστευσαν τοις λογοις αυτου, και ηνεσαν την αινεσιν αυτου. *Ps. cv.* 12. πορευου εις ειρηνην. 1 *Reg. i.* 17. και ὑγιης εσῃ. *Esa. xxxviii.* 21. *Conf. Matt. ix.* 22. *Marc. ii.* 1. *x.* 52. 3 *Reg. viii.* 37.

35 Ετι αυτου λαλουντος, ερχονται απο του αρχισυναγωγου, λεγοντες, Ὁτι ἡ θυγατηρ σου απεθανε· τι ετι σκυλλεις τον διδασκαλον;

ετι αυτου λαλουντος αυτοις, και—Ῥαχηλ—ηρχετο. *Gen. xxix.* 9. σκυλλεις. *Conf.* 3 *Mac. iii.* 25. *iv.* 6. *vii.* 5. *Luc. viii.* 49. *Matt. ix.* 18

36 Ὁ δε Ιησους ευθεως ακουσας τον λογον λαλουμενον, λεγει τῳ αρχισυναγωγῳ, Μη φοβου, μονον πιστευε.

εμπιστευσατε εν Κυριῳ—και εμπιστευθησεσθε, κ. τ. λ. 2 *Par. xx.* 20. οἱ φοβουμενοι Κυριον πιστευσατε αυτῳ. *Sir. ii.* 8.

37 Και ουκ αφηκεν ουδενα αυτῳ συνακολουθησαι, ει μη Πετρον και Ιακωβον και Ιωαννην τον αδελφον Ιακωβου.

μη φοβου—μηδε πτοηθῃς. *Deut. xxxi.* 6. ουκ αφηκεν ανθρωπον αδικησαι αυτους. *Ps. civ.* 14. αυτῳ συνακολουθειν. 2 *Mac. ii.* 4.

38 Και ερχεται εις τον οικον του αρχισυναγωγου, και θεωρει θορυβον, κλαιοντας και αλαλαζοντας πολλα.

τινι ουαι; τινι θορυβος; *Prov. xxiii.* 29. και ὡς κατεπαυσεν ὁ θορυβος των ανδρων. *Judith. vi.* 1. αλαλαξατε. *Jer. xxv.* 34. *xxix.* 2. *Vide Grot. in loc.* καλεσατε τας θρηνουσας, κ. τ. λ. *Jer. ix.* 17-20. *Conf. Matt. ix.* 23. *Act. ix.* 39.

39 Και εισελθων λεγει αυτοις, Τι θορυβεισθε και κλαιετε; το παιδιον ουκ απεθανεν, αλλα καθευδει.

Conf. Joan. xi. 11. *Act. xx.* 10. *Dan. xii.* 2.

40 Και κατεγελων αυτου. Ὁ δε εκβαλων ἁπαντας, παραλαμβανει τον πατερα του παιδιου και την μητερα και τους μετ᾽ αυτου, και εισπορευεται ὁπου ην το παιδιον ανακειμενον.

εμυκτηρισεν αυτους, και κατεγελασεν αυτων. 1 *Mac. vii.* 34. *Prov. xvii.* 5. 2 *Par. xxx.* 10. εδοξε δε γελοιαζειν. *Gen. xix.* 14. οὑτος ην ὁν εσχομεν ποτε εις γελωτα, και εις παραβολην ονειδισμου, κ. τ. λ. *Sap. v.* 3. Δαυιδ και οἱ ανδρες οἱ μετ᾽ αυτου. 1 *Reg. xxiii.* 13. *Matt. ix.* 24. *Luc. viii.* 54, 55.

41 Και κρατησας της χειρος του παιδιου, λεγει αυτῃ, Ταλιθα κουμι· ὁ εστι μεθερμηνευομενον, Το κορασιον, (σοι λεγω,) εγειραι.

και εκρατησαν—της χειρος αυτου. *Gen. xix.* 16. *Conf. Act. ix.* 40.

42 Και ευθεως ανεστη το κορασιον και περιεπατει, ην γαρ ετων δωδεκα· και εξεστησαν εκστασει μεγαλῃ.

εξεστη δε Ισαακ εκστασιν μεγαλην. *Gen. xxvii.* 33. εκστασει εκστησονται. *Ezech. xxvi.* 16. ην ετων οκτω. 1 *Esd. i.* 43.

43 Και διεστειλατο αυτοις πολλα, ἱνα μηδεις γνῳ τουτο· και ειπε δοθηναι αυτῃ φαγειν.

συ δε εαν διαστλειλῃ τῳ δικαιῳ. *Ezech. iii.* 18-21. μηδεις γνῳ. *Exod. xxii.* 10. *Jer. xlvii.* 15. οὑτοι οἱ λογοι, οὑς ειπε Κυριος ποιησαι αυτους. *Exod. xxxv.* 1. *Lev. ix.* 6. παντα ὁσα ειπεν ὁ Θεος, ποιησομεν. *Exod. xix.* 8. 2 *Par. xxiv.* 9. *Matt. ix.* 30. *xii.* 16.

ΚΕΦ. ϛ. 6.

ΚΑΙ εξηλθεν εκειθεν, και ηλθεν εις την πατριδα αὑτου· και ακολουθουσιν αυτῳ οἱ μαθηται αυτου.

και αναστρεψωμεν—εις την πατριδα ἡμων. *Jer. xxvi.* 16. *Conf. Matt. xiii.* 54. *Luc. iv.* 16. *Joan. vi.* 24.

2 Και γενομενου σαββατου, ηρξατο εν τῃ συναγωγῃ διδασκειν· και πολλοι ακουοντες εξεπλησσοντο, λεγοντες, Ποθεν τουτῳ ταυτα; και τις ἡ σοφια ἡ δοθεισα αυτῳ; ὁτι και δυναμεις τοιαυται δια των χειρων αυτου γινονται;

και τουτο ηρξαντο ποιησαι. *Gen. xi.* 6. δυναμιν και ενεργειαν εκπλαγεντες. *Sap. xiii.* 4. 2 *Mac. vii.* 12. παντα γαρ ην δια χειρος Ιωσηφ. *Gen. xxxix.* 23. και δυναμις μεγαλη και συνεσις εδοθη. *Dan. x.* 1. την δυναμιν σου απαγγελουσι. *Ps. cxliv.* 4. *Conf. Luc. iv.* 32. *Gen. xli.* 38. *Ps. xliv.* 2.

3 Ουχ οὑτος εστιν ὁ τεκτων, ὁ υἱος Μαριας, αδελφος δε Ιακωβου και Ιωση και Ιουδα και Σιμωνος; και ουκ εισιν αἱ αδελφαι αυτου ὡδε προς ἡμας; Και εσκανδαλιζοντο εν αυτῳ.

αδελφαι, *propinquæ*. *Gen. xxiv.* 59. *xii.* 13, 19. *xxvi.* 7, 9. μηποτε σκανδαλισθῃς εν τοις επιτιμιοις αυτης. *Sir. ix.* 5. ουκ εστιν ειδος αυτῳ, ουδε δοξα· και ειδομεν αυτον, και ουκ ειχεν ειδος ουδε καλλος, κ. τ. λ. *Esa. liii.* 2, 3. αδυνατησουσιν εν αυτοις πολλοι. *Esa. viii.* 15. *Prov. iv.* 19. *Conf. Joan. vi.* 42. *Matt. xi.* 6. *Luc. ii.* 34.

4 Ελεγε δε αυτοις ὁ Ιησους, Ὁτι ουκ εστι προφητης ατιμος, ει μη εν τῃ πατριδι αὑτου, και εν τοις συγγενεσι και εν τῃ οικιᾳ αὑτου.

Conf. Matt. xiii. 57. *Luc. iv.* 24. *Joan. iv.* 44. *Jer. xi.* 21.

5 Και ουκ ηδυνατο εκει ουδεμιαν δυναμιν ποιησαι, ει μη ολιγοις αρῥωστοις επιθεις τας χειρας, εθεραπευσε.

και ουκ ηδυναντο λαλειν αυτῳ ουδεν ειρηνικον. *Gen. xxxvii.* 4. ου γαρ δυνησομαι ποιειν πραγμα, ἑως του ελθειν σε εκει. *xix.* 22. *Job. vi.* 7. *xxxii.* 3. *Esa. lix.* 1, 2. *Conf. Joan. v.* 19. αυτος σοι διδωσιν ισχυν του ποιησαι δυναμιν. *Deut. viii.* 17, 18. και την γυναικα μου εθεραπευσε. *Tob. xii.* 2. *Conf. Matt. xiii.* 58. *xix.* 13. *Heb. iv.* 2. μη οκνει επισκεπτεσθαι αρῥωστον. *Sir. vii.* 35.

6 Και εθαυμαζε δια την απιστιαν αυτων· και περιηγε τας κωμας κυκλῳ διδασκων.

και ειδε, και ουκ ην ανηρ, κ. τ. λ. *Esa. lix.* 16. κυκλῳ. *Judith. xv.* 3. *et Grot. in loc. Gen. xxiii.* 17. *Exod. xxv.* 24. *xxx.* 3. *Conf. Matt. iv.* 23. *viii.* 10. *Luc. iv.* 31. *xiii.* 22.

7 Και προσκαλειται τους δωδεκα, και ηρξατο αυτους αποστελλειν δυο δυο, και εδιδου αυτοις εξουσιαν των πνευματων των ακαθαρτων.

δυο δυο απο παντων εισελευσονται. *Gen. vi.* 20. *vii.* 9. *Conf. Exod.*

iv. 14, 15. εδωκεν αυτοις εξουσιαν των επ' αυτης. *Sir. xvii.* 2. *Conf. Matt. x.* 1. *Luc. vi.* 13. *x.* 17. *Eccles. iv.* 9, 10.

8 Και παρηγγειλεν αυτοις, ἱνα μηδεν αιρωσιν εις ὁδον, ει μη ῥαβδον μονον· μη πηραν, μη αρτον, μη εις την ζωνην χαλκον·

Conf. Matt. x. 9. *Luc. ix.* 3. *x.* 4. *xxii.* 35.

9 Αλλ' ὑποδεδεμενους σανδαλια· και μη ενδυσησθε δυο χιτωνας.

τα σανδαλια. *Esa. xx.* 2. *Conf. Grot. in loc. Act. xii.* 8. ὑπεδησαν. 2 *Par. xxviii.* 15. *alii. Conf. Deut. viii.* 4. *Gen. xxxii.* 10.

10 Και ελεγεν αυτοις, Ὁπου εαν εισελθητε εις οικιαν, εκει μενετε ἑως αν εξελθητε εκειθεν.

ὁπου εαν πορευθῃς, πορευσομαι. *Ruth. i.* 16. και μενομεν ἑως φωτος. 4 *Reg. vii.* 9. *Conf. Matt. x.* 11. *Luc. ix.* 4. *Act. xvi.* 15.

11 Και ὁσοι αν μη δεξωνται ὑμας, μηδε ακουσωσιν ὑμων, εκπορευομενοι εκειθεν, εκτιναξατε τον χουν τον ὑποκατω των ποδων ὑμων, εις μαρτυριον αυτοις. αμην λεγω ὑμιν, Ανεκτοτερον εσται Σοδομοις η Γομοῤῥοις εν ἡμερᾳ κρισεως, η τῃ πολει εκεινῃ.

ακουσατε μου οἱ απειθεις. *Num. xx.* 10. εκτιναξαι τον χουν, και αναστηθι. *Esa. lii.* 2. ὑποκατω των ποδων αυτου. 2 *Reg. xxii.* 10. *Ps. viii.* 7. εις μαρτυριον. *Gen. xxi.* 30. ἡμερα——κρισεως Κυριου. *Esa. xxxiv.* 8. *Prov. vi.* 34. και την αναβολην μου εξετιναξα, και ειπα, Οὑτως εκτιναξαι ὁ Θεος, κ. τ. λ. *Neh. v.* 13. *Conf. Matt. x.* 14, 15. *Luc. ix.* 5. *x.* 10. *Act. xiii.* 51. *Ezech. xvi.* 48.

12 Και εξελθοντες εκηρυσσον ἱνα μετανοησωσι·

Jon. iii. 4-10. *Matt. x.* 7. απολιπετω ὁ ασεβης τας ὁδους αυτου, και ανηρ ανομος τας βουλας αυτου, και επιστραφητω επι Κυριον, και ελεηθησεται, ὁτι επι πολυ αφησει τας ἁμαρτιας ὑμων. *Esa. lv.* 7. *Ezech. xviii.* 20-22. *Jon. iii.* 8-10.

13 Και δαιμονια πολλα εξεβαλλον και ηλειφον ελαιῳ πολλους αῤῥωστους και εθεραπευον.

Conf. Jac. v. 14. *Exod. xxx.* 25. *Luc. x.* 34.

14 Και ηκουσεν ὁ βασιλευς Ἡρωδης· (φανερον γαρ εγενετο το ονομα αυτου·) και ελεγεν, Ὁτι Ιωαννης ὁ βαπτιζων εκ νεκρων ηγερθη, και δια τουτο ενεργουσιν αἱ δυναμεις εν αυτῳ.

και φανερον εσται το ονομα Κυριου. *Esa. lxiv.* 2. *Alex. M. Ald.* αναστησονται οἱ νεκροι, και εγερθησονται. *xxvi.* 19. ὁ εγειρας νεκρον εκ θανατου και εξ ᾁδου. *Sir. xlviii.* 5. και τον εμπνευσαντα

αυτῳ ψυχην ενεργουσαν. Sap. xv. 11. *Conf. Matt. xiv.* 1. *Luc. ix.* 7. [*Herodes Antipas. Conf. Jos. Ant. xviii.* 5. 7.]

15 Αλλοι ελεγον, Ὁτι Ηλιας εστιν· αλλοι δε ελεγον, Ὁτι
προφητης εστιν, ἡ ὡς εἱς των προφητων.

ὡς εἱς των υἱων αυτου. Jud. xvii. 11. *xx.* 11. *Conf. Matt. xvi.* 14. *Mal. iv.* 5. Εσδρας *ὡς γραμματευς.* 1 *Esd. viii.* 3. *Conf. Esd. vii.* 6. *Sir. xlviii.* 1. *Matt. xxi.* 11. *Luc. vii.* 16.

16 Ακουσας δε ὁ Ἡρωδης ειπεν, Ὁτι ὁν εγω απεκεφαλισα
Ιωαννην, οὑτος εστιν· αυτος ηγερθη εκ νεκρων.

απεκεφαλισα αυτον. Ps. cli. 7. *Conf. Dan. xii.* 2. *Luc. ix.* 9. *και αναστησῃ εις τον κληρον σου εις συντελειαν ἡμερων. Dan. xii.* 13.

17 Αυτος γαρ ὁ Ἡρωδης αποστειλας εκρατησε τον Ιωαννην,
και εδησεν αυτον εν τῃ φυλακῃ, δια Ἡρωδιαδα την γυναικα
Φιλιππου του αδελφου αὑτου, ὁτι αυτην εγαμησεν.

αποστειλας δε Φαραω *εκαλεσε τον* Ιωσηφ. *Gen. xli.* 14. *και εδησεν αυτον εν οικῳ φυλακης.* 4 *Reg. xvii.* 4. *και* Ιωναθαν *μετ᾽ αυτου εν φυλακῃ.* 1 *Mac. xiii.* 12. *Conf. Luc. iii.* 19. *Matt. xiv.* 3.

18 Ελεγε γαρ ὁ Ιωαννης τῳ Ἡρωδῃ, Ὁτι ουκ εξεστι σοι εχειν
την γυναικα του αδελφου σου.

ουκ εξεστιν ἡμιν ιδειν. Esd. iv. 14. *Conf. Lev. xviii.* 16. *xx.* 21. *Matt. xiv.* 4. 3 *Reg. xxii.* 14-18. *Ezech. iii.* 18, 19.

19 Ἡ δε Ἡρωδιας ενειχεν αυτῳ, και ηθελεν αυτον αποκτειναι·
και ουκ ηδυνατο.

και ενειχον αυτῳ. Gen. xlix. 24. *και εμε ηθελησαν αποκτειναι. Jud. xx.* 5. *Alex. O. Ald. Comp. ενειχε. Conf. Luc. xi.* 53. [*ενειχον τῳ* Ιωσηφ. *Test. XII Patr. p.* 682. *ενειχον· εχολουν, ωργιζοντο. Hesych.*] *Conf. Ezech. xvi.* 30. *Gen. xxxix.* 17.

20 Ὁ γαρ Ἡρωδης εφοβειτο τον Ιωαννην, ειδως αυτον ανδρα
δικαιον και ἁγιον, και συνετηρει αυτον· και ακουσας αυτου,
πολλα εποιει, και ἡδεως αυτου ηκουε.

συντηρησον και προσεχε σφοδρως. Sir. xiii. 13. *τον καιρον. iv.* 20. *ουκ ηκουσαμεν ουδε συνετηρησαμεν. Cant. Tr. P.* 6. *ειδως. Neh. x.* 28. [*κτεινει γαρ τουτον* Ἡρωδης, *αγαθον ανδρα, κ. τ. λ. Jos. Ant. xviii.* 6. 2.] *Conf. Matt. xiv.* 5. *xxi.* 26. *Luc. xx.* 6. *Joan. v.* 35.

21 Και γενομενης ἡμερας ευκαιρου, ὁτε Ἡρωδης τοις γενεσιοις
αὑτου δειπνον εποιει τοις μεγιστασιν αὑτου και τοις χιλιαρχοις και τοις πρωτοις της Γαλιλαιας,

ευκαιρον ετηρει στρατηγηματι τουτ᾽ επιτελεσαι. 2 *Mac. xiv.* 29. (*Alex.* *του επιτελεσαι.*) Βαλτασαρ *ὁ βασιλευς εποιησε δειπνον μεγα τοις μεγιστασιν αυτου.* *Dan. v.* 1. *εν πρωτοις των κεκλημενων.* 1 *Reg. ix.* 22. *Jon. iii.* 7. *Conf. Gen. xl.* 20. *Matt. xiv.* 6.

22 Και *εισελθουσης της θυγατρος αυτης της* Ἡρωδιαδος, *και ορχησαμενης, και αρεσασης τῳ* Ἡρωδῃ *και τοις συνανακειμενοις, ειπεν ὁ βασιλευς τῳ κορασιῳ,* Αιτησον *με ὁ εαν θελῃς, και δωσω σοι·*

ἡ γυνη ἡ αν αρεσῃ τῳ βασιλει. *Est. ii.* 4. *και ηρεσεν αυτῳ το κορασιον.* 9. *δῳη σοι παν αιτημα σου, ὁ ῃτησω.* 1 *Reg. i.* 17.

23 Και *ωμοσεν αυτῃ,* Ὁτι *ὁ εαν με αιτησῃς, δωσω σοι, ἑως ἡμισους της βασιλειας μου.*

και ειπεν ὁ βασιλευς, τι θελεις Εσθηρ ; *και τι σου εστι το αξιωμα ; ἑως του ἡμισους της βασιλειας μου, και εσται σοι.* *Est. v.* 3.

24 Ἡ *δε εξελθουσα ειπε τῃ μητρι αὑτης,* Τι *αιτησομαι ;* Ἡ *δε ειπε,* Την *κεφαλην* Ιωαννου *του* Βαπτιστου.

Conf. 2 *Par. xxii.* 3. *Ezech. xix.* 2. *Judith. xii.* 16.

25 Και *εισελθουσα ευθεως μετα σπουδης προς τον βασιλεα, ῃτησατο λεγουσα,* Θελω *ἱνα μοι δῳς εξ αυτης επι πινακι την κεφαλην* Ιωαννου *του* Βαπτιστου.

επορευθησαν σπουδῃ εις Ἱερουσαλημ. *Esd. iv.* 23. *εδεσθε—μετα σπουδης.* *Exod. xii.* 11. *Sap. xix.* 2. *Conf. Matt. xiv.* 8.

26 Και *περιλυπος γενομενος ὁ βασιλευς, δια τους ὁρκους και τους συνανακειμενους ουκ ηθελησεν αυτην αθετησαι.*

και εκαθημην περιλυπος ἑως της δειλινης θυσιας. 1 *Esd. viii.* 72. *ωμοσε—και ου μη αθετησει αυτην.* *Ps. cxxxi.* 11. *δια τον ὁρκον.* 2 *Reg. xxi.* 7. *ὁ ομνυων τῳ πλησιον αυτου, και ουκ αθετων.* *Ps. xiv.* 4. *Dan. ix.* 7. *Esa. i.* 2. *Vide Kypke in loc.* *Luc. vii.* 30. *Joan. xii.* 48. *βασιλεως ὑπακουοντος λογον αδικον, κ.τ.λ.* *Prov. xxix.* 12.

27 Και *ευθεως αποστειλας ὁ βασιλευς σπεκουλατωρα, επεταξεν ενεχθηναι την κεφαλην αυτου.*

Conf. Matt. xiv. 10. [*σπεκουλατωρα, Lat.* = *δορυφορον.*]

28 Ὁ *δε απελθων απεκεφαλισεν αυτον εν τῃ φυλακῃ, και ηνεγκε την κεφαλην αυτου επι πινακι, και εδωκεν αυτην τῳ κορασιῳ· και το κορασιον εδωκεν αυτην τῃ μητρι αὑτης.*

και ηνεγκαν την κεφαλην Ιεβοσθε *τῳ* Δαυιδ. 2 *Reg. iv.* 8. *Conf. Matt. xiv.* 11. *Act. viii.* 2. 3 *Reg. xiii.* 29.

29 Και ακουσαντες οἱ μαθηται αυτου ηλθον και ηραν το πτωμα αυτου, και εθηκαν αυτο εν τῳ μνημειῳ.

το πτωμα του λεοντος. *Jud. xiv.* 8. και εθαψαν—και εθηκαν εν τῃ σορῳ. *Gen. l.* 26. εθηκε το σωμα αυτου εν τῳ ταφῳ ἑαυτου. 3 *Reg. xiii.* 30. *Ald. Comp. Conf. Gen. xxiii.* 6, 9. *xlix.* 9.

30 Και συναγονται οἱ αποστολοι προς τον Ιησουν, και απηγγειλαν αυτῳ παντα, και ὁσα εποιησαν και ὁσα εδιδαξαν.

Conf. Luc. ix. 10. *Matt. xiv.* 12. *Act. i.* 1.

31 Και ειπεν αυτοις, Δευτε ὑμεις αυτοι κατ᾽ ιδιαν εις ερημον τοπον, και αναπαυεσθε ολιγον. Ησαν γαρ οἱ ερχομενοι και οἱ ὑπαγοντες πολλοι, και ουδε φαγειν ηυκαιρουν.

ολιγον νυσταζω. *Prov. xxiv.* 33. κατ᾽ ιδιαν. 2 *Mac. iv.* 5. *xiv.* 21. *Conf. sup. iii.* 20. ηυκαιρουν. *Sturz. de Voc. Alex. pp.* 168, 169.

32 Και απηλθον εις ερημον τοπον τῳ πλοιῳ κατ᾽ ιδιαν.

Conf. Matt. xiv. 13. *Luc. ix.* 10. *Joan. vi.* 1.

33 Και ειδον αυτους ὑπαγοντας οἱ οχλοι, και επεγνωσαν αυτον πολλοι· και πεζῃ απο πασων των πολεων συνεδραμον εκει, και προηλθον αυτους, και συνηλθον προς αυτον.

και παντες οἱ παιδες αυτου πεζῃ. 2 *Reg. xv.* 17. συνηλθον ουν προς αυτον παντες οἱ υἱοι Λευι. *Exod. xxxii.* 26. *Conf. Joan. vi.* 2. και συνεδραμον πας νεανισκος αυτων. *Judith. vi.* 16. *xiii.* 13. οἱ ελθοντες τοις ποσι. 2 *Reg. xv.* 18.

34 Και εξελθων ειδεν ὁ Ιησους πολυν οχλον, και εσπλαγχνισθη επ᾽ αυτοις, ὁτι ησαν ὡς προβατα μη εχοντα ποιμενα· και ηρξατο διδασκειν αυτους πολλα.

ὡσει προβατα οἱς ουκ εστι ποιμην. *Num. xxvii.* 17. ηρξατο Μωυσης διασαφησαι τον νομον. *Deut. i.* 5. *Conf. Jer. xxiii.* 1. *Ezech. xxxiv.* 2. *Matt. ix.* 36. [τα σπλαγχνα μου πονῳ επι τουτοις. *Psalt. Sal. ii.* 15.] εκσπασατε τα προβατα. *Zach. xiii.* 7.

35 Και ηδη ὡρας πολλης γενομενης, προσελθοντες αυτῳ οἱ μαθηται αυτου λεγουσιν, Ὁτι ερημος εστιν ὁ τοπος, και ηδη ὡρα πολλη·

ὑπο της ὡρας συγκλειομενοι. 2 *Mac. viii.* 25. *Conf. Matt. xiv.* 15. *Luc. ix.* 12. *Joan. vi.* 5. και ειπεν, ὁτι— *Gen. xxix.* 33.

36 Απολυσον αυτους, ἱνα απελθοντες εις τους κυκλῳ αγρους και κωμας, αγορασωσιν ἑαυτοις αρτους· τι γαρ φαγωσιν ουκ εχουσιν.

κυκλῳ της Ἱερουσαλημ. Jer. xxxii. 44. παντες οἱ κυκλῳ αυτου. Ps. lxxvi. 11. φαγωσι. Conf. Sturz. de. Voc. Alex. p. 199.

37 Ὁ δε αποκριθεις ειπεν αυτοις, Δοτε αυτοις ὑμεις φαγειν. Και λεγουσιν αυτῳ, Απελθοντες αγορασωμεν διακοσιων δηναριων αρτους, και δωμεν αυτοις φαγειν;

και αποκριθεις Ἀβρααμ ειπε. Gen. xviii. 27. δος ἡμιν—ἱνα φαγωμεν. Num. xi. 13. δοτε τῳ λαῳ. 4 Reg. iv. 42-44. Conf. Matt. xiv. 14. Luc. ix. 12. Joan. vi. 4-10.

38 Ὁ δε λεγει αυτοις, Ποσους αρτους εχετε; ὑπαγετε και ιδετε. Και γνοντες λεγουσι, Πεντε, και δυο ιχθυας.

πεντε αρτοι. 1 Reg. xxi. 3. Conf. Matt. xiv. 17. Luc. ix. 13. Joan. vi. 9.

39 Και επεταξεν αυτοις ανακλιναι παντας συμποσια, συμποσια επι τῳ χλωρῳ χορτῳ.

θημωνιας θημωνιας. Exod. viii. 14. 4 Reg. iii. 16. χορτος χλωρος. Esa. xv. 6. Conf. 1 Cor. xiv. 40.

40 Και ανεπεσον πρασιαι πρασιαι, ανα ἑκατον και ανα πεντηκοντα.

ανθρωπος ανθρωπος. Ezech. xiv. 4. και ανεπεσα του φαγειν. Tob. ii. 1. Conf. Grot. in. loc. Luc. ix. 14, 15.

41 Και λαβων τους πεντε αρτους και τους δυο ιχθυας, αναβλεψας εις τον ουρανον, ευλογησε· και κατεκλασε τους αρτους, και εδιδου τοις μαθηταις αὑτου, ἱνα παραθωσιν αυτοις· και τους δυο ιχθυας εμερισε πασι.

και ελαβεν αρτους. Gen. xxi. 14. αναβλεψον—εις τον ουρανον. Gen. xv. 5. ου μη κλασθῃ αρτος. Jer. xvi. 7. Conf. Matt. xiv. 19. και ειπε, παραθετε αρτους. Gen. xliii. 31, 32. Conf. 1 Reg. ix. 13. Deut. viii. 10. 1 Cor. x. 31.

42 Και εφαγον παντες, και εχορτασθησαν·

Conf. Matt. xiv. 20. 4 Reg. iv. 42-44. Ps. cxliv. 15.

43 Και ηραν κλασματων δωδεκα κοφινους πληρεις, και απο των ιχθυων.

ἑνεκεν κλασματων αρτου. Ezech. xiii. 19. Conf. Luc. ix. 17.

44 Και ησαν οἱ φαγοντες τους αρτους ὡσει πεντακισχιλιοι ανδρες.

ὡσει ὡραν θυσιας. Dan. ix. 21. Conf. Matt. xiv. 21.

45 Και ευθεως ηναγκασε τους μαθητας αὐτου εμβηναι εις το πλοιον, και προαγειν εις το περαν προς Βηθσαϊδαν, ἑως αυτος απολυσῃ τον οχλον.

οὑτως αναγκαζει ποιειν; 1 Esd. iii. 24. κατεβη εις την κοιλην του πλοιου. Jon. i. 5. οχλους απελυσε. 2 Mac. xiv. 23. απολυσας τους οχλους. Matt. xiv. 23.

46 Και αποταξαμενος αυτοις, απηλθεν εις το ορος προσευξασθαι.

[αποταξαμενος. Jos. Ant. viii. 13. 7.] Conf. Matt. xiv. 23.

47 Και οψιας γενομενης, ην το πλοιον εν μεσῳ της θαλασσης, και αυτος μονος επι της γης.

ὡς δε οψια εγενετο. Judith. xiii. 1. εν μεσῳ της θαλασσης· Exod. xv. 8. Conf. Joan. vi. 15, 16.

48 Και ειδεν αυτους βασανιζομενους εν τῳ ελαυνειν· (ην γαρ ὁ ανεμος εναντιος αυτοις·) και περι τεταρτην φυλακην της νυκτος ερχεται προς αυτους, περιπατων επι της θαλασσης· και ηθελε παρελθειν αυτους.

απο φυλακης πρωϊας μεχρι νυκτος. Ps. cxxix. 6. περι μεσας νυκτας. Exod. xi. 4. ουδε πορευσεται πλοιον ελαυνον. Esa. xxxiii. 21. ελαυνειν ειδοτας θαλασσαν. 3 Reg. ix. 27. Conf. Jon. i. 13.

49 Οἱ δε ιδοντες αυτον περιπατουντα επι της θαλασσης, εδοξαν φαντασμα ειναι, και ανεκραξαν·

τα μεν τερασιν ηλαυνοντο φαντασματων. Sap. xvii. 15. Conf. Matt. xiv. 25. ειδον, και ουκ ην μορφη προ οφθαλμων μου, αλλ' η αυραν και φωνην ηκουον. Job. iv. 16. Conf. Ps. ciii. 3.

50 (Παντες γαρ αυτον ειδον, και εταραχθησαν.) και ευθεως ελαλησε μετ' αυτων, και λεγει αυτοις, Θαρσειτε· εγω ειμι, μη φοβεισθε.

ελαλησε μετ' αυτου. Gen. xxxv. 13. θαρσειτε. Vide Gen. xxxv. 17. Joel. ii. 11. μη φοβηθητε, φησι Κυριος, ὁτι μεθ' ὑμων εγω ειμι. Jer. xlix. 11. Alex. εν τῃ θαλασσῃ ἡ ὁδος σου, κ. τ. λ. Ps. lxxvi. 13.

51 Και ανεβη προς αυτους εις το πλοιον, και εκοπασεν ὁ ανεμος· και λιαν εκ περισσου εν ἑαυτοις εξισταντο, και εθαυμαζον.

και εκοπασε το ὑδωρ. Gen. viii. 1. και εξεστησαν και εφοβηθησαν σφοδρα. 1 Reg. xvii. 11. και εστη εις αυραν, και εσιγησαν τα κυματα αυτης. Ps. cvi. 29. εκ περισσου. Dan. iii. 23. [εκ περισσου εποιησε. Test. XII Patr. p. 711.] Matt. viii. 27. xiv. 28-32.

52 Ου γαρ συνηκαν επι τοις αρτοις· ην γαρ ἡ καρδια αυτων πεπωρωμενη.

ὁτι ου συνηκαν εις τα εργα Κυριου. *Ps. xxvii.* 5. ὁτι συνηκαν εν τοις λογοις οἱς εγνωρισεν αυτοις. *Neh. viii.* 12. και επι παν θεον ου συνησει. *Dan. xi.* 37. πεπωρωνται—απο οργης οἱ οφθαλμοι μου. *Job. xvii.* 7. επι τοις αρτοις. *Conf.* 3 *Mac. ii.* 6-8.

53 Και διαπερασαντες ηλθον επι την γην Γενησαρετ, και προσωρμισθησαν.

διαπερωντες την θαλασσαν. *Esa. xxiii.* 2. *Conf. Matt. xiv.* 34.

54 Και εξελθοντων αυτων εκ του πλοιου, ευθεως επιγνοντες αυτον,

55 Περιδραμοντες ὁλην την περιχωρον εκεινην, ηρξαντο επι τοις κραββατοις τους κακως εχοντας περιφερειν, ὁπου ηκουον ὁτι εκει εστι.

περιδραμουνται ζητουντες τον λογον του Κυριου. *Amos. viii.* 12. 2 *Mac. vii.* 27. τοπος ὁπου ουκ εστιν εκει. *Jud. xviii.* 10. και το κακως εχον ουκ εσωματοποιησατε. *Ezech. xxxiv.* 4. την εν γαστρι περιενεγκασαν σε. 2 *Mac. vii.* 27. *Conf. Matt. iv.* 24. *cap. ii.* 4.

56 Και ὁπου αν εισεπορευετο εις κωμας η πολεις η αγρους, εν ταις αγοραις ετιθουν τους ασθενουντας, και παρεκαλουν αυτον, ἱνα καν του κρασπεδου του ἱματιου αυτου ἁψωνται· και ὁσοι αν ἡπτοντο αυτου, εσωζοντο.

εισπορευεσθε εις ορος Αμορραιων. *Deut. i.* 7. εν πολει—εν αγρῳ. *Deut. xxviii.* 3. ἡψατο ενδυματων αυτων. *Thren. iv.* 14. και ἡψατο μου, και εστησε με. *Dan. viii.* 18. *Conf. Act. xix.* 12. εγω γαρ ειμι Κυριος ὁ Θεος σου ὁ ιωμενος σε. *Exod. xv.* 26. [εν αγοραις, "*in plateis.*" *Vulg.*] ερριπται εν τῃ αγορᾳ. *Tob. ii.* 3. την πολιν οικοδομουσι, τας τε αγορας αυτης. 1 *Esd. ii.* 18. *Conf. Matt. ix.* 20, 21.

ΚΕΦ. ζ. 7.

ΚΑΙ συναγονται προς αυτον οἱ Φαρισαιοι, και τινες των Γραμματεων, ελθοντες απο Ἱεροσολυμων,

και οἱ ἱερεις—συνηχθησαν προς αυτον. 2 *Par. xi.* 13. τις των πρωτευοντων γραμματεων. 2 *Mac. vi.* 18. *Conf. Matt. xv.* 1.

2 Και ιδοντες τινας των μαθητων αυτου κοιναις χερσι, τουτ' εστιν ανιπτοις, εσθιοντας αρτους, εμεμψαντο·

θυειν ὑεια, και κτηνη κοινα. 1 *Mac. i.* 47. του μη φαγειν κοινα. 62. ὁ εσθιων αρτους μου. *Ps. xl.* 9. ουχ εὑρησομεν κατα Δανιηλ προφασιν, ει μη εν νομιμοις Θεου αυτου, κ. τ. λ. *Dan. vi.* 5, 6.

3 Οἱ γαρ Φαρισαιοι και παντες οἱ Ιουδαιοι, εαν μη πυγμῃ νιψωνται τας χειρας, ουκ εσθιουσι, κρατουντες την παραδοσιν των πρεσβυτερων·

[νομιμα πολλα τινα παρεδοσαν τῳ δημῳ οἱ Φαρισαιοι εκ πατερων διαδοχης, ἁπερ ουκ αναγεγραπται εν τοις Μωυσεως νομοις κ. τ. λ. *Jos. Ant. xiii.* 10. 6.] [κρατειν το θελημα του Θεου. *Test. XII Patr. p.* 665.] πυγμῃ. *Exod. xxi.* 18. *Esa. lviii.* 4.

4 Και απο αγορας, εαν μη βαπτισωνται, ουκ εσθιουσι· και αλλα πολλα εστιν ἁ παρελαβον κρατειν, βαπτισμους ποτηριων και ξεστων και χαλκιων και κλινων·

και αναλαβε τα ῥηματα αυτου εν καρδιᾳ σου. *Job. xxii.* 22. παρελαβον απο του Κυριου. 1 *Cor. xi.* 23. *xv.* 3. *Conf. Lev. xiv.* 7. *xvi.* 19. 4 *Reg. v.* 14. νιψομαι εν αθωοις τας χειρας μου, και κυκλωσω το θυσιαστηριον σου, Κυριε. *Ps. xxv.* 6. *Job. ix.* 30, 31. *Conf. Sir. xxxi.* 25. εβαπτιζετο εν τῃ παρεμβολῃ επι της πηγης του ὑδατος. *Judith. xii.* 7. *Conf. Esa. i.* 16. *Jer. iv.* 14.

5 Επειτα επερωτωσιν αυτον οἱ Φαρισαιοι και οἱ Γραμματεις, Διατι οἱ μαθηται σου ου περιπατουσι κατα την παραδοσιν των πρεσβυτερων, αλλα ανιπτοις χερσιν εσθιουσι τον αρτον;

μνησθητι δη ὁσα περιεπατησα ενωπιον σου. 4 *Reg. xx.* 3. [παραδοσις· διδασκαλια αγραφος, διδασκαλια. *Hesych.*] *Act. xxi.* 21.

6 Ὁ δε αποκριθεις ειπεν αυτοις, Ὁτι καλως προεφητευσεν Ησαΐας περι ὑμων των ὑποκριτων, ὡς γεγραπται, Οὑτος ὁ λαος τοις χειλεσι με τιμᾳ, ἡ δε καρδια αυτων πορῤω απεχει απ᾽ εμου.

και προεφητευσεν Αγγαιος ὁ προφητης. *Esd. v.* 1. 2 *Par. xx.* 38. καλως. *Jon. iv.* 4. 9. *alii.* δικαιως. *Sym.* εγγιζει μοι ὁ λαος οὑτος εν τῳ στοματι αυτου, και εν τοις χειλεσιν αυτων τιμωσι με, ἡ δε καρδια αυτων πορῤω απεχει απ᾽ εμου. *Esa. xxix.* 30.

7 Ματην δε σεβονται με, διδασκοντες διδασκαλιας, ενταλματα ανθρωπων.

ματην δε σεβονται με, διδασκοντες ενταλματα ανθρωπων και διδασκαλιας. *Esa. xxix.* 13. *Conf. Matt. xv.* 9. *Col. ii.* 18. *Tit. i.* 14. *CITAT.* 49.

8 Αφεντες γαρ την εντολην του Θεου, κρατειτε την παραδοσιν

των ανθρωπων, βαπτισμους ξεστων και ποτηριων, και αλλα παρομοια τοιαυτα πολλα ποιειτε.

ἡ εντολη Κυριου *τηλαυγης. Ps. xviii.* 8. *εκρατησα αυτον, και ουκ αφηκα αυτον. Cant. iii.* 4. [*ὁ δε βαθος δυναται χορησαι ξεστας ἑβδομηκοντα δυο. Jos. Ant. vi.* 2. 9.] *Conf. Deut. xii.* 32.

9 Και *ελεγεν αυτοις,* Καλως *αθετειτε την εντολην του* Θεου, *ἱνα την παραδοσιν ὑμων τηρησητε.*

και οἱ ἱερεις ηθετησαν τον νομον μου. Ezech. xxii. 26. *και ηλλαξαν τα προσταγματα διαθηκην αιωνιον. Esa. xxiv.* 5.

10 Μωσης *γαρ ειπε,* Τιμα *τον πατερα σου και την μητερα σου. και* Ὁ *κακολογων πατερα η μητερα, θανατῳ τελευτατω·*

τιμα τον πατερα σου, και την μητερα σου. Exod. xx. 12. *Deut. v.* 16. *CITAT.* 50. *ὁς τυπτει πατερα αυτου η μητερα αυτου θανατῳ θανατουσθω.* Ὁ *κακολογων πατερα αυτου η μητερα αυτου τελευτησει θανατῳ. Exod. xxi.* 15, 16, *CITAT.* 51.

11 Ὑμεις *δε λεγετε,* Εαν *ειπῃ ανθρωπος τῳ πατρι η τῃ μητρι,* Κορβαν, (*ὁ εστι, δωρον,*) *ὁ εαν εξ εμου ωφεληθῃς·*

[*οἱ κορβαν αυτους ονομασαντες τῳ* Θεῳ, *δωρον δε σημαινει, κ.τ.λ. Jos. Ant. iv.* 4. 4.] *Conf. Matt. xv.* 5. *xxiii.* 18.

12 Και *ουκετι αφιετε αυτον ουδεν ποιησαι τῳ πατρι αὑτου η τῃ μητρι αὑτου,*

ουκ αφηκεν αυτον καταβηναι. Jud. i. 34. *Alex. ουκ—ουδεν. Exod. ix.* 6.

13 Ακυρουντες *τον λογον του* Θεου *τῃ παραδοσει ὑμων ἡ παρεδωκατε· και παρομοια τοιαυτα πολλα ποιειτε.*

και μη ακυρους ποιησεις εμους λογους. Prov. v. 7. *i.* 25. *Conf. Matt. xv.* 6. *Esa. viii.* 20. *Jer. viii.* 8. *Ose. viii.* 11, 12.

14 Και *προσκαλεσαμενος παντα τον οχλον, ελεγεν αυτοις,* Ακουετε *μου παντες, και συνιετε.*

ακοῃ ακουσετε, και ου μη συνητε. Esa. vi. 9. *Conf. Matt. xv.* 10.

15 Ουδεν *εστιν εξωθεν του ανθρωπου εισπορευομενον εις αυτον, ὁ δυναται αυτον κοινωσαι· αλλα τα εκπορευομενα απ᾽ αυτου, εκεινα εστι τα κοινουντα τον ανθρωπον.*

τα εκπορευομενα δια των χειλεων σου φυλαξῃ. Deut. xxiii. 23. *κοινουντα. v.* 2. 7. *Conf. Act. x.* 15. *Rom. xiv.* 17, 20. *Lev. xi.* 42-47.

16 Ει *τις εχει ωτα ακουειν, ακουετω.*

17 Και ὁτε εισηλθεν εις οικον απο του οχλου, επηρωτων αυτον
οἱ μαθηται αυτου περι της παραβολης.

εισηλθε—εις τον οικον αυτου. *Dan. ii.* 17. *Matt. xv.* 15. *xvii.* 10.

18 Και λεγει αυτοις, Οὑτω και ὑμεις ασυνετοι εστε; ου νοειτε
ὁτι παν το εξωθεν εισπορευομενον εις τον ανθρωπον, ου δυναται
αυτον κοινωσαι;

και ασυνετος ου συνησει ταυτα. *Ps. xci.* 6. *Jer. v.* 4.

19 Ὁτι ουκ εισπορευεται αυτου εις την καρδιαν, αλλ᾽ εις την
κοιλιαν· και εις τον αφεδρωνα εκπορευεται, καθαριζον παντα
τα βρωματα.

ταξον εις την καρδιαν σου. *Ezech. xliv.* 5. [αφεδρων. *Fisch. p.* 698.]

20 Ελεγε δε, Ὁτι το εκ του ανθρωπου εκπορευομενον, εκεινο
κοινοι τον ανθρωπον.

Conf. Jac. iii. 6. *Ose. vii.* 6. *Mich. ii.* 1. *Matt. xii.* 34-37.

21 Εσωθεν γαρ εκ της καρδιας των ανθρωπων, οἱ διαλογισμοι
οἱ κακοι εκπορευονται, μοιχειαι, πορνειαι, φονοι,

και καρδια τεκταινομενη λογισμους κακους. *Prov. vi.* 18. *Conf. Matt. xv.* 19. *Gen. vi.* 5. *viii.* 21. *Jer. ix.* 1-6. *xvii.* 9. *Job. xiv.* 4.

22 Κλοπαι, πλεονεξιαι, πονηριαι, δολος, ασελγεια, οφθαλμος
πονηρος, βλασφημια, ὑπερηφανια, αφροσυνη.

οφθαλμος πονηρος. *Sir. xxxiv.* 13. *Matt. xx.* 15. αφροσυνη. *Sap. xii.* 23. *Eccles. vii.* 26. ὑπερηφανια, *Obd.* 3, 4. *Conf.* 2 *Par. xxxii.* 35.

23 Παντα ταυτα τα πονηρα εσωθεν εκπορευεται, και κοινοι
τον ανθρωπον.

Conf. Matt. xv. 20. ὁ δε Θεος οψεται εις καρδιαν. 1 *Reg. xvi.* 7.

24 Και εκειθεν αναστας απηλθεν εις τα μεθορια Τυρου και
Σιδωνος. και εισελθων εις την οικιαν, ουδενα ηθελε γνωναι, και
ουκ ηδυνηθη λαθειν.

και αναστας επορευθη εις την Μεσοποταμιαν. *Gen. xxiv.* 10. το μεθοριον ανατολης. *Ezech. xlvii.* 8. *Sym. Conf. Matt. xv.* 21. λανθανειν γαρ νομιζοντες. *Sap. xvii.* 3. *Conf. Ezech. xxviii.* 2. 21, 22.

25 Ακουσασα γαρ γυνη περι αυτου, ἡς ειχε το θυγατριον αυτης
πνευμα ακαθαρτον, ελθουσα προσεπεσε προς τους ποδας αυτου·

και προσεπεσε προς τους ποδας αυτου. *Exod. iv.* 25. *Matt. xv.* 22.

26 (Ην δε ἡ γυνη Ἑλληνις, Συροφοινισσα τῳ γενει·) και ηρωτα
αυτον ἱνα το δαιμονιον εκβαλλῃ εκ της θυγατρος αὑτης.

τῳ γενει Ισραηλ. *Jer. xxxviii.* 1. Ελληνις. 2 *Mac. iv.* 13. εις μερος της Φοινικης. *Conf. Gen. x.* 15-19. *Conf. Zach. xiii.* 2.

27 Ὁ δε Ιησους ειπεν αυτῃ, Αφες πρωτον χορτασθηναι τα τεκνα· ου γαρ καλον εστι λαβειν τον αρτον των τεκνων, και βαλειν τοις κυναριοις.

ου γαρ εστι πασαν αισχυνην διαφυλαξαι καλον. *Sir. xli.* 16. αφετε αυτον καταρασθαι. 2 *Reg. xvi.* 11. και εκ πετρας μελι εχορτασεν αυτους. *Ps. lxxx.* 16. *Conf. Matt. xv.* 26.

28 Ἡ δε απεκριθη και λεγει αυτῳ, Ναι Κυριε· και γαρ τα κυναρια ὑποκατω της τραπεζης εσθιει απο των ψιχιων των παιδιων.

ανοιγεις συ τας χειρας σου, και εμπιπλας παν ζωον ευδοκιας. *Ps. cxliv.* 16. των παιδαριων των εσθιοντων την τραπεζαν του βασιλεως. *Dan. i.* 13, 15. *Alex. Ald. Comp.* ὁ εσθιων απο των θνησιμαιων. *Lev. xi.* 40. *Sir. i.* 16, 17. τῳ κυνι απορριψατε αυτο. *Exod. xxii.* 31.

29 Και ειπεν αυτῃ, Δια τουτον τον λογον, ὑπαγε εξεληλυθε το δαιμονιον εκ της θυγατρος σου.

30 Και απελθουσα εις τον οικον αὑτης, εὑρε το δαιμονιον εξεληλυθος, και την θυγατερα βεβλημενην επι της κλινης.

και απηλθεν—εις τον οικον αυτου. *Dan. vi.* 18. Κυριος βοηθησει αυτῳ επι κλινης οδυνης αυτου. *Ps. xl.* 3. *Alex. Ald.*

31 Και παλιν εξελθων εκ των ὁριων Τυρου και Σιδωνος, ηλθε προς την θαλασσαν της Γαλιλαιας, ανα μεσον των ὁριων Δεκαπολεως.

ανα μεσον ὁριων Ημαθει. *Ezech. xlvii.* 16. *Conf. Matt. xv.* 29. *Luc. xi.* 14. *Esa. ix.* 1, 2. [Δεκαπολις. *Jos. Vit.* § 65.]

32 Και φερουσιν αυτῳ κωφον μογιλαλον, και παρακαλουσιν αυτον ἱνα επιθῃ αυτῳ την χειρα.

τρανη δε εσται γλωσσα μογιλαλων. *Esa. xxxv.* 6. *Exod. iv.* 11. *Conf. Matt. ix.* 18. 32. *xix.* 13. *Luc. xi.* 14.

33 Και απολαβομενος αυτον απο του οχλου κατ᾽ ιδιαν, εβαλε τους δακτυλους αὑτου εις τα ωτα αυτου, και πτυσας ἡψατο της γλωσσης αυτου,

απολαβοντες αυτον κατ᾽ ιδιαν παρεκαλουν. 2 *Mac. vi.* 21. *Conf. Joan. ix.* 6. πτυειν. *Num. xii.* 14. *Sir. xxviii.* 12. 4 *Reg. iv.* 33.

34 Και αναβλεψας εις τον ουρανον, εστεναξε, και λεγει αυτῳ, Εφφαθα, ὁ εστι, διανοιχθητι.

35 Και ευθεως διηνοιχθησαν αυτου αἱ ακοαι· και ελυθη ὁ δεσ-
μος της γλωσσης αυτου, και ελαλει ορθως.

34, 35.] αναβλεψον εις τον ουρανον. *Gen. xv.* 5. *Job. xxxv.* 4. συγκυψας τῳ προσωπῳ στεναξω. *Job. ix.* 27. ηνοιγμενα τα ωτα. *Esa. xlii.* 20. καρδια των ασθενουντων προσεξει τῳ ακουειν, και αἱ γλωσσαι αἱ ψελλιζουσαι ταχυ μαθησονται λαλειν ειρηνην. *Esa. xxxii.* 4. ὁτι αυτος ειπε, και εγενηθησαν· αυτος ενετειλατο, και εκτισθησαν. *Ps. xxxii.* 9. *Conf. Gen. i.* 3. [συ το στομα απερραμενον εξελευσας, συ διοιξας. *Philo. Quis rer. div. her. p.* 485.]

36 Και διεστειλατο αυτοις ἱνα μηδενι ειπωσιν· ὁσον δε αυτος
αυτοις διεστελλετο, μαλλον περισσοτερον εκηρυσσον.

και διαστελεισθε αυτοις. 2 *Par. xix.* 10. *Ezech. iii.* 18, 19.

37 Και ὑπερπερισσως εξεπλησσοντο, λεγοντες, Καλως παντα
πεποιηκε· και τους κωφους ποιει ακουειν, και τους αλαλους
λαλειν.

τοτε ανοιχθησονται οφθαλμοι τυφλων, και ωτα κωφων ακουσονται. *Esa. xxxv.* 5. εδωκα σε—εις φως εθνων, ανοιξαι οφθαλμους τυφλων, κ.τ.λ. *xlii.* 6, 7. ὡσει αλαλος ουκ ανοιγων το στομα αυτου. *Ps. xxxvii.* 13. τα εργα Κυριου παντα ὁτι καλα σφοδρα. *Sir. xxxix.* 16. *Conf.* 2 *Reg. iii.* 36. εξεπλησσοντο. *Sap. xiii.* 4. 2 *Mac. vii.* 12. [εξεπλαγη· εθαυμασαν, εξεστη. *Hesych.*] μεγαλα τα εργα Κυριου, εξεζητημενα εις παντα τα θεληματα αυτου. *Ps. cx.* 2. οἱ κωφοι ακουσατε, και οἱ τυφλοι αναβλεψατε ιδειν. *Esa. xlii.* 18. [ποιεω αχθηναι. *Jos. Ant. ii.* 9. 5. ὁ Κυριος πολυν ιχθυν εποιησε μοι θηραν. *Test. XII Patr. p.* 640.]

ΚΕΦ. η. 8.

1 ΕΝ εκειναις ταις ἡμεραις, παμπολλου οχλου οντος, και μη
εχοντων τι φαγωσι, προσκαλεσαμενος ὁ Ιησους τους μα-
θητας αὑτου, λεγει αυτοις,

εν ταις ἡμεραις εκειναις ηρξατο Κυριος συγκοπτειν. 4 *Reg. x.* 32. προσκαλεσαμενος δε Ισαακ τον Ιακὼβ. *Gen. xxviii.* 1. ὁσοι μη εχετε αργυριον. *Esa. lv.* 1. *Conf. Matt. xv.* 32. [παμπολυς. *Jos. Ant. vii.* 7. 3.]

2 Σπλαγχνιζομαι επι τον οχλον· ὁτι ηδη ἡμερας τρεις προσ-
μενουσι μοι, και ουκ εχουσι τι φαγωσι.

τα δε σπλαγχνα των ασεβων ανελεημονα. *Prov. xii.* 10. *xvii.* 5. *Conf. Heb. ii.* 17. *Mich. vii.* 18, 19. και αποστειλατε μεριδας τοις μη εχουσι. *Neh. viii.* 10. καθως οικτειρει πατηρ υἱους, ῳκτειρησε

Κυριος τους φοβουμενους αυτον. *Ps. cii.* 13. [ὁτι καιγε—ὁ Θεος αποστελλει το σπλαγχνον αυτου επι της γης, και ὁπου εὑρῃ σπλαγχνα ελεους, εν αυτῳ κατοικει, κ. τ. λ. *Test. XII Patr. p.* 642.]

3 Και εαν απολυσω αυτους νηστεις εις οικον αὑτων, εκλυθησονται εν τῃ ὁδῳ· τινες γαρ αυτων μακροθεν ἡκασι.

οχλους απελυσε. 2 *Mac. xiv.* 23. εκλελυμενῳ. *Esa. xlvi.* 1, 2. 2 *Reg. xvi.* 14, 17. *xvii.* 29. μη οργιζεσθε εν τῃ ὁδῳ. *Gen. xlv.* 24. ἡκασι—μακροθεν. *Esa. lx.* 4. *xxxiii.* 13. *lvii.* 19.

4 Και απεκριθησαν αυτῳ οἱ μαθηται αυτου, Ποθεν τουτους δυνησεται τις ὡδε χορτασαι αρτων επ᾽ ερημιας;

μη δυνησεται ὁ Θεος ἑτοιμασαι τραπεζαν εν ερημῳ; *Ps. lxxvii.* 19. τους πτωχους αυτης χορτασω αρτων. *Ps. cxxxi.* 15. και εκ πετρας μελι εχορτασεν αυτους. *lxxx.* 16. τι δω—ενωπιον ἑκατον ανδρων, κ. τ. λ. 4 *Reg. iv.* 43. *Conf. Num. xi.* 21. επι ξενης. *sc.* γης. 2 *Mac. v.* 9.

5 Και επηρωτα αυτους, Ποσους εχετε αρτους; Οἱ δε ειπον, Ἑπτα.

6 Και παρηγγειλε τῳ οχλῳ αναπεσειν επι της γης· και λαβων τους ἑπτα αρτους, ευχαριστησας εκλασε και εδιδου τοις μαθηταις αὑτου, ἱνα παραθωσι· και παρεθηκαν τῳ οχλῳ.

και παρηγγειλε Σαουλ παντι τῳ λαῳ. 1 *Reg. xxiii.* 8. *et pass.* ανεπεσα του φαγειν. *Tob. ii.* 1. και παρεθηκεν αυτοις, και εφαγον. *Gen. xviii.* 8. *xxiv.* 33. *Conf. Matt. xiv.* 18. *xv.* 35. *Luc. ix.* 14.

7 Και ειχον ιχθυδια ολιγα· και ευλογησας, ειπε παραθειναι και αυτα.

8 Εφαγον δε, και εχορτασθησαν· και ηραν περισσευματα κλασματων, ἑπτα σπυριδας.

ἑνεκεν κλασματων αρτου. *Ezech. xiii.* 19. *Alex. Ald.* και διαθρυψεις αυτα κλασματα. *Lev. ii.* 6. ὁτι εχορτασε ψυχην κενην, και πεινωσαν ενεπλησεν αγαθων. *Ps. cvi.* 9. *cxliv.* 16. *Conf. Matt. xv.* 37. *xvi.* 10. *Joan. vi.* 12.

9 Ησαν δε οἱ φαγοντες, ὡς τετρακισχιλιοι· και απελυσεν αυτους.

ὡς δεκα ετη. *Ruth. i.* 4. οχλους απελυσε. 2 *Mac. xiv.* 23.

10 Και ευθεως εμβας εις το πλοιον μετα των μαθητων αὑτου, ηλθεν εις τα μερη Δαλμανουθα.

εμβας εις πλοιον, εφυγεν εις Ορθωσιαδα. 1 *Mac. xv.* 37. εις μερος Φοινικης. *Exod. xvi.* 35.

11 Και εξηλθον οἱ Φαρισαιοι, και ηρξαντο συζητειν αυτῳ, ζητουντες παρ' αυτου σημειον απο του ουρανου, πειραζοντες αυτον.

αιτησαι σεαυτῳ σημειον παρα Κυριου Θεου—*και ειπεν, ου μη αιτησω, ουδε μη πειρασω* Κυριον. *Esa. vii.* 11, 12. *και επειρασαν και παρεπικραναν τον Θεον. Ps. lxxvii.* 56. *Conf. Matt. xii.* 38. *xvi.* 1. *Luc. xi.* 29. *Joan. vi.* 30. [*συζητησις. Philo. De Mund. p.* 11.]

12 Και αναστεναξας τῳ πνευματι αὑτου, λεγει, Τι ἡ γενεα αὑτη σημειον επιζητει; αμην λεγω ὑμιν, Ει δοθησεται τῃ γενεᾳ ταυτῃ σημειον.

δια στενοχωριαν πνευματος στεναζοντες. Sap. v. 3. 3 *Reg. xx.* 5. *και ακουσας ανεστεναξε πικρα. Sir. xxv.* 18. *και εδωκας σημεια. Neh. ix.* 10. *Esa. vii.* 14. *Conf. Matt. xvi.* 4. *ει εισελευσομαι*—*ει αναβησομαι. Ps. cxxxi.* 3. *cxxx.* 2. *Conf. Ps. lxxxviii.* 35. *xciv.* 11. *Ita plenius, apud LXX. ομοσατω μοι σημερον* Σαλωμων, *ει ου θανατωσει τον δουλον αυτου εν ῥομφαιᾳ.* 3 *Reg. i.* 51. *Ezech. xiv.* 16. *εν τῃ γενεᾳ ταυτῃ. Gen. vii.* 1. *Conf. Matt. xii.* 39. *Luc. xi.* 29. 1 *Cor. i.* 22.

13 Και αφεις αυτους, εμβας παλιν εις το πλοιον, απηλθεν εις το περαν.

παρενεβαλον εις το περαν. Num. xxi. 13.

14 Και επελαθοντο λαβειν αρτους, και ει μη ἑνα αρτον ουκ ειχον μεθ' ἑαυτων εν τῳ πλοιῳ.

Conf. Matt. xvi. 5. 3 *Reg. xvii.* 12.

15 Και διεστελλετο αυτοις, λεγων, Ὁρατε, βλεπετε απο της ζυμης των Φαρισαιων και της ζυμης Ἡρωδου.

ὁρατε, και τα σαββατα μου φυλαξεσθε. Exod. xxxi. 13. *και ειπεν* Ηλιου, Βλεπε, *ζῃ ὁ υἱος σου.* 3 *Reg. xvii.* 23. *Conf. Matt. xvi.* 6. *Luc. xii.* 1. *Exod. xii.* 18-20. *Lev. ii.* 11. 1 *Cor. v.* 6-8.

16 Και διελογιζοντο προς αλληλους, λεγοντες, Ὁτι αρτους ουκ εχομεν.

διελογιζετο περι Αλεξανδρου *λογισμους πονηρους.* 1 *Mac. xi.* 8. 2 *Mac. xii.* 43. *Vide cap. vi.* 52. *εταραχθησαν προς αλληλους. Gen. xlii.* 28. *ελοιδορειτο*—*προς* Μωυσην. *Exod. xvii.* 2.

17 Και γνους ὁ Ιησους λεγει αυτοις, Τι διαλογιζεσθε, ὁτι αρτους ουκ εχετε; ουπω νοειτε, ουδε συνιετε; ετι πεπωρωμενην εχετε την καρδιαν ὑμων;

Conf. Esa. lxiii. 17. *Matt. xv.* 17. *xvi.* 8, 9.

18 Οφθαλμους εχοντες ου βλεπετε; και ωτα εχοντες ουκ ακουετε; και ου μνημονευετε;

οφθαλμοι αυτοις, και ου βλεπουσιν, ωτα αυτοις, και ουκ ακουουσι. *Jer. v.* 21. *Conf. Deut. xxix.* 4, 5. *Esa. vi.* 9, 10.

19 Ὁτε τους πεντε αρτους εκλασα εις τους πεντακισχιλιους, ποσους κοφινους πληρεις κλασματων ηρατε; Λεγουσιν αυτῳ, Δωδεκα.

Vide Matt. xvi. 9-12. *Luc. ix.* 13. *Joan. vi.* 13. ου μη κλασθῃ αρτος. *Jer. xvi.* 17. ετυφλωθησαν οἱ δουλοι Θεου. *Esa. xlii.* 19.

20 Ὁτε δε τους ἑπτα εις τους τετρακισχιλιους, ποσων σπυριδων πληρωματα κλασματων ηρατε; Οἱ δε ειπον, Ἑπτα.

Conf. Matt. xv. 34-36. *Ps. civ.* 12, 13. *cvi.* 35.

21 Και ελεγεν αυτοις, Πως ου συνιετε;

Conf. Matt. xvi. 11. συνετε δη αφρονες εν τῳ λαῳ, και μωροι ποτε φρονησατε; *Ps. xciii.* 8. συνησει τα ελεη του Κυριου. *cvi.* 43.

22 Και ερχεται εις Βηθσαϊδαν· και φερουσιν αυτῳ τυφλον, και παρακαλουσιν αυτον ἱνα αυτου ἁψηται.

23 Και επιλαβομενος της χειρος του τυφλου, εξηγαγεν αυτον εξω της κωμης· και πτυσας εις τα ομματα αυτου, επιθεις τας χειρας αυτῳ, επηρωτα αυτον, ει τι βλεπει;

εξηγαγε δε αυτον εξω, και ειπεν αυτῳ, αναβλεψον δη εις τον ουρανον. *Gen. xv.* 5. οἱς ουτε ομματων χρησις εις ὁρασιν. *Sap. xv.* 15. χειρ αυτου επειλημμενη της πτερνης. *Gen. xxv.* 26. και επιληψονται ἑκαστος της χειρος του πλησιον. *Zach. xiv.* 13. ὁτι εγω ὁ Θεος σου, ὁ κρατων της δεξιας σου, ὁ λεγων σοι, Μη φοβου, κ. τ. λ. *Esa. xli.* 13, 14. ομμα. *Prov. xxiii.* 5. ανατεινειν τα ομματα προς τον Θεον. 4 *Mac. vi.* 26. *Vide sup. vii.* 32, 33. *Joan. ix.* 6. *Esa. li.* 18. *xlii.* 2. *Apoc. iii.* 18.

24 Και αναβλεψας ελεγε, Βλεπω τους ανθρωπους, ὁτι ὡς δενδρα ὁρω περιπατουντας.

25 Ειτα παλιν επεθηκε τας χειρας επι τους οφθαλμους αυτου, και εποιησεν αυτον αναβλεψαι· και αποκατεσταθη, και ενεβλεψε τηλαυγως ἁπαντας.

και επιθησει την χειρα αυτου επι τον τοπον. 4 *Reg. v.* 11. την σκιαν των ορεων σου βλεπεις ὡς ανδρας. *Jud. ix.* 36. και τυφλοις αναβλεψιν. *lxi.* 1. οφθαλμοι τυφλων οψονται. *xxix.* 18. και παλιν απεκατεστη εις την χροαν της σαρκος. *Exod. iv.* 7. *Lev. vi.* 20. *xiii.* 6. εντολη Κυριου τηλαυγης. *Ps. xviii.* 8. *Job. xxxvii.* 21.

26 Και απεστειλεν αυτον εις τον οικον αυτου, λεγων, Μηδε εις την κωμην εισελθῃς, μηδε ειπῃς τινι εν τῃ κωμῃ.

αναστασα πορευθητι εις τον οικον σου. 3 Reg. xiv. 12. Alex.

27 Και εξηλθεν ὁ Ιησους και οἱ μαθηται αυτου εις τας κωμας Καισαρειας της Φιλιππου· και εν τῃ ὁδῳ επηρωτα τους μαθητας αὑτου, λεγων αυτοις, Τινα με λεγουσιν οἱ ανθρωποι ειναι;

εν τῃ ὁδῳ. 2 Reg. xiii. 34. Conf. Matt. xvi. 13. Luc. ix. 18.

28 Οἱ δε απεκριθησαν, Ιωαννην τον Βαπτιστην· και αλλοι Ηλιαν· αλλοι δε ἑνα των προφητων.

29 Και αυτος λεγει αυτοις, Ὑμεις δε τινα με λεγετε ειναι; Αποκριθεις δε ὁ Πετρος λεγει αυτῳ, Συ ει ὁ Χριστος.

Conf. Joan. i. 42. vi. 69. Matt. xvi. 14-16. Dan. ix. 25.

30 Και επετιμησεν αυτοις, ἱνα μηδενι λεγωσι περι αυτου.

31 Και ηρξατο διδασκειν αυτους, ὁτι δει τον υἱον του ανθρωπου πολλα παθειν, και αποδοκιμασθηναι απο των Πρεσβυτερων και Αρχιερεων και Γραμματεων, και αποκτανθηναι, και μετα τρεις ἡμερας αναστηναι·

μη διαπαντος δει ὑμας ευφραινεσθαι. Esa. xxx. 29. λιθον ὁν απεδοκιμασαν οἱ οικοδομουντες. Ps. cxvii. 22. ειδομεν αυτον, και ουκ ειχεν ειδος κ. τ. λ. Esa. liii. pass. Matt. xxi. 42. μετα τρια ετη. Deut. xiv. 28. xxxi. 10. εν τῃ ἡμερᾳ τῃ τριτῃ αναστησομεθα. Ose. vi. 3. Alex. εις ματην εγενηθη σχοινος ψευδης γραμματευσι. Jer. viii. 8. Conf. Matt. xxvii. 63. et Grot. in loc. Vide Keuchen et Kuïnoel in loc. (tertio die.) Conf. Matt. xvi. 21. xvii. 22. xx. 18. Luc. ix. 22. [ὁν (Ισαακ) ευθυς μετ' ογδοην ἡμεραν περιτεμνουσι. (die octavo). Jos. Ant. i. 12. 2.] Conf. Ps. ii. xxi. Dan. ix. 26. Sophon. iii. 8.

32 Και παρρησιᾳ τον λογον ελαλει. Και προσλαβομενος αυτον ὁ Πετρος ηρξατο επιτιμᾳν αυτῳ.

τοτε στησεται εν παρρησιᾳ πολλῃ ὁ δικαιος. Sap. v. 1. Prov. i. 20. ηρξαμην λαλησαι. Gen. xviii. 27. Conf. Joan. xvi. 25.

33 Ὁ δε επιστραφεις και ιδων τους μαθητας αὑτου, επετιμησε τῳ Πετρῳ, λεγων, Ὑπαγε οπισω μου, Σατανα· ὁτι ου φρονεις τα του Θεου, αλλα τα των ανθρωπων.

επιστραφεις δε Φαραω, εισηλθεν εις τον οικον. Exod. vii. 23. επετιμησεν αυτῳ—και ειπε. xxxvii. 10. εμε ερριψας οπισω σου. 3 Reg. xiv. 9. Alex. Esa. xxxviii. 17. και ησαν Σαταν τῳ Ισραηλ. 3 Reg. xi. 14. 23. αντικειμενος. 25. Alex. Zach. iii. 2. Conf. Matt. iv. 10. φρονειν των πραγματων. 2 Mac. xiv. 26. Conf. 2 Reg. xix. 22.

34 Και προσκαλεσαμενος τον οχλον συν τοις μαθηταις ἁυτου, ειπεν αυτοις, Ὁστις θελει οπισω μου ελθειν, απαρνησασθω ἑαυτον, και αρατω τον σταυρον ἁυτου, και ακολουθειτω μοι.

αγαθον ανδρι, ὁταν αρῃ ζυγον. *Thren. iii.* 27. του πορευεσθαι οπισω Κυριου. 4 *Reg. xxiii.* 3. απαρνησονται. *Esa. xxxi.* 7. *xxiii.* 3. *Conf. Matt. x.* 38. *xvi.* 24. *Luc. ix.* 23. *Jos. xiv.* 8. *Phil. iii.* 7, 8.

35 Ὁς γαρ αν θελῃ την ψυχην ἁυτου σωσαι, απολεσει αυτην· ὁς δ' αν απολεσῃ την ψυχην ἁυτου ἑνεκεν εμου και του ευαγγελιου, οὑτος σωσει αυτην.

εκζητησατε τον Θεον, και ζησεται ἡ ψυχη ὑμων. *Ps. lxviii.* 32. *Ald. Comp.* ἑνεκα σου ὑπηνεγκα ονειδισμον. *lxviii.* 7. τῃ γαρ ασεβειᾳ την ἑαυτων ψυχην αφαιρουνται. *Prov. i.* 19. *Conf. Matt. x.* 39. *Luc. ix.* 24. *Joan. xii.* 25. *Esa. viii.* 14-16. *liii.* 2, 3.

36 Τι γαρ ωφελησει ανθρωπον, εαν κερδησῃ τον κοσμον ὁλον, και ζημιωθῃ την ψυχην ἁυτου;

ουκ ωφελησει ὑπαρχοντα εν ἡμερᾳ θυμου. *Prov. xi.* 4. ωφελειαν ουκ ωφελησουσι τον λαον τουτον. *Jer. xxiii.* 32. *Job. ii.* 4. *Ps. xlviii.* 17-19. *Esa. xxx.* 7. *Prov. x.* 2. κακοφρων ανηρ πολλα ζημιωθησεται—και την ψυχην αυτου προσθησει. *Prov. xix.* 19. *xxii.* 5. *Conf. Matt. xvi.* 26. *Luc. ix.* 25. σοφια κεκρυμμενη και θησαυρος αφανης, τις ωφελεια εν αμφοτεροις; *Sir. xx.* 30. *Mal. iii.* 14.

37 Η τι δωσει ανθρωπος ανταλλαγμα της ψυχης ἁυτου;

ου σταθησεται αργυριον ανταλλαγμα αυτης. *Job. xxviii.* 15. φιλου πιστου ουκ εστιν ανταλλαγμα. *Sir. vi.* 15. *Conf. Job. ii.* 4. Νωε εὑρεθη τελειος δικαιος, εν καιρῳ οργης εγενετο ανταλλαγμα. *Sir. xliv.* 17. *Conf.* 1 *Pet. i.* 18, 19. *Act. xx.* 24. αδελφος ου λυτρουται, λυτρωσεται ανθρωπος; ου δωσει τῳ Θεῳ εξιλασμα ἑαυτου, κ. τ. λ. *Ps. xlviii.* 7, 8. *Conf. Eccles. v.* 13. *Job. i.* 21, 22.

38 Ὁς γαρ αν επαισχυνθῃ με και τους εμους λογους εν τῃ γενεᾳ ταυτῃ τῃ μοιχαλιδι και ἁμαρτωλῳ, και ὁ υἱος του ανθρωπου επαισχυνθησεται αυτον, ὁταν ελθῃ εν τῃ δοξῃ του πατρος ἁυτου μετα των αγγελων των ἁγιων.

γενεα σκολια και διεστραμμενη. *Deut. xxxii.* 5. ὁτι μοιχαλιδες εισι, και αἱμα εν χερσιν αυτων. *Ezech. xxiii.* 45. ει τινα αγγελων ἁγιων οψῃ. *Job. v.* 1. και ἡξει Κυριος ὁ Θεος μου και παντες οἱ ἁγιοι μετ' αυτου. *Zach. xiv.* 5. *Deut. xxxiii.* 2. *Dan. vii.* 10. και οφθησεται εν τῃ δοξῃ αυτου. *Ps. ci.* 16. *Conf. Matt. x.* 33. *Luc. ix.* 26. *Rom. i.* 16. 2 *Tim. ii.* 12. 1 *Joan. ii.* 23. εστιν απολλυων την

ψυχην αυτου δι' αισχυνην, και απο αφρονος προσωπου απολει αυτην. *Sir. xx.* 22. και ιδου μετα των νεφελων του ουρανου, ὡς υἱος ανθρωπου ερχομενος κ. τ. λ. *Dan. vii.* 13, 14. και οὑτοι εις ονειδισμον και εις αισχυνην αιωνιον. *xii.* 2. 13.

Κεφ. θ. 9.

ΚΑΙ ελεγεν αυτοις, Αμην λεγω ὑμιν, Ὁτι εισι τινες των ὡδε ἑστηκοτων, οἱτινες ου μη γευσωνται θανατου, ἑως αν ιδωσι την βασιλειαν του Θεου εληλυθυιαν εν δυναμει.

γευσασθε και ιδετε. *Ps. xxxiii.* 8. εγευσατο ὁτι καλον εστι το εργαζεσθαι. *Prov. xxxi.* 18. και ἡ βασιλεια αυτου ου διαφθαρησεται. *Dan. vii.* 14. εισελθειν εν ισχυϊ πασης της βασιλειας αυτου. *xi.* 17. και ερχονται προς σε, ὡς συμπορευεται λαος. *Ezech. xxxiii.* 31. *Conf. Matt. xvi.* 28. *Luc. ix.* 27. *Act. i.* 6. *Sap. x.* 15.

2 Και μεθ' ἡμερας ἑξ παραλαμβανει ὁ Ιησους τον Πετρον και τον Ιακωβον και τον Ιωαννην, και αναφερει αυτους εις ορος ὑψηλον κατ' ιδιαν μονους· και μετεμορφωθη εμπροσθεν αυτων,

επ' ορος ὑψηλον αναβηθι ὁ ευαγγελιζομενος Σιων. *Esa. xl.* 9. και παραλαβων Βαλακ τον Βαλααμ ανεβιβασε. *Num. xxii.* 41. αυτος δε προηλθεν εμπροσθεν αυτων. *Gen. xxxiii.* 3. *et pass. Conf. Matt. xvii.* 1. *Luc. ix.* 28. μετεμορφωσε. *Ps. xxxiii.* 1. *Sym.*

3 Και τα ἱματια αυτου εγενετο στιλβοντα, λευκα λιαν ὡς χιων, οἱα γναφευς επι της γης ου δυναται λευκαναι.

και ἡ ὁρασις αυτου ην ὡσει ὁρασις χαλχου στιλβοντος. *Ezech. xl.* 3. *xxi.* 28. 1 *Mac. vi.* 39. και το ενδυμα αυτου λευκον ὡσει χιων. *Dan. vii.* 9. γναφευς. *Conf. Esa. vii.* 3, 4. 2 *Pet. i.* 16. *Joan. i.* 14. *Exod. xxiv.* 13. *xxxiv.* 29. *Matt. xxviii.* 3.

4 Και ωφθη αυτοις Ηλιας συν Μωσει, και ησαν συλλαλουντες τῳ Ιησου.

ωφθη δε αυτῳ ὁ Θεος. *Gen. xvii.* 1. *xviii.* 1. *et pass.* ησαν συλλαλουντες. = *Gen. i.* 6. *Exod. vii.* 15. *Conf.* 1 *Pet. i.* 10. *Luc. ix.* 30. *Matt. xvii.* 3, 4. *Exod. xxxiv.* 35.

5 Και αποκριθεις ὁ Πετρος λεγει τῳ Ιησου, Ῥαββι, καλον εστιν ἡμας ὡδε ειναι· και ποιησωμεν σκηνας τρεις, σοι μιαν, και Μωσει μιαν, και Ηλιᾳ μιαν.

η καλον σοι εαν αδικησω; *Job. x.* 3. και εποιησεν αυτῃ σκηνην. 1 *Par. xv.* 1. μια—μια. *Lev. xiv.* 22. οὑτως εν τῳ ἁγιῳ ωφθην

σοι, του ιδειν την δυναμιν σου και την δοξαν σου, κ. τ. λ. *Ps. lxii.* 2, 3. *Conf. Exod. xxxiii.* 17-23.

6 Ου γαρ ηδει τι λαλησῃ· ησαν γαρ εκφοβοι.

εκφοβος. *Deut. ix.* 19. *Conf. Dan. x.* 15-19. *Job. vii.* 14.

7 Και εγενετο νεφελη επισκιαζουσα αυτοις· και ηλθε φωνη εκ της νεφελης, λεγουσα, Οὑτος εστιν ὁ υἱος μου ὁ αγαπητος, αυτου ακουετε.

επισκιασει σοι. *Ps. xc.* 4. επεσκιαζεν επ' αυτην ἡ νεφελη. *Exod. xl.* 32. *Prov. xviii.* 11. υἱος μου ει συ, κ.τ.λ. *Ps. ii.* 7. *Gen. xxii.* 2. *Conf. Esa. xlii.* 1. *Matt. iii.* 17. *xvii.* 5. *Luc. iii.* 22. 2 *Pet. i.* 17. *Deut. xviii.* 19. *Exod. xxiii.* 21.

8 Και εξαπινα περιβλεψαμενοι, ουκετι ουδενα ειδον, αλλα τον Ιησουν μονον μεθ' ἑαυτων.

περιβλεψαμενος δε ὡδε και ὡδε, ουχ ὁρᾳ ουδενα. *Exod. ii.* 12. εξαπινα εποιησα. *Esa. xlviii.* 3. *Jos. xi.* 7. αλλα, *nisi. Gen. xxiv.* 38. *Esa. lix.* 2. [εξαπιναιως, η εξαπινης, Αττικως· το δε εξαπινα ουχ Ἑλληνικον ὁλως. *T. Magist.*]

9 Καταβαινοντων δε αυτων απο του ορους, διεστειλατο αυτοις ἱνα μηδενι διηγησωνται ἁ ειδον, ει μη ὁταν ὁ υἱος του ανθρωπου εκ νεκρων αναστῃ.

Conf. Matt. xvii. 9. *Luc. ix.* 36. *Sup. vii.* 36. *Sophon. iii.* 8.

10 Και τον λογον εκρατησαν προς ἑαυτους, συζητουντες, τι εστι το εκ νεκρων αναστηναι.

ὑπερ αναστασεως διαλογιζομενος. 2 *Mac. xii.* 43. *Conf. Dan. xii.* 12. *Sir. xlviii.* 5. *Job. xlii.* 17. αναγγελλων κρατουμενα, *abscondita. Dan. v.* 12. [εν ψυχῃ σου μη κρατησῃς δολον. *Test. XII Patr. p.* 683.] *Conf. Ps. xv.* 10, 11. 2 *Mac. v.* 9. 14.

11 Και επηρωτων αυτον, λεγοντες, Ὁτι λεγουσιν οἱ Γραμματεις, ὁτι Ηλιαν δει ελθειν πρωτον;

Conf. Matt. xvii. 10, 11. = και ερεις αυτῳ, ὁτι εν χειρι κραταιᾳ εξηγαγε Κυριος ἡμας. *Exod. xiii.* 14. Ιδου εξαποστελλω τον αγγελον μου, κ. τ. λ. *Mal. iii.* 1. *iv.* 5, 6. 1 *Mac. iv.* 46.

12 Ὁ δε αποκριθεις ειπεν αυτοις, Ηλιας μεν ελθων πρωτον, αποκαθιστᾳ παντα· και πως γεγραπται επι τον υἱον του ανθρωπου, ἱνα πολλα παθῃ και εξουδενωθῃ;

Conf. Matt. xvii. 11. *Luc. i.* 17. και αποκριθεις Ἁβρααμ ειπε. *Gen. xviii.* 27. υἱος ανθρωπου. *Dan. x.* 16, 18. εξουδενωθῃ. 1 *Reg.*

xv. 23. οἱ προφητευοντες επι Ἱερουσαλημ. *Ezech. xiii.* 16. *Conf. Esa. liii. Ps. xxii. Dan. ix.* 26. *Sir. xlviii.* 10. *Luc. xxiii.* 11. και αἱ θυγατερες αυτης αποκατασθησονται καθως ησαν απ᾽ αρχης. *Ezech. xvi.* 55. βουλομαι δε αντιποιησασθαι της βασιλειας, ὁπως αποκαταστησω αυτην ὡς ην προτερον. 1 *Mac. xv.* 3. *Conf. Act. i.* 6. *Matt. xvii.* 11.

13 Αλλα λεγω ὑμιν, Ὁτι και Ηλιας εληλυθε, και εποιησαν
αυτῳ ὁσα ηθελησαν· καθως γεγραπται επ᾽ αυτον.

εληλυθε. *Ruth. iii.* 14. *Conf. Matt. xvii.* 12. 4 *Reg. i.* 8. ὡς θελεις. *Est. iii.* 11. *Comp.* τι τουτο εποιησας ἡμιν; *Gen. xx.* 9.

14 Και ελθων προς τους μαθητας, ειδεν οχλον πολυν περι αυ-
τους, και Γραμματεις συζητουντας αυτοις.

Conf. Matt. xvii. 14. *Luc. ix.* 37, 38. *Sup. viii.* 11.

15 Και ευθεως πας ὁ οχλος ιδων αυτον εξεθαμβηθη, και προσ-
τρεχοντες ησπαζοντο αυτον.

και εκθαμβησει σε. *Sir. xxx.* 9. και ησπασαντο αυτον εις ειρηνην. *Jud. xviii.* 15. *Alex. Ald.* και προσεδραμεν—εις συναντησιν αυτῳ. *Gen. xxxiii.* 4. *Conf. Sup. xii.* 37.

16 Και επηρωτησε τους Γραμματεις, Τι συζητειτε προς αὑτους;

επηρωτησεν ἡμας ανθρωπος—λεγων. *Gen. xliii.* 7.—ελοιδορειτο προς Μωυσην. *Exod. xvii.* 2. *Conf. Luc. v.* 30.

17 Και αποκριθεις εἱς εκ του οχλου ειπε, Διδασκαλε, ηνεγκα
τον υἱον μου προς σε, εχοντα πνευμα αλαλον.

ὡσει αλαλος ουκ ανοιγων το στομα αυτου. *Ps. xxxvii.* 13. *Conf. Matt. xvii.* 14. [αλαλοι, *a dæmon. occupat. Act. Thom. c.* 12.] [Σατανα και των πνευματων αυτου. *Test. XII Patr. p.* 657.]

18 Και ὁπου αν αυτον καταλαβῃ, ῥησσει αυτον, και αφριζει,
και τριζει τους οδοντας αὑτου, και ξηραινεται· και ειπον τοις
μαθηταις σου, ἱνα αυτο εκβαλωσι, και ουκ ισχυσαν.

ὁτι ῥηξει αυτους αφωνους πρηνεις. *Sap. iv.* 19. και τα τεκνα αυτων ῥηξουσιν ενωπιον αυτων. *Esa. xiii.* 16. *Ald. Comp.* εξηρανθη ὡσει οστρακον ἡ ισχυς μου. *Ps. xxi.* 15. *lxxxix.* 6. *ci.* 4, 11. *Zach. x.* 2. τους οδοντας αυτου βρυξει και τακησεται. *Ps. cxi.* 10.

19 Ὁ δε αποκριθεις αυτῳ λεγει, Ω γενεα απιστος, ἑως ποτε
προς ὑμας εσομαι; ἑως ποτε ανεξομαι ὑμων; φερετε αυτον
προς με.

Conf. Matt. xvii. 17. ἑως τινος ου πιστευουσι μοι επι πασι τοις

σημειοις, οἱς εποιησα εν αυτοις; *Num. xiv.* 11. *Deut. xxxii.* 20. γενεα σκολια και παραπικραινουσα. *Ps. lxxvii.* 8.

20 Και ηνεγκαν αυτον προς αυτον· και ιδων αυτον, ευθεως το πνευμα εσπαραξεν αυτον, και πεσων επι της γης εκυλιετο αφριζων.

κυλιομενη εν τῃ παρεμβολῃ. *Jud. vii.* 13. *Alex. O. Ald. Comp.* σπαρασσεται ἡ καρδια μου. *Jer. iv.* 19. 2 *Reg. xxii.* 8. ὁ δε κυλιων λιθον, εφ' ἑαυτον κυλιει. *Prov. xxvi.* 27. *Ald.* κυλιεται ἡ ἁμαξα. *Amos. ii.* 13. *Conf. Luc. ix.* 39. *Job. ii.* 6-8. [αφρος. *Jos. Ant. vi.* 12. 2.]

21 Και επηρωτησε τον πατερα αυτου, Ποσος χρονος εστιν ὡς τουτο γεγονεν αυτῳ; Ὁ δε ειπε, Παιδιοθεν.

εν κοποις εκ νεοτητος μου, κ. τ. λ. *Ps. lxxxvii.* 15, 16. *Esa. xlvi.* 3.

22 Και πολλακις αυτον και εις πυρ εβαλε και εις ὑδατα, ἱνα απολεσῃ αυτον· αλλ' ει τι δυνασαι, βοηθησον ἡμιν, σπλαγχνισθεις εφ' ἡμας.

βοηθησον μοι, και σωθησομαι. *Ps. cxviii.* 117. *Conf. Ps. xxxix.* 12. [εγω γαρ δυο ἡμερας και νυκτας ουκ εγευσαμην, σπλαγχνιζομενος επι Ιωσηφ. *Test. XII Patr. p.* 636.]

23 Ὁ δε Ιησους ειπεν αυτῳ, Το, ει δυνασαι πιστευσαι· παντα δυνατα τῳ πιστευοντι.

ὁ πιστευων επ' αυτῳ ου μη καταισχυνθῃ. *Esa. xxviii.* 16. *B. Ald. Comp. Gen. xv.* 6. εαν μη πιστευσητε ουδε μη συνητε. *Esa. vii.* 9. *Luc. xvii.* 6. *Matt. xvii.* 20. [προειπων δε το, ὁμοιωμα ουκ ειδετε, επιφερει. *Philo. De migrat. Abrah. p.* 395. παγκαλως δ' προδιεσταλται το, διετηρησεν ὁ πατηρ το ῥημα. *De Somn. p.* 1127.]

24 Και ευθεως κραξας ὁ πατηρ του παιδιου μετα δακρυων ελεγε, Πιστευω, Κυριε, βοηθει μου τῃ απιστιᾳ.

μετ' οδυρμων και δακρυων ἱκετευον. 2 *Mac. xi.* 6. και ειπα, Νυν ηρξαμην, αὑτη ἡ αλλοιωσις της δεξιας του Ὑψιστου. *Ps. lxxvi.* 10. ολυλυξετε μετα κλαθμου. *Esa. xv.* 3. ἡ δυναμις μου εν ασθενειᾳ τελειουται. 2 *Cor. xii.* 9. 2 *Reg. xvi.* 12. *Ps. xxxviii.* 12.

25 Ιδων δε ὁ Ιησους ὁτι επισυντρεχει οχλος, επετιμησε τῳ πνευματι τῳ ακαθαρτῳ, λεγων αυτῳ, Το πνευμα το αλαλον και κωφον, εγω σοι επιτασσω, Εξελθε εξ αυτου, και μηκετι εισελθῃς εις αυτον.

επιτιμησαι Κυριος εν σοι, διαβολε. *Zach. iii.* 3. και το πνευμα το ακαθαρτον εξαρω απο της γης. *xiii.* 2. κωφοι τα ωτα εχοντες.

Esa. xliii. 8. τοτε ανοιχθησονται οφθαλμοι τυφλων, και ωτα κωφων ακουσονται. *Esa. xxxv.* 5. *Conf. Matt. xvii.* 18. *Luc. ix.* 42. [ὁ δε της θεραπειας τροπος τοιουτος ην· προσφερων ταις ῥισι του δαιμονιζομενου τον δακτυλιον, εχοντα ὑπο τῃ σφραγιδι ῥιζαν εξ ὡν ὑπεδειξε Σολομων, επειτα εξειλκεν οσφραινομενῳ δια των μυκτηρων το δαιμονιον. και πεσοντος ευθυς του ανθρωπου, μηκετ᾽ εις αυτον επανελθειν ὡρκου, Σολομωνος τε μεμνημενος, και τας επωδας, ἁς συνεθηκεν εκεινος, επιλεγων. *Jos. Ant. viii.* 2. 5.]

26 Και κραξαν, και πολλα σπαραξαν αυτον, εξηλθε· και εγενετο ὡσει νεκρος, ὡστε πολλους λεγειν ὁτι απεθανεν.

σπαρασσεται ἡ καρδια μου. *Jer. iv.* 19. 2 *Reg. xxii.* 8. ὡστε. *Jos. x.* 14. εγω δε ὡσει κωφος ουκ ηκουον. *Ps. xxxvii.* 13.

27 Ὁ δε Ιησους κρατησας αυτον της χειρος ηγειρεν αυτον· και ανεστη.

και εκρατησαν—της χειρος αυτου. *Gen. xix.* 16. ηγειρε με επι τα γονατα μου. *Dan. x.* 10. ὁτι εγω ὁ Θεος σου, ὁ κρατων της δεξιας σου, ὁ λεγων σοι, Μη φοβου, κ.τ.λ. *Esa. xli.* 13, 14.

28 Και εισελθοντα αυτον εις οικον, οἱ μαθηται αυτου επηρωτων αυτον κατ᾽ ιδιαν, Ὁτι ἡμεις ουκ ηδυνηθημεν εκβαλειν αυτο;

κατ᾽ ιδιαν. 2 *Mac. iv.* 5. *Conf. Matt. xvii.* 19. ὁτι. *Conf. Gen. xxix.* 31. *Jos. ii.* 24. και ουκ ηδυναντο λαλειν. *Gen. xxxvii.* 4.

29 Και ειπεν αυτοις, Τουτο το γενος εν ουδενι δυναται εξελθειν, ει μη εν προσευχῃ και νηστειᾳ.

Conf. Matt. xvii. 21. 3 *Reg. xvii.* 20-22. 4 *Reg. iv.* 33. *Dan. ix.* 3.

30 Και εκειθεν εξελθοντες παρεπορευοντο δια της Γαλιλαιας, και ουκ ηθελεν ἱνα τις γνῳ.

ὑμεις παραπορευεσθε δια των ὁριων των αδελφων. *Deut. ii.* 4, 18. *Conf. Matt. xvii.* 22. και ουκ ηθελησε—διελθειν. *Jud. ix.* 20. *alii.*

31 Εδιδασκε γαρ τους μαθητας αὑτου, και ελεγεν αυτοις, Ὁτι ὁ υἱος του ανθρωπου παραδιδοται εις χειρας ανθρωπων, και αποκτενουσιν αυτον· και αποκτανθεις, τῃ τριτῃ ἡμερᾳ αναστησεται.

Conf. Matt. xvi. 21. *Luc. ix.* 22, 44. εν τῃ ἡμερᾳ τῃ τριτῃ αναστησομεθα. *Ose. vi.* 3. *Alex. Sophon. iii.* 8. *Esa. liii.*

32 Οἱ δε ηγνοουν το ῥημα, και εφοβουντο αυτον επερωτησαι.

ου δυνησομεθα ποιησαι το ῥημα τουτο. *Gen. xxxiv.* 14. και εφοβηθησαν εγγισαι αυτῳ. *Exod. xxxiv.* 30. συ δε Ισραηλ μη αγνοει. *Ose. iv.* 15. ηγνοηκας επι τουτῳ. 2 *Par. xvi.* 9. *Conf. Luc. ii.* 50.

33 Και ηλθεν εις Καπερναουμ· και εν τῃ οικιᾳ γενομενος επηρωτα αυτους, Τι εν τῃ ὁδῳ προς ἑαυτους διελογιζεσθε;

Conf. Matt. xviii. 1. *Luc. ix.* 46. διελογιζεσθε. *Conf. Ps. ciii.* 34. 1 *Mac. xi.* 8. *Ps. xciii.* 11. συ συνηκας τους διαλογισμους μου απο μακροθεν. *cxxxviii.* 2, 3. *Conf. Joan. ii.* 15. *xxi.* 17.

34 Οἱ δε εσιωπων· προς αλληλους γαρ διελεχθησαν εν τῃ ὁδῳ, τις μειζων.

εταραχθησαν προς αλληλους. *Gen. xlii.* 28. διελεξαντο προς αυτον ισχυρως. *Jud. viii.* 1. μη οργιζεσθε εν τῃ ὁδῳ. *Gen. xlv.* 24.

35 Και καθισας εφωνησε τους δωδεκα, και λεγει αυτοις, Ει τις θελει πρωτος ειναι, εσται παντων εσχατος και παντων διακονος.

και εφωνησεν εν ισχυϊ, και—ειπε. *Dan. iv.* 11. *Conf. Matt. xx.* 26. πρωτος φιλος του βασιλεως. 1 *Par. xxvii.* 33. εν πρωτοις των κεκλημενων. 1 *Reg. ix.* 22. *Neh. xii.* 45. 2 *Par. xxvi.* 20. μεγα ανθρωπος, και τιμιον ανηρ ελεημων. *Prov. xx.* 6. *Sir. xi.* 1.

36 Και λαβων παιδιον, εστησεν αυτο εν μεσῳ αυτων· και εναγκαλισαμενος αυτο, ειπεν αυτοις,

και εστησε με επι τους ποδας μου. *Ezech. ii.* 2. *Dan. viii.* 18. εν μεσῳ αυτων. *Job. ii.* 1. εναγκαλισαμενος. *Prov. vi.* 10. *xxiv.* 33.

37 Ὁς εαν ἑν των τοιουτων παιδιων δεξηται επι τῳ ονοματι μου, εμε δεχεται· και ὁς εαν εμε δεξηται, ουκ εμε δεχεται, αλλα τον αποστειλαντα με.

ηλπισαμεν επι τῳ ονοματι σου. *Esa. xxvi.* 8. μονον *subaud. Ita*, ου γαρ καθ' ἡμων εστιν ὁ γογγυσμος ὑμων (μονον), αλλ' η κατα του Θεου. *Exod. xvi.* 8. *Gen. xxxii.* 28. *Conf. Matt. x.* 40. *Luc. ix.* 48. *Joan. xii.* 44. *Conf. Deut. xxxii.* 10, 11.

38 Απεκριθη δε αυτῳ ὁ Ιωαννης λεγων, Διδασκαλε, ειδομεν τινα τῳ ονοματι σου εκβαλλοντα δαιμονια, ὁς ουκ ακολουθει ἡμιν· και εκωλυσαμεν αυτον, ὁτι ουκ ακολουθει ἡμιν.

τῳ ονοματι Κυριου. *Jer. xliv.* 16. κωλυσον αυτους. *Num. xi.* 28, 29. *Exod. xxxvi.* 6. οἱ ουκ ηκολουθησαν τῳ λογῳ του στοματος αυτου. *Judith. ii.* 3. 2 *Mac. viii.* 36. *Conf. Luc. ix.* 49.

39 Ὁ δε Ιησους ειπε, Μη κωλυετε αυτον. ουδεις γαρ εστιν, ὁς
ποιησει δυναμιν επι τῳ ονοματι μου, και δυνησεται ταχυ κα-
κολογησαι με.

αυτος σοι διδωσιν ισχυν του ποιησαι δυναμιν. Deut. viii. 17, 18. *εκακολογει τον Ονιαν.* 2 *Mac. iv.* 1. *Conf. Amos. vii.* 14, 15.

40 Ὁς γαρ ουκ εστι καθ' ὑμων, ὑπερ ὑμων εστιν.

καθ' ἡμων. Ps. ii. 2. *ὑπερ.* 2 *Reg. x.* 11. 3 *Mac. ii.* 27. *ὑπερ Αβεσσαλωμ.* 2 *Reg. xviii.* 5. *Conf. Matt. xii.* 30. *Luc. xi.* 23. *Phil. i.* 18.

41 Ὁς γαρ αν ποτισῃ ὑμας ποτηριον ὑδατος εν τῳ ονοματι
μου, ὁτι Χριστου εστε, αμην λεγω ὑμιν, Ου μη απολεσῃ τον
μισθον αὑτου.

Conf. Matt. x. 42. 3 *Reg. xvii.* 12-24.

42 Και ὁς αν σκανδαλισῃ ἑνα των μικρων των πιστευοντων εις
εμε, καλον εστιν αυτῳ μαλλον, ει περικειται λιθος μυλικος
περι τον τραχηλον αυτου, και βεβληται εις την θαλασσαν.

Conf. Matt. xviii. 6. *καλον το αποθανειν με η ζῃν με. Jon. iv.* 3. *αγαθον πεποιθεναι επι Κυριον η πεποιθεναι επ' ανθρωπον. Ps. cxvii.* 8. *συμφερει σοι. Matt. v.* 29. *λυσιτελει αυτῳ. Luc. xvii.* 2. *Conf. Grot. in loc. μεγα μοι εστιν, ει.* [*i. e. ὁτι.*] *Gen. xlv.* 28.

43 Και εαν σκανδαλιζῃ σε ἡ χειρ σου, αποκοψον αυτην· καλον
σοι εστι κυλλον εις την ζωην εισελθειν, η τας δυο χειρας εχον-
τα απελθειν εις την γεενναν, εις το πυρ το ασβεστον,

αποκοψεις την χειρα αυτης. Deut. xxv. 12. *εις ζωην αιωνιον. Dan. xii.* 2. *και κατακαυθησονται οἱ ανομοι και οἱ ἁμαρτωλοι ἁμα, και ουκ εσται ὁ σβεσων. Esa. i.* 31. *Conf. Deut. xiii.* 6-8. *Matt. v.* 29.

44 Ὁπου ὁ σκωληξ αυτων ου τελευτᾳ, και το πυρ ου σβεν-
νυται.

ὁ γαρ σκωληξ αυτων ου τελευτησει, και το πυρ αυτων ου σβεσθησεται. Esa. lxvi. 24. *εκδικησις ασεβους πυρ και σκωληξ. Sir. vii.* 17. *δουναι πυρ και σκωληκας εις σαρκας αυτων. Judith. xvi.* 17. *τις αναγγελει ὑμιν ὁτι πυρ καιεται; τις αναγγελει ὑμιν τον τοπον τον αιωνιον; Esa. xxxiii.* 14. *Conf. Apoc. ix.* 6. *xiv.* 11. *Deut. iv.* 24. *Rom. ii.* 5. *CITAT.* 52.

45 Και εαν ὁ πους σου σκανδαλιζῃ σε, αποκοψον αυτον· κα-
λον εστι σοι εισελθειν εις την ζωην χωλον, η τους δυο ποδας
εχοντα βληθηναι εις την γεενναν, εις το πυρ το ασβεστον,

εμβληθησεται εις την καμινον του πυρος. *Dan. iii.* 6. 11. *Conf. Matt. xviii.* 6-9. και καυθησεται, και ου σβεσθησεται. *Jer. vii.* 20.

46 Ὁπου ὁ σκωληξ αυτων ου τελευτᾳ, και το πυρ ου σβεννυται.

47 Και εαν ὁ οφθαλμος σου σκανδαλιζῃ σε, εκβαλε αυτον· καλον σοι εστι μονοφθαλμον εισελθειν εις την βασιλειαν του Θεου, η δυο οφθαλμους εχοντα βληθηναι εις την γεενναν του πυρος,

Conf. Gen. iii. 6. 4 *Reg. xxiii.* 10. *Matt. v.* 29, 30. *Luc. vi.* 24.

48 Ὁπου ὁ σκωληξ αυτων ου τελευτᾳ, και το πυρ ου σβεννυται.

49 Πας γαρ πυρι ἁλισθησεται, και πασα θυσια ἁλι ἁλισθησεται.

και παν δωρον θυσιας ὑμων ἁλι ἁλισθησεται, κ.τ.λ. επι παντος δωρου προσοισετε ἁλας. *Lev. ii.* 13. *Ezech. xliii.* 24. *Jer. xii.* 3. [και πασαν θυσιαν ἁλατι ἁλιεις. *Test. XII Patr. p.* 570.] *Vide Grot. in loc. Conf. Ezech. xxi.* 9. *xxxix.* 17. *Dan. vii.* 11. *Sophon. i.* 7.

50 Καλον το ἁλας· εαν δε το ἁλας αναλον γενηται, εν τινι αυτο αρτυσετε; εχετε εν ἑαυτοις ἁλας, και ειρηνευετε εν αλληλοις.

αναλῳ. *Ezech. xiii.* 10. *xxii.* 28. *Aq.* ειρηνευοντες εν παροικιαις αυτων. *Sir. xliv.* 6. αλληλοις. *Gen. xv.* 10. *Conf. Joan. v.* 42. ουκ εχουσιν εν ἑαυτοις ισχυν. *Dan. iv.* 34. *LXX. Conf. Matt. v.* 13. *Luc. xiv.* 34. *Rom. xii.* 18. *Heb. xii.* 14. 2 *Cor. xiii.* 11. *Ephes. iv.* 29. *Col. iv.* 6. Ιδου δη τι καλον, η τι τερπνον, αλλ᾽ η το κατοικειν αδελφους επιτοαυτο; *Ps. cxxxii.* 1. ει βρωθησεται αρτος ανευ ἁλος; ει δε και εστι γευμα εν ῥημασι κενοις; *Job. vi.* 6. οἱ δε πρᾳεις κληρονομησουσι γην, και κατατρυφησουσιν επι πληθει ειρηνης. *Ps. xxxvi.* 11. *Conf. Exod. xxx.* 35. *Ezech. xvi.* 4.

ΚΕΦ. *ι*. 10.

ΚΑΚΕΙΘΕΝ αναστας ερχεται εις τα ὁρια της Ιουδαιας, δια του περαν του Ιορδανου. και συμπορευονται παλιν οχλοι προς αυτον· και ὡς ειωθει, παλιν εδιδασκεν αυτους.

κακειθεν. 4 *Reg. ii.* 25. *Gen. xxviii.* 2, 6. αναστωντες οἱ αρχοντες —ηλθον προς Βαλακ. *Num. xxii.* 14. και εκειθεν απαραντες— απο των ὁριων των Αμορῥαιων. *Num. xxi.* 13. *Gen. x.* 11. εν τῳ πε-

ραν του Ιορδανου. Deut. iv. 46. *Jos. xiv.* 1. *κατα το ειωθος αυτω. Num. xxiv.* 1. *συμπορευομενοι οἱ υἱοι αυτου προς αλληλους. Job. i.* 4. *Conf. Matt. xix.* 1. *Luc. iv.* 16. *Joan. iii.* 22.

2 Και προσελθοντες οἱ Φαρισαιοι επηρωτησαν αυτον, ει εξεστιν ανδρι γυναικα απολυσαι, πειραζοντες αυτον.

Conf. Matt. iii. 7. *v.* 31. *xix.* 3. *Luc. xvi.* 18.

3 Ὁ δε αποκριθεις ειπεν αυτοις, Τι ὑμιν ενετειλατο Μωσης;

αποκριθεις δε Ισαακ ειπε τῳ Ἡσαυ. Gen. xxvii. 37. *et pass. καθαπερ ενετειλατο αυτοις Μωυσης. Jos. iv.* 12. *νομον γαρ εις βοηθειαν εδωκεν, κ. τ. λ. Esa. viii.* 20. *Deut. vi.* 6-8.

4 Οἱ δε ειπον, Μωσης επετρεψε βιβλιον αποστασιου γραψαι, και απολυσαι.

και επετρεψεν οὑτως γενεσθαι. Est. ix. 14. *Job. xxxii.* 14. *εαν δε τις λαβῃ γυναικα—και εσται εαν μη ἑυρῃ χαριν εναντιον αυτου—και γραψει αυτῃ βιβλιον αποστασιου,—και εξαποστειλαι αυτην. Deut. xxiv.* 1. *Esa. l.* 1. *Jer. iii.* 1-3. *Sir. xxv.* 26. *Matt. v.* 31. *xix.* 7.

5 Και αποκριθεις ὁ Ιησους ειπεν αυτοις, Προς την σκληροκαρδιαν ὑμων εγραψεν ὑμιν την εντολην ταυτην·

και περιτεμεισθε την σκληροκαρδιαν ὑμων. Deut. x. 16. *Sir. xvi.* 11. *εντολην γραφειν.* 1 *Joan. ii.* 7. *Conf. Deut. ix.* 6. *xxxi.* 27. *Neh. ix.* 16, 17. *προς, (propter). Conf. Tob. ii.* 14. *Bar. ii.* 5.

6 Απο δε αρχης κτισεως, αρσεν και θηλυ εποιησεν αυτους ὁ Θεος.

εν αρχῃ αρσεν και θηλυ εποιησεν αυτους. Gen. i. 27. *ποιημα ὁ εποιησεν ὁ Θεος απ᾽ αρχης. Eccles. iii.* 11. *Esa. lxiii.* 19. *σοι δουλευσατω πασα ἡ κτισις σου. Judith. xvi.* 14. *Conf. Gen. v.* 2. *Matt. xix.* 4. *Mal. ii.* 15. *CITAT.* 53.

7 Ἑνεκεν τουτου καταλειψει ανθρωπος τον πατερα αὑτου και την μητερα· και προσκολληθησεται προς την γυναικα αὑτου,

8 Και εσονται οἱ δυο εις σαρκα μιαν. Ὡστε ουκετι εισι δυο, αλλα μια σαρξ.

7, 8.] *ἑνεκεν τουτου κ. τ. λ. Gen. ii.* 24. *Conf. Matt. xix.* 5. *Eph. v.* 28, 31. [*Citat Philo. lib. iii. Leg. Alleg. p.* 847. *Edit. Colon.*] *CITAT.* 54.

9 Ὁ ουν ὁ Θεος συνεζευξεν, ανθρωπος μη χωριζετω.

συνεζευξε. *Ezech. i.* 11. *Conf. Matt. xix.* 6. 3 *Reg. xi.* 3.

10 Και εν τῃ οικιᾳ παλιν οἱ μαθηται αυτου περι του αυτου
επηρωτησαν αυτον.

απηγγειλαν αυτῳ περι του φρεατος. *Gen. xxvi.* 32. *Sap. ix.* 28.

11 Και λεγει αυτοις, Ὁς εαν απολυσῃ την γυναικα αὑτου και
γαμησῃ αλλην, μοιχαται επ᾽ αυτην·

Conf. Matt. v. 32. *xix.* 9. *Luc. xvi.* 18. 1 *Cor. vii.* 10, 11. *Rom. vii.* 3. [μοιχαται ὁ ανηρ, μοιχευεται δε ἡ γυνη. *Thom. Mag.*]

12 Και εαν γυνη απολυσῃ τον ανδρα αὑτης και γαμηθῃ αλλῳ,
μοιχαται.

13 Και προσεφερον αυτῳ παιδια, ἱνα αἁψηται αυτων· οἱ δε μα-
θηται επετιμων τοις προσφερουσιν.

Conf. Matt. xix. 13, 14. *Luc. xviii.* 15. παιδια, (*infantes*). *Gen. xxv.* 22. *Ps. cxxvi.* 4, 5. *Gen. xlviii.* 14, 15.

14 Ιδων δε ὁ Ιησους ηγανακτησε, και ειπεν αυτοις, Αφετε τα
παιδια ερχεσθαι προς με, και μη κωλυετε αυτα· των γαρ τοι-
ουτων εστιν ἡ βασιλεια του Θεου.

Conf. Matt. xviii. 3. 1 *Cor. xiv.* 20. 1 *Pet. ii.* 2. *Joel. ii.* 16.

15 Αμην λεγω ὑμιν, Ὁς εαν μη δεξηται την βασιλειαν του
Θεου ὡς παιδιον, ου μη εισελθῃ εις αυτην.

Conf. 1 *Cor. iii.* 19. *ii.* 6. *Matt. xi.* 25. Κυριε ουχ ὑψωθη ἡ καρδια μου—αλλα ὑψωσα την ψυχην μου ὡς το απογεγαλακτισμενον κ. τ. λ. *Ps. cxxx.* 1, 2. και τῳ βραχιονι αυτου συναξει αρνας. *Esa. xl.* 11. *Luc. xviii.* 17. *Joan. iii.* 3, 5, 6.

16 Και εναγκαλισαμενος αυτα, τιθεις τας χειρας επ᾽ αυτα,
ηυλογει αυτα.

και ευλογησεν αυτα ὁ Θεος. *Gen. i.* 22, 28. ὁ Θεος ελεησε σε. *Gen. xliii.* 29. *Conf. Matt. xix.* 15. *Joan. xxi.* 15.

17 Και εκπορευομενου αυτου εις ὁδον, προσδραμων εἱς και γο-
νυπετησας αυτον, επηρωτα αυτον, Διδασκαλε αγαθε, τι ποι-
ησω ἱνα ζωην αιωνιον κληρονομησω;

17-31.] *Conf. Matt. xix.* 16-30. *Luc. xviii.* 18. *Dan. vii.* 18. *Jac. i.* 17. οὑτοι εις ζωην αιωνιον. *Dan. xii.* 2, 13.

18 Ὁ δε Ιησους ειπεν αυτῳ, Τι με λεγεις αγαθον; ουδεις
αγαθος, ει μη εἱς, ὁ Θεος.

εἱς εστι σοφος φοβερος σφοδρα καθημενος επι θρονου αυτου—Κυ-*ριος. Sir. i.* 8. *ουκ εστιν ἁγιος ὡς* Κυριος. 1 *Reg. ii.* 2.

19 Τας εντολας οιδας, Μη μοιχευσῃς· Μη φονευσῃς· Μη κλεψῃς· Μη ψευδομαρτυρησῃς· Μη αποστερησῃς· Τιμα τον πατερα σου και την μητερα.

ουκ αποστερησεις μισθον πενητος. Deut. xxiv. 14. *Alex. Ald. Comp. v.* 16. *Sir. xxix.* 8. *Lev. xix.* 13. *ου μοιχευσεις. ου κλεψεις. ου φονευσεις. ου ψευδομαρτυρησεις κατα του πλησιον σου μαρτυριαν ψευδη. Exod. xx.* 13-15. *xxi.* 12. *τιμα τον πατερα σου και την μητερα σου. xx.* 12. *Conf. Rom. xiii.* 9. *CITAT.* 55.

20 Ὁ δε αποκριθεις ειπεν αυτῳ, Διδασκαλε, ταυτα παντα εφυλαξαμην εκ νεοτητος μου.

ὁτι εκ νεοτητος μου εξετρεφον ὡς πατηρ, και εκ γαστρος μητρος μου ὡδηγησα· κ. τ. λ. Job. xxxi. 18. *Conf. Deut. vi.* 6.

21 Ὁ δε Ιησους εμβλεψας αυτῳ ηγαπησεν αυτον, και ειπεν αυτῳ, Ἑν σοι ὑστερει· ὑπαγε, ὁσα εχεις πωλησον, και δος τοις πτωχοις, και ἑξεις θησαυρον εν ουρανῳ· και δευρο ακολουθει μοι, αρας τον σταυρον.

ηγαπησε. Cant. i. 1, 4. 2 *Par. xviii.* 2. *Vide Grot. in loc. ουχ ὑστερησας αυτοις ουδεν. Neh. ix.* 21. *Ps. xxii.* 1. *lxxxiii.* 11. *Conf. Matt. vi.* 19. *Luc. xii.* 33. *Gen. xxxiv.* 19. *Esa. lxiii.* 9.

22 Ὁ δε στυγνασας επι τῳ λογῳ απηλθε λυπουμενος· ην γαρ εχων κτηματα πολλα.

παντες οἱ κατοικουντες τας νησους εστυγνασαν επι σε. Ezech. xxvii. 35. *xxxii.* 10. *στυγνος γενομενος και περιλυπος. Dan. ii.* 12. *LXX. Conf. Ps. xlviii.* 12. *Matt. xix.* 22.

23 Και περιβλεψαμενος ὁ Ιησους λεγει τοις μαθηταις αὑτου, Πως δυσκολως οἱ τα χρηματα εχοντες εις την βασιλειαν του Θεου εισελευσονται.

πως κατελογισθη εν υἱοις Θεου; Sap. v. 5. *Conf. Job. xxxi.* 24-26. *Ps. lxi.* 10. *Prov. xi.* 18. *Matt. xix.* 23. *Luc. xviii.* 24. *Sir. iii.* 18.

24 Οἱ δε μαθηται εθαμβουντο επι τοις λογοις αυτου. ὁ δε Ιησους παλιν αποκριθεις λεγει αυτοις, Τεκνα, πως δυσκολον εστι τους πεποιθοτας επι τοις χρημασιν εις την βασιλειαν του Θεου εισελθειν.

ὁ πεποιθως επι τῳ πλουτῳ οὑτος πεσειται. Prov. xi. 28. *Ps. xlviii.*

6. *li.* 7. *Sir. v.* 1. εθαμβουντο. 1 *Mac. vi.* 8. *Sap. xvii.* 3. *Conf.* 1 *Tim. vi.* 17. ιδου ανθρωπος, ὁς ουκ εθετο τον Θεον βοηθον αυτου, αλλ' επηλπισεν επι το πληθος του πλουτου αυτου, κ. τ. λ. *Ps. li.* 7.

25 Ευκοπωτερον εστι καμηλον δια της τρυμαλιας της ῥαφιδος εισελθειν, η πλουσιον εις την βασιλειαν του Θεου εισελθειν.

τρυμαλια. *Jud. xv.* 11. *Jer. xiii.* 4. *Conf. Jer. xiii.* 23.

26 Οἱ δε περισσως εξεπλησσοντο, λεγοντες προς ἑαυτους, Και τις δυναται σωθηναι;

περισσως σφοδρα. *Esa. lvi.* 12. και νυν βασιλεις συνετε. *Ps. ii.* 10.

27 Εμβλεψας δε αυτοις ὁ Ιησους λεγει, Παρα ανθρωποις αδυνατον, αλλ' ου παρα τῳ Θεῳ· παντα γαρ δυνατα εστι παρα τῳ Θεῳ.

Conf. Job. xlii. 2. *Jer. xxxii.* 17. *Zach. viii.* 6. *Luc. i.* 37. μη αδυνατησει παρα τῳ Θεῳ ῥημα; *Gen. xviii.* 14.

28 Και ηρξατο ὁ Πετρος λεγειν αυτῳ, Ιδου, ἡμεις αφηκαμεν παντα, και ηκολουθησαμεν σοι.

Conf. Matt. iv. 20. *Luc. v.* 11. *xviii.* 28. *Deut. xxxiii.* 9.

29 Αποκριθεις δε ὁ Ιησους ειπεν, Αμην λεγω ὑμιν, Ουδεις εστιν ὁς αφηκεν οικιαν, η αδελφους, η αδελφας, η πατερα, η μητερα, η γυναικα, η τεκνα, η αγρους, ἑνεκεν εμου και του ευαγγελιου,

Conf. Luc. xxii. 28. 2 *Cor. vi.* 10. *Gen. xii.* 1-3. *xlv.* 20.

30 Εαν μη λαβῃ ἑκατονταπλασιονα νυν εν τῳ καιρῳ τουτῳ, οικιας και αδελφους και αδελφας και μητερας και τεκνα και αγρους, μετα διωγμων, και εν τῳ αιωνι τῳ ερχομενῳ ζωην αιωνιον.

εστι τῳ Κυριῳ δουναι σοι πλειστα τουτων. 2 *Par. xxx.* 9. *Job. xlii.* 10. *Gen. xxxii.* 10. *Matt. xii.* 50. *xix.* 29.

31 Πολλοι δε εσονται πρωτοι εσχατοι, και οἱ εσχατοι πρωτοι.

Conf. Matt. xix. 30. *Luc. xiii.* 30. *Act. xiii.* 46.

32 Ησαν δε εν τῃ ὁδῳ αναβαινοντες εις Ἱεροσολυμα· και ην προαγων αυτους ὁ Ιησους, και εθαμβουντο, και ακολουθουντες εφοβουντο. και παραλαβων παλιν τους δωδεκα, ηρξατο αυτοις λεγειν τα μελλοντα αυτῳ συμβαινειν·

Conf. Matt. xvi. 21. *xx.* 17. *Luc. ix.* 22. και αναβαινοντος αυτου εν τῃ ὁδῳ. 4 *Reg. ii.* 23. συμβαινειν. *Gen. xlii.* 4.

33 Ὁτι ιδου, αναβαινομεν εις Ἱεροσολυμα, και ὁ υἱος του ανθρωπου παραδοθησεται τοις Αρχιερευσι και τοις Γραμματευσι,

και κατακρινουσιν αυτον θανατῳ, και παραδωσουσιν αυτον τοις
εθνεσι,

Conf. Joan. xviii. 32. *Matt. xx.* 18. *Luc. xviii.* 31.

34 Και εμπαιξουσιν αυτῳ, και μαστιγωσουσιν αυτον, και
εμπτυσουσιν αυτῳ, και αποκτενουσιν αυτον· και τῃ τριτῃ
ἡμερᾳ αναστησεται.

τον νωτον μου εδωκα εις μαστιγας, τας δε σιαγονας μου εις ῥαπισ-
ματα, το δε προσωπον μου ουκ απεστρεψα απο αισχυνης εμπτυσ-
ματων. *Esa. l.* 6. *Conf. Ps. xv.* 10. *Sophon. iii.* 8. *Esa. liii. Dan. ix.*
24-26. 1 *Cor. xv.* 4. ὑγιασει ἡμας μετα δυο ἡμερας, εν τῃ ἡμερᾳ
τῃ τριτῃ εξαναστησομεθα, και ζησομεθα ενωπιον αυτου. *Ose. vi.* 3.

35 Και προσπορευονται αυτῳ Ιακωβος και Ιωαννης οἱ υἱοι Ζε-
βεδαιου λεγοντες, Διδασκαλε, θελομεν ἱνα ὁ εαν αιτησωμεν,
ποιησῃς ἡμιν.

προσπορευεται. *Exod. xxviii.* 29. *Conf. Matt. xx.* 20. 3 *Reg. ii.* 16.

36 Ὁ δε ειπεν αυτοις, Τι θελετε ποιησαι με ὑμιν;

37 Οἱ δε ειπον αυτῳ, Δος ἡμιν, ἱνα εἱς εκ δεξιων σου και εἱς
εξ ευωνυμων σου καθισωμεν εν τῃ δοξῃ σου.

Conf. Matt. xvi. 27. και εκαθισεν εκ δεξιων αυτου. 3 *Reg. ii.* 19.
Ps. xliv. 9. *Heb. xii.* 2. εν τῃ δοξῃ σου. *Conf. Sir. iii.* 20. και ουκ
εδωκεν αυτον επιστρεψαι. 1 *Reg. xviii.* 2. *Conf.* 3 *Reg. xxii.* 19.

38 Ὁ δε Ιησους ειπεν αυτοις, Ουκ οιδατε τι αιτεισθε. δυνασθε
πιειν το ποτηριον ὁ εγω πινω, και το βαπτισμα ὁ εγω βαπ-
τιζομαι, βαπτισθηναι;

Conf. Matt. xx. 22. *Luc. xii.* 50. 3 *Reg. ii.* 22. *Ps. lxxiv.* 8.

39 Οἱ δε ειπον αυτῳ, Δυναμεθα. Ὁ δε Ιησους ειπεν αυτοις,
Το μεν ποτηριον ὁ εγω πινω, πιεσθε· και το βαπτισμα ὁ εγω
βαπτιζομαι, βαπτισθησεσθε·

Conf. Rom. viii. 17. *Joan. xiii.* 37, 38. *Act. xii.* 2.

40 Το δε καθισαι εκ δεξιων μου και εξ ευωνυμων μου, ουκ
εστιν εμον δουναι, αλλ' οἱς ἡτοιμασται.

Conf. Exod. xxiii. 20. μη φοβου, ὁτι σοι αὑτη ἡτοιμασμενη ην απο
του αιωνος. *Tob. vi.* 17. *Matt. xxv.* 34.

41 Και ακουσαντες οἱ δεκα ηρξαντο αγανακτειν περι Ιακωβου
και Ιωαννου.

Conf. Matt. xx. 24. *Gen. xxxvii.* 8. *Rom. xii.* 10.

42 Ὁ δε Ιησους προσκαλεσαμενος αυτους, λεγει αυτοις, Οι-

δατε ὁτι οἱ δοκουντες αρχειν των εθνων κατακυριευουσιν αυτων· και οἱ μεγαλοι αυτων κατεξουσιαζουσιν αυτων.

i. e. οἱ αρχοντες = μη δοξητε λεγειν, [*ne dicatis*]. *Matt. iii.* 9. οἱ εδοκουν κυβερνᾳν τον λαον. *Susan.* 5. *Vide Grot. et Kuinoel in loc. Conf. Matt. xx.* 25. *Luc. xxii.* 25. 1 *Reg. viii.* 11.

43 Ουχ οὑτω δε εσται εν ὑμιν· αλλ᾽ ὁς εαν θελῃ γενεσθαι μεγας εν ὑμιν, εσται διακονος ὑμων·

Conf. Luc. ix. 48. *xxii.* 27. ὁτι μεγαλη ἡ δυναστεια του Κυριου, και ὑπο των ταπεινων δοξαζεται. *Sir. iii.* 20.

44 Και ὁς αν θελῃ ὑμων γενεσθαι πρωτος, εσται παντων δουλος·

Conf. Matt. xix. 30. *Luc. xiv.* 11. *Mich. vi.* 8.

45 Και γαρ ὁ υἱος του ανθρωπου ουκ ηλθε διακονηθηναι, αλλα διακονησαι, και δουναι την ψυχην αὑτου λυτρον αντι πολλων.

δικαιωσαι δικαιον ευ δουλευοντα πολλοις κ. τ. λ. και αυτος ἁμαρτιας πολλων ανηνεγκε. *Esa. liii.* 11, 12. *Dan. ix.* 24. και γαρ. *Tob. v.* 2. *Conf. Matt. xx.* 28. *Joan. xiii.* 14. *Phil. ii.* 7. *Ephes. i.* 7. *Col. i.* 14. 1 *Tim. ii.* 6. *Tit. ii.* 14. 2 *Reg. xviii.* 33.

46 Και ερχονται εις Ἱεριχω· και εκπορευομενου αυτου απο Ἱεριχω, και των μαθητων αυτου, και οχλου ἱκανου, υἱος Τιμαιου Βαρτιμαιος ὁ τυφλος εκαθητο παρα την ὁδον προσαιτων.

47 Και ακουσας ὁτι Ιησους ὁ Ναζωραιος εστιν, ηρξατο κραζειν και λεγειν, Ὁ υἱος Δαβιδ, Ιησου, ελεησον με.

Conf. Matt. xx. 29. *Luc. xviii.* 35. *Prov. xix.* 17. *Tob. iv.* 7. κλαυθμῳ εκλαυσεν, Ελεησον με· ελεησει σε, την φωνην της κραυγης σου ἡνικα ειδεν, επηκουσε σε. *Esa. xxx.* 19. προσαιτων. *Job. xxvii.* 14. ὁ υἱος Δαυιδ. *Conf. Esa. ix.* 1. *Ps. cix.* 1. *cxxxi.* 11.

48 Και επετιμων αυτῳ πολλοι, ἱνα σιωπησῃ· ὁ δε πολλῳ μαλλον εκραζεν, Υἱε Δαβιδ, ελεησον με.

49 Και στας ὁ Ιησους ειπεν αυτον φωνηθηναι· και φωνουσι τον τυφλον, λεγοντες αυτῳ, Θαρσει. εγειραι, φωνει σε.

φωνησον αυτον προς με. *Tob. v.* 8. *Matt. ix.* 2. *xx.* 32.

50 Ὁ δε αποβαλων το ἱματιον αὑτου, αναστας ηλθε προς τον Ιησουν·

51 Και αποκριθεις λεγει αυτῳ ὁ Ιησους, Τι θελεις ποιησω σοι; Ὁ δε τυφλος ειπεν αυτῳ, Ῥαββονι, ἱνα αναβλεψω.

52 Ὁ δε Ιησους ειπεν αυτῳ, Ὑπαγε· ἡ πιστις σου σεσωκε σε. Και ευθεως ανεβλεψε, και ηκολουθει τῳ Ιησου εν τῃ ὁδῳ.

Conf. Matt. ix. 22. οι τυφλοι αναβλεψατε ιδειν. *Esa. xlii.* 18.

ΚΕΦ. ια. 11.

ΚΑΙ ὁτε εγγιζουσιν εις Ἱερουσαλημ, εις Βηθφαγη και Βηθανιαν προς το ορος των ελαιων, αποστελλει δυο των μαθητων αὑτου,

1-12.] *Conf. Matt. xxi.* 1-9. *Luc. xix.* 29. 2 *Reg. xv.* 30. *Zach. xiv.* 4.

2 Και λεγει αυτοις, Ὑπαγετε εις την κωμην την κατεναντι ὑμων· και ευθεως εισπορευομενοι εις αυτην, εὑρησετε πωλον δεδεμενον, εφ᾽ ὁν ουδεις ανθρωπων κεκαθικε· λυσαντες αυτον αγαγετε.

εισπορευομενοι. *Est. ii.* 13, 14. ὑπηγαγε. *Exod. xiv.* 21.

3 Και εαν τις ὑμιν ειπῃ, Τι ποιειτε τουτο; ειπατε, Ὁτι ὁ Κυριος αυτου χρειαν εχει· και ευθεως αυτον αποστελει ὡδε.

4 Απηλθον δε, και εὑρον τον πωλον δεδεμενον προς την θυραν εξω επι του αμφοδου, και λυουσιν αυτον.

[αμφοδα· αἱ ῥυμαι, αγυιαι, διοδοι. *Hesych.*] *Conf. Jud. x.* 4.

5 Και τινες των εκει ἑστηκοτων ελεγον αυτοις, Τι ποιειτε λυοντες τον πωλον;

6 Οἱ δε ειπον αυτοις καθως ενετειλατο ὁ Ιησους· και αφηκαν αυτους.

και ελυσεν αυτον—και αφηκεν αυτον. *Conf. Ps. civ.* 20. πεποιηκα καθως ενετειλατο μοι. *Ezech. ix.* 11. *Alex.*

7 Και ηγαγον τον πωλον προς τον Ιησουν, και επεβαλον αυτῳ τα ἱματια αὑτων, και εκαθισεν επ᾽ αυτῳ.

Conf. Joan. xii. 14. 4 *Reg. ix.* 13. *Lev. xix.* 19. *Zach. ix.* 9.

8 Πολλοι δε τα ἱματια αὑτων εστρωσαν εις την ὁδον· αλλοι δε στοιβαδας εκοπτον εκ των δενδρων, και εστρωννυον εις την ὁδον.

στοιβασουσι ξυλα επι το πυρ. και στοιβασουσιν οἱ υἱοι Ααρων οἱ ἱερεις τα διχοτομηματα. *Lev. i.* 7, 8. ὁδοι εστρωμεναι ακανθαις. *Prov. xv.* 19. ιδου λαος πολυς πορευομενος εν τῃ ὁδῳ. 2 *Reg. xiii.* 34.

9 Και οἱ προαγοντες και οἱ ακολουθουντες εκραζον λεγοντες,
Ὡσαννα· ευλογημενος ὁ ερχομενος εν ονοματι Κυριου.

Ps. cxvii. 25, 26. *Conf. Matt. xxi.* 9. *CITAT.* 56.

10 Ευλογημενη ἡ ερχομενη βασιλεια εν ονοματι Κυριου, του
πατρος ἡμων Δαβιδ· Ὡσαννα εν τοις ὑψιστοις.

και διαθηκην τῳ Δαβιδ υἱῳ εκ φυλης Ιουδα, κληρονομια βασιλεως υἱου εξ υἱου, κ.τ.λ. *Sir. xlv.* 25, 26. *Conf. Dan. vii.* 18. *ix.* 24-27. *Ose. iii.* 5. *Esa. ix.* 7. *Ps. ii.* 6. *cix.* 2. *Jer. xxxvii.* 9. *Amos. ix.* 11.

11 Και εισηλθεν εις Ἱεροσολυμα ὁ Ιησους, και εις το ἱερον· και
περιβλεψαμενος παντα, οψιας ηδη ουσης της ὡρας, εξηλθεν
εις Βηθανιαν μετα των δωδεκα.

Conf. Matt. xxi. 10. *Ps. cxlvii.* 1. *Mal. iii.* 1.

12 Και τῃ επαυριον, εξελθοντων αυτων απο Βηθανιας, επει-
νασε·

Conf. Matt. xxi. 18-20. *Luc. xiii.* 6. *Heb. ii.* 17. *Joan. iv.* 6.

13 Και ιδων συκην μακροθεν, εχουσαν φυλλα, ηλθεν ει αρα εὑ-
ρησει τι εν αυτῃ· και ελθων επ᾽ αυτην, ουδεν εὑρεν ει μη φυλλα·
ου γαρ ην καιρος συκων.

14 Και αποκριθεις ὁ Ιησους ειπεν αυτῃ, Μηκετι εκ σου εις τον
αιωνα μηδεις καρπον φαγοι. και ηκουον οἱ μαθηται αυτου.

15 Και ερχονται εις Ἱεροσολυμα· και εισελθων ὁ Ιησους εις το
ἱερον ηρξατο εκβαλλειν τους πωλουντας και αγοραζοντας εν
τῳ ἱερῳ· και τας τραπεζας των κολλυβιστων, και τας καθε-
δρας των πωλουντων τας περιστερας κατεστρεψε·

καρπον—δωσει εν καιρῳ αυτου. *Ps. i.* 3. εν καιρῳ θερισμου. *Jer. xxvii.* 16. ει αρα. *Num. xxii.* 11. ει αρα εὑρον χαριν. *Gen. xviii.* 3. ὡσπερ σιτος ὡριμος κατα καιρον. (αυτου. *Alex.*) *Job. v.* 26. [εν τῳ καιρῳ της οπωρας. *Philo. de Cher. p.* 703.] *Matt. xxi.* 12. *Luc. xix.* 45. *Joan. ii.* 14-16. *Deut. xiv.* 25.

16 Και ουκ ηφιεν ἱνα τις διενεγκῃ σκευος δια του ἱερου.

ουκ αφιησι με ὁ Θεος πορευεσθαι μεθ᾽ ὑμων. *Num. xxii.* 13. διαφερειν σχεδιας εις την Ιοππης λιμενα. 1 *Esd. v.* 55.

17 Και εδιδασκε, λεγων αυτοις, Ου γεγραπται, Ὁτι ὁ οικος
μου, οικος προσευχης κληθησεται πασι τοις εθνεσιν; ὑμεις δε
εποιησατε αυτον σπηλαιον ληστων.

Esa. lvi. 7. *Jer. vii.* 10. 3 *Reg. viii.* 27-60. *Conf. Matt. xxi.* 13. *Luc. xix.* 46. γεγραπται. 4 *Reg. xvii.* 37. *Esd. iii.* 4. *CITAT.* 57.

18 Και ηκουσαν οἱ Γραμματεις και οἱ Αρχιερεις, και εζητουν
πως αυτον απολεσουσιν· εφοβουντο γαρ αυτον, ὁτι πας ὁ οχ-
λος εξεπλησσετο επι τῃ διδαχῃ αυτου.

και εζητει αυτον αποκτειναι. *Exod. iv.* 24. *Conf. Joan. vii.* 19.

19 Και ὁτε οψε εγενετο, εξεπορευετο εξω της πολεως.

ὡς δε οψια εγενετο. *Judith. xiii.* 1. ὁ Κυριος μου εξεπορευετο εξ Ἱερουσαλημ. 2 *Reg. xix.* 19. *Ps. xl.* 6. [ἑσπερα· ἡ μετα την δυσιν ἡλιου ὡρα· οψε δε, ἡ μετα πολυ δυσεως, και καθολου, μετα πολυν χρονον. *Ammonius.*] *Conf. Luc. xxi.* 37.

20 Και πρωϊ παραπορευομενοι, ειδον την συκην εξηραμμενην
εκ ῥιζων.

εκ ῥιζων απωλεσε. *Job. xxxi.* 12. *Conf. Matt. xxi.* 20.

21 Και αναμνησθεις ὁ Πετρος λεγει αυτῳ, Ῥαββι, ιδε, ἡ συκη
ἡν κατηρασω εξηρανται.

Conf. Heb. vi. 8. *Zach. v.* 3, 4. *Prov. iii.* 33.

22 Και αποκριθεις ὁ Ιησους λεγει αυτοις, Εχετε πιστιν Θεου.

ουκ εχον πιστιν. *Jer. xv.* 18. *Conf. Matt. xxi.* 20. 2 *Par. xx.* 20. *Ps. lxi.* 8. εαν μη πιστευσητε, ουδε μη συνητε. *Esa. vii.* 9.

23 Αμην γαρ λεγω ὑμιν, Ὁτι ὁς αν ειπῃ τῳ ορει τουτῳ, Αρ-
θητι, και βληθητι εις την θαλασσαν, και μη διακριθῃ εν τῃ
καρδιᾳ αὑτου, αλλα πιστευσῃ ὁτι ἁ λεγει γινεται, εσται αυτῳ
ὁ εαν ειπῃ.

Conf. Matt. xvii. 20. *Luc. xvii.* 6. κατατρυφησον του Κυριου, και δωσει σοι τα αιτηματα της καρδιας σου. *Ps. xxxvi.* 4.

24 Δια τουτο λεγω ὑμιν, Παντα ὁσα αν προσευχομενοι αι-
τεισθε, πιστευετε ὁτι λαμβανετε, και εσται ὑμιν.

δια τουτο. *Mich. iii.* 12. εσται σοι. *Est. v.* 6. *vii.* 2. *Conf. Matt. vi.* 14, 15. *vii.* 7. *Luc. xi.* 9. *Joan. xiv.* 13. *Sir. xxviii.* 2.

25 Και ὁταν στηκητε προσευχομενοι, αφιετε ει τι εχετε κατα
τινος· ἱνα και ὁ πατηρ ὑμων ὁ εν τοις ουρανοις αφῃ ὑμιν τα
παραπτωματα ὑμων.

στηκητε. *Gen. xviii.* 22. *Conf. Grot. ad Matt. vi.* 5.

26 Ει δε ὑμεις ουκ αφιετε, ουδε ὁ πατηρ ὑμων ὁ εν τοις ουρα-
νοις αφησει τα παραπτωματα ὑμων.

27 Και ερχονται παλιν εις Ἱεροσολυμα· και εν τῳ ἱερῳ πε-

ριπατουντος αυτου, ερχονται προς αυτον οἱ Αρχιερεις και οἱ Γραμματεις και οἱ Πρεσβυτεροι,

27-33.] *Conf. Matt. xxi.* 23-27. περιπατουντος. *Gen. iii.* 8.

28 Και λεγουσιν αυτῳ, Εν ποιᾳ εξουσιᾳ ταυτα ποιεις; και τις σοι την εξουσιαν ταυτην εδωκεν, ἱνα ταυτα ποιῃς;

Conf. Exod. ii. 14. *Num. xvi.* 3, 13. *Act. iv.* 7. *vii.* 27.

29 Ὁ δε Ιησους αποκριθεις ειπεν αυτοις, Επερωτησω ὑμας καγω ἑνα λογον, και αποκριθητε μοι, και ερω ὑμιν εν ποιᾳ εξουσιᾳ ταυτα ποιω.

30 Το βαπτισμα Ιωαννου, εξ ουρανου ην, η εξ ανθρωπων; αποκριθητε μοι.

31 Και ελογιζοντο προς ἑαυτους, λεγοντες, Εαν ειπωμεν, Εξ ουρανου, ερει, Διατι ουν ουκ επιστευσατε αυτῳ;

ειπον γαρ εν ἑαυτοις λογισαμενοι ουκ ορθως. *Sap. ii.* 1. *Alex. Ald. Comp. Conf. Matt. xvii.* 12. *Luc. vii.* 30. *xx.* 4, 5.

32 Αλλ' εαν ειπωμεν, Εξ ανθρωπων, εφοβουντο τον λαον· ἁπαντες γαρ ειχον τον Ιωαννην, ὁτι οντως προφητης ην.

οντως. *Num. xxii.* 37. *Conf. Matt. xiv.* 5. *Luc. vii.* 27. *xx.* 6.

33 Και αποκριθεντες λεγουσι τῳ Ιησου, Ουκ οιδαμεν. Και ὁ Ιησους αποκριθεις λεγει αυτοις, Ουδε εγω λεγω ὑμιν, εν ποιᾳ εξουσιᾳ ταυτα ποιω.

μη αποκρινου αφρονι προς την εκεινου αφροσυνην, ἱνα μη ὁμοιος γενῃ αυτῳ. αλλα αποκρινου αφρονι κατα την αφροσυνην αυτου, ἱνα μη φαινηται σοφος παρ' ἑαυτῳ. *Prov. xxvi.* 4, 5. *Conf. Esa. vi.* 9. *Jer. viii.* 7-9. *Mal. ii.* 7-8. *Luc. xx.* 7, 8.

ΚΕΦ. ιβ. 12.

ΚΑΙ ηρξατο αυτοις εν παραβολαις λεγειν, Αμπελωνα εφυτευσεν ανθρωπος, και περιεθηκε φραγμον, και ωρυξεν ὑπολημιον, και ῳκοδομησε πυργον, και εξεδοτο αυτον γεωργοις, και απεδημησε.

Αμπελων εγενηθη τῳ ηγαπωμενῳ, εν κερατι, εν τοπῳ πιονι, κ.τ.λ. *Esa. v.* 1-7. *vii.* 23. *Conf. Matt. xxi.* 33-42. *Luc. xx.* 9. *Ps. lxxvii.* 2. *lxxix.* 8-14. *Jer. ii.* 21. *xii.* 10. 2 *Par. xxxvi.* 15. *Cant. viii.* 11, 12. *Ezech. xx.* 49.

2 Και απεστειλε προς τους γεωργους τῳ καιρῳ δουλον, ἱνα
παρα των γεωργων λαβῃ απο του καρπου του αμπελωνος.

3 Οἱ δε λαβοντες αυτον εδειραν, και απεστειλαν κενον·

ουκ εξαποστελεις αυτον κενον. *Deut. xv.* 13. [*sc.* τοις χερσιν, *apud Psalt. Sal. iv.* 19.] *Gen. xxxi.* 42. 1 *Reg. vi.* 3. *Conf. Matt. xxi.* 34. *Luc. xx.* 10. *Act. vii.* 52. 1 *Thess. ii.* 15.

4 Και παλιν απεστειλε προς αυτους αλλον δουλον· κακεινον
λιθοβολησαντες εκεφαλαιωσαν, και απεστειλαν ητιμωμενον.

5 Και παλιν αλλον απεστειλε· κακεινον απεκτειναν· και πολ-
λους αλλους, τους μεν δεροντες, τους δε αποκτεινοντες.

ησαν οἱ ανδρες ητιμασμενοι σφοδρα. 2 *Reg. x.* 5. *Vide Keuchen in loc. Conf. Heb. xi.* 36. *Jer. xliv.* 15. 3 *Reg. xxii.* 24. και ηλλαξαν, και απεστησαν απο σου, και ερρἱψαν τον νομον σου οπισω σωματος αυτων, και τους προφητας σου απεκτειναν, κ. τ. λ. *Neh. ix.* 26. και εξαπεστειλε Κυριος ὁ Θεος των πατερων αυτων εν χειρι των προφητων αυτου, κ. τ. λ. 2 *Par. xxxvi.* 15. 16. τῳ ηγαπημενῳ. *Esa. v.* 1. *Conf. Sir. xlv.-l. Matt. xxi.* 35, 36. *Luc. xx.* 11.

6 Ετι ουν ἑνα υἱον εχων αγαπητον αὑτου, απεστειλε και αυ-
τον προς αυτους εσχατον, λεγων, Ὁτι εντραπησονται τον
υἱον μου.

7 Εκεινοι δε οἱ γεωργοι ειπον προς ἑαυτους, Ὁτι οὑτος εστιν ὁ
κληρονομος· δευτε, αποκτεινωμεν αυτον, και ἡμων εσται ἡ
κληρονομια.

Conf. Ps. ii. 8. *Matt. xxi.* 37. *Luc. xx.* 13. *Gen. xxxvii.* 18. *Heb. i.* 2.

8 Και λαβοντες αυτον απεκτειναν, και εξεβαλον εξω του
αμπελωνος.

Conf. Heb. xiii. 12. *Matt. xxi.* 39. *Luc. xx.* 15.

9 Τι ουν ποιησει ὁ κυριος του αμπελωνος; ελευσεται και απ-
ολεσει τους γεωργους, και δωσει τον αμπελωνα αλλοις.

Conf. Matt. xxi. 40. *Luc. xx.* 16. *Act. x.* 34. *xxviii.* 28. τι τουτο εποιησας ἡμιν; *Gen. xx.* 9.

10 Ουδε την γραφην ταυτην ανεγνωτε; Λιθον, ὁν απεδοκιμα-
σαν οἱ οικοδομουντες, οὑτος εγενηθη εις κεφαλην γωνιας.

11 Παρα Κυριου εγενετο αὑτη· και εστι θαυμαστη εν οφθαλ-
μοις ἡμων.

και εξοισω τον λιθον της κληρονομιας, ισοτητα χαριτος χαριτα αυτης. Zach. iv. 7. Ps. cxvii. 22, 23. Esa. xxviii. 16. Conf. Matt. xxi. 42. Luc. xx. 17. Act. iv. 11. CITAT. 58.

12 Και εζητουν αυτον κρατησαι, και εφοβηθησαν τον οχλον·
εγνωσαν γαρ ὁτι προς αυτους την παραβολην ειπε· και αφεντες
αυτον, απηλθον.

και ειπον επι τον οικον τον παραπικραινοντα παραβολην. Ezech. xxiv. 3. Conf. Matt. xxi. 16, 45. Luc. xx. 6, 19.

13 Και αποστελλουσι προς αυτον τινας των Φαρισαιων και
των Ἡρωδιανων, ἱνα αυτον αγρευσωσι λογῳ.

γυνη δε ανδρων τιμιας ψυχας αγρευει. Prov. vi. 26. Conf. Matt. xxii. 15. Luc. xx. 20. Ps. xxxvii. 12. liv. 5.

14 Οἱ δε ελθοντες λεγουσιν αυτῳ, Διδασκαλε, οιδαμεν ὁτι
αληθης ει, και ου μελει σοι περι ουδενος· ου γαρ βλεπεις εις
προσωπον ανθρωπων, αλλ᾽ επ᾽ αληθειας την ὁδον του Θεου
διδασκεις. εξεστι κηνσον Καισαρι δουναι η ου; δωμεν, η μη
δωμεν;

ου μελει μοι. Tob. x. 3. Sap. xii. 13. επ᾽ αληθειας. Dan. ii. 8. 47. Job. xix. 4. Conf. Matt. xxii. 16. Luc. xx. 21.

15 Ὁ δε ειδως αυτων την ὑποκρισιν, ειπεν αυτοις, Τι με πει-
ραζετε; φερετε μοι δηναριον, ἱνα ιδω.

16 Οἱ δε ηνεγκαν. και λεγει αυτοις, Τινος ἡ εικων αὑτη και ἡ
επιγραφη; Οἱ δε ειπον αυτῳ, Καισαρος.

17 Και αποκριθεις ὁ Ιησους ειπεν αυτοις, Αποδοτε τα Και-
σαρος Καισαρι, και τα του Θεου τῳ Θεῳ. Και εθαυμασαν επ᾽
αυτῳ.

και απεθαυμασαν επ᾽ αυτῳ. Sir. xi. 13. οἱ ιδοντες σε θαυμασονται επι σοι. Esa. xiv. 16. Conf. Matt. xxii. 18, 19. Luc. xx. 23, 24.

18 Και ερχονται Σαδδουκαιοι προς αυτον, οἱτινες λεγουσιν ανα-
στασιν μη ειναι· και επηρωτησαν αυτον, λεγοντες,

Conf. Matt. xxii. 23. Luc. xx. 27. Act. xxiii. 8.

19 Διδασκαλε, Μωσης εγραψεν ἡμιν, ὁτι εαν τινος αδελφος
αποθανῃ, και καταλιπῃ γυναικα, και τεκνα μη αφῃ, ἱνα
λαβῃ ὁ αδελφος αυτου την γυναικα αυτου, και εξαναστησῃ
σπερμα τῳ αδελφῳ αὑτου.

και ληψεται αυτην γυναικα, κ. τ. λ. *Deut. xxv.* 5. καταλειπειν. *Prov. xx.* 7. και εξανιστησωμεν εκ του πατρος ἡμων σπερμα. *Gen. xix.* 32. 34. *Conf. Matt. xxii.* 24. *Luc. xx.* 28. *Gen. xxxviii.* 8. *Ruth. iv.* 5. *CITAT.* 59.

20 Ἑπτα αδελφοι ησαν· και ὁ πρωτος ελαβε γυναικα, και αποθνησκων ουκ αφηκε σπερμα·

21 Και ὁ δευτερος ελαβεν αυτην, και απεθανε, και ουδε αυτος αφηκε σπερμα· και ὁ τριτος ὡσαυτως·

22 Και ελαβον αυτην οἱ ἑπτα, και ουκ αφηκαν σπερμα. εσχατη παντων απεθανε και ἡ γυνη.

23 Εν τῃ ουν αναστασει, ὁταν αναστωσι, τινος αυτων εσται γυνη; οἱ γαρ ἑπτα εσχον αυτην γυναικα.

24 Και αποκριθεις ὁ Ιησους ειπεν αυτοις, Ου δια τουτο πλανασθε, μη ειδοτες τας γραφας, μηδε την δυναμιν του Θεου;

Conf. Joan. xx. 9. *Matt. xxii.* 25-29. *Luc. xx.* 29-34. 1 *Cor. xv.* 42.

25 Ὁταν γαρ εκ νεκρων αναστωσιν, ουτε γαμουσιν, ουτε γαμισκονται, αλλ' εισιν ὡς αγγελοι οἱ εν τοις ουρανοις.

Conf. Matt. xxii. 30. *Luc. xx.* 36. *Heb. xii.* 22. 1 *Joan. iii.* 2.

26 Περι δε των νεκρων, ὁτι εγειρονται, ουκ ανεγνωτε εν τῃ βιβλῳ Μωσεως, επι της βατου, ὡς ειπεν αυτῳ ὁ Θεος λεγων, Εγω ὁ Θεος Αβρααμ, και ὁ Θεος Ισαακ, και ὁ Θεος Ιακωβ;

Exod. iii. 6. *Conf. Matt. xxii.* 32. *Act. vii.* 32. *Luc. xx.* 37. *Gen. xvii.* 7. *Esa. xli.* 8-10. και ανεγνωσαν εν τῳ βιβλιῳ. *Neh. viii.* 8. [*Conf. Philo. de vit. Mosis. p.* 476.] = ὁτι ειδον ὡς διεσπαρη ὁ λαος απ' εμου. 1 *Reg. xiii.* 11. *CITAT.* 60.

27 Ουκ εστιν ὁ Θεος νεκρων, αλλα Θεος ζωντων· ὑμεις ουν πολυ πλανασθε.

πολυ ελυπηθη—πολυ ηγαθυνθη. *Dan. vi.* 14, 23. [ειδοτες ὁτι οἱ δια τον Θεον αποθνησκοντες ζωσι τῳ Θεῳ, ὡσπερ Αβρααμ, Ισαακ, Ιακωβ, και παντες οἱ πατριαρχαι. *Jos. de Mac. p.* 1409. *Edit. Hud.*]

28 Και προσελθων εἱς των Γραμματεων, ακουσας αυτων συζητουντων, ειδως ὁτι καλως αυτοις απεκριθη, επηρωτησεν αυτον, Ποια εστι πρωτη πασων εντολη;

Conf. Matt. xxii. 35. *Luc. x.* 25. εἱς εξ ἡμων. *Gen. iii.* 22. *xlii.* 16.

29 Ὁ δε Ιησους απεκριθη αυτῳ, Ὁτι πρωτη πασων των εντολων, Ακουε, Ισραηλ· Κυριος ὁ Θεος ἡμων, Κυριος εἱς εστι.

30 Και αγαπησεις Κυριον τον Θεον σου εξ ὁλης της καρδιας
σου, και εξ ὁλης της ψυχης σου, και εξ ὁλης της διανοιας σου,
και εξ ὁλης της ισχυος σου. αὑτη πρωτη εντολη.

29, 30.] *Deut. vi.* 4. *x.* 12. *xxx.* 6. *Sir. i.* 8. και—και. *Conf.* 1 *Reg. xv.* 3-10. *Prov. xxiii.* 26. *Matt. xxii.* 37. *Luc. x.* 27. *CITAT.* 61.

31 Και δευτερα ὁμοια αὑτη, Αγαπησεις τον πλησιον σου ὡς
σεαυτον. Μειζων τουτων αλλη εντολη ουκ εστι.

Lev. xix. 18. *Conf. Matt. xxii.* 39. *Luc. x.* 27. *CITAT.* 62.

32 Και ειπεν αυτῳ ὁ Γραμματευς, Καλως, διδασκαλε, επ᾽
αληθειας ειπας, ὁτι εἱς εστι Θεος, και ουκ εστιν αλλος πλην
αυτου.

ὁτι εν σοι ὁ Θεος εστι, και ουκ εστι θεος πλην σου. *Esa. xlv.* 14. ὁτι εγω ειμι ὁ Θεος, και ουκ εστιν ετι πλην εμου. *xlvi.* 9. *Conf. Deut. iv.* 39. *v.* 7. [ὁ γαρ Θεος εἱς ων εν τῳ ουρανῳ ανω εστι και επι γης κατω, και ουκ εστι πλην αυτου. *Deut. iv.* 39. *citatur a Philone. lib. ii. Alleg. p.* 58.]

33 Και το αγαπαν αυτον εξ ὁλης της καρδιας, και εξ ὁλης της
συνεσεως, και εξ ὁλης της ψυχης, και εξ ὁλης της ισχυος, και
το αγαπαν τον πλησιον ὡς ἑαυτον, πλειον εστι παντων των
ὁλοκαυτωματων και των θυσιων.

Conf. Ose. vi. 7. *Esa. i.* 11-17. *Ps. xlix.* 8-15. *Amos. v.* 2. *Mich. vi.* 8. συ δωσεις ἡμιν ὁλοκαυτωματα και θυσιας. *Exod. x.* 25. ποιειν δικαια και αληθευειν, αρεστα παρα Θεῳ μαλλον η θυσιων αἱμα. *Prov. xxi.* 3. ει θελητον τῳ Κυριῳ ὁλοκαυτωματα και θυσιας, ὡς το ακουσαι φωνης Κυριου; κ. τ. λ. 1 *Reg. xv.* 22. αρχη ὁδου αγαθης το ποιειν τα δικαια, δεκτα δε παρα Θεῳ μαλλον η θυειν θυσιας *Prov. xvi.* 5.

34 Και ὁ Ιησους ιδων αυτον ὁτι νουνεχως απεκριθη, ειπεν αυτῳ,
Ου μακραν ει απο της βασιλειας του Θεου. Και ουδεις ουκετι
ετολμα αυτον επερωτησαι.

οἱ μακραν απο της δικαιοσυνης. *Esa. xlvi.* 12. μακραν απο ἁμαρτωλων σωτηρια. *Ps. cxviii.* 155. τις οὑτος ὁστις ετολμησε ποιησαι το πραγμα τουτο; *Est. vii.* 5. επτοηθησαν, ουκ απεκριθησαν ετι, επαλαιωσαν εξ αυτων λογους. *Job. xxxii.* 15. *Conf. Sap. x.* 10.

35 Και αποκριθεις ὁ Ιησους ελεγε, διδασκων εν τῳ ἱερῳ, Πως
λεγουσιν οἱ Γραμματεις, ὁτι ὁ Χριστος υἱος εστι Δαβιδ;

Conf. Matt. xxii. 41-43. *Luc. xx.* 41.

36 Αυτος γαρ Δαβιδ ειπεν εν τῳ Πνευματι τῳ ἁγιῳ, Ειπεν ὁ Κυριος τῳ Κυριῳ μου, Καθου εκ δεξιων μου, ἑως αν θω τους εχθρους σου ὑποποδιον των ποδων σου.

Ps. cix. 1. *Conf. Matt. xxii.* 44. *Luc. xx.* 42. *Esa. xi.* 2. *Zach. i.* 6. Πνευμα ἁγιον. *Sap. ix.* 17. Πνευμα Κυριου. *i.* 7. *CITAT.* 63.

37 Αυτος ουν Δαβιδ λεγει αυτον Κυριον· και ποθεν υἱος αυτου εστι; Και ὁ πολυς οχλος ηκουεν αυτου ἡδεως.

38 Και ελεγεν αυτοις εν τῃ διδαχῃ αὑτου, Βλεπετε απο των Γραμματεων, των θελοντων εν στολαις περιπατειν, και ασπασμους εν ταις αγοραις,

Conf. Matt. xxiii. 1-7. *Luc. xi.* 43. *xx.* 46. εστολισμενοι. 1 *Esd. i.* 2. *Conf. Matt. vi.* 5. *Luc. xiv.* 7-11. 3 *Joan. ix.*

39 Και πρωτοκαθεδριας εν ταις συναγωγαις, και πρωτοκλισιας εν τοις δειπνοις·

40 Οἱ κατεσθιοντες τας οικιας των χηρων, και προφασει μακρα προσευχομενοι· οὑτοι ληψονται περισσοτερον κριμα.

ορφανον και χηραν κατεδυναστευον. *Ezech. xxii.* 7. εστηρισε δε ὁριον χηρας. *Prov. xv.* 25. τις ὁ κατεσθων την δαπανην ταυτην; *Draco.* 8. οἱ κατεσθιοντες *pro* των κατεσθιοντων. *Exod. v.* 14. ὑπο των επιστατων του Φαραω, λεγοντες (*pro* λεγοντων). *Ita, Gen. xxxviii.* 13, 14. *xlv.* 16. *xlviii.* 2, 20. *Exod. xviii.* 16. *Raphelius in loc.* κατεσθιειν τους ταπεινους απο της γης. *Prov. xxx.* 14. *Conf. Matt. xxiii.* 5, 14. *Luc. xx.* 46, 47. *Ezech. xxii.* 25. *Mich. ii.* 2. *iii.* 1. *Tit. i.* 11. το κριμα του Μωαβ. *Jer. xlviii.* 46.

41 Και καθισας ὁ Ιησους κατεναντι του γαζοφυλακιου, εθεωρει πως ὁ οχλος βαλλει χαλκον εις το γαζοφυλακιον. και πολλοι πλουσιοι εβαλλον πολλα·

δουναι εις το ἱερον γαζοφυλακιον. 1 *Esd. v.* 45. *viii.* 20. επι την επισκεψιν του γαζοφυλακιου. 2 *Mac. v.* 18. *iii.* 6. κατεναντι Ἱερουσαλημ. *Zach. xiv.* 14. και οἱ Λευιται—ἑστηκοτες κατεναντι του θυσιαστηριου. 2 *Par. v.* 12. *Ezech. xl.* 17. *Alex. Vide Grot. in loc. Conf. Neh. x.* 37. *vii.* 70-72. 4 *Reg. xii.* 9. *Luc. xxi.* 1-4.

42 Και ελθουσα μια χηρα πτωχη εβαλε λεπτα δυο, ὁ εστι κοδραντης.

μια χηρα, *i. e.* χηρα τις. *Conf. Gen. xxii.* 2. 2 *Reg. xii.* 3.

43 Και προσκαλεσαμενος τους μαθητας αὑτου, λεγει αυτοις,

Αμην λεγω ὑμιν, Ὁτι ἡ χηρα αὑτη ἡ πτωχη πλειον παντων βεβληκε των βαλοντων εις το γαζοφυλακιον.

Conf. 2 *Cor. viii.* 12. *Exod. xxxv.* 21-29. 1 *Par. xxix.* 2-17.

44 Παντες γαρ εκ του περισσευοντος αυτοις εβαλον· αὑτη δε εκ της ὑστερησεως αὑτης παντα ὁσα ειχεν εβαλεν, ὁλον τον βιον αὑτης.

εαν δῳ ανηρ παντα τον βιον αυτου. *Cant. viii.* 7. παν ὁ εαν περισσευσῃ σοι, ποιει ελεημοσυνην. *Tob. iv.* 16. ὡς σοι ὑπαρχοι κατα το πληθος, ποιησον εξ αυτων ελεημοσυνην, κ.τ.λ. *iv.* 8, 9.

ΚΕΦ. ιγ. 13.

ΚΑΙ εκπορευομενου αυτου εκ του ἱερου, λεγει αυτῳ εἱς των μαθητων αυτου, Διδασκαλε, ιδε, ποταποι λιθοι και ποταπαι οικοδομαι.

[ποταποι τινες εισι. *Jos. c. Apion. i.* 28.] οικοδομαι. 1 *Esd. v.* 63. *Conf. Matt. xxiv.* 1. *Luc. xxi.* 5. *Ezech. vii.* 20-22. *Mal. iii.* 1.

2 Και ὁ Ιησους αποκριθεις ειπεν αυτῳ, Βλεπεις ταυτας τας μεγαλας οικοδομας; ου μη αφεθῃ λιθος επι λιθῳ, ὁς ου μη καταλυθῃ.

βλεπων επι πτωσει εχθρων. *Sir. xxv.* 7. *Conf.* 3 *Reg. ix.* 7, 8. *Mich. iii.* 12. *Luc. xix.* 44. *Jer. xxxiii.* 18. και τον οικον τουτον κατελυσε, και τον λαον απῳκισεν εις Βαβυλωνα. *Esd. v.* 12.

3 Και καθημενου αυτου εις το ορος των ελαιων κατεναντι του ἱερου, επηρωτων αυτον κατ' ιδιαν Πετρος και Ιακωβος και Ιωαννης και Ανδρεας,

Conf. Matt. xxiv. 3. *Luc. xxi.* 7. και στησονται οἱ ποδες αυτου εν τῃ ἡμερᾳ εκεινῃ επι το ορος των ελαιων, το κατεναντι Ἱερουσαλημ, κ. τ. λ. *Zach. xiv.* 4.

4 Ειπε ἡμιν, ποτε ταυτα εσται; και τι το σημειον, ὁταν μελλῃ παντα ταυτα συντελεισθαι;

και εσται ὁταν ἡξει τα σημεια ταυτα επι σε. 1 *Reg. x.* 7. ὁταν μελλῃ πληρουσθαι ἑβδομηκοντα ετη. *Jer. xxxvi.* 10. τους δε εν τῃ πολει λιμος και θανατος, συντελεσει. *Ezech. vii.* 15. 1 *Reg. xv.* 18. *Jer. xvi.* 3. αυτῃ τῃ ὡρᾳ ὁ λογος συνετελεσθη. *Dan. iv.* 30. *Conf. Act. i.* 6. *Dan. ix.* 24. *Sap. ix.* 13. *Ezech. vii.* 15.

5 Ὁ δε Ιησους αποκριθεις αυτοις ηρξατο λεγειν, Βλεπετε μη τις ὑμας πλανησῃ.

Conf. Jer. xxix. 8. *Matt. xxiv.* 4. *Luc. xxi.* 8. *Ephes. v.* 6. 2 *Thess. ii.* 3. 1 *Joan. iv.* 1. *Jer. xxxvi.* 8.

6 Πολλοι γαρ ελευσονται επι τῳ ονοματι μου, λεγοντες, Ὁτι εγω ειμι· και πολλους πλανησουσιν.

ἡ λεγουσα εν καρδιᾳ αυτης, Εγω ειμι, και ουκ εστι μετ' εμε ετι. *Sophon. ii.* 15. εγω ειμι. *Deut. xxxii.* 39. *Esa. xliii.* 10, 13. *Jud. v.* 3. *Jer. xiv.* 14. *xxiii.* 21. *Sir. i.* 8. *Joan. v.* 43.

7 Ὁταν δε ακουσητε πολεμους και ακοας πολεμων, μη θροεισθε· δει γαρ γενεσθαι. αλλ' ουπω το τελος.

ἁ δει γενεσθαι. *Dan. ii.* 28. *xii.* 12. *Esa. viii.* 12. *Jer. iv.* 19.

8 Εγερθησεται γαρ εθνος επι εθνος, και βασιλεια επι βασιλειαν· και εσονται σεισμοι κατα τοπους, και εσονται λιμοι και ταραχαι.

και εσται ταραχη εν αυτοις εν τῃ ἡμερᾳ. *Ezech. xxx.* 9. και πολεμησει ανθρωπος τον αδελφον αυτου, και ανθρωπος τον πλησιον αυτου, πολις επι πολιν, και νομος επι νομον, κ. τ. λ. *Esa. xix.* 2. *Conf. Act. xi.* 28. *Matt. xxiv.* 7. *Luc. xxi.* 10.

9 Αρχαι ωδινων, ταυτα. Βλεπετε δε ὑμεις ἑαυτους. παραδωσουσι γαρ ὑμας εις συνεδρια, και εις συναγωγας δαρησεσθε, και επι ἡγεμονων και βασιλεων σταθησεσθε ἑνεκεν εμου, εις μαρτυριον αυτοις·

Conf. Esa. xvi. 7, 8. προσκληθεις εις συνεδριον ὑπο του Δημητριου. 2 *Mac. xiv.* 5. *Conf. Matt. x.* 17, 18. *Luc. xxi.* 12. *Joan. xv.* 19.

10 Και εις παντα τα εθνη δει πρωτον κηρυχθηναι το ευαγγελιον.

11 Ὁταν δε αγαγωσιν ὑμας παραδιδοντες, μη προμεριμνατε τι λαλησητε, μηδε μελετατε· αλλ' ὁ εαν δοθῃ ὑμιν εν εκεινῃ τῃ ὡρᾳ, τουτο λαλειτε· ου γαρ εστε ὑμεις οἱ λαλουντες, αλλα το Πνευμα το ἁγιον.

Conf. Matt. x. 19. ὁτι πνευμα Θεου ἁγιον εν σοι. *Dan. iv.* 6. *x.* 15. 20. αγαγετε. *Gen. xlii.* 34. *Num. xxxii.* 17. και ηγαγον αυτον προς Ιηου, και απεκτεινεν αυτον. 2 *Par. xxii.* 9. εν ταις εντολαις αυτου μελετα διαπαντος. *Sir. vi.* 37. *Ps. i.* 2. ὁ εαν *pro* ὁ αν. *Matt. v.* 32. *Jud. xvii.* 9. *Conf. Jer. i.* 6-9. *Dan. iii.* 16. *Luc. xii.* 11. *xxi.* 14. Πνευμα Κυριου ελαλησεν εν εμοι, και ὁ λογος αυτου επι γλωσσης μου. 2 *Reg. xxiii.* 2.

12 Παραδωσει δε αδελφος αδελφον εις θανατον, και πατηρ τεκ-

νον· και επαναστησονται τεκνα επι γονεις, και θανατωσουσιν αυτους·

διοτι υἱος ατιμαζει πατερα, θυγατηρ επαναστησεται επι την μητερα αυτης, νυμφη επι την πενθεραν αυτης, εχθροι παντες ανδρος εν τῳ οικῳ αυτου. Mich. vii. 6. Susan. 61. Conf. Matt. xxiv. 9. παρεδοθη εις θανατον ἡ ψυχη αυτου. Esa. liii. 12. Ezech. xxxviii. 21. Deut. xiii. 6. Luc. xii. 52. xxi. 16.

13 Και εσεσθε μισουμενοι ὑπο παντων δια το ονομα μου· ὁ δε ὑπομεινας εις τελος, οὑτος σωθησεται.

Conf. Matt. x. 22. xxiv. 13. Luc. xxi. 19. Apoc. ii. 7, 10. μακαριος ὁ ὑπομενων, κ. τ. λ. Dan. xii. 12.

14 Ὁταν δε ιδητε το βδελυγμα της ερημωσεως, το ῥηθεν ὑπο Δανιηλ του προφητου, ἑστος ὁπου ου δει· (ὁ αναγινωσκων νοειτω·) τοτε οἱ εν τῃ Ιουδαιᾳ φευγετωσαν εις τα ορη·

τα ῥηθεντα ὑπο Ιωσηφ. Gen. xlv. 27. διδασκοντες ἁ μη δει. Tit. i. 11. ἑστως. Ps. xxxi. 8. Sym. και αυτος ἑστως παρ' εσχαρᾳ βωμου. Sir. l. 12. εν ῥημασιν οἱς ου δει. Job. xv. 3. Conf. Matt. xxiv. 15. Luc. xxi. 20, 21. Dan. ix. 27. xii. 11. CITAT. 64.

15 Ὁ δε επι του δωματος, μη καταβατω εις την οικιαν, μηδε εισελθετω αραι τι εκ της οικιας αὑτου·

Conf. Gen. xix. 15-17. xxii. 26. Job. ii. 4. Prov. vi. 4, 5. Matt. xxiv. 16.

16 Και ὁ εις τον αγρον ων, μη επιστρεψατω εις τα οπισω, αραι το ἱματιον αὑτου.

εις τα οπισω. 4 Reg. xx. 10, 11. Ps. lxix. 2. εις τον αγρον ων, pro εν τῳ αγρῳ. Conf. cap. i. 39. Matt. xxiv. 18.

17 Ουαι δε ταις εν γαστρι εχουσαις και ταις θηλαζουσαις εν εκειναις ταις ἡμεραις.

και ἡ ἁπαλη εν ὑμιν—βασκανει τῳ οφθαλμῳ αυτης τον ανδρα αυτης—και τον υἱον και την θυγατερα αυτης, κ.τ.λ. Deut. xxviii. 56, 57. Conf. Luc. xxi. 23. δος αυτοις, Κυριε, τι δωσεις αυτοις; μητραν ατεκνουσαν, και μαστους ξηρους. Ose. ix. 14.

18 Προσευχεσθε δε ἱνα μη γενηται ἡ φυγη ὑμων χειμωνος.

19 Εσονται γαρ αἱ ἡμεραι εκειναι θλιψις, οἱα ου γεγονε τοιαυτη απ' αρχης κτισεως ἡς εκτισεν ὁ Θεος, ἑως του νυν, και ου μη γενηται.

αφ' ἡς ἡμερας εκτισται, ἑως της ἡμερας ταυτης. Exod. ix. 18.

απο της ἡμερας ἡς εκτισεν ὁ Θεος ανθρωπον. Deut. iv. 32. *και εγενετο θλιψις μεγαλη εν τῳ Ισραηλ.* 1 *Mac. ix.* 27. *ποιημα ὁ εποιησεν ὁ Θεος απ' αρχης. Eccles. iii.* 1. *Conf. Dan. xii.* 1. *Joel. ii.* 2. *Deut. xxix.* 22-28. *Esa. lxv.* 12-15. *Matt. xxiv.* 19, 20.

20 Και ει μη Κυριος εκολοβωσε τας ἡμερας, ουκ αν εσωθη
πασα σαρξ· αλλα δια τους εκλεκτους οὑς εξελεξατο, εκολο-
βωσε τας ἡμερας.

Conf. Matt. xxiv. 22. *κολοβουσι τας χειρας αυτων.* 2 *Reg. iv.* 12. *εσμικρυνας τας ἡμερας. Ps. lxxxviii.* 45. *ετη—ολιγωσθησεται. Prov. x.* 27. *ιδου εγω επαγω κακα επι πασαν σαρκα. Jer. li.* 5. *Zach. xiii.* 8, 9. *παις μου Ιακωβ, και ὁν εξελεξαμην, κ. τ. λ. Esa. xli.* 8-10. *ει μη Κυριος εγκατελιπεν σπερμα, κ. τ. λ. i.* 19.

21 Και τοτε εαν τις ὑμιν ειπῃ, Ιδου, ὡδε ὁ Χριστος, η ιδου εκει,
μη πιστευσητε.

Conf. Matt. xxiv. 22. *Luc. xvii.* 23. *xxi.* 8. *Deut. xiii.* 1-3.

22 Εγερθησονται γαρ ψευδοχριστοι και ψευδοπροφηται, και
δωσουσι σημεια και τερατα, προς το αποπλαναν, ει δυνατον,
και τους εκλεκτους.

προς το αποπλαναν. Conf. Jer. xxvii. 10. *xxxii.* 29. *Deut. xiii.* 1. *ουκ επιστευσαν βασιλεις γης, παντες οἱ κατοικουντες την οικουμενην, ὁτι εισελευσεται εχθρος και εκθλιβων δια των πυλων Ἱερουσαλημ, κ. τ. λ. Thren. iv.* 12. *Conf. Matt. xxiv.* 23.

23 Ὑμεις δε βλεπετε· ιδου, προειρηκα ὑμιν παντα.

Conf. 2 *Pet. iii.* 17. *Matt. vii.* 15. *Esa. xliv.* 7, 8. *Joan. xiv.* 20.

24 Αλλ' εν εκειναις ταις ἡμεραις, μετα την θλιψιν εκεινην, ὁ
ἡλιος σκοτισθησεται, και ἡ σεληνη ου δωσει το φεγγος αὑτης,

Conf. Matt. xxiv. 29. *Luc. xxi.* 25. *Apoc. vi.* 12. *Esa. xiii.* 10. *xxiv.* 20-23. *Joel. ii.* 31.

25 Και οἱ αστερες του ουρανου εσονται εκπιπτοντες, και αἱ
δυναμεις αἱ εν τοις ουρανοις σαλευθησονται.

και προσεκυνησε πασῃ τῃ στρατιᾳ του ουρανου. 2 *Par. xxxiii.* 3. 5. *Neh. ix.* 6. *εσονται εκπιπτοντες. = εσῃ συναντων. Exod. vii.* 15. *Gen. i.* 6. [*ὁταν επιβλεψῃ ὁ Κυριος εφ' ἡμας, παντες ἡμεις σαλευομεθα, και οἱ ουρανοι, και ἡ γη, και αἱ αβυσσοι απο προσωπου της μεγαλωσυνης αυτου σαλευθησονται, κ. τ. λ. Test. XII Patr. p.* 548.] *Conf. Luc. xxi.* 25-27.

26 Και τοτε οψονται τον υἱον του ανθρωπου ερχομενον εν νε-
φελαις μετα δυναμεως πολλης και δοξης.

ὁυτως εν τῳ ἁγιῳ ωφθην σοι, του ιδειν την δυναμιν σου. *Ps. lxii.* 2. βασιλεα μετα δοξης οψεσθε. *Esa. xxxiii.* 17. *Conf. Dan. vii.* 10. *Matt. xvi.* 27. *xxiv.* 30. 2 *Thess. i.* 10. *Apoc. i.* 7.

27 Και τοτε αποστελει τους αγγελους ἁυτου, και επισυναξει
τους εκλεκτους ἁυτου εκ των τεσσαρων ανεμων, απ᾽ ακρου γης
ἑως ακρου ουρανου.

Conf. Matt. xiii. 41. *xxiv.* 31. 1 *Cor. xv.* 52. *Gen. xlix.* 10. *Esa. lxv.* 9. εαν ῃ ἡ διασπορα σου απ᾽ ακρου του ουρανου ἑως ακρου του ουρανου, εκειθεν συναξει σε Κυριος ὁ Θεος σου, κ. τ. λ. *Deut. xxx.* 4.

28 Απο δε της συκης μαθετε την παραβολην· ὁταν αυτης ηδη
ὁ κλαδος ἁπαλος γενηται, και εκφυῃ τα φυλλα, γινωσκετε
ὁτι εγγυς το θερος εστιν·

Conf. Matt. xxiv. 32. *Luc. xxi.* 29. *Prov. x.* 15. *Jer. viii.* 20.

29 Οὑτω και ὑμεις, ὁταν ταυτα ιδητε γινομενα, γινωσκετε ὁτι
εγγυς εστιν επι θυραις.

Conf. Ezech. vii. 10-12. *xii.* 25-28. *Ps. lxxxix.* 12. *Esa. xxviii.* 25.

30 Αμην λεγω ὑμιν, Ὁτι ου μη παρελθῃ ἡ γενεα ἁυτη, μεχρις
οὑ παντα ταυτα γενηται.

Conf. Matt. xvi. 18. *xxiii.* 36. *xxiv.* 34. *Luc. xxi.* 31-33. μεχρι του παραγενηθηναι προφητην. 1 *Mac. iv.* 46.

31 Ὁ ουρανος και ἡ γη παρελευσονται· οἱ δε λογοι μου ου μη
παρελθωσι.

Conf. Ps. ci. 26, 27. *Esa. xl.* 8. *li.* 6. *Heb. i.* 11. *Zach. i.* 6, 7.

32 Περι δε της ἡμερας εκεινης και της ὡρας, ουδεις οιδεν, ουδε
οἱ αγγελοι οἱ εν ουρανῳ, ουδε ὁ υἱος, ει μη ὁ πατηρ.

Conf. Matt. xxiv. 36. *Act. i.* 7. *Apoc. i.* 1.

33 Βλεπετε, αγρυπνειτε και προσευχεσθε· ουκ οιδατε γαρ ποτε
ὁ καιρος εστιν.

αγρυπνειτε και τηρειτε. *Esd. viii.* 29. αγρυπνειτε και φυλασσετε. 1 *Esd. viii.* 59. *Conf. Matt. xxiv.* 42. *Luc. xii.* 40. *xxi.* 36. 1 *Thess. v.* 6. *Ezech. iii.* 17-21. *xxxiii.* 2-9. [μενειν, ποτ᾽ επ᾽ αυτον ὁ Αβεσαλωμος ελθῃ. *Jos. Ant. vii.* 10. 1.] ὁ καιρος. *Conf. Dan. xi.* 27. 29.

34 Ὡς ανθρωπος αποδημος αφεις την οικιαν ἁυτου, και δους
τοις δουλοις ἁυτου την εξουσιαν, και ἑκαστῳ το εργον ἁυτου,
και τῳ θυρωρῳ ενετειλατο ἱνα γρηγορῃ.

ανθρωπος γεωργος. *Gen. ix.* 20. *Lev. xxii.* 2. και εδωκεν αυτῳ

εξουσιαν. 1 *Mac. xi.* 58. ἡ θυρωρος του οικου. 2 *Reg. iv.* 6. επεταξε ——τοις παρ᾿ αυτου γρηγορειν. 1 *Mac. xii.* 27. *Conf. Matt. xxv.* 13, 14. [γρηγορειν. *Conf. Sturz. de Voc. Alex. p.* 157.]

35 Γρηγορειτε ουν· (ουκ οιδατε γαρ ποτε ὁ κυριος της οικιας ερχεται, οψε, η μεσονυκτιου, η αλεκτοροφωνιας, η πρωϊ·)

Conf. Matt. xxiv. 42. *Esa. v.* 11. *Num. xxviii.* 4. *Vide Keuchen in loc.* μεσονυκτιου. *Ruth. iii.* 8. αρτι δε αλεκτρυων εκεκραγει ορθριος. 3 *Mac. v.* 23. εαν δε μη εὑρεθῃ ὁ κλεψας, προσελευσεται ὁ κυριος της οικιας ενωπιον του Θεου. *Exod. xxii.* 8. εν ταις χερσι σου οἱ κληροι μου. *Ps. xxx.* 15.

36 Μη ελθων εξαιφνης εὑρῃ ὑμας καθευδοντας.

Conf. Esa. lvi. 10. *Prov. xxiv.* 33. *Cant. iii.* 1. *v.* 2.

37 Ἁ δε ὑμιν λεγω, πασι λεγω, Γρηγορειτε.

και γρηγορησις και συνεσις——εὑρεθη εν σοι. *Dan. v.* 14. ἑως τινος οκνηρε κατακεισαι; ποτε δε εξ ὑπνου εγερθησῃ; *Prov. vi.* 9-11. φωτιζου φωτιζου Ἱερουσαλημ, κ. τ. λ. *Esa. lx.* 1. *Ephes. v.* 14. εγρηγορα εγω επι τους λογους μου του ποιησαι αυτους. *Jer. i.* 12. [*Conf. Fisch. de Vit. Lexx. p.* 451.]

ΚΕΦ. ιδ. 14.

ΗΝ δε το πασχα και τα αζυμα μετα δυο ἡμερας· και εζητουν οἱ Αρχιερεις και οἱ Γραμματεις, πως αυτον εν δολῳ κρατησαντες αποκτεινωσιν·

αρχοντες των πατριων των ἱερεων. 1 *Par. xxiv.* 6. πασχα εστι Κυριου. *Exod. xii.* 12. εποιησαν την ἑορτην των αζυμων. *Esd. vi.* 22. [Πασχα σημαινει ὑπερβασιαν. *Jos. Ant. ii.* 14. 6.] και εζητει αυτον αποκτειναι. *Exod. iv.* 24. *Conf. Matt. xxvi.* 2-5. *Luc. xxii.* 1. *Joan. xi.* 55. *xiii.* 1. *Ps. li.* 2. *lxi.* 4. 9.

2 Ελεγον δε, Μη εν τῃ ἑορτῃ, μηποτε θορυβος εσται του λαου.

εν τῃ ἑορτῃ των αζυμων. *Deut. xvi.* 16. [μηποτε. *Conf. Sturz. p.* 184.]

3 Και οντος αυτου εν Βηθανιᾳ, εν τῃ οικιᾳ Σιμωνος του λεπρου, κατακειμενου αυτου, ηλθε γυνη εχουσα αλαβαστρον μυρου ναρδου πιστικης πολυτελους· και συντριψασα το αλαβαστρον, κατεχεεν αυτου κατα της κεφαλης.

Conf. Matt. xxvi. 6. *Luc. vii.* 37. *Joan. xi.* 2. *xii.* 3. ωρυξαν λακκους συντετριμμενους. *Jer. ii.* 13. *Grot. in loc.* οινου πολυτελους και μυρων πλησθωμεν. *Sap. ii.* 7. *Conf. Cant. iv.* 13, 14.

4 Ησαν δε τινες αγανακτουντες προς ἑαυτους, και λεγοντες, Εις τι ἡ απωλεια αὑτη του μυρου γεγονεν;

5 Ηδυνατο γαρ τουτο πραθηναι επανω τριακοσιων δηναριων, και δοθηναι τοις πτωχοις· και ενεβριμωντο αυτῃ.

και παρωξυνεν εμβριμηματι οργης. *Thren. ii.* 6. πραθητω αντι του κλεμματος. *Exod. xxii.* 3. πραθησεται αργυριου. *Deut. xxi.* 14.

6 Ὁ δε Ιησους ειπεν, Αφετε αυτην· τι αυτῃ κοπους παρεχετε; καλον εργον ειργασατο εις εμε.

αφετε με, πικρως κλαυσομαι. *Esa. xxii.* 4. αφες αυτην. 4 *Reg. iv.* 16. *Conf. Matt. xxvi.* 8-10. εργον εγω εργαζομαι. *Hab. i.* 5. πονον παρεχειν. *Sir. xxix.* 4. *Conf. Exod. v.* 4-8. *Mal. i.* 12.

7 Παντοτε γαρ τους πτωχους εχετε μεθ᾽ ἑαυτων, και ὁταν θελητε, δυνασθε αυτους ευ ποιησαι· εμε δε ου παντοτε εχετε.

Conf. Deut. xv. 11. *Matt. xxvi.* 11. *Joan. xiii.* 33. *Eccles. iii.* 1. *Prov. xv.* 23.

8 Ὁ ειχεν αὑτη, εποιησε· προελαβε μυρισαι μου το σωμα εις τον ενταφιασμον.

εποιησε, [*mihi impendit*]. *Ita, Ose. ii.* 8. και γαρ τα ἁγια οικου Κυριου εποιησαν ταις Βααλιμ. 2 *Par. xxiv.* 7. 1 *Reg. xiv.* 6. *Vide Keuchen in loc. Conf. Gen. l.* 2. 1 *Par. xxviii.* 2. *xxix.* 1.

9 Αμην λεγω ὑμιν, Ὁπου αν κηρυχθῃ το ευαγγελιον τουτο εις ὁλον τον κοσμον, και ὁ εποιησεν αὑτη, λαληθησεται εις μνημοσυνον αυτης.

και δωσω τους πονηρους αντι της ταφης αυτου, και τους πλουσιους αντι του θανατου αυτου, κ. τ. λ. *Esa. liii.* 9. *Num. xxxi.* 54.

10 Και ὁ Ιουδας ὁ Ισκαριωτης, εἱς των δωδεκα, απηλθε προς τους Αρχιερεις, ἱνα παραδῳ αυτον αυτοις.

Conf. Matt. xxvi. 14. *Luc. xxii.* 4. *Ps. xl.* 9. *liv.* 12, 13.

11 Οἱ δε ακουσαντες εχαρησαν, και επηγγειλαντο αυτῳ αργυριον δουναι· και εζητει πως ευκαιρως αυτον παραδῳ.

δωσω σοι αργυριον. 3 *Reg. xx.* 2. 15. ευκαιρως. *Sir. xviii.* 22. *Conf. Ose. vii.* 3. *Act. iii.* 14. *Luc. xxii.* 5. *Ps. cx.* 8.

12 Και τῃ πρωτῃ ἡμερᾳ των αζυμων, ὁτε το πασχα εθυον, λεγουσιν αυτῳ οἱ μαθηται αυτου, Που θελεις απελθοντες ἑτοιμασωμεν ἱνα φαγῃς το πασχα;

Conf. Matt. xxvi. 17. *Luc. xxii.* 7. και θυσατε το πασχα. *Exod. xii.* 21. *Deut. xvi.* 5. [ἡ ἑορτη των αζυμων. *Jos. Bell. Jud. v.* 3. 1.]

13 Και αποστελλει δυο των μαθητων αὑτου, και λεγει αυτοις,
Ὑπαγετε εις την πολιν· και απαντησει ὑμιν ανθρωπος κερα-
μιον ὑδατος βασταζων· ακολουθησατε αυτῳ,

ανθρωπος, (*aliquis.*) *Levit. xiii.* 2. 29. κεραμιον οινου. *Jer. xlii.* 5.

14 Και ὁπου εαν εισελθῃ, ειπατε τῳ οικοδεσποτῃ, Ὁτι ὁ δι-
δασκαλος λεγει, Που εστι το καταλυμα, ὁπου το πασχα μετα
των μαθητων μου φαγω;

εισηγαγεν αυτους εις το καταλυμα. 1 *Reg. ix.* 22. *Luc. xxii.* 11.

15 Και αυτος ὑμιν δειξει ανωγεον μεγα εστρωμενον ἑτοιμον·
εκει ἑτοιμασατε ἡμιν.

Conf. Luc. xxii. 12. δειξει. *Exod. xiii.* 21.

16 Και εξηλθον οἱ μαθηται αυτου, και ηλθον εις την πολιν, και
εὑρον καθως ειπεν αυτοις, και ἡτοιμασαν το πασχα.

17 Και οψιας γενομενης ερχεται μετα των δωδεκα·

Conf. Matt. xxvi. 19, 20. *Luc. xxii.* 14.

18 Και ανακειμενων αυτων και εσθιοντων, ειπεν ὁ Ιησους, Αμην
λεγω ὑμιν, Ὁτι εἱς εξ ὑμων παραδωσει με, ὁ εσθιων μετ᾽ εμου.

ὁ εσθιων αρτους μου εμεγαλυνεν επ᾽ εμε. *Ps. xl.* 9. *Conf. Joan. xiii.* 18. 21. *Act. i.* 16. αυτος ανακειται, εσθιει, κ.τ.λ. 1 *Esd. iv.* 10.

19 Οἱ δε ηρξαντο λυπεισθαι, και λεγειν αυτῳ εἱς καθ᾽ εἱς, Μη
τι εγω; Και αλλος, Μη τι εγω;

εἱς καθ᾽ εἱς. *pro* καθ᾽ ἑνα. *Joan. viii.* 9. *Rom. xii.* 5. ὁ καθ᾽ εἱς δε των φιλων σκυθρωπως ὑπεχρεων. 3 *Mac. v.* 34. *Conf. Matt. xxvi.* 22.

20 Ὁ δε αποκριθεις ειπεν αυτοις, Εἱς εκ των δωδεκα, ὁ εμ-
βαπτομενος μετ᾽ εμου εις το τρυβλιον.

Conf. Matt. xxvi. 23. 1 *Cor. xi.* 23-25. *Ps. xl.* 9.

21 Ὁ μεν υἱος του ανθρωπου ὑπαγει, καθως γεγραπται περι
αυτου· ουαι δε τῳ ανθρωπῳ εκεινῳ, δι᾽ οὑ ὁ υἱος του ανθρωπου
παραδιδοται· καλον ην αυτῳ, ει ουκ εγεννηθη ὁ ανθρωπος εκει-
νος.

Conf. Matt. xxvi. 24. *Luc. xxii.* 22. *Joan. xiii.* 18. *Esa. liii.* 3. *Dan. ix.* 26. *Act. xvii.* 3. *Gen. iii.* 15. *Ps. liv.* 15. *cviii.* 6-20.

22 Και εσθιοντων αυτων, λαβων ὁ Ιησους αρτον, ευλογησας
εκλασε, και εδωκεν αυτοις και ειπε, Λαβετε, φαγετε. τουτο
εστι το σωμα μου.

Conf. Matt. xxvi. 26. *Luc. xxii.* 19. 1 *Cor. xi.* 24.

23 Και λαβων το ποτηριον, ευχαριστησας εδωκεν αυτοις· και επιον εξ αυτου παντες·

Conf. 1 *Cor.* x. 4. *Matt.* xxvi. 27. *Luc.* xxii. 20.

24 Και ειπεν αυτοις, Τουτο εστι το αἱμα μου, το της καινης διαθηκης, το περι πολλων εκχυνομενον.

προσευχεσθε περι αυτων. *Jer.* xxxvi. 7. xxxvii. 3. τα περι ἁμαρτιας. *Ezech.* xl. 40. *Ald.* xlii. 13. *Conf.* 1 *Joan.* ii. 2. και αυτος ἁμαρτιας πολλων ανηνεγκε. *Esa.* liii. 12. και συ εν αἱματι διαθηκης σου εξαπεστειλας δεσμιους σου εκ λακκου ουκ εχοντος ὑδωρ. *Zach.* ix. 11. *Conf. Matt.* xxvi. 28.

25 Αμην λεγω ὑμιν, Ὁτι ουκετι ου μη πιω εκ του γεννηματος της αμπελου, ἑως της ἡμερας εκεινης, ὁταν αυτο πινω καινον εν τῃ βασιλειᾳ του Θεου.

Conf. Act. x. 41. *Joel.* iii. 18. *Amos.* ix. 13. *Zach.* ix. 17.

26 Και ὑμνησαντες εξηλθον εις το ορος των ελαιων.

Conf. Matt. xxvi. 30. *Luc.* xxii. 39. *Joan.* xviii. 1. *Ps.* xlvi. 6, 7.

27 Και λεγει αυτοις ὁ Ιησους, Ὁτι παντες σκανδαλισθησεσθε εν εμοι εν τῃ νυκτι ταυτῃ· ὁτι γεγραπται, Παταξω τον ποιμενα, και διασκορπισθησεται τα προβατα.

Zach. xiii. 7. *Conf. Matt.* xi. 6. xxvi. 31. 36. *Luc.* xxii. 31. *Joan.* xvi. 32. *Esa.* viii. 14, 15. *Ps.* xxxvii. 11. *CITAT.* 65.

28 Αλλα μετα το εγερθηναι με, προαξω ὑμας εις την Γαλιλαιαν.

29 Ὁ δε Πετρος εφη αυτῳ, Και ει παντες σκανδαλισθησονται, αλλ᾿ ουκ εγω.

μη καυχασθω ὁ κυρτος ὡς ὁ ορθος. 3 *Reg.* xx. 11.

30 Και λεγει αυτῳ ὁ Ιησους, Αμην λεγω σοι, Ὁτι σημερον εν τῃ νυκτι ταυτῃ, πριν η δις αλεκτορα φωνησαι, τρις απαρνησῃ με.

Conf. Matt. xxvi. 34, 35. *Luc.* xxii. 34. σημερον. *Gen.* i. 5, 8.

31 Ὁ δε εκ περισσου ελεγε, Μαλλον εαν με δεῃ συναποθανειν σοι, ου μη σε απαρνησομαι. Ὡσαυτως δε και παντες ελεγον.

[εκ περισσου. *Test. XII Patr. p.* 711.] συναποθανετω σοι. *Sir.* xix. 10.

32 Και ερχονται εις χωριον, οὑ το ονομα Γεθσημανη· και λεγει τοις μαθηταις αὑτου, Καθισατε ὡδε, ἑως προσευξωμαι.

οὑ το ονομα. Conf. Dan. ii. 11. *Matt. xxvi.* 36. *Luc. xxii.* 40. *Joan. xviii.* 1. *Ps. xxxviii.* 11. *lxix.* 1-3. *xvii.* 5, 6. *xxi.* 1. 12.

33 Και *παραλαμβανει τον* Πετρον *και τον* Ιακωβον *και* Ιωαννην *μεθ' ἑαυτου.* Και *ηρξατο εκθαμβεισθαι και αδημονειν.*

αδημονειν. Ps. cxvi. 11. *Sym. Conf. Matt. xxvi.* 37.

34 Και *λεγει αυτοις,* Περιλυπος *εστιν ἡ ψυχη μου ἑως θανατου· μεινατε ὡδε και γρηγορειτε.*

Conf. Matt. xxvi. 38. *Luc. xxii.* 44. *Joan. xii.* 27. *σφοδρα λελυπημαι εγω ἑως θανατου. Jon. iv.* 9. *Conf. Esa. liii.* 4. *περιλυπος— ἡ ψυχη μου. Ps. xli.* 11. *xlii.* 5.

35 Και *προελθων μικρον, επεσεν επι της γης, και προσηυχετο, ἱνα ει δυνατον εστι, παρελθῃ απ' αυτου ἡ ὡρα·*

Conf. Luc. xxii. 41. *Heb. v.* 7, 8. *Matt. xxvi.* 39. *Phil. ii.* 8.

36 Και *ελεγεν,* Αββα *ὁ πατηρ, παντα δυνατα σοι. παρενεγκε το ποτηριον απ' εμου τουτο· αλλ' ου τι εγω θελω, αλλα τι συ.*

ελεησον με ὁ Θεος. Ps. l. 1. [*Nom. pro Voc.*] *Conf. Gen. xviii.* 14. *Matt. xxvi.* 42. *Luc. xxii.* 42. *Joan. vi.* 38. *Rom. viii.* 15. *Gal. iv.* 6. *οιδα ὁτι παντα δυνασαι, αδυνατει δε σοι ουδεν. Job. xlii.* 2. *του ποιησαι το θελημα σου ὁ Θεος μου ηβουληθην. Ps. xxxix.* 8.

37 Και *ερχεται και εὑρισκει αυτους καθευδοντας, και λεγει τῳ* Πετρῳ, Σιμων, *καθευδεις; ουκ ισχυσας μιαν ὡραν γρηγορησαι;*

Conf. Matt. xxvi. 40. *Luc. xxii.* 45. 2 *Reg. xvi.* 17. *Jon. i.* 6. *Jer. xii.* 5. *και—και. Conf.* 1 *Reg. xv.* 3-10.

38 Γρηγορειτε *και προσευχεσθε, ἱνα μη εισελθητε εις πειρασμον. το μεν πνευμα προθυμον, ἡ δε σαρξ ασθενης.*

εγω καθευδω, και ἡ καρδια μου αγρυπνει. Cant. v. 2.

39 Και *παλιν απελθων προσηυξατο, τον αυτον λογον ειπων.*

40 Και *ὑποστρεψας εὑρεν αυτους παλιν καθευδοντας· ησαν γαρ οἱ οφθαλμοι αυτων βεβαρημενοι, και ουκ ῃδεισαν τι αυτῳ αποκριθωσι.*

Conf. Matt. xxvi. 43. *Luc. xxii.* 45. *ουκ ῃδεισαν. Deut. viii.* 16. *Conf. Gen. xliv.* 16. *Rom. iii.* 19. *Job. xlii.* 4.

41 Και *ερχεται το τριτον, και λεγει αυτοις,* Καθευδετε *το λοιπον και αναπαυεσθε; απεχει, ηλθεν ἡ ὡρα· ιδου, παραδιδοται ὁ υἱος του ανθρωπου εις τας χειρας των ἁμαρτωλων.*

τριτον. Num. xxii. 28. *Jud. xvi.* 16. *Conf. Matt. xxvi.* 45. *απεχει.*

εχετω ὑμιν, κ. τ. λ. *Num. xvi.* 3. κακωσις ὡρας επιλησμονην ποιει τρυφης, και εν συντελειᾳ ανθρωπου αποκαλυψις εργων αυτου. *Sir. xi.* 27. *Conf. Ezech. xx.* 39. *Eccles. xi.* 9.

42 Εγειρεσθε, αγωμεν· ιδου, ὁ παραδιδους με ηγγικε.

43 Και ευθεως, ετι αυτου λαλουντος, παραγινεται Ιουδας, εἱς ων των δωδεκα, και μετ᾽ αυτου οχλος πολυς μετα μαχαιρων και ξυλων, παρα των Αρχιερεων και των Γραμματεων και των Πρεσβυτερων.

Conf. Matt. xxvi. 47. *Luc. xxii.* 47. *Joan. xviii.* 3. *Act. i.* 16. οἱ παρα του βασιλεως. 1 *Mac. ii.* 15. *Conf. Ps. ii.* 1, 2.

44 Δεδωκει δε ὁ παραδιδους αυτον συσσημον αυτοις, λεγων, Ὁν αν φιλησω, αυτος εστι· κρατησατε αυτον, και απαγαγετε ασφαλως.

δεδωκει. 2 *Reg. xviii.* 11. εξαρατε συσσημον εις τα εθνη. *Esa. lxii.* 10. *Jud. xx.* 40. θες ασφαλως. *Tob. vi.* 4.

45 Και ελθων, ευθεως προσελθων αυτῳ λεγει, Ῥαββι, ῥαββι· και κατεφιλησεν αυτον·

Conf. 2 *Reg. xx.* 9. *Ps. liv.* 20. *Prov. xxvii.* 6. *Conf. Matt. xxvi.* 49.

46 Οἱ δε επεβαλον επ᾽ αυτον τας χειρας αὑτων, και εκρατησαν αυτον.

Conf. Matt. xxvi. 50. *Luc. xxii.* 49.

47 Εἱς δε τις των παρεστηκοτων σπασαμενος την μαχαιραν, επαισε τον δουλον του Αρχιερεως, και αφειλεν αυτου το ωτιον.

εἱς τις. *Conf. Dan. ii.* 31. *Esd. iv.* 8. *Gen. xxi.* 15.

48 Και αποκριθεις ὁ Ιησους ειπεν αυτοις, Ὡς επι λῃστην εξηλθετε μετα μαχαιρων και ξυλων συλλαβειν με;

Conf. 1 *Reg. xxiv.* 14. *xxvi.* 18. *Luc. xxii.* 50. *Joan. xxviii.* 10.

49 Καθ᾽ ἡμεραν ημην προς ὑμας εν τῳ ἱερῳ διδασκων, και ουκ εκρατησατε με· αλλ᾽ ἱνα πληρωθωσιν αἱ γραφαι.

ημην διδασκων = ποιμαινων ην. 1 *Reg. xvii.* 34. *Conf. Ps. xxii. et lxviii. pass. Esa. liii.* 12. *Matt. xxvi.* 56. *Luc. xxiv.* 25. [ην, Αττικως· ημην, Ἑλληνικως. *Mœris.*]

50 Και αφεντες αυτον παντες εφυγον.

Conf. Job. xix. 13. *Ps. lxxxvii.* 8. *Matt. xxvi.* 56.

51 Και εἱς τις νεανισκος ηκολουθει αυτῳ, περιβεβλημενος σινδονα επι γυμνου· και κρατουσιν αυτον οἱ νεανισκοι·

νεανισκοι. *Vide Gen. xiv.* 24. *Conf. Gen. xxxix.* 12. εἱς τις = εικων μια. *Dan. ii.* 31. επιστολη μια. *Esd. iv.* 8.

52 Ὁ δε καταλιπων την σινδονα γυμνος εφυγεν απ᾽ αυτων.

ὁ δε καταλιπων τα ἱματια αυτου—εφυγε. *Gen. xxxix.* 12-15. [γυμνος, *leviter vestitus, Ita de Jos.* γυμνος εφυγον. *Test. XII Patr. p.* 709. *i. e. pallio relicto.*] [σινδων. *Conf. Fisch. p.* 75.]

53 Και απηγαγον τον Ιησουν προς τον Αρχιερεα· και συνερχονται αυτῳ παντες οἱ Αρχιερεις και οἱ Πρεσβυτεροι και οἱ Γραμματεις.

Conf. Matt. xxvi. 57. *Luc. xxii.* 54. *Joan. xviii.* 12, 14. *Esa. liii.* 7.

54 Και ὁ Πετρος απο μακροθεν ηκολουθησεν αυτῳ ἑως εσω εις την αυλην του Αρχιερεως· και ην συγκαθημενος μετα των ὑπηρετων, και θερμαινομενος προς το φως.

Conf. Matt. xxvi. 58. τῳ φωτι του πυρος ὑμων. *Esa. l.* 11. ου συγκαταθησῃ μετα του αδικου. *Exod. xxiii.* 1. *Susan.* 20. φωτα καιομενα. 1 *Mac. xii.* 28, 29. *Vide Keuchen. p.* 170. *Luc. xxii.* 55.

55 Οἱ δε Αρχιερεις και ὁλον το συνεδριον εζητουν κατα του Ιησου μαρτυριαν, εις το θανατωσαι αυτον· και ουχ εὑρισκον.

Conf. Ps. ii. 2. *xxi.* 12. *Act. vi.* 13. αναστα̣ντες μαρτυρες αδικοι, ἁ ουκ εγινωσκον, επηρωτων με. *Ps. xxxiv.* 11.

56 Πολλοι γαρ εψευδομαρτυρουν κατ᾽ αυτου, και ισαι αἱ μαρτυριαι ουκ ησαν.

Conf. Matt. xxvi. 60. ισαι. *Conf. Sap. vii.* 6. 2 *Mac. ix.* 15.

57 Και τινες αναστα̣ντες εψευδομαρτυρουν κατ᾽ αυτου, λεγοντες,

58 Ὁτι ἡμεις ηκουσαμεν αυτου λεγοντος, Ὁτι εγω καταλυσω τον ναον τουτον τον χειροποιητον, και δια τριων ἡμερων αλλον αχειροποιητον οικοδομησω.

ειδωλα χειροποιητα. *Draco.* 5. *Conf. Esa. xvi.* 12. *Lev. xxvi.* 30. *Matt. xxvi.* 61. *Joan. ii.* 19. *Dan. ii.* 45.

59 Και ουδε οὑτως ιση ην ἡ μαρτυρια αυτων.

60 Και αναστας ὁ Αρχιερευς εις το μεσον, επηρωτησε τον Ιησουν, λεγων, Ουκ αποκρινῃ ουδεν; τι οὑτοι σου καταμαρτυρουσιν;

Conf. Matt. xxvi. 62. ουκ εστιν ουθεις. 3 *Reg. iii.* 18.

61 Ὁ δε εσιωπα, και ουδεν απεκρινατο. παλιν ὁ Αρχιερευς

επηρωτα αυτον, και λεγει αυτῳ, Συ ει ὁ Χριστος, ὁ υἱος του ευλογητου;

και εσιωπησαν, και ουδεις απεκριθη αυτῳ λογον. *Esa. xxxvi.* 21. *Ps. xxxviii.* 1, 2. ευλογητος Κυριος ὁ Θεος Ισραηλ. 1 *Reg. xxv.* 32. *Conf. Esa. liii.* 7. *Act. viii.* 32. *Heb. i.* 5. ευλογητος Κυριος, κ.τ.λ. *Exod. xviii.* 10. 1 *Reg. xxv.* 32. και ποιων ελεος τῳ χριστῳ αυτου, τῳ Δαυιδ, και τῳ σπερματι αυτου, ἑως αιωνος. *Ps. xvii.* 50.

62 Ὁ δε Ιησους ειπεν, Εγω ειμι. και οψεσθε τον υἱον του ανθρωπου καθημενον εκ δεξιων της δυναμεως, και ερχομενον μετα των νεφελων του ουρανου.

Conf. Matt. xxvi. 64. *Luc. xxi.* 27. *Ps. cix.* 1. *Joan. vi.* 62. *Act. i.* 11. *Dan. vii.* 13, 14. *Esa. ix.* 6. 7.

63 Ὁ δε Αρχιερευς διαρρῆξας τους χιτωνας αὑτου, λεγει, Τι ετι χρειαν εχομεν μαρτυρων;

Conf. Esa. xxxvi. 22. *Jer. xxvi.* 23. και λαβων τας στολας, ενδυσεις Ααρων τον αδελφον σου, και τον χιτωνα, κ.τ.λ. *Exod. xxix.* 5. 2 *Mac. iv.* 38. *Conf. Matt. xxvi.* 65.

64 Ηκουσατε της βλασφημιας· τι ὑμιν φαινεται; οἱ δε παντες κατεκριναν αυτον ειναι ενοχον θανατου.

Conf. Matt. xxvi. 66. *Lev. xxiv.* 16. 3 *Reg. xx.* 9-13.

65 Και ηρξαντο τινες εμπτυειν αυτῳ, και περικαλυπτειν το προσωπον αυτου, και κολαφιζειν αυτον, και λεγειν αυτῳ, Προφητευσον· και οἱ ὑπηρεται ῥαπισμασιν αυτον εβαλλον.

Conf. Job. xvi. 10, 11. τον νωτον μου εδωκα εις μαστιγας, κ.τ.λ. *Esa. l.* 6. *Matt. xxvi.* 67. *Joan. xix.* 3. βαλλειν βελεσι και λιθοις. 2 *Par. xxvi.* 15. *Est. vii.* 8. *Conf.* 3 *Reg. xxii.* 24.

66 Και οντος του Πετρου εν τῃ αυλῃ κατω, ερχεται μια των παιδισκων του Αρχιερεως,

μια των παιδισκων σου. *Ruth. ii.* 13. *Tob. viii.* 12. *Conf. Matt. xxvi.* 69. *Luc. xxii.* 55. *Joan. xviii.* 16, 17. *Ps. lxviii.* 8-12.

67 Και ιδουσα τον Πετρον θερμαινομενον, εμβλεψασα αυτῳ λεγει, Και συ μετα του Ναζαρηνου Ιησου ησθα.

68 Ὁ δε ηρνησατο λεγων, Ουκ οιδα, ουδε επισταμαι τι συ λεγεις. Και εξηλθεν εξω εις το προαυλιον· και αλεκτωρ εφωνησε.

69 Και ἡ παιδισκη ιδουσα αυτον παλιν, ηρξατο λεγειν τοις παρεστηκοσιν, Ὁτι οὑτος εξ αυτων εστιν.

Conf. Matt. xxvi. 71. *Luc. xxii.* 58. *Joan. xviii.* 25.

70 Ὁ δε παλιν ηρνειτο. Και μετα μικρον παλιν οἱ παρεστω-
τες ελεγον τῳ Πετρῳ, Αληθως εξ αυτων ει· και γαρ Γαλιλαιος
ει, και ἡ λαλια σου ὁμοιαζει.

φανερα εσται ἡ Γαλιλαια και ὁ Καρμηλος. *Esa. xxxiii.* 9. *Alex.*

71 Ὁ δε ηρξατο αναθεματιζειν και ομνυειν, Ὁτι ουκ οιδα τον
ανθρωπον τουτον, ὁν λεγετε.

αναθεματιζειν (ἑαυτον). = μεταβαλλει (ἑαυτον) καιρος. *Sir. xviii.* 26. *Exod. vii.* 17. *Matt. xxvi.* 74. *Luc. xxii.* 60. *Joan. xviii.* 27.

72 Και εκ δευτερου αλεκτωρ εφωνησε. και ανεμνησθη ὁ Πετρος
του ῥηματος, οὑ ειπεν αυτῳ ὁ Ιησους, Ὁτι πριν αλεκτορα φω-
νησαι δις, απαρνησῃ με τρις. και επιβαλων εκλαιε.

εκ δευτερου. *Jos. v.* 2. *Jer. i.* 13. ὁτι. = *Gen. xxix.* 33. *Jos. ii.* 24. την ἁμαρτιαν μου αναμιμνησκω σημερον. *Gen. xli.* 9. 4 *Reg. xviii.* 18. επιβαλων *i. e.* τον εσθητα. (*tegens se*). *Vide Keuchen in loc. Conf. Matt. xxvi.* 34. 75. *Luc. xxii.* 61. *Joan. xiii.* 38. *xviii.* 27. ὁπως μνησθῃς, και αισχυνθῃς, και μη ῃ σοι ετι ανοιξαι το στομα σου απο προσωπου της ατιμιας σου, κ. τ. λ. *Ezech. xvi.* 63. επιβαλων. 1 *Mac. iv.* 2. 2 *Mac. xii.* 9. *xiii.* 15. *Conf. Est. vi.* 12. 2 *Par. xxvi.* 20.

ΚΕΦ. ιε. 15.

ΚΑΙ ευθεως επι το πρωϊ συμβουλιον ποιησαντες οἱ Αρχιε-
ρεις μετα των Πρεσβυτερων και Γραμματεων, και ὁλον
το συνεδριον, δησαντες τον Ιησουν απηνεγκαν και παρεδωκαν
τῳ Πιλατῳ.

μετα μωρου μη συμβουλευου. *Sir. viii.* 17. εις το πρωϊ. *Exod. xvi.* 17. εν τῳ πρωϊ. *Eccles. xi.* 6. *Tob. iv.* 18. *Conf. Matt. xxvii.* 1. *Luc. xxii.* 66. *xxiii.* 1. *Joan. xviii.* 28. *Ps. ii.* 2.

2 Και επηρωτησεν αυτον ὁ Πιλατος, Συ ει ὁ βασιλευς των
Ιουδαιων; Ὁ δε αποκριθεις ειπεν αυτῳ, Συ λεγεις.

ὁ βασιλευς Ισραηλ. *Esa. xliv.* 6. *Zach. ix.* 9. *Conf. Matt. xxvii.* 2, 11. *Luc. xxiii.* 3. ὑμεις λεγετε ὁτι εγω ειμι. *xxii.* 70.

3 Και κατηγορουν αυτου οἱ Αρχιερεις πολλα·

και αυτος δια το κεκακωσθαι ουκ ανοιγει το στομα αυτου κ. τ. λ. *Esa. liii.* 7. κατηγορησεν αυτον πονηρα. 1 *Mac. vii.* 26.

4 Ὁ δε Πιλατος παλιν επηρωτησεν αυτον, λεγων, Ουκ αποκρινῃ ουδεν; ιδε, ποσα σου καταμαρτυρουσιν.

Conf. Matt. xxvii. 13, 14. *Joan. xix.* 10. *Ps. xxvi.* 12. *xxxiv.* 11.

5 Ὁ δε Ιησους ουκετι ουδεν απεκριθη, ὡστε θαυμαζειν τον Πιλατον.

αναστεαντες μαρτυρες αδικοι, ἁ ουκ εγινωσκον, επηρωτων με. *Ps. xxxiv.* 11. ουκ ετελευτησεν ουδεν. *Exod. ix.* 6.

5-7.] *Conf. Matt. xxvii.* 12-16. *Joan. xviii.* 39, 40. *Luc. xxiii.* 13-17.

6 Κατα δε ἑορτην απελυεν αυτοις ἑνα δεσμιον, ὁνπερ ῃτουντο.

7 Ην δε ὁ λεγομενος Βαραββας μετα των συστασιαστων δεδεμενος, οἱτινες εν τῃ στασει φονον πεποιηκεισαν.

ου ποιησεις φονον εν τῃ οικιᾳ σου. *Deut. xxii.* 8. οἱτινες. *Deut. v.* 26. *Jon. iv.* 11. [κατα Αριστοβουλου και των συστασιαστων αυτου. *Jos. Ant. xiv.* 2. 1.] ὁ λεγομενος. 1 *Esd. viii.* 41.

8 Και αναβοησας ὁ οχλος ηρξατο αιτεισθαι, καθως αει εποιει αυτοις.

9 Ὁ δε Πιλατος απεκριθη αυτοις λεγων, Θελετε απολυσω ὑμιν τον βασιλεα των Ιουδαιων;

10 Εγινωσκε γαρ ὁτι δια φθονον παραδεδωκεισαν αυτον οἱ Αρχιερεις.

11 Οἱ δε Αρχιερεις ανεσεισαν τον οχλον, ἱνα μαλλον τον Βαραββαν απολυσῃ αυτοις.

σεισω πολεις κατοικουμενας. *Esa. x.* 14. *Conf. Matt. xxvii.* 20. *Luc. xxiii.* 18. *Joan. xviii.* 40. *Act. iii.* 14. και ανεσεισας με επ' αυτῳ. *Job. ii.* 3. *Aq. Conf. Gen. xxxvii.* 11. *Ose. v.* 1.

12 Ὁ δε Πιλατος αποκριθεις παλιν ειπεν αυτοις, Τι ουν θελετε ποιησω ὁν λεγετε βασιλεα των Ιουδαιων;

13 Οἱ δε παλιν εκραξαν, Σταυρωσον αυτον.

Conf. Matt. xxvii. 22. *Ps. ii.* 2. *xxi.* 12, 13. *Esa. liii.* 8.

14 Ὁ δε Πιλατος ελεγεν αυτοις, Τι γαρ κακον εποιησεν; Οἱ δε περισσοτερως εκραξαν, Σταυρωσον αυτον.

15 Ὁ δε Πιλατος βουλομενος τῳ οχλῳ το ἱκανον ποιησαι, απελυσεν αυτοις τον Βαραββαν· και παρεδωκε τον Ιησουν, φραγελλωσας, ἱνα σταυρωθῃ.

ουχι το ἱκανον αυτῳ ουχ οὑτως εποιησε; *Jer. xxxi.* 30. *Prov. xxv.*

16. *Obd.* 5. *Matt. xxvii.* 24-26. απελυσε. 1 *Mac. x.* 29. [φραγελλωσας με. *Test. XII Patr. p.* 728.]

16 Οἱ δε στρατιωται απηγαγον αυτον εσω της αυλης, ὁ εστι
πραιτωριον, και συγκαλουσιν ὁλην την σπειραν,

τοτε συνεκαλεσεν Ιησους τους υἱους Ῥουβην. *Jos. xxii.* 1. *Conf. Matt. xxvii.* 27. *Esa. liii.* 12.

17 Και ενδυουσιν αυτον πορφυραν, και περιτιθεασιν αυτῳ
πλεξαντες ακανθινον στεφανον,

18 Και ηρξαντο ασπαζεσθαι αυτον, Χαιρε, βασιλευ των Ιουδαιων.

19 Και ετυπτον αυτου την κεφαλην καλαμῳ, και ενεπτυον αυτῳ, και τιθεντες τα γονατα προσεκυνουν αυτῳ.

Conf. Matt. xxvi. 67. *xxvii.* 29. *Esa. l.* 6. καμπτειν επι τα γονατα. 4 *Reg. ix.* 24. κλινειν επι τα γονατα. *Esd. ix.* 5.

20 Και ὁτε ενεπαιξαν αυτῳ, εξεδυσαν αυτον την πορφυραν,
και ενεδυσαν αυτον τα ἱματια τα ιδια· και εξαγουσιν αυτον,
ἱνα σταυρωσωσιν αυτον.

και ενεδυσαν τον Δανιηλ πορφυραν. *Dan. v.* 29. στεφανον αγαλλιαματος περιθησεις αυτῳ. *Sir. vi.* 33. *Alex. Conf. Matt. xxvii.* 31. ενδυσονται ἱματια ἑτερα. *Conf. Lev. vi.* 11. *xvi.* 23, 24.

21 Και αγγαρευουσι παραγοντα τινα Σιμωνα Κυρηναιον, ερχομενον απ᾽ αγρου, τον πατερα Αλεξανδρου και Ῥουφου, ἱνα αρῃ τον σταυρον αυτου.

22 Και φερουσιν αυτον επι Γολγοθα τοπον, ὁ εστι μεθερμηνευομενον, κρανιου τοπος.

21-22.] *Conf. Matt. xxvii.* 32, 33. *Luc. xxiii.* 26-33.

23 Και εδιδουν αυτῳ πιειν εσμυρνισμενον οινον· ὁ δε ουκ ελαβε.

οινον και μεθυσμα ου πεπωκα. 1 *Reg. i.* 15. [εσμυρνισμενον· χρισματα εχον σμυρνης. *Hesych.*]

24 Και σταυρωσαντες αυτον, διεμεριζον τα ἱματια αυτου,
βαλλοντες κληρον επ᾽ αυτα, τις τι αρῃ.

Conf. Matt. xxvii. 35. *Luc. xxiii.* 34. *Joan. xix.* 24. *Ps. xxi.* 18.

25 Ην δε ὡρα τριτη, και εσταυρωσαν αυτον.

Conf. Matt. xxvii. 45. *Luc. xxiii.* 44. ἡμεραι ερχονται, και (*quibus*) αποστελω. *Jer. xxxi.* 12. *xlix.* 2.

26 Και ην ἡ επιγραφη της αιτιας αυτου επιγεγραμμενη, Ο ΒΑΣΙΛΕΥΣ ΤΩΝ ΙΟΥΔΑΙΩΝ.

Matt. xxvii. 37. *Luc. xxiii.* 38. *Ps. ii.* 6. *Ose. iii.* 5.

27 Και συν αυτῳ σταυρουσι δυο λῃστας, ἑνα εκ δεξιων και ἑνα εξ ευωνυμων αυτου.

Conf. Matt. xxvii. 38. *Luc. xxiii.* 32. *Joan. xix.* 18.

28 Και επληρωθη ἡ γραφη ἡ λεγουσα, Και μετα ανομων ελογισθη.

του πληρωθηναι λογον Κυριου. 2 *Par. xxxv.* 21. κατα την γραφην βιβλου Μωυση. *Esd. vi.* 18. [εν γραφῃ ἁγιᾳ Ενωχ. *Test. XII Patr. p.* 667.] εν τοις ανομοις ελογισθη. *Esa. liii.* 12. περικαθαρμα δε δικαιου ανομος. *Prov. xxi.* 18. εξιλασμα. *Aq. Sym. Theod.* και αντι ευθεων παρανομος. *Comp. et Francof. Luc. xxii.* 37. *CITAT.* 66.

29 Και οἱ παραπορευομενοι εβλασφημουν αυτον, κινουντες τας κεφαλας αὑτων, και λεγοντες, Ουα, ὁ καταλυων τον ναον, και εν τρισιν ἡμεραις οικοδομων·

παντες οἱ θεωρουντες με εξεμυκτηρισαν με, ελαλησαν εν χειλεσιν, εκινησαν κεφαλην, Ηλπισεν επι Κυριον, ῥυσασθω αυτον, σωσατω αυτον, ὁτι θελει αυτον. *Ps. xxi.* 7, 8. *lxviii.* 20. *cviii.* 25. *Matt. xxvii.* 39. *Luc. xxiii.* 35. *Joan. ii.* 19. [Ουα· *Heb.* האח *vah!*]

30 Σωσον σεαυτον, και καταβα απο του σταυρου.

31 Ὁμοιως δε και οἱ Αρχιερεις εμπαιζοντες προς αλληλους μετα των Γραμματεων ελεγον, Αλλους εσωσεν, ἑαυτον ου δυναται σωσαι.

Conf. Sap. ii. 17. *Matt. xxvii.* 40. *Luc. iv.* 23.

32 Ὁ Χριστος ὁ βασιλευς του Ισραηλ καταβατω νυν απο του σταυρου, ἱνα ιδωμεν και πιστευσωμεν. Και οἱ συνεσταυρωμενοι αυτῳ ωνειδιζον αυτον.

και Κυριος ὁ Θεος ἡμων βασιλευς ἡμων. 1 *Reg. xii.* 12. ἑως Χριστου ἡγουμενου. *Dan. ix.* 25. *Conf. Esa. xliv.* 6. *Sophon. iii.* 15. *Matt. xxvii.* 44. *Luc. xxiii.* 39-43.

33 Γενομενης δε ὡρας ἑκτης, σκοτος εγενετο εφ' ὁλην την γην, ἑως ὡρας εννατης·

Conf. Matt. xxvii. 45. *Luc. xxiii.* 44.

34 Και τῃ ὡρᾳ τῃ εννατῃ εβοησεν ὁ Ιησους φωνῃ μεγαλῃ, λεγων, Ελωϊ, Ελωϊ, λαμμα σαβαχθανι; ὁ εστι μεθερμηνευομενον, Ὁ Θεος μου, ὁ Θεος μου, εις τι με εγκατελιπες;

Ps. xxi. 1. *Conf. Matt. xxvii.* 46. *Joan. xix.* 28.

35 Και τινες των παρεστηκοτων ακουσαντες, ελεγον, Ἰδου, Ηλιαν φωνει.

Conf. Matt. xvii. 47. *Sir. xlviii.* 1. *Mal. iv.* 5.

36 Δραμων δε εἱς, και γεμισας σπογγον οξους, περιθεις τε καλαμῳ, εποτιζεν αυτον, λεγων, Αφετε, ιδωμεν ει ερχεται Ηλιας καθελειν αυτον.

και εδωκαν εις το βρωμα μου χολην κ. τ. λ. *Ps. lxviii.* 21. *Conf. Joan. xix.* 29. *Matt. xxvii.* 48.

37 Ὁ δε Ιησους αφεις φωνην μεγαλην, εξεπνευσε.

αφηκε φωνην μετα κλαυθμου. *Gen. xlv.* 2. *Conf. Matt. xxvii.* 50. *Luc. xxiii.* 46. *Joan. xix.* 30. [πεφυκεν εξ αυτων φωνην αφιεναι, καν ἡσυχαζηται τα ὁσια τε οντως αγαθα. *Philo. de Abel et Cain.* 134. *Conf. Loesner.*]

38 Και το καταπετασμα του ναου εσχισθη εις δυο, απο ανωθεν ἑως κατω.

Conf. Matt. xxvii. 51. *Luc. xxiii.* 45.

39 Ιδων δε ὁ κεντυριων ὁ παρεστηκως εξ εναντιας αυτου, ὁτι οὑτω κραξας εξεπνευσεν, ειπεν, Αληθως ὁ ανθρωπος οὑτος υἱος ην Θεου.

εξ εναντιας. *Exod. xxviii.* 25. *Jud. xx.* 34. *Matt. xxvii.* 54.

40 Ησαν δε και γυναικες απο μακροθεν θεωρουσαι, εν αἱς ην και Μαρια ἡ Μαγδαληνη, και Μαρια ἡ του Ιακωβου του μικρου και Ιωση μητηρ, και Σαλωμη,

αδελφῳ Ιαφεθ του μειζονος. *Gen. x.* 21. *Conf. Matt. xxvii.* 55. *Luc. xxiii.* 49. και οἱ εγγιστα μου μακροθεν εστησαν. *Ps. xxxvii.* 11.

41 Αἱ και ὁτε ην εν τῃ Γαλιλαιᾳ, ηκολουθουν αυτῳ, και διηκονουν αυτῳ, και αλλαι πολλαι αἱ συναναβασαι αυτῳ εις Ἱεροσολυμα.

και επιμικτος πολυς συνανεβη αυτοις. *Exod. xii.* 38. *Conf. Matt. xxvii.* 55. *Luc. viii.* 2, 3.

42 Και ηδη οψιας γενομενης, (επει ην παρασκευη, ὁ εστι προσαββατον,)

ενηστευε—χωρις προσαββατων. *Judith. viii.* 6. *Conf.* 1 *Esd. i.* 16. *Matt. xxvii.* 57. *Luc. xxiii.* 50. *Joan. xix.* 38.

43 Ηλθεν Ιωσηφ ὁ απο Αριμαθαιας, ευσχημων βουλευτης, ὁς

και αυτος ην προσδεχομενος την βασιλειαν του Θεου· τολμησας εισηλθε προς Πιλατον, και ῃτησατο το σωμα του Ιησου.

ην προσδεχομενος. = *Gen.* i. 6. *Exod.* vii. 15. προσεδεχομην τον σωζοντα με. *Ps.* liv. 8. *Conf. Matt.* xxvii. 57. προσδεχομενος την ελπιδα της σωτηριας. *Job.* ii. 9. ελθουσα προς τον Κυριον. *Judith.* xii. 13. *cap.* xv. 9. *Act.* xvi. 40. οὑτος Κυριος, ὑπεμειναμεν αυτῳ. *Esa.* xxv. 9. *Sap.* iii. 9. [εξ ανδρων ευσχημονων. *Jos. Vit.* 9.] ετολμησαν οἱ δουλοι καταβαινειν εφ' ἡμας. *Judith.* xiv. 13. 2 *Mac.* iv. 2. *Conf. Esa.* liii. 9. *Prov.* xi. 25.

44 Ὁ δε Πιλατος εθαυμασεν ει ηδη τεθνηκε· και προσκαλεσαμενος τον κεντυριωνα, επηρωτησεν αυτον ει παλαι απεθανε·

[θαυμασῃ δε μηδεις οἱ τοσουτος ην πλουτος εν τῳ ἡμετερῳ ἱερῳ. *Jos. Ant.* xiv. 7. 2. *Conf. Krebs. p.* 95.] ει. *Conf. Gen.* xlv. 28.

45 Και γνους απο του κεντυριωνος, εδωρησατο το σωμα τῳ Ιωσηφ.

Αρταξερξης εδωρησατο Εσθηρ. *Est.* viii. 1. δεδωρηται ὁ Θεος μοι δωρον καλον εν τῳ νυν καιρῳ. *Gen.* xxx. 20. *Conf. Matt.* xxvii. 58.

46 Και αγορασας σινδονα, και καθελων αυτον, ενειλησε τῃ σινδονι. και κατεθηκεν αυτον εν μνημειῳ, ὁ ην λελατομημενον εκ πετρας· και προσεκυλισε λιθον επι την θυραν του μνημειου.

κατεθηκε την ῥομφαιαν εις τον κολεον αυτης. 1 *Par.* xxi. 27. κυλισατε λιθους μεγαλους επι το στομα του σπηλαιου. *Jos.* x. 18. *Ox. Ald. Comp.* και εγενηθη προς ἡλιου δυσμας ενετειλατο Ιησους, και καθειλον αυτους απο των ξυλων. *Jos.* x. 27. viii. 29. και αὑτη ενειλημενη ην εν ἱματιῳ. 1 *Reg.* xxi. 9. *Conf. Matt.* xii. 40. xxvi. 12. xxvii. 60. *Luc.* xxiii. 53. *Joan.* xix. 41, 42. σινδονας εποιησε κ. τ. λ. *Prov.* xxxi. 34. [μνημα λευκης πετρας, *monumentum ex albo lapide constructum. Jos. Ant.* xvi. 7. 1. *Krebs.*] *Conf. Esa.* xxii. 16. liii. 9.

47 Ἡ δε Μαρια ἡ Μαγδαληνη και Μαρια Ιωση εθεωρουν που τιθεται.

αυτοι ιδοντες οὑτως εθαυμασαν, εταραχθησαν, εσαλευθησαν, κ.τ.λ. *Ps.* xlvii. 5, 6. εθεωρουν. *Dan.* v. 5. vii. 21. *Conf. Matt.* xxvii. 61. *Luc.* xxiii. 55.

ΚΕΦ. ιϛ. 16.

ΚΑΙ διαγενομενου του σαββατου, Μαρια ἡ Μαγδαληνη
και Μαρια ἡ του Ιακωβου και Σαλωμη ηγορασαν αρω-
ματα, ἱνα ελθουσαι αλειψωσιν αυτον.

Conf. Matt. xxviii. 1. *Luc. xxiv.* 1. *Joan. xx.* 1. αρωματα. 4 *Reg. xx.* 13. 2 *Par. ix.* 9. *Gen. l.* 2. [αρωμα· θυμιαμα, το μυρισμα και ευωδιασμα. *Phav.*] εν δολῳ, *dolosè. Ps. lxxxiii.* 11. πορευομενος εν ακακιᾳ. *Judith. i.* 11. εν ατιμιᾳ. *Sap. xviii.* 9. εν ὁμονοιᾳ, *unanimiter. Conf.* 2 *Par. xvi.* 14. *Joan. xix.* 40.

2 Και λιαν πρωϊ της μιας σαββατων ερχονται επι το μνημει-
ον, ανατειλαντος του ἡλιου.

ἁμα τῳ ανατειλαι τον ἡλιον. *Jud. ix.* 33. *Conf. Matt. xxviii.* 1. *Luc. xxiv.* 1. *Joan. xx.* 1. [λιαν ψυχρως. *Jos. c. Ap. ii. init.*]

3 Και ελεγον προς ἑαυτας, Τις αποκυλισει ἡμιν τον λιθον εκ
της θυρας του μνημειου;

και αποκυλισουσι τον λιθον απο του στοματος του φρεατος. *Gen. xxix.* 8. [κειμενον αντι θυρας λιθον. *Jos. Ant. x.* 11. 6.]

4 Και αναβλεψασαι θεωρουσιν ὁτι αποκεκυλισται ὁ λιθος· ην
γαρ μεγας σφοδρα.

5 Και εισελθουσαι εις το μνημειον, ειδον νεανισκον καθημενον
εν τοις δεξιοις, περιβεβλημενον στολην λευκην· και εξεθαμβη-
θησαν.

Conf. Matt. xxviii. 2. *Joan. xx.* 12. *Dan. x.* 5.

6 Ὁ δε λεγει αυταις, Μη εκθαμβεισθε. Ιησουν ζητειτε τον
Ναζαρηνον τον εσταυρωμενον· ηγερθη, ουκ εστιν ὡδε· ιδε ὁ το-
πος ὁπου εθηκαν αυτον.

Conf. Matt. xxviii. 5, 7. *Luc. xxiv.* 5. *Sophon. iii.* 8.

7 Αλλ᾽ ὑπαγετε, ειπατε τοις μαθηταις αυτου και τῳ Πετρῳ,
ὁτι προαγει ὑμας εις την Γαλιλαιαν· εκει αυτον οψεσθε, καθως
ειπεν ὑμιν.

Conf. Matt. xxvi. 32. *xxviii.* 10. *Act. i.* 3. *xiii.* 31. 1 *Cor. xv.* 5.

8 Και εξελθουσαι ταχυ εφυγον απο του μνημειου· ειχε δε
αυτας τρομος και εκστασις· και ουδενι ουδεν ειπον, εφοβουντο
γαρ.

φοβος και τρομος ηλθεν επ' εμε. *Ps. liv.* 5. ελαβεν αυτους τρομος. *Exod. xv.* 15. ωδινες αυτους ἑξουσι. *Esa. xiii.* 8. *Job. xviii.* 20. *xxi.* 6. *Conf. Jud. xiii.* 21, 22. *Matt. xxviii.* 8. *Luc. xxiv.* 9. [εκστασιν· φοβον. *Hesych.*] [δεος γαρ αυτους ειχε. *Jos. Ant. ii.* 4.]

9 Αναστας δε πρωϊ πρωτῃ σαββατου εφανη πρωτον Μαριᾳ τῃ Μαγδαληνῃ, αφ' ἡς εκβεβληκει ἑπτα δαιμονια.

και εφανη ὁ Θεος τῳ Βαλααμ. *Num. xxiii.* 4. [ὁ Θεος φανεις (*Nathano*) κατα τους ὑπνους. *Jos. Ant. vii.* 7. 3.] [εφανη γαρ αυτος τριτην εχων ἡμεραν παλιν ζων. *Jos. Ant. xviii.* 3. 3.] [περι των ἑπτα πνευματων της πλανης. *Test. XII Patr.* 521.] *Conf. Luc. viii.* 2.

10 Εκεινη πορευθεισα απηγγειλε τοις μετ' αυτου γενομενοις, πενθουσι και κλαιουσι.

μη πενθειτε μηδε κλαιετε. *Neh. viii.* 9. οἱ μετ' αυτου. *Ezech. xxxviii.* 22. *Conf. Luc. xxiv.* 10, 17. *Joan. xvi.* 6, 20.

11 Κακεινοι ακουσαντες ὁτι ζῃ και εθεαθη ὑπ' αυτης, ηπιστησαν.

εμφανιζεται τοις μη απιστουσιν αυτῳ. *Sap. i.* 2. *Exod. vi.* 9.

12 Μετα δε ταυτα δυσιν εξ αυτων περιπατουσιν εφανερωθη εν ἑτερᾳ μορφῃ, πορευομενοις εις αγρον.

μετα ταυτα. 2 *Par. xxxii.* 9. και εποιησεν αυτο ὡς μορφην ανδρος. *Esa. xliv.* 13. *Conf. Luc. xxiv.* 13, 32. εφανερωθη. *Jer. xl.* 6.

13 Κακεινοι απελθοντες απηγγειλαν τοις λοιποις· ουδε εκεινοις επιστευσαν.

14 Ὑστερον ανακειμενοις αυτοις τοις ἑνδεκα εφανερωθη, και ωνειδισε την απιστιαν αυτων και σκληροκαρδιαν, ὁτι τοις θεασαμενοις αυτον εγηγερμενον ουκ επιστευσαν.

αυτος ανακειται, εσθιει, και πινει. 1 *Esd. iv.* 10. μη ονειδιζε ανθρωπον αποστρεφοντα απο ἁμαρτιας. *Sir. viii.* 5. *Conf. Luc. xxiv.* 25. *Joan. xx.* 19. 1 *Cor. xv.* 5-7. σκληροκαρδιαν. *Matt. xix.* 8.

15 Και ειπεν αυτοις, Πορευθεντες εις τον κοσμον ἁπαντα, κηρυξατε το ευαγγελιον πασῃ τῃ κτισει.

και ὑπερ παν ζωον εν τῃ κτισει Αδαμ. *Sir. xlix.* 16. *Conf. Matt. xxviii.* 19. *Col. i.* 23. *Ps. xxi.* 27. *Esa. xliii.* 9-12. πλατυνον τον τοπον της σκηνης σου—ετι εις τα δεξια και τα αριστερα εκπετασον, κ. τ. λ. *Esa. liv.* 2, 3.

16 Ὁ πιστευσας και βαπτισθεις σωθησεται· ὁ δε απιστησας κατακριθησεται.

και κατεκριναν αυτην αποθανειν. *Susan.* 41. *Sap. iv.* 16. βοηθησον μοι, και σωθησομαι. *Ps. cxviii.* 117. και τον ὁλον κοσμον εν ἑνι νευματι καταβαλειν. 2 *Mac. viii.* 18. ὁ πιστευων ου μη καταισχυνθῃ. *Esa. xxviii.* 16. *Conf. Joan. iii.* 18, 36. *xii.* 48. *Rom. vi.* 4. *Num. xx.* 12. *Ps. lxxvii.* 22. 2 *Par. xx.* 20. *Gen. xv.* 6.

17 Σημεια δε τοις πιστευσασι ταυτα παρακολουθησει· Εν τῳ ονοματι μου δαιμονια εκβαλουσι· γλωσσαις λαλησουσι καιναις·

ἡμεις δε πορευσομεθα εν ονοματι Κυριου. *Mich. iv.* 5. παρακολουθησειν. 2 *Mac. viii.* 11. ου πιστευουσι μοι επι πασι τοις σημειοις. *Num. xiv.* 11. καιναις [ἑτεραις.] *Ita*, ονομα καινον. *Esa. lxv.* 15. *Conf. Luc. x.* 17. *Act. ii.* 4. *v.* 16. *viii.* 7. *xix.* 6.

18 Οφεις αρουσι· καν θανασιμον τι πιωσιν, ου μη αυτους βλαψει· επι αῤῥωστους χειρας επιθησουσι, και καλως ἑξουσιν.

Conf. Act. xxviii. 4. *Luc. x.* 19. *Jac. v.* 14. *Ps. xc.* 13.

19 Ὁ μεν ουν Κυριος, μετα το λαλησαι αυτοις, ανεληφθη εις τον ουρανον, και εκαθισεν εκ δεξιων του Θεου·

καθου εκ δεξιων μου, ἑως αν θω τους εχθρους σου ὑποποδιον των ποδων σου. *Ps. cix.* 1. ανεληφθη Ηλιου—εις τον ουρανον. 4 *Reg. ii.* 11. *Sir. xlviii.* 9. 1 *Mac. ii.* 58. εγενετο δε μετα το λαλησαι τον Κυριον παντα τα ῥηματα ταυτα. *Job. xlii.* 7. *Conf. Luc. xxiv.* 50, 51. *Act. i.* 2, 3, 9.

20 Εκεινοι δε εξελθοντες εκηρυξαν πανταχου, του Κυριου συνεργουντος, και τον λογον βεβαιουντος δια των επακολουθουντων σημειων. Αμην.

συνεργουντες τοις πρεσβυτεροις. 1 *Esd. vii.* 2. ὁτι ὁ καιρος αυτῳ συνεργει. 1 *Mac. xii.* 1. βεβαιωσον με εν τοις λογοις σου. *Ps. cxviii.* 28. ὁ Θεος Κυριος δωσει ῥημα τοις ευαγγελιζομενοις δυναμει πολλῃ. *Ps. lxvii.* 11. και ειπε πασα ἡ εκκλησια, Αμην. *Neh. v.* 13. 1 *Par. xvi.* 36. *Conf. Act. xiv.* 3. *Heb. ii.* 4. 1 *Cor. iii.* 6. *xv.* 10.

ΕΥΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΛΟΥΚΑΝ.

ΚΕΦ. α. 1.

ΕΠΕΙΔΗΠΕΡ *πολλοι επεχειρησαν αναταξασθαι διηγησιν περι των πεπληροφορημενων εν ἡμιν πραγματων,*

[*επειδηπερ. Jos. Ant. i.* 20.] *επειδαν εδειξεν ὁ Θεος σοι παντα. Gen. xli.* 39. *Conf.* 1 *Mac. x.* 52. *ὁσα δε επεχειρησεν επαξαι επι τους Ιουδαιους. Est. ix.* 25. *ζωγραφειν επιχειρουν.* 2 *Mac. ii.* 29. *vii.* 19. *εντευθεν ουν αρξωμεθα της διηγησεως.* 2 *Mac. ii.* 32. *πειρασομεθα δι' ἑνος συνταγματος επιτεμειν.* 23. *επληροφορηθη καρδια. Eccles. viii.* 11. [*οἱ τας ἱστοριας επιχειρησαντες συγγραφειν. Jos. c. Ap. i. Conf. Krebs. Loesner.*] [*αναταξασθαι. Eccl. ii.* 20. *Ald. ευτρεπισασθαι. Hesych.*]

2 *Καθως παρεδοσαν ἡμιν οἱ απ' αρχης αυτοπται και ὑπηρεται γενομενοι του λογου,*

απ' αρχης του σαββατου ἑως εξοδου του σαββατου. 2 *Par. xxiii.* 8. *μνησθητι της συναγωγης—απ' αρχης. Ps. lxxiii.* 2. *καθως ησαν απ' αρχης. Ezech. xvi.* 55. *ὑπηρεται οντες της αυτου* (*Θεου*) *βασιλειας. Sap. vi.* 4. *Conf. Heb. ii.* 3. 1 *Joan. i.* 1. *Act. xxvi.* 26.

3 *Εδοξε καμοι, παρηκολουθηκοτι ανωθεν πασιν ακριβως, καθεξης σοι γραψαι, κρατιστε Θεοφιλε,*

εδοξε δε ἡμιν. 1 *Mac. xv.* 20. *καμοι. Job. xii.* 3. *πολλων και μεγαλων ἡμιν δια του νομου και των προφητων και των αλλων των κατ' αυτους ηκολουθηκοτων δεδομενων—προηχθη και αυτος συγγραψαι τι των εις παιδειαν και σοφιαν ανηκοντων. Prol. Sir. Act. i.* 1. [*κρατιστε ανδρων Επαφροδιτε. Jos. c. Apion. i.* 1.] *ευηγγελισαμην δικαιοσυνην εν εκκλησιᾳ μεγαλῃ, κ.τ.λ. Ps. xxxix.* 9, 10. [*και οὑτως καθεξης παντες. Test. XII Patr. p.* 618.] [*φιλοι γαρ ανωθεν ησαν. Jos. Ant. xv.* 7, 8.]

4 *Ἱνα επιγνῳς περι ὡν κατηχηθης λογων την ασφαλειαν.*

διαφυλασσειν μετα πασης ασφαλειας. 2 *Mac. iii.* 22. [*αυτος σε πολλα κατηχησω των αγνοουμενων. Jos. Vit. v.* 65.]

5 ΕΓΕΝΕΤΟ *εν ταις ἡμεραις Ἡρωδου του βασιλεως της Ιουδαιας ἱερευς τις ονοματι Ζαχαριας, εξ εφημεριας Αβια· και ἡ*

γυνη αυτου εκ των θυγατερων Ααρων, και το ονομα αυτης Ελισαβετ.

εγενετο εν ταις ἡμεραις Ιωακειμ, κ.τ.λ. Jer. i. 2, 3. Ruth. i. 1. Amos. i. 1. Job. i. 1. et pass. ανηρ τις. 2 Par. xviii. 7. Ald. εγενετο ανθρωπος εἱς—και ονομα αυτου Ἑλκανα. 1 Reg. i. 1. τῳ Αβιᾳ ὁ ογδοος (κληρος). 1 Par. xxiv. 10. εκ των θυγατερων Λευϊ. Exod. ii. 1. Comp. Ald. ελαβε δε Ααρων την Ελισαβεθ. Exod. xvi. 23. Vide Grot. in loc. Conf. Matt. ii. 1. 1 Par. xxiv. 19. Neh. xii. 14, 17. Στησας τους ἱερεις κατ᾽ εφημεριας εστολισμενους εν τῳ ἱερῳ του Κυριου. 1 Esd. i. 2. εν ταξει θυσατε το πασχα. 6. [Conf. Jos. Ant. vii. 15. διεμερισε αυτους κατα πατριας· διεταξε δε μιαν πατριαν διακονεισθαι τῳ Θεῳ επι ἡμεραις οκτω κ. τ. λ.]

6 Ησαν δε δικαιοι αμφοτεροι ενωπιον του Θεου, πορευομενοι εν πασαις ταις εντολαις και δικαιωμασι του Κυριου αμεμπτοι.

σε ειδον δικαιον εναντιον μου. Gen. vii. 1. 1 Reg. i. 19. ενωπιον αυτου. 1 Reg. iii. 18. και εν ταις εντολαις—αυτου επορευθη. 2 Par. xvii. 4. et. pass. εφυλαξε τα προσταγματα μου και τας εντολας μου και τα δικαιωματα μου. Gen. xxvi. 5. 1 Mac. i. 13. εαν συ ησθα τοις εργοις αμεμπτος; Job. xxii. 3. Prov. xxviii. 18. Gen. xvii. 1. Conf. Job. i. 1. Tob. i. 3. Phil. iii. 6.

7 Και ουκ ην αυτοις τεκνον, καθοτι ἡ Ελισαβετ ην στειρα, και αμφοτεροι προβεβηκοτες εν ταις ἡμεραις αὐτων ησαν.

και ην Σαρα στειρα. Gen. xi. 30. Ἀβρααμ δε και Σαρρα προβεβηκοτες ἡμερων. Gen. xviii. 11. προβεβηκως ταις ἡμεραις. Jos. xxiii. 1, 2. Gen. xxiv. 1. Gen. xviii. 11. Jos. xiii. 1. 3 Reg. i. 1. [οἱ τοις χρονοις προβεβηκοτες. Jos. Ant. vii. 2. 1.]

8 Εγενετο δε εν τῳ ἱερατευειν αυτον εν τῃ ταξει της εφημεριας αυτου εναντι του Θεου,

εγενετο εν τῳ κοπτειν αυτους. Ezech. ix. 8. Ps. ci. 22. lxxv. 9. 2 Par. xxix. 27. εναντι Κυριου. Exod. xxvii. 21. xxx. 8. 1 Reg. i. 12.

9 Κατα το εθος της ἱερατειας, ελαχε του θυμιασαι εισελθων εις τον ναον του Κυριου·

κατα τα επι των προγονων αυτων εθη. 2 Mac. xi. 25. εισηλθον εις τον ναον του Κυριου θυμιασαι. 2 Par. xxvi. 16. και ελαχε του βασιλευειν. 1 Reg. xiv. 47. Conf. Exod. xxx. 7. Lev. xvi. 17. Heb. ix. 6. [Conf. Jos. Ant. iii. 8. 3.] εθος. 2 Mac. xi. 25.

10 Και παν το πληθος του λαου ην προσευχομενον εξω τῃ ὡρᾳ του θυμιαματος.

και—παν το πληθος συναγωγης. *Exod. xii.* 6. και ἡψατο μου, ὡσει ὡραν θυσιας ἑσπερινης. *Dan. ix.* 21. θυσιαστηριον θυμιαματος. *Exod. xxx.* 1, 7, 11. ποιησαι τα θυμιαματα. 4 *Reg. x.* 26. και εδεηθη ὁ λαος Κυριου ὑψιστου εν προσευχῃ κατεναντι ελεημονος, ἑως συντελεσθῃ κοσμος Κυριου, και την λειτουργιαν αυτου ετελειωσαν. *Sir. l.* 19. ην προσευχομενον. = *Gen. i.* 6.

11 Ωφθη δε αυτῳ αγγελος Κυριου, ἑστως εκ δεξιων του θυσιαστηριου του θυμιαματος·

εκ δεξιων αυτου αγγελοι. *Deut. xxxiii.* 2. ωφθη αυτῳ ὁ αγγελος Κυριου. *Jud. vi.* 12. *Exod. iii.* 2. *xxx.* 1. και τα χερουβιμ εἱστηκει εκ δεξιων του οικου. *Ezech. x.* 3.

12 Και εταραχθη Ζαχαριας ιδων, και φοβος επεπεσεν επ᾽ αυτον.

και εταραχθη ακουσασα το γεγονος. *Est. iv.* 4. επιπεσοι επ᾽ αυτους—φοβος. *Exod. xv.* 16. *Ps. civ.* 38. *Neh. vi.* 14. *Dan. x.* 7. και ἡ ψυχη μου εταραχθη σφοδρα. *Ps. vi.* 2, 3. *Judith. xv.* 2.

13 Ειπε δε προς αυτον ὁ αγγελος, Μη φοβου, Ζαχαρια· διοτι εισηκουσθη ἡ δεησις σου, και ἡ γυνη σου Ελισαβετ γεννησει υἱον σοι, και καλεσεις το ονομα αυτου Ιωαννην.

μη φοβου. *Dan. x.* 19. την δεησιν αυτου εισακουσεται ὁ Θεος. *Job. xxvii.* 9. *Vide Grot. in loc. Conf. Tob. xii.* 15-17. *Jud. vi.* 23. *Apoc. i.* 17. ιδου Σαρρα ἡ γυνη σου τεξεται σοι υἱον, και καλεσεις το ονομα αυτου Ισαακ. *Gen. xvii.* 19.

14 Και εσται χαρα σοι και αγαλλιασις, και πολλοι επι τῃ γεννησει αυτου χαρησονται.

εσται. *Est. v.* 6. χαρησομαι επι τῳ Θεῳ τῳ σωτηρι μου. *Hab. iii.* 18. [εν χαρᾳ και αγαλλιασει. *Act. Thom. c.* 7.] *Conf. Joan. v.* 35. ἡμερα γεννησεως. *Ose. ii.* 3.

15 Εσται γαρ μεγας ενωπιον του Κυριου· και οινον και σικερα ου μη πιῃ, και Πνευματος ἁγιου πλησθησεται ετι εκ κοιλιας μητρος αὑτου.

και Δανιηλ ην μεγας και ενδοξος εναντι Δαρειου. *Dan. vi.* 4. *LXX.* και Δανιηλ εγενετο μεγας ενωπιον του λαου απο της ἡμερας εκεινης, και επεκεινα. *Susan.* 64. εναντιον Κυριου. *Gen. x.* 9. *Exod. xi.* 3. ενωπιον. 4 *Reg. v.* 1. οινον και σικερα μη πιετω. *Jud. xiii.* 14. *Alex. Ox. Ald.* απο οινου και σικερα ἁγνισθησεται. *Num. vi.* 3. ανηρ σοφος πλησθησεται ευλογιας. *Sir. xxxvii.* 24. ενεπλησα αυτον πνευμα θειον σοφιας. *Exod. xxxi.* 3. *xxviii.* 3. *xxxv.* 31. *Ps.*

li. 12. εκ κοιλιας μητρος μου. *Job. i.* 21. πλησθησεται πνευματος. *Prov. xv.* 4. *Esa. xlvi.* 3. *Ps. xxi.* 10. *Jer. i.* 5. *Gal. i.* 15.

16 Και πολλους των υἱων Ισραηλ επιστρεψει επι Κυριον τον
Θεον αυτων·

επεστρεψαν προς Κυριον. *Ose. vii.* 10. *Zach. i.* 3. *Mich. v.* 3. *Sir. v.* 7. *xlviii.* 10. και γνωσονται, ὁτι εγω ειμι Κυριος ὁ Θεος αυτων. *Exod. xxix.* 46. *Conf. Mal. iv.* 6. *Matt. iii.* 2. *Marc. i.* 2. *Esa. xl.* 3. 1 *Reg. i.* 11.

16-21.] και—και. *Conf.* 1 *Reg. xv.* 3-10. *et pass.*

17 Και αυτος προελευσεται ενωπιον αυτου εν πνευματι και
δυναμει Ηλιου, επιστρεψαι καρδιας πατερων επι τεκνα, και
απειθεις, εν φρονησει δικαιων, ἑτοιμασαι Κυριῳ λαον κατεσκευ-
ασμενον.

Ελισαιε ενεπλησθη πνευματος αυτου. *Sir. xlviii.* 12. πνευμα περισσον. *Dan. vi.* 3. φιλους Θεου και προφητας κατασκευαζει. *Sap. vii.* 27. ὁτι ἡτοιμασε τας ὁδους αυτου. 2 *Par. xxvii.* 6. *Sir. ii.* 17. προελευσεται. *Sir. xxxii.* 1. ὁς αποκαταστησει καρδιαν πατρος προς υἱον, και καρδιαν ανθρωπου προς τον πλησιον αυτου. *Mal. iv.* 6. και επιστρεψαι καρδιαν πατρος προς υἱον. *Sir. xlviii.* 10. *Esd. vi.* 22. *Cant. vii.* 10. λαον μου ου περιεποιησαμην τας αρετας μου διηγεισθαι. *Esa. xliii.* 21. *Conf. Matt. iii.* 1. *Marc. ix.* 12. αυτος δε προηλθεν εμπροσθεν αυτων. *Gen. xxxiii.* 3. και προ αισχυντηρου προελευσεται χαρις. *Sir. xxxv.* 10. πνευμα δυναμεως. *Sap. v.* 23. την ἑτοιμασιαν της καρδιας αυτων προσεσχε το ους σου. *Ps. ix.* 17.

18 Και ειπε Ζαχαριας προς τον αγγελον, Κατα τι γνωσομαι
τουτο; εγω γαρ ειμι πρεσβυτης, και ἡ γυνη μου προβεβηκυια
εν ταις ἡμεραις αὑτης.

κατα τι γνωσομαι ὁτι κληρονομησω αυτην; *Gen. xv.* 8. *xvii.* 17. και Ἀβρααμ ην πρεσβυτερος, προβεβηκως ἡμερων. *xxiv.* 1.

19 Και αποκριθεις ὁ αγγελος ειπεν αυτῳ, Εγω ειμι Γαβριηλ
ὁ παρεστηκως ενωπιον του Θεου· και απεσταλην λαλησαι προς
σε, και ευαγγελισασθαι σοι ταυτα.

αναστας Μωυσης και Ιησους ὁ παρεστηκως αυτῳ. *Exod. xxiv.* 13. *Gen. xviii.* 8. και αποκριθεις Ἀβρααμ ειπε. *Gen. xviii.* 27. ἑστως ενωπιον του βασιλεως. 4 *Reg. xxv.* 8. *Exod. xxiv.* 13. *Dan. vii.* 13. *LXX. Jer. lii.* 25. Ῥαφαηλ—των ἑπτα ἁγιων αγγελων οἱ προσαναφερουσι τας προσευχας των ἁγιων, και εισπορευονται ενωπιον της δοξης του ἁγιου. *Tob. xii.* 15. *Jud. iii.* 19. *Gen. xlv.* 1. 3 *Reg.*

i. 2. *Heb. i.* 14. ιδου εγω γνωριζω σοι τα εσομενα κ. τ. λ. *Dan. viii.* 19. *ix.* 23. Γαβριηλ. *Dan. viii.* 16. *ix.* 21. ευαγγελισασθαι πτωχοις απεσταλκε με. *Esa. lxi.* 1. λαλησαι προς. *Conf. Matt. xviii.* 10. [οἱ τεσσαρες μεγαλοι αρχαγγελοι, Μιχαηλ, και Ουριηλ, και Ῥαφαηλ, και Γαβριηλ. *Codex Pseudep. p.* 187.]

20 Και ιδου, εσῃ σιωπων και μη δυναμενος λαλησαι, αχρι ἡς ἡμερας γενηται ταυτα· ανθ᾽ ὡν ουκ επιστευσας τοις λογοις μου, οἱτινες πληρωθησονται εις τον καιρον αὑτων.

ανθ᾽ ὡν ὑπηκουσας της εμης φωνης. *Gen. xxii.* 18. *xxvi.* 5. και ουκ επιστευσα τοις λογοις. 2 *Par. ix.* 6. *Lev. xxvi.* 43. ανθ᾽ ὡν ουκ ηκουσατε της φωνης Κυριου. *Deut. viii.* 20. *Ezech. v.* 11. ἡξω προς σε κατα τον καιρον τουτον. *Gen. xviii.* 10. και εσῃ συναντων. *Exod. vii.* 15. εν ταις ἡμεραις αυτου λυτρωσασθω ἡμας. *Sir. l.* 24. αχρι αιωνος. *Matt. xiv.* 15. *Conf. Esa. vii.* 9.

21 Και ην ὁ λαος προσδοκων τον Ζαχαριαν· και εθαυμαζον εν τῳ χρονιζειν αυτον εν τῳ ναῳ.

Κυριε μη χρονισῃς. *Ps. lxix.* 5. *Hab. ii.* 3. = εν τῳ επισυναχθηναι λαους. *Ps. ci.* 22. *Alex. Ald. Comp. Ruth. iii.* 4.

22 Εξελθων δε ουκ ηδυνατο λαλησαι αυτοις· και επεγνωσαν ὁτι οπτασιαν ἑωρακεν εν τῳ ναῳ· και αυτος ην διανευων αυτοις, και διεμενε κωφος.

και ουκ ηδυνατο βλεπειν. *Gen. xlviii.* 10. και ιδον εγω—την οπτασιαν. *Dan. x.* 7, 8. ἑωρακα. *Gen. xlvi.* 30. *Conf. Ps. xxxvii.* 13.

23 Και εγενετο ὡς επλησθησαν αἱ ἡμεραι της λειτουργιας αυτου, απηλθεν εις τον οικον αὑτου.

και εγενετο ὡς κ. τ. λ. 1 *Par. xxiv.* 11. ὁτε δε ανεπληρωθησαν αἱ ἡμεραι του γαμου. *Est. i.* 5. *Jer. xxv.* 12. *Gen. xxv.* 24. και εισηλθεν Ἑλκανα εις τον οικον αυτου κ. τ. λ. 1 *Reg. i.* 19.

24 Μετα δε ταυτας τας ἡμερας συνελαβεν Ελισαβετ ἡ γυνη αυτου, και περιεκρυβεν ἑαυτην μηνας πεντε, λεγουσα,

και εγενετο μεθ᾽ ἡμερας πολλας. 3 *Reg. xviii.* 1. *Gen. viii.* 6. περιεκρυβεν ἑαυτην [*prorsus domi se continuit. Bretschn.*] *Conf. Gen. xxi.* 1. *xxv.* 21.

25 Ὁτι οὑτω μοι πεποιηκεν ὁ Κυριος εν ἡμεραις, αἱς επειδεν αφελειν το ονειδος μου εν ανθρωποις.

ειπε δε Ῥαχηλ, αφειλεν ὁ Θεος μου το ονειδος. *Gen. xxx.* 23. τι τουτο εποιησας ἡμιν; *Gen. xx.* 9. *Conf. Tob. iii.* 10. 1 *Reg. i.* 6.

Esa. liv. 1. πλην το ονομα το σον κεκλησθω εφ' ἡμας, αφελε τον ονειδισμον ἡμων. *Esa. iv.* 1. επειδες την ταπεινωσιν μου. *Ps. xxxi.* 7. και επειδεν ὁ Θεος επι Αβελ και επι τοις δωροις. *Gen. iv.* 4. *xvi.* 13. *Conf. Ps. cxii.* 9. *cxxvii.* 3. *Ose. ix.* 11.

26 Εν δε τῳ μηνι τῳ ἑκτῳ απεσταλη ὁ αγγελος Γαβριηλ ὑπο του Θεου εις πολιν της Γαλιλαιας, ᾑ ονομα Ναζαρετ,

και εξαπεστειλεν ὁ βασιλευς ανδρας εις Αιγυπτον. *Sir. xxxiii.* 22.

27 Προς παρθενον μεμνηστευμενην ανδρι ᾡ ονομα Ιωσηφ, εξ οικου Δαβιδ· και το ονομα της παρθενου, Μαριαμ.

παις παρθενος μεμνηστευμενη ανδρι. *Deut. xxii.* 23. ὁ δε οικος Δαυιδ ὡς οικος Θεου. *Zach. xii.* 8. *Ps. cxiii.* 10. και εγενετο ανηρ, και ονομα αυτῳ Μιχαιας. *Jud. xvii.* 1. *Gen. xvi.* 1. *Conf. Matt. i.* 18.

28 Και εισελθων ὁ αγγελος προς αυτην ειπε, Χαιρε, κεχαριτωμενη· ὁ Κυριος μετα σου; ευλογημενη συ εν γυναιξιν.

ελθουσα προς τον Κυριον. *Judith. xii.* 13. *Marc. xv.* 43. μετα κεχαριτωμενου χαριτωθηση. *Ps. xviii.* 26. *Sym.* ευλογημενος συ εν πολει, κ. τ. λ. *Deut. xxviii.* 3. καλη εν γυναιξι. *Cant. i.* 8. *Conf. Ephes. i.* 6. Κυριος μετα σου. *Jud. vi.* 12. 1 *Par. xvii.* 2. *Deut. i.* 42. ευλογηθειη εν γυναιξι. *Jud. v.* 24. 1 *Reg. xxv.* 33. *Sir. xviii.* 17. *Conf. Ruth. iii.* 10. 2 *Tim. iv.* 22. *Judith. xiii.* 18.

29 Ἡ δε ιδουσα διεταραχθη επι τῳ λογῳ αυτου, και διελογιζετο ποταπος ειη ὁ ασπασμος οὑτος.

διεταραχθη. *Ose. xi.* 9. *alii.* [ποταπον εσται το της μαχης τελος. *Jos. Ant. vii.* 4. 1.] ιδουσα, ["*cum audivisset.*" *Vulg.*] *Gen. xlii.* 1.

30 Και ειπεν ὁ αγγελος αυτῃ, Μη φοβου, Μαριαμ· εὑρες γαρ χαριν παρα τῳ Θεῳ.

Νωε δε εὑρε χαριν εναντιον—Θεου. *Gen. vi.* 8. *Exod. xxxiii.* 16. μη φοβου, μετα σου γαρ ειμι κ. τ. λ. *Esa. xli.* 10. παρ' ᾡ εὑρεθη το κονδυ. *Gen. xliv.* 16, 17. εὑρησεις χαριν. *Prov. iii.* 4. *Sir. xii.* 2. *vi.* 16. *xvi.* 14. *xxxv.* 14.

31 Και ιδου, συλληψῃ εν γαστρι, και τεξῃ υἱον, και καλεσεις το ονομα αυτου ΙΗΣΟΥΝ.

ιδου Σαῤῥα ἡ γυνη σου τεξεται σοι υἱον. *Gen. xvii.* 19. και εν γαστρι ελαβε, και ετεκεν υἱον. *Esa. viii.* 3. *Conf. Matt. i.* 23. ιδου ἡ παρθενος εν γαστρι ληψεται, κ. τ. λ. *Esa. vii.* 14. μεγαλης βουλης Αγγελος, θαυμαστος, κ. τ. λ. *ix.* 6. *Alex. Conf. Bos. ad loc. Conf. Matt. i.* 21. *Gal. iv.* 4.

32 Οὑτος εσται μεγας, και υἱος ὑψιστου κληθησεται· και δωσει αυτῳ Κυριος ὁ Θεος τον θρονον Δαβιδ του πατρος αυτου,

μεγας εγενετο σφοδρα. Gen. xxvi. 13. Ησαϊας ὁ προφητης ὁ μεγας. Sir. xlviii. 22. υἱος ὑψιστου. Ps. lxxxi. 6. lxxxviii. 27. cvi. 11. ὡς υἱος ὑψιστου. Sir. iv. 10. Gen. xiv. 18. κληθησεται i. e. εσται. Esa. lvi. 7. βασιλευ Ιουδα, ὁ καθημενος επι θρονου Δαυιδ. Jer. xxii. 2. Conf. Esa. xvi. 5. liv. 5. 2 Reg. vii. 12. Ps. cxxxi. 11. Amos. ix. 11.

33 Και βασιλευσει επι τον οικον Ιακωβ εις τους αιωνας, και της βασιλειας αυτου ουκ εσται τελος.

και βασιλευσει Κυριος επ᾽ αυτους εν ορει Σιων απο του νυν ἑως εις τον αιωνα. Mich. iv. 7. βασιλεια αυτου βασιλεια αιωνιος. Dan. iii. 33. αναγγειλατε ταυτα εις τον οικον Ιακωβ. Jer. v. 20. μεγαλη ἡ αρχη αυτου, και της ειρηνης ουκ εστι τελος. Esa. ix. 7. Dan. ii. 44. vii. 14, 27. Jer. xxiii. 5, 6. 1 Par. xxii. 10. Ps. xliv. 6. 1 Cor. xv. 24. Heb. i. 8.

34 Ειπε δε Μαριαμ προς τον αγγελον, Πως εσται τουτο, επει ανδρα ου γινωσκω;

ουκ εγνωσαν ανδρα. Gen. xix. 8. πως εσται; Conf. Sap. v. 10.

35 Και αποκριθεις ὁ αγγελος ειπεν αυτῃ, Πνευμα ἁγιον επελευσεται επι σε, και δυναμις ὑψιστου επισκιασει σοι· διο και το γεννωμενον ἁγιον κληθησεται υἱος Θεου.

και ἡλατο επ᾽ αυτον πνευμα Κυριου. Jud. xv. 14. Conf. 1 Reg. xi. 6. επεσκιαζεν επ᾽ αυτην ἡ νεφελη. Exod. xl. 32. επισκιασει σοι. Ps. xc. 4. Conf. Grot. in loc. Act. i. 8. Matt. i. 20. Dan. ix. 24. εν χειρι αυτου ψυχη παντων ζωντων, και πνευμα παντος ανρθωπου. Job. xii. 10. υἱος μου ει συ, εγω σημερον γεγεννηκα σε. Ps. ii. 7. επηλθεν εκστασις Κυριου επι τον λαον. 1 Reg. xi. 7. επελθῃ αυτῳ πνευμα ζηλωσεως. Num. v. 14. θυμος μοι επηλθε. Sir. xxvi. 21. επηλθε πραΰτης εφ᾽ ἡμας. Ps. lxxxix. 10. Conf. Luc. xxiv. 49. μεγα σοι εστι του κληθηναι [Heb. היח] σε παιδα μου. Esa. xlix. 6. μη κληθῃς ψιθυρος. Sir. v. 14. και καλειται το ονομα αυτου θαυμαστος. Esa. ix. 6. Alex. Ald. Comp. [ἡ γαρ δυναμις Ὑψιστου επελθουσα τῃ παρθενῳ επεσκιασεν αυτην, κ. τ. λ. Just. Mart. Apol. 2.]

36 Και ιδου, Ελισαβετ ἡ συγγενης σου, και αυτη συνειληφυια υἱον εν γηρᾳ αὑτης· και οὑτος μην ἑκτος εστιν αυτῃ τῃ καλουμενῃ στειρᾳ·

ετεκον υἱον εν τῳ γηρᾳ μου. Gen. xxi. 7. 4 Mac. vi. 12. v. 36. 1 Par. xxix. 28. Sir. viii. 6. Ps. xci. 14. [μετα ταυτ᾽ ειποντων, μη

αδυνατει παρα τῳ Θεῳ ῥημα καταιδεσθεισαν, αρνησασθαι τον γε-
λωτα. Philo. de Abr. p. 365.]

37 Ὁτι ουκ αδυνατησει παρα τῳ Θεῳ παν ῥημα.

μη αδυνατησει παρα τῳ Θεῳ ῥημα; Gen. xviii. 14. *Conf. Matt. xix.* 26. *Job. x.* 13. *xlii.* 2. *ου ποιησεις παν εργον. Deut. xvi.* 8. *Jer. xxxix.* 17. *Zach. viii.* 6. *Num. xi.* 22.

38 Ειπε δε Μαριαμ, Ιδου, ἡ δουλη Κυριου· γενοιτο μοι κατα
το ῥημα σου. Και απηλθεν απ᾽ αυτης ὁ αγγελος.

επι τας δουλας—εκχεω απο του πνευματος μου. Joel. ii. 29. *Ruth. ii.* 13. *κατα το ῥημα ὑμων εστω. Jos. ii.* 21. *Jer. xlii.* 16. *Ald. ιδου εγω—λαλει* Κυριε, *ὁτι ακουει ὁ δουλος σου.* 1 *Reg. iii.* 8, 9. *Alex. Ald. Comp. ιδου ἡ δουλη* Κυριου *(παρεστι) = ιδου ἡ δουλη σου εις παιδισκην.* 1 *Reg. xxv.* 41. *γινεσθω κατα το ῥημα σου. Draco.* 9. *Conf.* 2 *Reg. vii.* 25-29. *Rom. iv.* 18-22.

39 Αναστασα δε Μαριαμ εν ταις ἡμεραις ταυταις επορευθη εις
την ορεινην μετα σπουδης, εις πολιν Ιουδα,

εις την ορεινην εφυγον. Gen. xiv. 10. *Jos. x.* 40. *και απαρας ηλθεν.* 1 *Mac. xii.* 40. *αναστας. Exod. xxxii.* 1. *Gen. xiii.* 17. *xix.* 15. *μετα σπουδης. Sap. xix.* 2. *επορευθησαν σπουδῃ εις* Ἱερουσαλημ. *Esra. iv.* 23. [*μετα σπουδης και ταχους. Philo. de Mos. p.* 645.]

40 Και εισηλθεν εις τον οικον Ζαχαριου, και ησπασατο την
Ελισαβετ.

41 Και εγενετο ὡς ηκουσεν ἡ Ελισαβετ τον ασπασμον της
Μαριας, εσκιρτησε το βρεφος εν τῃ κοιλιᾳ αυτης· και επλη-
σθη Πνευματος ἁγιου ἡ Ελισαβετ,

εσκιρτων δε τα παιδια εν αυτῃ. Gen. xxv. 22. *επλησθη του φεγγους της δοξης* Κυριου. *Ezech. x.* 4. *πνευμα* Κυριου *ελαλησεν εν εμοι, και ὁ λογος αυτου επι γλωσσης μου.* 2 *Reg. xxiii.* 2. *επι σε επερριφην εκ μητρας· εκ κοιλιας μητρος μου Θεος μου ει συ. Ps. xxi.* 10. *l.* 12. *Sap. i.* 5. *vii.* 7. *Ps. viii.* 2. 1 *Reg. x.* 6.

42 Και ανεφωνησε φωνῃ μεγαλῃ και ειπεν, Ευλογημενη συ εν
γυναιξι, και ευλογημενος ὁ καρπος της κοιλιας σου.

εν τῳ αναφωνειν φωνῃ μιᾳ. 2 *Par. v.* 13. *και ειπε φωνῃ μεγαλῃ.* 1 *Mac. ii.* 19. *ωμοσε* Κυριος *τῳ* Δαυιδ *αληθειαν, και ου μη αθετησει αυτην,* Εκ *καρπου της κοιλιας σου, θησομαι επι του θρονου σου. Ps. cxxxi.* 11. *Conf. Act. ii.* 20. *Deut. xxviii.* 4. *Ruth. ii.* 10. 1 *Reg. xxv.* 41. *Ps. xlii.* 2. *lxxi.* 17-19.

43 Και ποθεν μοι τουτο, ἱνα ελθῃ ἡ μητηρ του Κυριου μου προς με;

ειπεν ὁ Κυριος τῳ Κυριῳ μου. Ps. cix. 1. *Joan. xx.* 28.

44 Ιδου γαρ, ὡς εγενετο ἡ φωνη του ασπασμου σου εις τα ωτα μου, εσκιρτησεν εν αγαλλιασει το βρεφος εν τῃ κοιλιᾳ μου.

ἡ φωνη του ασπασμου σου, = *φωνη αγαλλιασεως. Ps. cxvii.* 15. *εν αγαλλιασει. cvi.* 22.

45 Και μακαρια ἡ πιστευσασα, ὁτι εσται τελειωσις τοις λελαλημενοις αυτῃ παρα Κυριου.

εξελευσομαι εις τελειωσιν σων λογων. Judith. x. 9. *Conf. Joan. xix.* 28. *ἡ πιστευσασα. Gen. xv.* 6. *Conf. Joan. xx.* 29. 1 *Pet. i.* 8. *και ενευλογηθησονται εν τῳ σπερματι σου παντα τα εθνη της γης, ανθ' ὡν ὑπηκουσας της εμης φωνης. Gen. xxii.* 18.

46 Και ειπε Μαριαμ, Μεγαλυνει ἡ ψυχη μου τον Κυριον,

μεγαλυνατε τον Κυριον συν εμοι. Ps. xxxiii. 3. *εστερεωθη ἡ καρδια μου εν Κυριῳ, κ. τ. λ.* 1 *Reg. ii.* 1. *Ps. xxxiv.* 3. *Hab. iii.* 18. *Judith. xiii.* 14. *Ιδου ὁ Θεος μου, σωτηρ μου, κ. τ. λ. Esa. xii.* 2.

47 Και ηγαλλιασε το πνευμα μου επι τῳ Θεῳ τῳ σωτηρι μου·

αγαλλιασθω ἡ ψυχη μου επι τῳ Κυριῳ. Esa. lxi. 10. *συ ει ὁ Θεος ὁ σωτηρ μου. Ps. xxiv.* 5. *ἡ δε ψυχη μου αγαλλιασεται επι τῳ Κυριῳ. xxxiv.* 9. *ὑπομενω επι τῳ Θεῳ τῳ σωτηρι μου. Mich. vii.* 7. *πνευμα. Conf. Sap. v.* 2. *Sir. xliii.* 31. *Ps. v.* 11. *lxiii.* 10.

48 Ὁτι επεβλεψεν επι την ταπεινωσιν της δουλης αὑτου. ιδου γαρ, απο του νυν μακαριουσι με πασαι αἱ γενεαι·

επιβλεψῃς επι την ταπεινωσιν της δουλης σου. 1 *Reg. i.* 11. *Lev. xxvi.* 9. *Judith. vi.* 19. *Ps. cxxxvii.* 6. *ειδε μου Κυριος την ταπεινωσιν, και εδωκε μοι υἱον. Gen. xxix.* 32. *παντα τα εθνη μακαριουσιν αυτον. Ps. lxxi.* 7. *μακαριουσι με αἱ γυναικες. Gen. xxx.* 13. *Mal. iii.* 12. *απο του νυν και ἑως του αιωνος. Ps. cxii.* 2. [*μακαρια εγω, ὁτι μακαριουσι με αἱ γυναικες. Gen. xxx.* 13. *Citat Philo.*] *Conf. Ps. xxiv.* 18. *ci.* 17. *Judith. xiii.* 18-20. *ἑως ποτε αποστρεψεις θυγατηρ ητιμωμενη; Jer. xxxviii.* 22.

49 Ὁτι εποιησε μοι μεγαλεια ὁ δυνατος, και ἁγιον το ονομα αυτου·

ὁ Θεος—ἁ εποιησας μοι μεγαλεια. Ps. lxx. 19. *Ald. Comp. τις εξιχνιασει τα μεγαλεια αυτου; Sir. xviii.* 4. *Tob. xi.* 15. *εμεγαλυνας επι παν το ονομα το ἁγιον σου. Ps. cxxxvii.* 2. *Deut. x.* 21. *ὁ δυνατος. Ps. xxiv.* 8. *ἁγιον και φοβερον το ονομα αυτου. Ps. cx.* 9.

50 *Και το ελεος αυτου εις γενεας γενεων τοις φοβουμενοις αυτον.*

Κυριε το ελεος σου εις τον αιωνα. *Ps. cxxxvii.* 8. τελος λογου, το παν ακουε· τον Θεον φοβου. *Eccles. xii.* 13. εις γενεας γενεων. *Joel. ii.* 2. *Conf. Gen. xvii.* 19. *Exod. xx.* 6. το δε ελεος του Κυριου απο του αιωνος και ἑως του αιωνος επι τους φοβουμενους αυτον. *Ps. cii.* 17. *lxxxviii.* 1-4. *Esa. xxxiv.* 17.

51 *Εποιησε κρατος εν βραχιονι αὑτου· διεσκορπισεν ὑπερηφανους διανοιᾳ καρδιας αυτων.*

και το κρατος της χειρος μου εποιησε μοι. *Deut. viii.* 17. δεξια Κυριου εποιησε δυναμιν. *Ps. cxvii.* 16. εν βραχιονι ὑψηλῳ. *Deut. v.* 15. *Ps. xcviii.* 1. *cxvii.* 15. *Esa. lii.* 10. εν τῳ βραχιονι της δυναμεως σου διεσκορπισας τους εχθρους σου. *Ps. lxxxviii.* 10. διασκορπισον αυτους εν τῃ δυναμει σου. *lviii.* 11. εν διανοιᾳ καρδιας. 1 *Par. xxix.* 18. *Bar. i.* 15. *Sir. x.* 15. *Esa. xxix.* 15. 1 *Pet. v.* 5.

52 *Καθειλε δυναστας απο θρονων, και ὑψωσε ταπεινους.*

θρονους αρχοντων καθειλεν ὁ Κυριος, και εκαθισε πρᾳεις αντ' αυτων. *Sir. x.* 14. αναλαμβανων πρᾳεις ὁ Κυριος, ταπεινων δε ἁμαρτωλους ἑως της γης. *Ps. cxlvi.* 6. 1 *Reg. ii.* 8. δυναστας δε γης κατεστρεψε. *Job. xii.* 19. και ὑψωσει πρᾳεις εν σωτηριᾳ. *Ps. cxlix.* 4. *Conf. Esa. li.* 9. *lii.* 10. *Ps. cxii.* 6. *Job. v.* 11.

53 *Πεινωντας ενεπλησεν αγαθων, και πλουτουντας εξαπεστειλε κενους.*

ανεστρεψαν τους αγγελους—κενους. *Judith. i.* 11. *Job. xxii.* 9. *Sir. xx.* 10. *xxix.* 9. εχορθασε ψυχην κενην, και πεινωσαν ενεπλησεν αγαθων. *Ps. cvi.* 9. *Jer. xxxviii.* 25. *Esa. xxxii.* 66. τον ποιουντα ταπεινους εις ὑψος, και απολωλοτας εξεγειροντα. *Job. v.* 11. *xii.* 21. Κυριος σαβαωθ εβουλευσατο παραλυσαι πασαν την ὑβριν των ενδοξων, και ατιμασαι παν ενδοξον επι της γης. *Esa. xxiii.* 9. διδους τοις πεινωσιν ισχυν, τοις μη οδυνωμενοις λυπην. *xl.* 29. [στειρα ετεκεν ἑπτα· ἡ δε πολλη εν τεκνοις ησθενησε. 1 *Reg. ii.* 5. *Citat Philo.*] *Conf. Ps. xxxiii.* 10, 11.

54 *Αντελαβετο Ισραηλ παιδος αὑτου, μνησθηναι ελεους,*

τα ελεη σου τα αρχαια. *Ps. lxxxviii.* 49. μνησθητι τα ελεη Δαυιδ του δουλου σου. 2 *Par. vi.* 42. *Ps. cxviii.* 49. συ δε Ισραηλ παις μου—οὑ αντελαβομην. *Esa. xli.* 8. *Conf. Act. xx.* 35. αντιλαβου εν γηρᾳ πατρος σου. *Sir. iii.* 12. πιστευσον αυτῳ, και αντιληψεται σε. *ii.* 6. *xxix.* 20. και χειρα πτωχου και πενητος ουκ αντελαμ-

βανοντο. *Ezech. xvi.* 49. *Conf. Esa. lix.* 16. εμνησθη του ελεους αυτου τῳ Ιακωβ, και της αληθειας αυτου τῳ Ισραηλ. *Ps. xcvii.* 3. *Conf. Esa. xxx.* 18. *liv.* 1. *Judith. xiii.* 4-14.

55 (Καθως ελαλησε προς τους πατερας ἡμων, τῳ Αβρααμ και τῳ σπερματι αυτου,) εις τον αιωνα.

και ποιων ελεος——τῳ Δαυιδ και τῳ σπερματι αυτου. *Ps. xvii.* 50. σπερμα Ἀβρααμ. *civ.* 6. το σπερμα αυτου εις τον αιωνα μενει. *lxxxviii.* 36. διαθηκην αιωνιον ειναι αυτῳ Θεος και τῳ σπερματι αυτου μετ᾽ αυτον. *Gen. xvii.* 19. *xxii.* 18. *Ps. xcvii.* 3. *cxxxi.* 10, 11. *Rom. xi.* 28. και ουκ ηθελησε Κυριος διαφθειραι τον Ιουδαν δια Δαυιδ του δουλου αυτου, καθως ειπε δουναι αυτῳ λυχνον και τοις υἱοις αυτου πασας τας ἡμερας. 4 *Reg. viii.* 19.

56 Εμεινε δε Μαριαμ συν αυτῃ ὡσει μηνας τρεις· και ὑπεστρεψεν εις τον οικον αὑτης.

ὡσει ὡραν θυσιας ἑσπερινης. *Dan. ix.* 21.

57 Τῃ δε Ελισαβετ επλησθη ὁ χρονος του τεκειν αυτην, και εγεννησεν υἱον.

και επληρωθησαν αἱ ἡμεραι του τεκειν αυτην. *Gen. xxv.* 24.

58 Και ηκουσαν οἱ περιοικοι και οἱ συγγενεις αυτης, ὁτι εμεγαλυνε Κυριος το ελεος αὑτου μετ᾽ αυτης, και συνεχαιρον αυτῃ.

ὁς γαρ αν ακουσῃ, συγχαρειται μοι. *Gen. xxi.* 6. εμεγαλυνας την δικαιοσυνην. *xix.* 19. ὁ κατοικιζων στειραν εν οικῳ, μητερα επι τεκνοις ευφραινομενην. *Ps. cxii.* 9. *Conf. Ruth. iv.* 14. *Rom. xii.* 15.

59 Και εγενετο εν τῃ ογδοῃ ἡμερᾳ, ηλθον περιτεμειν το παιδιον· και εκαλουν αυτο επι τῳ ονοματι του πατρος αυτου Ζαχαριαν.

και εγενετο. *Jud. ii.* 4. παιδιον οκτω ἡμερων περιτμηθησεται ὑμιν. *Gen. xvii.* 12. ἱνα στησῃ οικον επ᾽ ονοματι αυτου. *Sir. xlvii.* 13. 1 *Mac. xiv.* 43. *Conf. Viger. p.* 510. *Edit. Herm.* ηλθον——αγοραζειν. *Gen. xlii.* 5. *Conf. Lev. xii.* 3. *Act. vii.* 8.

60 Και αποκριθεισα ἡ μητηρ αυτου ειπεν, Ουχι, αλλα κληθησεται Ιωαννης.

ουχι. *Gen. xviii.* 25. *Sym.* και εκαλεσε το ονομα αυτο Ιεδδεδι, ἑνεκεν Κυριου. 2 *Reg. xii.* 25. *Conf. Esa. viii.* 3.

61 Και ειπον προς αυτην, Ὁτι ουδεις εστιν εν τῃ συγγενειᾳ σου, ὁς καλειται τῳ ονοματι τουτῳ.

συγγενεια. *Jos. vi.* 23. *Conf. Deut. xxxiii.* 9.

62 Ενενευον δε τῳ πατρι αυτου, το τι αν θελοι καλεισθαι αυτον.

Conf. Gen. xxi. 3. εννευει οφθαλμῳ, κ. τ. λ. *Prov. vi.* 13.

63 Και αιτησας πινακιδιον, εγραψε λεγων, Ιωαννης εστι το ονομα αυτου· και εθαυμασαν παντες.

και εγραψεν—λεγων. 4 *Reg. x.* 1, 6. πινακιδιον. *Ezech. ix.* 2. *Sym.*

64 Ανεῳχθη δε το στομα αυτου παραχρημα και ἡ γλωσσα αυτου, και ελαλει ευλογων τον Θεον.

ηνοιξεν ὁ Θεος το στομα. *Num. xxii.* 28. και ἡ γλωσσα αυτου λαλησει κρισιν. *Ps. xxxvi.* 30. απεκατεστησε τον Αμβακουμ παραχρημα. *Draco.* 39. *Conf. Esa. xxxv.* 6. *Dan. iv.* 34.

65 Και εγενετο επι παντας φοβος τους περιοικουντας αυτους· και εν ὁλῃ τῃ ορεινῃ της Ιουδαιας διελαλειτο παντα τα ῥηματα ταυτα·

διαλαλησει ἡ γλωσσα μου την ελεημοσυνην σου. *Ps. li.* 16. *Sym.* τα ῥηματα ταυτα. *Gen. xxii.* 1. τῃ ορεινῃ. *Jos. x.* 6. 40.

66 Και εθεντο παντες οἱ ακουσαντες εν τῃ καρδιᾳ αὑτων, λεγοντες, Τι αρα το παιδιον τουτο εσται; Και χειρ Κυριου ην μετ᾽ αυτου.

θεσθε εν ταις καρδιαις ὑμων. *Agg. ii.* 19. 1 *Reg. xxi.* 12. ταξον εν τῃ καρδιᾳ. *Ezech. xl.* 4. *Ald.* ὁ δε πατηρ αυτου διετηρησε το ῥημα. *Gen. xxxvii.* 11. ἡ χειρ αυτων μετα Δαυιδ. 1 *Reg. xxii.* 17. 2 *Reg. iii.* 12. μη ἡ χειρ Ιωαβ εν παντι τουτῳ μετα σου; 2 *Reg. xiv.* 19. ην Κυριος μετα Ιωσηφ. *Gen. xxxix.* 2.

67 Και Ζαχαριας ὁ πατηρ αυτου επλησθη Πνευματος ἁγιου, και προεφητευσε λεγων,

και Ελισαιε ενεπλησθη πνευματος αυτου. *Sir. xlviii.* 12. *Ps. l.* 12. *Dan. iv.* 5, 6. *Num. xi.* 25. *Joel. ii.* 28.

68 Ευλογητος Κυριος ὁ Θεος του Ισραηλ, ὁτι επεσκεψατο και εποιησε λυτρωσιν τῳ λαῳ αὑτου·

ευλογητος Κυριος ὁ Θεος του Σημ. *Gen. ix.* 26. ευλογητος Κυριος ὁ Θεος Ισραηλ. *Ps. xli.* 14. *lxxi.* 18. *cv.* 48. επεσκεπται Κυριος τον λαον αυτου. *Ruth. i.* 6. *Exod. iv.* 31. λυτρωσιν απεστειλε τῳ λαῳ αυτου. *Ps. cx.* 9. ὁ Θεος ὁ ὑψιστος λυτρωτης αυτων εστι. *Ps. lxxvii.* 35. *Conf. Matt. i.* 21. *Exod. iii.* 16. *Esa. xliii.* 1. παρεκαλεσε δε τον Ιακωβ, και ελυτρωσατο αυτους εν πιστει ελπιδος. *Sir. xlix.* 10.

69 Και ηγειρε κερας σωτηριας ἡμιν, εν τῳ οικῳ Δαβιδ του παιδος αὑτου·

εξανατελω κερας τῳ Δαυιδ. *Ps. cxxxi.* 17. εν τῃ ἡμερᾳ εκεινῃ ανατελει κερας. *Ezech. xxix.* 21. κερας σωτηριας μου. 2 *Reg. xxii.* 3. 1 *Reg. ii.* 10. *Ps. xvii.* 2. *Vide Grot. in loc. Zach. xii.* 8. ηγειρε *pro* ηγειρει, *pret. pro fut. Ita Esa. ix.* 5. *Conf. Apoc. x.* 7. *Joan. xv.* 6. και διαθηκην τῳ Δαυιδ υἱῳ εκ φυλης Ιουδα, κ. τ. λ. *Sir. xlv.* 25, 26.

70 Καθως ελαλησε δια στοματος των ἁγιων των απ᾽ αιωνος προφητων αὑτου·

οἱ γιγαντες οἱ απ᾽ αιωνος (*i. e.* αρχαιοι). *Gen. vi.* 4. *Jer. ii.* 20. *Tob. iv.* 12. *Sir. xliv.* 2. δια στοματος Ἱερεμιου. 2 *Par. xxxvi.* 21. *Conf. Gen. iii.* 15. *Dan. ix.* 24. *Jer. xxiii.* 6. διοτι ου μη ποιησῃ Κυριος ὁ Θεος πραγμα, εαν μη αποκαλυψῃ παιδειαν προς τους δουλους αυτου τους προφητας. *Amos. iii.* 7.

71 Σωτηριαν εξ εχθρων ἡμων, και εκ χειρος παντων των μισουντων ἡμας·

εσωσεν αυτους εκ χειρος μισουντων, και ελυτρωσατο αυτους εκ χειρος εχθρου. *Ps. cvi.* 10. εξειλατο με εκ χειρος Φαραω. *Exod. xviii.* 14. *Conf. Matt. i.* 21. *Esa. xii.* 2. και εσονται αιχμαλωτοι οἱ αιχμαλωτευσαντες αυτους, και κυριευθησονται οἱ κυριευσαντες αυτων. *Esa. xiv.* 2. [ὁ Θεος διδωσιν αυτῳ την εκ του πολεμου και των κινδυνων αδειαν. *Jos. Ant. ix.* 8. 5.]

72 Ποιησαι ελεος μετα των πατερων ἡμων, και μνησθηναι διαθηκης ἁγιας αὑτου,

ποιων ελεος εις χιλιαδας. *Exod. xx.* 6. *Deut. v.* 10. και μνησθησομαι της διαθηκης μου. *Gen. ix.* 15. *xix.* 19. *Lev. xxvi.* 42. *Exod. ii.* 24. εποιησας ελεος μετα του κυριου μου. *Gen. xxiv.* 14. *Conf. Matt. x.* 6. *Rom. xi.* 28. ὁρκους πατερων και διαθηκας ὑπομνησας. *Sap. xviii.* 22. διαθηκην γαρ αιωνιον εθετο μοι ἑτοιμην εν παντι καιρῳ πεφυλαγμενην. 2 *Reg. xxiii.* 5. 2 *Mac. i.* 2. ἡ διαθηκη μου ην μετ᾽ αυτου της ζωης και ειρηνης κ. τ. λ. *Mal. ii.* 5.

73 Ὁρκον ὁν ωμοσε προς Αβρααμ τον πατερα ἡμων, του δουναι ἡμιν,

εμνησθη του ελεους αυτου τῳ Ιακωβ, και της αληθειας αυτου τῳ οικῳ Ισραηλ, κ. τ. λ. *Ps. xcvii.* 3. και στησω τον ὁρκον μου ὁν ωμοσα τῳ Ἀβρααμ. *Gen. xxvi.* 3. *Ps. civ.* 9. *Conf. Gen. xxii.* 16. *Heb. vi.* 13.

74 Αφοβως, εκ χειρος των εχθρων ἡμων ῥυσθεντας, λατρευειν αυτῳ

και καταπαυσει ὑμας απο παντων των εχθρων ὑμων των κυκλω, και κατοικησετε μετ᾽ ασφαλειας. Deut. xii. 10. *ῥυσαι με εκ χειρος εχθρων μου. Ps. xxx.* 15. *και λατρευσετε τω Θεω εν τω ορει τουτω. Exod. iii.* 12. *Conf. Gen. xxii.* 17. *Lev. xxv.* 18. *Rom. vi.* 18. [*ῥυσαμενου* (*αυτον*) *εκ των Σαυλου χειρων. Jos. Ant. vii.* 7. 4.]

75 Εν ὁσιοτητι και δικαιοσυνη ενωπιον αυτου πασας τας ἡμερας της ζωης ἡμων.

πασας τας ἡμερας της ζωης αυτου. 2 *Reg. iv.* 21. *εν ὁσιοτητι καρδιας. ix.* 4. *Jer. xxxix.* 39, 40. *και εν ζωη αυτου εποιησε τερατα. Sir. xlviii.* 14. *xxxiii.* 19. *εν ὁσιοτητι και δικαιοσυνη. Sap. ix.* 3. *Conf.* 1 *Pet. i.* 15. *Ephes. iv.* 24. *Rom. vi.* 22.

76 Και συ, παιδιον, προφητης ὑψιστου κληθηση· προπορευση γαρ προ προσωπου Κυριου, ἑτοιμασαι ὁδους αυτου,

δικαιοσυνη εναντιον αυτου προπορευσεται, και θησει εις ὁδον τα διαβηματα αυτου. Ps. lxxxiv. 13. *μητηρ Σιων ερει ανθρωπος, και ανθρωπος εγενηθη εν αυτη, και αυτος εθεμελιωσεν αυτην ὁ Ὑψιστος. Ps. lxxxvi.* 5. *ιδου ὁ αγγελος μου προπορευσεται προ προσωπου σου. Exod. xxxii.* 34. *ἑτοιμασατε την ὁδον Κυριου. Esa. xl.* 3. *ιδου εξαποστελλω τον αγγελον μου, και επιβλεψεται ὁδον, κ.τ.λ. Mal. iii.* 1. *iv.* 5. *ὑπομενω επι τω Θεω τω σωτηρι μου. Mich. vii.* 7. *Zach. ix.* 9. *ἡλιος δικαιοσυνης. Mal. iv.* 2.

77 Του δουναι γνωσιν σωτηριας τω λαω αυτου εν αφεσει ἁμαρτιων αυτων,

αφεθη γαρ αυτοις ἡ αμαρτια. Esa. xxxiii. 24. *lv.* 7. *Conf. Marc. i.* 4. *ὁτι αὑτη ἡ διαθηκη μου ἡν διαθησομαι τω οικω Ισραηλ κ. τ. λ. Jer. xxxviii.* 33. *Joan. i.* 23. *iii.* 38. *Act. xiii.* 24, 25.

78 Δια σπλαγχνα ελεους Θεου ἡμων, εν οἱς επεσκεψατο ἡμας ανατολη εξ ὑψους·

σπλαγχνα των ασεβων ανελεημονα. Prov. xii. 10. *σπλαγχνα. Gen. xliii.* 30. *Aq. et Sym.* [*εν σπλαγνοις υἱου αυτου ἑως αιωνος. Test. XII Patr. p.* 549.] *αναστησω τω Δαυιδ ανατολην δικαιαν. Jer. xxiii.* 5. *εγω αγω τον δουλον μου, ανατολην. Zach. iii.* 9. *vi.* 12. *και ανατελει ὑμιν τοις φοβουμενοις το ονομα μου ἡλιος δικαιοσυνης. Mal. iv.* 2. *Conf. Joan. iii.* 31. *Esa. lx.* 21. *Jer. xxiii.* 5. *και επι τεκνου σπλαγχνοις ισχυρον εφυλαξε. Sap. x.* 5. *επαγει ἡμιν κατα το ελεος αυτου, και κατα το πληθος της δικαιοσυνης αυτου. Esa. lxiii.* 7. *Conf. Num. xxiv.* 17. *Esa. xl.* 1. *περιβλεψον προς ανατολας Ἱερουσαλημ, και ιδε την ευφροσυνην την παρα του Θεου σοι ερχομενη κ. τ. λ. Bar. iv.* 36.

79 Επιφαναι τοις εν σκοτει και σκιᾳ θανατου καθημενοις, του κατευθυναι τους ποδας ἡμων εις ὁδον ειρηνης.

Θεος Κυριος, και επεφανεν ἡμιν. *Ps. cxvii.* 27. ὁ λαος ὁ πορευομενος εν σκοτει, ιδετε φως μεγα κ. τ. λ. *Esa. ix.* 2. εν τῳ επιφανηναι με εν τοις εθνεσι. *Ezech. xxxix.* 28. *Conf. Matt. iv.* 16. ὁδον ειρηνης ουκ οιδασι. *Esa. lix.* 8. εθεντο με—εν σκοτεινοις, και εν σκιᾳ θανατου. *Ps. lxxxvii.* 6. *xxx.* 16. *xcvi.* 11. *Esa. ix.* 2. *xlii.* 7. *xlix.* 9. *lx.* 1. επεβη ὁ πους μου εν ευθυτητι. *Sir. li.* 15. ὁδηγησει πρᾳεις εν κρισει, διδαξει πρᾳεις ὁδους αυτου. *Ps. xxiv.* 9.

80 Το δε παιδιον ηυξανε και εκραταιουτο πνευματι· και ην εν ταις ερημοις, ἑως ἡμερας αναδειξεως αυτου προς τον Ισραηλ.

και ηυξηθη (το παιδιον) και κατῳκησεν εν τῃ ερημῳ. *Gen. xxi.* 20. και το πνευμα αυτου εκραταιωθη. *Dan. v.* 20. ἱνα φανερωθῃ τῳ Ισραηλ. *Joan. i.* 31. προς. *Conf. Matt. iii.* 1. *xi.* 7. και ἡδρυνθη το παιδαριον, και ευλογησεν αυτο Κυριος, και ηρξατο πνευμα Κυριου συνεκπορευεσθαι αυτῳ κ. τ. λ. *Jud. xiii.* 24, 25. *Conf.* 1 *Reg. iii.* 19, 20. αναδειξις. *Sir. xliii.* 6. *Conf. Joan. i.* 34.

ΚΕΦ. β. 2.

ΕΓΕΝΕΤΟ δε εν ταις ἡμεραις εκειναις, εξηλθε δογμα παρα Καισαρος Αυγουστου, απογραφεσθαι πασαν την οικουμενην.

εγενετο δε εν ταις ἡμεραις εκειναις. *Exod. ii.* 11. *Esa. xxxviii.* 1. και το δογμα εξηλθε. *Dan. ii.* 11, 12. *ix.* 25. και εξηλθε πυρ παρα Κυριου. *Lev. ix.* 24. *x.* 2. Δαρειος επεταξε γραφηναι το δογμα. *Dan. vi.* 9. απογραφηναι παν φυλον εξ ονοματος. 3 *Mac. iv.* 14. εὑρισκεται δε εν ταις απογραφαις. 2 *Mac. ii.* 1. ἑως ηλθον εις την οικουμενην. *Exod. xvi.* 35. *Esa. xiv.* 26. *xxiv.* 1. *Vide Keuchen. in loc.* εν πασῃ τῃ οικουμενῃ. *Dan. ii.* 37. *LXX.* [*de Rom. imperio. Jos. Bell. Jud. iv.* 11. 5. εκ πασης της ιδιας οικουμενης.]

2 Αὑτη ἡ απογραφη πρωτη εγενετο ἡγεμονευοντος της Συριας Κυρηνιου.

εν γραφῃ λαων. *Ps. lxxxvi.* 6. [ἡγεμ. Κυρηνιου. *Jos. Ant. xviii.* 1. 1. *xviii.* 2. 1. *Tacit. Annal. iii.* 48.]

3 Και επορευοντο παντες απογραφεσθαι, ἑκαστος εις την ιδιαν πολιν.

ἑκαστος εκ της ιδιας χωρας. *Job. ii.* 11. και επεστρεψαν—ἑκαστος εις την ιδιαν πολιν. 1 *Esd. v.* 8.

4 Ανεβη δε και Ιωσηφ απο της Γαλιλαιας, εκ πολεως Ναζα-
ρετ, εις την Ιουδαιαν, εις πολιν Δαβιδ, ἡτις καλειται Βηθλεεμ,
(δια το ειναι αυτον εξ οικου και πατριας Δαβιδ,)

αναβησεται απο Ἱεριχω εις την ορεινην. *Jos. xvi.* 1. εις την Ιουδαιαν. *Esa. vii.* 6. *Esd. vii.* 6. Βηθλεεμ. 1 *Reg. xvi.* 1. 4. κατα πατριας αυτων. *Num. i.* 16. *et pass.* δια το πεποιηκεναι. *Jud. iii.* 12. *Conf. Mich. v.* 2. *Joan. vii.* 42. *Matt. i.* 1–17. *ii.* 1. *Luc. iii.* 23. και διαθηκην τῳ Δαβιδ, κ. τ. λ. *Sir. xlv.* 25, 26. εκοιμηθη Δαυιδ μετα των πατερων αυτου, και εταφη εν πολει Δαυιδ. 3 *Reg. ii.* 10. ἡτις. *Conf. Deut. v.* 26.

5 Απογραψασθαι συν Μαριαμ τῃ μεμνηστευμενῃ αυτῳ γυ-
ναικι, ουσῃ εγκυῳ.

Conf. Matt. i. 18. *Deut. xx.* 7. εγκυος γενηται. *Sir. xlii.* 10.

6 Εγενετο δε εν τῳ ειναι αυτους εκει, επλησθησαν αἱ ἡμεραι
του τεκειν αυτην·

και εγενηθη εν τῳ ειναι. 1 *Reg. xvi.* 23. και επληρωθησαν αἱ ἡμεραι του τεκειν αυτην. *Gen. xxv.* 24. Κυριος διηγησεται εν γραφῃ λαων——των γεγενημενων εν αυτῃ. *Ps. lxxxvi.* 6.

7 Και ετεκε τον υἱον αὑτης τον πρωτοτοκον, και εσπαργανω-
σεν αυτον, και ανεκλινεν αυτον εν τῃ φατνῃ· διοτι ουκ ην αυτοις
τοπος εν τῳ καταλυματι.

και εν σπαργανοις ουκ εσπαργανωθης. *Ezech. xvi.* 4. *Sap. vii.* 4. και ῥηξει φωνην βους επι φατνης. *Job. vi.* 5. *xxxix.* 9. ουκ εστι τοπος του εκκλιναι. 1 *Mac. ix.* 45. *Conf. Matt. i.* 25. [ὡς ποιμην και βασιλευς ὁ Θεος αγει κατα δικην και νομον, προστησαμενος τον ορθον αὑτου λογον, πρωτογονον υἱον, ὁς την επιμελειαν της ἱερας ταυτης αγελης, οἱα τις μεγαλου βασιλεως ὑπαρχος διαδεξεται, κ. τ. λ. *Philo. T. i. p.* 308.]

8 Και ποιμενες ησαν εν τῃ χωρᾳ τῃ αυτῃ, αγραυλουντες και
φυλασσοντες φυλακας της νυκτος επι την ποιμνην αὑτων.

φυλασσοντες φυλακας σκηνης. *Num. iii.* 28. *Conf. Ps. lxxvii.* 70. *Ezech. xxxiv.* 8. *Exod. iii.* 1, 2. 1 *Reg. xvii.* 34.

9 Και ιδου, αγγελος Κυριου επεστη αυτοις, και δοξα Κυριου
περιελαμψεν αυτους· και εφοβηθησαν φοβον μεγαν.

ειδον τον Κυριον εφεστωτα επι του θυσιαστηριου. *Amos. ix.* 1. *Ezech. x.* 8. και ηλθεν αγγελος Κυριου, και εκαθισεν——εν Εφραθα, κ. τ. λ. *Jud. vi.* 11, 12. και δοξα Κυριου επλησε τον οικον. 2 *Par.*

vii. 1. *Conf. Esa. lx.* 1-3. και εφοβηθησαν οἱ ανδρες φοβον μεγαν. *Jon. i.* 10. 15. 1 *Mac. x.* 8. *Conf.* 1 *Cor. xv.* 41. 2 *Cor. iii.* 7.

10 Και ειπεν αυτοις ὁ αγγελος, Μη φοβεισθε· ιδου γαρ, ευαγγελιζομαι ὑμιν χαραν μεγαλην, ἡτις εσται παντι τῳ λαῳ·

ευηγγελισαμην δικαιοσυνην εν εκκλησια μεγαλῃ. *Ps. xxxix.* 9. *Conf. Esa. ix.* 3. *xxxv.* 10. *li.* 5. *Dan. x.* 12. *Apoc. i.* 17.

11 Ὁτι ετεχθη ὑμιν σημερον σωτηρ, ὁς εστι Χριστος Κυριος, εν πολει Δαβιδ.

ειπατε τῃ θυγατρι Σιων, Ιδου ὁ σωτηρ σοι παραγεγονε. κ. τ. λ. *Esa. lxii.* 11. ιδου ὁ βασιλευς ερχεται σοι, δικαιος, και σωζων. *Zach. ix.* 9. και αποστελει αυτοις ανθρωπον ὁς σωσει αυτους. *Esa. xix.* 20. πνευμα προσωπου ἡμων χριστος Κυριος. *Thren. iv.* 20. ἑως Χριστου ἡγουμενου. *Dan. ix.* 25. και σωσω αυτους εν Κυριῳ Θεῳ αυτων. *Ose. i.* 7. ὁ Θεος του Ισραηλ σωτηρ. *Esa. xlv.* 15. ὁς εστι Χριστος Κυριος—Κυριος ὁ Θεος. *Conf. Gen. xx.* 18. *xxi.* 1. *xxx.* 30. *xxxii.* 9. *ubi.* Κυριος יהוה *respondet. Job. xix.* 21. *xxxiii.* 26. אלהים. *Job. v.* 8. *ix.* 2. *xii.* 6. אל *Ps. cxv.* 17. *cl.* 6. יה. [*Schleusn. voce* Κυριος]. ὁτι παιδιον εγεννηθη ἡμιν, υἱος και εδοθη ἡμιν, οὑ ἡ αρχη εγενηθη επι του ωμου αυτου, και καλειται το ονομα αυτου Μεγαλης βουλης αγγελος. *Esa. ix.* 6. θαυμαστος συμβουλος (Θεος. *Alex. deest.*) ισχυρος, εξουσιαστης, αρχων ειρηνης, πατηρ του μελλοντος αιωνος. *Alex. Ald. Comp.*

12 Και τουτο ὑμιν το σημειον· εὑρησετε βρεφος εσπαργανωμενον, κειμενον εν τῃ φατνῃ.

και τουτο σοι το σημειον. 1 *Reg. ii.* 34. *Exod. iii.* 12. *Esa. liii.* 2.

13 Και εξαιφνης εγενετο συν τῳ αγγελῳ πληθος στρατιας ουρανιου, αινουντων τον Θεον και λεγοντων,

ειδον Θεον Ισραηλ καθημενον επι θρονου αυτου, και πασα ἡ στρατια του ουρανου εἱστηκει περι αυτον. 3 *Reg. xxii.* 19. ῃνεσαν με φωνῃ μεγαλῃ παντες αγγελοι. *Job. xxxviii.* 7. *Conf. Dan. vii.* 10. *Apoc. v.* 11. *Gen. xxviii.* 12. *xxxii.* 1, 2. *Esa. vi.* 2. *Ezech. iii.* 13.

14 Δοξα εν ὑψιστοις Θεῳ, και επι γης ειρηνη· εν ανθρωποις ευδοκια.

αινεσατωσαν αυτον οἱ ουρανοι, κ. τ. λ. *Ps. lxviii.* 34, 35. αξω γαρ ειρηνην. *Esa. ix.* 6. κοσμος φωτιζων εν ὑψιστοις Κυριος. *Sir. xliii.* 9. *Conf. Esa. xliv.* 23. *xlix.* 13. *lvii.* 19. ευδοκει Κυριος εν τῳ λαῳ αυτου. *Ps. cxlix.* 4. ερει πας ὁ λαος, Γενοιτο, γενοιτο. *Ps. cv.* 48. ειρηνην επ' ειρηνῃ τοις μακραν και τοις εγγυς ουσι. *Esa. lvii.* 19. δοσις Κυριου παραμενει ευσεβεσι, και ἡ ευδοκια αυτου εις

τον αιωνα ευοδωθησεται. Sir. xi. 17. *Coll. Ps. cxlviii.* 2. *Ephes. ii.* 17. *i.* 5. *Rom. v.* 1. *Esa. ii.* 4. *Mich. iv.* 3. *και εμπιπλας παν ζωον ευδοκιας. Ps. cxliv.* 16. *ὁ τα ὑψηλα ναιων. Job. xxii.* 12. *θαυμαστος εν ὑψηλοις ὁ* Κυριος. *Ps. xcii.* 4. *Conf. Joan. iii.* 16. *Tit. iii.* 4-7.

15 *Και εγενετο, ὡς απηλθον απ᾽ αυτων εις τον ουρανον οἱ αγγελοι, και οἱ ανθρωποι οἱ ποιμενες ειπον προς αλληλους, Διελθωμεν δη ἑως* Βηθλεεμ, *και ιδωμεν το ῥημα τουτο το γεγονος, ὁ ὁ* Κυριος *εγνωρισεν ἡμιν.*

και εγενετο ὡς, κ.τ.λ. 2 *Par. xxiv.* 11. *Jos. iii.* 2-4. *Reg. vi.* 20. *διελθωμεν εις το πεδιον. Gen. iv.* 8. *Conf.* 3 *Reg. xviii.* 5. *δη, jam, agedum, nunc. Conf. Sir. xlii.* 15. *xliv.* 1. *Judith. xiii.* 11. *διελθωμεν δη. Conf. Gen. xviii.* 4. *και εγενετο—και— Gen. xxiv.* 36. 2 *Reg. xv.* 1. 2. 5. *εγνωρισε τας ὁδους αυτου τῳ* Μωυσῃ. *Ps. cii.* 7. *ῥημα. Jud. viii.* 1. *και εγενετο, εν τῳ αναγειν* Κυριον *εν συσσεισμῳ τον* Ηλιου *ὡς εις τον ουρανον, κ.τ.λ.* 4 *Reg. ii.* 1. *παντα τα ῥηματα ἁ εποιησε. Gen. xxiv.* 66. *μεγαλα τα εργα* Κυριου, *εξεζητημενα εις παντα τα θεληματα αυτου. Ps. cx.* 2. *το γεγονος. Est. iv.* 4. *ανθρωποι οἱ ποιμενες = ανθρωπος γεωργος. Gen. ix.* 20.

16 *Και ηλθον σπευσαντες, και ανευρον την τε* Μαριαμ *και τον* Ιωσηφ, *και το βρεφος κειμενον εν τῃ φατνῃ.*

σπευσαντες ουν αναβητε. Gen. xlv. 9. *Jos. viii.* 19. *οἱ μεν ουν ἱππεις εξηλθον σπευδοντες. Est. viii.* 14. *και εὑρεν αυτους εν* Δωθαειμ. *Gen. xxxvii.* 17. *xliv.* 9, 12. [*και ανευρον την τε* Μαριαμ *και τον* Ιωσηφ· *ὁτι ἡ ανα προθεσις χαριν κοσμου κειται. Suidas.*] *και σπευσουσι προς αυτο λαοι. Conf. Mich. iv.* 1. 2 *Mac. xi.* 37.

17 Ιδοντες *δε διεγνωρισαν περι του ῥηματος του λαληθεντος αυτοις περι του παιδιου τουτου.*

ὁ ελαλησε περι εμου και σου. Jos. xiv. 6. *Conf. Mal. iii.* 16. 1 *Esd. iii.* 16, 17. *Ps. xxxix.* 10. *lxvi.* 16. *lxxi.* 17.

18 *Και παντες οἱ ακουσαντες εθαυμασαν περι των λαληθεντων ὑπο των ποιμενων προς αυτους.*

ιδου εγω, και τα παιδια ἁ εδωκε μοι ὁ Θεος· *και εσται σημεια και τερατα, κ.τ.λ. Esa. viii.* 18.

19 Ἡ *δε* Μαριαμ *παντα συνετηρει τα ῥηματα ταυτα συμβαλλουσα εν τῃ καρδιᾳ αὑτης.*

και το ῥημα εν τῃ καρδιᾳ μου συνετηρησα. Dan. vii. 28. *Alex. Ald. Comp.* 1 *Reg. xxi.* 12. *μηδε θεντες επι διανοιᾳ το τοιουτο. Sap. iv.* 15. *εζηλωσαν δε αυτον οἱ αδελφοι αυτου· ὁδε πατηρ αυτου διε-*

τηρησε το ῥημα. *Gen. xxxvii.* 11. εν δε κολπῳ μου εκρυψα ῥηματα αυτου. *Job. xxiii.* 12. [και συνετηρουν τους λογους τουτους εν τῃ καρδιᾳ μου. *Test. XII Patr. p.* 563.] *Conf. Prov. iv.* 4.

20 Και επεστρεψαν οἱ ποιμενες, δοξαζοντες και αινουντες τον Θεον επι πασιν οἱς ηκουσαν και ειδον, καθως ελαληθη προς αυτους.

θυσια αινεσεως δοξασει με. *Ps. xlix.* 23. *Conf. Ps. lxxi.* 17. επι πασιν οἱς ηκουσαν. *Ita,* εν τῃ γῃ ᾗ ουκ ηδεις. *Jer. xv.* 14.

21 Και ὁτε επλησθησαν ἡμεραι οκτω του περιτεμειν το παιδιον, και εκληθη το ονομα αυτου Ιησους, το κληθεν ὑπο του αγγελου προ του συλληφθηναι αυτον εν τῃ κοιλιᾳ.

και τῃ ἡμερᾳ τῃ ογδοῃ περιτεμει την σαρκα της ακροβυστιας αυτου. *Lev. xii.* 3. *Gen. xvii.* 12. εν τῃ κοιλιᾳ αυτης. *Gen. xxv.* 24. και επεσκεψατο Κυριος την Ανναν, και συνελαβε. 1 *Reg. ii.* 21. *Alex. Conf. Matt. i.* 21. *Joan. vii.* 22. προ του καταστρεψαι τον Θεον Σοδομα. *Gen. xiii.* 10. προ του με πλασαι σε εν κοιλιᾳ— και προ του σε εξελθειν εκ μητρας. *Jer. i.* 5. οἱ πεποιθοτες επ' αυτῳ συνησουσιν αληθειαν, και οἱ πιστοι εν αγαπῃ προσμενουσιν αυτῳ, ὁτι χαρις και ελεος τοις εκλεκτοις αυτου. *Sap. iii.* 9. εγω γαρ ηλπισα επι τῳ αιωνιῳ την σωτηριαν ὑμων· και ηλθε μοι χαρα παρα του ἁγιου επι τῃ ελεημοσυνῃ, ᾗ ἡξει ὑμιν εν ταχει παρα του αιωνιου σωτηρος ὑμων. *Bar. iv.* 22.

22 Και ὁτε επλησθησαν αἱ ἡμεραι του καθαρισμου αυτων, κατα τον νομον Μωσεως, ανηγαγον αυτον εις Ἱεροσολυμα, παραστησαι τῳ Κυριῳ,

και ὁταν αναπληρωθωσιν αἱ ἡμεραι καθαρσεως αυτης. *Lev. xii.* 6. κατα τον νομον. *Num. ix.* 3. *xii.* 14. τοπρωῒ παραστησομαι σοι. *Ps. v.* 3. *Conf. Est. ii.* 12. *Gen. xlvii.* 2. *Ald.* και εδιδαξαν—κατα τον νομον Μωυση. *Susan.* 3. *Deut. xxxiii.* 4.

23 (Καθως γεγραπται εν νομῳ Κυριου, Ὁτι παν αρσεν διανοιγον μητραν ἁγιον τῳ Κυριῳ κληθησεται·)

καθως γεγραπται εν νομῳ Μωυση. 2 *Par. xxiii.* 18. *Tob. i.* 6. *Esd. iii.* 4. 1 *Esd. vi.* 17. ἁγιασον μοι παν πρωτοτοκον πρωτογενες διανοιγον πασαν μητραν εν τοις υἱοις Ισραηλ. *Exod. xiii.* 2. *xxii.* 9. *xxxiv.* 19. *Num. viii.* 16. *iii.* 12. [το δε παντος διανοιγοντος μητραν τα αρσενικα τῳ Κυριῳ, κ.τ.λ. *Philo de Sacrific. pp.* 113, 114, 115.] *CITAT.* 68.

24 Και του δουναι θυσιαν, κατα το ειρημενον εν νομῳ Κυριου, ζευγος τρυγονων η δυο νεοσσους περιστερων.

Conf. 2 *Cor. viii.* 9. ζευγος τρυγονων, η δυο νεοσσους περιστερων. *Lev. v.* 11. *xii.* 6-8. *CITAT.* 69.

25 Και ιδου, ην ανθρωπος εν Ἱερουσαλημ, ᾧ ονομα Συμεων,
και ὁ ανθρωπος οὑτος δικαιος και ευλαβης, προσδεχομενος
παρακλησιν του Ισραηλ, και Πνευμα ἁγιον ην επ᾽ αυτον·

ανθρωπος ην—ᾧ ονομα Ιωβ, και ην ὁ ανθρωπος εκεινος αληθινος, κ. τ. λ. *Job. i.* 1. Νωε ανθρωπος δικαιος. *Gen. vi.* 9. ευλαβης. *Mich. vii.* 2. *Act. x.* 22. *viii.* 2. προσδεχομενος την ελπιδα της σωτηριας μου. *Job. ii.* 9. 1 *Cor. i.* 7. και—εγενετο επ᾽ αυτον πνευμα Κυριου. 2 *Par. xv.* 1. *Ps. l.* 12. *Esa. xl.* 1. *li.* 3. *lxi.* 1. *Dan. ix.* 24. *Marc. xv.* 43. *Act. i.* 6. παρακλησις. *Nah. iii.* 7. και παρεκαλεσα αυτον και εδωκα αυτῳ παρακλησιν αληθινην. *Esa. lvii.* 18. την σωτηριαν περιμενων Κυριου. *Gen. xlix.* 18.

26 Και ην αυτῳ κεχρηματισμενον ὑπο του Πνευματος του
ἁγιου, μη ιδειν θανατον πριν η ιδῃ τον Χριστον Κυριου.

και λογον εχρηματισαν εν τῳ ονοματι μου. *Jer. xxxvi.* 23. *xxxii.* 30. *xxiii.* 2. και ουκ οψεται θανατον; *Ps. lxxxviii.* 48. *Amos. iii.* 7. [εχρηματισεν αυτῳ κατα τους ὑπνους ὁ Θεος. *Jos. Ant. xi.* 8. 4.] ηκουσα πριν η αποθανειν αυτον. *Tob. iv.* 15.

27 Και ηλθεν εν τῳ Πνευματι εις το ἱερον· και εν τῳ εισαγα-
γειν τους γονεις το παιδιον Ιησουν, του ποιησαι αυτους κατα
το ειθισμενον του νομου περι αυτου,

και ειπον τῳ πνευματι. *Ezech. xxxvii.* 9. λειτουργειν και ποιειν τα εργα της σκηνης. *Num. iv.* 39. O. εποιησε (*scil.* θυσιαν) τῃ Ασταρτῃ. 1 *Reg. xi.* 33. *Lev. ix.* 7. κατα το ειωθος αυτῳ. *Num. xxiv.* 1. κατα τον εθισμον αυτων. 3 *Reg. xviii.* 28. 2 *Mac. xii.* 38.

28 Και αυτος εδεξατο αυτο εις τας αγκαλας αὑτου, και ευλο-
γησε τον Θεον, και ειπε,

ελαβε τον υἱον μου εκ των αγκαλων μου. 3 *Reg. iii.* 20. ευλογησω τον Κυριον. *Ps. xv.* 7. *Conf. Tob. xi.* 9.

29 Νυν απολυεις τον δουλον σου, Δεσποτα, κατα το ῥημα σου,
εν ειρηνῃ·

απελυθη Ααρων. *Num. xx.* 19. και ειπεν αυτῳ, Δεσποτα, τι προστασσεις τῳ σῳ οικετῃ. *Jos. v.* 15. *Esa. x.* 33. συ δε απελευσῃ προς τους πατερας σου εν ειρηνῃ εν γηρᾳ καλῳ. *Gen. xv.* 15. επιταξον αναλαβειν το πνευμα μου, ὁπως απολυθω. *Tob. iii.* 6. 13. *xi.* 9. *Conf. Gen. xv.* 3. 2 *Mac. vii.* 9. εσται εν ειρηνῃ ἡ ταφη αυτου. *Esa. lvii.* 2. κατα το ῥημα ὑμων οὑτως εσται. *Jos. ii.* 21. *Alex.*

Δεσποτα. Dan. ix. 15-17. *LXX. Conf. Phil. i.* 23. *αποθανουμαι απο του νυν, επει ἑωρακα το προσωπον σου. Gen. xlvi.* 30. *ἱκανουσθω νυν, λαβε δη την ψυχην μου απ' εμου Κυριε, κ. τ. λ.* 3 *Reg. xx.* 4. *Conf. Ps. xxxvi.* 37. *Apoc. xiv.* 13.

30 Ὁτι ειδον οἱ οφθαλμοι μου το σωτηριον σου,

ειδοσαν οἱ οφθαλμοι ὑμων ὁσα εποιησε Κυριος. Jos. xxiv. 7. *την σωτηριαν περιμενων Κυριου. Gen. xlix.* 18. *ειδοσαν παντα τα περατα της γης το σωτηριον του Θεου ἡμων. Ps. xcvii.* 3. *Job. xix.* 27. *Esa. xxxviii.* 11. *lii.* 10. *και το σωτηριον Κυριου ευαγγελιουνται. Esa. lx.* 6. *και ερουσι εν τῃ ἡμερᾳ εκεινῃ, Ιδου ὁ Θεος ἡμων εφ' ᾧ ηλπιζομεν, και σωσει ἡμας. οὑτος Κυριος, ὑπεμειναμεν αυτῳ, και ηγαλλιωμεθα και ευφρανθησομεθα επι τῃ σωτηριᾳ ἡμων. Esa. xxv.* 9. *ὡσπερ γαρ νυν ἑωρακασιν αἱ παροικοι Σιων την ὑμετεραν αιχμαλωσιαν, οὑτως οψονται εν ταχει την παρα του Θεου ὑμων σωτηριαν, ἡ επελευσεται ὑμιν μετα δοξης μεγαλης και λαμπροτητος του αιωνιου. Bar. iv.* 24. [*εξ αυτων ανετελει ὑμιν το σωτηριον τον Θεου. Test. XII Patr. p.* 542. *ἑως του ελθειν το σωτηριον τῳ Ισραηλ. Ib. p.* 614.]

31 Ὁ ἡτοιμασας κατα προσωπον παντων των λαων·

συ ἡτοιμασας ευθυτητας. Ps. xcviii. 4. *κατα προσωπον αυτου.* 2 *Par. xiii.* 7. *Job. xxxiii.* 5. *Exod. xxx.* 6. *alii. Ps. xxii.* 5.

32 Φως εις αποκαλυψιν εθνων, και δοξαν λαου σου Ισραηλ.

εδωκα σε—εις φως εθνων. Esa. xlii. 6. *xlix.* 6. *Conf. Act. xiii.* 47. *xxviii.* 28. *Ps. lxxxv.* 9. *Jer. ii.* 11. *Zach. ii.* 5. *Apoc. xxi.* 23. *εγνωρισε Κυριος το σωτηριον αυτου, εναντιον των εθνων απεκαλυψε την δικαιοσυνην αυτου. Ps. xcvii.* 2. *τῳ Ισραηλ εις δοξασμα. Esa. xlvi.* 13. *και εγενηθη μερις Κυριου λαος αυτου Ιακωβ· σχοινισμα κληρονομιας αυτου Ισραηλ. Deut. xxxii.* 9. *Conf. Rom. i.* 17. *ix.* 4. *ἑκαστῳ εθνει κατεστησεν ἡγουμενον, και μερις Κυριου Ισραηλ εστιν. Sir. xvii.* 17.

33 Και ην Ιωσηφ και ἡ μητηρ αυτου θαυμαζοντες επι τοις λαλουμενοις περι αυτου.

αυτοι ιδοντες οὑτως εθαυμασαν. Ps. xlvii. 5. *και θαυμασονται επ' αυτῃ. Lev. xxvi.* 32. *Conf. Esa. viii.* 18.

34 Και ευλογησεν αυτους Συμεων, και ειπε προς Μαριαμ την μητερα αυτου, Ιδου, οὑτος κειται εις πτωσιν και αναστασιν πολλων εν τῳ Ισραηλ, και εις σημειον αντιλεγομενον·

και ευλογησεν Ιακωβ τον Φαραω. Gen. xlvii. 7. *οὑτοι εις σημειον κειμενον. Jos. iv.* 6. *Phil. i.* 17. *και εσται εις πτωσιν. Esa. xvii.* 1.

προς λαον απειθουντα και αντιλεγοντα. *lxv.* 2. 1 *Mac. ii.* 6. *Ps. xvii.* 43. και ἡ παιδεια Κυριου Κυριου ανοιγει μου τα ωτα· εγω δε ουκ απειθω, ουδε αντιλεγω. *Esa. l.* 5. εν καιρῳ πτωσεως. *Sir. iii.* 31. *Conf. Esa. viii.* 14. *Matt. xxi.* 44. *Rom. ix.* 32. 1 *Pet. ii.* 8. 1 *Cor. i.* 23. 2 *Cor. ii.* 15, 16. *Sir. xiii.* 13. *Ose. iv.* 4.

35 Και σου δε αυτης την ψυχην διελευσεται ῥομφαια· ὁπως αν αποκαλυφθωσιν εκ πολλων καρδιων διαλογισμοι.

ῥυσαι απο ῥομφαιας την ψυχην μου. *Ps. xxi.* 20. ἡ ῥομφαια αυτων εισελθοι εις την καρδιαν αυτων. *xxxvi.* 15. Κυριος γινωσκει τους διαλογισμους των ανθρωπων. *xciii.* 11. *Conf.* 1 *Cor. iv.* 5. *Deut. viii.* 2. σιδηρον διηλθεν ἡ ψυχη αυτου. *Ps. civ.* 18. διεξελθοι δε δια σωματος αυτου βελος. *Job. xx.* 25. εισι πονηριαι εν τῃ ψυχῃ αυτου. *Ps. xxvi.* 25. *Conf. Joan. xv.* 22. *Act. v.* 33. *viii.* 21.

36 Και ην Αννα προφητις, θυγατηρ Φανουηλ, εκ φυλης Ασηρ· αὑτη προβεβηκυια εν ἡμεραις πολλαις, ζησασα ετη μετα ανδρος ἑπτα απο της παρθενιας αὑτης·

Μαριαμ ἡ φροφητις. *Exod. xv.* 20. ην δε τις εκ φυλης Λευι. *Exod. ii.* 1. προβεβηκως ταις ἡμεραις. *Jos. xxiii.* 1. ὡς γυνη παρθενιας. *Sir. xv.* 2. μακρον χρονον ζησεται. *Prov. xxviii.* 16. [ανηρ παρθενιας μου. *Test. XII Patr. p.* 621.] *Jud. iv.* 4. Ασηρ. *Conf. Gen. xxx.* 13. *Apoc. vii.* 6. και ουκ εγνω ανηρ αυτην πασας τας ἡμερας της ζωης αυτης, αφ᾽ ἡς ἡμερας απεθανε Μανασσης ὁ ανηρ αυτης. *Judith. xvi.* 22. [*Conf. Jos. Ant. xviii.* 6. 6.]

37 Και αὑτη χηρα ὡς ετων ογδοηκοντατεσσαρων, ἡ ουκ αφιστατο απο του ἱερου, νηστειαις και δεησεσι λατρευουσα νυκτα και ἡμεραν·

αἱ ενηστευσαν παρα τας θυρας της σκηνης του μαρτυριου. *Exod. xxxviii.* 8. 1 *Reg. i.* 22. και ημην νηστευων και προσευχομενος. *Neh. i.* 4. *Jer. xiv.* 12. *Sir. xxxii.* 26. ὡς δεκα ετη. *Ruth. i.* 4. ὁ Θεος σου ᾡ συ λατρευεις ενδελεχως. *Dan. vi.* 16. *Conf. Act. xxvi.* 7. 1 *Tim. v.* 5. ὁλην την ἡμεραν ευλογησουσιν αυτον. *Ps. lxxi.* 15.

38 Και αὑτη αυτῃ τῃ ὡρᾳ επιστασα ανθωμολογειτο τῳ Κυριῳ, και ελαλει περι αυτου πασι τοις προσδεχομενοις λυτρωσιν εν Ἱερουσαλημ.

αυτῃ τῃ ὡρᾳ ὁ λογος συνετελεσθη. *Dan. iv.* 30. ανθομολογησομεθα σοι εις τον αιωνα. *Ps. lxxviii.* 13. *Sir. xx.* 2. ἡμερας και νυκτος (*continue.*) *Ps. xxxi.* 4. εν αινῳ και ανθομολογησει. *Esd. iii.* 11.

Conf. Sir. xx. 1. *xvii.* 27. *Ps. cxvii.* 21. λυτρωσιν απεστειλε τῳ λαῳ αυτου. *Ps. cx.* 9.

39 Και ὡς ετελεσαν ἁπαντα τα κατα τον νομον Κυριου, ὑπ-
εστρεψαν εις την Γαλιλαιαν, εις την πολιν αὑτων Ναζαρετ.

και ὡς ετελεσθη ταυτα. *Esd. ix.* 1. και ποιησεις αυτο——κατα τον νομον αυτου. *Num. ix.* 3. *Conf. Matt. ii.* 23.

40 Το δε παιδιον ηυξανε, και εκραταιουτο πνευματι, πληρου-
μενον σοφιας· και χαρις Θεου ην επ᾽ αυτο.

Conf. cap. i. 80. εξεχυθη χαρις εν χειλεσι σου——διατουτο ευλογησε σε ὁ Θεος εις τον αιωνα. *Ps. xliv.* 2. ανδριζεσθε, και κραταιουσθω ἡ καρδια ὑμων. *Ps. xxx.* 24. *Conf. cap. i.* 66. πληρωθητω το στομα μου αινεσεως. *Ps. lxx.* 8. *Conf. Esa. xi.* 1-5. *Col. ii.* 3. πλησθησεται πνευματος. *Prov. xv.* 4.

41 Και επορευοντο οἱ γονεις αυτου κατ᾽ ετος εις Ἱερουσαλημ
τῃ ἑορτῃ του πασχα.

Conf. 1 *Reg. i.* 7. ἑορτης του πασχα. *Exod. xxxiv.* 25. *xxiii.* 15-17. *Deut. xvi.* 1. *Lev. xxiii.* 5. [πασχα σημαινει ὑπερβασιαν. *Jos. Ant. ii.* 14. 6.]

42 Και ὁτε εγενετο ετων δωδεκα, αναβαντων αυτων εις Ἱερο-
σολυμα κατα το εθος της ἑορτης,

αναβησονται κατ᾽ ενιαυτον του προσκυνησαι. *Zach. xiv.* 16. καγω μονος επορευομην πλεονακις εις Ἱεροσολυμα εν ἑορταις, κ. τ. λ. *Tob. i.* 6.

43 Και τελειωσαντων τας ἡμερας, εν τῳ ὑποστρεφειν αυτους,
ὑπεμεινεν Ιησους ὁ παις εν Ἱερουσαλημ· και ουκ εγνω Ιωσηφ
και ἡ μητηρ αυτου.

εν τῳ συναχθηναι λαους. *Ps. ci.* 22. ὁ ανηρ Ιουδας. 1 *Mac. v.* 63. ἑως οὑ ετελειωσε Σαλωμων τον οικον Κυριου. 2 *Par. viii.* 16. *Neh. vi.* 16. *Conf.* 2 *Par. xxx.* 22-23. και εποιησαν οἱ υἱοι Ισραηλ οἱ εὑρεθεντες το φασεκ εν τῳ καιρῳ εκεινῳ, και την ἑορτην των αζυμων ἑπτα ἡμερας. *xxxv.* 17.

44 Νομισαντες δε αυτον εν τῃ συνοδιᾳ ειναι, ηλθον ἡμερας ὁδον,
και ανεζητουν αυτον εν τοις συγγενεσι και εν τοις γνωστοις·

νομισας δε ὁ Μενελαος ειληφεναι καιρον ευφυη. 2 *Mac. iv.* 32. και συνηξα τους εντιμους και τους αρχοντας και τον λαον εις συνοδιας——οἱ ανεβησαν εν πρωτοις. *Neh. vii.* 5. 64. πορευσομεθα ουν ὁδον τριων ἡμερων. *Exod. iii.* 18. *Conf. Ps. xli.* 4. εν τοις γνωστοις. *Conf. Ps. xxxi.* 11. *lxxxviii.* 8. [ληστης γαρ ην μονοτροπος, επειτα και συνοδιαν εὑρε της τολμης. *Jos. Bell. Jud. ii.* 21. 1.]

45 Και μη εὑροντες αυτον, ὑπεστρεψαν εις Ἱερουσαλημ, ζητουντες αυτον.

ὑπεστρεψεν εις τα ιδια. *Est. vi.* 12. εζητει αυτον, και ουκ εὑρισκετο. 1 *Reg. x.* 21. *Ps. xxxvi.* 38. *Cant. iii.* 2-4.

46 Και εγενετο μεθ' ἡμερας τρεις, εὑρον αυτον εν τῳ ἱερῳ, καθεζομενον εν μεσῳ των διδασκαλων, και ακουοντα αυτων, και επερωτωντα αυτους.

και εγενετο μεθ' ἡμερας. *Gen. iv.* 3. εν μεσῳ σοφων. *Prov. xvi.* 32. [*Ald. Oxon.*] *Conf. Esa. xlix. i.* 2. *l.* 4. μεθ' ἡμερας τρεις (*tertio die*). *Conf. Deut. xiv.* 28. και εζητησαν τρεις ἡμερας, και ουχ εὑρον αυτον, κ.τ.λ. 4 *Reg. ii.* 17, 18. διδασκαλῳ Πτολεμαιου του βασιλεως, οντι δε απο τουτων χριστων γενους, κ. τ. λ. 2 *Mac. i.* 10.

47 Εξισταντο δε παντες οἱ ακουοντες αυτου, επι τῃ συνεσει και ταις αποκρισεσιν αυτου.

Conf. Matt. xii. 23. εξεστη ὁ ουρανος επι τουτῳ. *Jer. ii.* 12. *Exod. xix.* 18. *Mich. vii.* 17. *Conf. Marc. i.* 22. *Luc. iv.* 22. *Joan. vii.* 15.

48 Και ιδοντες αυτον, εξεπλαγησαν· και προς αυτον ἡ μητηρ αυτου ειπε, Τεκνον, τι εποιησας ἡμιν οὑτως; ιδου, ὁ πατηρ σου καγω οδυνωμενοι εζητουμεν σε.

αυτοι ιδοντες οὑτως εξεπλαγησαν. *Ps. xlvii.* 5. *Sym.* τι τουτο εποιησας ἡμιν; *Gen. xx.* 9. *Conf. Sap. xiii.* 4. 2 *Mac. vii.* 12.

49 Και ειπε προς αυτους, Τι ὁτι εζητειτε με; ουκ ῃδειτε ὁτι εν τοις του πατρος μου δει ειναι με;

και επικειται ἡμιν τα της βασιλειας. 1 *Mac. vi.* 57. εν τοις Αμαν. *Est. vii.* 9. παντα τα του πατρος ἡμων. *Gen. xxxi.* 1. *Vide Keuchen et Krebsium in loc.* ῃδειτε. *Deut. xiii.* 13. εν τοις του πατρος (*in domo Patris mei*). *Ita*, εν τοις πατρικοις αυτης. *Sir. xlii.* 10. *Conf. Mal. iii.* 1. του ποιησαι το θελημα σου ὁ Θεος μου ηβουληθην, κ.τ.λ. *Ps. xxxix.* 8. [οἱ τον πατερα και τα του πατρος τιμωντες. *Philo, de temulent. p.* 250.] [εν τοις του Διος. *Jos. c. Ap.* 1.] και παντων των του πατρος μου. *Gen. xli.* 51. *Conf. Matt. xxi.* 13, 13. *Joan. ii.* 16. *iv.* 34. *vi.* 38. *viii.* 29.

50 Και αυτοι ου συνηκαν το ῥημα ὁ ελαλησεν αυτοις.

ανηρ αφρων—ου συνησει ταυτα. *Ps. xci.* 6. ἑως του φανερα γενεσθαι τα ῥηματα ὑμων. *Gen. xlii.* 16. *Conf. cap. ix.* 45. *xviii.* 34. τουτο ην το ῥημα ὁ ελαλησαμεν προς σε. *Exod. xiv.* 12.

51 Και κατεβη μετ' αυτων, και ηλθεν εις Ναζαρετ· και ην
ὑποτασσομενος αυτοις. Και ἡ μητηρ αυτου διετηρει παντα τα
ῥηματα ταυτα εν τῃ καρδιᾳ αὐτης.

δικαιον ὑποτασσεσθαι τῳ Θεῳ. 2 *Mac. ix.* 12. ὁ δε πατηρ αυτου διετηρησε το ῥημα. *Gen. xxxvii.* 11. [*Citat Philo. lib. iii. de Somn.* 868. 871.] και ὑπεταξατε αυτους του ειναι ὑμιν εις παιδας. *Jer. xli.* 16. *Comp.* και το ῥημα εν τῃ καρδιᾳ μου διετηρησα. *Dan. vii.* 28. *Conf. Matt. ii.* 23. *iii.* 15. *Marc. vi.* 3.

52 Και Ιησους προεκοπτε σοφιᾳ και ἡλικιᾳ, και χαριτι παρα
Θεῳ και ανθρωποις.

και το παιδαριον Σαμουηλ επορευετο, και ην αγαθον μετα Κυριου και μετα ανθρωπων. 1 *Reg. ii.* 26. *Sir. xlv.* 1. *Conf. Esa. xi.* 2. εὑρε χαριν εναντιον Κυριου. *Gen. vi.* 8. τῳ καλλει σου, και εντεινον, και κατευοδου. (*Chrys.* προκοπτε). *Ps. xliv.* 4. προκοπη εγενετο μοι εν αυτῃ. *Sir. li.* 17. *Conf. sup. i.* 80. *ii.* 40. και εὑρησεις χαριν· και προνοου καλα ενωπιον Κυριου και ανθρωπων. *Prov. iii.* 1-4. εξεχυθη χαρις εν χειλεσι σου, δια τουτο ευλογησε σε ὁ Θεος εις τον αιωνα. *Ps. xliv.* 2.

ΚΕΦ. γ. 3.

ΕΝ ετει δε πεντεκαιδεκατῳ της ἡγεμονιας Τιβεριου Καισαρος, ἡγεμονευοντος Ποντιου Πιλατου της Ιουδαιας, και τετραρχουντος της Γαλιλαιας Ἡρωδου, Φιλιππου δε του αδελφου αυτου τετραρχουντος της Ιτουραιας και Τραχωνιτιδος χωρας, και Λυσανιου της Αβιληνης τετραρχουντος,

εν ετει οκτωκαιδεκατῳ Ιωσαφατ. 4 *Reg. iii.* 1. *et pass.* 1 *Esd. vi.* 1. και εν τῳ οκτωκαιδεκατῳ ετει, βασιλευοντος Ἱεροβοαμ, κ. τ. λ. 3 *Reg. xv.* 1. ουκ εκλειψει αρχων εξ Ιουδα—ἑως αν ελθῃ, κ. τ. λ. *Gen. xlix.* 10. [Πιλατος ὁ της Ιουδαιας ἡγεμων. *Jos. Ant. xviii.* 3. 1. *Trachonitis. Conf. Jos. Ant. i.* 6. 4. *xv.* 10. 1. *xviii.* 4. 6. *xx.* 7. 1. *Bell. Jud. ii.* 6. 3. *iii.* 3. 5. Αβιλαν δε την Λυσανιου, κ. τ. λ. *Ant. xix.* 5. 1. συν Αβιλᾳ, Λυσανιᾳ δε αυτη εγεγονει τετραρχια. *xx.* 6. 1. την δε Γαλιλαιων τετραρχιαν ειχεν οὑτος (*Herodes*). *Ant. xviii.* 6. 4. Πιλατος ην των ὑπαρχων επιτροπος αποδεδειγμενος της Ιουδαιας. *Philo. leg. ad Cai. p.* 1033.]

2 Επ' Αρχιερεων Αννα και Καϊαφα, εγενετο ῥημα Θεου επι
Ιωαννην τον του Ζαχαριου υἱον εν τῃ ερημῳ·

επι Μωυσῃ (*tempore Mosis.*) 2 *Mac. ii.* 8. επι του Ευεργετου βασιλεως. *Sir. Prol. Conf. Marc. ii.* 26. το ῥημα του Θεου ὁ εγενετο

επι Ἱερεμιαν. *Jer. i.* 1. ῥημα. *Conf. Gen. xv.* 1. 3 *Reg. xviii.* 1. *Jer. vi.* 10. *Joan. xi.* 49, 51. *Act. iv.* 6. *Ose. i.* 1. *Mich. i.* 1.

3 Και ηλθεν εις πασαν την περιχωρον του Ιορδανου, κηρυσσων
βαπτισμα μετανοιας εις αφεσιν ἁμαρτιων·

επειδε πασαν την περιχωρον του Ιορδανου. *Gen. xiii.* 10, 11. αφεθη —αυτοις ἡ ἁμαρτια. *Esa. xxxiii.* 24. *lv.* 57. *Conf. Matt. iii.* 1. *Marc. i.* 4. *Joan. i.* 31. [την αφεσιν των ἁμαρτ. *Barn. Epist.* § 6.]

4 Ὡς γεγραπται εν βιβλῳ λογων Ἡσαϊου του προφητου, λε-
γοντος, Φωνη βοωντος εν τῃ ερημῳ, Ἑτοιμασατε την ὁδον
Κυριου· ευθειας ποιειτε τας τριβους αυτου.

Conf. Matt. iii. 3. *Marc. i.* 3. *Joan. i.* 23. *Esa. xl.* 3-5.—τας τριβους του Θεου ἡμων—κατα τα γεγραμμενα εν βιβλιῳ Μωυση. 1 *Esd. i.* 11. *Conf. Matt. iii.* 3. *Marc. i.* 3. *Joan. i.* 23.

5 Πασα φαραγξ πληρωθησεται, και παν ορος και βουνος τα-
πεινωθησεται· και εσται τα σκολια εις ευθειαν, και αἱ τραχειαι
εις ὁδους λειας.

[δια τραχειας και ατριβης ερημης βαδιζοντας. *Philo. de Vit. Mos. p.* 628.] και παν ορος ηροτριωμενον αροτριωθησεται, κ.τ.λ. *Esa. vii.* 25. και φαραγγας πληρουσθαι, κ. τ. λ. *Bar. v.* 7.

6 Και οψεται πασα σαρξ το σωτηριον του Θεου.

και το σωτηριον Κυριου ευαγγελιουνται. *Esa. lx.* 6. και εσται παντα τα σκολια εις ευθειαν και ἡ τραχεια εις πεδια. Και οφθησεται ἡ δοξα Κυριου, και οψεται πασα σαρξ το σωτηριον του Θεου. *Esa. xl.* 4, 5. *lii.* 10. *Ps. xcvii.* 2. εις ὁδους λειας. *Alex. Ald.* πεδια λεια. *Comp. CITAT.* 70.

7 Ελεγεν ουν τοις εκπορευομενοις οχλοις βαπτισθηναι ὑπ' αυ-
του, Γεννηματα εχιδνων, τις ὑπεδειξεν ὑμιν φυγειν απο της
μελλουσης οργης;

γεννηματα εχιδνων. *Conf. Gen. iii.* 15. *Joan. viii.* 44. 1 *Joan. iii.* 8. *Matt. iii.* 7. *xxiii.* 33. *Ps. lvii.* 4, 5.

8 Ποιησατε ουν καρπους αξιους της μετανοιας· και μη αρξησθε
λεγειν εν ἑαυτοις, Πατερα εχομεν τον Αβρααμ· λεγω γαρ
ὑμιν, Ὁτι δυναται ὁ Θεος εκ των λιθων τουτων εγειραι τεκνα
τῳ Αβρααμ.

ξυλον καρπιμον ποιουν καρπον. *Gen. i.* 12. ειπε δε εν ἑαυτῳ. *Est. vi.* 6. νυν ηρξαμην λαλησαι. *Gen. xviii.* 27. ηρξαντο—γινεσθαι. *vi.* 1. ηρξαντο ποιησαι, *xi.* 6. αναστησον σπερμα τῳ αδελφῳ σου.

xxxviii. 8. *Conf. Matt. iii.* 9. *Joan. viii.* 39. *Act. xiii.* 26. *Esa. i.* 16-18. *Ezech. xviii.* 17-21. ακουσατε ταυτα οικος Ιακωβ, οι κεκλημενοι επι τῳ ονοματι Ισραηλ, κ. τ. λ. *Esa. xlviii.* 1. 2. μη πεποιθατε εφ' ἑαυτοις επι λογοις ψευδεσι—λεγοντες, Ναος Κυριου, Ναος Κυριου, κ. τ. λ. *Jer. vii.* 4, 5.

9 Ηδη δε και ἡ αξινη προς την ῥιζαν των δενδρων κειται. παν ουν δενδρον μη ποιουν καρπον καλον εκκοπτεται και εις πυρ βαλλεται.

εν αξιναις ἠξουσιν επ' αυτην· ὡς κοπτοντες ξυλα. *Jer. xxvi.* 22. ὡς εν δρυμῳ ξυλων αξιναις εξεκοψαν. *Ps. lxxiii.* 5. *Conf. Matt. iii.* 10. *vii.* 19. 1 *Pet. iv.* 17. *Joan. xv.* 2. 6. τινι ὡμοιωθης; καταβηθι, και κακαβιβασθητι μετα των ξυλων της τρυφης εις γης βαθος, κ. τ. λ. *Ezech. xxxi.* 18. *Conf. Esa. x.* 33, 34.

10 Και επηρωτων αυτον οἱ οχλοι λεγοντες, Τι ουν ποιησομεν;

Conf. Act. ii. 37. *ix.* 6. *xvi.* 20. *Gen. xxxviii.* 21. *xliii.* 7.

11 Αποκριθεις δε λεγει αυτοις, Ὁ εχων δυο χιτωνας, μεταδοτω τῳ μη εχοντι· και ὁ εχων βρωματα, ὁμοιως ποιειτω.

ευλογια εις κεφαλην του μεταδιδοντος. *Prov. xi.* 26. και ουχι ορφανῳ μετεδωκα. *Job. xxxi.* 17. *Conf.* 1 *Joan. iii.* 17. *Jac. ii.* 15. 1 *Pet. iv.* 8. διαθρυπτε πεινωντι τον αρτον σου, κ. τ. λ. *Esa. lviii.* 7.

12 Ηλθον δε και τελωναι βαπτισθηναι, και ειπον προς αυτον, Διδασκαλε, τι ποιησομεν;

Conf. Matt. xxi. 32. [τελωναι. *Conf. Jos. Ant. xii.* 4. 1-4.]

13 Ὁ δε ειπε προς αυτους, Μηδεν πλεον παρα το διατεταγμενον ὑμιν πρασσετε.

Conf. cap. xix. 8. τα διατεταγμενα. *Jud. v.* 9. *Dan. i.* 5.

14 Επηρωτων δε αυτον και στρατευομενοι λεγοντες, Και ἡμεις τι ποιησομεν; Και ειπε προς αυτους, Μηδενα διασεισητε, μηδε συκοφαντησητε· και αρκεισθε τοις οψωνιοις ὑμων.

ὑπο μηδενος διασεισθεντες των ὑπαρχοντων. 3 *Mac. vii.* 21. *Conf. Prov. xxii.* 22. *Aq. Prov. xxviii.* 24. *Theod.* 1 *Reg. xii.* 3. ὁ συκοφαντων πενητα παρωξυνει τον ποιησαντα αυτον. *Prov. xiv.* 31. και ουκ αρκεσθεις δε τουτοις. 2 *Mac. v.* 15. και εδωκεν αυτοις οψωνια. 1 *Mac. iv.* 32. 1 *Esd. iv.* 56. 1 *Mac. iii.* 28. 1 *Joan. iv.* 20. [*Conf. Sturz. p.* 187.] Ου κλεψετε, ου ψευσεσθε, ουδε συκοφαντησει ἑκαστος τον πλησιον. *Lev. xix.* 11.

15 Προσδοκωντος δε του λαου, και διαλογιζομενων παντων εν

ταις καρδιαις αὑτων περι του Ιωαννου, μηποτε αυτος ειη ὁ Χριστος,

μηποτε. Sir. xxxvii. 8. *Gen. xlvii.* 18. *xxiv.* 5. *l.* 15. [*Conf. Sturz. p.* 184.] *και διελογιζετο περι Αλεξανδρου.* 1 *Mac. xi.* 8.

16 Απεκρινατο ὁ Ιωαννης *ἁπασι λεγων,* Εγω *μεν ὑδατι βαπ-*
τιζω ὑμας· ερχεται δε ὁ ισχυροτερος μου, οὑ ουκ ειμι ἱκανος λυσαι τον ἱμαντα των ὑποδηματων αυτου· αυτος ὑμας βαπτισει εν Πνευματι *ἁγιῳ και πυρι·*

17 Οὑ *το πτυον εν τῃ χειρι αυτου, και διακαθαριει την ἁλωνα αὑτου· και συναξει τον σιτον εις την αποθηκην αὑτου, το δε αχυρον κατακαυσει πυρι ασβεστῳ.*

και πυρωσω αυτους, ὡς πυρουται το αργυριον, κ. τ. λ. Zach. xiii. 9. *εν πνευματι κρισεως, και πνευματι καυσεως. Esa. iv.* 4. *Conf. Matt. iii.* 11, 12. *Marc. i.* 7. *Joan. i.* 26. *Act. i.* 5. *Esa. xliv.* 3. 1 *Cor. xii.* 13. *Mal. iii.* 3. *iv.* 1.

18 Πολλα *μεν ουν και ἑτερα παρακαλων ευηγγελιζετο τον λαον·*

ευαγγελισασθαι πτωχοις. Esa. lxi. 1. *ὁ ευαγγελιζομενος* Ἱερουσαλημ. *xl.* 9. *Conf. Act. viii.* 25. 40. *Joan. i.* 15, 29. *iii.* 27-36. *Act. ii.* 40.

19 Ὁ *δε* Ἡρωδης *ὁ τετραρχης ελεγχομενος ὑπ᾽ αυτου περι* Ἡρωδιαδος *της γυναικος* Φιλιππου *του αδελφου αυτου, και περι παντων ὡν εποιησε πονηρων ὁ* Ἡρωδης,

ηλεγξεν Ἀβρααμ *τον* Αβιμελεχ. *Gen. xxi.* 25. *ποιησαι το πονηρον. Jud. iv.* 1. *et pass. Conf. Matt. xiv.* 3. *Marc. vi.* 17. *Prov. ix.* 7. [Ἡρωδιας *δε αυτων ἡ αδελφη γημεται* Ἡρωδῃ, Ἡρωδου *του μεγαλου παιδι, κ. τ. λ. Jos. Ant. xviii.* 6. 4.]

20 Προσεθηκε *και τουτο επι πασι, και κατεκλεισε τον* Ιωαν-
νην εν τῃ φυλακῃ.

και προσεθηκεν ετι λαλησαι προς αυτον. Gen. xviii. 29. *προσθειναι ἁμαρτιας εφ᾽ ἁμαρτιας. Esa. xxx.* 1. *εν ῃ* (*φυλακῃ*) *κατεκλεισεν αυτον ὁ βασιλευς. Jer. xxxix.* 3. *καρδια σκληρα βαρυνθησεται πονοις, και ὁ ἁμαρτωλος προσθησει ἁμαρτιαν εφ᾽ ἁμαρτιαις. Sir. iii.* 27. [*προστεθηκεν ἁμαρτιας εφ᾽ αμαρτιας τῃ ζωῃ αυτου. Test. XII Patr. p.* 927.] [*επι—præter, insuper, επι πασι τουτοις ογδοον πνευμα. Test. XII Patr. p.* 523.]

21 Εγενετο δε εν τῳ βαπτισθηναι ἁπαντα τον λαον, και Ιησου βαπτισθεντος και προσευχομενου, ανεῳχθηναι τον ουρανον,

και εγενετο εν τῳ κρινειν τους κριτας. Ruth. i. 1. 1 Mac. v. 40. Sir. x. 11. και ηνοιχθησαν οἱ ουρανοι, και ιδον ὁρασεις Θεου. Ezech. i. 1. Conf. Matt. iii. 16. Marc. i. 5. 9. Joan. i. 32.

22 Και καταβηναι το Πνευμα το ἁγιον σωματικῳ ειδει ὡσει περιστεραν επ' αυτον, και φωνην εξ ουρανου γενεσθαι λεγουσαν, Συ ει ὁ υἱος μου ὁ αγαπητος, εν σοι ηυδοκησα.

Conf. Matt. iii. 16, 17. Marc. ix. 7. cap. ix. 35. ὁμοιωμα ὡς ειδος ανδρος. Ezech. viii. 2. Ald. εδωκα το πνευμα μου επ' αυτον. Esa. xlii. 1. [σωματικος. Jos. Bell. Jud. vi. 1. 6.]

23 Και αυτος ην ὁ Ιησους ὡσει ετων τριακοντα αρχομενος, ων (ὡς ενομιζετο) υἱος Ιωσηφ, του Ηλι,

ην—αρχομενος. = Gen. i. 6. Exod. vii. 15. ων ετων εικοσι—εβασιλευσε. 2 Par. xxii. 2. οντος αυτου τριακοντα και δυο ετων, κ. τ. λ. xxi. 5. Num. xxxiii. 39. 2 Par. xxiv. 1. ὡσει δεκα χιλιαδας ανδρων. Jud. iii. 29. [ὡσει ετων, κ. τ. λ. Test. XII Patr. p. 544.] ὡσει ὡραν θυσιας ἑσπερινης. Dan. ix. 21. Vide Keuchen in loc. ηρευνησε—αρξαμενος. Gen. xliv. 12. Conf. Num. iv. 3. xxxv. 39, 47. 1 Par. xxiii. 3. Matt. xiii. 55. Marc. vi. 3. Joan. vi. 42.

24 Του Ματθατ, του Λευϊ, του Μελχι, του Ιαννα, του Ιωσηφ,

23-38.] Αχαρ υἱος Χαρμι, υἱου Ζαμβρι, υἱου Ζαρα. Jos. vii. 1. 1 Chron. vi. 33. Conf. Raphel. in loc. Μαρδοχαιος ὁ του Ιαϊρου, του Σεμειου, του Κισαιου. Est. ii. 5. Ps. lxxvii. 23. και θυρας ουρανου ανεῳξε. Ματταθιας Ιωαννου του Συμεων. 1 Mac. ii. 1. 1 Esd. viii. 2. Tob. i. 1. Conf. Matt. i. 1.

25 Του Ματταθιου, του Αμως, του Ναουμ, του Εσλι, του Ναγγαι,

26 Του Μααθ, του Ματταθιου, του Σεμεϊ, του Ιωσηφ, του Ιουδα,

27 Του Ιωαννα, του Ῥησα, του Ζοροβαβελ, του Σαλαθιηλ, του Νηρι,

28 Του Μελχι, του Αδδι, του Κωσαμ, του Ελμωδαμ, του Ηρ,

29 Του Ιωση, του Ελιεζερ, του Ιωρειμ, του Ματθατ, του Λευϊ,

30 Του Συμεων, του Ιουδα, του Ιωσηφ, του Ιωναν, του Ελιακειμ,

31 Του Μελεα, του Μαϊναν, του Ματταθα, του Ναθαν, του Δαβιδ,

Conf. 2 *Reg. v.* 14. 1 *Par. iii.* 5. *Zach. xii.* 13.

32 Του Ιεσσαι, του Ωβηδ, του Βοοζ, του Σαλμων, του Νασσων,

Conf. Matt. i. 5. *Ruth. iv.* 18. 1 *Par. ii.* 10.

33 Του Αμιναδαβ, του Αραμ, του Εσρωμ, του Φαρες, του Ιουδα,

Conf. Matt. i. 4.

34 Του Ιακωβ, του Ισαακ, του Αβρααμ, του Θαρα, του Ναχωρ,

Ἀβρααμ. Ὑιοι δε Ἀβρααμ Ισαακ και Ισραηλ. 1 *Par. i.* 27, 28. *Gen. v.* 6. *xi.* 10.

35 Του Σαρουχ, του Ῥαγαυ, του Φαλεκ, του Εβερ, του Σαλα,

υἱοι Σημ, Αιλαμ, και Ασσουρ, και Αρφαξαδ, Σαλα, Εβερ, Φαλεγ, Ῥαγαυ, Σερουχ, Ναχωρ, Θαῤῥα. 1 *Par. i.* 17-26. *Gen. xi.* 12-26.

36 Του Καϊναν, του Αρφαξαδ, του Σημ, του Νωε, του Λαμεχ,

Νωε. Ὑιοι Νωε, Σημ, Χαμ, Ιαφεθ. 1 *Par. i.* 3. *Gen. xi.* 12. *v.* 32.

37 Του Μαθουσαλα, του Ενωχ, του Ιαρεδ, του Μαλελεηλ, του Καϊναν,

Ενωχ, Μαθουσαλα, Λαμεχ. 1 *Par. i.* 3. *Conf. Gen. v.* 9-19. *xi.* 12. Καϊναν, Μαλελεηλ. Ιαρεδ. 1 *Par. i.* 2.

38 Του Ενως, του Σηθ, του Αδαμ, του Θεου.

ὑπερ παν ζωον εν τῃ κτισει Αδαμ. *Sir. xlix.* 16. Αδαμ, Σηθ, Ενως. 1 *Par. i.* 1. *Gen. v.* 3. και ειπεν ὁ Θεος, Ποιησωμεν ανθρωπον κατ' εικονα ἡμετεραν, κ. τ. λ. *Gen. i.* 26. *ii.* 7. *Conf. Esa. lxiv.* 8. *Act. xvii.* 26-29. 1 *Cor. xv.* 45. [ἡ μεν ἡμετερα γενεσις εξ ανθρωπων, τον δε (πρωτον ανθρωπον) Θεος εδημιουργησε, *Philo. de Mund. Opif. i. p.* 33. 39. του δε πατηρ μεν θνητος ουδεις, ουτε αιτιος, αλλ' η Θεος. *de Nobil. ii. p.* 440.]

Κεφ. δ. 4.

1 ΙΗΣΟΥΣ δε Πνευματος ἁγιου πληρης ὑπεστρεψεν απο του Ιορδανου· και ηγετο εν τῳ Πνευματι εις την ερημον

και αναπαυσεται επ' αυτον πνευμα του Θεου, πνευμα σοφιας κ.τ.λ. *Esa. xi.* 2-4. πληρης κρισεως. *Esa. i.* 21. *li.* 20. και το πνευμα

εξηρε με και ανελαβε με, κ. τ. λ. *Ezech. iii.* 14. πληρης δοξης Κυριου. *Ezech. xliii.* 5. *Alex. Conf. Matt. iv.* 1. *Marc. i.* 12. *Act. viii.* 39. εν σοι ῥυσθησομαι κ. τ. λ. *Ps. xvii.* 28. 1 *Reg. xiv.* 6. ηγετο. *Ezech. xxxii.* 9. *xxxviii.* 16. *Conf. Rom. viii.* 14. *Gal. v.* 18.

2 Ἡμερας τεσσαρακοντα, πειραζομενος ὑπο του διαβολου. και
ουκ εφαγεν ουδεν εν ταις ἡμεραις εκειναις· και συντελεσθεισων
αυτων, ὑστερον επεινασε.

Conf. Matt. iv. 2. *Marc. i.* 13. *Exod. xxxiv.* 28. 3 *Reg. xix.* 8. *Deut. ix.* 9. *Gen. iii.* 15. ὡς αν συνετελεσθησαν αἱ ἡμεραι του ποτου. *Job. i.* 5.

3 Και ειπεν αυτῳ ὁ διαβολος, Ει υἱος ει του Θεου, ειπε τῳ λιθῳ
τουτῳ ἱνα γενηται αρτος.

Conf. Gen. i. 3, 6. *Matt. iv.* 3. *xxvii.* 40. *Joan. i.* 34, 50. *Exod. iv.* 3.

4 Και απεκριθη Ιησους προς αυτον λεγων, Γεγραπται, Ὁτι
ουκ επ᾽ αρτῳ μονῳ ζησεται ὁ ανθρωπος, αλλ᾽ επι παντι ῥηματι Θεου.

ουκ επ᾽ αρτῳ μονῳ ζησεται ὁ ανθρωπος. *Deut. viii.* 3. *Sap. xvi.* 26. *Conf. Matt. iv.* 4. Ιδου γεγραπται. *Esa. lxv.* 6. *CITAT.* 71.

5 Και αναγαγων αυτον ὁ διαβολος εις ορος ὑψηλον, εδειξεν αυτῳ
πασας τας βασιλειας της οικουμενης εν στιγμῃ χρονου·

επ᾽ ορος ὑψηλον αναβηθι ὁ ευαγγελιζομενος Σιων. *Esa. xl.* 9. και εσται ὡς στιγμη παραχρημα. *xxix.* 5. αναγαγων. *Exod. viii.* 5. *Jer. ii.* 6. *Conf. Matt. iv.* 8. *Ephes. ii.* 2.

6 Και ειπεν αυτῳ ὁ διαβολος, Σοι δωσω την εξουσιαν ταυτην
ἁπασαν και την δοξαν αυτων· ὁτι εμοι παραδεδοται, και ᾧ εαν
θελω διδωμι αυτην·

παραδεδωκα ενωπιον ὑμων την γην. *Deut. i.* 8. *Alex. Ald. Comp.* ὡς θελεις. *Est. iii.* 11. *Comp. Conf. Joan. xii.* 31. *xiv.* 30. *Apoc. xiii.* 7.

7 Συ ουν εαν προσκυνησῃς ενωπιον μου, εσται σου παντα.

και προσεκυνησεν Ἀβρααμ εναντιον του λαου της γης. *Gen. xxiii.* 12. και προσεκυνησαν ενωπιον αυτου. *Ps. xxi.* 29. *Matt. iv.* 9.

8 Και αποκριθεις αυτῳ ειπεν ὁ Ιησους, Ὑπαγε οπισω μου,
Σατανα· γεγραπται γαρ, Προσκυνησεις Κυριον τον Θεον σου,
και αυτῳ μονῳ λατρευσεις.

Conf. Matt. iv. 10. *etc. Deut. vi.* 13. 1 *Reg. vii.* 3. *CITAT.* 72.

9 Και ηγαγεν αυτον εις Ἱερουσαλημ, και εστησεν αυτον επι το

πτερυγιον του ἱερου, και ειπεν αυτῳ, Ει ὁ υἱος ει του Θεου,
βαλε σεαυτον εντευθεν κατω·

Conf. Matt. iv. 5. ῥιπτειν ἑαυτον κατα τινος. 4 *Mac. xii.* 10. *xvii.* 1.
και επι το ἱερον βδελυγμα των ερημωσεων εσται. *Dan. ix.* 27.

10 Γεγραπται γαρ, Ὁτι τοις αγγελοις αὑτου εντελειται περι
σου, του διαφυλαξαι σε·

11 Και ὁτι επι χειρων αρουσι σε, μηποτε προσκοψῃς προς λι-
θον τον ποδα σου.

Conf. Matt. iv. 6. Ὁτι τοις αγγελοις αυτου εντελειται περι σου, του
διαφυλαξαι σε εν πασαις ταις ὁδοις σου. *Ps. xc.* 11. *CITAT.* 73.

12 Και αποκριθεις ειπεν αυτῳ ὁ Ιησους, Ὁτι ειρηται, Ουκ εκ-
πειρασεις Κυριον τον Θεον σου.

Conf. Matt. iv. 7. και ερρεθη προς Ἀβραμ. *Gen. xv.* 13. *Judith. viii.*
12. Ουκ εκπειρασεις Κυριον τον Θεον σου. *Deut. vi.* 16. *CITAT.* 74.

13 Και συντελεσας παντα πειρασμον ὁ διαβολος, απεστη απ᾽
αυτου αχρι καιρου.

και συνετελεσαν την ἑορτην των αζυμων. 2 *Par. xxx.* 22. *Ruth. iii.*
18. αχρι αιωνος. 2 *Mac. xiv.* 15. *Conf. Joan. xiv.* 30. *Heb. iv.* 15.

14 Και ὑπεστρεψεν ὁ Ιησους εν τῃ δυναμει του Πνευματος εις
την Γαλιλαιαν· και φημη εξηλθε καθ᾽ ὁλης της περιχωρου
περι αυτου.

εν τῳ πνευματι. *Ps. xviii.* 29. οἱ βουνοι και ἡ δυναμις των ορεων.
Jer. iii. 23. *Conf. Act. i.* 8. φημη. *Prov. xvi.* 1. και επορευθη Σιμων
εις την Γαλιλαιαν. 1 *Mac. v.* 21. *Conf. Matt. iv.* 12. *Marc. i.* 14.
Joan. iv. 43. *Act. x.* 37. περιχωρου. *Matt. iii.* 5. *xiv.* 35.

15 Και αυτος εδιδασκεν εν ταις συναγωγαις αυτων, δοξαζομε-
νος ὑπο παντων.

εθνη ἁ ουκ οιδασι σε, επικαλεσονται σε—ἑνεκεν Κυριου του Θεου
σου, του ἁγιου Ισραηλ, ὁτι εδοξασε σε. *Esa. lv.* 5.

16 Και ηλθεν εις την Ναζαρετ, οὑ ην τεθραμμενος. και εισηλθε
κατα το ειωθος αυτῳ, εν τῃ ἡμερᾳ των σαββατων, εις την συν-
αγωγην, και ανεστη αναγνωναι.

κατα το ειωθος αυτῳ. *Num. xxiv.* 1. εν τῃ ἡμερᾳ των σαββατων.
Exod. xxxv. 3. εστη Εσδρας—και αναγνωστης το νομου. *Esd. ix.*
42. ὁς ετρεφε τον Αντιοχον το παιδαριον. 1 *Mac. xi.* 39. *Conf. Matt.*
ii. 23. *Marc. vi.* 1. *Joan. iv.* 43. [ὁ μεν τας βιβλους αναγινωσκει
λαβων, ἑτερος δε των εμπειροτατων, ὁσα μη γνωριμα παρελθων
αναγινωσκει. *Conf. Philo. p.* 679. *Edit. Col.*]

17 *Και επεδοθη αυτῳ βιβλιον Ἡσαΐου του προφητου· και αναπτυξας το βιβλιον, εὑρε τον τοπον οὑ ην γεγραμμενον,*

και ηνοιξεν Εσδρας το βιβλιον ενωπιον παντος του λαου—και εγενετο ἡνικα ηνοιξεν αυτο, εστη πας ὁ λαος κ. τ. λ. *Neh. viii.* 5, 6. ανεπτυξεν αυτα (τα βιβλια). 4 *Reg. xix.* 14. *Ps. xxxix.* 7. 1 *Mac. iii.* 48. και εσται ὑμιν τα ῥηματα παντα ταυτα ὡς οἱ λογοι του βιβλιου του εσφραγισμενου τουτου, ὁ εαν δωσιν αυτο ανθρωπῳ επισταμενῳ γραμματα κ. τ. λ. *Esa. xxix.* 11, 12. και ελαβεν Εζεκιας τα βιβλια—και ανεγνω αυτα—και ανεπτυξεν αυτα Εζεκιας κ.τ.λ. 4 *Reg. xix.* 14. και συνηχθησαν πας ὁ λαος ὡς ανηρ εἱς εις το πλατος το εμπροσθεν πυλης—και ηνεγκεν Εσδρας ὁ ἱερευς τον νομον ενωπιον της εκκλησιας, κ. τ. λ. *Neh. viii.* 1, 2. 1 *Esd. ix.* 40-45.

18 *Πνευμα Κυριου επ' εμε· οὑ ἑνεκεν εχρισε με ευαγγελιζεσθαι πτωχοις, απεσταλκε με ιασασθαι τους συντετριμμενους την καρδιαν·*

ὁ ιωμενος τους συντετριμμενους την καρδιαν. *Ps. cxlvi.* 3. και ιατρευσω αυτην, και ποιησω ειρηνην και πιστιν. *Jer. xl.* 6. και αγαλλιασονται πτωχοι δια Κυριον εν ευφροσυνῃ. *Esa. xxix.* 19. *Conf. Esa. xlii.* 7. *Lev. iv.* 3. *vi.* 15. *xxv.* 10. 1 *Par. xvi.* 22.

19 *Κηρυξαι αιχμαλωτοις αφεσιν, και τυφλοις αναβλεψιν· αποστειλαι τεθραυσμενους εν αφεσει· κηρυξαι ενιαυτον Κυριου δεκτον.*

Πνευμα Κυριου επ' εμε, οὑ εἱνεκεν εχρισε με, κ. τ. λ. *Esa. lxi.* 1, 2. αποστελλε τεθραυσμενους εν αφεσει. *lviii.* 6. *Deut. xxviii.* 33. *CITAT.* 75.

20 *Και πτυξας το βιβλιον, αποδους τῳ ὑπηρετῃ, εκαθισε· και παντων εν τῃ συναγωγῃ οἱ οφθαλμοι ησαν ατενιζοντες αυτῳ.*

ατενιζοντες. 3 *Esd. vi.* 28. ὑπηρετης. *Prov. xiv.* 35. (πτυξας τας επιστολας. *Jos. Ant. x.* 1. 4.) *Conf. Deut. xxii.* 17.

21 *Ηρξατο δε λεγειν προς αυτους, Ὁτι σημερον πεπληρωται ἡ γραφη αὑτη εν τοις ωσιν ὑμων.*

πληρωθηναι το ῥημα Κυριου ὁ ελαλησε. 3 *Reg. ii.* 27. παντα ὁσα ηκουσαμεν εν ωσιν ἡμων. 1 *Par. xvii.* 20. *et pass.* [πληρωθησεται επι σοι προφητεια ουρανου περι του αμνου του Θεου και σωτηρος του κοσμου, κ. τ. λ. *Test. XII Patr. p.* 730.]

22 *Και παντες εμαρτυρουν αυτῳ, και εθαυμαζον επι τοις λογοις της χαριτος, τοις εκπορευομενοις εκ του στοματος αυτου, και ελεγον, Ουχ οὑτος εστιν ὁ υἱος Ιωσηφ;*

εξεμαρτυρει δε πασιν ἁπερ ην ὑπ' οψιν τεθεαμενος εργα του με-

γιστου Θεου. 2 Mac. iii. 36. [εγω μεν μαρτυρω σοι. Jos. Ant. vi. 14. 6.] Conf. Esa. l. 4. Matt. xiii. 54. Marc. vi. 2, 3. Joan. vi. 42. αυλος και ψαλτηριον ἡδυνουσι μελι, και ὑπερ αμφοτερα γλωσσα ἡδεια. Sir. xl. 21. και εθαυμασαν επι τῃ σοφιᾳ αυτης. Judith. xi. 20. εξεχυθη χαρις εν χειλεσι σου. Ps. xliv. 2. τα εκπορευομενα δια των χειλεων μου. lxxxviii. 34. Jer. xvii. 16. Deut. viii. 3. xxiii. 23. ὁτι ανομιαν ουκ εποιησεν, ουδε δολον εν τῳ στοματι αυτου. Esa. liii. 9. χειλη ανδρων δικαιων αποσταζει χαριτας. Prov. x. 32. Sir. xxi. 16. Conf. Ephes. iv. 29. Col. iv. 6.

23 Και ειπε προς αυτους, Παντως ερειτε μοι την παραβολην ταυτην, Ιατρε, θεραπευσον σεαυτον· ὁσα ηκουσαμεν γενομενα εν τῃ Καπερναουμ, ποιησον και ὡδε εν τῃ πατριδι σου.

Conf. Matt. iv. 13. xiii. 54. πατριδος αυτου. Jer. xxii. 10. λογοι παραβολων. Sir. xx. 27. 1 Reg. x. 12. xxiv. 14. Rom. ii. 21.

24 Ειπε δε, Αμην λεγω ὑμιν, Ὁτι ουδεις προφητης δεκτος εστιν εν τῃ πατριδι αὑτου.

και εσται δεκτος τοις αδελφοις αυτου. Deut. xxxiii. 24. Sir. iii. 17. και αδελφοι αυτου εν τῃ πατριδι αυτου. 1 Par. v. 7. Conf. Matt. xiii. 57. Marc. vi. 4. Joan. iv. 44. vii. 5.

25 Επ' αληθειας δε λεγω ὑμιν, Πολλαι χηραι ησαν εν ταις ἡμεραις Ηλιου εν τῳ Ισραηλ, ὁτε εκλεισθη ὁ ουρανος επι ετη τρια και μηνας ἑξ, ὡς εγενετο λιμος μεγας επι πασαν την γην.

επ' αληθειας οιδα. Job. ix. 2. και εγενετο λιμος επι της γης. Gen. xii. 10. [επι ἑβδομηκοντα γενεας. Lib. Henoch. p. 194.] ὁτι κεκληκε Κυριος λιμον επι την γην. 4 Reg. viii. 1. 3 Reg. xvii. 7. Jac. v. 17. και συνεσχεθη ὁ ὑετος απο του ουρανου. Gen. viii. 2. vii. 11.

26 Και προς ουδεμιαν αυτων επεμφθη Ηλιας, ει μη εις Σαρεπτα της Σιδωνος προς γυναικα χηραν.

αναστηθι, και πορευου εις Σαρεπτα της Σιδωνιας [sc. χωρας,] ιδου εντεταλμαι εκει γυναικι χηρᾳ του διατρεφειν σε. 3 Reg. xvii. 9. [το μεγα πεδιον Σιδωνος πολεως. Jos. Ant. v. 3. 1. εις Σαρεφθα πολιν ουκ απωθεν της Σιδωνος και Τυρου, μεταξυ γαρ κειται. Jos. Ant. viii. 13. 2.] ιδου εκει γυνη χηρα. 3 Reg. xvii. 10. περι τουτου πεμψατω προς ἡμας. Esd. v. 17.

27 Και πολλοι λεπροι ησαν επι Ελισσαιου του προφητου εν τῳ Ισραηλ· και ουδεις αυτων εκαθαρισθη, ει μη Νεεμαν ὁ Συρος.

και Ναιμαν ὁ αρχων της δυναμεως Συριας. 4 Reg. v. 1. του Ναιμαν του Συρου. v. 20. και κατεβη Ναιμαν και εβαπτισατο εν

τῳ Ιορδανῃ ἑπτακις, κατα το ῥημα Ἑλισαιε—και εκαθαρισθη. 14. Lev. xv. 27. και ουδεις αυτων ελαλησε. Job. ii. 13. [Conf. Jos. Ant. xiii. 15. 4.]

28 Και επλησθησαν παντες θυμου εν τῃ συναγωγῃ, ακουοντες ταυτα.

και επικρανθησαν οἱ αρχοντες επι Ἱερεμιαν, και επαταξαν αυτον, κ. τ. λ. Jer. xliv. 15. εμπλησθη θυμου. Dan. iii. 19.

29 Και αναστάντες εξεβαλον αυτον εξω της πολεως, και ηγαγον αυτον ἑως της οφρυος του ορους, εφ᾽ οὑ ἡ πολις αυτων ῳκοδομητο, εις το κατακρημνισαι αυτον·

και εξηγαγον αυτον εξω της πολεως, και ελιθοβολησαν αυτον εν λιθοις. 3 Reg. xx. 13. και εξεβαλετε με εκ του οικου του πατρος μου. Jud. xi. 7. και κατεκρημνιζον αυτους. 2 Par. xxv. 12. [φευγοντες κατα των πετρων ωθουμενοι κατεκρημνιζοντο. Jos. Ant. vi. 6. 2.] [οφρυς· τα κρημνωδη και τραχεα των ορων. Hesych.]

30 Αυτος δε διελθων δια μεσου αυτων επορευετο.

ελευσομαι δια μεσου σου. Amos. v. 17. διηλθε δια μεσου της πολεως. Jer. xliv. 4. Conf. Joan. viii. 59.

31 Και κατηλθεν εις Καπερναουμ πολιν της Γαλιλαιας· και ην διδασκων αυτους εν τοις σαββασι.

ην διδασκων = και ἡ διαθηκη μου ηθετεμενη εσται. Jer. xl. 20. Comp. ην προφητευων. Jer. xxxiii. 20. 1 Reg. xvii. 34. Conf. Matt. iv. 13. viii. 5. Marc. i. 21. τοις σαββασι. 1 Mac. ii. 38.

32 Και εξεπλησσοντο επι τῃ διδαχῃ αυτου, ὁτι εν εξουσιᾳ ην ὁ λογος αυτου.

Conf. Marc. x. 22. ὁ εγειρας τον νεκρον εκ θανατου και εξ ᾁδου εν λογῳ ὑψιστου. Sir. xlviii. 5. δυναμει και ενεργειᾳ εκπλαγεντες. Sap. xiii. 4. Ald. Comp. Conf. Matt. vii. 22, 28. Marc. i. 22. ουκ ιδου οἱ λογοι μου ὡσπερ πυρ, λεγει Κυριος, και ὡς πελυξ κοπτων πετραν; Jer. xxiii. 29. ὁ αποστελλων το λογιον αυτου εν τῃ γῃ, ἑως ταχους δραμειται ὁ λογος αυτου. Ps. cxlvii. 15.

33 Και εν τῃ συναγωγῃ ην ανθρωπος εχων πνευμα δαιμονιου ακαθαρτου, και ανεκραξε φωνῃ μεγαλῃ,

και εκραξεν ὁ βασιλευς φωνῃ μεγαλῃ. 2 Reg. xix. 4. 1 Mac. ii. 27. 1 Reg. iv. 5. Conf. Marc. i. 23. Matt. vii. 22.

34 Λεγων, Εα, τι ἡμιν και σοι, Ιησου Ναζαρηνε; ηλθες απολεσαι ἡμας; οιδα σε τις ει, ὁ ἁγιος του Θεου.

τι εμοι και σοι; Conf. Matt. viii. 29. εα δε. Job. xix. 5. Marc. i.

24. τον ὁσιον σου. *Ps. xv.* 10. *Act. ii.* 27. ὁ ἁγιος του Ισραηλ. *Ps. lxxi.* 22. *Esa. xliii.* 3. ειπεν ὁ ἁγιος. *xl.* 25. *xliii.* 15.

35 Και επετιμησεν αυτῳ ὁ Ιησους λεγων, Φιμωθητι, και εξ-
ελθε εξ αυτου. Και ῥιψαν αυτον το δαιμονιον εις το μεσον,
εξηλθεν απ' αυτου, μηδεν βλαψαν αυτον.

Conf. Marc. i. 25. *Matt. viii.* 29. επιτιμησαι Κυριος εν σοι, διαβολε. *Zach. iii.* 2. ὑπο των ιδιων βλαπτεσθαι. 2 *Mac. xii.* 22.

36 Και εγενετο θαμβος επι παντας, και συνελαλουν προς αλ-
ληλους λεγοντες, Τις ὁ λογος οὑτος, ὁτι εν εξουσιᾳ και δυνα-
μει επιτασσει τοις ακαθαρτοις πνευμασι, και εξερχονται;

φοβος και θαμβος εγενηθη ἡμιν. *Thren. iii.* 47. *Ald. Comp.* και εταραχθησαν προς αλληλους. *Gen. xlii.* 28. τις ὁ λογος οὑτος; 2 *Reg. i.* 4. 1 *Par. xxix.* 14. *Susan.* 47. εν πασῃ τῃ εξουσιᾳ αυτου. *Esa. xxxix.* 2. εν τῃ δυναμει σου. *Ps. xx.* 1, 14. και επεταξε τοις οικονομοις ποιησαι το θελημα. *Est. i.* 8. και πνευμα το ακαθαρτον εξαρω απο της γης. *Zach. xiii.* 2.

37 Και εξεπορευετο ηχος περι αυτου εις παντα τοπον της πε-
ριχωρου.

επεβλεψεν—επι προσωπον της περιχωρου. *Gen. xix.* 28. οὑτω θαυμασονται εθνη πολλα επ' αυτῳ, κ. τ. λ. *Esa. lii.* 15. *Marc. i.* 28.

38 Αναστας δε εκ της συναγωγης, εισηλθεν εις την οικιαν Σι-
μωνος· ἡ πενθερα δε του Σιμωνος ην συνεχομενη πυρετῳ μεγα-
λῳ· και ηρωτησαν αυτον περι αυτης.

Conf. Matt. iv. 24. ερωτησατε δη τα εις ειρηνην. *Ps. cxxii.* 6. αναστας επορευθη, και ηλθεν επι τον τοπον. *Gen. xxii.* 3. *Comp. Conf. Matt. viii.* 14. *Marc. i.* 29, 30. εις πασαν την γην εξηλθεν ὁ φθογγος αυτων κ. τ. λ. *Ps. xviii.* 4. οὑτω θαυμασονται εθνη πολλα επ' αυτῳ, και συνεξουσι βασιλεις το στομα αυτων· ὁτι οἱς ουκ ανηγγελη περι αυτου, οψονται, και οἱ ουκ ακηκοασι, συνησουσι. *Esa. lii.* 15. *Conf. Jude. iv.* 20. *xiii.* 6.

39 Και επιστας επανω αυτης, επετιμησε τῳ πυρετῳ, και αφη-
κεν αυτην· παραχρημα δε αναστασα διηκονει αυτοις.

επιστηθι δη επανω μου. 2 *Reg. i.* 9. *Ald. Gen. xviii.* 2. επεθηκε το ἱλαστηριον επανω της κιβωτου. *Exod. xl.* 18. *Comp.* και ἐπετιμησε τῃ ερυθρᾳ θαλασσῃ. *Ps. cv.* 9. *Marc. i.* 31.

40 Δυνοντος δε του ἡλιου, παντες ὁσοι ειχον ασθενουντας νοσοις

ποικιλαις, ηγαγον αυτους προς αυτον· ὁ δε ἑνι ἑκαστῳ αυτων τας χειρας επιθεις, εθεραπευσεν αυτους.

ὡς δε εδυ ὁ ἡλιος. 1 *Mac. xii.* 27. και ἡ πολλη εν τεκνοις ησθενησε. 1 *Reg. ii.* 5. και επιθησει την χειρα αυτου επι τον τοπον κ. τ. λ. 4 *Reg. v.* 11. ασθενησουσιν εν κακοις. *Prov. xxiv.* 16. και την γυναικα μου εθεραπευσε. *Tob. xii.* 2. *Conf. Marc. i.* 32. *vii.* 32. *Matt. viii.* 16.

41 Εξηρχετο δε και δαιμονια απο πολλων, κραζοντα και λεγοντα, Ὁτι συ ει ὁ Χριστος ὁ υἱος του Θεου. Και επιτιμων ουκ εια αυτα λαλειν, ὁτι ᾐδεισαν τον Χριστον αυτον ειναι.

ουκ εᾳ γαρ με αναπνευσαι. *Job. ix.* 18. 1 *Mac. xv.* 14. *Conf. Marc. i.* 35. ἑως Χριστου ἡγουμενου ἑβδομαδες ἑπτα. *Dan. ix.* 25. ἡ ὁρασις του τεταρτου ὁμοια υἱῳ Θεου. *Dan. iii.* 25. *Jacob. ii.* 19.

42 Γενομενης δε ἡμερας εξελθων επορευθη εις ερημον τοπον, και οἱ οχλοι εζητουν αυτον, και ηλθον ἑως αυτου, και κατειχον αυτον του μη πορευεσθαι απ᾽ αυτων.

Conf. Marc. i. 35. και γινεται ἡ ἡμερα. 1 *Reg. xiv.* 1. κατειχον αυτον. *Gen. xlii.* 19. μη κατεχετε με. *xxiv.* 56. *Ruth. i.* 13. και επορευετο Αχααβ ἑως Ιεζραελ. 3 *Reg. xviii.* 45.

43 Ὁ δε ειπε προς αυτους, Ὁτι και ταις ἑτεραις πολεσιν ευαγγελισασθαι με δει την βασιλειαν του Θεου· ὁτι εις τουτο απεσταλμαι.

μη διαπαντος δει ὑμας ευφραινεσθαι. *Esa. xxx.* 29. ευαγγελισασθαι πτωχοις απεσταλκε με. κ. τ. λ. *lxi.* 1-5. ἁ δει γενεσθαι. *Dan. ii.* 28. *Conf. Joan. xviii.* 37. *ii.* 28.

44 Και ην κηρυσσων εν ταις συναγωγαις της Γαλιλαιας.

και ανθρωπος ην προφητευων τῳ ονοματι Κυριου. *Jer. xxvi.* 20. κηρυξαι αιχμαλωτοις αφεσιν κ. τ. λ. *Esa. lxi.* 1. [*De Synagogis conf. Jos. Ant. xix.* 6. 3. *Bell. Jud. ii.* 14. 4. *vii.* 3. 3.]

ΚΕΦ. ε. 5.

ΕΓΕΝΕΤΟ δε εν τῳ τον οχλον επικεισθαι αυτῳ του ακουειν τον λογον του Θεου, και αυτος ην ἑστως παρα την λιμνην Γεννησαρετ·

εγενετο δε. *Esa. xxxviii.* 1. εδειξεν αυτῳ βασιλειαν Θεου. *Sap. x.* 10. *Esa. lxi.* 1. *lxii.* 1. εν τῳ ακουσαι τον βασιλεα, κ. τ. λ. *xxxvii.* 1. ουκ αισχυνομενοι με επικεισθε μοι. *Job. xix.* 3. *xxi.* 27. *Est.*

ix. 3. ην ἑστως. = *Gen. i.* 6. *Exod. vii.* 15. ακουσατε λογον Κυριου. *Esa. i.* 10. *xviii.* 14. [Γεννησαρ χωρα. *Jos. Bell. Jud. iii.* 10. *vii.* 8. λιμην Γεννησαρ· *Ib.* τους πολεμιους επικεισθαι βαρεις αυτῳ. *Ant. vi.* 14, 27.] *Conf. Matt. iv.* 18. *xi.* 2. *xiii.* 2. *Marc. i.* 16. *iii.* 9. *iv.* 1. επι νωτου θαλασσης Χενερεθ. *Num. xxxiv.* 11. *Jos. xii.* 3. [*Conf. Jos. Bell. Jud. iii.* 9. 7.]

2 Και ειδε δυο πλοια ἑστωτα παρα την λιμνην· οἱ δε ἁλιεις αποβαντες απ᾽ αυτων, απεπλυναν τα δικτυα.

ἑστωτα. *Dan. x.* 16. *Conf. Matt. iv.* 18. *Marc. i.* 16. αποπλυνειν. *Jer. ii.* 22. *iv.* 14. *Ezech. xvi.* 9. ιδου εγω αποστελλω τους ἁλιεις τους πολλους, κ. τ. λ. *Jer. xvi.* 16.

3 Εμβας δε εις ἑν των πλοιων, ὁ ην του Σιμωνος, ηρωτησεν αυτον απο της γης επαναγαγειν ολιγον· και καθισας εδιδασκεν εκ του πλοιου τους οχλους.

επαναχθεντας αυτους εβυθισαν. 2 *Mac. xii.* 4. ολιγον. *Ps. xxvii.* 10. *Prov. vi.* 10. *xxiv.* 33. εμβας εις πλοιον. 1 *Mac. xv.* 37.

4 Ὡς δε επαυσατο λαλων, ειπε προς τον Σιμωνα, Επαναγαγε εις το βαθος, και χαλασατε τα δικτυα ὑμων εις αγραν.

και ὡς επαυσατο λαλων τους λογους τουτους. 1 *Mac. ii.* 23. ὡς επαυσατο λαλων. *Gen. xviii.* 33. *Num. xvi.* 31. εις τα βαθη της θαλασσης. *Ps. lxviii.* 2-18. *Mich. vii.* 19. και εχαλασαν αυτον εις τον λακκον. *Jer. xlv.* 6. *Conf. Joan. xxi.* 6.

5 Και αποκριθεις ὁ Σιμων ειπεν αυτῳ, Επιστατα, δι᾽ ὁλης της νυκτος κοπιασαντες, ουδεν ελαβομεν· επι δε τῳ ῥηματι σου χαλασω το δικτυον.

και αποκριθεις Ἁβρααμ ειπε. *Gen. xviii.* 27. οἱ επισταται του ἱερου. 1 *Esd. i.* 8. *Vide Grot in loc.* και ὁλην την νυκτα. *Exod. x.* 13. δια [*per, durant.*] *Coll. Sap. xi.* 13. 2 *Mac. viii.* 36. επι. *Marc. x.* 24. *Ps. xlviii.* 6. λαβειν την ψυχην μου εβουλευσαντο. *Ps. xxx.* 13. επι τῳ εμῳ ῥηματι ου προσεθεντο. *Job. xxix.* 22. *Prov. iii.* 1. *Num. xxxiii.* 2. εαν μη Κυριος οικοδομηση οικον, εις ματην εκοπιασαν οἱ οικοδομουντες κ.τ.λ. *Ps. cxxvi.* 1, 2.

6 Και τουτο ποιησαντες, συνεκλεισαν ιχθυων πληθος πολυ· διεῤῥηγνυτο δε το δικτυον αυτων,

ὡς οἱ ιχθυες της θαλασσης——πληθος πολυ σφοδρα. *Ezech. xlvii.* 11. συγκεκλεικε γαρ αυτους ἡ ερημος. *Exod. xiv.* 3. *Conf. Ps. lxxvi.* 19.

7 Και κατενευσαν τοις μετοχοις τοις εν τῳ ἑτερῳ πλοιῳ, του

ελθοντας συλλαβεσθαι αυτοις· και ηλθον, και επλησαν αμφοτερα τα πλοια, ὡστε βυθιζεσθαι αυτα.

ὁ εἱς εγερει τον μετοχον αυτου. *Eccles. iv.* 10. συνελαβετο μοι ὁ Θεος. *Gen. xxx.* 8. *Alex. Ald. Comp. Exod. xviii.* 22. *Ps. lxxxviii.* 21. εβυθισαν. 2 *Mac. xii.* 4. *Conf. Marc. iv.* 37.

8 Ιδων δε Σιμων Πετρος, προσεπεσε τοις γονασι του Ιησου
λεγων, Εξελθε απ᾽ εμου, ὁτι ανηρ ἁμαρτωλος ειμι, Κυριε.

επεσεν επι τα γονατα. 2 *Par. vi.* 13. *Conf.* 4 *Reg. i.* 13. ανδρα προφητην. *Jud. vi.* 8. ανηρ αντιδικων—εγω. *xii.* 2. *Alex. O. Ald. Comp.* ου καθηκει δοξασαι ανδρα ἁμαρτωλον. *Sir. x.* 23. αποστα απ᾽ εμου, κενος γαρ μου ὁ βιος. *Job. vii.* 16. *Conf. Job. xi.* 4. και ειπα προς τον ἑστωτα εναντιον μου, Κυριε, εν τῃ οπτασιᾳ σου εστραφη τα εντος μου εν εμοι, και ουκ εσχον ισχυν, κ.τ.λ. *Dan. x.* 16, 17. Ω ταλας εγω, ὁτι κατανενυγμαι, ὁτι ανθρωπος ων, και ακαθαρτα χειλη εχων, κ.τ.λ. *Esa. vi.* 5.

9 Θαμβος γαρ περιεσχεν αυτον και παντας τους συν αυτῳ,
επι τῃ αγρᾳ των ιχθυων ᾗ συνελαβον·

περιεσχεν αυτους χαλεπη περιστασις. 2 *Mac. iv.* 16. περιεσχον με ωδινες θανατου. *Ps. xvii.* 4. 2 *Reg. xxii.* 5. θαμβος. *Thren. iii.* 46. *Ezech. vii.* 18. επι τῃ αγρᾳ, ᾗ συνελαβον. = τῃ γῃ, ᾗ ουκ ηδεις. *Jer. xv.* 14.

10 Ὁμοιως δε και Ιακωβον και Ιωαννην υἱους Ζεβεδαιου, οἱ
ησαν κοινωνοι τῳ Σιμωνι. Και ειπε προς τον Σιμωνα ὁ Ιησους,
Μη φοβου· απο του νυν ανθρωπους εσῃ ζωγρων.

ιδου παντες οἱ κοινωνουντες αυτῳ. *Esa. xliv.* 9. *Ald. Comp.* απο του νυν. *Ps. cxii.* 2. *cxiii.* 18. *cxx.* 8. ιδου εγω αποστελλω τους ἁλιεις τους πολλους, λεγει Κυριος, και ἁλιευσουσιν αυτους. *Jer. xvi.* 16. δεκα χιλιαδας εζωγρησαν οἱ υἱοι Ιουδα. 2 *Par. xxv.* 12. *Conf. Ezech. xlvii.* 9, 10. εσῃ συναντων. *Exod. vii.* 15.

11 Και καταγαγοντες τα πλοια επι την γην, αφεντες ἁπαντα,
ηκολουθησαν αυτῳ.

και ανεστη και επορευθη οπισω Ηλιου, και ελειτουργει αυτῳ. 3 *Reg. xix.* 21. *Conf. Matt. iv.* 20. *Marc. x.* 28. *Luc. xviii.* 28. [εις Βρεντησιον καταγεται. *Jos. Ant. xiv.* 14. 3.]

12 Και εγενετο εν τῳ ειναι αυτον εν μιᾳ των πολεων, και ιδου
ανηρ πληρης λεπρας· και ιδων τον Ιησουν, πεσων επι προσωπον, εδεηθη αυτου λεγων, Κυριε, εαν θελῃς, δυνασαι με καθαρισαι.

και εγενετο εν τῳ κοπτειν αυτους, και πιπτω επι προσωπον μου. *Ezech. ix.* 8. και εγενηθη εν τῳ ειναι. 1 *Reg. xvi.* 23. *Ruth. i.* 1. και ιδου. *Gen. xxiv.* 15. και επεσεν—επι προσωπον αυτου. *Gen. xvii.* 3. 17. ὡστε μη δυνασθαι σε ιαθηναι. *Deut. xxviii.* 27. 35. εν μιᾳ των πολεων σου. *Deut. xii.* 24. *Alex. Ald. Comp.* επι τον καθαρισθεντα απο της λεπρας. *Lev. xiv.* 7, 8. *Conf. Matt. viii.* 2. *Marc. i.* 40. και επικαλεσαι με εν ἡμερᾳ θλιψεως, και εξελουμαι σε, και δοξασεις με. *Ps. xlix.* 15.

13 Και εκτεινας την χειρα, ἡψατο αυτου ειπων, Θελω, καθαρισθητι. Και ευθεως ἡ λεπρα απηλθεν απ' αυτου.

εξετεινε δε Μωυσης την χειρα εις τον ουρανον. *Exod. ix.* 23. *x.* 12. *xiv.* 16. 26. αυτος ειπε και εγενηθησαν, αυτος ενετειλατο και εκτισθησαν. *Ps. xxxii.* 9. παντα ὁσα ηθελησεν ὁ Κυριος, εποιησε. *Ps. cxxxiv.* 6. *Conf. Gen. i.* 3.

14 Και αυτος παρηγγειλεν αυτῳ μηδενι ειπειν· αλλα απελθων δειξον σεαυτον τῳ ἱερει, και προσενεγκε περι του καθαρισμου σου, καθως προσεταξε Μωσης, εις μαρτυριον αυτοις.

ὁ ου προσεταξε Κυριος αυτοις. *Lev. x.* 2. *Conf. Lev. xiii.* 2. *xiv.* 2. *xxi.* 22. οὑτος ὁ νομος του λεπρου. ἡ αν ἡμερᾳ καθαρισθῃ, και προσαχθησεται προς τον ἱερεα. *Lev. xiv.* 2.

15 Διηρχετο δε μαλλον ὁ λογος περι αυτου· και συνηρχοντο οχλοι πολλοι ακουειν, και θεραπευεσθαι ὑπ' αυτου απο των ασθενειων αὑτων·

και συνηχθησαν εις Ἱερουσαλημ λαος πολυς. 2 *Par. xxx.* 13. *Conf. Matt. iv.* 24. ασθενειων. 2 *Mac. ix.* 22. προσευχη ταπεινου νεφελας διηλθε. *Sir. xxxv.* 17. ὁ λογος περι σου. 3 *Reg. x.* 6.

16 Αυτος δε ην ὑποχωρων εν ταις ερημοις, και προσευχομενος.

ὑποχωρων. *Jud. xx.* 37. *Sir. xiii.* 9. *Ps. ciii.* 22. *Sym. Conf. Matt. xiv.* 23. *Marc. vi.* 46. [ὑπεχωρουν ἑκαστος εις την ἑαυτου. *Jos. vit.* 29. ὑπεχωρησαν εις την Ιησου οικιαν. *Ib.*]

17 Και εγενετο εν μιᾳ των ἡμερων, και αυτος ην διδασκων· και ησαν καθημενοι Φαρισαιοι και νομοδιδασκαλοι, οἱ ησαν εληλυθοτες εκ πασης κωμης της Γαλιλαιας και Ιουδαιας και Ἱερουσαλημ· και δυναμις Κυριου ην εις το ιασθαι αυτους.

και εγενετο—και. *Gen. xxiv.* 20. εν χειρι αυτου ψυχη παντων ζωντων, και πνευμα παντος ανθρωπου. *Job. xii.* 10. ανθρωπος ην προφητευων. *Jer. xxxiii.* 20. δεξια Κυριου εποιησε δυναμιν. *Ps. cxvii.* 16. ἡ δυναμις του Κυριου ισχυρα εστι. *Jos. iv.* 24. απεσ-

ταλκε με ιασασθαι. Esa. lxi. 1. *απεστειλε τον λογον αυτου, και ιασατο αυτους. Ps. cvi.* 20. *Conf. Matt. iii.* 7. 1 *Par. xii.* 22. [*De Pharis. conf. Jos. Ant. xviii.* 1, 2. *Bell. Jud. ii.* 18. 14.] *νομοδιδασκαλοι. Conf. Matt. ii.* 4. 2 *Par. xxxvi.* 14. 1 *Par. xxiv.* 6. *Act. v.* 34.

18 Και *ιδου, ανδρες φεροντες επι κλινης ανθρωπον ὁς ην παραλελυμενος, και εζητουν αυτον εισενεγκειν και θειναι ενωπιον αυτου·*

παρελυθη (το στομα) και ουκ εδυνατο ετι λαλησαι λογον. 1 *Mac. ix.* 55. *Conf. Matt. ix.* 2. *Marc. ii.* 3. *Act. ix.* 33. *κλινη. Cant. iii.* 7. *ανδρες pro τινες. Conf. Fisch. ad Leusden. de Heb. p.* 46.

19 Και *μη εὑροντες δια ποιας εισενεγκωσιν αυτον δια τον οχλον, αναβαντες επι το δωμα, δια των κεραμων καθηκαν αυτον συν τῳ κλινιδιῳ εις το μεσον εμπροσθεν του* Ιησου.

και ειπε, Ποιᾳ *ὁδῳ αναβω;* 4 *Reg. iii.* 8. *Sir. xxxiii.* 37. [*εὑρον, τι ειπωμεν. Test. XII Patr. p.* 637] *και—ανεβη προς αυτους επι το δωμα. Jos. ii.* 8. *Alex. O. Ald. εις το μεσον της πολεως. Jer. xlviii.* 7. 3 *Reg. vi.* 8. *ποιᾳ τουτων; Jer. v.* 7. [*οἱ εμπροσθεν αυτης ὑπηρετουντες. Act. Thom.* § 7.]

20 Και *ιδων την πιστιν αυτων, ειπεν αυτῳ,* Ανθρωπε, *αφεωνται σοι αἱ ἁμαρτιαι σου.*

και συ ὁ Θεος *αφιων ἁμαρτιας. Neh. ix.* 17. *Ald. Comp. οιδε δε ὁ* Κυριος *την ακακιαν μου. Job. xxxi.* 6. *αφησει τας ἁμαρτιας ὑμων. Esa. lv.* 7. *και αφιησιν ἁμαρτιας, και σωζει. Sir. ii.* 11. *εμπιστευσατε εν* Κυριῳ Θεῳ *ἡμων, και εμπιστευθησεσθε, κ. τ. λ.* 2 *Par. xx.* 20. *απερριψας οπισω μου πασας τας ἁμαρτιας. Esa. xxxviii.* 17. *του ιδειν σοφιαν. Eccles. ii.* 12, 13. *Job. xxxii.* 5.

21 Και *ηρξαντο διαλογιζεσθαι οἱ* Γραμματεις *και οἱ* Φαρισαιοι, *λεγοντες,* Τις *εστιν οὑτος ὁς λαλει βλασφημιας; τις δυναται αφιεναι ἁμαρτιας, ει μη μονος ὁ* Θεος;

και ηρξατο ταπεινουσθαι. Jud. xvi. 20. *Alex. O. Ald. Comp. βλασφημειν εν λογοις.* 4 *Reg. xix.* 4. *Conf. Matt. ix.* 2-5. *Marc. ii.* 7-10. *Ps. xxxi.* 5. *Job. xiv.* 4. *τον ευιλατευοντα πασαις ταις ανομιαις σου, τον ιωμενον πασας τας νοσους σου. Ps. cii.* 3. *εγω ειμι ὁ εξαλειφων τας ανομιας σου, κ. τ. λ. Esa. xliii.* 25.

22 Επιγνους *δε ὁ* Ιησους *τους διαλογισμους αυτων, αποκριθεις ειπε προς αυτους,* Τι *διαλογιζεσθε εν ταις καρδιαις ὑμων;*

ειδες—και παντας διαλογισμους αυτων εν εμοι. Ηκουσας—παντας τους διαλογισμους αυτων. *Thren. iii.* 59, 60. *Ald. Comp.* Κυριος γινωσκει τους διαλογισμους των ανθρωπων. *Ps. xciii.* 11. ἁ λεγετε εν ταις καρδιαις ὑμων. *iv.* 4. *Conf. Matt. ix.* 4. *Marc. ii.* 8.

23 Τι εστιν ευκοπωτερον, ειπειν, Αφεωνται σοι αἱ ἁμαρτιαι σου· η ειπειν, Εγειραι και περιπατει;

Conf. Matt. ix. 5. *Marc. ii.* 9.

24 Ἱνα δε ειδητε ὁτι εξουσιαν εχει ὁ υἱος του ανθρωπου επι της γης αφιεναι ἁμαρτιας, (ειπε τῳ παραλελυμενῳ,) Σοι λεγω, Εγειραι, και αρας το κλινιδιον σου, πορευου εις τον οικον σου.

Conf. Matt. ix. 6. *Marc. ii.* 10.

23, 24.] και ιδου, μετα των νεφελων του ουρανου, ὡς υἱος ανθρωπου ερχομενος—και αυτῳ εδοθη ἡ αρχη, και ἡ τιμη, και ἡ βασιλεια, κ. τ. λ. *Dan. vii.* 13, 14. *Conf. Esa. liii.* 11.

25 Και παραχρημα αναστας ενωπιον αυτων, αρας εφ᾿ ᾡ κατεκειτο, απηλθεν εις τον οικον αὑτου, δοξαζων τον Θεον.

26 Και εκστασις ελαβεν ἁπαντας, και εδοξαζον τον Θεον, και επλησθησαν φοβου, λεγοντες, Ὁτι ειδομεν παραδοξα σημερον.

εσται εν τῃ ἡμερᾳ εκεινῃ εκστασις Κυριου μεγαλη. *Zach. xiv.* 13. 1 *Reg. ii.* 7. ελαβεν αυτους τρομος. *Exod. xv.* 15. παραδοξα τα εργα σου. *Ps. cxxxviii.* 14. *Sym.* σημερον. *Gen. xxiv.* 12. ὁπως ειδῃς ὁσα παραδοξασει Κυριος. *Exod. xi.* 7. *ix.* 4. *Sap. v.* 2.

27 Και μετα ταυτα εξηλθε, και εθεασατο τελωνην, ονοματι Λευϊν, καθημενον επι το τελωνιον, και ειπεν αυτῳ, Ακολουθει μοι.

και μετα ταυτα εισηλθε Μωυσης και Ααρων. *Exod. v.* 1. *Jos. ix.* 34. *Conf. Matt. ix.* 9. *Marc. ii.* 14, 15. *Luc. xv.* 1. 1 *Mac. ii.* 27.

28 Και καταλιπων ἁπαντα, αναστας ηκολουθησεν αυτῳ.

αναστας ακολουθησον αυτοις. *Num. xxii.* 20. *Conf. Matt. ix.* 9. και κατελιπεν Ἑλισαιε τας βοας, και κατεδραμεν οπισω Ηλιου, κ. τ. λ. 3 *Reg. xix.* 20. *Conf. Matt. xix.* 22. 27.

29 Και εποιησε δοχην μεγαλην ὁ Λευϊς αυτῳ εν τῃ οικιᾳ αὑτου· και ην οχλος τελωνων πολυς, και αλλων οἱ ησαν μετ᾿ αυτων κατακειμενοι.

και εποιησεν Ἁβρααμ *δοχην μεγαλην. Gen. xxi.* 8. *οἱ μετ' αυτου. Ezech. xxxviii.* 22. 1 *Par. xii.* 32. *Conf. Matt. ix.* 10. *Marc. ii.* 15. *Luc. xv.* 1. *Est. i.* 3. *φωνη οχλου. Dan. x.* 6.

30 Και *εγογγυζον οἱ* Γ*ραμματεις αυτων και οἱ* Φ*αρισαιοι προς τους μαθητας αυτου, λεγοντες,* Δ*ιατι μετα τελωνων και ἁμαρτωλων εσθιετε και πινετε;*

και εγογγυσαν οἱ υἱοι Ισραηλ. *Num. xvi.* 41. *Ps. c.* 5. *Conf. Luc. vii.* 39. *Joan. iv.* 9. *Act. x.* 28. 1 *Cor. v.* 11. 2 *Joan.* 10. *εις ματην εγενηθη σχοινος ψευδης γραμματευσι. Jer. viii.* 8.

31 Και *αποκριθεις ὁ* Ιησους *ειπε προς αυτους,* Ου *χρειαν εχουσιν οἱ ὑγιαινοντες ιατρου, αλλ' οἱ κακως εχοντες.*

Conf. Matt. ix. 12. *Marc. ii.* 17. *Jer. viii.* 22.

32 Ουκ *εληλυθα καλεσαι δικαιους, αλλα ἁμαρτωλους εις μετανοιαν.*

εληλυθει. 3 *Reg. x.* 10, 12. 1 *Tim. i.* 15. *Esa. lv.* 6, 7. *lvii.* 15. *διδως επι ἁμαρτημασι μετανοιαν. Sap. xii.* 19.

33 Οἱ *δε ειπον προς αυτον,* Δ*ιατι οἱ μαθηται* Ιωαννου *νηστευουσι πυκνα, και δεησεις ποιουνται, ὁμοιως και οἱ των* Φ*αρισαιων· οἱ δε σοι εσθιουσι και πινουσιν;*

Conf. Matt. ix. 14. *Marc. ii.* 18. *Luc. xviii.* 12. *Esa. lviii.* 3. 6. *Zach. vii.* 6.

34 Ὁ *δε ειπε προς αυτους,* Μ*η δυνασθε τους υἱους του νυμφωνος, εν ᾧ ὁ νυμφιος μετ' αυτων εστι, ποιησαι νηστευειν;*

πορευεσθε εν ειρηνῃ. Jud. xviii. 6. *βαδιζε εις ειρηνην.* 2 *Reg. xv.* 9.

34, 35.] *Conf. Marc. ii.* 19. *Matt. ix.* 15. *Esa. lxii.* 5. 2 *Cor. xi.* 2. *Dan. ix.* 26. *Zach. xiii.* 7. *Ps. xliv.* 14, 15.

35 Ελευσονται *δε ἡμεραι, και ὁταν απαρθῃ απ' αυτων ὁ νυμφιος, τοτε νηστευσουσιν εν εκειναις ταις ἡμεραις.*

ἡμεραι ερχονται, και (quibus) αποστελω. Jer. xlviii. 12. *xlix.* 2.

36 Ελεγε *δε και παραβολην προς αυτους,* Ὁ*τι ουδεις επιβλημα ἱματιου καινου επιβαλλει επι ἱματιον παλαιον· ει δε μηγε, και το καινον σχιζει, και τῳ παλαιῳ ου συμφωνει επιβλημα το απο του καινου.*

Conf. Matt. ix. 16, 17. *Marc. ii.* 21, 22.

37 Και *ουδεις βαλλει οινον νεον εις ασκους παλαιους· ει δε*

μηγε, ῥηξει ὁ νεος οινος τους ασκους, και αυτος εκχυθησεται,
και οἱ ασκοι απολουνται·

37-39.] *Conf. Matt. et Marc. ut supra.* χαριτες μωρων εκχυθησονται. *Sir. xx.* 13. *Thren. ii.* 11. και ασκους οινου παλαιους και κατεῤῥωγοτας, κ. τ. λ. *Jos. ix.* 4.

38 Αλλα οινον νεον εις ασκους καινους βλητεον, και αμφοτεροι
συντηρουνται.

39 Και ουδεις πιων παλαιον ευθεως θελει νεον· λεγει γαρ, Ὁ
παλαιος χρηστοτερος εστιν.

χρηστος, (*suavis, gratiosus.*) 1 *Marc. vi.* 11. *Grot. in loc. Sir. ix.* 10. ἡ δε γαστηρ μου ὡς οινος νεος αδιαπνευστος. *Job. xxxii.* 19. *Sym. Conf. Jer. vi.* 16. στητε επι ταις ὁδοις, και ιδετε, και ερωτησατε τριβους Κυριου αιωνιους, κ.τ.λ. οινος νεος, φιλος νεος, κ.τ.λ. *Sir. ix.* 10.

ΚΕΦ. ς. 6.

ΕΓΕΝΕΤΟ δε εν σαββατῳ δευτεροπρωτῳ διαπορευεσθαι
αυτον δια των σποριμων· και ετιλλον οἱ μαθηται αυτου
τους σταχυας, και ησθιον, ψωχοντες ταις χερσι.

Conf. Matt. xii. 1. *etc. Marc. ii.* 23. *etc.* εγενετο δε. *Esa. xxxviii.* 1. Ισαακ δε διεπορευετο δια της ερημου. *Gen. xxiv.* 62. και ετιλλον τας τριχας της κεφαλης μου. *Esd. ix.* 3. [ψωχοντες· θρυπτοντες, λεπτυνοντες. *Etym. Mag.*] *Conf. Deut. xxiii.* 25. *Lev. xxiii.* 7, 10.

2 Τινες δε των Φαρισαιων ειπον αυτοις, Τι ποιειτε ὁ ουκ εξεστι
ποιειν εν τοις σαββασι;

3 Και αποκριθεις προς αυτους ειπεν ὁ Ιησους, Ουδε τουτο ανεγ-
νωτε, ὁ εποιησε Δαβιδ, ὁποτε επεινασεν αυτος και οἱ μετ᾽
αυτου οντες;

2, 3.] *Conf. Matt. xii.* 2, 3. *etc. Exod. xx.* 10. *xxiii.* 12. *xxxi.* 15. *xxxv.* 2. 1 *Reg. xxi.* 6. ὁποτε. *Tob. vii.* 11. και επι παντας τους μετ᾽ αυτου. *Ezech. xxxviii.* 22.

4 Ὡς εισηλθεν εις τον οικον του Θεου, και τους αρτους της
προθεσεως ελαβε, και εφαγε, και εδωκε και τοις μετ᾽ αυτου,
οὑς ουκ εξεστι φαγειν ει μη μονους τους ἱερεις;

5 Και ελεγεν αυτοις, Ὁτι Κυριος εστιν ὁ υἱος του ανθρωπου
και του σαββατου.

Conf. Exod. xxix. 32, 33. *Lev. viii.* 31. *xxiv.* 6-9. *Sir. xlv.* 21.

Matt. xii. 4-8. *Marc. ii.* 26. οὑτος εστιν ὁ οικος Κυριου του Θεου. 1 *Par. xxii.* 1. ὡς. 1 *Reg. xiii.* 11.

6 Εγενετο δε και εν ἑτερῳ σαββατῳ εισελθειν αυτον εις την συναγωγην και διδασκειν· και ην εκει ανθρωπος, και ἡ χειρ αυτου ἡ δεξια ην ξηρα.

Conf. Matt. xii. 9. *Marc. iii.* 1. [ἡ χειρ μου ἡ δεξια ἡμιξηρος ην επι ἡμερας. *Test. XII Patr. p.* 535.] 3 *Reg. xiii.* 4-6. και ανθρωπος ἠν Ιουδαιος—και ονομα αυτου Μαρδοχαιος. (*pro* οὑ ονομα.) *Est. ii.* 5. *Conf. Zach. xi.* 17.

7 Παρετηρουν δε αυτον οἱ Γραμματεις και οἱ Φαρισαιοι, ει εν τῳ σαββατῳ θεραπευσει· ἱνα εὑρωσι κατηγοριαν αυτου.

Conf. Matt. xii. 14. *Marc. iii.* 2. εζητουν προφασιν εὑρειν κατα Δανιηλ. *Dan. vi.* 4. παρατηρησεται ὁ ἁμαρτωλος τον δικαιον κ. τ. λ. *Ps. xxxvi.* 12. [κατηγορια. *Jos. Ant. ii.* 4. 3.]

8 Αυτος δε ῃδει τους διαλογισμους αυτων, και ειπε τῳ ανθρωπῳ τῳ ξηραν εχοντι την χειρα, Εγειραι, και στηθι εις το μεσον. Ὁ δε αναστας εστη.

Conf. Marc. iii. 3. Κυριος γινωσκει τους διαλογισμους των ανθρωπων ὁτι εισι ματαιοι. *Ps. xciv.* 11. τι τουτο εποιησας ἡμιν; *Gen. xx.* 9. *Matt. xii.* 10.

9 Ειπεν ουν ὁ Ιησους προς αυτους, Επερωτησω ὑμας τι· εξεστι τοις σαββασιν, αγαθοποιησαι, η κακοποιησαι; ψυχην σωσαι, η απολεσαι;

Conf. Marc. iii. 4. *etc.* 2 *Reg. xiv.* 18.

10 Και περιβλεψαμενος παντας αυτους, ειπε τῳ ανθρωπῳ, Εκτεινον την χειρα σου. Ὁ δε εποιησεν οὑτω. και αποκατεσταθη ἡ χειρ αυτου ὑγιης ὡς ἡ αλλη.

Conf. Matt. xii. 13. *Marc. iii.* 5. 3 *Reg. xiii.* 6.

11 Αυτοι δε επλησθησαν ανοιας· και διελαλουν προς αλληλους, τι αν ποιησειαν τῳ Ιησου.

ανοια. *Conf.* 2 *Mac. xiv.* 5. οἱ δε ασεβεις πλησθησονται κακων. *Prov. xii.* 21. εταραχθησαν προς αλληλους. *Gen. xlii.* 28. *Sap. xix.* 3. ανοια. 2 *Mac. xiv.* 5. [ανοιᾳ και πονηριᾳ. *Jos. Ant. viii.* 13. 1.]

12 Εγενετο δε εν ταις ἡμεραις ταυταις, εξηλθεν εις το ορος προσευξασθαι· και ην διανυκτερευων εν τῃ προσευχῃ του Θεου·

συ τε αυτος—διανυκτερευων αιθριος. *Job. ii.* 9. ην προφητευων. *Jer. xxxiii.* 20. *Conf. Matt. xiv.* 23. *Marc. iii.* 7. *Act. i.* 24. [εμειναν οὑτως εν τῳ τοπῳ διανυκτερευοντες. *Act. Thom. c.* 13.]

13 Και ὁτε εγενετο ἡμερα, προσεφωνησε τους μαθητας αὑτου· και εκλεξαμενος απ᾽ αυτων δωδεκα, οὑς και αποστολους ωνομασε,

ὁτε εγενετο ἡ ἡμερα. *Gen. ii.* 4. *Ald.* 1 *Reg. xiv.* 1. εκλεγειν απο. *Gen. vi.* 2. ωνομαζε. *Gen. xxvi.* 18. *Sap. ii.* 13. *Matt. x.* 1-4. *Marc. iii.* 15-19. [προσεφωνησε ἑνα των οικετων. *Jos. Ant. vii.* 7. 4.]

14 (Σιμωνα ὁν και ωνομασε Πετρον, και Ανδρεαν τον αδελφον αυτου, Ιακωβον και Ιωαννην, Φιλιππον και Βαρθολομαιον,

Conf. Joan. i. 42. *Matt. xvi.* 18.

15 Ματθαιον και Θωμαν, Ιακωβον τον του Αλφαιου και Σιμωνα τον καλουμενον Ζηλωτην,

Θεος ζηλωτης. *Exod. xx.* 5. Ιουδας ὁ καλουμενος Μακκαβαιος. 1 *Mac. iii.* 1. [*Conf. Jos. Bell. Jud. iv.* 4. 6. *vii.* 8. 1.]

16 Ιουδαν Ιακωβου, και Ιουδαν Ισκαριωτην, ὁς και εγενετο προδοτης·)

και της πατριδος προδοτην γεγονοτα. 2 *Mac. v.* 15.

17 Και καταβας μετ᾽ αυτων, εστη επι τοπου πεδινου, και οχλος μαθητων αυτου, και πληθος πολυ του λαου απο πασης της Ιουδαιας και Ἱερουσαλημ, και της παραλιου Τυρου και Σιδωνος, οἱ ηλθον ακουσαι αυτου, και ιαθηναι απο των νοσων αὑτων,

εν τῃ πεδινῃ. *Jos. ix.* 1. [*sc.* χωρᾳ. *Bos. p.* 324.] εις τους παραλιους Χαναναιους. *xi.* 2, 3. τον ιωμενον πασας τας νοσους σου. *Ps. cii.* 3. *Conf. Matt. iv.* 25. *Marc. iii.* 7.

18 Και οἱ οχλουμενοι ὑπο πνευματων ακαθαρτων, και εθεραπευοντο.

ἐαν τινα οχλῃ δαιμονιον η πνευμα πονηρον, ταυτα δει καπνισαι—και μηκετι οχληθῃ. *Tob. vi.* 7. *Conf. Ps. cii.* 3. [μηδενος ενοχλουντος και εμποδιζοντος σωματικου παθους. *Philo. de. Vit. Mos. p.* 657.] [ὑπο δαιμονιων οχλουμενοι. *Act. Thom.* 12.]

19 Και πας ὁ οχλος εζητει ἁπτεσθαι αυτου· ὁτι δυναμις παρ᾽ αυτου εξηρχετο, και ιατο παντας.

Conf. Matt. xiv. 36. *Marc. v.* 30. 4 *Reg. iii.* 21.

20 Και αυτος επαρας τους οφθαλμους αὑτου εις τους μαθητας αὑτου, ελεγε, Μακαριοι οἱ πτωχοι, ὁτι ὑμετερα εστιν ἡ βασιλεια του Θεου.

επαρας δε Ιακωβ τους οφθαλμους αυτου. Gen. xxxiii. 1. Sym. μακαριοι παντες οἱ πεποιθοτες επ᾽ αυτῳ. Ps. ii. 12. μακαριοι ὧν αφεθησαν αἱ ανομιαι. xxxi. 1. et. pass. Conf. Matt. v. 3. Esa. lxi. 1. Jac. ii. 5. 1 Cor. i. 26. Tob. iv. 21. χορτασθησομαι εν τῳ οφθηναι την δοξαν σου. Ps. xvi. 15. Conf. Esa. lv. 1. lxi. 3. lxv. 13. lxvi. 10. στεναξουσι παντες οἱ ευφραινομενοι την ψυχην. Esa. xxiv. 7. εδειξεν αυτῳ βασιλειαν Θεου. Sap. x. 10.

21 Μακαριοι οἱ πεινωντες νυν, ὁτι χορτασθησεσθε. Μακαριοι
οἱ κλαιοντες νυν, ὁτι γελασετε.

22 Μακαριοι εστε, ὁταν μισησωσιν ὑμας οἱ ανθρωποι, και ὁταν αφορισωσιν ὑμας και ονειδισωσι, και εκβαλωσι το ονομα ὑμων ὡς πονηρον, ἑνεκα του υἱου του ανθρωπου.

και αυτος διασταλησεται απο εκκλησιας της αποικιας. Esd. x. 8. ὁ αφορισας ὑμας απο παντων των εθνων. Lev. xx. 26. εκ του οικου μου εκβαλω αυτους. Ose. ix. 15. Conf. Matt. v. 11. 1 Pet. ii. 19. iii. 14. iv. 14. ανδρες αἱματων μετοχοι μισουσιν ὁσιον, κ. τ. λ. Prov. xxix. 10. ὁτι εξηνεγκεν ονομα πονηρον επι παρθενον. Deut. xxii. 19. και γενωμαι αυτοις εις ονομα πονηρον. Neh. vi. 13. Vide Grot. in loc. 3 Mac. ii. 33. οὑτος ην ὁν εσχομεν ποτε εις γελωτα. Sap. v. 3. ὁτι ἑνεκα σου ὑπηνεγκα ονειδισμον, κ. τ. λ. Ps. lxviii. 7, 9.

23 Χαιρετε εν εκεινῃ τῃ ἡμερᾳ και σκιρτησατε· ιδου γαρ, ὁ μισθος ὑμων πολυς εν τῳ ουρανῳ· κατα ταυτα γαρ εποιουν τοις προφηταις οἱ πατερες αυτων.

χαιρε και ευφραινου. Thren. iv. 21. και σκιρτησετε, κ. τ. λ. Mal. iv. 2. μη γινεσθε καθως οἱ πατερες ὑμων. 2 Par. xxx. 7. Conf. Matt. v. 12. Act. v. 41. vii. 51. Rom. v. 3. Phil. i. 29. Col. i. 24. κατα ταυτα. Job. i. 8. Conf. 3 Reg. xviii. 4. xix. 2. 10. 14. 4 Reg. vi. 31. Ιδου ὁ σωτηρ σοι παραγεγονεν εχων τον ἑαυτου μισθον, και το εργον αυτου προ προσωπου αυτου. Esa. lxii. 11. τι τουτο εποιησας ἡμιν; Gen. xx. 9.

24 Πλην ουαι ὑμιν τοις πλουσιοις· ὁτι απεχετε την παρακλησιν ὑμων.

πλην. Sir. xlv. 22. ουαι τοις εξουθενουσι Σιων, κ. τ. λ. Amos. vi. 1-8. ουαι——τοις απολωλεκοσι την ὑπομονην, κ. τ. λ. Sir. ii. 14. οἱ πλουσιοι. Conf. Prov. x. 16. xviii. 11, 14. Sir. xiii. 4, 22. μη καυχασθω ὁ πλουσιος εν τῳ πλουτῳ αυτου. Jer. ix. 23. ὁτι απεχομεν τους κληρους ἡμων. Num. xxxii. 19. Conf. Joel. i. 5. το αργυριον ὑμων ευδοκιμουν απεχω. Gen. xliii. 23. Sir. xxxiv. 1-6. Matt. vi. 2. ὁτι ματαια ἡ παρακλησις ὑμων. Esa. xxx. 7.

25 Ουαι ὑμιν, οἱ εμπεπλησμενοι· ὁτι πεινασετε. ουαι ὑμιν, οἱ
γελωντες νυν· ὁτι πενθησετε και κλαυσετε.

ιδου οἱ δουλευοντες μοι φαγονται, ὑμεις δε πεινασετε· ιδου οἱ δουλευοντες μοι πιονται, ὑμεις δε διψησετε· ιδου οἱ δουλευοντες μοι ευφρανθησονται, ὑμεις δε αισχυνθησεσθε. *Esa. lxv.* 13. *Ps. cvi.* 9. *Jacob. iv.* 9. *v.* 1. *Luc. xvi.* 25.

26 Ουαι ὑμιν, ὁταν καλως ὑμας ειπωσι παντες οἱ ανθρωποι·
κατα ταυτα γαρ εποιουν τοις ψευδοπροφηταις οἱ πατερες
αυτων.

Conf. Jer. xxvi. 8-11. και ειπε—Καλως· εγω λαλησω. 3 *Reg. ii.* 18. εν τῳ καιρῳ εκεινῳ, ὁταν καλως ὑμιν ποιησω. *Soph. iii.* 20. *Zach. viii.* 15. *Conf. Joan. vii.* 7. 1 *Joan. iv.* 5, 6. 3 *Reg. xxii.* 7, 8. οἱ λεγοντες τοις προφηταις—και αναγγελλετε ἡμιν ἑτεραν πλανησιν, κ.τ.λ. *Esa. xxx.* 10, 11. *Jer. v.* 31.

27 Αλλ' ὑμιν λεγω τοις ακουουσιν, Αγαπατε τους εχθρους
ὑμων, καλως ποιειτε τοις μισουσιν ὑμας,

Conf. Matt. v. 44, 45. ου βδελυξῃ Αιγυπτιον, κ.τ.λ. *Deut. xxiii.* 7. [*Laudat Philo, p.* 545.] εαν πεσῃ ὁ εχθρος σου, μη επιχαρῃς αυτῳ· εν δε τῳ ὑποσκελισματι αυτου μη επαιρου. *Prov. xxiv.* 17.

28 Ευλογειτε τους καταρωμενους ὑμιν, και προσευχεσθε ὑπερ
των επηρεαζοντων ὑμας.

Conf. Luc. xxiii. 34. *Act. vii.* 60. καταρασονται αυτοι, και συ ευλογησεις. *Ps. cviii.* 27. προσευξομαι ὑπερ ὑμων. *Jer. xlix.* 4.

29 Τῳ τυπτοντι σε επι την σιαγονα, παρεχε και την αλλην·
και απο του αιροντος σου το ἱματιον, και τον χιτωνα μη
κωλυσῃς.

και επαταξε τον Μιχαιαν επι την σιαγονα. 3 *Reg. xxii.* 24. και εσομαι αυτοις ὡς ῥαπιζων ανθρωπος επι τας σιαγονας αυτου. *Ose. xi.* 4. εν ῥαβδῳ παταξουσιν επι σιαγονα. *Mich. v.* 1. *Conf. Matt. v.* 39. ουδεις γαρ ἡμων ου μη κωλυσει. *Gen. xxiii.* 6. *Conf.* 1 *Cor. vi.* 7. *Rom. xii.* 14. 17. *Esa. l.* 6. *Matt. v.* 39, 40.

30 Παντι δε τῳ αιτουντι σε, διδου· και απο του αιροντος τα
σα, μη απαιτει.

Conf. Matt. v. 42. *Deut. xv.* 7. *Prov. xxi.* 26. μακαριος ὁ συνιων επι πτωχον και πενητα, εν ἡμερᾳ πονηρᾳ ῥυσεται αυτον ὁ Κυριος. *Ps. xl.* 1. εκ των ὑπαρχοντων σοι ποιει ελεημοσυνην, και μη φθονεσατω σου ὁ οφθαλμος εν τῳ ποιειν σε ελεημοσυνην, κ.τ.λ. *Tob. iv.* 7. *Conf. Act. xx.* 35. *Exod. xxii.* 26. *Neh. v.* 1-19.

31 Και καθως θελετε ἱνα ποιωσιν ὑμιν οἱ ανθρωποι, και ὑμεις
ποιειτε αυτοις ὁμοιως.

Conf. Matt. vii. 12. και ὁ μισεις, μηδενι ποιησῃς. *Tob. iv.* 15. [ει θελεις ἱνα. *Test. XII Patr. p.* 704.] *Lev. xix.* 18.

32 Και ει αγαπατε τους αγαπωντας ὑμας, ποια ὑμιν χαρις
εστι; και γαρ οἱ ἁμαρτωλοι τους αγαπωντας αὑτους αγα-
πωσι.

Conf. Matt. v. 46. ποιος ὁ οικος του βλεποντος. 1 *Reg. ix.* 18. ουκ εστι χαρις τοις αγαθοις μου. *Sir. xx.* 16. παν ζωον αγαπᾳ το ὁμοιον αυτῳ. *Sir. xiii.* 17. [χαρις· αμοιβη κατα ευεργεσιαν. *Hesych.*]

33 Και εαν αγαθοποιητε τους αγαθοποιουντας ὑμας, ποια ὑμιν
χαρις εστι; και γαρ οἱ ἁμαρτωλοι το αυτο ποιουσι.
34 Και εαν δανειζητε παρ' ὡν ελπιζετε απολαβειν, ποια ὑμιν
χαρις εστι; και γαρ οἱ ἁμαρτωλοι ἁμαρτωλοις δανειζουσιν,
ἱνα απολαβωσι τα ισα.

ὁ ποιων ελεος δανειει τῳ πλησιον. *Sir. xxix.* 1. και δανειον δανειεις αυτῳ ὁσον επιδεεται. *Deut. xv.* 8. *Conf. Matt. v.* 47. τα ισα. *Conf. Ezech. xl.* 5, 6. και γαρ. *Ps. cxxxviii.* 10.

35 Πλην αγαπατε τους εχθρους ὑμων, και αγαθοποιειτε, και
δανειζετε μηδεν απελπιζοντες· και εσται ὁ μισθος ὑμων πολυς,
και εσεσθε υἱοι του ὑψιστου· ὁτι αυτος χρηστος εστιν επι
τους αχαριστους και πονηρους.

Conf. Matt. v. 48. θεοι εστε, και υἱοι ὑψιστου παντες. *Ps. lxxxi.* 6. αχαριστου. *Sap. xvi.* 29. *Sir. xxix.* 17. 25. ὁ μισθος σου πολυς εσται σφοδρα. *Gen. xv.* 1. [μηδεν απελπιζοντες, *ut nihil inde speratis. Schleus. nil dubitantes de retributione, Bretschn.*] επι φιλον εαν σπασῃς ῥομφαιαν, μη απελπισῃς. *Sir. xxii.* 21. *xxvii.* 21. *Esa. xxv.* 4. 2 *Mac. ix.* 18. απηλπισμενων σωτηρ. *Judith. ix.* 11. γινου ορφανοις ὡς πατηρ—και εσῃ ὡς υἱος ὑψιστου. *Sir. iv.* 10. *Conf. Matt. v.* 44. *Ps. xxxvi.* 25. και οἱ οικτιρμοι αυτου επι παντα τα εργα αυτου. *Ps. cxliv.* 9. οἱ φοβουμενοι τον Κυριον πιστευσατε αυτῳ, και ου μη πταισῃ ὁ μισθος ὑμων. *Sir. ii.* 8.

36 Γινεσθε ουν οικτιρμονες, καθως και ὁ πατηρ ὑμων οικτιρμων
εστι.

εγνων ὁτι συ ελεημων και οικτιρμων. *Jon. iv.* 2. 2 *Cor. iii.* 18. *Rom. viii.* 29. 1 *Pet. i.* 16. 1 *Joan. iii.* 3. συ δε δεσποζων ισχυος εν επιεικειᾳ κρινεις, και μετα πολλης φειδους διοικεις ἡμας, κ. τ. λ. *Sap. xii.* 18, 19. [ὁ αγαθος ανθρωπος ουκ εχει σκοτεινον οφθαλ-

μου, ελεει γαρ παντας, καν ωσιν ἁμαρτωλοι, κ. τ. λ. *Test. XII Patr. p.* 731.]

37 Και μη κρινετε, και ου μη κριθητε. μη καταδικαζετε, και
ου μη καταδικασθητε. απολυετε, και απολυθησεσθε·

οἱ λεγοντες, Πορρω απ᾽ εμου, μη εγγισῃς μοι, ὁτι καθαρος ειμι, κ.τ.λ. *Esa. lxv.* 5. [αυτοι δε ευχας ὑπερ του νεανισκου ποιουνται τῳ Θεῳ, ὡστ᾽ αυτου απολυσαι του ἁμαρτηματος. *Jos. Ant. vi.* 6. 4.] μη καταδικασαι αυτον, ὁταν κρινηται. *Ps. xxxvi.* 33.

38 Διδοτε, και δοθησεται ὑμιν· μετρον καλον, πεπιεσμενον
και σεσαλευμενον και ὑπερεκχυνομενον δωσουσιν εις τον κολ-
πον ὑμων. τῳ γαρ αυτῳ μετρῳ ᾧ μετρειτε, αντιμετρηθησεται
ὑμιν.

μετα ὁσιου ὁσιωθηση, και μετα ανδρος αθωου αθωος εση· και μετα εκλεκτου εκλεκτος εση, και μετα στρεβλου διαστρεψεις. *Ps. xvii.* 25, 26. συ πιεζεις ελαιον. *Mich. vi.* 15. *Conf. Matt. vii.* 1, 2. αποδος—ἑπταπλασια εις τον κολπον αυτων. *Ps. lxxviii.* 12. *Conf. Jer. xxxix.* 18. και ὑπερεκχυθησονται αἱ ληνοι οινου και ελαιου. *Joel. ii.* 24. *Alex. Ald. Comp.* αφες αδικημα τῳ πλησιον σου, και τοτε, δεηθεντος σου, αἱ ἁμαρτιαι σου λυθησονται. *Sir. xxviii.* 2. ὁ εκδικων παρα Κυριου εὑρησει εκδικησιν. *xxviii.* 1. τις καταδικασεται; *Job. xxxiv.* 29. *Conf. Rom. ii.* 1. 1 *Cor. iv.* 5. *Prov. x.* 22.

39 Ειπε δε παραβολην αυτοις, Μητι δυναται τυφλος τυφλον
ὁδηγειν; ουχι αμφοτεροι εις βοθυνον πεσουνται;

εμπεσειται εις τον βοθυνον. *Esa. xxiv.* 18. *Conf. Esa. xlii.* 19. *Matt. xv.* 14. *Jer. v.* 31. [τυφλῳ προ βλεποντος σκηριπτομενοι και ἡγεμονι της ὁδου χρωμενοι πεπηρωμενῳ πιπτειν εξ αναγκης οφειλουσι. *Philo de fort. p.* 737.]

40 Ουκ εστι μαθητης ὑπερ τον διδασκαλον αὑτου· κατηρτισ-
μενος δε πας εσται ὡς ὁ διδασκαλος αυτου.

Conf. Matt. x. 25. κατηρτισω αινον. *Ps. viii.* 2. *xvii.* 33. *Joan. xiii.* 16. *xv.* 20. ακοη ὑπερ θυσιαν αγαθην. 1 *Reg. xv.* 22. ὡς [*pariter ac.*] *Esa. xxiv.* 2. [Μωσεως και μαθητου αυτου Ιησου. *Jos. Ant. vi.* 5. 4.]

41 Τι δε βλεπεις το καρφος το εν τῳ οφθαλμῳ του αδελφου
σου, την δε δοκον την εν τῳ ιδιῳ οφθαλμῳ ου κατανοεις;

Conf. Matt. vii. 3. *Joan. viii.* 7.

42 Η πως δυνασαι λεγειν τῳ αδελφῳ σου, Αδελφε, αφες εκβαλω το καρφος το εν τῳ οφθαλμῳ σου, αυτος την εν τῳ οφθαλμῳ σου δοκον ου βλεπων; Ὑποκριτα, εκβαλε πρωτον την δοκον εκ του οφθαλμου σου, και τοτε διαβλεψεις εκβαλειν το καρφος το εν τῳ οφθαλμῳ του αδελφου σου.

Conf. Matt. vii. 5. δικαιος ἑαυτου κατηγορος εν πρωτολογια, ὡς δ' αν επιβαλῃ ὁ αντιδικος ελεγχεται. *Prov. xviii.* 17. *Jer. viii.* 8.

43 Ου γαρ εστι δενδρον καλον, ποιουν καρπον σαπρον· ουδε δενδρον σαπρον, ποιουν καρπον καλον.

εκκοψατε το δενδρον. *Dan. iv.* 11. και ξυλον καρπιμον ποιουν καρπον. *Gen. i.* 11. 12. ὡσπερ ξυλον σαθρον. *Job. xli.* 18. *Alex. Conf. Matt. vii.* 17. 19.

44 Ἑκαστον γαρ δενδρον εκ του ιδιου καρπου γινωσκεται· ου γαρ εξ ακανθων συλλεγουσι συκα, ουδε εκ βατου τρυγωσι σταφυλην.

γεωργιον ξυλου εκφαινει ὁ καρπος αυτου, οὑτως λογος ενθυμηματος καρδιας ανθρωπου. *Sir. xxvii.* 6. *Conf. Ose. x.* 12-14. ετρυγησαν τους αμπελωνας αυτων. *Jud. ix.* 27. εαν δε τρυγησῃς τον αμπελωνα σου. *Deut. xxiv.* 21. συλλεγειν κρινα. *Cant. vi.* 1. λιθους. *Gen. xxxi.* 46. σταχυς. *Deut. xxiii.* 25. *Conf. Matt. xii.* 33. *Jacob. iii.* 12.

45 Ὁ αγαθος ανθρωπος εκ του αγαθου θησαυρου της καρδιας αὑτου προφερει το αγαθον· και ὁ πονηρος ανθρωπος εκ του πονηρου θησαυρου της καρδιας αὑτου προφερει το πονηρον· εκ γαρ του περισσευματος της καρδιας λαλει το στομα αυτου.

και εξηγαγε φως εκ των θησαυρων αυτου. *Jer. xxviii.* 16. θες τον θησαυρον σου κατ' εντολας ὑψιστου. *Sir. xxix.* 11. ὁ νομος του Θεου αυτου εν καρδιᾳ αυτου. *Ps. xxxvi.* 31. εξελου με, Κυριε, εξ ανθρωπου πονηρου. *Ps. cxxxix.* 1. ειδεναι γνωστον καλου και πονηρου. *Gen. ii.* 9. 17. το στομα αυτων ελαλησεν ὑπερηφανιαν. *Ps. xvi.* 10. το στομα μου λαλεσει σοφιαν. *xlviii.* 3. ὁς εκ χειλεων προφερει σοφιαν. *Prov. x.* 13. *Conf. Matt. xii.* 34. ματην ελαλει ἡ καρδια αυτου, κ. τ. λ. *Ps. xl.* 6.

46 Τι δε με καλειτε, Κυριε, Κυριε, και ου ποιειτε ἁ λεγω;

υἱος δοξαζει πατερα, και δουλος τον κυριον ἑαυτου· και ει πατηρ ειμι εγω, που εστιν ἡ δοξα μου, και ει Κυριος ειμι εγω, που εστιν ὁ φοβος μου; *Mal. i.* 6. δικαιοσυνη και δοξα προς αυτον ἡξει, και αισχυνθησονται παντες διοριζοντες αυτους. *Esa. xlv.* 25. *Conf.*

Matt. vii. 21. *Rom. ii.* 13. *Jacob. i.* 22. *ii.* 14. 1 *Joan. ii.* 4. 6. *iv.* 20. *v.* 3. Κυριε, Κυριε. *Ps. lxx.* 5.

47 Πας ὁ ερχομενος προς με, και ακουων μου των λογων, και ποιων αυτους, ὑποδειξω ὑμιν τινι εστιν ὁμοιος.

Conf. Matt. vii. 24. και ουχ ἱερεως ὑποδεικνυντος. 2 *Par. xv.* 3. ακουσατε τους λογους της διαθηκης ταυτης, και ποιησατε αυτους. Και ουκ εποιησαν. *Jer. xi.* 6-8. *Conf. Esa. lv.* 3. ερχεται εις μετανοιαν. *Prov. xiv.* 15.

48 Ὁμοιος εστιν ανθρωπῳ οικοδομουντι οικιαν, ὁς εσκαψε και εβαθυνε, και εθηκε θεμελιον επι την πετραν· πλημμυρας δε γενομενης, προσερρηξεν ὁ ποταμος τῃ οικιᾳ εκεινῃ, και ουκ ισχυσε σαλευσαι αυτην· τεθεμελιωτο γαρ επι την πετραν.

τα θεμελια τεθητω. *Esa. vi.* 3. (*Vide Tromm. vol. i. p.* 730.) ὁρια ἁ εθεντο οἱ πατερες σου. *Prov. xxii.* 28. ἑαν γενηται πλημμυρα, ου μη αισθηθῃ. *Job. xl.* 18. *Deut. xxxiii.* 19. *Aq.* προσρηξεις αυτους. *Ps. ii.* 9. *Aq. Conf. Hab. iii.* 9. *Sym.* η ουκ ισχυω του εξελεσθαι; *Esa. l.* 2. *lix.* 1. *Conf. Matt. vii.* 25. εσκαψε και εβαθυνε, *i. e.* βαθυν εσκαψε. *Ita,* εσπευσε και καθειλε. *Gen. xxiv.* 18. 46. *v.* 20. *xliv.* 11. σαλευσει αυτους εκ θεμελιων. *Sap. iv.* 19. *Amos. viii.* 12. *Vide Raphel. in loc.* και ποταμοι με εκυκλωσαν. *Jon. ii.* 4. *Alex. Esa. xliii.* 2. *Conf. Ephes. ii.* 20, 21. *Act. iv.* 12. 1 *Cor. iii.* 11. *Ps. cxxvi.* 1. [πλημμυρα· το ὁρμημα της θαλασσης η επιρρὑσις. *Hesych.* ποταμων πλημμυρας. *Philo de opific. Mund. p.* 12.] οἱ πεποιθοτες επι Κυριον ὡς ορος Σιων, ου σαλευθησεται εις αιωνα ὁ κατοικων. *Ps. cxxiv.* 1.

49 Ὁ δε ακουσας, και μη ποιησας ὁμοιος εστιν ανθρωπῳ οικοδομησαντι οικιαν επι την γην χωρις θεμελιου· ᾗ προσερρηξεν ὁ ποταμος, και ευθεως επεσε, και εγενετο το ῥηγμα της οικιας εκεινης μεγα.

και παταξει τον οικον—ῥηγμασι. *Amos. vi.* 12. *Alex. Conf. Matt. vii.* 26-28. παραπορευομενης καταιγιδος αφανιζεται ασεβης, δικαιος δε εκκλινας σωζεται εις τον αιωνα. *Prov. x.* 25. *Conf. Esa. xxviii.* 16. *Ps. xxxi.* 6. ἡξει γαρ ὡς ποταμος βιαιος ἡ οργη παρα Κυριου, ἡξει μετα θυμου. *Esa. lix.* 19. και εν κατακλυσμῳ πορειας συντελειαν ποιησεται, τους επεγειρομενους και τους εχθρους αυτου διωξεται σκοτος. *Nah. i.* 8.

ΚΕΦ. ζ. 7.

ΕΠΕΙ δε επληρωσε παντα τα ῥηματα αὑτου εις τας ακοας του λαου, εισηλθεν εις Καπερναουμ.

εμετρησεν—την βασιλειαν σου, και επληρωσεν αυτην. Dan. v. 26. Comp. Lev. viii. 33. Conf. Matt. viii. 5, etc. και πληρωσω τους λογους σου. 3 Reg. i. 14. ελαλησε παντα τα ῥηματα ταυτα εις τα ωτα αυτων. Gen. xx. 8. l. 4. Exod. x. 2. εγενετο δε, ἡνικα εισηλθεν Ἀβραμ εις Αιγυπτον. Gen. xii. 14. επει ανεστρεψα εις γην βασιλειας μου. 1 Mac. x. 52. εαν μη δηλωσῃ εις ακοην μου· 1 Reg. xx. 2. Sym. ωτιον μου. LXX.

2 Ἑκατονταρχου δε τινος δουλος κακως εχων ημελλε τελευτᾳν, ὁς ην αυτῳ εντιμος.

και το κακως εχον ουκ εσωματοποιησατε. Ezech. xxxiv. 4. και μελλων αποθνησκειν. 2 Mac. vii. 18. εντιμος ψυχη μου εν οφθαλμοις σου. 1 Reg. xxvi. 21. Conf. Matt. viii. 5. Sir. vii. 21.

3 Ακουσας δε περι του Ιησου απεστειλε προς αυτον πρεσβυτερους των Ιουδαιων, ερωτων αυτον, ὁπως ελθων διασωσῃ τον δουλον αὑτου.

διεσωθη δε αυτων εν γαστρι εχουσα. Job. xxi. 10. ὁπως. Conf. Jon. i. 6. περι εμου και σου. Jer. xiv. 6. 1 Reg. xix. 3.

4 Οἱ δε παραγενομενοι προς τον Ιησουν, παρεκαλουν αυτον σπουδαιως, λεγοντες, Ὁτι αξιος εστιν ᾧ παρεξει τουτο·

Conf. 2 Reg. iii. 12. και εὑρεν αυτους αξιους ἑαυτου. Sap. iii. 5. παρεγονοντο δε προς Ῥαγουηλ. Exod. ii. 18. ὁ δε Αμαν παρεκαλει και ῃτειτο την βασιλισσαν. Est. vii. 7. Ald. Comp. ου γαρ αξιος ὁ διαβολος της αυλης του βασιλεως. Est. vii. 4. παρεξει pro παρεξῃ. [Matthiæ. Gram. § 197.] [παντα ἁ παρεχει ὑμιν ὁ Θεος. Jos. c. Apion. i. 29. Test. XII Patr. p. 641. Bretschn.]

5 Αγαπᾳ γαρ το εθνος ἡμων, και την συναγωγην αυτος ῳκοδομησεν ἡμιν.

ὁ φιλαδελφος οὑτος εστιν ὁ πολλα προσευχομενος περι του λαου και της ἁγιας πολεως. 2 Mac. xv. 14. Κυριε ηγαπησα ευπρεπειαν οικου σου. Ps. xxv. 8. [De Synagogis conf. Jos. Ant. xix. 6. 3. Bell. Jud. ii. 14. 4. vii. 3. 3.] σπουδαιως. Sap. ii. 6.

6 Ὁ δε Ιησους επορευετο συν αυτοις. ηδη δε αυτου ου μακραν απεχοντος απο της οικιας, επεμψε προς αυτον ὁ ἑκατονταρ-

χος φιλους, λεγων αυτῳ, Κυριε, μη σκυλλου· ου γαρ ειμι ἱκανος ἱνα ὑπο την στεγην μου εισελθῃς·

και κατεσπευσεν εξ ορους—συν μυριασι. *Deut. xxxiii.* 2. τοπος ην μακραν απεχων απ' αυτων. 1 *Mac. viii.* 4. *Ezech. xxii.* 5. *Conf. Matt. viii.* 8. οὑ εἱνεκεν εισηλθον ὑπο την στεγην των δοκων μου. *Gen. xix.* 8. *Alex. Ald.* σκυλλου. *Conf.* 3 *Mac. iii.* 25. *vii.* 5. *Gen. xxxii.* 10. περι τουτου πεμψατω προς ἡμας. *Esd. v.* 17.

7 Διο ουδε εμαυτον ηξιωσα προς σε ελθειν· αλλα ειπε λογῳ, και ιαθησεται ὁ παις μου.

τον ιωμενον πασας τας νοσους σου. *Ps. cii.* 3. και ουκ ηξιωθην καταφιλησαι τα παιδια μου. *Gen. xxxi.* 28. ειπε λογῳ, *uno modo verbo jube. Conf. Exod. xix.* 8. *xxxv.* 1. 2 *Par. xxiv.* 9. *Lev. ix.* 6. ὁτι αυτος ειπε, και εγενηθησαν· αυτος ενετειλατο, και εκτισθησαν. *Ps. xxxii.* 6-9. *Conf. Gen. i.* 3. διο. *Ps. cxv.* 10.

8 Και γαρ εγω ανθρωπος ειμι ὑπο εξουσιαν τασσομενος, εχων ὑπ' εμαυτον στρατιωτας, και λεγω τουτῳ, Πορευθητι, και πορευεται· και αλλῳ, Ερχου, και ερχεται· και τῳ δουλῳ μου, Ποιησον τουτο, και ποιει.

Conf. Matt. viii. 9. *Gen. ix.* 25. και γαρ. *Job. v.* 2. και παντες οἱ ἡγιασμενοι ὑπο τας χειρας σου· και οὑτοι ὑπο σε εισι. *Deut. xxxiii.* 3. *Conf.* 1 *Reg. iii.* 4-9. λαλει, ὁτι ακουει ὁ δουλος σου, κ. τ. λ.

9 Ακουσας δε ταυτα ὁ Ιησους εθαυμασεν αυτον· και στραφεις τῳ ακολουθουντι αυτῳ οχλῳ ειπε, Λεγω ὑμιν, Ουδε εν τῳ Ισραηλ τοσαυτην πιστιν εὑρον.

Conf. Ps. cxlvii. 19, 20. εθαυμασε. *Conf.* 4 *Reg. v.* 1.

10 Και ὑποστρεψαντες οἱ πεμφθεντες εις τον οικον, εὑρον τον ασθενουντα δουλον ὑγιαινοντα.

11 Και εγενετο εν τῃ ἑξης, επορευετο εις πολιν καλουμενην Ναϊν· και συνεπορευοντο αυτῳ οἱ μαθηται αυτου ἱκανοι, και οχλος πολυς.

εν τῃ ἑξης ἡμερᾳ. *cap. ix.* 37. [και τῃ ἑξης ερρηθη προς ἡμας. *Test. XII Patr. p.* 595.] και επορευθη εις Σαμαρειαν. 4 *Reg. x.* 12. εὑρηκα ὁς συμπορευσεται σοι. *Tob. v.* 8. Ἀβρααμ δε συνεπορευετο μετ' αυτων. *Gen. xviii.* 16. συμπορευσῃ ἡμιν. *Jud. xi.* 8. *Alex.* απωλοντο εξ αυτων ἱκανοι τῃ λιμῳ. 1 *Mac. iii.* 49. και αξει οχλον

πολυν. *Dan. xi.* 13. [κατα κωμην την καλουμενην Ναϊν τειχος κατασκευασας. *Jos. Bell. Jud. iv.* 9. 4. *Bretschn.*]

12 Ὡς δε ηγγισε τῃ πυλῃ της πολεως, και ιδου, εξεκομιζετο τεθνηκως, υἱος μονογενης τῃ μητρι αὑτου, και αυτῃ χηρα· και οχλος της πολεως ἱκανος ην συν αυτῃ.

ἡνικα δε ηγγιζε τῃ παρεμβολῃ. *Exod. xxxii.* 19. *Alex. Ald.* και ιδου. *Gen. xxiv.* 15. μονογενης ειμι τῳ πατρι μου. *Tob. iii.* 15. διελθοντων δε ετων ἱκανων. 2 *Mac. i.* 20. και αυτη Σαῤῥα. *Heb. xi.* 11. αυτος ογδοος εστι. *Apoc. xvii.* 11. απολιπων—και τους συν αυτῳ ἱκανους. 2 *Mac. x.* 19. [τους τετελευτηκοτας εκκομιζειν. *Philo de Vit. Mos.* 617.]

13 Και ιδων αυτην ὁ Κυριος εσπλαγχνισθη επ᾽ αυτῃ, και ειπεν αυτῃ, Μη κλαιε.

[και σπλαγχνισθεις επ᾽ αυτον. *Test. XII Patr. p.* 641.] τα δε σπλαγχνα των ασεβων ανελεημονα. *Prov. xii.* 10. [επισκεψηται Κυριος παντα τα εθνη εν σπλαγχνοις υἱου αυτου. *Test. XII Patr. p.* 549.] μη πενθειτε μηδε κλαιετε. *Neh. viii.* 9. μη κλαιετε τον τεθνηκοτα. *Jer. xxii.* 10. [τα σπλαγχνα μου πονω επι τουτοις. *Psalt. Sal. ii.* 15.] *Conf. Ps. cii.* 13, 14. *Esa. lxiii.* 9.

14 Και προσελθων ἡψατο της σορου· (οἱ δε βασταζοντες εστησαν·) και ειπε, Νεανισκε, σοι λεγω, εγερθητι.

και εγερθησονται οἱ εν τοις μνημειοις. *Esa. xxvi.* 19. εις ταφους απηνεχθη, και επι σορου ηγρυπνησε. *Job. xxi.* 32. *Ald. Conf. Ezech. xxxvii.* 3, 4. ευφραινου νεανισκε. *Eccles. xi.* 9. *Conf. Rom. iv.* 17. *Act. ix.* 40. *Matt. xi.* 5. *xiv.* 2. *xvi.* 21. σορος. *Gen. l.* 36.

15 Και ανεκαθισεν ὁ νεκρος, και ηρξατο λαλειν· και εδωκεν αυτον τῃ μητρι αὑτου.

ηρξαμην λαλησαι. *Gen. xviii.* 27. *Conf. Heb. xi.* 35.

16 Ελαβε δε φοβος ἁπαντας, και εδοξαζον τον Θεον λεγοντες, Ὁτι προφητης μεγας εγηγερται εν ἡμιν· και ὁτι επεσκεψατο ὁ Θεος τον λαον αὑτου.

εγω δε ηγειρα τον απο Βοῤῥα. *Esa. xli.* 25. ελαβεν αυτους τρομος. *Exod. xv.* 15. προφητην αναστησω αυτοις εκ των αδελφων αυτων. *Deut. xviii.* 18. επισκοπῃ ᾑ επισκεψεται ὁ Θεος ὑμας. *Gen. l.* 24. *Ezech. xxxiv.* 11. *Num. xvi.* 5. Ἡσαΐας ὁ προφητης ὁ μεγας. *Sir. xlviii.* 22. μεχρι του παραγενηθηναι προφητην. 1 *Mac. iv.* 46. ἑως του αναστηναι προφητην πιστον. *xiv.* 41. *Conf. Marc. vii.* 37. *Joan. iv.* 19. *vi.* 14. *Act. ii.* 22. και ἡνικα εαν ελθῃ, ερουσιν, Ιδου

ἡκει· και γνωσονται ὁτι προφητης ην εν μεσῳ αυτων. *Ezech. xxxiii.* 33. επισκεψαι ἡμας εν τῳ σωτηριῳ σου. *Ps. cv.* 4.

17 Και εξηλθεν ὁ λογος οὑτος εν ὁλῃ τῃ Ιουδαιᾳ περι αυτου, και εν πασῃ τῃ περιχωρῳ.

εξελευσεται—λογος Κυριου εξ Ἱερουσαλημ. *Esa. ii.* 3. εν πασῃ τῃ περιχωρῳ. *Gen. xix.* 17. και το δογμα εξηλθε. *Dan. ii.* 13. αληθινος ὁ λογος, ὁν ηκουσα εν τῃ γῃ μου περι του λογου σου, κ.τ.λ. 3 *Reg. x.* 6. *Matt. iii.* 5. *iv.* 24. *ix.* 31. *Marc. i.* 18.

18 Και απηγγειλαν Ιωαννῃ οἱ μαθηται αυτου περι παντων τουτων.

Conf. Matt. xi. 2. *Joan. iii.* 26.

19 Και προσκαλεσαμενος δυο τινας των μαθητων αὑτου ὁ Ιωαννης, επεμψε προς τον Ιησουν λεγων, Συ ει ὁ ερχομενος, η αλλον προσδοκωμεν;

Conf. Matt. xi. 3. *Gen. xlix.* 10. *Esa. xxxv.* 4. *Dan. ix.* 24. *Joan. vi.* 14. ὁτι ερχομενος ἡξει, και ου μη χρονισῃ. *Hab. ii.* 3. ιδου εγω ερχομαι, κ.τ.λ. *Zach. ii.* 10. προσκαλεσαμενος. *Gen. xxviii.* 1.

20 Παραγενομενοι δε προς αυτον οἱ ανδρες ειπον, Ιωαννης ὁ βαπτιστης απεσταλκεν ἡμας προς σε λεγων, Συ ει ὁ ερχομενος, η αλλον προσδοκωμεν;

παραγενομενοι δε οἱ ποιμενες, κ.τ.λ. *Exod. ii.* 17. *Matt. iii.* 1.

21 Εν αυτῃ δε τῃ ὡρᾳ εθεραπευσε πολλους απο νοσων και μαστιγων και πνευματων πονηρων, και τυφλοις πολλοις εχαρισατο το βλεπειν.

εν αυτῃ τῃ ὡρᾳ. *Dan. v.* 5. την γυναικα μου εθεραπευσε. *Tob. xii.* 3. σοι κεχαρισται το ζην ὁ Κυριος. 2 *Mac. iii.* 33. *Conf. Esa. xxxv.* 5. *lx.* 1. *Marc. iii.* 10. *Matt. iv.* 23, 24.

22 Και αποκριθεις ὁ Ιησους ειπεν αυτοις, Πορευθεντες απαγγειλατε Ιωαννῃ ἁ ειδετε και ηκουσατε. ὁτι τυφλοι αναβλεπουσι, χωλοι περιπατουσι, λεπροι καθαριζονται, κωφοι ακουουσι, νεκροι εγειρονται, πτωχοι ευαγγελιζονται·

Conf. Matt. xi. 4. πορευθεντες δη ζητησατωσαν τον Κυριον σου. 4 *Reg. ii.* 16. *Conf. Esa. xxix.* 18. οφθαλμοι τυφλων οψονται. *lxi.* 1. *Matt. x.* 8. *Joan. ii.* 23. *Ps. xiv.* 5, 8. *Jac. ii.* 25.

23 Και μακαριος εστιν ὁς εαν μη σκανδαλισθῃ εν εμοι.

Conf. Matt. xi. 5, 6. *xiii.* 57. *Esa. viii.* 14. *Rom. ix.* 32. 1 *Cor. i.* 23. και εκλεκτοι σκανδαλισθησονται. *Esa. xl.* 30. *Aq.*

24 Απελθοντων δε των αγγελων Ιωαννου, ηρξατο λεγειν προς τους οχλους περι Ιωαννου, Τι εξεληλυθατε εις την ερημον θεασασθαι; καλαμον ὑπο ανεμου σαλευομενον;

Conf. Matt. xi. 7, *etc. iii.* 1-5. *Marc. i.* 4, 5.

25 Αλλα τι εξεληλυθατε ιδειν; ανθρωπον εν μαλακοις ἱματιοις ημφιεσμενον; ιδου, οἱ εν ἱματισμῳ ενδοξῳ και τρυφῃ ὑπαρχοντες εν τοις βασιλειοις εισιν.

εν ἱματισμῳ διαχρυσῳ περιβεβλημενη. *Ps. xliv.* 9. βασιλειον, *sc.* δωμα. *Nah. ii.* 6. *Est. ii.* 13. *Prov. xviii.* 19. ενδοξος. *Conf. Esa. xxii.* 17. ου συμφερει αφρονι τρυφη. *Prov. xix.* 10. μη ευφραινου επι πολλῃ τρυφῃ. *Sir. xviii.* 32. [εν τρυφῃ διαγων. *Test. XII Patr. p.* 710.] *Matt. xi.* 8. *Jer. xxii.* 14.

26 Αλλα τι εξεληλυθατε ιδειν; προφητην; Ναι, λεγω ὑμιν, και περισσοτερον προφητου.

Conf. Matt. xi. 9. *xiv.* 5. *Conf. Luc. i.* 76.

27 Οὑτος εστι περι οὑ γεγραπται, Ιδου, εγω αποστελλω τον αγγελον μου προ προσωπου σου, ὁς κατασκευασει την ὁδον σου εμπροσθεν σου.

Mal. iii. 1. *Conf. Matt. xi.* 10. *Marc. i.* 3. *Esa. xl.* 3. *CITAT.* 76.

28 Λεγω γαρ ὑμιν, Μειζων εν γεννητοις γυναικων προφητης Ιωαννου του Βαπτιστου ουδεις εστιν. ὁ δε μικροτερος εν τῃ βασιλειᾳ του Θεου, μειζων αυτου εστι.

Conf. Matt. xi. 1. *Joan. i.* 15. *Heb. i.* 1. *Col. i.* 26. 2 *Tim. i.* 10. 1 *Pet. i.* 20. εδειξεν αυτῳ βασιλειαν Θεου. *Sap. x.* 10.

29 Και πας ὁ λαος ακουσας και οἱ τελωναι εδικαιωσαν τον Θεον, βαπτισθεντες το βαπτισμα Ιωαννου·

Κυριος μονος δικαιωθησεται. *Sir. xviii.* 2. *Vide Kypke in loc.* ὁπως αν δικαιωθῃς εν τοις λογοις σου. *Ps. l.* 4. [*Conf. Jos. Ant. xviii.* 6. 2.] [προσεκοψεν ὁ δικαιος, και εδικαιωσε τον Κυριον. επεσε, και αποβλεπει τι ποιησει αυτῳ ὁ Θεος. *Psalt. Sal. p.* 926.]

30 Οἱ δε Φαρισαιοι και οἱ νομικοι την βουλην του Θεου ηθετησαν εις ἑαυτους, μη βαπτισθεντες ὑπ᾽ αυτου.

αθετουντες τον νομον. *Esa. xxiv.* 16. *Jer. v.* 11. *Ps. xxxii.* 10 το γενος ἱερευς, την επιστημην νομικος. 4 *Mac. v.*

31 Ειπε δε ὁ Κυριος, Τινι ουν ὁμοιωσω τους ανθρωπους της γενεας ταυτης; και τινι εισιν ὁμοιοι;

Conf. Matt. xi. 16-20. γενεα σκολια και διεστραμμενη. *Deut. xxxii.* 5. *Ps. xi.* 7.

32 Ὁμοιοι εισι παιδιοις τοις εν αγορᾳ καθημενοις, και προσ-
φωνουσιν αλληλοις, και λεγουσιν, Ηυλησαμεν ὑμιν, και ουκ
ωρχησασθε· εθρηνησαμεν ὑμιν, και ουκ εκλαυσατε.

εαν γελασω προς αυτους, ου μη πιστευσωσι, και φως του προσωπου μου ουκ ανεπιπτε. *Job. xxix.* 24. *Conf. Prov. xxix.* 9.

33 Ἐληλυθε γαρ Ιωαννης ὁ βαπτιστης μητε αρτον εσθιων μητε
οινον πινων, και λεγετε, Δαιμονιον εχει.

εληλυθασιν οἱ καιροι. *Jer. xxxvii.* 26. *Conf. Matt. iii.* 4. *Marc. i.* 6. [Ναζαραιοι—οινον ου προσφερομενοι, κ. τ. λ. *Jos. iv.* 4. 4.]

34 Εληλυθεν ὁ υἱος του ανθρωπου εσθιων και πινων, και λεγετε,
Ιδου, ανθρωπος φαγος και οινοποτης, τελωνων φιλος και ἁμαρ-
τωλων.

35 Και εδικαιωθη ἡ σοφια απο των τεκνων αυτης παντων.

ου δικαιωθησεται ενωπιον σου πας ζων. *Ps. cxlii.* 2. μακαριος ανηρ, ὁς εισακουσεται μου, και ανθρωπος ος τας εμας ὁδους φυλαξει. *Prov. viii.* 32. *Ose. xiv.* 10. *Matt. xi.* 19.

36 Ηρωτα δε τις αυτον των Φαρισαιων, ἱνα φαγῃ μετ᾽ αυτου·
και εισελθων εις την οικιαν του Φαρισαιου, ανεκλιθη.

τις του γενους μου. *Gen. xxvi.* 10. *Alex. Ald.* ανακλιθητε. 1 *Reg. xvi.* 5. *Comp.* εις το εσθιειν κατακλινομενην. *Judith. xii.* 15. [κατακλιθηναι εις το δειπνον. *Jos. Ant. vi.* 4. 1.] και απεκριθη τις αυτων, και ειπε. 1 *Reg. x.* 12. *Conf. Matt. xxvi.* 6. *Marc. xiv.* 3. *Joan. xi.* 2. *xii.* 3. και εισηλθε—και εφαγε. 1 *Reg. i.* 18.

37 Και ιδου, γυνη εν τῃ πολει, ἡτις ην ἁμαρτωλος, επιγνουσα
ὁτι ανακειται εν τῃ οικιᾳ του Φαρισαιου, κομισασα αλαβα-
στρον μυρου,

αυτος ανακειται, εσθιει, και πινει. 1 *Esd. iv.* 10. *Conf.* 1 *Reg. i.* 18. *ix.* 19. 24. τῳ βασιλει κομιζουσι παντα. 1 *Esd. iv.* 5. *Sap. xviii.* 21. *Tob. ix.* 1-3. *Matt. xxvi.* 7. ἁμαρτωλος. *Conf. Heb. xii.* 3. *Gal. ii.* 15. 1 *Reg. xv.* 18. 1 *Mac. ii.* 44. *Sap. xvii.* 2. *Amos. ix.* 8. μυρου. *Conf. Ps. cxxxii.* 2. *Prov. xxvii.* 9. *Cant. i.* 3.

38 Και στασα παρα τους ποδας αυτου οπισω κλαιουσα, ηρ-
ξατο βρεχειν τους ποδας αυτου τοις δακρυσι, και ταις θριξι
της κεφαλης αὑτης εξεμασσε, και κατεφιλει τους ποδας αυ-
του, και ηλειφε τῳ μυρῳ.

εν δακρυσι μου την στρωμνην μου βρεξω. Ps. vi. 6. *ηλειψατο το προσωπον αυτης εν μυρισμῳ. Judith. xvi.* 8. *Conf. Est. ii.* 12. *εκμασσονται το προσωπον αυτων. Epist. Jer.* 13. *καταφιλησει χειρα αυτου. Sir. xxix.* 5. *Gen. xxxi.* 28. 1 *Reg. xxv.* 41. *καταφιλει. Conf.* 3 *Reg. xix.* 18. *Job. xxxi.* 27. *Ps. xliv.* 7, 8.

39 Ιδων δε ὁ Φαρισαιος ὁ καλεσας αυτον, ειπεν εν ἑαυτῳ, λεγων, Οὑτος ει ην προφητης, εγινωσκεν αν τις και ποταπη ἡ γυνη, ἡτις ἁπτεται αυτου· ὁτι ἁμαρτωλος εστι.

[*ποταπος εστιν της μαχης τελος. Jos. Ant. vii.* 4. 1.] *ειπε δε εν ἑαυτῳ Αμαν. Est. vi.* 6. *Conf. Job. xi.* 12. *Ps. xciii.* 11.

40 Και αποκριθεις ὁ Ιησους ειπε προς αυτον, Σιμων, εχω σοι τι ειπειν. Ὁ δε φησι, Διδασκαλε, ειπε.

επειδαν εχω λαλησαι προς τον Κυριον, κ. τ. λ. Gen. xviii. 31.

41 Δυο χρεωφειλεται ησαν δανειστῃ τινι· ὁ εἱς ωφειλε δηναρια πεντακοσια, ὁ δε ἑτερος πεντηκοντα.

δανειστου και χρεωφειλετου αλληλοις συνελθοντων. Prov. xxix. 13. 4 *Reg. iv.* 1. *αφησεις παν χρεος ιδιον ὁ οφειλει σοι ὁ πλησιον. Deut. xv.* 2. *Sir. xxix.* 28. *Matt. xviii.* 25, 28.

42 Μη εχοντων δε αυτων αποδουναι, αμφοτεροις εχαρισατο. τις ουν αυτων, ειπε, πλειον αυτον αγαπησει;

ενεχυρασμον οφειλοντος αποδωσει. Ezech. xviii. 7. *αδελφος ου λυτρουται, λυτρωσεται ανθρωπος; κ. τ. λ. Ps. xlviii.* 7. 8.

43 Αποκριθεις δε ὁ Σιμων ειπεν, Ὑπολαμβανω ὁτι ῳ το πλειον εχαρισατο. Ὁ δε ειπεν αυτῳ, Ορθως εκρινας.

ουκ εκρινατε ορθως. Sap. vi. 4. *ὑπολαμβανομεν μη ὑπεριδειν το τοιουτο.* 1 *Esd. ii.* 20. *Conf.* 1 *Cor. xv.* 9, 10. 1 *Tim. i.* 13-16.

44 Και στραφεις προς την γυναικα, τῳ Σιμωνι εφη, Βλεπεις ταυτην την γυναικα; εισηλθον σου εις την οικιαν, ὑδωρ επι τους ποδας μου ουκ εδωκας· αὑτη δε τοις δακρυσιν εβρεξε μου τους ποδας, και ταις θριξι της κεφαλης αὑτης εξεμαξε.

Conf. 1 *Reg. xxv.* 41. 1 *Tim. v.* 10. *Gen. xix.* 2. *Jud. xix.* 21.

45 Φιλημα μοι ουκ εδωκας· αὑτη δε αφ' ἡς εισηλθον, ου διελιπε καταφιλουσα μου τους ποδας.

νυκτας ὁλας ου διελιμπανε θρηνουσα Τωβιαν. Tob. x. 5. *Alex. ου παυσομαι ευλογων σε. Esa. xxxviii.* 20. *και ου διαλειψει ποιων καρπον. Jer. xvii.* 8. *Conf. Gen. xxix.* 11. *xxxiii.* 4. *αφ' ἡς, sc.*

ὡρας, *ex quâ. Ita,* αφ' ἡς (ἡμερας) εχωρισθημεν απ' αυτων. 1 *Mac.*
i. 11. *Conf. Esa. lii.* 7. *Matt. xxviii.* 9.

46 Ελαιῳ την κεφαλην μου ουκ ηλειψας· αὑτη δε μυρῳ ηλειψε
μου τους ποδας.

ελιπανας εν ελαιῳ την κεφαλην μου. *Ps. xxii.* 5. *cxxxii.* 2. *Eccles.*
ix. 8. *Conf. Dan. x.* 3. *Joan. xi.* 2.

47 Οὑ χαριν, λεγω σοι, αφεωνται αἱ ἁμαρτιαι αυτης αἱ πολ-
λαι, ὁτι ηγαπησε πολυ· ᾡ δε ολιγον αφιεται, ολιγον αγαπᾳ.

τουτων χαριν. *Sir. xxxiv.* 12. *Conf. Esa. xxii.* 14. και αφεθησεται
αυτῳ ἡ ἁμαρτια αυτου. *Lev. xix.* 22. *Ald.* ολιγον. *Prov. vi.* 10.
πολυ ελυπηθη. *Dan. vi.* 14. ὁπως μνησθῃς, και αισχυνθῃς, και μη
ῃ σοι ετι ανοιξαι το στομα σου απο προσωπου της ατιμιας σου,
εν τῳ εξιλασκεσθαι με σοι κατα παντα ὁσα εποιησας, λεγει Κυριος.
Ezech. xvi. 63. *Alex. Conf. Esa. i.* 18. *lv.* 7. ὁτι. *Esa. xxx.* 12.

48 Ειπε δε αυτῃ, Αφεωνται σου αἱ ἁμαρτιαι.

και αψες πασας τας ἁμαρτιας μου. *Ps. xxiv.* 18. αφεθῃ γαρ
αυτοις ἡ ἁμαρτια. *Esa. xxxiii.* 24. *Conf. Matt. ix.* 2.

49 Και ηρξαντο οἱ συνανακειμενοι λεγειν εν ἑαυτοις, Τις οὑ-
τος εστιν ὁς και ἁμαρτιας αφιησιν;

εγελασε δε Σαρρα εν ἑαυτῃ, λεγουσα. *Gen. xviii.* 12. οἱ συνακει-
μενοι. 3 *Mac.* 5. 39. *Conf. Matt. ix.* 3. *Marc. ii.* 7.

50 Ειπε δε προς την γυναικα, Ἡ πιστις σου σεσωκε σε· πο-
ρευου εις ειρηνην.

πορευου εις ειρηνην. 1 *Reg. xx.* 41. *Jud. xviii.* 6. και επιστευσεν
Ἀβραμ τῳ Θεῳ, και ελογισθη αυτῳ εις δικαιοσυνην. *Gen. xv.* 6.
Conf. Matt. ix. 22. *Marc. v.* 34. *x.* 52. *Luc. viii.* 48. *xviii.* 42. μακ-
αριοι ὡν αφεθησαν αἱ ανομιαι, και ὡν επεκαλυφθησαν αἱ ἁμαρτιαι.
Ps. xxxi. 1. *Conf. Eccles. ix.* 7. *Rom. v.* 1, 2.

ΚΕΦ. η. 8.

ΚΑΙ εγενετο εν τῳ καθεξης, και αυτος διωδευε κατα πολιν
και κωμην, κηρυσσων και ευαγγελιζομενος την βασι-
λειαν του Θεου· και οἱ δωδεκα συν αυτῳ,

και εγενετο—και. *Gen. xxiv.* 30. εν τῳ καθεξης (*i. e.* οντι χρονῳ).
Conf. cap. vii. 11. *ix.* 37. [και οὑτως καθεξης παντες. *Test. XII*
Patr. p. 618.] διωδευσαμεν ερημους αβατους. *Sap. v.* 7. ευαγγε-

λιζεσθε ἡμεραν εξ ἡμερας το σωτηριον αυτου. *Ps. xcv.* 2. και το σωτηριον Κυριου ευαγγελιουνται. *Esa. lx.* 6. και διωδευσεν εν παση τῃ χωρᾳ. 1 *Mac. xii.* 32. κατα πολιν και πολιν. 1 *Mac. i.* 52. ευαγγελισασθαι πτωχοις απεσταλκε με, ιασασθαι τους συντετριμμενους την καρδιαν, κηρυξαι αιχμαλωτοις αφεσιν, κ.τ.λ. *Esa. lxi.* 1-3. εδειξεν αυτῳ βασιλειαν Θεου. *Sap. x.* 10.

2 Και γυναικες τινες αἱ ησαν τεθεραπευμεναι απο πνευματων πονηρων και ασθενειων, Μαρια ἡ καλουμενη Μαγδαληνη, αφ' ἡς δαιμονια ἑπτα εξεληλυθει,

Σιμων ὁ καλουμενος Θασσι. 1 *Mac. ii.* 3. *Conf. Matt. vii.* 22. *xxvii.* 55, 56. *Marc. xvi.* 9. *Joan. xix.* 25. [παρεσχε δε αυτῳ μαθειν ὁ Θεος, καὶ την κατα των δαιμονων τεχνην εις ωφελειαν και θεραπειαν, κ. τ. λ. *Jos. Ant. viii.* 2. 5.] δαιμονια. *Conf. Esa. xiii.* 21. *xxxiv.* 14. *Bar. vi.* 35.

3 Και Ιωαννα γυνη Χουζα επιτροπου Ἡρωδου, και Σουσαννα, και ἑτεραι πολλαι, αἱτινες διηκονουν αυτῳ απο των ὑπαρχοντων αυταις.

Λυσιας επιτροπος του βασιλεως. 2 *Mac. xi.* 1. *xiii.* 2. απο ὑπαρχοντων βασιλεως. *Esd. vi.* 8. 2 *Par. xxxi.* 3. *Conf. Esa. xxiii.* 18. αἱτινες. *Conf. Deut. v.* 26. *Jon. iv.* 11. ὁτι σα τα παντα, και εκ των σων δεδωκαμεν σοι. 1 *Par. xxix.* 14. διηκονουν. *Conf.* 1 *Mac. xi.* 58.

4 Συνιοντος δε οχλου πολλου, και των κατα πολιν επιπορευομενων προς αυτον, ειπε δια παραβολης,

συνοντων των προφητων. 1 *Esd. vi.* 2. *Conf. Matt. xiii.* 3. *Marc. iv.* 1-3. επιπορευεσθαι. *Lev. xxvi.* 33. *Ezech. xxxix.* 14.

5 Εξηλθεν ὁ σπειρων του σπειραι τον σπορον αὑτου· και εν τῳ σπειρειν αυτον, ὁ μεν επεσε παρα την ὁδον, και κατεπατηθη, και τα πετεινα του ουρανου κατεφαγεν αυτο.

Conf. Matt. xiii. 4. *etc.* ὁταν σπειρωσι τον σπορον. *Deut. xi.* 10.

6 Και ἑτερον επεσεν επι την πετραν, και φυεν εξηρανθη, δια το μη εχειν ικμαδα.

επι ικμαδα βαλει ῥιζας αυτου. *Jer. xvii.* 8. *Alex.* ακανθαι φυονται. *Prov. xxvi.* 9. και ιδου, επ' αυτα νευρα και σαρκες εφυοντο. *Ezech. xxxvii.* 8. *Sir. xxxix.* 13. εστερεωσαν τα προσωπα αυτων ὑπερ πετραν, και ουκ ηθελησαν επιστραφηναι. *Jer. v.* 3. *Conf. Sap. ii.* 4. [ακανθαι εφυησαν εν τῃ γῃ. *Act. Thom. c.* 32.]

7 Και ἑτερον επεσεν εν μεσῳ των ακανθων, και συμφυεισαι αἱ ακανθαι απεπνιξαν αυτο.

ξυλον σκολιον, και οζοις συμπεφυκος. Sap. xiii. 13. μη σπειρητε επ' ακανθαις. Jer. iv. 3. [ἡ ψαμμος και ἡ σπορας αυτης ουσια συμφυεισα ηνωθη. Philo. de Vit. Mos. II. p. 174. Mangey.]

8 Και ἑτερον επεσεν επι την γην την αγαθην, και φυεν εποιησε καρπον ἑκατονταπλασιονα. Ταυτα λεγων εφωνει, Ὁ εχων ωτα ακουειν, ακουετω.

ἑκατονταπλασιονα. 2 Reg. xxiv. 3. Gen. xxvi. 12. Conf. Matt. xiii. 8. etc. Marc. iv. 8. etc. εις την γην την αγαθην. Deut. xxxi. 20. Jos. xxiii. 13. et pass. ὁ ακουων ακουετω. Ezech. iii. 27. 1 Reg. iii. 10.

9 Επηρωτων δε αυτον οἱ μαθηται αυτου λεγοντες, τις ειη ἡ παραβολη αὑτη·

τις ὑμων ἡ παραβολη αὑτη; Ezech. xii. 22. Alex. Ald. νοησει τε παραβολην και σκοτεινον λογον. Prov. i. 6. Conf. Matt. xiii. 10. Marc. iv. 10. ειη. Act. x. 17. Gal. iv. 24. Apoc. i. 20.

10 Ὁ δε ειπεν, Ὑμιν δεδοται γνωναι τα μυστηρια της βασιλειας του Θεου· τοις δε λοιποις εν παραβολαις, ἱνα βλεποντες μη βλεπωσι, και ακουοντες μη συνιωσιν,

10-16.] Conf. Matt. xiii. 11. etc. Marc. iv. 11, 12. 2 Cor. iii. 5. οἱ λοιποι. Dan. vii. 20. Esa. vi. 9. CITAT. 77.

11 Εστι δε αὑτη ἡ παραβολη· Ὁ σπορος εστιν ὁ λογος του Θεου·

Conf. Matt. xiii. 18. Marc. iv. 13. Jac. i. 21. και δῳ σπερμα τῳ σπειροντι. Esa. lv. 10, 11. Jer. xxxviii. 27. Ps. xxxii. 4.

12 Οἱ δε παρα την ὁδον, εισιν οἱ ακουοντες, ειτα ερχεται ὁ διαβολος και αιρει τον λογον απο της καρδιας αυτων, ἱνα μη πιστευσαντες σωθωσιν.

φθονῳ δε διαβολου θανατος εισηλθεν εις τον κοσμον. Sap. ii. 14.

13 Οἱ δε επι της πετρας, οἱ ὁταν ακουσωσι, μετα χαρας δεχονται τον λογον, και οὑτοι ῥιζαν ουκ εχουσιν, οἱ προς καιρον πιστευουσι, και εν καιρῳ πειρασμου αφιστανται.

και δεξαι εμους λογους. Prov. iv. 10. Conf. Matt. xiii. 20. Marc. iv. 16. 2 Cor. vi. 1. μετα χαρας. 1 Par. xxix. 22. προς καιρον. Sap. iv. 4. Conf. Ps. cv. 12, 13. και εδεξατο το ους μου ψιθυρισμον. Job. iv. 12. Sym. Conf. Esa. xlviii. 3. Ose. vi. 5.

14 Το δε εις τας ακανθας πεσον, οὑτοι εισιν οἱ ακουσαντες, και ὑπο μεριμνων και πλουτου και ἡδονων του βιου πορευομενοι συμπνιγονται, και ου τελεσφορουσι.

και επνιγεν αυτον πνευμα πονηρον. 1 *Reg. xvi.* 14. *ἡ μεριμνα πλουτου. Sir. xxxiv.* 1, 2. *πορευομενοι—διηγεισθε. Jud. v.* 10. *τας ῥιζας αυτου εξηρανθη, καρπον ουκ ετι μη ενεγκῃ. Ose. ix.* 16. *Conf. Matt. xix.* 23. *Marc. x.* 23. *Luc. xviii.* 24. 1 *Tim. vi.* 9. [*αυξουσι και τελεσφορουσι. Philo. de Opific.*] *εκοπιασε πλουσιος εν συναγωγῃ χρηματων. Sir. xxxiv.* 3. [*εαν ὑπερπλεονασῃ ὁ ανθρωπος, εξαμαρτανει. Psalt. Sal. p.* 935.] *Matt. xiii.* 22. *Marc. iv.* 19.

15 Το δε εν τῃ καλῃ γῃ, οὑτοι εισιν οἱτινες εν καρδιᾳ καλῃ και αγαθῃ, ακουσαντες, τον λογον κατεχουσι, και καρποφορουσιν εν ὑπομονῃ.

αγαθῃ καρδιᾳ. 2 *Par. vii.* 10. *εν καρδιᾳ αγαθῃ ανδρος σοφια. Prov. xiv.* 33. *Deut. xxviii.* 47. *Matt. xiii.* 23. *εγω δε εφυτευσα σε αμπελον καρποφορον. Jer. ii.* 21. [*χρηστος ὁ Κυριος τοις επικαλουμενοις αυτον εν ὑπομονῃ. Psalt. Sal. ii.* 40.] *Ps. lxx.* 5. *Dan. xii.* 12.

16 Ουδεις δε λυχνον ἁψας, καλυπτει αυτον σκευει, η ὑποκατω κλινης τιθησιν· αλλ᾽ επι λυχνιας επιτιθησιν, ἱνα οἱ εισπορευομενοι βλεπωσι το φως.

Conf. Matt. v. 15. *Marc. iv.* 21. *και ἁψαντες πυρ εις φαυσιν. Judith. xiii.* 13. *εν τῳ φωτι σου οψομεθα φως. Ps. xxxv.* 9.

17 Ου γαρ εστι κρυπτον, ὁ ου φανερον γενησεται· ουδε αποκρυφον, ὁ ου γνωσθησεται, και εις φανερον ελθῃ.

αυτος αποκαλυπτει βαθεα και αποκρυφα. Dan. ii. 22. *Job. xii.* 22. *Conf. Matt. x.* 26. [*ανεκαλυψας τας ἁμαρτιας αυτων, ἱνα φανῃ το κριμα σου. Psalt. Sal. p.* 921.] *Marc. iv.* 22.

18 Βλεπετε ουν πως ακουετε· ὁς γαρ αν εχῃ, δοθησεται αυτῳ· και ὁς αν μη εχῃ, και ὁ δοκει εχειν, αρθησεται απ᾽ αυτου.

αναβηθι εις ειρηνην· Βλεπε. 1 *Reg. xxv.* 35. *Conf. Matt. xiii.* 12. *Marc. iv.* 25. *Joan. xv.* 2. 1 *Cor. x.* 12. *Deut. xxxii.* 46. *Prov. ii.* 2-5.

19 Παρεγενοντο δε προς αυτον ἡ μητηρ και οἱ αδελφοι αυτου, και ουκ ηδυναντο συντυχειν αυτῳ δια τον οχλον.

19 21.] *και παρεγενοντο προς αυτον ὁμοθυμαδον. Job. ii.* 11. *πριν συντυχειν.* 2 *Mac. viii.* 14. *Conf. Matt. xii.* 46, 47. *Marc. iii.* 31. *Joan. xv.* 14. *xx.* 17. 2 *Cor. v.* 16. *Ps. xxi.* 22. *Esa. viii.* 18.

20 Και απηγγελη αυτῳ, λεγοντων, Ἡ μητηρ σου και οἱ αδελφοι σου ἑστηκασιν εξω, ιδειν σε θελοντες.

21 Ὁ δε αποκριθεις ειπε προς αυτους, Μητηρ μου και αδελφοι

μου οὗτοι εισιν, οἱ τον λογον του Θεου ακουοντες και ποιουντες αυτον.

και εσῃ υἱος ὑψιστου, και αγαπησει σε μαλλον ἡ μητηρ σου. Sir. iv. 10.

22 Και *εγενετο εν μιᾳ των ἡμερων, και αυτος ενεβη εις πλοιον και οἱ μαθηται αυτου, και ειπε προς αυτους, Διελθωμεν εις το περαν της λιμνης· και ανηχθησαν.*

διελθωμεν εις το πεδιον. Gen. iv. 8. 3 *Reg. xviii.* 5. *Conf. Matt. viii.* 18-23. *Marc. iv.* 36. *εν μιᾳ των πολεων σου. Deut. xii.* 14. *Alex.* [*αναγοντο· ανεπλεον. Hesych.*]

23 Πλεοντων *δε αυτων αφυπνωσε. και κατεβη λαιλαψ ανεμου εις την λιμνην, και συνεπληρουντο, και εκινδυνευον.*

επεσε και αφυπνωσε αναμεσον των σκελων αυτης. Jud. v. 27. *Ald. Conf. Marc. iv.* 37. *το πλοιον εκινδυνευε του συντριβηναι. Jon. i.* 4. *ὡσπερ κονιορτος, ὁν ὑφειλετο λαιλαψ. Job. xxi.* 18. *xxxviii.* 1. *κατεβη ἡ δροσος. Num. xi.* 9. [*επιβαντος του χειμωνος. Jos. Ant. xvi.* 2. 1.]

24 Προσελθοντες *δε διηγειραν αυτον, λεγοντες,* Επιστατα, *επιστατα, απολλυμεθα.* Ὁ*δε εγερθεις επετιμησε τῳ ανεμῳ και τῳ κλυδωνι του ὑδατος· και επαυσαντο, και εγενετο γαληνη.*

Conf. Matt. viii. 25. *Marc. iv.* 38. *εγενετο κλυδων μεγας εν τῃ θαλασσῃ. Jon. i.* 4. *Prov. xxiii.* 34. *εξεγερθητι, ἱνατι ὑπνοις,* Κυριε; *αναστηθι, και μη απωσῃ εις τελος. Ps. xliii.* 23. [*επιστατης· επιτροπος, η διδασκαλος. Hesych.*] *και επεταξε τῃ καταιγιδι, και εστη εις αυραν, και εσιγησαν τα κυματα αυτης, κ. τ. λ. Ps. cvi.* 29.

25 Ειπε *δε αυτοις,* Που *εστιν ἡ πιστις ὑμων;* Φο*βηθεντες δε εθαυμασαν, λεγοντες προς αλληλους,* Τ*ις αρα οὗτος εστιν, ὁτι και τοις ανεμοις επιτασσει και τῳ ὑδατι, και ὑπακουουσιν αυτῳ;*

Conf. Marc. iv. 40, 41. *Matt. viii.* 27. *που εστι παντα τα θαυμασια αυτου; Jud. vi.* 13. *και—και. Sap. iv.* 1. *Conf. Joan. xi.* 40. *ισχυϊ κατεπαυσε την θαλασσαν, κ. τ. λ. Job. xxvi.* 12.

26 Και *κατεπλευσαν εις την χωραν των* Γα*δαρηνων, ἡτις εστιν αντιπεραν της* Γα*λιλαιας.*

Conf. Marc. v. 1. *Matt. viii.* 28. [*αντιπεραν. Jos. Ant. ii.* 16. 3.]

27 Εξ*ελθοντι δε αυτῳ επι την γην, ὑπηντησεν αυτῳ ανηρ τις εκ της πολεως, ὁς ειχε δαιμονια εκ χρονων ἱκανων, και ἱματιον*

ουκ ενεδιδυσκετο, και εν οικιᾳ ουκ εμενεν, αλλ᾽ εν τοις μνημασιν.

ανηρ τις. 2 *Par. xviii.* 7. *ετων ἱκανων.* 2 *Mac. i.* 20. *Conf. Marc. v.* 2. *Matt. viii.* 28. *εγυμνωσεν ὁν ενεδιδυσκετο σακκον. Judith. ix.* 1. 2 *Reg. xiii.* 18. *τοις κατοικουντας εν ταφοις. Ps. lxvii.* 6. *Conf. Esa. lxv.* 4. *Num. xix.* 16. *τοις εκ της πολεως.* 1 *Mac. vi.* 3.

28 Ιδων δε τον Ιησουν, και ανακραξας, προσεπεσεν αυτῳ, και φωνῃ μεγαλῃ ειπε, Τι εμοι και σοι, Ιησου, υἱε του Θεου του ὑψιστου; δεομαι σου, μη με βασανισῃς.

Conf. Matt. viii. 29. *Marc. v.* 6. 2 *Pet. ii.* 4. *ανεκραξε πας Ισραηλ φωνῃ μεγαλῃ.* 1 *Reg. iv.* 5. 1 *Mac. ii.* 27. *Conf. Esa. xxvii.* 1.

29 Παρηγγειλε γαρ τῳ πνευματι τῳ ακαθαρτῳ εξελθειν απο του ανθρωπου· πολλοις γαρ χρονοις συνηρπακει αυτον, και εδεσμειτο ἁλυσεσι και πεδαις φυλασσομενος, και διαρῥησσων τα δεσμα ηλαυνετο ὑπο του δαιμονος εις τας ερημους.

συνηρπακει. Prov. vi. 25. *μιᾳ γαρ ἁλυσει σκοτους παντες εδεθησαν. Sap. xvii.* 17. *και εδησαν αυτον εν πεδαις.* 4 *Reg. xxv.* 7. *διαρῥηξωμεν τους δεσμους αυτων. Ps. ii.* 3. *cvi.* 14. *Conf. Matt. iv.* 1. *Luc. iv.* 1. *Marc. ix.* 25. *κατοικηθησεται ὑπο δαιμονιων. Bar. iv.* 35. *Ασμοδαιον, το πονηρον δαιμονιον. Tob. iii.* 17. [*ὁλον τον νουν ὑπο θειας καταγης συναρπασθεις οιστρῳ. Philo. de Plant. Noe.* 219.] *Conf. Esa. xiii.* 21. *xxxiv.* 14.

30 Επηρωτησε δε αυτον ὁ Ιησους λεγων, Τι σοι εστιν ονομα; Ὁ δε ειπε, Λεγεων· ὁτι δαιμονια πολλα εισηλθεν εις αυτον.

Marc. v. 9. [*Λεγεων. Conf. Lightfoot. Hor. Heb. ad loc.*]

31 Και παρεκαλει αυτον ἱνα μη επιταξῃ αυτοις εις την αβυσσον απελθειν.

Conf. Marc. v. 10. *τα κριματα σου αβυσσος πολλη. Ps. xxxv.* 6. *Alex. Ald. Comp. ὁ λεγων τῃ αβυσσῳ,* Ερημωθησῃ, *Esa. xliv.* 27. *Conf. Job. i.* 11. *ii.* 5. *Jac. ii.* 19.

32 Ην δε εκει αγελη χοιρων ἱκανων βοσκομενων εν τῳ ορει· και παρεκαλουν αυτον ἱνα επιτρεψῃ αυτοις εις εκεινους εισελθειν. και επετρεψεν αυτοις.

Conf. Matt. viii. 30-32. *Marc. v.* 11-13. *Conf. Lev. xi.* 7. *Esa. lxv.* 4. *lxvi.* 3. *και εξηλθε πνευμα κ. τ. λ.* 3 *Reg. xxii.* 21, 22.

33 Εξελθοντα δε τα δαιμονια απο του ανθρωπου εισηλθεν εις τους χοιρους· και ὡρμησεν ἡ αγελη κατα του κρημνου εις την λιμνην, και απεπνιγη.

33-36.] *Conf. Matt. viii.* 32, 33. *Marc. v.* 13-16. *Esa. xlix.* 24. *liii.* 12.

34 Ιδοντες δε οἱ βοσκοντες το γεγενημενον, εφυγον, και απελ-
θοντες απηγγειλαν εις την πολιν και εις τους αγρους·

35 Εξηλθον δε ιδειν το γεγονος· και ηλθον προς τον Ιησουν, και
εὑρον καθημενον τον ανθρωπον, αφ' οὑ τα δαιμονια εξεληλυθει,
ἱματισμενον και σωφρονουντα, παρα τους ποδας του Ιησου·
και εφοβηθησαν.

36 Απηγγειλαν δε αυτοις και οἱ ιδοντες, πως εσωθη ὁ δαιμο-
νισθεις·

37 Και ηρωτησαν αυτον ἁπαν το πληθος της περιχωρου των
Γαδαρηνων απελθειν απ' αυτων, ὁτι φοβῳ μεγαλῳ συνειχοντο·
αυτος δε εμβας εις το πλοιον, ὑπεστρεψεν·

συνεχομενος φοβῳ. *Job. iii.* 24. *xxxi.* 23. εμβας εις πλοιον. 1 *Mac. xv.* 37. *Conf. Act. xvi.* 39. 3 *Reg. xvii.* 18. *Matt. viii.* 34.

38 Εδεετο δε αυτου ὁ ανηρ αφ' οὑ εξεληλυθει τα δαιμονια, ει-
ναι συν αυτῳ. απελυσε δε αυτον ὁ Ιησους, λεγων,

εδεετο δε Ισαακ Κυριου περι Ῥεβεκκας. *Gen. xxv.* 21. *Conf. Marc. v.* 18, 19. οχλους απελυσε. 2 *Mac. xiv.* 23. οἱ συν αυτῳ. *viii.* 1. *Conf. Ps. xxvi.* 4. επιβλεψον επ' εμε, και ελεησον με, κ. τ. λ. *Ps. xxiv.* 16.

39 Ὑποστρεφε εις τον οικον σου, και διηγου ὁσα εποιησε σοι ὁ
Θεος. Και απηλθε, καθ' ὁλην την πολιν κηρυσσων ὁσα εποιη-
σεν αυτῳ ὁ Ιησους.

δευρο εις τον οικον σου. 3 *Reg. i.* 53. *Conf. Marc. v.* 19. διαγγελε πασι το μεγαλειον του Θεου. 2 *Mac. iii.* 34. δευτε ακουσατε, και διηγησομαι, παντες οἱ φοβουμενοι τον Θεον, ὁσα εποιησε τῃ ψυχῃ μου. *Ps. lxv.* 16. και απηγγειλε τῳ πατρι αυτου τα μεγαλεια τα γενομενα αυτῳ, κ. τ. λ. *Tob. xii.* 15.

40 Εγενετο δε εν τῳ ὑποστρεψαι τον Ιησουν, απεδεξατο αυτον
ὁ οχλος· ησαν γαρ παντες προσδοκωντες αυτον.

φιλοφρονως ὑπο του αρχιερεως—αποδεχθεις. 2 *Mac. iii.* 9. *xiii.* 24. παντα προς σε προσδοκωσι. *Ps. ciii.* 27. αυτος προσδοκια εθνων. *Gen. xlix.* 10. εγενετο εν τῳ κοπτειν αυτους. *Ezech. ix.* 8.

41 Και ιδου, ηλθεν ανηρ ᾡ ονομα Ιαειρος, και αυτος αρχων της
συναγωγης ὑπηρχε, και πεσων παρα τους ποδας του Ιησου,
παρεκαλει αυτον εισελθειν εις τον οικον αὑτου·

Conf. Matt. ix. 20. *Marc. v.* 22. *etc.* ὁ ὑπαρχων προ των αιωνων. *Ps. liv.* 19. ανθρωπος τις ην—ᾡ ονομα Ιωβ. *Job. i.* 1. ουχ ὑπαρχει μοι φιλος. *Sir. xx.* 16. *Conf. Lev. xv.* 25. ὁ δε ανηρ δυνατος—και ονομα αυτῳ Βοοζ. *Ruth. ii.* 1. 1 *Reg. i.* 1.

42 Ὁτι θυγατηρ μονογενης ην αυτῳ ὡς ετων δωδεκα, και αὑτη απεθνησκεν. (Εν δε τῳ ὑπαγειν αυτον, οἱ οχλοι συνεπνιγον αυτον.

και εστιν αυτῳ θυγατηρ μονογενης. *Tob. vi.* 10. *Alex. Ald. Comp. Conf. Marc. v.* 24. δος ἡμιν βοηθειαν εκ θλιψεως, και ματαια σωτηρια ανθρωπου. *Ps. cvii.* 12. επνιγεν αυτον. 1 *Reg. xvi.* 14.

43 Και γυνη ουσα εν ῥυσει αἱματος απο ετων δωδεκα, ἡτις εις ιατρους προσαναλωσασα ὁλον τον βιον, ουκ ισχυσεν ὑπ᾽ ουδενος θεραπευθηναι,

Conf. Matt. ix. 20. *Marc. v.* 25. ουκ ισχυω του εξελεσθαι. *Esa. l.* 2. *Lev. xv.* 25. εις ἑτοιμασιαν τροφης αναλωσας. *Sap. xiii.* 12. [*Conf. Fisch. p.* 180.] ἡτις κ. τ. λ. *Deut. v.* 26. *Jon. iv.* 11.

44 Προσελθουσα οπισθεν, ἡψατο του κρασπεδου του ἱματιου αυτου· και παραχρημα εστη ἡ ῥυσις του αἱματος αυτης.

Matt. ix. 20. *Marc. v.* 27. και εστη ἡ θαλασση. *Jon. i.* 15.

45 Και ειπεν ὁ Ιησους, Τις ὁ ἁψαμενος μου; Αρνουμενων δε παντων, ειπεν ὁ Πετρος και οἱ μετ᾽ αυτου, Επιστατα, οἱ οχλοι συνεχουσι σε και αποθλιβουσι, και λεγεις, Τις ὁ ἁψαμενος μου;

Conf. Matt. ix. 22. *Marc. v.* 30. αποθλιβειν. *Exod. iii.* 9. *Aq.* ὁ ἁπτομενος του θυσιαστηριου ἁγιασθησεται. *Exod. xxix.* 37.

46 Ὁ δε Ιησους ειπεν, Ἡψατο μου τις· εγω γαρ εγνων δυναμιν εξελθουσαν απ᾽ εμου.

Conf. Marc. v. 32. *Luc. v.* 17. *Job. xxxvii.* 14.

47 Ιδουσα δε ἡ γυνη ὁτι ουκ ελαθε, τρεμουσα ηλθε, και προσπεσουσα αυτῳ, δι᾽ ἡν αιτιαν ἡψατο αυτου, απηγγειλεν αυτῳ ενωπιον παντος του λαου, και ὡς ιαθη παραχρημα.

ὡς. *Conf.* 1 *Reg. xiii.* 11. λανθανειν γαρ νομιζοντες. *Sap. xvii.* 3. εγω ειμι Κυριος ὁ Θεος σου, ὁ ιωμενος σε. *Exod. xv.* 26. δι᾽ ἡν αιτιαν και ἡ πολις αυτη ηρημωθη. 1 *Esd. ii.* 24. χαριν γαστρος. *Sir. xxxvii.* 5.

48 Ὁ δε ειπεν αυτῃ, Θαρσει, θυγατερ, ἡ πιστις σου σεσωκε σε· πορευου εις ειρηνην.)

ειπε προς αυτην Ηλιου, Θαρσει. 3 *Reg. xvii.* 13. *Conf. Matt. ix.* 22.
Marc. v. 34. και απελευση εις ειρηνην. 1 *Reg. xx.* 13.

49 Ετι αυτου λαλουντος, ερχεται τις παρα του αρχισυναγωγου, λεγων αυτῳ, Ὁτι τεθνηκεν ἡ θυγατηρ σου· μη σκυλλε τον διδασκαλον.

Conf. Matt. ix. 18. *Marc. v.* 35. 1 *Reg. xxv.* 1.

50 Ὁ δε Ιησους ακουσας απεκριθη αυτῳ, λεγων, Μη φοβου· μονον πιστευε, και σωθησεται.

Conf. Marc. v. 36. ὁ δε δικαιος εκ πιστεως μου ζησεται. *Hab. ii.* 4.

51 Εισελθων δε εις την οικιαν, ουκ αφηκεν εισελθειν ουδενα, ει μη Πετρον και Ιακωβον και Ιωαννην, και τον πατερα της παιδος και την μητερα.

ουκ αφηκεν αυτον ὁ πατηρ αυτης εισελθειν. *Jud. xv.* 1. *Alex. O. Ald. Comp. Num. xxii.* 13.

52 Εκλαιον δε παντες, και εκοπτοντο αυτην. ὁ δε ειπε, Μη κλαιετε· ουκ απεθανεν, αλλα καθευδει.

μηδε κλαιετε. *Neh. viii.* 9. ηλθε δε Ἁβρααμ κοψασθαι Σαῤῥαν. *Gen. xxiii.* 2. 1 *Mac. ii.* 70. *iv.* 39. *ix.* 20. και εκοψαντο αυτον, Ουαι, αδελφε. 3 *Reg. xiii.* 30. *Conf.* 1 *Reg. vii.* 12. *Jos. iv.* 8. *xx.* 18.

53 Και κατεγελων αυτου, ειδοτες ὁτι απεθανεν.

Conf. Marc. v. 39, 40. *Sap. iii.* 2. *Matt. ix.* 24.

54 Αυτος δε εκβαλων εξω παντας, και κρατησας της χειρος αυτης, εφωνησε λεγων, Ἡ παις, εγειρου.

Conf. Matt. ix. 25. εφωνησε—και ειπε. *Dan. iv.* 11.

55 Και επεστρεψε το πνευμα αυτης, και ανεστη παραχρημα· και διεταξεν αυτῃ δοθηναι φαγειν.

και το πνευμα επιστρεψῃ προς τον Θεον. *Eccles. xii.* 7. και εισηλθεν εις αυτους το πνευμα, και εζησαν. *Ezech. xxxvii.* 10. πνευμα πορευομενον, και ουκ επιστρεφον. *Ps. lxxvii.* 39. και επεστρεψε το πνευμα αυτου, και ανεψυξε. *Jud. xv.* 19. *Alex. O. Ald. Conf. Matt. ix.* 25. *Marc. v.* 42, 43. *Joan. xi.* 11-13. και γαρ αφρονα αναιρει οργη, πεπλανημενον δε θανατοι ζηλος. *Job. v.* 2.

56 Και εξεστησαν οἱ γονεις αυτης· ὁ δε παρηγγειλεν αυτοις μηδενι ειπειν το γεγονος.

και εξεστησαν παντες. 3 *Reg. i.* 49. και ειπε, Κυριε ὁ Θεος μου, επιστραφητω δη ἡ ψυχη του παιδαριου τουτου εις αυτον· Και εγενετο οὑτως· και ανεβοησε το παιδαριον—και εδωκεν αυτο τῃ μητρι αυτου, κ. τ. λ. 3 *Reg. xvii.* 21-24.

Κεφ. θ. 9.

ΣΥΓΚΑΛΕΣΑΜΕΝΟΣ δε τους δωδεκα μαθητας αὑτου, εδωκεν αυτοις δυναμιν και εξουσιαν επι παντα τα δαιμονια, και νοσους θεραπευειν·

και συνκαλεσεν αυτους Ιησους, και ειπεν αυτοις. *Jos. ix.* 22. εδωκεν αυτοις εξουσιαν των επ᾽ αυτης. *Sir. xvii.* 2. τον ιωμενον πασας τας νοσους σου. *Ps. cii.* 3. *Conf. Matt. vii.* 22. *x.* 1. *Marc. iii.* 13. *vi.* 7. και την γυναικα μου εθεραπευσε. *Tob. xii.* 2. και γαρ ουτε βοτανη ουτε μαλαγμα εθεραπευσεν αυτους, αλλα ὁ σος, Κυριε, λογος, ὁ παντα ιωμενος. *Sap. xvi.* 12.

2 Και απεστειλεν αυτους κηρυσσειν την βασιλειαν του Θεου, και ιασθαι τους ασθενουντας.

απεσταλκε με ιασασθαι τους συντετριμμενους την καρδιαν, κηρυξαι αιχμαλωτοις αφεσιν. *Esa. lxi.* 1. *Conf. Matt. x.* 6, 7. ἡ βασιλεια αυτου βασιλεια αιωνιος. *Dan. vii.* 27. εδειξεν αυτῳ βασιλειαν Θεου. *Sap. x.* 10. *Dan. iv.* 34. *Esa. lxi.* 1-4.

3 Και ειπε προς αυτους, Μηδεν αιρετε εις την ὁδον· μητε ῥαβδους, μητε πηραν, μητε αρτον, μητε αργυριον, μητε ανα δυο χιτωνας εχειν.

ουκ εστιν ὑμιν επ᾽ ωμων αραι ουδεν. 2 *Par. xxxv.* 3. *Conf. Matt. x.* 9. 10. *Marc. vi.* 8. μητε αγοραζωσι, μητε πωλωσι. 1 *Mac. xii.* 36. ανα εἱς ἑκαστος των πυλων. *Apoc. xxi.* 21. *Conf. Esa. vi.* 2, 3. πλησατε τους μαρσιππους των ανθρωπων βρωματων, ὁσα εαν δυνωνται αραι, κ. τ. λ. *Gen. xliv.* 1. ανα τρεις. *Exod. xiv.* 7. *alii.*

4 Και εις ἡν αν οικιαν εισελθητε, εκει μενετε, και εκειθεν εξερχεσθε.

Conf. Marc. vi. 10. *Matt. x.* 11. *Act. xvi.* 15.

5 Και ὁσοι αν μη δεξωνται ὑμας, εξερχομενοι απο της πολεως εκεινης, και τον κονιορτον απο των ποδων ὑμων αποτιναξατε, εις μαρτυριον επ᾽ αυτους.

Conf. Matt. x. 14. *Marc. vi.* 11. *Act. xiii.* 51. *Neh. v.* 13.

6 Εξερχομενοι δε διηρχοντο κατα τας κωμας, ευαγγελιζομενοι και θεραπευοντες πανταχου.

εις παντας τους τοπους οὑς διηλθε Δαυιδ. 1 *Reg. xxx.* 31. και διηλθον εξ εθνους εις εθνος. *Ps. civ.* 13. *Conf. Marc. vi.* 12.

7 Ηκουσε δε Ἡρωδης ὁ τετραρχης τα γινομενα ὑπ᾽ αυτου
παντα· και διηπορει, δια το λεγεσθαι ὑπο τινων, Ὁτι Ιωαννης
εγηγερται εκ νεκρων·

και διηπορει το πνευμα. *Sym.* εξεστη το πνευμα μου. *LXX. Dan. ii.* 3. *Theod. Conf. Marc. vi.* 14. περι παντων των γινομενων ὑπο τον ουρανον. *Eccles. i.* 13. *Conf. Matt. xiv.* 1. *Marc. vi.* 14. *Esa. lvii.* 20, 21. τα γενομενα εν Ἱερουσαλημ. *Dan. ix.* 12.

8 Ὑπο τινων δε, Ὁτι Ηλιας εφανη· αλλων δε, Ὁτι προφητης
εἱς των αρχαιων ανεστη.

περι των αρχαιων γιγαντων. *Sir. xvi.* 8. *Conf. Matt. xvi.* 14. *Marc. vi.* 15. και εφανη ὁ Θεος τῳ Βαλααμ. *Num. xxiii.* 4. *Conf.* 2 *Mac. vii.* 22. *Joan. i.* 21.

9 Και ειπεν ὁ Ἡρωδης, Ιωαννην εγω απεκεφαλισα· τις δε
εστιν οὑτος, περι οὑ εγω ακουω τοιαυτα; Και εζητει ιδειν
αυτον.

εγω δε—απεκεφαλισα αυτον. *Ps. cli.* 7. και εζητει ανελειν Μωυσην. *Exod. ii.* 15. *Matt. xiv.* 1.

10 Και ὑποστρεψαντες οἱ αποστολοι διηγησαντο αυτῳ ὁσα
εποιησαν· και παραλαβων αυτους, ὑπεχωρησε κατ᾽ ιδιαν εις
τοπον ερημον πολεως καλουμενης Βηθσαϊδα.

ὑπεχωρησε. *Ps. cxxxvi.* 24. *Symm. Jud. xx.* 37. και ὑπεστρεψαν οἱ δυο νεανισκοι—και διηγησαντο αυτῳ παντα τα συμβεβηκοτα. *Jos. ii.* 23. *Conf. Matt. xiv.* 13. *Marc. vi.* 32. εν τῳ τοπῳ τουτῳ, τῳ ερημῳ. *Jer. xxxiii.* 12. και παραλαβων Βαλακ τον Βαλααμ. *Num. xxii.* 41. *Sir. xiii.* 2. [ὑπεχωρουν ἑκαστος εις την ἑαυτου. *Jos. Vit.* 29. ὑπεχωρησαν εις την Ιησου οικιαν. 29. Βηθσαϊδα. *Ant. xviii.* 2. 1. *Bell. Jud. ii.* 9. 1. *iii.* 10. 7.]

11 Οἱ δε οχλοι γνοντες ηκολουθησαν αυτῳ· και δεξαμενος αυ-
τους, ελαλει αυτοις περι της βασιλειας του Θεου, και τους
χρειαν εχοντας θεραπειας ιατο.

και χρειαν εχει βοηθειας. *Sap. xiii.* 16. *Conf. Matt. xiv.* 14. [ζωντα εν θεραπειαις ὑπο των ιατρων ειναι. *Jos. Ant. xix.* 1. 16. [και ἡ βασιλεια του Θεου ἡμων εις τον αιωνα, κ.τ.λ. *Psalt. Sal. p.* 961.] ελαλει. *Conf.* 3 *Reg. xxii.* 8. *Exod. iv.* 30.

12 Ἡ δε ἡμερα ηρξατο κλινειν· προσελθοντες δε οἱ δωδεκα
ειπον αυτῳ, Απολυσον τον οχλον, ἱνα απελθοντες εις τας
κυκλῳ κωμας και τους αγρους καταλυσωσι, και εὑρωσιν επι-
σιτισμον· ὁτι ὡδε εν ερημῳ τοπῳ εσμεν.

και ἡ ἡμερα κεκλικυια σφοδρα. Jud. xix. 11. *Ald.* O. *Comp. Jer. vi.* 4. *οχλους απελυσε.* 2 *Mac. xiv.* 23. *Conf. Matt. xiv.* 15. *Marc. vi.* 36. *Joan. vi.* 5. *φοβος Θεου επι τας πολεις τας κυκλῳ αυτων. Gen. xxxv.* 5. *και κατελυσεν εκει.* 3 *Reg. xix.* 9. *Gen. xxiv.* 23. *ὁτι επωλουν επισιτισμον. Neh. xiii.* 15. *Ald. Comp. Ps. cxxxi.* 15. *Aquil. Gen. xlii.* 25. *Conf. Ps. lxxvii.* 19. *μη δυνησεται ὁ Θεος ἑτοιμασαι τραπεζαν εν ερημῳ;*

13 Ειπε δε προς αυτους, Δοτε αυτοις ὑμεις φαγειν. Οἱ δε ειπον, Ουκ εισιν ἡμιν πλειον η πεντε αρτοι και δυο ιχθυες, ει μητι πορευθεντες ἡμεις αγορασωμεν εις παντα τον λαον τουτον βρωματα·

Conf. Matt. xiv. 16. *Marc. vi.* 37, 38. *Joan. vi.* 9. 4 *Reg. iv.* 42-44. 3 *Reg. xvii.* 11-14. *Num. ix.* 21-23.

14 Ησαν γαρ ὡσει ανδρες πεντακισχιλιοι. Ειπε δε προς τους μαθητας αὑτου, Κατακλινατε αυτους κλισιας ανα πεντηκοντα·

εις το εσθιειν κατακλινομενην. Judith. xii. 15. *Conf. Matt. xiv.* 19. *Marc. vi.* 39. *ὡσει δεκα χιλιαδες ανδρων. Jud. iii.* 29.

15 Και εποιησαν οὑτω, και ανεκλιναν ἁπαντας.

οὑτως εποιησε. Gen. xxxix. 19. *και εποιησαν οὑτως. Judith. x.* 10. *ανακλιθητε και ευφρανθητε.* 1 *Reg. xvi.* 5. *Comp.*

16 Λαβων δε τους πεντε αρτους και τους δυο ιχθυας, αναβλεψας εις τον ουρανον, ευλογησεν αυτους, και κατεκλασε, και εδιδου τοις μαθηταις παρατιθεναι τῳ οχλῳ.

Conf. Matt. xiv. 19. *Marc. vi.* 40. *viii.* 6, 7. 1 *Reg. ix.* 16. *επεβλεψε. Comp. Ps. cxx.* 1, 2.

17 Και εφαγον και εχορτασθησαν παντες· και ηρθη το περισσευσαν αυτοις κλασματων, κοφινοι δωδεκα.

και εφαγον και κατελιπον κατα το ῥημα Κυριου. 4 *Reg. iv.* 44. *Conf. Matt. xiv.* 20. *Marc. vi.* 42, 43. *Joan. vi.* 12, 13. *παν ὁ εαν περισσευσῃ σοι ποιει ελεημοσυνην. Tob. iv.* 16.

18 Και εγενετο εν τῳ ειναι αυτον προσευχομενον καταμονας, συνησαν αυτῳ οἱ μαθηται, και επηρωτησεν αυτους λεγων, Τινα με λεγουσιν οἱ οχλοι ειναι;

και εγενετο εν τῳ κρινειν τους κριτας. Ruth. i. 1. *Conf. Matt. xvi.* 13. *Marc. viii.* 27. *καταμονας. Jer. xv.* 17. *Mic. vii.* 14. *Ald. Ps. cxl.* 10. *ειναι—προσευχομενον. Conf. Gen. i.* 6. *Exod. vii.* 15. *Matt. xxvi.* 36. *συνουσης αυτῳ.* 2 *Mac. ix.* 4.

19 Οἱ δε αποκριθεντες ειπον, Ιωαννην τον βαπτιστην· αλλοι δε Ηλιαν. αλλοι δε, Ὁτι προφητης τις των αρχαιων ανεστη.

και αποκριθεντες—ειπαν. *Jos. i.* 16. των αρχαιων. 3 *Reg. iv.* 30. *Esa. xxxvii.* 26. *Conf. Matt. xvi.* 14. *Marc. viii.* 28.

20 Ειπε δε αυτοις, Ὑμεις δε τινα με λεγετε ειναι; Αποκριθεις δε ὁ Πετρος ειπε, Τον Χριστον του Θεου.

Conf. Matt. xvi. 15. 16. *Marc. viii.* 29. *Joan. vi.* 69. τον Χριστον (υἱον) του Θεου. *Ita,* εγω Αζαριας (υἱος) Ανανιου του μεγαλου. *Tob. v.* 12. *Conf. Act. viii.* 37. *Ps. ii.* 6. *Heb. i.* 5. *Matt. xxvi.* 63. τον Θεον εἱλου σημερον ειναι σου Θεον—και Κυριος εἱλατο σε γενεσθαι λαον. *Deut. xxvi.* 17, 18. *Conf. Matt. xxii.* 42.

21 Ὁ δε επιτιμησας αυτοις, παρηγγειλε μηδενι ειπειν τουτο,

παραγγειλατε τῳ λαῳ περιελθειν. *Jos. vi.* 6. και παρηγγειλε κηρυξαι—ειπων. 2 *Par. xxxvi.* 22. *Conf. Matt. xvi.* 20. *Marc. viii.* 30.

22 Ειπων, Ὁτι δει τον υἱον του ανθρωπου πολλα παθειν, και αποδοκιμασθηναι απο των Πρεσβυτερων και Αρχιερεων και Γραμματεων, και αποκτανθηναι, και τῃ τριτῃ ἡμερᾳ εγερθηναι.

Conf. Matt. xvi. 21. *Marc. viii.* 31. *Ps. xxi. et lxix. Esa. liii. Dan. ix.* 26. *Zach. xiii.* 7.

23 Ελεγε δε προς παντας, Ει τις θελει οπισω μου ελθειν, απαρνησασθω ἑαυτον, και αρατω τον σταυρον αὑτου καθ' ἡμεραν, και ακολουθειτω μοι.

Conf. Matt. xvi. 24. *Marc. viii.* 34. καθ' ἡμεραν. *Num. iv.* 16. πας ὁ ζηλων τῳ νομῳ—εξελθετω οπισω μου. 1 *Mac. ii.* 27.

24 Ὁς γαρ αν θελῃ την ψυχην αὑτου σωσαι, απολεσει αυτην· ὁς δ' αν απολεσῃ την ψυχην αὑτου ἑνεκεν εμου, οὑτος σωσει αυτην.

Conf. Matt. xvi. 25. *Marc. viii.* 35. *Act. xxiii.* 24, 25.

25 Τι γαρ ωφελειται ανθρωπος, κερδησας τον κοσμον ὁλον, ἑαυτον δε απολεσας η ζημιωθεις;

και τις γαρ ελπις εστιν ασεβει, ὁτι επεχει; κ. τ. λ. *Job. xxvii.* 8. *Conf. Ps. xlix.* 6, 7. *Matt. xvi.* 26. *Marc. viii.* 36.

26 Ὁς γαρ αν επαισχυνθῃ με και τους εμους λογους, τουτον ὁ υἱος του ανθρωπου επαισχυνθησεται, ὁταν ελθῃ εν τῃ δοξῃ αὑτου και του πατρος και των ἁγιων αγγελων.

Conf. Marc. viii. 38. *Matt.* x. 33. 2 *Tim.* ii. 12. 1 *Joan.* ii. 23. χιλιαι χιλιαδες ελειτουργουν αυτῳ, και μυριαι μυριαδες παρειστηκεισαν αυτῳ. κριτηριον εκαθισε, και βιβλοι ηνεῳχθησαν. *Dan.* vii. 10. ασεβης αισχυνεται, και ουκ ἑξει παρῥησιαν. *Prov.* xiii. 5. ησχυνθην αιτησασθαι. *Esd.* viii. 22. και οὑτοι εις ονειδισμον και εις αισχυνην αιωνιον. *Dan.* xii. 2. και οφθησεται εν τῃ δοξῃ αυτου. *Ps.* ci. 16. *Conf.* 2 *Thess.* i. 7, 8. *Apoc.* i. 7.

27 Λεγω δε ὑμιν αληθως, Εισι τινες των ὡδε ἑστηκοτων, οἱ ου μη γευσονται θανατου, ἑως αν ιδωσι την βασιλειαν του Θεου.

Conf. Matt. xvi. 28. *Marc.* viii. 39. αληθως. *Jer.* xxxv. 6.

28 Εγενετο δε μετα τους λογους τουτους ὡσει ἡμεραι οκτω, και παραλαβων τον Πετρον και Ιωαννην και Ιακωβον, ανεβη εις το ορος προσευξασθαι.

Conf. Matt. xvii. 1. *Marc.* ix. 1. *i. e.* ὡσει ἡμερας οκτω (ησαν *subaud.*) *Ita*, αἱ ἡμεραι ερχομεναι (ησαν) τα παντα επελησθη. *Eccles.* ii. 16. εγενετο δε εν ταις ἡμεραις εκειναις. *Exod.* ii. 11. και εγενετο μετα τα ῥηματα ταυτα, κ. τ. λ. *Gen.* xxii. 1. ανεβη εις το ορος. *Exod.* xxiv. 15. 18.

29 Και εγενετο εν τῳ προσευχεσθαι αυτον το ειδος του προσωπου αυτου ἑτερον, και ὁ ἱματισμος αυτου λευκος εξαστραπτων.

Conf. Matt. xvii. 2. *Marc.* ix. 3. ὡς συνετελεσε Σολωμων προσευχομενος. 2 *Par.* vii. 1. το ειδος της δοξης Κυριου, ὡσει πυρ φλεγον, κ. τ. λ. *Exod.* xxiv. 17. και εγενετο εν τῳ κρινειν τους κριτας, και εγενετο λιμος εν τῃ γῃ. *Ruth.* i. 1.

30 Και ιδου, ανδρες δυο συνελαλουν αυτῳ, οἱτινες ησαν Μωσης και Ηλιας·

και ειδον οἱ υἱοι Ισραηλ το προσωπον Μωυσεως, ὁτι δεδοξασται—— ἑως αν εισελθῃ συλλαλειν αυτῳ. *Exod.* xxxiv. 35. *Matt.* xvii. 3.

31 Οἱ οφθεντες εν δοξῃ ελεγον την εξοδον αυτου, ἡν εμελλε πληρουν εν Ἱερουσαλημ.

και οφθησεται εν τῃ δοξῃ αυτου. *Ps.* ci. 17. και ελογισθη κακωσις ἡ εξοδος αυτων. *Sap.* iii. 2. vii. 6. *Conf. Dan.* v. 26. xii. 3. πληρωθηναι το ῥημα Κυριου. 3 *Reg.* ii. 27. [επ' εξοδου του ζῃν. *Jos. Ant.* iv. 8. 2.] μελλων αποθνησκειν. 2 *Mac.* vii. 18.

32 Ὁ δε Πετρος και οἱ συν αυτῳ ησαν βεβαρημενοι ὑπνῳ· διαγρηγορησαντες δε ειδον την δοξαν αυτου, και τους δυο ανδρας τους συνεστωτας αυτῳ.

εξεγειρων καθευδοντα εκ βαρεως ὑπνου. *Sir. xxii.* 7. 1 *Reg. iii.* 2. *Matt. xxvi.* 43. ειπε Δαυιδ προς τους ανδρας τους συνεστηκοτας μετ᾽ αυτου. 1 *Reg. xvii.* 26. *Alex. Ald. Comp.* και ἡ δοξα Κυριου ωφθη εν νεφελῃ. *Exod. xvi.* 10. ἱνα μη ιδῃ την δοξαν Κυριου. *Esa. xxvi.* 10.

33 Και εγενετο εν τῳ διαχωριζεσθαι αυτους απ᾽ αυτου, ειπεν ὁ Πετρος προς τον Ιησουν, Επιστατα, καλον εστιν ἡμας ὡδε ειναι· και ποιησωμεν σκηνας τρεις, μιαν σοι, και Μωσει μιαν, και μιαν Ηλιᾳ· μη ειδως ὁ λεγει.

διαχωρισθητι απ᾽ εμου. *Gen. xiii.* 9. *Conf. Matt. xvii.* 4. *Marc. ix.* 5, 6. και εγενετο εν τῳ διαβηναι αυτους. 4 *Reg. ii.* 9. ου καλον ειναι τον ανθρωπον μονον. *Gen. ii.* 18. *Jon. iv.* 3. μια εκ δεξιων— και μια εξ ευωνυμων. *Zach. iv.* 3. *Conf.* 2 *Cor. xii.* 3.

34 Ταυτα δε αυτου λεγοντος, εγενετο νεφελη και επεσκιασεν αυτους· εφοβηθησαν δε εν τῳ εκεινους εισελθειν εις την νεφελην.

και εισηλθε Μωυσης εις το μεσον της νεφελης. *Exod. xxiv.* 18. και ἡ νεφελη Κυριου εγενετο σκιαζουσα επ᾽ αυτοις. *Num. x.* 34. *Comp.* επεσκιαζεν επ᾽ αυτην ἡ νεφελη. *Exod. xl.* 35.

35 Και φωνη εγενετο εκ της νεφελης, λεγουσα, Οὑτος εστιν ὁ υἱος μου ὁ αγαπητος, αυτου ακουετε.

παις μου ει, εξελεξαμην σε, και ουκ εγκατελιπον σε. *Esa. xli.* 9. *Conf. Matt. iii.* 17. *xvii.* 5. *Marc. ix.* 7. *Esa. xlii.* 1. *Col. i.* 13. 2 *Pet. i.* 17. *Deut. xviii.* 19. *Ps. ii.* 7.

36 Και εν τῳ γενεσθαι την φωνην, εὑρεθη ὁ Ιησους μονος. και αυτοι εσιγησαν, και ουδενι απηγγειλαν εν εκειναις ταις ἡμεραις ουδεν ὡν ἑωρακασιν.

καιρος του σιγαν, και καιρος του λαλειν. *Eccles. iii.* 7. ταυτα εποιησας, και εσιγησα. *Ps. xlix.* 21. εν τῳ αρξασθαι της αινεσεως. 2 *Par. xx.* 23. *Alex. Comp.* εὑρεθη. *Jer. xi.* 9. *Exod. xxii.* 4. *Conf. Matt. xvii.* 9. *Marc. ix.* 8. ουκ ειδεν ουδεις. *Exod. x.* 23. ου παρεβη ουδεν απο παντων ὡν συνεταξε. *Jos. xi.* 15. ἑωρακατε. *Exod. xiv.* 13. εν δε τῳ διαλεγεσθαι αυτην. *Est. v.* 2.

37 Εγενετο δε εν τῃ ἑξης ἡμερᾳ, κατελθοντων αυτων απο του ορους, συνηντησεν αυτῳ οχλος πολυς.

συνηντησαν αυτῳ οἱ αγγελοι του Θεου. *Gen. xxxii.* 1. *Num. xxiii.* 16. *Conf. Matt. xvii.* 14. *Marc. ix.* 14. κατερχεσθαι. *Sap. xi.* 22. *Tob. ii.* 1. [ταις δ᾽ ἑξης ἡμεραις. *Jos. Ant. iv.* 8. 44.]

38 Και ιδου, ανηρ απο του οχλου ανεβοησε, λεγων, Διδασ-

καλε, δεομαι σου, επιβλεψον επι τον υἱον μου, ὁτι μονογενης εστι μοι·

Conf. Marc. ix. 17. και ιδου ανεβοησαν, και ειπαν. 4 *Reg. iv.* 40. *Zach. vi.* 8. δεομαι Κυριε. *Jos. vii.* 7. επιβλεψον επ' εμε, και ελεησον. *Ps. xxiv.* 16. *Conf. Matt. xvii.* 15. μονογενης ειμι τῳ πατρι μου. *Tob. iii.* 15. *Esa. lxiv.* 9. 4 *Reg. iv.* 31. *Luc. vii.* 12.

39 Και ιδου, πνευμα λαμβανει αυτον, και εξαιφνης κραζει, και σπαρασσει αυτον μετα αφρου, και μογις αποχωρει απ' αυτου, συντριβον αυτον.

απερριψαν επ' αυτον εξαιφνης τρομον. *Jer. vi.* 15. [λαμβανει ἡμας το του Θεου πνευμα. *Jos. Ant. iv.* 6. 5. πνιγμους αυτῳ και στραγγυλας επιφερων. *vi.* 8. 2. το δαιμονιον εθορυβεν το πνευμα και συνεταραττε. *vi.* 11. 3.] *Marc. ix.* 18-20. και εσπαραχθησαν, ὁτι εθυμωθη Κυριος. 2 *Reg. xxii.* 8. *Jer. iv.* 19. *Conf. Marc. ix.* 18-20. και συνετριβη ὁ νωτος αυτου, και απεθανε. 1 *Reg. iv.* 18. *Conf. Esa. lvii.* 15. επι τῃ ωδινι αυτης εκεκραξε. *Esa. xxvi.* 17.

40 Και εδεηθην των μαθητων σου, ἱνα εκβαλλωσιν αυτο, και ουκ ηδυνηθησαν.

δεομαι ἱνα ποιησῃς την ευχην. *Esd. iv.* 46. και γαρ ουκ ηδυνηθησαν μοι. *Ps. cxxix.* 2.

41 Αποκριθεις δε ὁ Ιησους ειπεν, Ω γενεα απιστος και διεστραμμενη, ἑως ποτε εσομαι προς ὑμας, και ανεξομαι ὑμων; προσαγαγε ὡδε τον υἱον σου.

Conf. Matt. xvii. 17. *Marc. ix.* 19. γενεα σκολια και διεστραμμενη. *Deut. xxxii.* 5. προσαγαγετε μοι τον Αγαγ. 1 *Reg. xv.* 32. προσαγαγε μοι αυτους, ἱνα ευλογησω αυτους. *Gen. xlviii.* 9.

42 Ετι δε προσερχομενου αυτου, ερρηξεν αυτον το δαιμονιον και συνεσπαραξεν· επετιμησε δε ὁ Ιησους τῳ πνευματι τῳ ακαθαρτῳ, και ιασατο τον παιδα, και απεδωκεν αυτον τῳ πατρι αυτου.

και τα τεκνα αυτων ῥαξουσιν ενωπιον αυτων. *Esa. xiii.* 16. επιτιμησαι Κυριος εν σοι διαβολε. *Zach. iii.* 3. απο επιτιμησεως σου φευξονται, απο φωνης βροντης σου δειλιασουσι. *Ps. ciii.* 7.

43 Εξεπλησσοντο δε παντες επι τῃ μεγαλειοτητι του Θεου. Παντων δε θαυμαζοντων επι πασιν οἱς εποιησεν ὁ Ιησους, ειπε προς τους μαθητας αὑτου,

διαγγελε πασι το μεγαλειον του Θεου. 2 *Mac. iii.* 34. *Conf. v.* 60. δυναμει και ενεργεια εκπλαγεντες. *Sap. xiii.* 4. *Ald. Comp.* και εθαυμασαν επι τῃ σοφιᾳ αυτης. *Judith. xi.* 20. τις ὁμοιος σοι εν θεοις, Κυριε; τις ὁμοιος σοι; δεδοξασμενος εν ἁγιοις, θαυμαστος εν δοξαις, ποιων τερατα. *Exod. xv.* 11.

44 Θεσθε ὑμεις εις τα ωτα ὑμων τους λογους τουτους· ὁ γαρ υἱος του ανθρωπου μελλει παραδιδοσθαι εις χειρας ανθρωπων.

και εν ωσι Θεου ἡμων φυλαξασθε—τας εντολας. 1 *Par. xxviii.* 8. δος εις τα ὠτα. *Exod. xvii.* 14. *Comp. Conf. Matt. xvii.* 22. *Marc. ix.* 31. *Deut. xxxii.* 46. παρεδωκε γαρ μη ὁ Κυριος εις χειρας αδικων. *Job. xvi.* 12. και δια τας ανομιας αυτων παρεδοθη. *Esa. liii.* 12.

45 Οἱ δε ηγνοουν το ῥημα τουτο, και ην παρακεκαλυμμενον απ᾽ αυτων, ἱνα μη αισθωνται αυτο· και εφοβουντο ερωτησαι αυτον περι του ῥηματος τουτου.

οὑτως αισθησῃ σοφιαν τῃ σῃ ψυχῃ. *Prov. xxiv.* 14. *Esa. xxxiii.* 11. *Job. xxiii.* 5. *Sap. xi.* 13. εγνωρισε δε—το ῥημα τῳ Δανιηλ. *Dan. ii.* 15. *Conf. Marc. ix.* 32. *Ezech. xxii.* 26. *Ps. cv.* 6.

46 Εισηλθε δε διαλογισμος εν αυτοις, το, τις αν ειη μειζων αυτων.

Conf. Matt. xviii. 1. *Marc. ix.* 33. Κυριος γινωσκει τους διαλογισμους των ανθρωπων, ὁτι εισι ματαιοι. *Ps. xciii.* 11. ὁτι ερισται εστε εις διαλογισμους. *cxxxviii.* 20. *Aq.*

47 Ὁ δε Ιησους ιδων τον διαλογισμον της καρδιας αυτων, επιλαβομενος παιδιου, εστησεν αυτο παρ᾽ ἑαυτῳ,

ειδες—εις παντας διαλογισμους αυτων εν εμοι. *Thren. iii.* 59, 60. *Conf. Matt. xviii.* 2. *Marc. ix.* 36. *Jer. xvii.* 10.

48 Και ειπεν αυτοις, Ὁς εαν δεξηται τουτο το παιδιον επι τῳ ονοματι μου, εμε δεχεται· και ὁς εαν εμε δεξηται, δεχεται τον αποστειλαντα με. ὁ γαρ μικροτερος εν πασιν ὑμιν ὑπαρχων, οὑτος εσται μεγας.

Κυριε, ουχ ὑψωθη ἡ καρδια μου—ὡς το απογεγαλακτισμενον επι την μητερα αυτου, κ. τ. λ. *Ps. cxxx.* 1, 2. ὁσῳ μεγας ει, τοσουτῳ ταπεινου σεαυτον. *Sir. iii.* 18. εγω ειμι μικροτερος εν οικῳ. *Jud. vi.* 15. Κυριος ὁ μεγας (*i. e.* μεγιστος.) *Sir. xxxix.* 6. *xliii.* 5. *Conf. Matt. xviii.* 5. *Marc. ix.* 37. *Joan. xiii.* 20. επι τῳ ονοματι. *Sir. xlvii.* 13. 1 *Mac. xiv.* 43. *Conf. Viger. p.* 510.

49 Αποκριθεις δε ὁ Ιωαννης ειπεν, Επιστατα, ειδομεν τινα επι τῳ ονοματι σου εκβαλλοντα τα δαιμονια· και εκωλυσαμεν αυτον, ὁτι ουκ ακολουθει μεθ' ἡμων.

Conf. Marc. ix. 38. κωλυσον αυτους. *Num. xi.* 28. *Gen. xxiv.* 5.

50 Και ειπε προς αυτον ὁ Ιησους, Μη κωλυετε· ὁς γαρ ουκ εστι καθ' ἡμων, ὑπερ ἡμων εστιν.

Conf. Marc. ix. 39, 40. *Matt. xii.* 30. *Phil. i.* 18. *Jos. ix.* 14.

51 Εγενετο δε εν τῳ συμπληρουσθαι τας ἡμερας της αναληψεως αυτου, και αυτος το προσωπον αὑτου εστηριξε του πορευεσθαι εις Ἱερουσαλημ.

εις συμπληρωσιν ερημωσεως—ἑβδομηκοντα ετη. *Dan. ix.* 2. εγενετο δε εν ταις ἡμεραις εκειναις. *Exod. ii.* 11. και γαρ αυτος ανεληφθη απο της γης. *Sir. xlix.* 14. και ανεληφθη Ηλιου εν συσσεισμῳ. 4 *Reg. ii.* 11. στηρισον το προσωπον σου επι τα ορη Ισραηλ. *Ezech. vi.* 2. πορευθηναι εις Ἱερουσαλημ. *Esd. vii.* 13. *Conf. Marc. xvi.* 19. *Act. i.* 2. *Joan. vi.* 62. *xiii.* 1.

52 Και απεστειλεν αγγελους προ προσωπου αὑτου· και πορευθεντες εισηλθον εις κωμην Σαμαρειτων, ὡστε ἑτοιμασαι αυτῳ.

προπορευεσθε προ προσωπου των αδελφων ὑμων. *Deut. iii.* 18. εσονται ὡστε εργαζεσθαι τα εργα Κυριου. *Num. viii.* 11. του ανενεγκαι την κιβωτον Κυριου εις τον τοπον ὁν ἡτοιμασεν αυτῃ. 1 *Par. xv.* 3. [Σαμαρειτων. *Jos. Ant. xi.* 8. 6. *xii.* 5. 5.]

53 Και ουκ εδεξαντο αυτον, ὁτι το προσωπον αυτου ην πορευομενον εις Ἱερουσαλημ.

και το προσωπον αυτου του πολεμησαι επι Ἱερουσαλημ. 2 *Par. xxxii.* 2. 2 *Reg. xii.* 17. παρεισπορευομενοι λεληθοτως εις τας κωμας. 2 *Mac. viii.* 1. και το προσωπον σου πορευομενον εν μεσῳ αυτων. 2 *Reg. xvii.* 11. *Conf. Joan. iv.* 4. 9. *Esd. iv.* 1-5. 4 *Reg. xvii.* 24. εν δυσιν εθνεσι προσωχθισεν ἡ ψυχη μου, και το τριτον ουκ εστιν εθνος. οἱ καθημενοι εν ορει Σαμαρειας, κ. τ. λ. *Sir. l.* 25, 26.

54 Ιδοντες δε οἱ μαθηται αυτου Ιακωβος και Ιωαννης ειπον, Κυριε, θελεις ειπωμεν πυρ καταβηναι απο του ουρανου, και αναλωσαι αυτους, ὡς και Ηλιας εποιησε;

και ιδου κατεβη πυρ εκ του ουρανου, και κατεφαγεν αυτον. 4 *Reg. i.* 11-14. πυρ αναλισκον. *Joel. ii.* 3. *i.* 19. [ποιῳ θανατῳ αυτους αναλωσει; *Act. Thom. c.* 21.] *Conf. Gen. ix.* 24.

55 Στραφεις δε επετιμησεν αυτοις, και ειπεν, Ουκ οιδατε
ὁιου πνευματος εστε ὑμεις;

πνευματι κατανυξεως. Esa. xxix. 10. *Rom. xi.* 8. *Conf.* 1 *Cor. xii.* 10. *φιλανθρωπον—πνευμα. Sap. i.* 6. Εφραϊμ ου ζηλωσει Ιουδαν, και Ιουδας ου θλιψει Εφραϊμ. *Esa. xi.* 13. *μνημονευων οἱα ελαλησε. Est. ii.* 1. *Conf. Sir. xxxix.* 33-35. *ὁ δε παις μου* Χαλεβ, *ὁτι πνευμα ἑτερον εν αυτῳ, και επηκολουθησε μοι, κ. τ. λ. Num. xiv.* 24. *βαθεια ἡ καρδια—και τις γνωσεται αυτον; Jer. xvii.* 9.

56 Ὁ γαρ υἱος του ανθρωπου ουκ ηλθε ψυχας ανθρωπων απο-
λεσαι, αλλα σωσαι. Και επορευθησαν εις ἑτεραν κωμην.

ῥυσασθαι εκ θανατου τας ψυχας αυτων. Ps. xxxii. 19. *λυτρωσεται* Κυριος *ψυχας δουλων αυτου. xxxiii.* 22. *και ψυχας πενητων σωσει. lxxi.* 13. *και γνωσῃ ὁτι εγω* Κυριος *ὁ σωζων σε. Esa. lx.* 16. *Conf. Joan. iii.* 17. *xii.* 47. *Gen. xiii.* 6-9. *Matt. xviii.* 11.

57 Εγενετο δε πορευομενων αυτων εν τῃ ὁδῳ, ειπε τις προς αυ-
τον, Ακολουθησω σοι ὁπου αν απερχῃ, Κυριε.

εν τῃ ὁδῳ. Gen. xlii. 38. *xlv.* 24. *Conf. Exod. xix.* 8.

58 Και ειπεν αυτῳ ὁ Ιησους, Αἱ αλωπεκες φωλεους εχουσι, και
τα πετεινα του ουρανου κατασκηνωσεις· ὁ δε υἱος του ανθρωπου
ουκ εχει που την κεφαλην κλινῃ.

και γαρ στρουθιον εὑρεν ἑαυτῳ οικιαν, και τρυγων νοσσιαν ἑαυτῃ, κ.τ.λ. Ps. lxxxiii. 3. *Conf. Matt. viii.* 20. *Jos. xxiv.* 19-22.

59 Ειπε δε προς ἑτερον, Ακολουθει μοι. Ὁ δε ειπε, Κυριε, επι-
τρεψον μοι απελθοντι πρωτον θαψαι τον πατερα μου.

καταφιλησω τον πατερα μου, και ακολουθησω οπισω σου. 3 *Reg. xix.* 19, 20. *Conf. Marc. viii.* 19. *Matt. viii.* 21, 22. *Lev. xxi.* 10. *Num. vi.* 6. *ου γαρ συνεπηκολουθησαν οπισω μου. xxxii.* 11. *ουχ ἡκεν ὁ καιρος του οικοδομησαι τον οικον* Κυριου. *Agg. i.* 2. *Conf. Matt. iv.* 19-21. *vi.* 33.

60 Ειπε δε αυτῳ ὁ Ιησους, Αφες τους νεκρους θαψαι τους ἑαυ-
των νεκρους· συ δε απελθων διαγγελλε την βασιλειαν του
Θεου.

θαψαι τον νεκρον. Gen. xxiii. 4-8. *διαγγελων το προσταγμα* Κυριου. *Ps. ii.* 7. *Exod. ix.* 16. *ὁ λεγων τῳ πατρι,* Τι *γεννησεις; κ. τ. λ. Esa. xlv.* 10. *Conf. Matt. viii.* 22. *Esa. lviii.* 1. *Ose. v.* 8. *Joel. ii.* 1.

61 Ειπε δε και ἑτερος, Ακολουθησω σοι, Κυριε· πρωτον δε επιτρεψον μοι αποταξασθαι τοις εις τον οικον μου.

και επετρεψεν οὑτως γενεσθαι. *Est. ix.* 14. *Job. xxxii.* 14. [δεηθεις δε συγχωρησαι αυτῳ τους γονεις ασπασασθαι, κελευσαντος τουτο ποιειν, αποταξαμενος αυτοις εἱπετο. *Jos. Ant. viii.* 13. 7. *Conf. Loesner. p.* 122. *et Krebs. ad loc.*] ἡ ην παρ' αυτῃ εν τῳ οικῳ. *Gen. xxvii.* 15. *Conf. Matt. x.* 37, 38. *Deut. xxxiii.* 9. *Eccles. ix.* 10.

62 Ειπε δε προς αυτον ὁ Ιησους, Ουδεις επιβαλων την χειρα αὑτου επ' αροτρον, και βλεπων εις τα οπισω, ευθετος εστιν εις την βασιλειαν του Θεου.

επι παντα, οὑ εαν επιβαλῃς την χειρα σου. *Deut. xii.* 7. 18. *xv.* 10, *etc. Conf. Luc. xvii.* 36. 2 *Pet. ii.* 22. και μη φεισησθε τοις οφθαλμοις των σκευων ὑμων, κ. τ. λ. *Gen. xlv.* 20. εν καιρῳ ευθετῳ. *Ps. xxxi.* 6. *Susan.* 15. και επεβλεψεν ἡ γυνη αυτου εις τα οπισω, και εγενετο στηλη ἁλος. *Gen. xix.* 26. μνημονευετε της γυναικος Λωτ. *cap. xvii.* 32. εστραφησαν εν ἡμερᾳ πολεμου. *Ps. lxxvii.* 8, 9. δοξαν της βασιλειας σου ερουσι. *Ps. cxliv.* 11, 12. εδειξεν αυτῳ βασιλειαν Θεου. *Sap. x.* 10.

ΚΕΦ. ι. 10.

ΜΕΤΑ δε ταυτα ανεδειξεν ὁ Κυριος και ἑτερους ἑβδομηκοντα, και απεστειλεν αυτους ανα δυο προ προσωπου αὑτου, εις πασαν πολιν και τοπον οὑ εμελλεν αυτος ερχεσθαι.

μετα ταυτα. 2 *Par. xxxii.* 9. και ανεδειξε βασιλεα. 1 *Esd. i.* 34. 2 *Mac. ix.* 25. *x.* 11. ειωθεν. *Sir. xxxvii.* 14. απεστειλα προς ὑμας τους παιδας μου τους προφητας. *Jer. li.* 4. ανα δυο. *Conf. Esa. vi.* 2, 3. *Conf. Matt. x.* 1. *Marc. vi.* 6. *Gen. xlvi.* 27. *Num. xi.* 15. συναγαγε μοι ἑβδομηκοντα ανδρας απο των πρεσβυτερων Ισραηλ, οὑς αυτος συ οιδας κ. τ. λ. *Num. xi.* 16, 30. και επιβλεψεται ὁδον προ προσωπου μου. *Mal. iii.* 1. *Act. xiii.* 2. 4.

2 Ελεγεν ουν προς αυτους, Ὁ μεν θερισμος πολυς, οἱ δε εργαται ολιγοι· δεηθητε ουν του κυριου του θερισμου, ὁπως εκβαλλῃ εργατας εις τον θερισμον αὑτου.

κατεχοντα δρεπανον εν καιρῳ θερισμου· *Jer. xxvii.* 16. ζωη αυταρκους εργατου γλυκανθησεται. *Sir. xl.* 18. και εξεβαλε προφυλακας κυκλῳ της παρεμβολης. 1 *Mac. xii.* 27. *Conf. Matt. ix.* 37,

38. *Joan. iv.* 35. διηλθε θερος, παρηλθεν αμητος, και ἡμεις ου διεσωθημεν. *Jer. viii.* 20.

3 Ὑπαγετε· ιδου, εγω αποστελλω ὑμας ὡς αρνας εν μεσῳ λυκων.

τοτε λυκοι και αρνες βοσκηθησονται ἁμα. *Esa. lxv.* 25. *xi.* 6. εν μεσῳ λεοντων. *Ezech. xix.* 2. τι κοινωνησει λυκος αμνῳ; *Sir. xiii.* 17. *Conf. Matt. x.* 16. *Ps. xxi.* 12-16. *Ezech. ii.* 3-6. *Sophon. iii.* 3.

4 Μη βασταζετε βαλαντιον, μη πηραν, μηδε ὑποδηματα· και μηδενα κατα την ὁδον ασπασησθε.

ὁ εαν επιθῃς επ' εμε βαστασω. 4 *Reg. xviii.* 14. βαλαντιον. *Job. xiv.* 17. *Prov. vii.* 20. *alii.* κατα την ὁδον. *Ezech. xlvi.* 2, 9. ζωσαι την οσφυν σου, και λαβε την βακτηριαν μου εν τῃ χειρι σου, και δευρο, ὁτι εαν εὑρῃς ανδρα ουκ ευλογησεις αυτον, κ. τ. λ. 4 *Reg. iv.* 29. *Conf. Matt. x.* 9. *Marc. vi.* 8. και ανεβαλεν αυτην εις την πηραν των βρωματων. *Judith. xiii.* 10. *Conf.* 1 *Reg. xxi.* 8. *Gen. xxiv.* 31. *xxxii.* 10. 4 *Reg. iv.* 29. *Matt. x.* 9, 10. *Marc. vi.* 8.

5 Εις ἡν δ' αν οικιαν εισερχησθε, πρωτον λεγετε, Ειρηνη τῳ οικῳ τουτῳ.

ειρηνη σοι. *Jud. vi.* 23. 4 *Reg. iv.* 23, 26. ησπασαντο αυτον εις ειρηνην. *Jud. xviii.* 15. *Alex. O. Ald. Conf. Matt. x.* 12. *Marc. vi.* 10. παντι τῳ οικῳ του πατρος. *Gen. xlvii.* 12.

6 Και εαν μεν ῃ εκει ὁ υἱος ειρηνης, επαναπαυσεται επ' αυτον ἡ ειρηνη ὑμων· ει δε μηγε, εφ' ὑμας ανακαμψει.

υἱος θανατου. 1 *Reg. xx.* 31. 2 *Reg. xii.* 5. επανεπαυσατο επ' αυτους το πνευμα. *Num. xi.* 25, 26. *Alex. Ald.* επαναπεπαυται το πνευμα Ηλιου επι Ἑλισαιε. 4 *Reg. ii.* 15. ει δε μη. *Gen. xx.* 7. *xxx.* 1. τις ανακαμψει εις ειρηνην σοι; *Jer. xv.* 5. *Conf. Matt. x.* 13. και ερειτε ταδε· εις ὡρας και συ ὑγιαινων, και ὁ οικος σου, και παντα τα σα ὑγιαινοντα. 1 *Reg. xxv.* 6. ὁτι συντετελεσται ἡ κακια εις τον κυριον ἡμων και εις τον οικον αυτου, και οὑτος υἱος λοιμος, και ουκ εστι λαλησαι προς αυτον. 17. *Conf. Ps. xxxiv.* 13. 2 *Cor. ii.* 15. *Act. xvi.* 15-34.

7 Εν αυτῃ δε τῃ οικιᾳ μενετε, εσθιοντες και πινοντες τα παρ' αυτων· αξιος γαρ ὁ εργατης του μισθου αὑτου εστι. Μη μεταβαινετε εξ οικιας εις οικιαν.

αξιοι εισι της εκεινου μεριδος ειναι. *Sap. i.* 16. *ix.* 12. εκχεων αἱμα ὁ αποστερων μισθον μισθιου. *Sir. xxxi.* 22. ζωη πονηρα εξ οικιας

εις οικιαν. *xxix.* 24. *Conf. Lev. xix.* 13. *Deut. xxiv.* 14. *xxv.* 4. *Matt. x.* 10. 1 *Cor. ix.* 4. 1 *Tim. v.* 18. *Tob. iv.* 14.

8 Και εις ἡν δ' αν πολιν εισερχησθε, και δεχωνται ὑμας, εσθιετε τα παρατιθεμενα ὑμιν,

και παρεθηκεν αυτοις, και εφαγον. *Gen. xviii.* 8. *xxiv.* 33. *Conf. Matt. x.* 40. 1 *Cor. x.* 27.

9 Και θεραπευετε τους εν αυτῃ ασθενεις, και λεγετε αυτοις, Ηγγικεν εφ' ὑμας ἡ βασιλεια του Θεου.

ηγγικεν ὁ καιρος ἡμων. *Thren. iv.* 18. *Ezech. xii.* 23. *Conf. Matt. iii.* 2. *iv.* 17. *Dan. ii.* 44. [και ἡ βασιλεια του Θεου ἡμων εις τον αιωνα επι τα εθνη εν κρισει. *Test. XII Patr. p.* 961.]

10 Εις ἡν δ' αν πολιν εισερχησθε, και μη δεχωνται ὑμας, εξελθοντες εις τας πλατειας αυτης, ειπατε,

11 Και τον κονιορτον τον κολληθεντα ἡμιν εκ της πολεως ὑμων απομασσομεθα ὑμιν· πλην τουτο γινωσκετε, ὁτι ηγγικεν εφ' ὑμας ἡ βασιλεια του Θεου.

10, 11.] *Conf. Matt. x.* 14. *Marc. vi.* 11. *Act. xiii.* 50, 51. *xviii.* 6. πλην γινωσκε ὁτι ουκ εσται το προτερημα σου. *Jud. iv.* 9. γνωσονται οἱ εγγιζοντες την ισχυν μου. *Esa. xxxiii.* 13. και γνωτω ὁτι εστι προφητης εν Ισραηλ. 4 *Reg. v.* 8. *Deut. xxx.* 11-14.

12 Λεγω δε ὑμιν, Ὁτι Σοδομοις εν τῃ ἡμερᾳ εκεινῃ ανεκτοτερον εσται, η τῃ πολει εκεινῃ.

Conf. Matt. x. 15. *xi.* 21. *Marc. vi.* 11. *Thren. iv.* 6. *Ezech. xvi.* 46.

13 Ουαι σοι, Χοραζιν, ουαι σοι, Βηθσαϊδα· ὁτι ει εν Τυρῳ και Σιδωνι εγενοντο αἱ δυναμεις αἱ γενομεναι εν ὑμιν, παλαι αν εν σακκῳ και σποδῳ καθημεναι μετενοησαν.

Conf. Matt. xi. 21. *Ezech. iii.* 6. *Esa. xxiii.* 1.

14 Πλην Τυρῳ και Σιδωνι ανεκτοτερον εσται εν τῃ κρισει, η ὑμιν.

πλην ὑμας εγνων εκ πασων των φυλων της γης, δια τουτο εκδικησω εφ' ὑμας πασας τας ἁμαρτιας ὑμων. *Amos. iii.* 2.

15 Και συ, Καπερναουμ, ἡ ἑως του ουρανου ὑψωθεισα, ἑως ᾁδου καταβιβασθησῃ.

14, 15.] *Conf. Matt. xi.* 22, 23. *Esa. xiv.* 13. *Jer. xxviii.* 53. *Ezech. xxvi.* 20. *Deut. i.* 28. εις απωλειαν. *Ezech. xxviii.* 7.

16 Ὁ ακουων ὑμων, εμου ακουει· και ὁ αθετων ὑμας, εμε αθετει· ὁ δε εμε αθετων, αθετει τον αποστειλαντα με.

ὁ αθετων ὑμας. *Conf. Esa. i. 2. xxxiii.* 1. *Matt. x.* 40. *Marc. ix.* 37. *Joan. xiii.* 20. 1 *Thess. iv.* 8. ὁτι ου σε εξουθενηκασιν, αλλ' η εμε εξουθενωκασι. 1 *Reg. viii.* 7. ου γαρ καθ' ἡμων εστιν ὁ γογγυσμος ὑμων, αλλ' η κατα του Θεου. *Exod. xvi.* 8.

17 Ὑπεστρεψαν δε οἱ ἑβδομηκοντα μετα χαρας, λεγοντες, Κυριε, και τα δαιμονια ὑποτασσεται ἡμιν εν τῳ ονοματι σου.

μετα χαρας. *Est. ix.* 18, 19. εν ονοματι Κυριου. *Mich. iv.* 5. δικαιον ὑποτασσεσθαι τῳ Θεῳ. 2 *Mac. ix.* 12. *Conf. Matt. vii.* 22. δαιμονια. *Conf. Esa. xiii.* 21. *xxxiv.* 14. *Bar. iv.* 35. [προσεχετε εαυτοις απο του Σατανα, και των πνευματων αυτου. *Test. XII Patr. p.* 657.] *Conf. Marc. xvi.* 9.

18 Ειπε δε αυτοις, Εθεωρουν τον Σαταναν ὡς αστραπην εκ του ουρανου πεσοντα.

πως εξεπεσεν εκ του ουρανου ὁ Ἑωσφορος ὁ πρωϊ ανατελλων; *Esa. xiv.* 12. *Conf. Matt. iv.* 10. *Apoc. xii.* 8, 9. *Heb. ii.* 14. *Joan. xii.* 31.

19 Ιδου, διδωμι ὑμιν την εξουσιαν του πατειν επανω οφεων και σκορπιων, και επι πασαν την δυναμιν του εχθρου· και ουδεν ὑμας ου μη αδικηση.

και εξουσια εδοθη αυτῃ. *Dan. vii.* 6. εδωκεν αυτῳ εξουσιαν συναγαγειν δυναμεις. 1 *Mac. x.* 6. *Conf. Marc. xvi.* 18. *Act. xxviii.* 5. ου μη αποκρυβῃ απο σου ουθεν. *Jer. xxxii.* 17. ηγαγεν—πασαν την δυναμιν της στρατιας. 1 *Par. xx.* 1. [ὁ εχθρος. *Satanas. Test. XII Patr. p.* 657.] *Ezech. ii.* 6. *Esa. xi.* 8. *Conf. Act. xxviii.* 5. *Rom. xvi.* 20. εν χειρι αυτου ψυχη παντων ζωντων, και πνευμα παντος ανθρωπου. *Job. xii.* 10. [δωσει εξουσιαν τοις τεκνοις αυτου πατειν επι τα πονηρα πνευματα. *Test. XII Patr. p.* 587.] επ' ασπιδα και βασιλισκον επιβησῃ, και καταπατησεις λεοντα και δρακοντα. *Ps. xc.* 13.

20 Πλην εν τουτῳ μη χαιρετε, ὁτι τα πνευματα ὑμιν ὑποτασσεται· χαιρετε δε μαλλον ὁτι τα ονοματα ὑμων εγραφη εν τοις ουρανοις.

ὁ Θεος ὁ διδους—και ὑποταξας λαους ὑπ' εμε. *Ps. xvii.* 47. χαρησομαι επι τῳ Θεῳ τῳ σωτηρι μου. *Hab. iii.* 17. *Exod. iv.* 31. και μετα δικαιων μη γραφητωσαν. *Ps. lxviii.* 28. ἁγιοι κληθησονται παντας οἱ γραφεντες εις ζωην εν Ἱερουσαλημ. *Esa. iv.* 3. *Ps. lxviii.* 28. *Dan. xii.* 1. *Exod. xxxii.* 32. *Phil. iv.* 3. [παντας γουν ὁποσους ανεγραψε. *Philo. p.* 517.]

21 Εν αυτῃ τῃ ὡρᾳ ηγαλλιασατο τῳ πνευματι ὁ Ιησους και
ειπεν, Εξομολογουμαι σοι, Πατερ, Κυριε του ουρανου και της
γης, ὁτι απεκρυψας ταυτα απο σοφων και συνετων, και απε-
καλυψας αυτα νηπιοις· ναι, ὁ Πατηρ, ὁτι οὑτως εγενετο ευ-
δοκια εμπροσθεν σου.

εν αυτῃ τῃ ὡρᾳ. *Dan. v.* 5. αγαλλιασεται ἡ καρδια μου. *Ps. xii.* 5. αγαλλιασθω ἡ ψυχη μου. *Esa. lxi.* 10. εξομολογησομαι σοι εις τον αιωνα. *Ps. lxi.* 9. *et pass.* παρα Κυριου, του ποιησαντος τον ουρανον και την γην. *Ps. cxx.* 3. *cxxiii.* 8. Κυριος σοφοι τυφλους. *cxlv.* 8. ουκ ωφελησουσι θησαυροι ανομους, δικαιοσυνη δε ῥυσεται εκ θανατου. *Prov. x.* 2. *Ose. xiv.* 10. *Deut. i.* 13. ἡ μαρτυρια Κυριου——σοφιζουσα νηπια. *Ps. xviii.* 7. και Κυριος απεκρυψεν απ᾽ εμου. 4 *Reg. iv.* 27. μη αποκρυψῃς απ᾽ εμου τας εντολας σου. *Ps. cxviii.* 19. εν τῃ ευδοκιᾳ σου. *l.* 18. *lxxxviii.* 17. [εδιδαξε τα μυστηρια, και απεκαλυψε τῳ αιωνι τα εν ουρανῳ. *Lib. Henoch. Fabric. p.* 189.] *Conf. Matt. xi.* 25. *Esa. xxix.* 14. *Dan. xii.* 10. 1 *Cor. i.* 19. *ii.* 6, 7. 2 *Cor. iii.* 14. *Sap. vi.* 22. *Sir. iii.* 30.

22 Και στραφεις προς τους μαθητας ειπε, Παντα παρεδοθη μοι
ὑπο του πατρος μου· και ουδεις γινωσκει τις εστιν ὁ υἱος, ει
μη ὁ πατηρ, και τις εστιν ὁ πατηρ, ει μη ὁ υἱος, και ᾡ εαν
βουληται ὁ υἱος αποκαλυψαι.

Conf. Matt. xxviii. 18. ὁ αποκαλυπτων μυστηρια εγνωρισε σοι. *Dan. ii.* 29. *Conf. Heb. ii.* 8. 1 *Cor. xv.* 27. *Ephes. i.* 21. και κατεστησας αυτον επι τα εργα των χειρων σου· παντα ὑπεταξας ὑποκατω των ποδων αυτου. *Ps. viii.* 6.

23 Και στραφεις προς τους μαθητας κατ᾽ ιδιαν ειπε, Μακα-
ριοι οἱ οφθαλμοι οἱ βλεποντες ἁ βλεπετε.

Conf. Matt. xiii. 16. μακαριοι οἱ ιδοντες σε, κ.τ.λ. *Sir. xlviii.* 11.

24 Λεγω γαρ ὑμιν, Ὁτι πολλοι προφηται και βασιλεις ηθελη-
σαν ιδειν ἁ ὑμεις βλεπετε, και ουκ ειδον· και ακουσαι ἁ ακου-
ετε, και ουκ ηκουσαν.

Conf. Matt. xiii. 17. ηθελησαν. *Ps. xxxiii.* 12. 1 *Pet. i.* 10.

25 Και ιδου, νομικος τις ανεστη, εκπειραζων αυτον, και λεγων,
Διδασκαλε, τι ποιησας ζωην αιωνιον κληρονομησω;

Conf. Matt. xix. 16. *xxii.* 35. *Marc. xii.* 28. δοξαν σοφοι κληρονομησουσι. *Prov. iii.* 35. *Ps. xxxvi.* 31. σωζειν εις ζωην αιωνιον. 4 *Mac. xv.* 2.

26 Ὁ δε ειπε προς αυτον, Εν τῳ νομῳ τι γεγραπται; πως
αναγινωσκεις;

νομον γαρ εις βοηθειαν εδωκε. *Esa. viii.* 20. κατα τα γεγραμμενα εν νομῳ. *Esd. iii.* 2. *Conf. Neh. xiii.* 1.

27 Ὁ δε αποκριθεις ειπεν, Αγαπησεις Κυριον τον Θεον σου, εξ
ὁλης της καρδιας σου, και εξ ὁλης της ψυχης σου, και εξ ὁλης
της ισχυος σου, και εξ ὁλης της διανοιας σου· και τον πλησιον
σου ὡς σεαυτον.

Conf. Matt. xxii. 37-39. *Marc. xii.* 30. *Rom. xiii.* 9. *Gal. v.* 14. *Deut. vi.* 5. *Lev. xix.* 18. *CITAT.* 78.

28 Ειπε δε αυτῳ, Ορθως απεκριθης· τουτο ποιει, και ζησῃ.

ἁ ποιησας αυτα ανθρωπος, ζησεται εν αυτοις. *Lev. xviii.* 5. *Ezech. xx.* 12, 13, 21. *Neh. ix.* 29. *Rom. x.* 5. *Bar. iv.* 1. *Deut. xxx.* 6.

29 Ὁ δε θελων δικαιουν ἑαυτον, ειπε προς τον Ιησουν, Και τις
εστι μου πλησιον;

μη δικαιου εναντι Κυριου. *Sir. vii.* 5. ὁτι ου δικαιωθησεται ενωπιον σου πας ζων. *Ps. cxlii.* 2. *Conf. Matt. v.* 43. *Lev. xix.* 34.

30 Ὑπολαβων δε ὁ Ιησους ειπεν, Ανθρωπος τις κατεβαινεν απο
Ἱερουσαλημ εις Ἱεριχω, και λησταις περιεπεσεν, οἱ και εκδυ-
σαντες αυτον, και πληγας επιθεντες απηλθον, αφεντες ἡμι-
θανη τυγχανοντα.

ὑπολαβων δε, ειπε. *Job. ii.* 4. *iv.* 1. *vi.* 1. *et pass.* περιπεσειν τοιουτοις κακοις. 2 *Mac. x.* 4. καθως ετυγχανον οἱ τον τοπον οικουντες. 2 *Mac. vi.* 2. ἡμιθνητος. *Sap. xviii.* 18. ανηρ τις. 2 *Par. xviii.* 17. εξεδυσαν Ιωσηφ. *Gen. xxxvii.* 23. ην δε τις εκ της φυλης Λευι. *Exod. ii.* 1. *Conf. Matt. v.* 42. και εγενετο, ὡς ην Ιησους εν Ιεριχῳ κ. τ. λ. *Jos. v.* 13. [*Conf. Jos. Bell. Jud. iv.* 8. 3. *qui spatium totum inde a Jerich. usque ad Hierosol. desertum esse et saxosum.* ερημον και πετρωδες, *tradidit. Bretschn.*] ἑτερα ετυγχανε πεπρακως, *vendidit.* 2 *Mac. iv.* 32. [ὁταν νηψαντες τυχωσι, *ubi sobrii facti fuerint. Jos. Ant. xi.* 3. 3.] πολλας επιρριπτουντες αυτῳ πληγας. 2 *Mac. iii.* 26.

31 Κατα συγκυριαν δε ἱερευς τις κατεβαινεν εν τῃ ὁδῳ εκεινῃ,
και ιδων αυτον, αντιπαρηλθεν.

συγκυρημα. 1 *Reg. xx.* 25. *Sym.* συγκυρησει. *Eccles. ix.* 11. *Sym.* το ελεος γαρ σου αντιπαρηλθε. *Sap. xvi.* 10. *Ps. xxxvii.* 11. ανθρωπος τις. *Job. i.* 1. *Conf. Luc. i.* 5. *Joan. iv.* 9. *Act. x.* 28. [κατα συντυχιαν. *Philo de Jos. p.* 528.]

32 Ὁμοιως δε και Λευϊτης, γενομενος κατα τον τοπον, ελθων
και ιδων αντιπαρηλθεν.

και σε ὁμοιως εθεραπευσε. *Tob. xii.* 3. οἱ κατ᾽ Αιγυπτον Ιουδαιοι. 2 *Mac. i.* 1. *Ps. cviii.* 25. [γενομενος προς τινι ναπει. *Philo. Vit. Mos. p.* 12.]

33 Σαμαρειτης δε τις ὁδευων ηλθε κατ᾽ αυτον, και ιδων αυτον,
εσπλαγχνισθη·

και ὡδευον αμφοτεροι, ἑως οὑ ηγγισαν. *Tob. vi.* 5. εσπλαγχνισθητε. *Deut. xiii.* 8. *Sym.* [και ὑμεις ουν, τεκνα εχετε ευσπλαγχνιαν κατα παντος ανθρωπου εν ελεει. *Test. XII Patr. p.* 641.]

34 Και προσελθων κατεδησε τα τραυματα αυτου, επιχεων
ελαιον και οινον· επιβιβασας δε αυτον επι το ιδιον κτηνος, ηγα-
γεν αυτον εις πανδοχειον, και επεμεληθη αυτου.

και το συντετριμμενον καταδησω. *Ezech. xxxiv.* 16. ὁτι τραυμα εστι καταδησαι. *Sir. xxvii.* 21. *Alex.* καταδεσμευσει τραυματα αυτου. *xxx.* 7. και επεβιβασαν αυτον—επι το ἁρμα, και ηγαγον αυτον εις Ἱερουσαλημ. 4 *Reg. ix.* 28. καταγαγετε αυτον—και επιμελουμαι αυτου. *Gen. xliv.* 21. επιβιβασειν. *Hab. iii.* 15. 4 *Reg. xxiii.* 30. 1 *Esd. vi.* 27. ηγαγεν. *Exod. iii.* 1. *et pass. Conf. Gen. xlii.* 27. *Ps. cviii.* 16. *Job. xxxi.* 32. επιμελουμαι αυτου. *Gen. xliv.* 21. 1 *Mac. xi.* 37. *Conf. Matt. xx.* 2. [πανδοχειον. *Act. Thom. c.* 48.]

35 Και επι την αυριον εξελθων, εκβαλων δυο δηναρια εδωκε τῳ
πανδοχει, και ειπεν αυτῳ, Επιμεληθητι αυτου· και ὁ τι αν
προσδαπανησῃς, εγω εν τῳ επανερχεσθαι με αποδωσω σοι.

ελθατω—ετι την αυριον. *Est. v.* 8. ου δαπανησει—τα οντα μετ᾽ εμου. *Judith. xii.* 4. ὁτε επανηλθε. *Gen. xxxiii.* 18. απεδοθη μοι το αργυριον. *xlii.* 28.

36 Τις ουν τουτων των τριων δοκει σοι πλησιον γεγονεναι του
εμπεσοντος εις τους λῃστας;

37 Ὁ δε ειπεν, Ὁ ποιησας το ελεος μετ᾽ αυτου. Ειπεν ουν
αυτῳ ὁ Ιησους, Πορευου, και συ ποιει ὁμοιως.

και ποιων ελεος. *Exod. xxxiv.* 7. *Alex. Ald. Comp.* ὁ ποιων ταυτα, ου σαλευθησεται εις τον αιωνα. *Ps. xiv.* 5. και ειπε Σαουλ προς Δαυιδ, πορευου, και εσται, κ.τ.λ. 1 *Reg. xvii.* 37. *xx.* 21, 38. *xxii.* 5. διαθρυπτε πεινωντι τον αρτον σου, και πτωχους αστεγους εισαγε εις τον οικον σου, κ. τ. λ. *Esa. lviii.* 7. και πορευθεντες λατρευσητε θεοις ἑτεροις. *Jos. xxiii.* 16. *Conf.* 2 *Reg. xii.* 7.

38 Εγενετο δε εν τω πορευεσθαι αυτους, και αυτος εισηλθεν εις
κωμην τινα· γυνη δε τις ονοματι Μαρθα υπεδεξατο αυτον εις
τον οικον αυτης.

υπεδεξαντο αυτους προθυμως. *Tob. vii.* 8. *Conf. Joan. xi.* 1. *xii.* 2, 3.

39 Και τηδε ην αδελφη καλουμενη Μαρια, η και παρακαθι-
σασα παρα τους ποδας του Ιησου ηκουε τον λογον αυτου.

παρεκαθισαν αυτω. *Job. ii.* 13. *Deut. xxxiii.* 3. *Prov. viii.* 32.

40 Η δε Μαρθα περιεσπατο περι πολλην διακονιαν· επιστασα
δε ειπε, Κυριε, ου μελει σοι οτι η αδελφη μου μονην με κατε-
λιπε διακονειν; ειπε ουν αυτη ινα μοι συναντιλαβηται.

περισπωμενω περι παντων. *Sir. xli.* 2, *Eccles. i.* 13. [περισπωμενος προς τι. *Jos. Ant. v.* 1. 15.] ου μελει μοι. *Tob. x.* 3. η γαρ χειρ μου συναντιληψεται αυτω. *Ps. lxxxviii.* 21. και κουφιουσιν απο σου, και συναντιληψονται σοι. *Exod. xviii.* 22. καταλειπειν. *Dan. x.* 13. *Rom. viii.* 26. και ειπε Κυριος προς Ιωναν, Ει σφοδρα λελυπησαι συ; *Jon. iv.* 4.

41 Αποκριθεις δε ειπεν αυτη ο Ιησους, Μαρθα, Μαρθα, μεριμ-
νας και τυρβαζη περι πολλα·

εν παντι μεριμνωντι ενεστι περισσον. *Prov. xiv.* 23. τι περισσον τω ανθρωπω; *Eccles. vii.* 1. *Conf. Matt. vi.* 25.

42 Ενος δε εστι χρεια. Μαρια δε την αγαθην μεριδα εξελεξα-
το, ητις ουκ αφαιρεθησεται απ' αυτης.

τελος λογου, το παν ακουε. *Eccles. xii.* 13. μιαν ητησαμην παρα Κυριου, ταυτην εκζητησω. *Ps. xxvi.* 4. ου γαρ εστι σοι χρεια των κρυπτων. *Sir. iii.* 22. μεριδα αγαθην. 4 *Reg. iii.* 19, 20. *Ps. l.* 18. *Eccles. ix.* 9. *Dan. iv.* 12. *Ps. cxlii.* 5. και εξελεξατο εαυτω Λωτ πασαν την περιχωρον. *Gen. xiii.* 11. και αφαιρεθησεται ο κληρος αυτων. *Num. xxxvi.* 3. και η μερις μου ο Θεος εις τον αιωνα. *Ps. lxxii.* 26. *cxviii.* 56. *cxli.* 5. *Vide Keuchen in loc.* εκλεξαι την ζωην συ, ινα ζησης συ και το σπερμα σου. *Deut. xxx.* 19, 20. εγω δε και η οικια μου λατρευσομεν Κυριω. *Jos. xxiv.* 15. εγω δε εν δικαιοσυνη οφθησομαι τω προσωπω σου, χορτασθησομαι εν τω οφθηναι την δοξαν σου. *Ps. xvii.* 15. [μεριδα και κληρον. *Philo. de plant. Noe. p.* 222.]

ΚΕΦ. *ια.* 11.

ΚΑΙ *εγενετο εν τῳ ειναι αυτον εν τοπῳ τινι προσευχομενον, ὡς επαυσατο, ειπε τις των μαθητων αυτου προς αυτον, Κυριε, διδαξον ἡμας προσευχεσθαι, καθως και Ιωαννης εδιδαξε τους μαθητας αὑτου.*

και εγενετο εν τῳ κρινειν τους κριτας. Ruth. i. 1. 1 *Mac. v.* 40. *Κυριε βοηθε μου, και λυτρωτα μου. Ps. xviii.* 14. *Conf. Ose. xiv.* 2. *και εγενηθη εν τῳ ειναι.* 1 *Reg. xvi.* 23. *ὡς επαυσατο λαλων. Gen. xviii.* 33. *διδαξον με του ποιειν το θελημα σου. Ps. cxlii.* 10. *διατι διδαξον με τι ερουμεν αυτῳ, κ.τ.λ. Job. xxxvii.* 19. *προσευξεται προς σε πας ὁσιος. xxxi.* 7.

2 *Ειπε δε αυτοις, Ὁταν προσευχησθε, λεγετε, Πατερ ἡμων ὁ εν τοις ουρανοις, ἁγιασθητω το ονομα σου· ελθετω ἡ βασιλεια σου· γενηθητω το θελημα σου, ὡς εν ουρανῳ, και επι της γης.*

Conf. Matt. vi. 9-13. *xvi.* 28. *Eccles. v.* 2. *Ps. viii.* 1. *Esa. ii.* 2. *vi.* 3. *Sir. xxxiii.* 4. *Mal. i.* 14.

3 *Τον αρτον ἡμων τον επιουσιον διδου ἡμιν το καθ' ἡμεραν·*

1 *Tim. vi.* 8. *Joan. vi.* 33. *ἡ θυσια ἡ καθ' ἡμεραν. Num. iv.* 16.

4 *Και αφες ἡμιν τας ἁμαρτιας ἡμων, και γαρ αυτοι αφιεμεν παντι οφειλοντι ἡμιν· και μη εισενεγκῃς ἡμας εις πειρασμον, αλλα ῥυσαι ἡμας απο του πονηρου.*

Conf. Matt. vi. 12. *Sap. xvi.* 8. 1 *Cor. x.* 13. 1 *Pet. v.* 8. *αφησεις παν χρεος ιδιον, ὁ οφειλει σοι ὁ πλησιον. Deut. xv.* 2. 1 *Mac. xiii.* 39. *απο ανδρος αδικου ῥυσαι με. Ps. cxxxix.* 1. *και αφες πασας τας ἁμαρτιας μου. Ps. xxiv.* 18.

5 *Και ειπε προς αυτους, Τις εξ ὑμων ἑξει φιλον, και πορευσεται προς αυτον μεσονυκτιου, και ειπῃ αυτῳ, Φιλε, χρησον μοι τρεις αρτους,*

λαβε δη δεκα αρτους τουτους. 1 *Reg. xvii.* 17. *Alex. Ald. Comp. απεκριθη τις αυτων.* 1 *Reg. x.* 12. *τις εκ της φυλης Λευι. Exod. ii.* 1. *και εχρησαν αυτοις. xii.* 36. *Conf. Matt. xiv.* 19.

6 *Επειδη φιλος μου παρεγενετο εξ ὁδου προς με, και ουκ εχω ὁ παραθησω αυτῳ·*

επειδη. Prov. i. 24. *Job. ix.* 29. *και παρεθηκεν αυτοις και εφαγον. Gen. xviii.* 8. *Num. xiv.* 36.

7 *Κακεινος εσωθεν αποκριθεις ειπῃ, Μη μοι κοπους παρεχε·*

ηδη ἡ θυρα κεκλεισται, και τα παιδια μου μετ᾽ εμου εις την
κοιτην εισιν· ου δυναμαι αναστας δουναι σοι.

κακεινος. Esa. lvii. 6. Conf. 4 Reg. v. 22. και παρεσχον πονον τοις βοηθησασιν αυτοις. Sir. xxix. 4. εις pro εν. Vide Marc. i. 39. Conf. Matt. xii. 34. ου δυναται γαρ παυσασθαι μου ἡ οργη. Job. vi. 7. [δυνασθαι· θελειν. Hesych.] αναστας. Conf. Gen. xxii. 3. Job. i. 20.

8 Λεγω ὑμιν, ει και ου δωσει αυτῳ αναστας, δια το ειναι αυ-
του φιλον, δια γε την αναιδειαν αυτου, εγερθεις δωσει αυτῳ
ὁσων χρῄζει.

9 Καγω ὑμιν λεγω, Αιτειτε, και δοθησεται ὑμιν· ζητειτε, και
εὑρησετε· κρουετε, και ανοιγησεται ὑμιν.

αιτησαι παρ᾽ εμου, και δωσω. Ps. ii. 8. εδωκε παντα τα θεληματα —ἁ ῃτησε. 2 Par. ix. 12. i. 7. ζητησουσι με κακοι, και ουχ εὑρησουσι. Prov. i. 28. Conf. Matt. vii. 7. Marc. xi. 24. Joan. xiv. 13. 1 Joan. iii. 22. Heb. iv. 16. δια το ειναι. Conf. Deut. i. 36.

10 Πας γαρ ὁ αιτων λαμβανει· και ὁ ζητων εὑρισκει· και τῳ
κρουοντι ανοιγησεται.

11 Τινα δε ὑμων τον πατερα αιτησει ὁ υἱος αρτον, μη λιθον
επιδωσει αυτῳ; ει και ιχθυν, μη αντι ιχθυος οφιν επιδωσει
αυτῳ;

αντι, pro. Conf. Sap. vii. 10. xi. 6. μη επιλησεται γυνη του παιδιου αυτης, η του μη ελεησαι τα εκγονα της κοιλιας αυτης; Esa. xlix. 15. Conf. Apoc. iii. 20. μη interrog. 2 Reg. xiv. 19.

12 Η και εαν αιτηση ωον, μη επιδωσει αυτῳ σκορπιον;

11-12.] *Conf. Matt. vii. 9, 10.*

13 Ει ουν ὑμεις, πονηροι ὑπαρχοντες οιδατε αγαθα δοματα δι-
δοναι τοις τεκνοις ὑμων, ποσῳ μαλλον ὁ Πατηρ ὁ εξ ουρανου
δωσει Πνευμα ἁγιον τοις αιτουσιν αυτον;

Conf. Matt. vii. 11. Heb. xii. 10. ψαλω τῳ Θεῳ ἑως ὑπαρχω. Ps. ciii. 33. παντα ὁσα ὑπαρχει ανθρωπῳ. Job. ii. 4. εδωκα το πνευμα μου επ᾽ αυτον. Esa. xlii. 1. ουκ εισιν ειδοτες του ποιησαι κακον. Eccles. iv. 17. τουτο δομα Θεου εστι. v. 18. Conf. Ps. l. 12. Sap. ix. 17. Esa. xliv. 3, 4. Joel. ii. 8.

14 Και ην εκβαλλων δαιμονιον, και αυτο ην κωφον· εγενετο
δε, του δαιμονιου εξελθοντος, ελαλησεν ὁ κωφος· και εθαυμα-
σαν οἱ οχλοι.

και ανθρωπος ην προφητευων εν ονοματι Κυριου. Jer. xxxiii. 20.

Conf. Matt. ix. 32. *xii.* 22. *Cap. vii.* 22. *ix.* 39. [*Conf. Test. XII Patr. p.* 538.] ωτα κωφων ακουσονται. *Esa. xliii.* 8. [κωφος· ουτε λαλων, ουτε ακουων. *Hesych.*]

15 Τινες δε εξ αυτων ειπον, Εν Βεελζεβουλ αρχοντι των δαι-
μονιων εκβαλλει τα δαιμονια.

Conf. Matt. ix. 34. *xii.* 24. *Marc. iii.* 22-24. 2 *Thess. ii.* 9.

16 Ἑτεροι δε πειραζοντες σημειον παρ' αυτου εζητουν εξ ουρα-
νου.

αιτησαι σεαυτῳ σημειον παρα Κυριου. *Esa. vii.* 11. *Conf. Matt. xii.* 38. *xvi.* 1. 1 *Cor. i.* 22.

17 Αυτος δε ειδως αυτων τα διανοηματα, ειπεν αυτοις, Πασα
βασιλεια εφ' ἑαυτην διαμερισθεισα ερημουται· και οικος επι
οικον, πιπτει.

ιδων δε Κυριος—και πας τις διανοειται εν τῃ καρδιᾳ αυτου—και διενοηθη. *Gen. vi.* 5, 6. *Conf. Matt. xii.* 25. *Marc. iii.* 24. *Apoc. ii.* 23. *Joan. ii.* 25. διανοηματα. *Conf. Esa. lv.* 19. *Sir. xxii.* 16.

18 Ει δε και ὁ Σατανας εφ' ἑαυτον διεμερισθη, πως σταθησε-
ται ἡ βασιλεια αυτου; ὁτι λεγετε, εν Βεελζεβουλ εκβαλλειν
με τα δαιμονια.

Conf. Matt. iv. 10. *xii.* 26. *Marc. iii.* 26. *Apoc. xii.* 9. εν τῳ καταρασθαι ασεβη τον Σαταναν, αυτος καταραται την ἑαυτου ψυχην. *Sir. xxi.* 27. διεμερισθη. *Conf.* 3 *Reg. xvi.* 21.

19 Ει δε εγω εν Βεελζεβουλ εκβαλλω τα δαιμονια, οἱ υἱοι
ὑμων εν τινι εκβαλλουσι; δια τουτο κριται ὑμων αυτοι εσον-
ται.

Conf. Matt. xii. 27. 2 *Reg. i.* 16.

20 Ει δε εν δακτυλῳ Θεου εκβαλλω τα δαιμονια, αρα εφθασεν
εφ' ὑμας ἡ βασιλεια του Θεου.

εν. *Vide. Ps. xvii.* 29. αρα. *Ps. lxxii.* 13. δακτυλος Θεου εστι τουτο. *Exod. viii.* 19. *Ps. viii.* 3. και το ὑψος αυτου εφθασεν ἑως του ουρανου. *Dan. iv.* 8. τουτο ἡ συγκρισις αυτου—ὁ εφθασεν επι τον Κυριον μου τον βασιλεα. *iv.* 21. *Conf. Matt. xii.* 28. *Luc. i.* 33. *Heb. xii.* 28. [ὡς απαγορευσαι πασαν Αιγυπτον και εκβοαν αναγκασθησαι, ὁτι δακτυλος Θεου τουτ' εστι. *Philo. Vit. Mos. p.* 619.] εδειξεν αυτῳ βασιλειαν Θεου. *Sap. x.* 10.

21 Ὁταν ὁ ισχυρος καθωπλισμενος φυλασσῃ την ἑαυτου αυ-
λην, εν ειρηνῃ εστι τα ὑπαρχοντα αυτου·

Conf. Matt. xii. 29. *Marc. iii.* 27. καθωπλισμενοι ὁπλοις. *Jer. xxvi.* 9. 4 *Mac. iv.* 10. και επορευθη εν ειρηνῃ. 2 *Reg. iii.* 21. τα ὑπαρχοντα. *Job. xviii.* 7. *xxi.* 19. *Est. viii.* 7. φυλασσειν την ὁδον. *Gen. iii.* 24. *Conf. Jer. xxvi.* 5. *Joan. xvi.* 11.

22 Επαν δε ὁ ισχυροτερος αυτου επελθων νικησῃ αυτον, την πανοπλιαν αυτου αιρει, εφ᾽ ᾗ επεποιθει, και τα σκυλα αυτου διαδιδωσιν.

και των ισχυρων μεριει σκυλα. *Esa. liii.* 12. [επηλθομεν επ᾽ αυτους μετα θυμου. *Test. XII Patr. p.* 596.] μη ληψεται τις παρα γιγαντος σκυλα; *Esa. xlix.* 24, 25. διαμερισθησονται τα σκυλα σου εν σοι. *Zach. xiv.* 1. *Prov. xxxi.* 11. *Esa. liii.* 12. *Conf. Matt. xii.* 29. *Marc. iii.* 27. *Col. ii.* 15. πανοπλια. 2 *Reg. ii.* 21. [ου γαρ ληψεται σκυλα ανθρωπος παρα ανδρος δυνατου. *Psalt. Sal. v.* 4.]

23 Ὁ μη ων μετ᾽ εμου, κατ᾽ εμου εστι· και ὁ μη συναγων μετ᾽ εμου, σκορπιζει.

Conf. Matt. xii. 30. *Apoc. iii.* 15.

24 Ὁταν το ακαθαρτον πνευμα εξελθῃ απο του ανθρωπου, διερχεται δι᾽ ανυδρων τοπων, ζητουν αναπαυσιν· και μη εὑρισκον, λεγει, Ὑποστρεψω εις τον οικον μου ὁθεν εξηλθον·

Conf. Matt. xii. 43. και εὑρον εμαυτῳ πολλην αναπαυσιν. *Sir. li.* 27. και εκοσμησε τον οικον λιθοις τιμιοις εις δοξαν. 2 *Par. iii.* 6.

25 Και ελθον εὑρισκει σεσαρωμενον και κεκοσμημενον.

26 Τοτε πορευεται και παραλαμβανει ἑπτα ἑτερα πνευματα πονηροτερα ἑαυτου, και εισελθοντα κατοικει εκει· και γινεται τα εσχατα του ανθρωπου εκεινου χειρονα των πρωτων.

25, 26.] *Conf. Matt. xii.* 44, 45. *Joan. v.* 14. [ἑπτα ἑτερα πνευματα. *Conf. Test. XII Patr. p.* 735.]

27 Εγενετο δε εν τῳ λεγειν αυτον ταυτα, επαρασα τις γυνη φωνην εκ του οχλου, ειπεν αυτῳ, Μακαρια ἡ κοιλια ἡ βαστασασα σε, και μαστοι οὑς εθηλασας.

ανηρ τις. 2 *Par. xviii.* 17. 2 *Mac. vi.* 18. και επηρε την φωνην αυτου. *Jud. ix.* 7. επικαταρατα τα εκγονα της κοιλιας σου. *Deut. xxviii.* 18. εἱνεκεν ευλογιας μαστων και μητρας. *Gen. xlix.* 25. συναγαγετε νηπια θηλαζοντα μαστους. *Joel. ii.* 16. *Conf. Luc. i.* 28. 48.

28 Αυτος δε ειπε, Μενουνγε μακαριοι οἱ ακουοντες τον λογον του Θεου και φυλασσοντες αυτον.

[μενουνγε· το αληθες, μαλλον μεν ουν. *Suid.*] φυλαξασθαι τους λογους σου. *Ps. cxviii.* 9, 17, 34. τελος λογου, το παν ακουε· τον Θεον φοβου, και τας εντολας αυτου φυλασσε. *Eccles. xii.* 13. *Conf. Matt. vii.* 21. *Rom. ii.* 13. *Jac. i.* 21. μακαριοι οἱ ὁδους μου φυλασσοντες. *Prov. viii.* 32. *Alex. Exod. xv.* 26. *Ps. lxxvii.* 10.

29 Των δε οχλων επαθροιζομενων ηρξατο λεγειν, Ἡ γενεα αὑ-
τη πονηρα εστι· σημειον επιζητει, και σημειον ου δοθησεται
αυτῃ, ει μη το σημειον Ιωνα του προφητου.

αθροισατε παντα Ισραηλ. 1 *Reg. vii.* 5. *Conf. Matt. xii.* 39. γενεα σκολια και παραπικραινουσα. *Ps. lxxvii.* 8. *Deut. i.* 35. *Comp.*

30 Καθως γαρ εγενετο Ιωνας σημειον τοις Νινευΐταις, οὑτως
εσται και ὁ υἱος του ανθρωπου τῃ γενεᾳ ταυτῃ.

Conf. Matt. xii. 40. οὑτως εσται. *Obad.* 15. και προσεταξε Κυριος κητει μεγαλῳ καταπιειν τον Ιωναν· και ην Ιωνας εν τῃ κοιλιᾳ του κητους τρεις ἡμερας και τρεις νυκτας. *Jon. ii.* 1, 10. *iii.* 2.

31 Βασιλισσα νοτου εγερθησεται εν τῃ κρισει μετα των ανδρων
της γενεας ταυτης, και κατακρινει αυτους· ὁτι ηλθεν εκ των
περατων της γης ακουσαι την σοφιαν Σολομωντος, και ιδου,
πλειον Σολομωντος ὡδε.

Conf. Matt. xii. 42. και ἡ κυρεια σου εις τα περατα της γης. *Dan. iv.* 19. *Ps. lxvi.* 7. 3 *Reg. x.* 1. 2 *Par. ix.* 1. [ἡ μεν των Αιγυπτιων και της Αιθιοπιας βασιλισσα. *Jos. Ant. viii.* 6. 5, 6.]

32 Ανδρες Νινευΐ αναστησονται εν τῃ κρισει μετα της γενεας
ταυτης, και κατακρινουσιν αυτην· ὁτι μετενοησαν εις το κη-
ρυγμα Ιωνα, και ιδου, πλειον Ιωνα ὡδε.

Conf. Matt. xii. 41. και επιστευσαν οἱ ανδρες Νινευη τῳ Θεῳ, και εκηρυξαν νηστειαν. *Jon. iii.* 5. [*Conf. Jos. Ant. i.* 6. 4. *ix.* 11. 3.] ουκ αναστησονται οἱ ασεβεις εν κρισει. *Ps. i.* 5. *Ezech. xvi.* 51.

33 Ουδεις δε λυχνον ἁψας, εις κρυπτον τιθησιν, ουδε ὑπο τον
μοδιον, αλλ᾽ επι την λυχνιαν, ἱνα οἱ εισπορευομενοι το φεγγος
βλεπωσιν.

Conf. Luc. viii. 16. *Prov. vi.* 23. και φεγγος αυτου ὡς φως εσται. *Hab. iii.* 4. φεγγος του πυρος. *Ezech. i.* 13. και θησει αυτο εν αποκρυφῳ. *Deut. xxvii.* 15. *Conf.* 2 *Pet. i.* 19. *Matt. v.* 15. *Marc. iv.* 21.

34 Ὁ λυχνος του σωματος εστιν ὁ οφθαλμος· ὁταν ουν ὁ οφ-
θαλμος σου ἁπλους ῃ, και ὁλον το σωμα σου φωτεινον εστιν·
επαν δε πονηρος ῃ, και το σωμα σου σκοτεινον.

Conf. Matt. vi. 22. λυχνος τοις ποσι μου ὁ νομος σου. *Ps. cxviii.* 105. *Conf. Ezech. xv.* 4, 5.

35 Σκοπει ουν μη το φως το εν σοι σκοτος εστιν.

Conf. Matt. vi. 23. ουαι—οἱ τιθεντες το σκοτος φως, και το φως σκοτος. *Esa. v.* 20. *Prov. xvi.* 25. *xxvi.* 12. *Jer. viii.* 9.

36 Ει ουν το σωμα σου ὁλον φωτεινον, μη εχον τι μερος σκο-
τεινον, εσται φωτεινον ὁλον, ὡς ὁταν ὁ λυχνος τῃ αστραπῃ φω-
τιζῃ σε.

αἱ δε ὁδοι των ασεβων σκοτειναι. *Prov. iv.* 19. *Ps. lxxxvii.* 6. *cxlii.* 3. ὁτι συ φωτιεις λυχνον μου. *Ps. xvii.* 28. φωτιεις το σκοτος μου. *Id.* φεγγος αστραπης ὁπλων. *Hab. iii.* 11. *Vide Kypke in loc. Conf. Nahum. iii.* 3. *Esa. xlii.* 16.

37 Εν δε τῳ λαλησαι, ηρωτα αυτον Φαρισαιος τις, ὁπως αρισ-
τησῃ παρ᾽ αυτῳ· Εισελθων δε ανεπεσεν.

εν τῳ λαλησαι αυτον τον λογον τουτον. *Jud. viii.* 3. Σιμων δε τις. 2 *Mac. iii.* 4. και αριστησον, και δωσω σοι δομα. 3 *Reg. xiii.* 7. και ανεπεσα του φαγειν. *Tob. ii.* 1. και εισελθουσα ανεπεσεν Ιουδιθ. *Judith. xii.* 16. ὁπως. *Jon. i.* 6. *Conf. Matt. iii.* 7.

38 Ὁ δε Φαρισαιος ιδων εθαυμασεν ὁτι ου πρωτον εβαπτισθη
προ του αριστου.

Conf. Marc. vii. 3. εβαπτιζετο εν τῃ παρεμβολῃ επι της πηγης του ὑδατος. *Judith. xii.* 7. *Matt. xv.* 2, 3.

39 Ειπε δε ὁ Κυριος προς αυτον, Νυν ὑμεις οἱ Φαρισαιοι το εξ-
ωθεν του ποτηριου και του πινακος καθαριζετε· το δε εσωθεν
ὑμων γεμει ἁρπαγης και πονηριας.

Conf. Matt. xxiii. 25. *Tit. i.* 15. εσωθεν. *Ezech. xlii.* 15.

40 Αφρονες, ουχ ὁ ποιησας το εξωθεν, και το εσωθεν εποιησε;

ποιειν, [*purgare*] ουδε εποιησε τον μυστακα αυτου. 2 *Reg. xix.* 24. *Vide Elsner in loc.* ακουσατε δη ταυτα λαος μωρος και ακαρδιος. *Jer. v.* 23. εκτεινων ουρανον, και θεμελιων γην, και πλασσων πνευμα ανθρωπου εν αυτῳ. *Zach. xii.* 1.

41 Πλην τα ενοντα δοτε ελεημοσυνην· και ιδου, παντα καθαρα
ὑμιν εστιν.

ενεπυρισε τους πυργους συν πασι τοις ενουσι. 1 *Mac. v.* 5. *Conf. Job. xxvii.* 3. *Gen. vii.* 2, 8. *Deut. xiv.* 11. πλην. *Num. xxii.* 35. εκ των ὑπαρχοντων σοι, ποιει ελεημοσυνην. *Tob. iv.* 7, 9. [ενον· δυνατον η ενυπαρχον. *Hesych.*] τας ἁμαρτιας σου εν ελεημοσυναις λυτρωσαι. *Dan. iv.* 24. *Vide Grot. in loc. Conf. Esa. lviii.* 7. *Dan. iv.* 27. *Sir. iii.* 30. 1 *Pet. iv.* 8. *Matt. v.* 42. *vi.* 1-4.

42 Αλλ' ουαι ὑμιν τοις Φαρισαιοις, ὁτι αποδεκατουτε το ἡδυ-
οσμον και το πηγανον και παν λαχανον, και παρερχεσθε την
κρισιν και την αγαπην του Θεου· ταυτα εδει ποιησαι, κακεινα
μη αφιεναι.

Conf. Matt. xxiii. 23. *Esa. x.* 1, 6. 1 *Reg. xv.* 22. *Ose. vi.* 5. *Mich. vi.* 8. *Lev. xxvii.* 30-33. *Mal. iii.* 8-10.

43 Ουαι ὑμιν τοις Φαρισαιοις, ὁτι αγαπατε την πρωτοκαθε-
δριαν εν ταις συναγωγαις, και τους ασπασμους εν ταις αγο-
ραις.

Conf. Matt. xxiii. 26. *Marc. xii.* 38. 3 *Joan.* 9. *Prov. xvi.* 18.

44 Ουαι ὑμιν, Γραμματεις και Φαρισαιοι, ὑποκριται, ὁτι εστε
ὡς τα μνημεια τα αδηλα, και οἱ ανθρωποι οἱ περιπατουντες
επανω ουκ οιδασιν.

αδηλος. *Ps. l.* 6. *Conf. Matt. xxiii.* 27. *Act. xxiii.* 3.

45 Αποκριθεις δε τις των νομικων λεγει αυτῳ, Διδασκαλε,
ταυτα λεγων και ἡμας ὑβριζεις.

46 Ὁ δε ειπε, Και ὑμιν τοις νομικοις ουαι, ὁτι φορτιζετε τους
ανθρωπους φορτια δυσβαστακτα, και αυτοι ἑνι των δακτυλων
ὑμων ου προσψαυετε τοις φορτιοις.

Conf. Matt. xi. 28. *xxiii.* 4. *Esa. x. i.* 6. *Gal. vi.* 13. εφορτιζες αυτους του ερχεσθαι. *Ezech. xvi.* 33. 3 *Reg. xxii.* 8. *Amos. vii.* 10.

47 Ουαι ὑμιν, ὁτι οικοδομειτε τα μνημεια των προφητων, οἱ δε
πατερες ὑμων απεκτειναν αυτους.

Conf. Matt. xxiii. 29. ἡ πολις οικος μνημειων πατερων μου. *Neh. ii.* 3, 5. *Conf.* 1 *Thess. ii.* 15.

48 Αρα μαρτυρειτε και συνευδοκειτε τοις εργοις των πατερων
ὑμων· ὁτι αυτοι μεν απεκτειναν αυτους, ὑμεις δε οικοδομειτε
αυτων τα μνημεια.

Conf. Matt. xxiii. 31. αρα. *Ps. lvii.* 11. *lxxii.* 13. και ἡμεις συνευδοκουμεν. 2 *Mac. xi.* 24, 35. 1 *Mac. i.* 57. *Conf. Act. xxii.* 20. [εγω μεν μαρτυρω σοι. *Jos. Ant. vi.* 14. 6.] 4 *Reg. xv.* 3.

49 Δια τουτο και ἡ σοφια του Θεου ειπεν, Αποστελω εις αυ-
τους προφητας και αποστολους, και εξ αυτων αποκτενουσι και
εκδιωξουσιν·

ἡ σοφια του Θεου. *Conf. Prov. i.* 2. *viii.* 1-12. *ix.* 1-8. 1 *Cor. i.* 30. *Col. ii.* 3. *Sap. x.* 9. *Matt. xxiii.* 34. *Joan. xvi.* 2. *Act. vii.* 51. *Heb. xi.* 35. εξ αυτων. *Jos. xxiii.* 14. εκδιωξαι. *Deut. vi.* 19.

50 Ἱνα εκζητηθῃ το αἱμα παντων των προφητων, το εκχυνομενον απο καταβολης κοσμου, απο της γενεας ταυτης,

51 Απο του αἱματος Αβελ ἑως του αἱματος Ζαχαριου, του απολομενου μεταξυ του θυσιαστηριου και του οικου. ναι, λεγω ὑμιν, εκζητηθησεται απο της γενεας ταυτης.

50, 51.] *Conf. Matt. xxiii.* 35. *Heb. xi.* 4. 1 *Joan. iii.* 12. αἱμα αυτου εκ της χειρος σου εκζητησω. *Ezech. iii.* 18-20. *xxxiii.* 8. μεταξυ ὑδατος. *Sap. xvi.* 19. και νυν εκζητησω το αἱμα αυτου. 2 *Reg. iv.* 11. *Gen. iv.* 10. *ix.* 5. *Ps. ix.* 12. και ὡς απεθνησκεν, ειπεν, Ιδοι Κυριος και κρινατω. 2 *Par. xxiv.* 22. ὁ του κοσμου Κτιστης. 2 *Mac. vii.* 23. *Conf.* 2 *Par. xxxvi.* 16. καταβολη. 2 *Mac. ii.* 30. οἱ πατερες ὑμων που εισι, και οἱ προφηται; μη τον αιωνα ζησονται; *Zach. i.* 5. *Esa. lxv.* 7. *Jer. xvi.* 13.

52 Ουαι ὑμιν τοις νομικοις, ὁτι ηρατε την κλειδα της γνωσεως· αυτοι ουκ εισηλθετε, και τους εισερχομενους εκωλυσατε.

και δωσω αυτῳ την κλειδα οικου Δαυιδ. *Esa. xxii.* 22. *Conf. Matt. xxiii.* 13. εκωλυσατε. 1 *Reg. xxv.* 26.

53 Λεγοντος δε αυτου ταυτα προς αυτους, ηρξαντο οἱ Γραμματεις και οἱ Φαρισαιοι δεινως ενεχειν, και αποστοματιζειν αυτον περι πλειονων,

και ενειχον αυτῳ κυριοι τοξευματων. *Gen. xlix.* 23. *Conf. Ps. xxi.* 12, 13. [αποστοματιζειν· απο στοματος λεγειν. *Suid.*]

54 Ενεδρευοντες αυτον, και ζητουντες θηρευσαι τι εκ του στοματος αυτου, ἱνα κατηγορησωσιν αυτου.

ενεδρευει εν αποκρυφῳ ὡς λεων εν τῃ μανδρᾳ. *Ps. ix.* 29. ενεδρευσωμεν δε τον δικαιον, ὁτι δυσχρηστος ἡμιν εστι—και ονειδιζει ἡμιν αμαρτηματα νομου, κ. τ. λ. *Sap. ii.* 12. λαλησαι προς αυτον, ενεδρευων. 2 *Reg. iii.* 27. θηρευοντες εθηρευσαν με ὡς στρουθιον· παντες οἱ εχθροι μου δωρεαν. *Thren. iii.* 52. κατανοει ὁ αμαρτωλος τον δικαιον, και ζητει του θανατωσαι αυτον. *Ps. xxxvi.* 32. *lv.* 5, 6. *Conf. Matt. xii.* 10. *xxii.* 15. *Marc. iii.* 2. *xii.* 13.

ΚΕΦ. ιβ. 12.

ΕΝ οἱς επισυναχθεισων των μυριαδων του οχλου, ὡστε καταπατειν αλληλους, ηρξατο λεγειν προς τους μαθητας αὑτου πρωτον, Προσεχετε ἑαυτοις απο της ζυμης των Φαρισαιων, ἡτις εστιν ὑποκρισις.

εν οἱς, [*sc.* χρονοις] *i. e.* μετα ταυτα. *Vide Schleusner.* εν ταις ἡμεραις εκειναις. *Conf. Matt. iii.* 1. *Marc. xiii.* 24. *Exod. ii.* 23. *Esa. xvi.* 14. ου φοβηθησομαι απο μυριαδων λαου. *Ps. iii.* 6. και επισυναξω παντα τα εθνη επι Ἱερουσαλημ. *Zach. xiv.* 2. ὡς ηρξατο ὁ Θεος ποιησαι—*pro* εποιησε. *Gen. ii.* 3. *Conf. Gen. ix.* 20. 4 *Reg. vii.* 17. προσεχε σεαυτῳ. *Gen. xxiv.* 6. προσεχε απο κακουργου. *Sir. xi.* 33. *Tob. iv.* 12. *Conf. Matt. iii.* 7. *xvi.* 6. *Marc. viii.* 15. δια την εμην ὑποκρισιν. 2 *Mac. vi.* 25. [εξαραι ὁ Θεος τους εν ὑποκρισει ζωντας μετα ὁσιων. *Psalt. Sal. p.* 929.] ζυμη. *Conf. Exod. xii.* 15. *xiii.* 6. *Lev. ii.* 1. μη γινου δικαιος πολυ, μηδε σοφιζου περισσα, ἱνα μη αδημονῃς περισσως. *Eccles. vii.* 17. *Sym.*

2 Ουδεν δε συγκεκαλυμμενον εστιν, ὁ ουκ αποκαλυφθησεται· και κρυπτον, ὁ ου γνωσθησεται·

Conf. Matt. x. 26. *Marc. iv.* 22. *Job. xii.* 22.

3 Ανθ' ὡν ὁσα εν τῃ σκοτιᾳ ειπατε, εν τῳ φωτι ακουσθησεται· και ὁ προς το ους ελαλησατε εν τοις ταμειοις, κηρυχθησεται επι των δωματων.

Conf. Matt. x. 27. ανθ' ὡν. *Deut. viii.* 20. *Gen. xxii.* 18. συγκλεισον ελεημοσυνην εν τοις ταμειοις σου. *Sir. xxix.* 15. ει εὑρον χαριν εναντιον ὑμων, λαλησατε περι εμου εις τα ωτα Φαραω. *Gen. l.* 4. δωσει κριμα αυτου εις φως. *Sophon. iii.* 5. [πασα αληθεια ὑπο του φωτος εστι—τα δε παντα ὑπο ἡμεραν εισι. *Test. XII Patr. p.* 693.]

4 Λεγω δε ὑμιν τοις φιλοις μου, Μη φοβηθητε απο των αποκτεινοντων το σωμα, και μετα ταυτα μη εχοντων περισσοτερον τι ποιησαι.

αναιρουντες ψυχας ανθρωπων. *Sir. xxi.* 2. μη φοβηθῃς απο προσωπου αυτων. *Jer. i.* 8. 1 *Pet. iii.* 14. *Sap. xvi.* 13. μη φοβηθωμεν τον δοκουντα αποκτειναι το σωμα· μεγας γαρ ψυχης κινδυνος εν αιωνιῳ βασανισμῳ κειμενος τοις παραβαινουσι την εντολην του Θεου. 4 *Mac.* 13. και τας ψυχας—μη νομισῃς ἡμας βλαπτειν βασανιζων. *Conf. Matt. x.* 28. η φιλος ισος τῃ ψυχῃ σου. *Deut. xiii.* 6.

5 Ὑποδειξω δε ὑμιν τινα φοβηθητε· φοβηθητε τον μετα το αποκτειναι εξουσιαν εχοντα εμβαλειν εις την γεενναν· ναι, λεγω ὑμιν, τουτον φοβηθητε.

ενεβαλοσαν αυτον εις οικιαν της φυλακης. *Jer. xliv.* 21. *Conf. Gen. xxxvii.* 22. *Dan. iii.* 21, 24. *LXX. Conf. Matt. v.* 29, 30. *Marc. ix.* 47. εν χειρι αυτου ψυχη παντων ζωντων, και πνευμα παντος ανθρωπου. *Job. xii.* 10.

6 Ουχι πεντε στρουθια πωλειται ασσαριων δυο; και ἑν εξ αυτων ουκ εστιν επιλελησμενον ενωπιον του Θεου·

Conf. Matt. x. 29. μηποτ᾽ επιλαθῃ ενωπιον αυτων. *Sir. xxiii.* 14. *Conf. Ps. xxxv.* 6. ουκ εις τελος επιλησθησεται ὁ πτωχος. *Ps. ix.* 18. *Sap. ii.* 4. εγνωκα παντα τα πετεινα του ουρανου, κ. τ. λ. *Ps. xlix.* 11.

7 Αλλα και αἱ τριχες της κεφαλης ὑμων πασαι ηριθμηνται. μη ουν φοβεισθε· πολλων στρουθιων διαφερετε.

Conf. Matt. x. 30, 31. 1 *Reg. xiv.* 45. 2 *Reg. xiv.* 11. 3 *Reg. i.* 52. *Act. xxvii.* 34.

8 Λεγω δε ὑμιν, Πας ὁς αν ὁμολογησῃ εν εμοι εμπροσθεν των ανθρωπων, και ὁ υἱος του ανθρωπου ὁμολογησει εν αυτῳ εμπροσθεν των αγγελων του Θεου·

Conf. Matt. x. 32. *Marc. viii.* 38. μη αισχυνθῃς ὁμολογησαι εφ᾽ ἁμαρτιαις σου. *Sir. iv.* 26. ιδου ὡμολογησα τῳ ονοματι μου τῳ μεγαλῳ. *Jer. li.* 26. *Conf.* 2 *Tim. ii.* 12. 1 *Joan. ii.* 23.

9 Ὁ δε αρνησαμενος με ενωπιον των ανθρωπων, απαρνηθησεται ενωπιον των αγγελων του Θεου.

Conf. Matt. x. 33. Μιχαηλ ὁ αγγελος. *Dan. x.* 21. *xii.* 1. *LXX.*

10 Και πας ὁς ερει λογον εις τον υἱον του ανθρωπου, αφεθησεται αυτῳ· τῳ δε εις το ἁγιον Πνευμα βλασφημησαντι ουκ αφεθησεται.

Conf. Matt. xii. 32. *Marc. iii.* 28, 29. *Heb. vi.* 4. *Gen. iv.* 13.

11 Ὁταν δε προσφερωσιν ὑμας επι τας συναγωγας και τας αρχας και τας εξουσιας, μη μεριμνατε πως η τι απολογησησθε, η τι ειπητε·

εν χειρι Κυριου εξουσια της γης. *Sir. x.* 4. *Marc. xiii.* 11.

12 Το γαρ ἁγιον Πνευμα διδαξει ὑμας εν αυτῃ τῃ ὡρᾳ, ἁ δει ειπειν.

Conf. Matt. x. 19. *Heb. x.* 26. *Jer. i.* 6. βουλην δε σου τις εγνω, ει μη συ εδωκας σοφιαν, και επεμψας το ἁγιον σου πνευμα απο ὑψιστων; *Sap. ix.* 17. πνευμα εστιν εν βροτοις· πνοη δε παντοκρατος εστιν ἡ διδασκουσα. *Job. xxxi.* 8. εγω συμβιβασω σε ὁ μελλεις λαλησαι. *Exod. iv.* 11, 12.

13 Ειπε δε τις αυτῳ εκ του οχλου, Διδασκαλε, ειπε τῳ αδελφῳ μου μερισασθαι μετ᾽ εμου την κληρονομιαν.

ουσοι οἱ λογοι οὑς ειπε Κυριος ποιησαι αυτους. *Exod. xxxv.* 1. μεριεις την κληρονομιαν αυτων. *Num. xxvi.* 56.

14 Ὁ δε ειπεν αυτῳ, Ανθρωπε, τις με κατεστησε δικαστην η μεριστην εφ᾽ ὑμας;

τις σε κατεστησεν αρχοντα και δικαστην εφ᾽ ἡμας; *Exod. ii.* 14. *Ald. Comp.* *Esa. iii.* 2. *Heb. v.* 1. *Joan. vi.* 15. *viii.* 11.

15 Ειπε δε προς αυτους, Ὁρατε και φυλασσεσθε απο της πλεονεξιας· ὁτι ουκ εν τῳ περισσευειν τινι ἡ ζωη αυτου εστιν εκ των ὑπαρχοντων αὑτου.

ὁρατε και τα σαββατα μου φυλαξεσθε. *Exod. xxxi.* 12. *και φυλαξε απ᾽ αυτου.* *Sir. xii.* 11. *και φυλαξῃ απο παντος ῥηματος πονηρου.* *Deut. xxiii.* 9. [*φυλαξητε ἑαυτους απο του πνευματος του ψευδους.* *Test. XII Patr. p.* 648.] *Conf.* 1 *Tim. vi.* 7. *Exod. xx.* 17. *Prov. xxviii.* 6. *κλινον την καρδιαν μου εις τα μαρτυρια σου, και μη εις πλεονεξιαν.* *Ps. cxviii.* 36. *Jer. xxii.* 17. *κρεισσον ολιγον τῳ δικαιῳ, ὑπερ πλουτον ἁμαρτωλων πολυν.* *Ps. xxxvi.* 16. *παν ὁ εαν περισσευσῃ σοι, κ. τ. λ.* *Tob. iv.* 16.

16 Ειπε δε παραβολην προς αυτους, λεγων, Ανθρωπου τινος πλουσιου ευφορησεν ἡ χωρα·

ἡ χωρα, (ager.) *Aq.* *εν αγρῳ.* *Sym.* *Gen. xxiv.* 63. *τα ζωα της χωρας.* *Exod. xxiii.* 11. *Aq.* *εν μεσημβριᾳ αυτου (ἡλιου.) αναξηραινει χωραν.* *Sir. xliii.* 3. [*ουσης δε της Γαλιλαιας ελαιοφορου, μαλιστα και τοτε ευφορηκυιας.* *Jos. Bell. Jud. ii.* 21.] *Conf. Gen. xxvi.* 12-14.

17 Και διελογιζετο εν ἑαυτῳ, λεγων, Τι ποιησω, ὁτι ουκ εχω που συναξω τους καρπους μου;

ἑως ποτε ὑπαρχουσιν εν σοι διαλογισμοι πονων; *Jer. iv.* 14. *ἑξ ετη σπερεις—και συναξεις τον καρπον αυτης.* *Lev. xxv.* 3. *Κυριος γινωσκει τους διαλογισμους των ανθρωπων, ὁτι εισι ματαιοι.* *Ps. xciii.* 11. *Conf. Eccles. xi.* 2-4.

18 Και ειπε, Τουτο ποιησω· καθελω μου τας αποθηκας, και μειζονας οικοδομησω, και συναξω εκει παντα τα γεννηματα μου και τα αγαθα μου,

ενεπλησας τους θησαυρους σου και τας αποθηκας σου. *Ezech. xxviii.* 13. *το καθελεις και θυσιαστηριον.* *Jud. vi.* 25. *γεννημα του αγρου σου.* *Deut. xiv.* 22. *και ελαβεν—και απο παντων των αγαθων.* *Gen. xxiv.* 10. *xlv.* 18. 20. 23. *Conf. Dan. iv.* 27, 28. [*αφθονιαν παντοιων αγαθων ανα παν ετος.* *Philo. Vit. Mos. lib. i.* 603.] *και χρυσιου ενεπλησας τους θησαυρους σου και τας αποθηκας σου εν σοι.* *Ezech. xxviii.* 13. *Conf. Ps. xvi.* 14. *Matt. iii.* 12. *Deut. xxii.* 9. *xxvi.* 10. *Gen. xlvii.* 24.

19 Και ερω τῃ ψυχῃ μου, Ψυχη, εχεις πολλα αγαθα κειμενα
εις ετη πολλα· αναπαυου, φαγε, πιε, ευφραινου.

εν τῳ ειπειν αυτον, Εὑρον αναπαυσιν, και νυν φαγωμαι εκ των αγαθων μου, και ουκ οιδε τις καιρος παρελευσεται, και καταλειψει αυτα ἑτεροις. *Sir. xi.* 19. ἡ ψυχη ὑμων μελετησει φοβον. *Esa. xxxiii.* 18. φαγε, πιε, και ἡδεως γινου. *Tob. vii.* 9. οἱ ειπαν τῃ ψυχῃ σου. *Esa. li.* 13. ὁπου ἡ γαζα κειται εν Βαβυλωνι. *Esd. vi.* 1. τα γαρ παντα αγαθα Αιγυπτου ὑμων εσται. *Gen. xlv.* 20. μη επεχε επι τοις χρημασι σου, και μη ειπῃς, Αυταρκη μοι εστι, κ. τ. λ. *Sir. v.* 1, 2. *xi.* 23, 24. *Conf.* 1 *Cor. xv.* 32. *Jac. v.* 5. αναπαυου. *Dan. xii.* 13. *Thren. v.* 5.

20 Ειπε δε αυτῳ ὁ Θεος, Αφρων, ταυτῃ τῃ νυκτι την ψυχην
σου απαιτουσιν απο σου· ἁ δε ἡτοιμασας, τινι εσται;

σημερον δανιει και αυριον απαιτησει. *Sir. xx.* 15. *Prov. i.* 26. *Jac. iv.* 14. *Job. xx.* 22. *Ps. li.* 7. ευφραινου νεανισκε εν νεοτητι σου. *Eccles. xi.* 9. *v.* 1. μη καυχω τα εις αυριον, ου γαρ γινωσκεις τι τεξεται ἡ επιουσα. *Prov. xxvii.* 1. το της ψυχης απαιτηθεις χρεος [*naturæ debitum reddere coactus.*] *Sap. xv.* 8. και επ᾽ εσχατων αυτου εσται αφρων. *Jer. xvii.* 11.

21 Οὑτως ὁ θησαυριζων ἑαυτῳ, και μη εις Θεον πλουτων.

θησαυριζει, και ου γινωσκει τινι συναξει αυτα. *Ps. xxxviii.* 6. *Conf. Matt. vi.* 20. 1 *Tim. vi.* 18. εισιν οἱ πλουτιζοντες ἑαυτους μηδεν εχοντες, και εισιν οἱ ταπεινουντες ἑαυτους εν πολλῳ πλουτῳ. *Prov. xiii.* 7. εισιν οἱ τα ιδια σπειροντες πλειονα ποιουσιν· εισι δε και οἱ συναγοντες ελαττουνται. *xii.* 24. εστι κοπιων και πονων και σπευδων, και τοσῳ μαλλον ὑστερειται. *Sir. xi.* 11. *Conf. Est. v.* 11. *Job. xxvii.* 16. *Dan. v.* 27, 28.

22 Ειπε δε προς τους μαθητας αὑτου, Δια τουτο ὑμιν λεγω,
Μη μεριμνατε τῃ ψυχῃ ὑμων, τι φαγητε· μηδε τῳ σωματι,
τι ενδυσησθε.

επιρριψον επι Κυριον την μεριμναν σου. *Ps. liv.* 22. εν παντι μεριμνωντι ενεστι περισσον. *Prov. xiv.* 23. *Conf. Matt. vi.* 25. 1 *Pet. v.* 7. 1 *Tim. vi.* 8. *Phil. iv.* 6. *Sir. xxxiv.* 1.

23 Ἡ ψυχη πλειον εστι της τροφης, και το σωμα του ενδυ-
ματος.

πλειον (πραγμα) *Ita*, αβασιλευτον εστιν ἡ ακρις. *Prov. xxx.* 27. λυτρον ανδρος ψυχης ὁ ιδιος πλουτος, κ. τ. λ. *xiii.* 8. δερμα ὑπερ δερματος, ὁσα ὑπαρχει ανθρωπῳ ὑπερ της ψυχης αυτου εκτισει. *Job. ii.* 4. *Conf. Gen. xix.* 17. *Act. xxvii.* 18.

24 Κατανοησατε τους κορακας, ὁτι ου σπειρουσιν, ουδε θεριζουσιν· οἱς ουκ εστι ταμειον ουδε αποθηκη, και ὁ Θεος τρεφει αυτους· ποσῳ μαλλον ὑμεις διαφερετε των πετεινων;

ισθι προς τον μυρμηκα—και ζηλωσον ιδων τας ὁδους αυτου. Prov. vi. 6. *κατανοησατε. Esa. v.* 12. *Matt. vi.* 26. *τις δε ἡτοιμασε κορακι βοραν; Job. xxxviii.* 41. *διδοντι—τροφην—τοις νεοσσοις των κορακων. Ps. cxlvi.* 9. *αποστειλαι* Κυριος *επι σε την ευλογιαν εν τοις ταμειοις σου. Deut. xxviii.* 8. *εν ταις αποθηκαις. Aq.*

25 Τις δε εξ ὑμων μεριμνων δυναται προσθειναι επι την ἡλικιαν αὑτου πηχυν ἑνα;

Conf. Matt. vi. 27. *v.* 36. *Ps. xxxviii.* 5. *Sym. Esa. xxxviii.* 12.

26 Ει ουν ουτε ελαχιστον δυνασθε, τι περι των λοιπων μεριμνατε;

Conf. Matt. vi. 27. *τεσσαρα δε ελαχιστα επι της γης. Prov. xxx.* 24.

27 Κατανοησατε τα κρινα, πως αυξανει· ου κοπιᾳ, ουδε νηθει· λεγω δε ὑμιν, Ουδε Σολομων εν πασῃ τῃ δοξῃ αὑτου περιεβαλετο ὡς ἑν τουτων.

Conf. Matt. vi. 28, 29. *Jac. i.* 10, 11. *Est. v.* 2.

28 Ει δε τον χορτον εν τῳ αγρῳ σημερον οντα, και αυριον εις κλιβανον βαλλομενον, ὁ Θεος οὑτως αμφιεννυσι, ποσῳ μαλλον ὑμας, ολιγοπιστοι;

Conf. Matt. vi. 30. *Esa. xl.* 6. *Ps. xx.* 9. *cxlvi.* 8. *Gen. xv.* 17.

29 Και ὑμεις μη ζητειτε τι φαγητε, η τι πιητε· και μη μετεωριζεσθε.

Conf. Matt. vi. 31. *μη ματην μετεωριζου.* 2 *Mac. vii.* 34. *v.* 17, 21. [*γνωθι δε σαυτον—μηδε σε των ανεφικτων ερως αιρετω και μετεωριζετω. Philo de Monarch.* 817.]

30 Ταυτα γαρ παντα τα εθνη του κοσμου επιζητει· ὑμων δε ὁ πατηρ οιδεν ὁτι χρῄζετε τουτων.

Conf. Matt. vi. 32. *xviii.* 14. *Joan. xx.* 17.

31 Πλην ζητειτε την βασιλειαν του Θεου, και ταυτα παντα προστεθησεται ὑμιν.

Conf. Matt. vi. 33. *Ps. xxxvi.* 25. 1 *Tim. iv.* 8. *φοβηθητε τον* Κυ*ριον παντες οἱ ἁγιοι αυτου, ὁτι ουκ εστιν ὑστερημα τοις φοβουμενοις αυτον. Ps. xxxiii.* 9. *πλην. Num. xxii.* 35. *Jud. iv.* 9.

32 Μη φοβου, το μικρον ποιμνιον· ὁτι ευδοκησεν ὁ πατηρ ὑμων δουναι ὑμιν την βασιλειαν.

εδωκας αυτοις βασιλειας. Neh. ix. 22. *ὑμεις προβατα μου και*

προβατα ποιμνιου μου εστε. Ezech. xxxiv. 31. Alex. Ald. Comp. ευδοκησον, Κυριε, του ῥυσασθαι με. Ps. xxxix. 13. ὁτι ευδοκησας εν αυτοις. xliii. 3. Κυριος ποιμαινει με, και ουδεν με ὑστερησει. xxii. 1. [ποιμαινων το ποιμνιον Κυριου εν πιστει και δικαιοσυνῃ. Psalt. Sal. xvii. 45.] μη φοβου Ιακωβ, ολιγιστος Ισραηλ, εγω εβοηθησα σοι. Esa. xli. 14. μη φοβου, ὁτι ελυτρωσαμην σε, εκαλεσα το ονομα σου· εμος ει συ. xliii. 1. Jer. i. 7, 8. Conf. Matt. xi. 25, 26. που εστι το ποιμνιον ὁ εδοθη σοι, προβατα δοξης σου; Jer. xiii. 20. δικαιοι δε εις τον αιωνα ζωσι, και εν Κυριῳ ὁ μισθος αυτων, και ἡ φροντις αυτων παρα Ὑψιστῳ. Δια τουτο ληψονται το βασιλειον της ευπρεπειας, και το διαδημα κ. τ. λ. Sap. v. 15.

33 Πωλησατε τα ὑπαρχοντα ὑμων, και δοτε ελεημοσυνην. ποιησατε ἑαυτοις βαλαντια μη παλαιουμενα, θησαυρον ανεκλειπτον, εν τοις ουρανοις, ὁπου κλεπτης ουκ εγγιζει, ουδε σης διαφθειρει.

και παντα τα ὑπαρχοντα αυτου δους. Prov. vi. 31. εσφραγισας —τας ανομιας εν βαλαντιῳ. Job. xiv. 17. ανεκλιπης γαρ θησαυρος εστι. Sap. vii. 14. ουκ επαλαιωθη τα ἱματια ὑμων. Deut. xxix. 5. οὑτοι εισι θησαυροι δικαιοσυνης. Esa. xxxiii. 6. πλουτος ανεκλιπης. Sap. viii. 18. Conf. Matt. vi. 19, 20. σης δε οστεων καρδια αισθητικη. Prov. xiv. 30. ποιων πλουτον αυτου. Jer. xvii. 11. Gen. xxxi. 1. Conf. Matt. xix. 21. Act. ii. 45. Luc. xvi. 10. 1 Tim. vi. 19. [ὁ ποιων δικαιοσυνην θησαυριζει ζωην ἑαυτῳ παρα Κυριῳ, και ὁ ποιων αδικα αυτος αιτιος της ψυχης εν απωλειᾳ. Test. XII Patr. p. 945.]

34 Ὁπου γαρ εστιν ὁ θησαυρος ὑμων, εκει και ἡ καρδια ὑμων εσται.

Conf. Matt. vi. 21. Prov. xxxiii. 20.

35 Εστωσαν ὑμων αἱ οσφυες περιεζωσμεναι, και οἱ λυχνοι καιομενοι·

Ιωναθαν και οἱ παρ' αυτου ουκ εγνωσαν ἑως πρωϊ, εβλεπον γαρ τα φωτα καιομενα. 1 Mac. xii. 19. ουδε λυσουσι τας ζωνας αυτων απο της οσφυος. Esa. v. 27. xi. 5. γυμναι γενεσθε, περιζωσασθε τας οσφυας. xxxii. 11. και ασθενουντες περιεζωσαντο δυναμιν. 1 Reg. ii. 4. οἱ οσφυες ὑμων περιεζωσμεναι. Exod. xii. 11. Conf. Ephes. vi. 14. 1 Pet. i. 13.

36 Και ὑμεις ὁμοιοι ανθρωποις προσδεχομενοις τον κυριον ἑαυτων, ποτε αναλυσει εκ των γαμων, ἱνα, ελθοντος και κρουσαντος, ευθεως ανοιξωσιν αυτῳ.

και μετα χαρας αναλυοντες. 2 Mac. xv. 28. Sap. ii. 1. Tob. ii. 9.

και εφαγοσαν, και επιοσαν, και εμπλησθεντες ανελυσαν. 1 *Esd. iii.* 3. αγειν ὁλον αγαθας ἡμερας γαμων. *Est. ix.* 22. προσδεχομενοι την ελπιδα της σωτηριας ἱματιον σωτηριου. *Esa. lxi.* 10. ανθρωποις, *servis. Ita,* 2 *Par. xxiv.* 6. *Elsner. in loc. Conf. Cant. v.* 2. *Apoc. iii.* 20. οἱ δε ὑπομενοντες τον Θεον, αλλαξουσιν ισχυν, πτεροφυησουσιν ὡς αετοι, δραμουνται και ου κοπιασουσι, βαδιουνται και ου πεινασουσι. *Esa. xl.* 31. μακαριος ὁ ὑπομενων, και αναστηση εις τον κληρον σου εις συντελειαν ἡμερων. *Dan. xii.* 12, 13.

37 Μακαριοι οἱ δουλοι εκεινοι, οὑς ελθων ὁ κυριος εὑρησει γρηγορουντας. αμην λεγω ὑμιν, Ὁτι περιζωσεται και ανακλινει αυτους, και παρελθων διακονησει αυτοις.

ἁγιασθητε και ευφρανθητε (ανακλιθητε. *Comp.*) μετ᾽ εμου σημερον. 1 *Reg. xvi.* 5. *Conf. Matt. xxiv.* 46. *Sophon. iii.* 17. *Esa. lxii.* 5.

38 Και εαν ελθῃ εν τῃ δευτερᾳ φυλακῃ, και εν τῃ τριτῃ φυλακῃ ελθῃ, και εὑρῃ οὑτω, μακαριοι εισιν οἱ δουλοι εκεινοι.

εν τῃ φυλακῃ ἑωθινῃ. *Exod. xiv.* 20. *Conf. Matt. xxiv.* 42. ηλπισεν ἡ ψυχη μου επι τον Κυριον απο φυλακης πρωϊας μεχρι νυκτος. *Ps. cxxix.* 6. ὑπομενω ἑως παλιν γενωμαι. *Job. xiv.* 14.

39 Τουτο δε γινωσκετε, ὁτι ει ῃδει ὁ οικοδεσποτης ποιᾳ ὡρᾳ ὁ κλεπτης ερχεται, εγρηγορησεν αν, και ουκ αν αφηκε διορυγηναι τον οικον αὑτου.

επεταξε—τοις παρ᾽ αυτου γρηγορειν. 1 *Mac. xii.* 27. *Conf. Matt. xxiv.* 43. 1 *Thess. v.* 2. 2 *Pet. iii.* 10. *Apoc. iii.* 3.

40 Και ὑμεις ουν γινεσθε ἑτοιμοι· ὁτι ῃ ὡρᾳ ου δοκειτε, ὁ υἱος του ανθρωπου ερχεται.

γινεσθε ἑτοιμοι. *Exod. xix.* 15. *Matt. xxiv.* 44. *xxv.* 13. *Marc. xiii.* 33. 1 *Thess. v.* 6. *Tob. v.* 20. 2 *Pet. iii.* 12.

41 Ειπε δε αυτῳ ὁ Πετρος, Κυριε, προς ἡμας την παραβολην ταυτην λεγεις, η και προς παντας;

42 Ειπε δε ὁ Κυριος, Τις αρα εστιν ὁ πιστος οικονομος και φρονιμος, ὁν καταστησει ὁ κυριος επι της θεραπειας αὑτου, του διδοναι εν καιρῳ το σιτομετριον;

και επεταξε τοις οικονομοις του ποιησαι το θελημα αυτου. *Est. i.* 8.

43 Μακαριος ὁ δουλος εκεινος, ὁν ελθων ὁ κυριος αυτου εὑρησει ποιουντα οὑτως.

και αναστησω αυτοις ποιμενας, οἱ ποιμανουσιν αυτους. *Jer. xxiii.* 4. *Conf. Matt. xxiv.* 45, 46. και εσιτομετρει Ιωσηφ τῳ πατρι αυτου —σιτον. *Gen. xlvii.* 12. *Conf. Matt. xxiv.* 45. *xxv.* 21. 1 *Cor. iv.* 2.

και κατεστησεν αυτον επι του οικου αυτου. *Gen. xxxix.* 4. *Ps. lxxvii.* 70-72. *civ.* 21.

44 Αληθως λεγω ὑμιν, Ὁτι επι πασι τοις ὑπαρχουσιν αὑτου καταστησει αυτον.

Conf. Matt. xxiv. 47. αληθως. *Jer. xxxv.* 6. επι τεκνοις. *Sir. iii.* 2.

45 Εαν δε ειπῃ ὁ δουλος εκεινος εν τῃ καρδιᾳ αὑτου, Χρονιζει ὁ κυριος μου ερχεσθαι· και αρξηται τυπτειν τους παιδας και τας παιδισκας, εσθιειν τε και πινειν και μεθυσκεσθαι,

46 Ἡξει ὁ κυριος του δουλου εκεινου εν ἡμερᾳ ᾗ ου προσδοκᾳ, και εν ὡρᾳ ᾗ ου γινωσκει, και διχοτομησει αυτον, και το μερος αυτου μετα των απιστων θησει.

Conf. Matt. xxiv. 48-51. παιδες και παιδισκαι. *Gen. xii.* 16. τε— και. *Sap. vii.* 16. *Conf. Num. xv.* 30. *Ezech. xxxiv.* 3. *Ps. x.* 7. ειπε γαρ εν τῃ καρδιᾳ αυτου, Επιλελησται ὁ Θεος, απεστρεψε το προσωπον αυτου του μη βλεπειν εις τελος. *Ps. ix.* 11.

47 Εκεινος δε ὁ δουλος ὁ γνους το θελημα του κυριου ἑαυτου, και μη ἑτοιμασας, μηδε ποιησας προς το θελημα αυτου, δαρησεται πολλας·

εγνωρισε—τοις υἱοις Ισραηλ τα θεληματα αυτου. *Ps. cii.* 7. λειτουργοι αυτου ποιουντες το θελημα αυτου. *cii.* 21. *Alex. Ald. Comp.* και ψυχη ἡτις ποιησῃ εν χειρι ὑπερηφανιας, κ. τ. λ. *Num. xv.* 30. και εποιησε κατα το θελημα αυτου. *Dan. viii.* 4. *xi.* 3, 16. δαρησεται. *Prov. x.* 8. *Aq.* βασανισθησεται. *Sym. Conf. Marc. xiii.* 9.

48 Ὁ δε μη γνους, ποιησας δε αξια πληγων, δαρησεται ολιγας. παντι δε ᾧ εδοθη πολυ, πολυ ζητηθησεται παρ᾽ αυτου· και ᾧ παρεθεντο πολυ, περισσοτερον αιτησουσιν αυτον.

και εσται, εαν αξιος ῃ πληγων ὁ ασεβων—μαστιγωσουσιν αυτον —κατα την ασεβειαν αυτου. *Deut. xxv.* 2. *Lev. v.* 15. ᾧ εαν δοξῃ, δοθησεται αυτην. *Dan. iv.* 14, 22. *Ald.* και εξουσια εδοθη αυτῃ. *vii.* 6. περι του αργυριου, οὑ παρεθετο. *Tob. iv.* 1. *Sap. vi.* 7. δεκα ταλαντα ἁ παρεθημην Γαβαηλῳ. *Tob. i.* 14. *iv.* 20. και ἡ ψυχη ἡ αν ἁμαρτῃ και ποιησει μιαν απο πασων των εντολων Κυριου, κ. τ. λ. *Lev. v.* 17. *Conf. Gen. xxxix.* 8. *Ps. liv.* 12. *Heb. x.* 29.

49 Πυρ ηλθον βαλειν εις την γην, και τι θελω ει ηδη ανηφθη;

ει ηδη—και ει ειχον μαχαιραν εν τῃ χειρι μου, ηδη αν εξεκεντησα σε. *Num. xxii.* 29. *Alex. O. Ald. Comp. Jos. vii.* 7. *Esa. xliii.* 2. και ανηψεν εν Ιακωβ ὡς πυρ φλογα. *Thren. ii.* 3. *Ps. lxv.* 12. *Matt. x.* 34. αυτος εισπορευεται ὡς πυρ χωνευτηριου, και ὡς ποια πλυνοντων. *Mal. iii.* 2. τι [*i. e.* πως]. *Cant. vii.* 6. ει [*ut*]. 1 *Reg. xxiv.* 7. *Kuinoel.*

50 Βαπτισμα δε εχω βαπτισθηναι, και πως συνεχομαι ἑως οὑ τελεσθῃ;

πικριαν ψυχης μου συνεχομενος. *Job. vii.* 11. ἑως αν τελεσωσιν ὁλον τον αμητον. *Ruth. ii.* 21. ἑως οὑ. *Gen. xxvi.* 13. *Deut. ix.* 21. συνεχομαι. *Conf.* 2 *Cor. v.* 14. *Matt. xx.* 22. *Marc. x.* 38. *Sap. v.* 5. ἡ ανομια με βαπτιζει. *Esa. xxi.* 4. [οἱ δε ὑστερον εβαπτισαν (*obruerunt*) την πολιν. *Jos. Bell. Jud. iv.* 3. 3.]

51 Δοκειτε ὁτι ειρηνην παρεγενομην δουναι εν τῃ γῃ; ουχι, λεγω ὑμιν, αλλ' η διαμερισμον.

και δωσω ειρηνην εν τῃ γῃ ὑμων. *Lev. xxvi.* 6. διαμεριω αυτους εν Ιακωβ, και διασπερω. *Gen. xlix.* 7. *Ezech. xlviii.* 29. *Ps. liv.* 23. *Mich. vii.* 2-6. *Conf. Matt. x.* 34. αλλ' η (*quin potius*) *Ita, Sir. xliv.* 10. *xxxvii.* 12. *Num. xiii.* 29. *xxiii.* 13. και ληψομαι εμαυτῳ δυο ῥαβδους, την μεν μιαν εκαλεσα Καλλος, και την ἑτεραν εκαλεσα Σχοινισμα, κ. τ. λ. *Zach. xi.* 7-14. *Conf. Jud. v.* 16.

52 Εσονται γαρ απο του νυν πεντε εν οικῳ ἑνι διαμεμερισμενοι, τρεις επι δυσι, και δυο επι τρισι.

απο του νυν και ἑως του αιωνος. *Ps. cxii.* 2. *cxiv.* 18. απηλλοτριωμενος εγενηθην τοις αδελφοις μου, και ξενος τοις υἱοις της μητρος μου. *Ps. lxviii.* 8. *Deut. xxxiii.* 9.

53 Διαμερισθησεται πατηρ εφ' υἱῳ, και υἱος επι πατρι· μητηρ επι θυγατρι, και θυγατηρ επι μητρι· πενθερα επι την νυμφην αὑτης, και νυμφη επι την πενθεραν αὑτης.

Conf. Matt. x. 35. *Zach. xiii.* 2-6. *Gen. xxvi.* 35.

54 Ελεγε δε και τοις οχλοις, Ὁταν ιδητε την νεφελην ανατελλουσαν απο δυσμων, ευθεως λεγετε, Ομβρος ερχεται· και γινεται οὑτω.

απο δυσμων. *Esa. xlv.* 6. *ix.* 12. ιδου νεφελη μικρα ὡς ιχνος ανδρος. 3 *Reg. xviii.* 44. ὡσει ομβρος επ' αγρωστιν. *Deut. xxxii.* 2. και εγενετο οὑτως. *Gen. i.* 6. *Matt. xvi.* 2. *Prov. xxv.* 24. *Aq.*

55 Και ὁταν νοτον πνεοντα, λεγετε, Ὁτι καυσων εσται· και γινεται.

εν θεληματι πνευσεται νοτος. *Sir. xliii.* 16. *Ezech. xxvii.* 26. ουδε παταξει αυτους ὁ καυσων. *Esa. xlix.* 10. σκεπη απο καυσωνος. *Sir. xxxi.* 16. *Jer. xxviii.* 1. απο νοτου. *Job. xxxvii.* 17. *Ald. Comp.*

56 Ὑποκριται, το προσωπον της γης και του ουρανου οιδατε δοκιμαζειν· τον δε καιρον τουτον πως ου δοκιμαζετε;

παν το προσωπον της γης. *Gen. ii.* 6. *Conf. Matt. xvi.* 3. *Joan. iv.*

35. *γινωσκοντες συνεσιν εις τους καιρους, γινωσκοντες τι ποιησαι* Ισραηλ. 1 *Par. xii.* 32. *εγκαινισον σημεια, κ. τ. λ.* *Sir. xxxiii.* 6.

57 Τι *δε και αφ᾽ ἑαυτων ου κρινετε το δικαιον;*

ὁτι ουκ εισιν ὡς ὁ Θεος *ἡμων οἱ θεοι αυτων· οἱ δε εχθροι ἡμων ανοητοι.* *Deut. xxxii.* 31.

58 Ὡς *γαρ ὑπαγεις μετα του αντιδικου σου επ᾽ αρχοντα, εν τῃ ὁδῳ δος εργασιαν απηλλαχθαι απ᾽ αυτου· μηποτε κατασυρῃ σε προς τον κριτην, και ὁ κριτης σε παραδῳ τῳ πρακτορι, και ὁ πρακτωρ σε βαλλῃ εις φυλακην.*

59 Λεγω *σοι,* Ου *μη εξελθῃς εκειθεν, ἑως οὑ και το εσχατον λεπτον αποδῳς.*

ὑπερ ταυτης προσευξεται προς σε πας ὁσιος εν καιρῳ ευθετῳ· πλην εν κατακλυσμῳ ὑδατων πολλων προς αυτον ουκ εγγιουσι. *Ps. xxxi.* 6. *Conf. Matt. v.* 25. *Prov. xxv.* 8, 9. *ποιουντες εργασιαν.* *Ps. cvi.* 23. 2 *Par. iv.* 11. [*διδοναι εργασιαν· operam dare. Jos. Ant. iii.* 1. 7.] *οἱ αντιδικοι σου.* *Esa. xli.* 11. *απαλλαξαι αυτην απο προσωπου μου.* *Jer. xxxix.* 31. *Exod. xix.* 22. *και ενεβαλοσαν αυτον εις οικιαν της φυλακης.* *Jer. xliv.* 21. *πρακτορες.* *Esa. iii.* 12. *εαν εγγυησῃ σον φιλον, παραδωσεις την χειρα εχθρῳ—ισθι μη εκλυομενος, παροξυνε δε και τον φιλον σου ὁν ενεγγυησω.* *Prov. vi.* 1-3. *Conf. Sir. xi.* 12. [*δια μεσης κατεσυρον αγορας.* *Philo. p.* 1010.] [*εμοι μεν απαλλαττεσθαι καιρος ηδη της εν σωματι ζωης.* *Philo. de Charit. p.* 699.] [*κοδραντης· δυο λεπτα.* *Hesych. Conf. Matt. v.* 26. *Fisch. Prolus. p.* 448-450.]

ΚΕΦ. *ιγ.* 13.

ΠΑΡΗΣΑΝ *δε τινες εν αυτῳ τῳ καιρῳ απαγγελλοντες αυτῳ περι των* Γαλιλαιων, *ὡν το αἱμα* Πιλατος *εμιξε μετα των θυσιων αυτων.*

ὁτι παρησαν οἱ αρχοντες. 1 *Mac. xi.* 63. *εν αυτῳ τῳ καιρῳ.* *Esd. v.* 3. *Dan. iv.* 33. *και θυσει επι σε τους ἱερεις των ὑψηλων κ. τ. λ.* 3 *Reg. xiii.* 2. *Conf. Ezech. ix.* 5-7. *και το πομα μου μετα κλαυθμου εκιρνων.* *Ps. ci.* 9. *ὡν το αἱμα.* *Conf. Dan. ii.* 11. 4 *Reg. xxiii.* 16. *Deut. xii.* 27. [*αἱματι γαρ ανδροφονων αἱμα θυσιων ανακραθησεται.* *Philo. de Leg.* 791. *Conf. Krebs. et Loesner.*]

2 Και *αποκριθεις ὁ* Ιησους *ειπεν αυτοις,* Δοκειτε, *ὁτι οἱ* Γα-

λιλαιοι οὑτοι ἁμαρτωλοι παρα παντας τους Γαλιλαιους εγενοντο, ὁτι τοιαυτα πεπονθασιν;

και ὁ Κυριος ἡμων παρα παντας τους θεους. *Ps. cxxxiv.* 5. οιδα σε παρα παντας. *Exod. xxxiii.* 12, 17. ἡμεις γαρ δια τας ἑαυτων ἁμαρτιας πασχομεν. 2 *Mac. vii.* 32. [ανδροφονοι ανιατα δρωσιν, επει και ανδροφονηθεντες ανιατα πεπονθασι. *Philo. de Leg.* 790.]

3 Ουχι, λεγω ὑμιν· αλλ᾽ εαν μη μετανοητε, παντες ὡσαυτως απολεισθε.

ὁ ακαθαρτος—και ὁ καθαρος ὡσαυτως. *Deut. xii.* 22. εαν μη. 2 *Reg. iii.* 13. εαν μη επιστρεψωσι, και εξαρω το εθνος εκεινο εξαρσει και απωλεια. *Jer. xii.* 17. εαν μη επιστραφητε, την ῥομφαιαν αυτου στιλβωσει, το τοξον αυτου ενετεινε, και ἡτοιμασεν αυτο. *Ps. vii.* 12. *Job. iv.* 7. ὡσαυτως. *Jud. viii.* 8. *Deut. xii.* 22.

4 Η εκεινοι οἱ δεκα και οκτω, εφ᾽ οὑς επεσεν ὁ πυργος εν τῳ Σιλωαμ, και απεκτεινεν αυτους, δοκειτε ὁτι οὑτοι οφειλεται εγενοντο παρα παντας ανθρωπους τους κατοικουντας εν Ἱερουσαλημ;

Conf. 3 *Reg. xxi.* 30. *Job. i.* 19. *Joan. ix.* 7. [οφειλετης ἁμαρτιας μεγαλης. *Lib. Henoch. p.* 180. *Conf. Jos. Bell. Jud. v.* 4. 2. *vi.* 8. 5.]

5 Ουχι, λεγω ὑμιν· αλλ᾽ εαν μη μετανοητε, παντες ὁμοιως απολεισθε.

και σε ὁμοιως εθεραπευσε. *Tob. xii.* 3. θλιψιν επι θλιψιν προσδεχου, ελπιδα επ᾽ ελπιδι, ετι μικρον ετι μικρον κ. τ. λ. *Esa. xxviii.* 10-13. επιστραφητε και αποστρεψατε εκ πασων των ασεβειων ὑμων, και ουκ εσονται ὑμιν εις κολασιν αδικιας. *Ezech. xviii.* 30, 31.

6 Ελεγε δε ταυτην την παραβολην, Συκην ειχε τις εν τῳ αμπελωνι αὑτου πεφυτευμενην· και ηλθε καρπον ζητων εν αυτῃ, και ουχ εὑρεν.

αμπελων εγενηθη τῳ ηγαπημενῳ—εν τοπῳ πιονι κ. τ. λ. *Esa. v.* 1, 2. εξ εμου ὁ καρπος σου εὑρηται. *Ose. xiv.* 9. *Conf. Matt. xxi.* 19. *Esa. ii.* 1. *Joan. xv.* 1.

7 Ειπε δε προς τον αμπελουργον, Ιδου, τρια ετη ερχομαι ζητων καρπον εν τῃ συκῃ ταυτῃ, και ουχ εὑρισκω· εκκοψον αυτην, ἱνατι και την γην καταργει;

οἱ ποδες σου ουκ ετυλωθησαν, ιδου τεσσαρακοντα ετη. *Deut. viii.* 4. επτερνικε γαρ με ιδου δευτερον τουτο. *Gen. xxvii.* 36. αμπελουργος. 2 *Par. xxvi.* 10. *Esa. lxi.* 5. και εὑρεν αμπελον εν τῳ αγρῳ. 4 *Reg. iv.* 39. εκκοψατε το δενδρον. *Dan. iv.* 11. και ηργησαν. *Eccles. xii.* 3. *Esd. iv.* 21. ουκ εστι στραφυλη εν ταις

αμπελοις, και ουκ εστι συκα εν ταις συκαις. *Jer. viii.* 13. [αργον καταλιπειν—βαθυγειον και ευδαιμονα γην. *Philo de Som.* 581.]

8 Ὁ δε αποκριθεις λεγει αυτῳ, Κυριε, αφες αυτην και τουτο
το ετος, ἑως ὁτου σκαψω περι αυτην, και βαλω κοπριαν·

και εξηλωσε Κυριος την γην αυτου, και εφεισατο του λαου αυτου. *Joel. ii.* 18. αφετε αυτον. 4 *Reg. xxiii.* 18. και ου μη τμηθῃ, ουδε μη σκαφῃ. *Esa. v.* 6. ἑως ὁτου. *Dan. vii.* 9. κοπρια. 1 *Reg. ii.* 8. 4 *Reg. ix.* 37. [γυρουν τε και περισκαπτειν. *Philo. de Charit. p.* 713.]

9 Καν μεν ποιησῃ καρπον· ει δε μηγε, εις το μελλον εκκοψεις
αυτην.

ξυλον καρπιμον ποιουν καρπον. *Gen. i.* 11, 12. καν μεν ποιησῃ καρπον (καλως εχει). *Ita,* 1 *Reg. xii.* 14. *Conf. Bos. Ellip. p.* 504. δος μοι τεκνα· ει δε μη, τελευτησω εγω. *Gen. xxx.* 1. 2 *Reg. xvii.* 6. μελλον εσεσθαι. *Eccles. i.* 9. *Sym. Conf. Ps. vii.* 12.

10 Ην δε διδασκων εν μιᾳ των συναγωγων εν τοις σαββασι·

ην προφητευων. *Jer. xxxiii.* 20. τις μια των φυλων Ισραηλ. *Jud. xxi.* 8. *Alex. Ald. Comp.* εις μιαν των πολεων τουτων. *Deut. xix.* 5.

11 Και ιδου, γυνη ην πνευμα εχουσα ασθενειας ετη δεκα και
οκτω, και ην συγκυπτουσα, και μη δυναμενη ανακυψαι εις το
παντελες.

πνευμα ασθενειας—απο συμπτωματος και δαιμονιου μεσημβρινου. *Ps. xc.* 6. *Job. iv.* 15. συγκυψας τῳ προσωπῳ στεναξω. *Job. ix.* 27. ου δυναμαι ανακυψαι. *Job. x.* 15. ασθενεια. 2 *Mac. ix.* 21. εταλαιπωρησα και κατεκαμφθην ἑως τελους, ὁλην την ἡμεραν σκυθρωπαζων επορευομην. *Ps. xxxvii.* 6. εαν ταπεινωθῃ και πορευηται συγκεκυφως. *Sir. xii.* 11. *xix.* 16. [εις το παντελες. *Jos. Ant. vi.* 2. 3.]

12 Ιδων δε αυτην ὁ Ιησους προσεφωνησε και ειπεν αυτῃ, Γυναι,
απολελυσαι της ασθενειας σου.

τουτο πραξας απολυθῃ του θανατου. 2 *Mac. vi.* 22. ιασατο αυτους και ερρυσατο αυτους εκ των διαφθορων αυτων. *Ps. cvi.* 20.

13 Και επεθηκεν αυτῃ τας χειρας· και παραχρημα ανωρθωθη,
και εδοξαζε τον Θεον.

ἡμεις δε ανεστημεν και ανωρθωθημεν. *Ps. xix.* 9. ευλογει ἡ ψυχη μου τον Κυριον κ. τ. λ. *Ps. cii.* 1. *cvi.* 20. *Conf. Marc. viii.* 25.

14 Αποκριθεις δε ὁ αρχισυναγωγος, αγανακτων ὁτι τῳ σαββατῳ εθεραπευσεν ὁ Ιησους, ελεγε τῳ οχλῳ, Ἑξ ἡμεραι εισιν, εν αἱς δει εργαζεσθαι· εν ταυταις ουν ερχομενοι θεραπευεσθε, και μη τῃ ἡμερᾳ του σαββατου.

ἑξ ἡμερας—και ποιησεις παντα τα εργα σου. Τῃ δε ἡμερᾳ τῃ ἑβδομῃ, σαββατα—ου ποιησεις εν αυτῃ παν εργον. *Exod. xx.* 9, 10. και βεβηλουτε την ἡμεραν του σαββατου; *Neh. xiii.* 17. *Conf. Deut. v.* 13. *Ezech. xx.* 12. *Matt. ix.* 18. *xi.* 25.

15 Απεκριθη ουν αυτῳ ὁ Κυριος, και ειπεν, Ὑποκριτα, ἑκαστος ὑμων τῳ σαββατῳ ου λυει τον βουν αὑτου η τον ονον απο της φατνης, και απαγαγων ποτιζει;

ὑποκριται καρδιᾳ. *Job. xxxvi.* 13. *Conf. Exod. xxiii.* 5. *Deut. xxii.* 4. βους επι φατνης. *Job. vi.* 5. *Matt. xii.* 1, 11. *Marc. iii.* 2. *Joan. vii.* 23. *Prov. xii.* 10.

16 Ταυτην δε, θυγατερα Αβρααμ ουσαν, ἡν εδησεν ὁ Σατανας, ιδου, δεκα και οκτω ετη, ουκ εδει λυθηναι απο του δεσμου τουτου τῃ ἡμερᾳ του σαββατου;

Ἀβρααμ—ἡ θυγατηρ. 4 *Mac. xv.* *Judith. x.* 12. αγε—και τας θυγατερας μου απ' ακρων της γης. *Esa. xliii.* 6. ιασις θυγατρος λαου μου; *Jer. viii.* 22. εξαγαγειν εκ δεσμων δεδεμενους. *Esa. xlii.* 7. *Conf. Matt. iii.* 9. *Joan. viii.* 44. 2 *Tim. ii.* 26. Κυριος λυει πεπεδημενους. *Ps. cxlv.* 7. λελυται αυτης ἡ ἁμαρτια. *Esa. xl.* 2. Σατανας. *Conf. Matt. iv.* 10.

17 Και ταυτα λεγοντος αυτου, κατῃσχυνοντο παντες οἱ αντικειμενοι αυτῳ· και πας ὁ οχλος εχαιρεν επι πασι τοις ενδοξοις τοις γινομενοις ὑπ' αυτου.

εντραπησονται παντες οἱ αντικειμενοι σοι. *Esa. xli.* 11. χαρησομαι επι τῳ Θεῳ τῳ σωτηρι μου. *Hab. iii.* 18. μη χαιρε επι κακοποιοις. *Prov. xxiv.* 19. ποιησω ενδοξα ἁ ου γεγονε. *Exod. xxxiv.* 10. αναγγειλατε εν τοις εθνεσι τα ενδοξα αυτου. *Esa. xii.* 4. *lxiv.* 3.

18 Ελεγε δε, Τινι ὁμοια εστιν ἡ βασιλεια του Θεου; και τινι ὁμοιωσω αυτην;

Conf. Matt. xiii. 31. *Marc. iv.* 30. τινι ὡμοιωσατε Κυριον, και τινι ὁμοιωματι; *Esa. xl.* 18. *Thren. ii.* 13.

19 Ὁμοια εστι κοκκῳ σιναπεως, ὁν λαβων ανθρωπος εβαλεν εις κηπον ἑαυτου· και ηυξησε, και εγενετο εις δενδρον μεγα, και τα πετεινα του ουρανου κατεσκηνωσεν εν τοις κλαδοις αυτου.

Conf. Matt. xvii. 20. *Marc. iv.* 31. βαλλοντες τα σπερματα. *Ps. cxxv.* 6. *Conf. Ezech. xvii.* 22-24. εαν μη πιστευσητε, ουδε μη συνητε. *Esa. vii.* 9. εμπιστευσατε εν Κυριῳ Θεῳ ἡμων, και εμπισ-

τευθησεσθε· εμπιστευσατε εν προφητῃ αυτου, και ευοδωθησεσθε. 2 *Par. xx.* 20. *Conf. Cant. iv.* 12-15. *Esa. lviii.* 11.

20 Και παλιν ειπε, Τινι ὁμοιωσω την βασιλειαν του Θεου;

21 Ὁμοια εστι ζυμῃ, ἡν λαβουσα γυνη ενεκρυψεν εις αλευρου
σατα τρια, ἑως οὑ εζυμωθη ὁλον.

20, 21.] *Conf. Matt. xiii.* 33. 1 *Cor. v.* 6. *Gal. v.* 9.

22 Και διεπορευετο κατα πολεις και κωμας, διδασκων, και
πορειαν ποιουμενος εις Ἱερουσαλημ.

διεπορευετο δια της ερημου κατα το φρεαρ. Gen. xxiv. 62. *διεπορευετο τας επανω χωρας.* 1 *Mac. iii.* 37. *ποιουμενων την πορειαν επι τον Τιμοθεον.* 2 *Mac. xii.* 10. *iii.* 8. *Conf. Matt. ix.* 35. *Marc. vi.* 6. *Act. x.* 38.

23 Ειπε δε τις αυτῳ, Κυριε, ει ολιγοι οἱ σωζομενοι; Ὁ δε ειπε
προς αυτους,

ει τεθνηκε το παιδαριον; 2 *Reg. xii.* 19. *ει τῳ ἑκατονταετει γενησεται υἱος; Gen. xvii.* 17. *Conf. Viger. p.* 414. *Matt. vii.* 14.

24 Αγωνιζεσθε εισελθειν δια της στενης πυλης· ὁτι πολλοι, λε-
γω ὑμιν, ζητησουσιν εισελθειν, και ουκ ισχυσουσιν.

ην αγωνιζομενος του εξελεσθαι αυτον. Dan. vi. 14. *αγωνισαι περι της αληθειας. Sir. iv.* 28. 2 *Mac. viii.* 16. *στεναι διατριβαι οικων αυτης. Prov. xxxi.* 27. *Num. xxii.* 26. *ὡσαυτως ισχυω νυν εξελθειν και εισελθειν. Jos. xiv.* 11. *Esa. vii.* 13. *ζητησατε τον Κυριον, και εν τῳ εὑρισκειν αυτον, επικαλεσασθε. ἡνικα δ' αν εγγιζῃ ὑμιν κ.τ.λ. Esa. lv.* 6. *Conf. Matt. vii.* 13. [*μεταπεμφθεντες αγωνισασθαι τον περι της πολιτειας αγωνα. Philo. ad Cai.* 1040.]

25 Αφ' οὑ αν εγερθῃ ὁ οικοδεσποτης, και αποκλεισῃ την θυραν,
και αρξησθε εξω ἑσταναι και κρουειν την θυραν, λεγοντες,
Κυριε, κυριε, ανοιξον ἡμιν· και αποκριθεις ερει ὑμιν, Ουκ οιδα
ὑμας, ποθεν εστε·

αφ' οὑ. sc. χρονου. Ose. x. 9. *και αποκλεισον την θυραν.* 2 *Reg. xiii.* 17, 18. *και εκρουσε την αυλην της σκηνης. Judith. xiv.* 14. *Alex. Ald. Comp. Conf. Matt. xxv.* 11. *vii.* 21. *και ειπε προς αυτους Ιησους, ποθεν εστε; Jos. ix.* 8. *Κυριε, Κυριε.* 3 *Mac. ii.* 2. *Ps. cxxxix.* 7. *και αποκριθεντες ερουσι. Deut. xxvii.* 14. *κρουοντες επι την θυραν. Jud. xix.* 22. *Conf. Apoc. iii.* 20.

26 Τοτε αρξεσθε λεγειν, Εφαγομεν ενωπιον σου και επιομεν,
και εν ταις πλατειαις ἡμων εδιδαξας·

και τουτο ηρξαντο ποιησαι. Gen. xi. 6. *μοσχος σου εσφαγμενος ενωπιον σου. Deut. xxviii.* 31. *Ald.* 2 *Reg. xi.* 13. *μετ᾽ εμου—φαγονται οἱ ανθρωποι αρτους. Gen. xliii.* 16. *πινοντες και εσθιοντες. Esa. xxix.* 8. *Conf. Esa. lviii.* 2. [*Conf. Fisch. p.* 322.]

27 Και ερει, Λεγω ὑμιν, Ουκ οιδα ὑμας, ποθεν εστε· αποστητε απ᾽ εμου παντες οἱ εργαται της αδικιας.

αποστητε απ᾽ εμου παντες οἱ εργαζομενοι την ανομιαν. Ps. vi. 8. *οἱ εργαται της ανομιας.* 1 *Mac. iii.* 6. *Job. xxxiv.* 32. *Conf. Matt. vii.* 23. *xxv.* 41. 2 *Tim. ii.* 19. *Ose. ix.* 12. *Aq. CITAT.* 79.

28 Εκει εσται ὁ κλαυθμος και ὁ βρυγμος των οδοντων, ὁταν οψησθε Αβρααμ και Ισαακ και Ιακωβ και παντας τους προφητας εν τῃ βασιλειᾳ του Θεου, ὑμας δε εκβαλλομενους εξω·

κλαυθμῳ και στεναγμῳ. Mal. ii. 13. *Conf. Matt. viii.* 11, 12. *xxiv.* 51. *ἁγιασθητε και ευφρανθητε* (*ανακλιθητε. Comp.*) *μετ᾽ εμου.* 1 *Reg. xvi.* 5. *ιδου λαος ερχεται απο Βορρα. Jer. vi.* 22. *Jos. xv.* 6. *ἁμαρτωλος οψεται και οργισθησεται κ. τ. λ. Ps. cxi.* 10. *Ἀβρααμ μεγας πατηρ πληθους εθνων, και ουχ εὑρεθη ὁμοιος εν τῃ δοξῃ, κ. τ. λ. Sir. xliv.* 19-21. *Conf. Ps. xxxv.* 12.

29 Και ἡξουσιν απο ανατολων και δυσμων, και απο βοῤῥα και νοτου, και ανακλιθησονται εν τῃ βασιλειᾳ του Θεου.

διοτι απο ανατολων ἡλιου και ἑως δυσμων το ονομα μου δεδοξασται εν τοις εθνεσι. Mal. i. 11. *Conf. Ps. cvi.* 3. *cxii.* 3. *Esa. ii.* 2, 3. *xliii.* 5. *xlv.* 6. *lix.* 19. *Matt. viii.* 11. *Rom. xv.* 19. *Ephes. iii.* 6. *ενεδειξεν αυτῳ βασιλειαν Θεου, κ. τ. λ. Sap. x.* 10. [*βασιλευειν εν αληθειᾳ εν τοις ουρανοις. Test. XII Patr. p.* 657.] *ερχομαι συναγαγειν παντα τα εθνη και τας γλωσσας, και ἡξουσι και οψονται την δοξαν μου, κ. τ. λ. Esa. lxvi.* 18, 19. *Gen. xxviii.* 14.

30 Και ιδου, εισιν εσχατοι οἱ εσονται πρωτοι, και εισι πρωτοι οἱ εσονται εσχατοι.

Conf. Matt. xix. 30. *Marc. x.* 31.

31 Εν αυτῃ τῃ ἡμερᾳ προσηλθον τινες Φαρισαιοι, λεγοντες αυτῳ, Εξελθε και πορευου εντευθεν, ὁτι Ἡρωδης θελει σε αποκτειναι.

και εμε ηθελησαν αποκτειναι. Jud. xx. 5. *Alex. O. Ald. Comp. Conf. Matt. iii.* 7. *Neh. vi.* 9-14. *ὡρα αυτη.* 4 *Reg. vii.* 1.

32 Και ειπεν αυτοις, Πορευθεντες ειπατε τῃ αλωπεκι ταυτῃ,

Ιδου, εκβαλλω δαιμονια και ιασεις επιτελω σημερον και αυ-
ριον, και τη τριτη τελειουμαι.

χθες και τριτην ἡμεραν, και το της σημερον. *Exod. v.* 14. και τετελειωμενου ενδυσασθαι τα ἱματια. *Lev. xxi.* 10. *Conf. Sophon. iii.* 3. ὡς αλωπεκες εν ταις ερημοις οἱ προφηται σου Ισραηλ. *Ezech. xiii.* 4. *xxii.* 27. ὑγιασει ἡμας μετα δυο ἡμερας· εν τῃ ἡμερᾳ τῃ τριτῃ εξαναστησομεθα, κ. τ. λ. *Ose. vi.* 3.

33 Πλην δει με σημερον και αυριον και τῃ εχομενῃ πορευεσθαι·
ὁτι ουκ ενδεχεται προφητην απολεσθαι εξω Ἱερουσαλημ.

πλην. 2 *Par. xxxiii.* 17. και εγενετο τῃ εχομενῃ. 1 *Par. x.* 8. ἁ δε ην ενδεχομενα συνεχωρησε. 2 *Mac. xi.* 18. *xii.* 39. εξω Ἱερουσαλημ. *Neh. xiii.* 20. πορευεσθαι, *i. e.* απολυεσθαι [*mori me oportet*]. πορευομαι ατεκνος. *Gen. xv.* 2. *Sym. Luc. xxii.* 22.

34 Ἱερουσαλημ, Ἱερουσαλημ, ἡ αποκτεινουσα τους προφητας,
και λιθοβολουσα τους απεσταλμενους προς αὑτην, ποσακις
ηθελησα επισυναξαι τα τεκνα σου, ὁν τροπον ορνις την ἑαυτης
νοσσιαν ὑπο τας πτερυγας, και ουκ ηθελησατε;

Conf. Deut. xxxii. 11. ὁν τροπον *propriè* τροπῳ ᾡ, *sc.* κατα τουτον τροπον, ᾡ. *Ita, Esa. xiv.* 19, 24. *Ezech. x.* 10. *Conf. Ps. xvi.* 8. *xc.* 4. *Matt. xxiii.* 37. 1 *Esd. i.* 28.

35 Ιδου, αφιεται ὑμιν ὁ οικος ὑμων ερημος· αμην δε λεγω ὑμιν,
Ὁτι ου μη με ιδητε ἑως αν ἡξῃ ὁτε ειπητε, Ευλογημενος ὁ ερ-
χομενος εν ονοματι Κυριου.

εις ερημωσιν εσται ὁ οικος οὑτος. *Jer. xxii.* 5. *Dan. ix.* 27. ζητησεις τον τοπον αυτου, και ου μη εὑρῃς. *Ps. xxxvi.* 10. *lviii.* 13. *lxix.* 25. ἑως αν ελθῃ τα αποκειμενα αυτῳ. *Gen. xlix.* 10. ευλογημενος ὁ ερχομενος κ. τ. λ. *Ps. cxvii.* 26. *Conf. Esa. i.* 7. *Jer. vii.* 24. *Mich. iii.* 12. *Matt. xxiii.* 39. *Marc. xi.* 9. [εδει μεν γαρ ευθυς εξ αρχης—της του Θεου γνωμης στοχαζεσθαι, και γινωσκειν ὁτι το παλαι φιλον αυτῳ φυλον Ιουδαιων απολειᾳ κατεγνωστο. *Jos. Bell. Jud. vii.* 8. 6. *p.* 1318. Θεος δε ην ὁ του λαου παντος κατακρινας, και πασαν αυτοις σωτηριας ὁδον εις απολειαν αποστρεφων. *v.* 5. *p.* 1255.] *CITAT.* 80.

Κεφ. ιδ. 14.

ΚΑΙ εγενετο εν τῳ ελθειν αυτον εις οικον τινος των αρχοντων των Φαρισαιων σαββατῳ φαγειν αρτον, και αυτοι ησαν παρατηρουμενοι αυτον.

και εγενετο εν τῳ βοᾳν. 2 *Par. xiii.* 15. *συμφαγειν αρτον μετα του γαμβρου. Exod. xviii.* 12. *ὁτε δε κατηλθον εις τον οικον μου —εν τῃ πεντεκοστῃ ἑορτῃ—εγενηθη αριστον καλον μοι, και ανεπεσα του φαγειν. Tob. ii.* 1. *Judith. viii.* 6. *παρατηρησεται ὁ ἁμαρτωλος τον δικαιον. Ps. xxxvi.* 12. *Joan. iii.* 1. *Marc. iii.* 3.

2 Και ιδου, ανθρωπος τις ην ὑδρωπικος εμπροσθεν αυτου·

και ιδου. 4 *Reg. xiii.* 21. *εμπροσθεν αυτου. Esa. xlv.* 1.

3 Και αποκριθεις ὁ Ιησους ειπε προς τους νομικους και Φαρισαιους, λεγων, Ει εξεστι τῳ σαββατῳ θεραπευειν; Οἱ δε ἡσυχασαν.

ει. Gen. xvii. 1. *και ἡσυχασαν. Neh. v.* 8. 1 *Mac. i.* 3. *Conf. Matt. xii.* 10. *διο ἡσυχασα, φοβηθεις του ὑμιν αναγγειλαι. Job. xxxii.* 6.

4 Και επιλαβομενος ιασατο αυτον, και απελυσε.

επιλαβομενος. Marc. viii. 23.

5 Και αποκριθεις προς αυτους ειπε, Τινος ὑμων ονος η βους εις φρεαρ εμπεσειται, και ουκ ευθεως ανασπασει αυτον εν τῃ ἡμερᾳ του σαββατου;

Conf. sup. xiii. 15. *εμπεσειται εις τον βοθυνον. Esa. xxiv.* 18. *και ανεσπασεν αυτον. Draco.* 42. *Conf. Hab. i.* 15. *καταξεις αυτους εις φρεαρ διαφθορας. Ps. lv.* 23. *Exod. xxiii.* 5. *Deut. xxii.* 4. *Matt. xii.* 11, 12. *τῃ ἡμερᾳ του σαββατου. Exod. xxxi.* 15. *Alex.*

6 Και ουκ ισχυσαν ανταποκριθηναι αυτῳ προς ταυτα.

ανταπεκριναντο. O. Comp. ανταπεκριθησαν. Ald. Jud. v. 29. *ουκ ην τῳ Ιωβ ελεγχων ανταποκρινομενος. Job. xxxii.* 12. *Act. vi.* 10.

7 Ελεγε δε προς τους κεκλημενους παραβολην, επεχων πως τας πρωτοκλισιας εξελεγοντο, λεγων προς αυτους,

ει πορευθω εις πολεμον, ἡ επισχω; 2 *Par. xviii.* 5, 14. *Jer. vi.* 11. *και εισελθων εις τα ιδια, εκαλεσε τους φιλους. Est. v.* 10. *εις την δοχην—κεκλημαι.* 12. *επεχων. Job. xviii.* 2. *Conf. Matt. xxiii.* 6. *Marc. xii.* 39. *παραβολη. Conf. Vorst. de Hebrais. p.* 135-137.

8 Ὁταν κληθῃς ὑπο τινος εις γαμους, μη κατακλιθῃς εις την πρωτοκλισιαν· μηποτε εντιμοτερος σου ῃ κεκλημενος ὑπ᾽ αυτου,

εις το εσθιειν κατακλινομενην. Judith. xii. 15. *και εθετο αυτοις τοπον εν πρωτοις των κεκλημενων.* 1 *Reg. ix.* 22. *Alex. Ald. Comp. Conf. Prov. xxv.* 6, 7. 1 *Reg. xvi.* 11. *Sir. xxxv.* 1.

9 Και ελθων ὁ σε και αυτον καλεσας ερει σοι, Δος τουτῳ το-

πον· και τοτε αρξῃ μετ᾽ αισχυνης τον εσχατον τοπον κατεχειν.

αρξῃ. *Ita, Gen. ix.* 20. ἡ αισχυνη αυτων του προσωπου. *Esa. iii.* 8. *Ald.* δος τοπον. *Sir. xix.* 17. *Est. v.* 6-12. *Prov. xi.* 2.

10 Αλλ᾽ ὁταν κληθῃς, πορευθεις αναπεσον εις τον εσχατον τοπον· ἱνα ὁταν ελθῃ ὁ κεκληκως σε, ειπῃ σοι, Φιλε, προσαναβηθι ανωτερον· τοτε εσται σοι δοξα ενωπιον των συνανακειμενων σοι.

ανεπεσα του φαγειν. *Tob. ii.* 1. αυτος ανακειται, εσθιει, και πινει. 1 *Esd. iv.* 10. ου κεκληκεν—ουδενα εις την δοχην αλλ᾽ η εμε. *Est. v.* 12. *vi.* 5. *Conf. Prov. xxxi.* 23. προσαναβηναι προς το ορος. *Exod. xix.* 23. *Jos. xi.* 17. *Judith. xiii.* 12. εγκωμιαζετω σε ὁ πελας και μη το σον στομα, αλλοτριος και μη τα σα χειλη. *Prov. xxvii.* 2. εαν καθισῃς δειπνειν επι τραπεζης δυναστου, νοητως νοει τα παρατιθεμενα σοι, κ. τ. λ. *Prov. xxiii.* 1-3. κρεισσον γαρ σοι το ῥηθηναι, Αναβαινε προς με, η ταπεινωσαι σε εν προσωπῳ δυναστου. *xxv.* 7. *Conf. Schoettgen. Hor. Heb. ad. loc.*

11 Ὁτι πας ὁ ὑψων ἑαυτον, ταπεινωθησεται· και ὁ ταπεινων ἑαυτον, ὑψωθησεται.

καρδιαν συντετριμμενην και ταπεινωμενην. *Ps. l.* 17. ενωπιον αυτου ταπεινωσουσι τας ψυχας αυτων. *Sir. ii.* 17. ὁσῳ μεγας ει, τοσουτῳ ταπεινου σεαυτον. *iii.* 18. *Conf. Prov. xiii.* 7. *xxix.* 23. *Job. xxii.* 29. *Matt. xxiii.* 12. *Jac. iv.* 6-10. 1 *Pet. v.* 5.

12 Ελεγε δε και τῳ κεκληκοτι αυτον, Ὁταν ποιῃς αριστον η δειπνον, μη φωνει τους φιλους σου, μηδε τους αδελφους σου, μηδε τους συγγενεις σου, μηδε γειτονας πλουσιους· μηποτε και αυτοι σε αντικαλεσωσι, και γενηται σοι ανταποδομα.

και ειπα τῳ υἱῳ μου, Βαδισον και αγαγε ὁν αν ευρῃς των αδελφων ἡμων ενδεη κ. τ. λ. *Tob. ii.* 1, 2. γειτων. *Jer. vi.* 21. *Job. xxvi.* 5. συγγενεις. *Lev. xviii.* 14. μη—αλλ᾽—*potius*—*quam. Ita, Gen. xlvi.* 8. *Joel. ii.* 13. *Exod. xvi.* 8. Βαλτασαρ—εποιησε δειπνον μεγα. *Dan. v.* 1. ευποιησον ευσεβει, και ευρησεις ανταποδομα. *Sir. xii.* 2. *xx.* 9. *xiv.* 6. *Ps. lxix.* 22. *Rom. xi.* 9. 2 *Par. xxxii.* 25. *Ps. xxvii.* 4. φιλοι μισησουσι φιλους πτωχους, φιλοι δε πλουσιων πολλοι. *Prov. xiv.* 20.

13 Αλλ᾽ ὁταν ποιῃς δοχην, καλει πτωχους, αναπηρους, χωλους, τυφλους·

δοχην εποιησε τοις φιλοις. *Est. i.* 3. *Deut. xxvi.* 12. και τοις μελεσιν

αναπηρους. 2 *Mac. viii.* 24. και ευφρανθηση εν τη ἑορτη σου συ, και ὁ υἱος σου—και ὁ ορφανος, και ἡ χηρα ἡ ουσα εν ταις πολεσι σου. *Deut. xvi.* 14. *Conf. Neh. viii.* 10, 12. *Job. xxxi.* 17. *Tob. iv.* 7.

14 Και μακαριος εση, ὁτι ουκ εχουσιν ανταποδουναι σοι· ανταποδοθησεται γαρ σοι εν τη αναστασει των δικαιων.

ανταποδομα σου ανταποδοθησεται εις την κεφαλην σου. *Obad.* 15. *Ps. xvi.* 15. εις ἡμεραν αναστασεως μου εις μαρτυριον. *Sophon. iii.* 9. *Job. xlii.* 17. αναστασις εις ζωην. 2 *Mac. vii.* 14, 23. ουκ αναστησονται—εν βουλη δικαιων. *Ps. i.* 5.—εν συνελευσει δικαιων. *Sym.* εν συλλογω, *aut* συναγωγη, *alii. Vide Grot. in loc.* ευλογια απολλυμενου επ᾽ εμε ελθοι, στομα δε χηρας με ευλογησε, κ. τ. λ. *Job. xxix.* 13. εαν γαρ αποθανη ανθρωπος, ζησεται συντελεσας ἡμερας του βιου αυτου· ὑπομενω ἑως παλιν γενωμαι· ειτα καλεσεις, εγω δε σοι ὑπακουσομαι, τα δε εργα των χειρων σου μη αποποιου. *xiv.* 14, 15. δανειζει Θεω, ὁ ελεων πτωχον, κατα δε το δομα αυτου ανταποδωσει αυτω. *Prov. xix.* 17.

15 Ακουσας δε τις των συνανακειμενων ταυτα, ειπεν αυτω, Μακαριος, ὁς φαγεται αρτον εν τη βασιλεια του Θεου.

Conf. Joan. vi. 34. και ησθιεν αρτον διαπαντος ενωπιον αυτου πασας τας ἡμερας της ζωης αυτου. 4 *Reg. xxv.* 29. παν βρωμα φαγεται κοιλια. *Sir. xxxvi.* 18. *Conf. Sturz. de Voc. Alex. p.* 199.

16 Ὁ δε ειπεν αυτω, Ανθρωπος τις εποιησε δειπνον μεγα, και εκαλεσε πολλους·

εποιησε δειπνον μεγα. *Dan. v.* 1. *Matt. xxii.* 2. *Conf. Esa. xxv.* 6. *Prov. ix.* 2, 5. *Apoc. xix.* 9. *Jer. xxxviii.* 14. *Cant. v.* 1.

17 Και απεστειλε τον δουλον αὑτου τη ὡρα του δειπνου, ειπειν τοις κεκλημενοις, Ερχεσθε, ὁτι ηδη ἑτοιμα εστι παντα.

ηδε ὡρα του φαγειν. *Ruth. ii.* 14. ὁτι αριστου ὡρα εστι. *Susan.* 12. ελθατω ὁ βασιλευς και Αμαν—εις την δοχην. *Est. v.* 8. σφαξον θυματα και ἑτοιμασον. *Gen. xliii.* 16. *Jos. i.* 11. *Conf. Esa. lv.* 1. *Gen. xl.* 20. 2 *Reg. iii.* 20. *Luc. xxii.* 1. *Matt. xxii.* 3, 4.

18 Και ηρξαντο απο μιας παραιτεισθαι παντες. ὁ πρωτος ειπεν αυτω, Αγρον ηγορασα, και εχω αναγκην εξελθειν και ιδειν αυτον· ερωτω σε, εχε με παρητημενον.

σχοιη δε αυτον αναγκη. *Job. xviii.* 14. [παρεκαλει τον πατερα συν και τοις αδελφοις ελθειν—παραιτησαμενου δ᾽ ὡς αν μη βαρυς αυτω γενοιτο. *Jos. Ant. viii.* 8. 2.] [παραιτεισθαι· συγγνωμην αιτειν. *Suid.*] *Conf. Joan. i.* 11. *Matt. xxii.* 5. απο μιας (φωνης). *Conf. Gen. xi.* 1. *Exod. xxiv.* 3. *Bos. Ellips. p.* 296.

19 Και ἑτερος ειπε, Ζευγη βοων ηγορασα πεντε, και πορευομαι
δοκιμασαι αυτα· ερωτω σε, εχε με παρῃτημενον.

ελαβε τα ζευγη των βοων. 3 *Reg. xix.* 21.

20 Και ἑτερος ειπε, Γυναικα εγημα, και δια τουτο ου δυναμαι
ελθειν.

παρεκαλεσεν αυτον γημαι. 2 *Mac. xiv.* 25. *Conf.* 1 *Cor. vii.* 29-31.

21 Και παραγενομενος ὁ δουλος εκεινος απηγγειλε τῳ κυριῳ
αὑτου ταυτα· Τοτε οργισθεις ὁ οικοδεσποτης ειπε τῳ δουλῳ
αὑτου, Εξελθε ταχεως εις τας πλατειας και ῥυμας της πο-
λεως, και τους πτωχους και αναπηρους και χωλους και τυ-
φλους εισαγαγε ὡδε.

και παραγενομενος ὁ λαος προς Μωυσην, ελεγον. *Num. xxi.* 7. και κηρυσσετω δια της πλατειας της πολεως. *Est. vi.* 9. και ζητησατε εν ταις πλατειαις αυτης, και εν ταις ῥυμαις αυτης. *Esa. xv.* 3. και εισηγαγε τους ανθρωπους εις τον οικον. *Gen. xliii.* 24. *alii. Conf. Matt. xi.* 5. *Jac. ii.* 5. *Esa. liv.* 2.

22 Και ειπεν ὁ δουλος, Κυριε, γεγονεν ὡς επεταξας, και ετι
τοπος εστι.

και επεταξε τοις οικονομοις κ. τ. λ. *Est. i.* 8. τοπος. *Gen. xxiv.* 23.

23 Και ειπεν ὁ κυριος προς τον δουλον, Εξελθε εις τας ὁδους
και φραγμους, και αναγκασον εισελθειν, ἱνα γεμισθῃ ὁ οικος
μου.

και κατεβιασατο αυτους. *Gen. xix.* 3. δεους και ταραχης γεμον ἱερον. 2 *Mac. iii.* 30. ηρχετο πλοιον—γεμον χρυσιου και αργυριου. 2 *Par. ix.* 21. αναβοησον εν ισχυϊ, και μη φεισῃ, ὡς σαλπιγγι ὑψωσον την φωνην σου, κ. τ. λ. *Esa. lviii.* 1. φραγμος. *Num. xxii.* 24. *Conf.* 1 *Reg. xxviii.* 23. 2 *Tim. iv.* 2. *Matt. xxii.* 9, 10.

24 Λεγω γαρ ὑμιν, Ὁτι ουδεις των ανδρων εκεινων των κεκλη-
μενων γευσεται μου του δειπνου.

και ουδεις αυτων ελαλησε. *Job. ii.* 13. ου μη γευσομαι αρτου. 2 *Reg. iii.* 35. *Prov. i.* 24-32. *Conf. Matt. xxi.* 43. *Joan. i.* 11. *Act. xiii.* 46.

25 Συνεπορευοντο δε αυτῳ οχλοι πολλοι· και στραφεις ειπε
προς αυτους,

και συνεπορευθησαν μετ᾽ αυτου παντες οἱ πρεσβυτεροι. *Num. xvi.* 25. ιδου εὑρηκα ὁς συμπορευσεται μοι. *Tob. iii.* 7.

26 Ει τις ερχεται προς με, και ου μισει τον πατερα ἑαυτου,

και την μητερα, και την γυναικα, και τα τεκνα, και τους αδελφους, και τας αδελφας, ετι δε και την ἑαυτου ψυχην, ου δυναται μου μαθητης ειναι.

Conf. Matt. x. 37. ηγαπησε δε Ῥαχηλ μαλλον η Λειαν—ὁτι εμισειτο Λεια. *Gen. xxix.* 30, 31. *Deut. xxi.* 15, 17. *Matt. vi.* 24. εαν δε παρακαλεσῃ σε ὁ αδελφος σου κ. τ. λ. *Deut. xiii.* 6. ὁ λεγων τῳ πατρι και τῃ μητρι, Ουχ ἑωρακα σε. κ. τ. λ. *xxxiii.* 9. τι γαρ μοι ὑπαρχει εν τῳ ουρανῳ, και παρα σου τι ηθελησα επι της γης; *Ps. lxxii.* 25. απηλοτριωμενος εγενομην τοις αδελφοις μου, κ. τ. λ. *Ps. lxviii.* 8.

27 Και ὁς τις ου βασταζει τον σταυρον αὑτου, και ερχεται οπισω μου, ου δυναται μου ειναι μαθητης.

Conf. Matt. x. 38. *Marc. viii.* 34. *Deut. xiii.* 6. 2 *Tim. iii.* 12.

28 Τις γαρ εξ ὑμων, θελων πυργον οικοδομησαι, ουχι πρωτον καθισας ψηφιζει την δαπανην, ει εχει τα προς απαρτισμον;

ἑτοιμαζε σε εις τον εξοδον τα εργα σου, και παρασκευαζου εις τον αγρον, και πορευου κατοπισθεν μου, και ανοικοδομησεις τον οικον σου. *Prov. xxiv.* 27. ψηφιζει. *Ps. xlvii.* 12. *Aq. Apoc. xiii.* 18. και τα αλλα τα ανηκοντα ἡμιν. 1 *Mac. xi.* 35. και ἡ δαπανη εξ οικου του βασιλεως δοθησεται. *Esd. vi.* 4. δια το ανηκειν αυτα τοις ἱερευσι. 1 *Mac. x.* 42. απαρτισμος. *Ps. vii.* 10. *Sym.*

29 Ἱνα μηποτε θεντος αυτου θεμελιον, και μη ισχυοντος εκτελεσαι, παντες οἱ θεωρουντες αρξωνται εμπαιζειν αυτῳ,

30 Λεγοντες, Ὁτι οὑτος ὁ ανθρωπος ηρξατο οικοδομειν, και ουκ ισχυσεν εκτελεσαι.

ηρξατο οικοδομειν τον οικον του Κυριου. 2 *Par. iii.* 1. *Comp.* και ῳκοδομησε τον οικον, και συντελεσεν αυτον. 3 *Reg. vi.* 3. μη καυχασθω ὁ κυρτος, ὡς ὁ ορθος. *xxi.* 11. και εξετελεσε. 2 *Par. iv.* 5. *Deut. xxxii.* 45. 2 *Mac. xv.* 9.

31 Η τις βασιλευς πορευομενος συμβαλειν ἑτερῳ βασιλει εις πολεμον, ουχι καθισας πρωτον βουλευεται, ει δυνατος εστιν εν δεκα χιλιασιν απαντησαι τῳ μετα εικοσι χιλιαδων ερχομενῳ επ᾽ αυτον;

και συνεβαλον αλληλοις. 1 *Mac. iv.* 34. 2 *Mac. viii.* 23. συνηψαν αἱ παρεμβολαι εις πολεμον. 1 *Mac. x.* 78. και απηντησεν αυτῳ εν χειρι ισχυρᾳ. *xi.* 15, 22. 2 *Reg. i.* 15. *Conf. Prov. xx.* 8. πως δυνησομεθα ολιγοστοι οντες πολεμησαι προς πληθος τοσουτον ισχυρον; 1 *Mac. iii.* 17. [βαλακης—αντικρυς μεν ὑπανταν ουκ εδοκιμασε. *Philo. de Vit. Mos.* 636.]

32 Ει δε μηγε, ετι αυτου πορρω οντος, πρεσβειαν αποστειλας
ερωτα τα προς ειρηνην.

του ποιησαμενου την πρεσβειαν ὑπερ φιλιας. 2 *Mac. iv.* 11. τα ανηκοντα, *sc. Conf.* 2 *Mac. xiv.* 8. ει δε μη. *Gen. xxiv.* 49.

33 Οὑτως ουν πας εξ ὑμων, ὁς ουκ αποτασσεται πασι τοις
ἑαυτου ὑπαρχουσιν, ου δυναται μου ειναι μαθητης.

[ὁταν—ἡ ψυχη—αποταξηται τοις κατα το σωμα. *Phil.* 2 *Alleg. p.* 105. *Jos. Ant. xi.* 6. 8.]

34 Καλον το ἁλας· εαν δε το ἁλας μωρανθη, εν τινι αρτυθη-
σεται;

Conf. Matt. v. 13. *Marc. ix.* 5. *Job. vi.* 6. *Sym. Ezech. xiii.* 10.

35 Ουτε εις γην, ουτε εις κοπριαν ευθετον εστιν· εξω βαλλου-
σιν αυτο. Ὁ εχων ωτα ακουειν, ακουετω.

εις γην. *Conf. Gen. iv.* 12. *Joel. i.* 10. καιρω ευθετω. *Ps. xxxii.* 6. ἡμεραν ευθετον. *Susan.* 15. *Conf. Matt. xi.* 15. ὁ ακουων ακουετω. *Ezech. iii.* 27. *Ex. l.* 4, 5. Ιδου ταυτα ἑωρακε μου ὁ οφθαλμος, και ακηκοε μου το ους. *Job. xiii.* 1, 2. εις κοπριαν. *Jer. xxxii.* 33. *Ald.*

ΚΕΦ. ιε. 15.

ΗΣΑΝ δε εγγιζοντες αυτω παντες οἱ τελωναι και οἱ ἁμαρ-
τωλοι, ακουειν αυτου.

Conf. Matt. ix. 10. *Marc. ii.* 15. ησαν—εγγιζοντες. *Ita,* εστω διαχωριζον. *Gen. i.* 6. *Exod. vii.* 15. *xvi.* 8. *xvii.* 3.

2 Και διεγογγυζον οἱ Φαρισαιοι και οἱ Γραμματεις, λε-
γοντες, Ὁτι οὑτος ἁμαρτωλους προσδεχεται, και συνεσθιει
αυτοις.

και διεγογγυζον επι Μωυσην. *Num. xiv.* 2. και προσεδεξατο αυτους Δαυιδ. 1 *Par. xii.* 18. *Esa. xlii.* 1. *Luc. ii.* 38. ου γαρ εδυναντο οἱ Αιγυπτιοι συνεσθιειν μετα των Ἑβραιων αρτους. *Gen. xliii.* 32. Κυριος την προσευχην μου προσεδεξατο. *Ps. vi.* 9. *Mal. i.* 10, 13. *Ezech. xliii.* 27. ἁμαρτωλος. *Conf. Gen. xiii.* 13. *Num. xxxii.* 14. *Amos. v.* 22. *ix.* 10. *Act. xi.* 3. *Matt. iii.* 7.

3 Ειπε δε προς αυτους την παραβολην ταυτην, λεγων,

4 Τις ανθρωπος εξ ὑμων εχων ἑκατον προβατα, και απολεσας
ἑν εξ αυτων, ου καταλειπει τα εννενηκονταεννεα εν τη ερημω,
και πορευεται επι το απολωλος, ἑως εὑρη αυτο;

το απολωλος ζητησω, και το πλανωμενον αποστρεψω, κ. τ. λ. *Ezech. xxxiv.* 16. *Ps. cxviii.* 176. *Conf. Matt. xviii.* 12. καταλειπειν. *Zach. xi.* 17. *Joan. x.* 11-16. 26-28.

5 Και εὑρων επιτιθησιν επι τους ωμους ἑαυτου χαιρων,

και επεθηκεν επι τους ωμους αυτου. *Jud. ix.* 48. *Alex. O. Comp.*

6 Και ελθων εις τον οικον, συγκαλει τους φιλους και τους γειτονας, λεγων αυτοις, Συγχαρητε μοι, ὁτι εὑρον το προβατον μου το απολωλος.

και εισελθων εις τα ιδια (οικηματα) εκαλεσε τους φιλους. *Est. v.* 10. συγχαιρειται μοι. *Gen. xxi.* 6. *Conf.* 1 *Pet. ii.* 25. *Esa. lxi.* 10, 11. *Mich. v.* 4. *Ezech. xviii.* 23.

7 Λεγω ὑμιν, Ὁτι οὑτω χαρα εσται εν τῳ ουρανῳ επι ἑνι ἁμαρτωλῳ μετανοουντι, η επι εννενηκονταεννεα δικαιοις, οἱτινες ου χρειαν εχουσι μετανοιας.

Conf. Matt. xviii. 13. ου χρειαν εχει σοφιας. *Prov. xviii.* 2. 2 *Mac. ii.* 15. η (*i. e.* μαλλον η). ἑτοιμοι γαρ αποθνησκειν εσμεν η παραβαινειν τους πατριους νομους. 2 *Mac. vii.* 2. δεδικαιωται Θαμαρ η εγω. *Gen. xxxviii.* 26. *Sir. xli.* 12. *Conf. Jer. xxxviii.* 18-20. εαν εμμενῃ ονομα (*sc.* μειζον) καταλειψει η χιλιοι. *Sir. xxxix.* 11. *Conf. Viger. p.* 335. *Herman. Tob. vi.* 12. 2 *Mac. xiv.* 42.

8 Η τις γυνη δραχμας εχουσα δεκα, εαν απολεσῃ δραχμην μιαν, ουχι ἁπτει λυχνον, και σαροι την οικιαν, και ζητει επιμελως, ἑως ὁτου εὑρῃ;

ὁταν ἁπτῃ—τους λυχνους. *Exod. xxx.* 8. *Alex. Ald.* ἑως ὁτου. 1 *Reg. xxx.* 4. επιμελως. *Gen. vi.* 5. σαροι. *Conf. Sturz. p.* 192.

9 Και εὑρουσα συγκαλειται τας φιλας και τας γειτονας, λεγουσα, Συγχαρητε μοι, ὁτι εὑρον την δραχμην ἡν απωλεσα.

φιλαι. *Cant. i.* 14. *Aq.* συγκαλεσετε ἑκαστος τον πλησιον αυτου. *Zach. iii.* 11. [δραχμη· σταθμος—των ἑξ οβολων. *Etym. Mag.*]

10 Οὑτω, λεγω ὑμιν, χαρα γινεται ενωπιον των αγγελων του Θεου επι ἑνι ἁμαρτωλῳ μετανοουντι.

ενωπιον των αγγελων, *i. e.* τοις αγγελοις. *Conf. Esa. lii.* 10. *Num. xxxii.* 4. *Deut. iv.* 8. *etc.* τερνοτης εν τῃ δεξιᾳ σου εις τελος. *Ps. xv.* 11. *Alex.* 2 *Par. xxxiii.* 13-19. *Matt. ix.* 12, 13.

11 Ειπε δε, Ανθρωπος τις ειχε δυο υἱους·

ανηρ τις. 2 *Par. xviii.* 7. *Ald. Conf. Matt. xxi.* 28-31.

12 Και ειπεν ὁ νεωτερος αυτων τῳ πατρι, Πατερ, δος μοι το
επιβαλλον μερος της ουσιας. Και διειλεν αυτοις τον βιον.

εκληρονομησε την ουσιαν αυτων. *Tob. xiv.* 13. ὁτι σοι επιβαλλει ἡ κληρονομια αυτης. *vi.* 11. του επιβαλλοντος μοι, [*mihi competentis.*] 1 *Mac. x.* 30. 2 *Mac. iii.* 3. *ix.* 16. [το επιβαλλον ἑαυτῳ μερος δικαιων ανακτασθαι. *Philo. de Somn. p.* 1122.] εαν δῳ ανηρ παντα τον βιον αυτου. *Cant. viii.* 7. *Sir. xxix.* 22. *Conf. Deut. xxi.* 16. 17. *Ps. xv.* 5, 6. και διειλεν αυτοις ἑπτα μεριδας. *Jos. xviii.* 5. *Conf. Ps. xvi.* 14, 15.

13 Και μετ᾽ ου πολλας ἡμερας συναγαγων ἁπαντα ὁ νεωτερος
υἱος απεδημησεν εις χωραν μακραν, και εκει διεσκορπισε την
ουσιαν αὑτου, ζων ασωτως.

και εγενετο μεθ᾽ ἡμερας πολλας. *Jer. xiii.* 6. μετ᾽ ου πολυν χρονον. 2 *Mac. vi.* 1. οἱ μακρυνοντες ἑαυτους απο σου. *Ps. lxxii.* 27. και συναγαγετωσαν παντα τα βρωματα. *Gen. xli.* 35. εσκορπισεν, εδωκε τοις πενησι. *Ps. cxi.* 8. εις καιρους μακρους. *Ezech. xii.* 27. ὁδον μακραν. *Prov. vii.* 19. χωρα [*provincia.*] εις πασαν βασιλειαν κατα χωραν. *Est. i.* 22. *Conf. Amos. vi.* 3-6.

14 Δαπανησαντος δε αυτου παντα, εγενετο λιμος ισχυρος κα-
τα την χωραν εκεινην, και αυτος ηρξατο ὑστερεισθαι.

και εδαπανησε χρηματα πολλα των ἑαυτου. 1 *Mac. xiv.* 32. και εγενετο λιμος. *Gen. xii.* 10. [το κατα την χωραν πληθος. *Jos. Bell. Jud. i.* 7. 6. κατα Μυσιαν, *per Mysiam. Ibid. iv.* 11. 1.] εστι κοπιων και πονων, και σπευδων, και τοσῳ μαλλον ὑστερειται. *Sir. xi.* 11. *xiii.* 4. ισχυρος γαρ εσται (ὁ λοιμος) σφοδρα. *Gen. xli.* 31. *Conf. Ose. ii.* 9-14. *Amos. viii.* 10, 11.

15 Και πορευθεις εκολληθη ἑνι των πολιτων της χωρας εκεινης·
και επεμψεν αυτον εις τους αγρους αὑτου βοσκειν χοιρους.

και κολληθησονται εν σοι. *Deut. xxviii.* 60. και, *sed. Zach. viii.* 19.

16 Και επεθυμει γεμισαι την κοιλιαν αὑτου απο των κερατιων
ὡν ησθιον οἱ χοιροι· και ουδεις εδιδου αυτῳ.

επλησε την κοιλιαν αυτου απο της τρυφης μου. *Jer. xxviii.* 34. πληρωσαι γαστερα αυτου. *Job. xx.* 23. *Conf. Esa. xliv.* 20. *Ps. cxli.* 4. *Ose. xii.* 1. *Thren. iv.* 5.

17 Εις ἑαυτον δε ελθων ειπε, Ποσοι μισθιοι του πατρος μου
περισσευουσιν αρτων, εγω δε λιμῳ απολλυμαι;

σαυτου γενου. 3 *Reg. xx.* 7. εξ ἑαυτης εγενετο. *x.* 5. γενομενος εν ἑαυτῳ. *Act. xii.* 11. και εν τῳ αποστρεψαι ανομον απο της ανο-

μιας κ. τ. λ. *Ezech. xviii.* 27. εκχεων αἱμα ὁ αποστερων μισθον μισθιου. *Sir. xxxi.* 22. και περισσευσει πασι τοις αγαθοις. *Jer. xxxvii.* 12. *Comp. Theod. Tob. iv.* 22. ὁ εαν περισσευσῃ σοι, ποιει ελεημοσυνην. *Tob. iv.* 16. *Sir. xi.* 12. [ὡσπερ εκ μεθης νηψαντες εν ἑαυτοις γενωνται. *Philo. de Som. p.* 1148.] *Conf. Thess. v.* 6. 8.

18 Αναστας πορευσομαι προς τον πατερα μου, και ερω αυτῳ, Πατερ, ἡμαρτον εις τον ουρανον και ενωπιον σου·

αναστας επορευθη. *Gen. xxii.* 3, 19. *xxiii.* 7. ἡμαρτηκα εναντιον Κυριου. *Exod. x.* 16. *Neh. ix.* 8. εναντιον του Θεου. *Gen. xxxix.* 9. ενωπιον Κυριου. *Deut. xx.* 18. 1 *Reg. xx.* 1. εις τον ουρανον (*Deum*). *Susan.* 9. ακουσον Κυριε, και ελεησον, ὁτι ἡμαρτομεν εναντιον σου. *Bar. iii.* 2. 1 *Mac. iii.* 18. ἡμαρτηκα τῳ Κυριῳ. 2 *Reg. xii.* 13.

19 Και ουκετι ειμι αξιος κληθηναι υἱος σου· ποιησον με ὡς ἑνα των μισθιων σου.

ὁτι αξιοι εισι της εκεινου μεριδος ειναι. *Sap. i.* 16. εποιησε με ὡς πατερα. *Gen. xlv.* 8. ποιησαι σε ὁ Θεος ὡς Εφραιμ. *xlviii.* 20. *Esa. xli.* 15. και οἱ μακραν μνησθησονται μου. *Zach. x.* 9. διο εφαυλισα εμαυτον, και ετακην· ἡγημαι δε εμαυτον γην και σποδον. *Job. xlii.* 6. ειρηνην επ' ειρηνῃ τοις μακραν και τοις εγγυς ουσι. *Esa. lvii.* 19. *Dan. ix.* 7. *Zach. vi.* 15.

20 Και αναστας ηλθε προς τον πατερα ἑαυτου. Ετι δε αυτου μακραν απεχοντος, ειδεν αυτον ὁ πατηρ αυτου, και εσπλαγχνισθη, και δραμων επεπεσεν επι τον τραχηλον αυτου, και κατεφιλησεν αυτον.

Conf. Act. ii. 39. *Ephes. ii.* 12, 17. προσεπεσεν επι τον τραχηλον αυτου. *Gen. xxxiii.* 4. επιπεσων επι τον τραχηλον—και καταφιλησας. *Gen. xlv.* 14, 15. ὁτι συ Κυριε χρηστος και επιεικης, και πολυελεος πασι τοις επικαλουμενοις σε. *Ps. lxxxv.* 5.

21 Ειπε δε αυτῳ ὁ υἱος, Πατερ, ἡμαρτον εις τον ουρανον και ενωπιον σου, και ουκετι ειμι αξιος κληθηναι υἱος σου.

Conf. 1 *Mac. iii.* 18. σοι μονῳ ἡμαρτον, και το πονηρον ενωπιον σου εποιησα. *Ps. l.* 4. ἡμαρτηκα ενωπιον του πατρος σου. 1 *Reg. xx.* 1. αξιοι εισι της εκεινου μεριδος ειναι. *Sap. i.* 16. *Sir. xxi.* 1.

22 Ειπε δε ὁ πατηρ προς τους δουλους αὑτου, Εξενεγκατε την στολην την πρωτην, και ενδυσατε αυτον, και δοτε δακτυλιον εις την χειρα αυτου, και ὑποδηματα εις τους ποδας·

και ενεδυσεν αυτον στολην βυσσινην. *Gen. xli.* 42. τον δακτυλιον

απο της χειρος αυτου. *Id. Est. viii.* 2. 1 *Mac. vi.* 15. τα ὑποδηματα εν τοις ποσιν ὑμων. *Exod. xii.* 11. *Esa. lii.* 1. *lxi.* 10. *Sir. vi.* 31. στολισατω τον ανθρωπον ὁν ὁ βασιλευς αγαπᾳ κ. τ. λ. *Est. vi.* 9. και ελουσα σε εν ὑδατι, και απεπλυνα το αἱμα σου απο σου, και εχρισα σε εν ελαιῳ. Και ενεδυσα σε ποικιλα, και ὑπεδυσα σε ὑακινθον, κ. τ. λ. *Ezech. xvi.* 9-13. *Zach. iii.* 4-6.

23 Και ενεγκαντες τον μοσχον τον σιτευτον θυσατε, και φαγοντες ευφρανθωμεν·

μοσχος σιτευτος. *Jer. xxvi.* 21. *Jud. vi.* 25, 28. και ευφρανθητε μετ' εμου σημερον. 1 *Reg. xvi.* 5. *Conf. Deut. xii.* 15. *xxviii.* 39.

24 Ὁτι οὑτος ὁ υἱος μου νεκρος ην, και ανεζησε· και απολωλως ην, και εὑρεθη. Και ηρξαντο ευφραινεσθαι.

εγενηθην ὡσει ανθρωπος—εν νεκροις ελευθερος. *Ps. lxxxvii.* 4, 5. *Alex. Ald. Comp. Eccles. ix.* 5. *Esa. xxvi.* 14. ουκ ηθελε παυσασθαι επι τοις υἱοις αυτης, ὁτι ουκ εισι. *Jer. xxxi.* 15. και ηρξαντο ᾳδειν. 2 *Par. xxix.* 27. *Jon. iii.* 4. ουκ ιδου τουτο ὡς δαλος εξεσπασμενος εκ πυρος. *Zach. iii.* 3. *Ephes. ii.* 1. *Col. ii.* 13. *Apoc. iii.* 1. ει ζησεται τα οστεα ταυτα; *Ezech. xxxvii.* 3, 12. *Conf.* 1 *Tim. v.* 6. *Gen. xlv.* 28. [ευωχηθεντα· ευφρανθεντα. *Hesych. Conf. Fisch. p.* 579.]

25 Ην δε ὁ υἱος αυτου ὁ πρεσβυτερος εν αγρῳ· και ὡς ερχομενος ηγγισε τῃ οικιᾳ, ηκουσε συμφωνιας και χορων·

και ειπε τῳ παιδι αυτου τῳ πρεσβυτερῳ. *Gen. xxiv.* 2. εν αγρῳ. *Jud. xix.* 16. *Ruth. i.* 6. μετα τυμπανων και χορων. *Exod. xv.* 20. *Jud. xi.* 34. συμφωνιας. *Dan. iii.* 15. *Conf.* 1 *Mac. ix.* 37-39. *Esa. lxvi.* 10. 2 *Reg. vi.* 14. *Ps. cl.* 4. *Eccles. iii.* 4.

26 Και προσκαλεσαμενος ἑνα των παιδων αυτου, επυνθανετο τι ειη ταυτα;

επυνθανετο δε—οὑτως εχοντα τυγχανει. 2 *Mac. iii.* 9. *Matt. viii.* 6.

27 Ὁ δε ειπεν αυτῳ, Ὁτι ὁ αδελφος σου ἡκει· και εθυσεν ὁ πατηρ σου τον μοσχον τον σιτευτον, ὁτι ὑγιαινοντα αυτον απελαβεν.

ιδε, ει ὑγιαινουσιν οἱ αδελφοι σου. *Gen. xxxvii.* 13.

28 Ωργισθη δε, και ουκ ηθελεν εισελθειν. ὁ ουν πατηρ αυτου εξελθων παρεκαλει αυτον.

ουκ ηθελε παρακαλεισθαι. *Gen. xxxvii.* 34. *Conf. Gen. xxxi.* 27.

29 Ὁ δε αποκριθεις ειπε τῳ πατρι, Ιδου, τοσαυτα ετη δουλευω σοι, και ουδεποτε εντολην σου παρηλθον, και εμοι ουδεποτε εδωκας εριφον, ἱνα μετα των φιλων μου ευφρανθω.

δουλευσω σοι ἑπτα ετη. *Gen. xxix.* 18. ου παρηλθον τας εντολας του Κυριου. 2 *Par. viii.* 15. *Jer. xli.* 18. *Conf. Mal. iii.* 14.

30 Ὁτε δε ὁ υἱος σου οὑτος, ὁ καταφαγων σου τον βιον μετα πορνων, ηλθεν, εθυσας αυτῳ τον μοσχον τον σιτευτον.

ὁτι κατεφαγον τον Ιακωβ. *Ps. lxxviii.* 7. *xlix.* 18.

31 Ὁ δε ειπεν αυτῳ, Τεκνον, συ παντοτε μετ᾽ εμου ει, και παντα τα εμα σα εστιν.

και εσται ὁ Θεος σου μετα σου διαπαντος. *Esa. lviii.* 11. και τις ειμι εγω;—ὁτι σα τα παντα. 1 *Par. xxix.* 14. ει γαρ ἡ αποβολη αυτων καταλλαγη κοσμου· τις ἡ προσληψις, ει μη ζωη εκ νεκρων; *Rom. xi.* 15. συ εφεισω ὑπερ της κολοκυνθης κ. τ. λ. εγω δε ου φεισομαι ὑπερ Νινευη κ. τ. λ. *Jon. iv.* 10, 11. παντοτε. *Conf. Sturz. p.* 190. *Conf. Matt. xx.* 13. *Rom. ix.* 4.

32 Ευφρανθηναι δε και χαρηναι εδει, ὁτι ὁ αδελφος σου οὑτος νεκρος ην, και ανεζησε· και απολωλως ην, και εὑρεθη.

Conf. Jon. iv. 9-11. μη θελησει θελησω τον θανατον του ανομου, λεγει Κυριος, ὡς το αποστρεψαι αυτον εκ της ὁδου της πονηριας, και ζην αυτον; *Ezech. xviii.* 23. *Conf. Ps. lxxix.* 19. *cxviii.* 176.

ΚΕΦ. ιϛ. 16.

ΕΛΕΓΕ δε και προς τους μαθητας αὑτου, Ανθρωπος τις ην πλουσιος, ὁς ειχεν οικονομον· και οὑτος διεβληθη αυτῳ ὡς διασκορπιζων τα ὑπαρχοντα αυτου.

ανηρ τις. 2 *Par. xviii.* 7. και διεβαλον τους Ιουδαιους. *Dan. iii.* 8. 2 *Mac. iii.* 11. [νυν ουν ποιησον μετ᾽ αυτου κρισιν, και αφελου τον νεανιαν εις οικονομον. *Test. XII Patr. p.* 715. *Conf. Gen. xxiv.* 2. *xxxix.* 4.] και διαρπασαι τα ὑπαρχοντα αυτων. *Est. iii.* 13. *Conf. Ose. ii.* 8. *Prov. xviii.* 9.

2 Και φωνησας αυτον ειπεν αυτῳ, Τι τουτο ακουω περι σου; αποδος τον λογον της οικονομιας σου· ου γαρ δυνησῃ ετι οικονομειν.

φωνησον αυτον προς με. *Tob. v.* 8. του αποδιδοναι αυτοις τους σατραπας λογον. *Dan. vi.* 2. ου γαρ δυνησῃ οικονομειν, *i. e.* ουκ ετι οικονομησεις. *Ita, Gen. xix.* 22. *Conf. Marc. vi.* 5. και εκ της στασεως σου. *Esa. xxii.* 19, 21. *Conf. Eccles. xi.* 9, 10. *xii.* 14.

3 Ειπε δε εν ἑαυτῳ ὁ οικονομος, Τι ποιησω, ὁτι ὁ κυριος μου

αφαιρειται την οικονομιαν απ᾽ εμου; σκαπτειν ουκ ισχυω, επαιτειν αισχυνομαι.

ειπε δε εν ἑαυτῳ Αμαν. *Est. vi.* 6. αφελομενος την προγονικην δοξαν. 2 *Mac. xiv.* 7. και αφαιρεθησῃ εκ της οικονομιας σου. *Esa. xxii.* 19. επαιτειν. *Ps. cviii.* 10. *Conf. Sir. iv.* 21.

4 Εγνων τι ποιησω, ἱνα ὁταν μετασταθω της οικονομιας, δεξωνται με εις τους οικους αὑτων.

και την Ανα την μητερα ἑαυτου μετεστησε του μη ειναι ἡγουμενην. 3 *Reg. xv.* 13. 4 *Reg. xxiii.* 33. *Dan. ii.* 21. εγνων τι ποιησω— *decrevi quid faciam. Ita,* ἡν εγνω ὁ Θεος αναστηναι αυτον. *Psalt. Sal. xvii.* 47.

5 Και προσκαλεσαμενος ἑνα ἑκαστον των χρεωφειλετων του κυριου ἑαυτου, ελεγε τῳ πρωτῳ, Ποσον οφειλεις τῳ κυριῳ μου;

κατα ποσον; 1 *Esd. viii.* 78. 1 *Mac. xiii.* 15. χρεωφειλετης. *Prov. xxix.* 13.

6 Ὁ δε ειπεν, Ἑκατον βατους ελαιου. Και ειπεν αυτῳ, Δεξαι σου το γραμμα, και καθισας ταχεως γραψον πεντηκοντα.

αφησεις παν χρεος ιδιον, ὁ οφειλει σοι ὁ πλησιον. *Deut. xv.* 2. [ὁ δε βατος δυναται χωρησαι ξεστας ἑβδομηκοντα δυο. *Jos. Ant. viii.* 2. 9. γραμμα. *xviii.* 6. 3.]

7 Επειτα ἑτερῳ ειπε, Συ δε ποσον οφειλεις; Ὁ δε ειπεν, Ἑκατον κορους σιτου. Και λεγει αυτῳ, Δεξαι σου το γραμμα, και γραψον ογδοηκοντα.

ἑξηκοντα κοροι αλευρου. 3 *Reg. iv.* 22. 2 *Par. ii.* 10. [δυναται μεδιμνους Αττικους δεκα. *Jos. Ant. xv.* 9. 2.]

8 Και επῃνεσεν ὁ κυριος τον οικονομον της αδικιας, ὁτι φρονιμως εποιησεν· ὁτι οἱ υἱοι του αιωνος τουτου φρονιμωτεροι ὑπερ τους υἱους του φωτος εις την γενεαν την ἑαυτων εισι.

ζυγος αδικιας. *Ose. xii.* 7. οὑτοι οἱ υἱοι της χωρας. *Esd. ii.* 1. *Jer. ii.* 16. *Joel. iii.* 6. *Ps. cxlv.* 3. ὁ νομος σου, και φως τοις τριβοις μου. *Ps. cxviii.* 105. φως δικαιοις διαπαντος. *Prov. xiii.* 9. τελειος ων εν τῃ γενεᾳ αυτου. *Gen. vi.* 9. ου κρεισσων εγω ειμι ὑπερ τους πατερας μου. 3 *Reg. xix.* 4. *Conf. Ephes. v.* 8. 1. *Thess. v.* 5. *Ps. lxxii.* 12. επαινειται ὁ ἁμαρτωλος εν ταις επιθυμιαις. *Ps. ix.* 3. *Conf. Ps. xvi.* 14. *Job. xxii.* 15. *Comp.*

9 Καγω ὑμιν λεγω, Ποιησατε ἑαυτοις φιλους εκ του μαμωνα της αδικιας, ἱνα ὁταν εκλιπητε, δεξωνται ὑμας εις τας αιωνιους σκηνας.

και εκλειπων απεθανεν Ἁβρααμ. *Gen. xxv.* 8. *Judith. vii.* 22. *Jer. xlix.* 17, 18. οὑτως και ὑμεις γεννηθεντες, εξελιπομεν. *Sap. v.* 13. *Sir. iii.* 31. θεμα γαρ αγαθον θησαυριζεις σεαυτῳ εις ἡμεραν αναγκης. *Tob. iv.* 8, 9. συγκλεισον ελεημοσυνην εν τοις ταμειοις σου, και αὑτη εξελειται σε εκ πασης κακωσεως. *Sir. xxix.* 12. [μαμωναν· θησαυρον. *Hesych.*] της αδικιας. *Conf. Deut. xix.* 18. *Mich. vi.* 12. 1 *Reg. xxv.* 21. *Ps. xi.* 5. *Job. xiii.* 4. *Vide Keuchen in loc.* θυσιαζων εξ αδικου. *Sir. xxxi.* 18. εις τον αιωνιον τοπον. *Tob. iii.* 6. οὑτοι εισι θησαυροι δικαιοσυνης. *Esa. xxxiii.* 6. καγω. 1 *Reg. i.* 28. *Jer. xiii.* 26.

10 Ὁ πιστος εν ελαχιστῳ, και εν πολλῳ πιστος εστι. και ὁ εν ελαχιστῳ αδικος, και εν πολλῳ αδικος εστιν.

εν πολλῳ. *Ita,* μισθος πολυς. *Gen. xv.* 1. θυμος πολυς. *Dan. xi.* 44. σοφια πολλη. 1 *Reg. iv.* 29. *Conf. Matt. xxv.* 21.

11 Ει ουν εν τῳ αδικῳ μαμωνᾳ πιστοι ουκ εγενεσθε, το αληθινον τις ὑμιν πιστευσει;

ελαχιστῳ ξυλῳ πιστευουσιν ανθρωποι ψυχας. *Sap. xiv.* 5. *Conf. Sap. viii.* 5. εν τῳ αδικῳ μαμωνᾳ *in opibus caducis et fallacibus*—*Ita,* αδικος ὁ οινος, αδικος ὁ βασιλευς, κ. τ. λ. 1 *Esd. iv.* 37. ὁ δοξαζομενος εν πτωχειᾳ, και εν πλουτῳ ποσαχως; και ὁ αδοξος εν πλουτῳ, και εν πτωχειᾳ ποσαχως; *Sap. x.* 31. ὁ πονηρος ἑαυτῳ, τινι αγαθος εσται; κ. τ. λ. *Sir. xiv.* 5. [οἱ τον αληθη και βλεποντα πλουτον—ουδ᾽ οναρ ισασι. *Philo. de Leg. p.* 773.]

12 Και ει εν τῳ αλλοτριῳ πιστοι ουκ εγενεσθε, το ὑμετερον τις ὑμιν δωσει;

ὑιε εαν σοφος γενῃ σεαυτῳ, σοφος εσῃ και τοις πλησιον· εαν δε κακος αποβῃς, μονος αν αντλησεις κακα. *Prov. ix.* 12.

13 Ουδεις οικετης δυναται δυσι κυριοις δουλευειν· η γαρ τον ἑνα μισησει, και τον ἑτερον αγαπησει· η ἑνος ανθεξεται, και του ἑτερου καταφρονησει. Ου δυνασθε Θεῳ δουλευειν και μαμωνᾳ.

Conf. Matt. vi. 24. *x.* 37. ζυλον ζωης εστι πασι τοις αντεχομενοις αυτης. *Prov. iii.* 18. *Conf. Jos. xxiv.* 15. ει εστι Κυριος ὁ Θεος, πορευεσθε οπισω αυτου· ει δε Βααλ, πορευεσθε οπισω αυτου. 3 *Reg. xviii.* 21.

14 Ηκουον δε ταυτα παντα και οἱ Φαρισαιοι φιλαργυροι ὑπαρχοντες, και εξεμυκτηριζον αυτον.

φιλαργυρησαντες. 2 *Mac. x.* 20. φιλαργυρια. *Jer. viii.* 10. εκμυκτηριει αυτους. *Ps. ii.* 4. *xxi.* 7. *Conf. Matt. iii.* 7. *xxiii.* 14.

15 Και ειπεν αυτοις, Ὑμεις εστε οἱ δικαιουντες ἑαυτους ενωπιον των ανθρωπων, ὁ δε Θεος γινωσκει τας καρδιας ὑμων· ὁτι το εν ανθρωποις ὑψηλον, βδελυγμα ενωπιον του Θεου εστιν.

ου δικαιωθησεται ενωπιον σου πας ζων. *Ps. cxlii.* 2. και εδικαιωσας τας αδελφας σου εν πασαις ταις ανομιαις σου αἱς εποιησας. *Ezech. xvi.* 51. μη δικαιου εναντι Κυριου. *Sir. vii.* 5. Κυριος μονος δικαιωθησεται. *Sir. xviii.* 2. αυτος γαρ γινωσκει τα κρυφια της καρδιας. *Ps. xliii.* 21. *vii.* 9. και εταπεινωσας το ὑψηλον. *Ezech. xxi.* 26. και τα ὑψηλα απο μακροθεν γινωσκει. *Ps. cxxxvii.* 6. *Esa. x.* 33. ὁτι ουχ ὡς εμβλεψεται ανθρωπος οψεται ὁ Θεος. 1 *Reg. xvi.* 7. ακαθαρτος παρα Θεῳ πας ὑψηλοκαρδιος. *Prov. xvi.* 5. βδελυγμα δε αμαρτωλω θεοσεβεια. *Sir. i.* 24.

16 Ὁ νομος και οἱ προφηται ἑως Ιωαννου· απο τοτε ἡ βασιλεια του Θεου ευαγγελιζεται, και πας εις αυτην βιαζεται.

ὁ νομος και οἱ προφηται. *Prol. Sir.* απο τοτε. *Eccles. viii.* 12. και εβιασατο αυτον. *Gen. xxxiii.* 12. *Conf. Matt. xi.* 12. εδειξεν αυτῳ βασιλειαν Θεου. *Sap. x.* 10.

17 Ευκοπωτερον δε εστι τον ουρανον και την γην παρελθειν, η του νομου μιαν κεραιαν πεσειν.

εξουσια αιωνιος ἡτις ου παρελευσεται. *Dan. vii.* 14. ουκ επεσεν λογος εἱς. *Jos. xxiii.* 14. *Alex. O. Ald. Comp. Est. vi.* 10. 4 *Reg. x.* 10. *Ps. cii.* 26, 27. *Conf. Matt. v.* 18. *Ps. ci.* 26, 27. *Esa. xl.* 8. *li.* 6. 2 *Pet. ii.* 7. 10. *Rom. ix.* 6. εξηρανθη ὁ χορτος, και το ανθος εξεπεσε, το δε ῥημα του Θεου ἡμων μενει εις τον αιωνα. *Esa. xl.* 8. και συμπαραμενει τῳ ἡλιῳ, και προ της σεληνης γενεας γενεων. *Ps. lxxi.* 5. ὁ θρονος αυτου ὡς ὁ ἡλιος εναντιον μου. *Ps. lxxxviii.* 37.

18 Πας ὁ απολυων την γυναικα αὑτου και γαμων ἑτεραν, μοιχευει· και πας ὁ απολελυμενην απο ανδρος γαμων, μοιχευει.

Conf. Matt. v. 31. *xix.* 9. *Marc. x.* 11. 1 *Cor. vii.* 10. *Gen. ii.* 24.

19 Ανθρωπος δε τις ην πλουσιος, και ενεδιδυσκετο πορφυραν και βυσσον, ευφραινομενος καθ᾽ ἡμεραν λαμπρως.

ενεδιδυσκετο σακκον. *Judith. ix.* 1. εκ δε βυσσου και πορφυρας ἑαυτῃ ενδυματα. *Prov. xxxi.* 22. και πορφυραν περιβαλεισθαι, και εν χρυσωμασι πινειν, και επι χρυσῳ καθευδειν, κ. τ. λ. 1 *Esd. iii.* 6. *Judith. x.* 21. καθ᾽ ἡμεραν. *Num. iv.* 16. ευφρανθητε μετ᾽ εμου σημερον. 1 *Reg. xvi.* 5. λαμπρον επ᾽ αρτοις. *Sir. xxxiv.* 23. *Conf. Est. ix.* 15. και ανθρωπος εν τιμῃ ων ου συνηκε, παρασυνεληθη τοις κτηνεσι τοις ανοητοις, και ὡμοιωθη αυτοις. *Ps. xlviii.* 12.

20 Πτωχος δε τις ην ονοματι Λαζαρος, ὁς εβεβλητο προς τον
πυλωνα αυτου ἡλκωμενος

εν τῳ πυλωνι του οικου. *Gen. xliii.* 19. πλουσιος κοιμηθησεται, και ου προσθησει. *Job. xxvii.* 19. *Conf.* 1 *Reg. ii.* 8. *Job. ii.* 7. δυο ησαν ανδρες—εἱς πλουσιος, και εἱς πενης, κ.τ.λ. 2 *Reg. xii.* 1. *etc.*

21 Και επιθυμων χορτασθηναι απο των ψιχιων των πιπτοντων
απο της τραπεζης του πλουσιου· αλλα και οἱ κυνες ερχομενοι
απελειχον τα ἑλκη αυτου.

τους πτωχους αυτης χορτασω αρτων. *Ps. cxxxi.* 15. επι τραπεζης μεγαλης εκαθισας. *Sir. xxxiv.* 12. λειξουσιν οἱ κυνες το αἱμα σου. 3 *Reg. xx.* 19. οὑς ουχ ἡγησαμην αξιους κυνων των εμων νομαδων. *Job. xxx.* 1. επιθυμων. *Esa. lviii.* 2. *Vide Elsner in loc. Conf. Matt. v.* 29. *Jac. iii.* 6. *Deut. xv.* 7, 8. *Prov. iii.* 27.

22 Εγενετο δε αποθανειν τον πτωχον, και απενεχθηναι αυτον
ὑπο των αγγελων εις τον κολπον του Αβρααμ· απεθανε δε και
ὁ πλουσιος, και εταφη.

ἡ ζωη αυτων τιτρωσκομενη ὑπο αγγελων. *Job. xxxvi.* 14. εν κολπῳ αυτου οισεται. *Esa. xl.* 11. οὑτως γαρ θανοντας ἡμας Αβρααμ και Ισαακ και Ιακωβ ὑποδεξονται εις τους κολπους αυτων. 4 *Mac.* 13. απενεχθησονται τῳ βασιλει παρθενοι. *Ps. xliv.* 14. *Conf. Esa. lvii.* 1, 2. οἱ δε Αβραμαιοι παιδες—εις πατερων χορον συναγελαζονται, ψυχας ἁγνας και αθανατους απειληφοτες παρα του Θεου. 4 *Mac. sub fine.*

23 Και εν τῳ ᾳδῃ επαρας τους οφθαλμους αὑτου, ὑπαρχων εν
βασανοις, ὁρᾳ τον Αβρααμ απο μακροθεν, και Λαζαρον εν τοις
κολποις αυτου·

εν τῳ ᾳδῃ. *Ps. xlviii.* 14. και ηραν—τους οφθαλμους αυτων και ιδον. 1 *Mac. iv.* 12. βασανος των αδικιων. *Ezech. vii.* 19. και ου μη ἁψηται αυτων βασανος. *Sap. iii.* 1. 4 *Mac.* 9. απο μακροθεν. *Ps. xxxvii.* 12. *Conf. Sap. xi.* 9, 10. ουχ ὁμοια δικαιοις διψησαντες. 14. [οἱ εν συμφοραις ὑπαρχοντες. *Jos. Ant. vii.* 15. 2.]

24 Και αυτος φωνησας ειπε, Πατερ Αβρααμ, ελεησον με, και
πεμψον Λαζαρον, ἱνα βαψῃ το ακρον του δακτυλου αὑτου
ὑδατος, και καταψυξῃ την γλωσσαν μου· ὁτι οδυνωμαι εν τῃ
φλογι ταυτῃ.

ελεησον με Κυριε, ὁτι θλιβομαι. *Ps. xxx.* 9. και βαψει ὁ ἱερευς τον δακτυλον αυτου. *Lev. iv.* 17. καταψυξει σε ὑδωρ πολυ. *Ezech. xxvi.* 19. *Ald.* εν πυρι καταναλωθησεται—και οδυνηθησεται σφο-

δρα. *Zach. iv.* 5. εν φλογι πυρος. *Esa. lxvi.* 15. και ἡ γλωσσα αυτων τακησεται εν τῳ στοματι αυτων. *Zach. xiv.* 12. *Conf. Esa. lxvi.* 24. *Marc. ix.* 44. εκ λακκου ουκ εχοντος ὑδωρ. *Zach. ix.* 11. τις αναγγελει ὑμιν ὁτι πυρ καιεται; τις αναγγελει ὑμιν τον τοπον τον αιωνιον; *Esa. xxxiii.* 14. ζητησουσι γαρ ὑδωρ, και ουκ εσται, ἡ γλωσσα αυτων απο της διψης εξηρανθη. *xli.* 17.

25 Ειπε δε Αβρααμ, Τεκνον, μνησθητι ὁτι απελαβες συ τα αγαθα σου εν τῃ ζωῃ σου, και Λαζαρος ὁμοιως τα κακα· νυν δε ὁδε παρακαλειται, συ δε οδυνασαι.

συνετελεσαν δε εν αγαθοις τον βιον αυτων, εν δε αναπαυσει ᾁδου εκοιμηθησαν. *Job. xxi.* 13. ει τα αγαθα εδεξαμεθα εκ χειρος Κυριου, τα κακα ουχ ὑποισομεν; *Job. ii.* 10. *Conf. Prov. xi.* 10. και περι ἡμων οδυναται. *Esa. liii.* 4. και εν ζωῃ αυτου εποιησε τερατα. *Sir. xlviii.* 14. και εσονται μετα τουτο εις πτωμα ατιμον, και εις ὑβριν εν νεκροις δι' αιωνος. *Sap. iv.* 18.

26 Και επι πασι τουτοις μεταξυ ἡμων και ὑμων χασμα μεγα εστηρικται, ὁπως οἱ θελοντες διαβηναι εντευθεν προς ὑμας, μη δυνωνται, μηδε οἱ εκειθεν προς ἡμας διαπερωσιν.

χαος μεγα σφοδρα. *Zach. xiv.* 4. εις χασμα μεγα. 2 *Reg. xviii.* 17. νυκτα εξ αδυνατου ᾁδου μυχων επελθουσαν. *Sap. xvii.* 14. *Esa. lvii.* 9. *Ps. lxxxv.* 13. μεταξυ ὑδατος. *Sap. xvi.* 19. επι τουτοις. 2 *Par. xxix.* 10. *Job. xxiii.* 15. ενθεν και ενθεν. *Ezech. xl.* 12. φραγμος εντευθεν και φραγμος εντευθεν. *Num. xxii.* 24. *Esa. v.* 25. ὁπως. *Amos. ii.* 7. *Sap. xvi.* 28. οἱ εκειθεν. *Conf. Gen. xxviii.* 2, 6. διαπερωσιν. 2 *Reg. xix.* 15. *Ald. Esa. xxiii.* 2.

27 Ειπε δε, Ερωτω ουν σε, πατερ, ἱνα πεμψῃς αυτον εις τον οικον του πατρος μου,

ερωτησω δε σε, συ δε με διδαξον. *Job. xlii.* 4. εις τον οικον του πατρος μου πορευσῃ. *Gen. xxiv.* 38. πατερ. 4 *Reg. ii.* 12. *vi.* 2.

28 Εχω γαρ πεντε αδελφους· ὁπως διαμαρτυρηται αυτοις, ἱνα μη και αυτοι ελθωσιν εις τον τοπου τουτον της βασανου.

ακουσον λαος μου—και διαμαρτυρομαι σου. *Ps. xlix.* 8. *Ezech. xvi.* 2. εν τοπῳ κακωσεως. *Ps. xliii.* 19. ἱνα την λειπουσαν ταις βασανοις προσαναπληρωσωσιν κολασιν. *Sap. xix.* 4. ὡς προβατα εν ᾁδῃ εθεντο, θανατος ποιμανει αυτους, κ. τ. λ. *Ps. xlix.* 14.

29 Λεγει αυτῳ Αβρααμ, Εχουσι Μωσεα και τους προφητας· ακουσατωσαν αυτων.

μνησθητε νομου Μωυση του δουλου μου. *Neh. iv.* 4. νομον γαρ εις βοηθειαν εδωκε. *Esa. viii.* 20. *Conf. Joan. v.* 39. 45. *Act. xv.* 21. *xvii.* 11. του νομου και των προφητων. *Prol. Sir.*

30 Ὁ δε ειπεν, Ουχι, πατερ Αβρααμ· αλλ᾽ εαν τις απο νεκ-
ρων πορευθῃ προς αυτους, μετανοησουσιν.

ὁ εγειρας νεκρον εκ θανατου. *Sir. xlviii.* 5. πορευθω εν μεσῳ σκιας θανατου. *Ps. xxii.* 4. μετανοησουσι. *Jon. iii.* 5-10.

31 Ειπε δε αυτῳ, Ει Μωσεως και των προφητων ουκ ακουουσιν,
ουδε εαν τις εκ νεκρων αναστῃ, πεισθησονται.

ουκ ακουσεσθε των λογων του προφητου. *Deut. xiii.* 3. αναστησονται οἱ νεκροι. *Esa. xxvi.* 19. *Conf. Esa. viii.* 19. 20. τοτε φανεροι εσονται οἱ σφραγιζομενοι τον νομον του μη μαθειν, κ.τ.λ. 16. εμπιστευσατε εν Κυριῳ Θεῳ ἡμων, και εμπιστευθησεσθε· εμπιστευσατε εν προφητῃ αυτου, και ευοδωθησεσθε. 2 *Par. xx.* 20.

ΚΕΦ. ιζ. 17.

ΕΙΠΕ δε προς τους μαθητας, Ανενδεκτον εστι μη ελθειν τα
σκανδαλα· ουαι δε δι᾽ οὑ ερχεται.

Marc. ix. 42. 1 *Cor. xi.* 19. ἁ δε ην ενδεχομενα συνεχωρησε. 2 *Mac. xi.* 18. *Luc. xiii.* 33. μετοχος ειδωλων Εφραϊμ εθηκεν ἑαυτῳ σκανδαλα. *Ose. iv.* 17. αναγκη γαρ εστιν ελθειν τα σκανδαλα, κ. τ. λ. *Matt. xviii.* 7. ουαι σοι. *Num. xxi.* 29. *Esa. x.* 1.

2 Λυσιτελει αυτῳ ει μυλος ονικος περικειται περι τον τραχη-
λον αυτου, και ερῥιπται εις την θαλασσαν, η ἱνα σκανδαλισῃ
ἑνα των μικρων τουτων.

ερῥιψαν αυτον εις τον λακκον. *Gen. xxxvii.* 24. ερῥιψεν εις θαλασσαν. *Exod. xv.* 1. λυσιτελει μοι αποθανειν η ζῃν. *Tob. iii.* 6. φωνην μυλου. *Jer. xxv.* 10. *alii.* λαβε μυλον. *Esa. xlvii.* 2. *Conf. Matt. xviii.* 6. *Marc. ix.* 42. ῥιφησεται εις τον λακκον. *Dan. vi.* 8. *LXX.* των μικρων τουτων. *Conf. Ps. cxviii.* 141. ει. *Gen. xlv.* 28.

3 Προσεχετε ἑαυτοις. εαν δε ἁμαρτῃ εις σε ὁ αδελφος σου,
επιτιμησον αυτῳ· και εαν μετανοησῃ, αφες αυτῳ.

προσεχε σεαυτῳ. *Gen. xxiv.* 6. *Exod. xxxiv.* 12. *Conf. Lev. xix.* 17. *Prov. xvii.* 10. *et pass. Conf. Matt. xviii.* 15, 16. μη ελεγχε κακους, ἱνα μισησωσι σε· ελεγχε σοφον, και αγαπησει σε. *Prov. ix.* 8. *Conf. Jer. xviii.* 8. *Joel. ii.* 13. *Matt. vi.* 12.

4 Και εαν ἑπτακις της ἡμερας ἁμαρτῃ εις σε, και ἑπτακις της ἡμερας επιστρεψῃ επι σε, λεγων, Μετανοω, αφησεις αυτῳ.

ἑπτακις, sæpius. Ps. cxviii. 164. *Sir. vii.* 3. *xix.* 14. *xxxii.* 11. *επιστραφησῃ επι Κυριον τον Θεον σου. Deut. xxx.* 2. *iv.* 30. *Sir. xvii.* 25. *και αφεθησεται αυτῳ ἡ ἁμαρτια. Lev. xix.* 22. *Conf. Jac. v.* 19. *Prov. xxvii.* 10. *Ephes. iv.* 26.

5 Και ειπον οἱ αποστολοι τῳ Κυριῳ, Προσθες ἡμιν πιστιν.

προσθες αυτοις κακα Κυριε. Esa. xxvi. 15. *Conf. Matt. xvii.* 19.

6 Ειπε δε ὁ Κυριος, Ει ειχετε πιστιν, ὡς κοκκον σιναπεως, ελεγετε αν τῃ συκαμινῳ ταυτῃ, Εκριζωθητι, και φυτευθητι εν τῃ θαλασσῃ· και ὑπηκουσεν αν ὑμιν.

Conf. Matt. xvii. 20. *Marc. xi.* 23. *ὑπο βιας ανεμων εκριζωθησεται. Sap. iv.* 4. *ὑπακουσωσι σοι. Deut. xx.* 12. *προσευχη ταπεινου νεφελας διηλθε, και ἑως συνεγγισῃ ου μη παρακληθῃ, κ. τ. λ. Sir. xxxii.* 17. *Conf. Esa. liv.* 10. *Zach. iv.* 7.

7 Τις δε εξ ὑμων δουλον εχων αροτριωντα η ποιμαινοντα, ὁς εισελθοντι εκ του αγρου ερει, Ευθεως παρελθων αναπεσαι·

και εισελθουσα ανεπεσεν Ιουδιθ. Judith. xii. 16. *Tob. ii.* 1. *εισαγαγε τους ανθρωπους εις την οικιαν, και σφαξον θυματα, και ἑτοιμασον. Gen. xliii.* 16. *Conf.* 1 *Reg. xvi.* 11. 19. 3 *Reg. xix.* 19. 2 *Reg. xii.* 20. *Job. i.* 14.

8 Αλλ᾽ ουχι ερει αυτῳ, Ἑτοιμασον τι δειπνησω, και περιζωσαμενος διακονει μοι, ἑως φαγω και πιω· και μετα ταυτα φαγεσαι και πιεσαι συ;

φαγεσθε αυτο. αἱ οσφυες ὑμων περιεζωσμεναι. Exod. xii. 11. *και Σαμουηλ ην λειτουργων——παιδαριον περιεζωσμενον εφουδ.* 1 *Reg. ii.* 18. *και μετα ταυτα.* 2 *Par. xxxii.* 9. *Conf. Joan. xiii.* 16.

9 Μη χαριν εχει τῳ δουλῳ εκεινῳ, ὁτι εποιησε τα διαταχθεντα αυτῳ; ου δοκω.

πολλας τῳ Ονιᾳ τῳ αρχιερει χαριτας εχε. 2 *Mac. iii.* 33. *ἡ καρδια μου εις τα διατεταγμενα τῳ Ισραηλ. Jud. v.* 9. *Dan. i.* 5.

10 Οὑτω και ὑμεις, ὁταν ποιησητε παντα τα διαταχθεντα ὑμιν, λεγετε, Ὁτι δουλοι αχρειοι εσμεν· ὁτι ὁ ωφειλομεν ποιησαι, πεποιηκαμεν.

και εσομαι αχρειος εν οφθαλμοις σου. 2 *Reg. vi.* 22. *Tob. iv.* 13. *τι γαρ μελει τῳ Κυριῳ, εαν συ ησθα τοις εργοις αμεμπτος; η ωφελεια, ὁτι ἁπλωσῃς τον ὁδον σου; Job. xxii.* 3. *Conf.* 1 *Cor.*

ix. 16. *Job. xxxv.* 7. *Ps. xv.* 2. *Rom. xi.* 35. ειπα τῳ Κυριῳ, Κυριος μου ει συ, ὁτι των αγαθων μου ου χρειαν εχεις. *Ps. xv.* 2. ὁτι σα τα παντα, και εκ των σων δεδωκαμεν σοι. 1 *Par. xxix.* 14. *Conf. Esa. lxiv.* 6. *Matt. xxv.* 37-40.

11 Και εγενετο εν τῳ πορευεσθαι αυτον εις Ἱερουσαλημ, και αυτος διηρχετο δια μεσου Σαμαρειας και Γαλιλαιας.

και εγενετο εν τῳ κρινειν τους κριτας. *Ruth. i.* 1. και διηλθε δια μεσου της πολεως. *Jer. xliv.* 4. *Conf. Joan. iv.* 4. [εν Σεμαρεωνι λεγομενῃ πολει, ὑπο δε Ελληνων Σαμαρειᾳ καλουμενῃ, κ. τ. λ. *Jos. Ant. viii.* 12. 5.]

12 Και εισερχομενου αυτου εις τινα κωμην, απηντησαν αυτῳ δεκα λεπροι ανδρες, οἱ εστησαν πορρωθεν·

Conf. Lev. xiii. 46. ιδοντες δε αυτον πορρωθεν. *Job. ii.* 12. εξαποστειλατωσαν εκ της παρεμβολης παντα λεπρον, κ. τ. λ. *Num. v.* 2.

13 Και αυτοι ηραν φωνην λεγοντες· Ιησου, επιστατα, ελεησον ἡμας.

επιστατα. *Cap. v.* 5. *et Grot. in loc.* επῃραν—φωνας. *Ps. xcii.* 3. ελεησον με, Κυριε, ὁτι ασθενης ειμι. *Ps. vi.* 2. *ix.* 13. *xxiv.* 16. ὁ Θεος ελεησαι σε. *Gen. xliii.* 29.

14 Και ιδων ειπεν αυτοις, Πορευθεντες επιδειξατε ἑαυτους τοις ἱερευσι. Και εγενετο εν τῳ ὑπαγειν αυτους, εκαθαρισθησαν.

Conf. Matt. viii. 4. και καθαριει ὁ ἱερευς την ἁφην. *Lev. xiii.* 17. *xiv.* 2. *xv.* 27. και εγενετο εν τῳ κοπτειν αυτους. *Ezech. ix.* 8. μετα το καθαρισθηναι αυτον. *xiii.* 35.

15 Εἱς δε εξ αυτων, ιδων ὁτι ιαθη, ὑπεστρεψε, μετα φωνης μεγαλης δοξαζων τον Θεον·

εστρεψας τον κοπετον μου εις χαραν εμοι, διερρηξας τον σακκον μου, και περιεζωσας με ευφροσυνην, κ. τ. λ. *Ps. xxix.* 11. 12. αποστειλατε εξ ὑμων ἑνα. *Gen. xlii.* 16. ὁτι ιαθη ἡ ἁφη. *Lev. xiv.* 48. ιδου ιαται ἡ ἁφη της λεπρας. *xiv.* 3. οὑτος μου Θεος, και δοξασω αυτον. *Exod. xv.* 2. και εβοησε φωνῃ μεγαλῃ. 2 *Par. xxxii.* 18. και ὑπεστρεψαν. *Jos. ii.* 23.

16 Και επεσεν επι προσωπον παρα τους ποδας αυτου, ευχαριστων αυτῳ· και αυτος ην Σαμαρειτης.

και επεσεν επι προσωπον επι την γην. 2 *Par. vii.* 3. παρα ταυτα παντα ευχαριστησωμεν Κυριῳ. *Judith. viii.* 25. *Conf. Joan. iv.* 9. [Σαμαρειτις χωρα. *Jos. Bell. Jud. iii.* 3, 4. ἡ Σαμαρειτις. *iii.* 7. 32.] *Conf.* 1 *Reg. xxv.* 23, 24. 4 *Reg. iv.* 37.

17 Αποκριθεις δε ὁ Ιησους ειπεν, Ουχι οἱ δεκα εκαθαρισθησαν; οἱ δε εννεα που;

εταχυναν, επελαθοντο των εργων αυτου, κ.τ.λ. Ps. cv. 13.

18 Ουχ εὑρεθησαν ὑποστρεψαντες δουναι δοξαν τῳ Θεῳ, ει μη ὁ αλλογενης οὑτος;

δοτε δοξαν αινεσει αυτου. Ps. lxv. 2. *τῳ δε Αδαμ ουχ εὑρεθη βοηθος. Gen. ii.* 20. *Exod. xxxv.* 23. *Alex. και αδικια ουχ εὑρεθη εν χειλεσιν αυτου. Mal. ii.* 6. *Conf. Ps. xxviii.* 1, 2. *xlix.* 23. *Esa. xlii.* 12. *και πας αλλογενης ου φαγεται ἁγια. Lev. xxii.* 10. *εὑρεθην τοις εμε μη ζητουσι, κ.τ.λ. Esa. lxv.* 1. *Conf. Exod. xii.* 43. *μη λεγετω ὁ αλλογενης ὁ προσκειμενος προς Κυριον, Αφοριει με αρα Κυριος απο του λαου αυτου, κ.τ.λ. Esa. lvi.* 3-11. *σωσον με Κυριε, ὁτι εκλελοιπεν ὁσιος, ὁτι ωλιγωθησαν αἱ αληθειαι απο των υἱων των ανθρωπων. Ps. xi.* 1. *Matt. viii.* 10. *xv.* 24.

19 Και ειπεν αυτῳ, Αναστας πορευου· ἡ πιστις σου σεσωκε σε.

αναστας επορευθη. Gen. xxii. 3. *αναστας, καθισον. xxvii.* 19. *xix.* 15. *ὁ δε δικαιος εκ πιστεως μου ζησεται. Hab. ii.* 4. *πορευου. Exod. ii.* 8. *Conf. Matt. ix.* 22. *Marc. v.* 34. *Luc. vii.* 50. *viii.* 48. *xviii.* 42. 4 *Reg. v.* 10.

20 Επερωτηθεις δε ὑπο των Φαρισαιων, ποτε ερχεται ἡ βασιλεια του Θεου, απεκριθη αυτοις και ειπεν, Ουκ ερχεται ἡ βασιλεια του Θεου μετα παρατηρησεως·

επερωτησαι με ὑμεις ερχεσθε; Ezech. xx. 3. 2 *Mac. iii.* 37. *παρατηρησεως. Exod. xii.* 42. *Aq. Dan. vi.* 11. *Ps. xxxvi.* 12. *ἡ βασιλεια αυτου βασιλεια αιωνιος. Dan. iii.* 34. *iv.* 14. *ουκ εν δυναμει μεγαλῃ, ουδε εν ισχυϊ, αλλα εν πνευματι μου. Zach. iv.* 6. *Deut. xxx.* 11-14. *Matt. iii.* 7. *xxiv.* 23. *Marc. xiii.* 21. *συ δευρο, και αναπαυου—και αναστησῃ, κ.τ.λ. Dan. xii.* 13.

21 Ουδε ερουσιν, Ιδου ὡδε, η ιδου εκει. ιδου γαρ, ἡ βασιλεια του Θεου εντος ὑμων εστιν.

εθερμανθη ἡ καρδια εντος μου. Ps. xxxviii. 3. *cviii.* 22.

22 Ειπε δε προς τους μαθητας, Ελευσονται ἡμεραι, ὁτε επιθυμησετε μιαν των ἡμερων του υἱου του ανθρωπου ιδειν, και ουκ οψεσθε.

ιδου ἡμεραι ερχονται Κυριου. Zach. xiv. 1. *ουαι οἱ επιθυμουντες την ἡμεραν Κυριου. ἱνατι αὑτη ὑμιν ἡ ἡμερα του Κυριου; και αὑτη εστι σκοτος, και ου φως. Amos. v.* 18. *οψεται φως. Ps. xlviii.* 19. *θανατον. lxxxviii.* 48. *Conf. Matt. ix.* 15. *και ιδου μετα των*

νεφελων του ουρανου, ὡς υἱος ανθρωπου ερχομενος, κ. τ. λ. Dan. vii. 13, 14. *Conf. Joan. vii.* 33-36. *viii.* 21-24. *xii.* 35.

23 Και ερουσιν ὑμιν, Ιδου ὡδε, η ιδου εκει· μη απελθητε, μηδε διωξητε.

Conf. Matt. xxiv. 23. *Marc. xiii.* 21.

24 Ὡσπερ γαρ ἡ αστραπη ἡ αστραπτουσα εκ της ὑπ᾽ ουρανον εις την ὑπ᾽ ουρανον λαμπει· οὑτως εσται και ὁ υἱος του ανθρωπου εν τῃ ἡμερᾳ αὑτου.

ὡσπερ γαρ—οὑτως. Eccles. v. 15. *οὑτως εσται. Obd.* 15. *τῃ ὑπ᾽ ουρανον πασῃ (χωρᾳ), Bar. v.* 3. *Job. xviii.* 4. *xxviii.* 24. *xxxviii.* 18. *Prov. viii.* 28. 2 *Mac. ii.* 18. *Conf. Matt. xxiv.* 27. *και εξελευσεται ὡς αστραπη βολις, κ.τ. λ. Zach. ix.* 14. *Mal. iii.* 1.

25 Πρωτον δε δει αυτον πολλα παθειν, και αποδοκιμασθηναι απο της γενεας ταυτης.

τα χειριστα παθων. 2 *Mac. ix.* 28. *λιθον ὁν απεδοκιμασαν οἱ οικοδομουντες. Ps. cxvii.* 22. *και μη με αποδοκιμασῃς εκ παιδων σου. Sap. ix.* 4. *Conf. Matt. xii.* 42. *Marc. viii.* 31. *Luc. ix.* 22.

26 Και καθως εγενετο εν ταις ἡμεραις του Νωε, οὑτως εσται και εν ταις ἡμεραις του υἱου του ανθρωπου.

Conf. Matt. xxiv. 37. 1 *Pet. iii.* 10. *Gen. vi.* 2. *vii.* 7. [*το καθα οἱ Αττικοι χρωνται, το δε καθως ουδεποτε· αλλ᾽ ἡ των Αλεξανδρεων διαλεκτος, καθ᾽ ἡν ἡ θεια γραφη γεγραπται. Moscopul. Sturz. p.* 75. *Hodius de Bib. Text. p.* 112.]

27 Ησθιον, επινον, εγαμουν, εξεγαμιζοντο, αχρι ἡς ἡμερας εισηλθε Νωε εις την κιβωτον, και ηλθεν ὁ κατακλυσμος, και απωλεσεν ἁπαντας.

Conf. Esa. xxii. 13. 1 *Cor. xv.* 32. *Deut. vi.* 10-12. *εν τῃ ἡμερᾳ ταυτῃ εισηλθε—εις την κιβωτον. Gen. vii.* 13. *αχρι αιωνος.* 2 *Mac. xiv.* 15. *και εγενετο ὁ κατακλυσμος, κ. τ. λ. Gen. vii.* 17. *και εξηλειφησαν απο της γης, και κατελειφθη μονος Νωη, και οἱ μετ᾽ αυτου εν τῃ κιβωτῳ.* [*Jos. Ant. i.* 3. 1, 2.]

28 Ὁμοιως και ὡς εγενετο εν ταις ἡμεραις Λωτ· ησθιον, επινον, ηγοραζον, επωλουν, εφυτευον, ῳκοδομουν·

Conf. Gen. xix. 14. *εξηλθε δε Λωτ, και ελαλησε προς τους γαμβρους αυτου, κ. τ. λ.* [*Philo. de Migrat. Abrah. p.* 321.]

29 Ἡ δε ἡμερᾳ εξηλθε Λωτ απο Σοδομων, εβρεξε πυρ και θειον απ᾽ ουρανου, και απωλεσεν ἁπαντας·

και Κυριος εβρεξεν επι Σοδομα και Γομορρα θειον και πυρ παρα

Κυριου εξ ουρανου. *Gen. xix.* 24. *Juda.* 7. *Deut. xxix.* 23. *Esa. xiii.* 19. *Jer. xxvii.* 40. *Ose. xi.* 8. [*Jos. Ant. i.* 11. *Philo. p.* 512.]

30 *Κατα ταυτα εσται ἡ ἡμερᾳ ὁ υἱος του ανθρωπου αποκαλυπτεται.*

και το ελεος μου αποκαλυφθηναι. Esa. lvi. 1. *ὁ βραχιων* Κυριου *τινι απεκαλυφθη; liii.* 1. Ιδου *γαρ ἡμερα* Κυριου *ερχεται ανιατος, θυμου και οργης, κ. τ. λ. Esa. xiii.* 9. *Matt. xxiv.* 3. 27.

31 Εν *εκεινῃ τῃ ἡμερᾳ, ὁς εσται επι του δωματος, και τα σκευη αυτου εν τῃ οικιᾳ, μη καταβατω αραι αυτα· και ὁ εν τῳ αγρῳ ὁμοιως μη επιστρεψατω εις τα οπισω.*

και εσται εν τῃ ἡμερᾳ εκεινῃ. Ose. v. 1. *ii.* 16. *αὑτη δε ανεβη προς αυτους επι το δωμα. Jos. ii.* 8. *εποιησαν ἑαυτοις σκηνας, ανηρ επι του δωματος. Neh. viii.* 18. *τι εὑρες ἀπο παντων των σκευων του οικου σου; Gen. xxxi.* 17. *εν τῳ αγρῳ. Gen. xxiii.* 17. *Jud. xiii.* 9. *αποστραφειησαν εις τα οπισω. Ps. lxix.* 3. *μη περιβλεψῃ εις τα οπισω. Gen. xix.* 17. *και επεβλεψεν ἡ γυνη αυτου εις τα οπισω.* 26. *Conf. Matt. xxiv.* 17, 18. *Marc. xiii.* 15. *δερμα ὑπερ δερματος, ὁσα αν ὑπαρχει ανθρωπῳ ὑπερ της ψυχης αυτου εκτισει. Job. ii.* 4.

32 Μνημονευετε *της γυναικος* Λωτ.

Conf. Gen. xix. 26. *μνησθητι ὁσα εποιησε* Κυριος *ὁ* Θεος *σου τῃ* Μαριαμ, *κ.τ.λ. Deut. xxiv.* 9. *απιστουσης ψυχης μνημειον ἑστηκυια στηλη ἁλος. Sap. x.* 7. [*τροπον τινα και* Λωτ *γυναικος της λιθουμενης δια το* Σοδομων *ερᾳν, κ. τ. λ. Philo* 2 *Alleg. p.* 100.]

33 Ὁς *εαν ζητησῃ την ψυχην αὑτου σωσαι, απολεσει αυτην· και ὁς εαν απολεσῃ αυτην, ζωογονησει αυτην.*

και εζητει αυτον αποκτειναι. Exod. iv. 24. *αποκτειναι ψυχας ἁς ουκ εδει αποθανειν, και περιεποιουντο ψυχας ἁς ουκ εδει ζησαι. Ezech. xiii.* 19. *Alex. του απολεσαι ψυχας. xxii.* 27. Κυριος *θανατοι και ζωογονει.* 1 *Reg. ii.* 6. *ειπως ζωογονησει τας ψυχας ἡμων.* 3 *Reg. xxi.* 31. *Conf. Matt. x.* 39. *Marc. viii.* 35. *Joan. xii.* 25. *ὁς εαν. Conf. Gen. xv.* 14. *xxi.* 22. *Hoogeveen. p.* 264

34 Λεγω *ὑμιν,* Ταυτῃ *τῃ νυκτι εσονται δυο επι κλινης μιας· ὁ εἱς παραληφθησεται, και ὁ ἑτερος αφεθησεται.*

και οψεσθε αναμεσον δικαιου, και αναμεσον ανομου, και αναμεσον δουλευοντος Θεῳ, *και του μη δουλευοντος. Mal. iii.* 18. *εν αυτῃ τῃ νυκτι. Dan. v.* 32. *Conf. Matt. xxiv.* 40, 41. 1 *Thess. iv.* 17. *Ps. xxv.* 9. *xxvii.* 3. *Ezech. ix.* 4-6. *Jer. xlv.* 4.

35 Δυο εσονται αληθουσαι επι το αυτο· ἡ μια παραληφθησεται, και ἡ ἑτερα αφεθησεται.

Conf. Matt. xxiv. 41. *Exod. xi.* 5. *Jud. xvi.* 21.

36 Και αποκριθεντες λεγουσιν αυτῳ, Που, Κυριε; Ὁ δε ειπεν αυτοις, Ὁπου το σωμα, εκει συναχθησονται οἱ αετοι.

Conf. Matt. xxiv. 28. Νεοσσοι δε αυτου (αετου) φυρονται εν αἱματι, οὑ δ' αν ωσι τεθνεωτες παραχρημα εὑρισκονται. *Job. xxxix.* 30. και εζητηθη ὑπο του βασιλεως τα σωματα, και ουχ εὑρεθη. *Tob. i.* 18. *Conf. Dan. ix.* 26. *Amos. ix.* 1. *Zach. xiii.* 8.

ΚΕΦ. ιη. 18.

ΕΛΕΓΕ δε και παραβολην αυτοις προς το δειν παντοτε προσευχεσθαι, και μη εκκακειν,

προς το μακρυναι ὑμας. *Jer. xxxiv.* 10. *Conf. Ephes. iii.* 13. προσευξονται περι αυτου διαπαντος. *Ps. lxxi.* 15. μη ολιγοψυχησῃς εν τῃ προσευχῃ σου. *Sir. vii.* 10. εν τῳ εκλειπειν απ' εμου την ψυχην μου, του Κυριου εμνησθην, και ελθοι προς σε ἡ προσευχη μου, κ. τ. λ. *Jon. ii.* 8. [εκκακειν· αμελειν. *Hesych.*]

2 Λεγων, Κριτης τις ην εν τινι πολει, τον Θεον μη φοβουμενος, και ανθρωπον μη εντρεπομενος.

τις εν ὑμιν ὁ φοβουμενος τον Κυριον; *Esa. l.* 10. *Exod. i.* 17. 21. *Lev. xix.* 14. ἑως τινος ου βουλει εντραπηναι με; *Exod. x.* 3. 1 *Reg. xxv.* 35. *Comp. Sym.* 1 *Reg. ii.* 26. *Luc. ii.* 52.

3 Χηρα δε ην εν τῃ πολει εκεινῃ, και ηρχετο προς αυτον, λεγουσα, Εκδικησον με απο του αντιδικου μου.

εγω κρινω τον αντιδικον σου. *Jer. li.* 36. αμωμοι εκδικηθησονται. *Ps. xxxvii.* 28. 1 *Reg. xxv.* 33. *Sym.* 1 *Mac. xiii.* 6. *Conf. Sir. xxxii.* 15.

4 Και ουκ ηθελησεν επι χρονον· μετα δε ταυτα ειπεν εν ἑαυτῳ, Ει και τον Θεον ου φοβουμαι, και ανθρωπον ουκ εντρεπομαι·

κρινω εγω, μετα δε ταυτα εξελευσονται. *Gen. xv.* 14. ειπε δε εν ἑαυτῳ Αμαν. *Est. vi.* 7. *Conf. Exod. v.* 2. επι χρονον—μεθ' ἡμερας. *Gen. iv.* 3. ουκ εθελησε. *Num. xx.* 21. *Jer. v.* 28.

5 Δια γε το παρεχειν μοι κοπον την χηραν ταυτην, εκδικησω αυτην, ἱνα μη εις τελος ερχομενη ὑπωπιαζῃ με.

και παρεσχον πονον τοις βοηθησασιν αυτοις. *Sir. xxix.* 4. ουκ εις τελος οργισθησεται. *Ps. cii.* 9. *xii.* 1. *cii.* 9. ὑπωπια και συντρι-

ματα. *Prov. xx.* 29. ὑπωιαζῃ. *Conf. Suicer. Thes. Eccles. tom. ii. p.* 1400. *Heb. iv.* 12.

6 Ειπε δε ὁ Κυριος, Ακουσατε τι ὁ κριτης της αδικιας λεγει·

ὁ οικος της αδικιας. *Ose. iv.* 16. λεγει. *Conf. Luc. i.* 24.

7 Ὁ δε Θεος ου μη ποιησει την εκδικησιν των εκλεκτων αὑτου, των βοωντων προς αυτον ἡμερας και νυκτος, και μακροθυμων επ᾽ αυτοις;

και ὁ Κυριος ου μη βραδυνῃ, ουδε μη μακροθυμησει επ᾽ αυτοις. *Sir. xxxv.* 18. ἡμερας και νυκτος (*assiduè*). *Deut. xxviii.* 66. 1 *Tim. v.* 5. 1 *Thess. ii.* 9. 2 *Pet. iii.* 9. εν τῳ ποιησαι σοι Κυριον εκδικησιν. *Jud. xi.* 36. ὁ εκλεκτος μου, προσεδεξατο αυτον ἡ ψυχη μου. *Esa. xlii.* 1. *Prov. xvii.* 3. εκλεκτοι κλαυθμον ανελαβον. *Thren. v.* 13. ὁτι ερχομενος ἡξει, και ου μη χρονισῃ. *Hab. ii.* 3. Θεος εκδικησεων Κυριος, κ. τ. λ. *Ps. xciii.* 1. και εκεκραγεν ἑτερος προς ἑτερον. *Esa. vi.* 3. *Apoc. vi.* 10. *Esa. xxxiv.* 8. *lxv.* 6.

8 Λεγω ὑμιν, Ὁτι ποιησει την εκδικησιν αυτων εν ταχει. πλην ὁ υἱος του ανθρωπου ελθων αρα εὑρησει την πιστιν επι της γης;

ἑως αν απολεσῃ σε εν ταχει. *Deut. xxviii.* 20. *ix.* 3. *Ps. ii.* 12. αρα. *Gen. xviii.* 13. *xxxvii.* 10. και ου πιστις ενισχυσεν επι της γης. *Jer. ix.* 3. πλην. *Num. xxii.* 35. *Jud. iv.* 9. εὑρησει συγκριμα. *Sir. xxxv.* 17. σωσον με Κυριε, ὁτι εκλελοιπεν ὁσιος, ὁτι ωλιγωθησαν αἱ αληθειαι (αἱ πιστεις. *Sym.*) απο των υἱων των ανθρωπων. *Ps. xi.* 1. εν ημερᾳ εκδικησεως ανταποδωσω, κ. τ. λ. *Deut. xxxii.* 24. *Rom. xii.* 19.

9 Ειπε δε και προς τινας τους πεποιθοτας εφ᾽ ἑαυτοις ὁτι εισι δικαιοι, και εξουθενουντας τους λοιπους, την παραβολην ταυτην·

αγαθον πεποιθεναι επι Κυριον η πεποιθεναι επ᾽ ανθρωπον. *Ps. cxvii.* 8. παντες οἱ πεποιθοτες επ᾽ αυτοις. *Ps. cxxxiv.* 18. σοφιαν και παιδειαν ασεβεις εξουθενουσιν. *Prov. i.* 7. *Ezech. xxii.* 8. πας ανηρ φαινεται ἑαυτῳ δικαιος. *Prov. xxi.* 2. μη πεποιθατε εφ ἑαυτοις επι λογοις ψευδεσιν—λεγοντες, Ναος Κυριου, ναος Κυριου εστιν, κ. τ. λ. *Jer. vii.* 4. πως ερειτε, Ὁτι σοφοι εσμεν ἡμεις, και νομος Κυριου μεθ᾽ ἡμων εστιν; κ. τ. λ. *viii.* 8. μη γαρ λεγε, Ὁτι καθαρος ειμι τοις εργοις και αμεμπτος εναντιον αυτου, κ.τ.λ. *Job. xi.* 4, 5. οἱ λεγοντες, Πορρω απ᾽ εμου, μη εγγισῃς μοι, ὁτι καθαρος ειμι, κ.τ.λ. *Esa. lxv.* 5. [εξουθενω σε, αντ᾽ ουδενος σε λογιζομαι. *Suid.*]

10 Ανθρωποι δυο ανεβησαν εις το ἱερον προσευξασθαι· ὁ εἱς Φαρισαιος, και ὁ ἑτερος τελωνης.

και ανεβη εις οικον Κυριου. *Esa. xxxvii.* 14. *xxxviii.* 22. *Conf. Matt. iii.* 7. *δυο ησαν ανδρες, εἱς πλουσιος, και εἱς πενης, κ. τ. λ.* 2 *Reg. xii.* 1. *Conf.* 2 *Reg. xxii.* 7. *Ps. xvii.* 6.

11 Ὁ Φαρισαιος σταθεις προς ἑαυτον ταυτα προσηυχετο, Ὁ Θεος, ευχαριστω σοι, ὁτι ουκ ειμι ὡσπερ οἱ λοιποι των ανθρωπων, ἁρπαγες, αδικοι, μοιχοι, η και ὡς οὑτος ὁ τελωνης.

καθ' ἑαυτον. Zach. xii. 12. *Gen. xxx.* 40. *προς ἑαυτον. Conf. Marc. ix.* 10. 33. *x.* 26. *xiv.* 4. *οἱ ἑστωτες εν οικῳ* Κυριου. *Ps. cxxxiv.* 2. *Conf. Esa. i.* 15. *lviii.* 2, 3. *μεγαλως ευχαριστουμεν αυτῳ.* 2 *Mac. i.* 11. *οἱ δε λοιποι των* Ιουδαιων. *Est. ix.* 16. *Conf. Apoc. iii.* 17. [*ἡμεις δ' αρα και μονοι του παντος* Ιουδαιων *γενους ηλπισαμεν περιεσεσθαι την ελευθεριαν φυλαξαντες, ὡσπερ αναμαρτητοι προς* Θεον *γενομενοι, και μηδεμιας μετασχοντες ἁμαρτιας, κ.τ.λ. Jos. Bell. Jud. vii.* 8. 6. *p.* 1319.] [*τελωνας και πορνοβοσκους. Chrysost.*]

12 Νηστευω δις του σαββατου, αποδεκατω παντα ὁσα κτωμαι.

το σαββατον. Exod. xxxi. 14. *Alex. Ald. Comp.* 4 *Reg. iv.* 23. *Neh. x.* 31. *xiii.* 15. *δεκατην αποδεκατωσω αυτα σοι. Gen. xxviii.* 22. *Matt. xxiii.* 23. *και παντα ὁσα εκτησατο. Gen. xxxvi.* 6. *Conf. Sap. ii.* 12, 13. *διοτι λεγεις, καθαρος ειμι, ουχ ἁμαρτων, αμεμπτος ειμι, ου γαρ ηνομησα. Job. xxxiii.* 9. *Conf. Matt. xxiii.* 23.

13 Και ὁ τελωνης μακροθεν ἑστως ουκ ηθελεν ουδε τους οφθαλμους εις τον ουρανον επαραι· αλλ' ετυπτεν εις το στηθος αὑτου, λεγων, Ὁ Θεος, ἱλασθητι μοι τῳ ἁμαρτωλῳ.

και ουκ ηθελησεν ελθειν. 2 *Reg. xix.* 29. *και τους οφθαλμους αυτου ου μη επαρῃ προς τα ενθυμηματα οικου* Ισραηλ. *Ezech. xviii.* 6. 1 *Par. xxi.* 16. *ἱλασθητι τῃ ἁμαρτιᾳ μου. Ps. xxiv.* 11. *Ald. Comp. Dan. ix.* 19. *αρατε εις τον ουρανον τους οφθαλμους ὑμων. Esa. li.* 1. 2 *Reg. ii.* 22. *και ελθοι επ' εμε το ελεος σου,* Κυριε, *το σωτηριον σου, κατα τον λογον σου. Ps. cxviii.* 41. *αναβλεψας εις τον ουρανον ἱλαρως. Job. xxii.* 26, 27. *ἱνα τι περιλυπος εγενου, και ἱνα τι συνεπεσε το προσωπον σου; Gen. iv.* 6. *Neh. vi.* 11, 12. *εἱστηκει δε ὁ λαος μακροθεν. Exod. xx.* 21. *διο εφαυλισα εμαυτον, και ετακην· ἡγημαι δε εμαυτον γην και σποδον. Job. xlii.* 6. [*τυπτομενος τα στερνα. Jos. Ant. vii.* 10. 5.]

14 Λεγω ὑμιν, κατεβη οὑτος δεδικαιωμενος εις τον οικον αὑτου,

η εκεινος. ὁτι πας ὁ ὑψων ἑαυτον, ταπεινωθησεται· ὁ δε ταπεινων ἑαυτον, ὑψωθησεται.

μη ὑποκριθῃς εν στομασιν ανθρωπων, και εν τοις χειλεσι προσεχε. Μη εξυψου σεαυτον, ἱνα μη πεσῃς, και επαγαγῃς τῃ ψυχῃ σου ατιμιαν· και αποκαλυψει Κυριος τα κρυπτα σου, και εν μεσῳ συναγωγης καταβαλει σε· ὁτι ου προσηλθες φοβῳ Κυριου, και ἡ καρδια σου πληρης δολου. *Sir. i.* 29, 30. και εδικαιωσας αυτας ὑπερ σεαυτην, και συ αισχυνθητι, και λαβε την ατιμιαν σου εν τῳ δικαιωσαι σε τας αδελφας σου. *Ezech. xvi.* 52. δεδικαιωται Θαμαρ [μαλλον] η εγω. *Gen. xxxviii.* 26. λυσιτελει μοι αποθανειν η ζῃν. *Tob. iii.* 6. ελεος θελω η θυσιαν. *Ose. vi.* 7. *Ps. cxvii.* 9. εταπεινωσας το ὑψηλον και ὑψωσας το ταπεινον. *Ezech. xxi.* 26. *xxviii.* 2. 7. 17. νυν δε ακουε ταυτα, τρυφερα ἡ καθημενη, ἡ πεποιθυια, ἡ λεγουσα εν καρδιᾳ αὑτης, Εγω ειμι, και ουκ εστιν ἑτερα, κ. τ. λ. *Esa. xlvii.* 8-11. *Conf. Job. xxii.* 29. *Matt. xxiii.* 12. *Jac. iv.* 6. 10. 1 *Pet. v.* 5.

15 Προσεφερον δε αυτῳ και τα βρεφη, ἱνα αυτων ἁπτηται· ιδοντες δε οἱ μαθηται επετιμησαν αυτοις.

Conf. Matt. xix. 13. *Marc. x.* 13.

16 Ὁ δε Ιησους προσκαλεσαμενος αυτα, ειπεν, Αφετε τα παιδια ερχεσθαι προς με, και μη κωλυετε αυτα· των γαρ τοιουτων εστιν ἡ βασιλεια του Θεου.

17 Αμην λεγω ὑμιν, Ὁς εαν μη δεξηται την βασιλειαν του Θεου ὡς παιδιον, ου μη εισελθῃ εις αυτην.

16, 17.] *Conf. Matt. xix.* 14, 15. *Marc. x.* 14, 15. 1 *Cor. xiv.* 20. 1 *Pet. ii.* 2. *Ps. cxxx.* 1, 2.

18 Και επηρωτησε τις αυτον αρχων, λεγων, Διδασκαλε αγαθε, τι ποιησας ζωην αιωνιον κληρονομησω;

Conf. Matt. xix. 16. *Marc. x.* 17. *Dan. vii.* 18. 27. *Ezech. xxxiii.* 31.

19 Ειπε δε αυτῳ ὁ Ιησους, Τι με λεγεις αγαθον; ουδεις αγαθος, ει μη εἱς ὁ Θεος.

Conf. Matt. xix. 17. *Marc. x.* 18. *Job. xiv.* 4. *xv.* 14. *xxv.* 4.

20 Τας εντολας οιδας, Μη μοιχευσῃς· μη φονευσῃς· μη κλεψῃς· μη ψευδομαρτυρησῃς· τιμα τον πατερα σου και την μητερα σου.

Conf. Matt. xix. 18. *Marc. x.* 19. ου μοιχευσῃς. κ. τ. λ. *Exod. xx.* 13-15. *Deut. v.* 16. *Rom. xiii.* 9. *Ephes. vi.* 2. *Col. iii.* 20. *Esa. viii.* 20. [*Philo. p.* 128.] *CITAT.* 81.

21 Ὁ δε ειπε, Ταυτα παντα εφυλαξαμην εκ νεοτητος μου.
Conf. Matt. xix. 20. *Marc. x.* 20. *Eccles. xii.* 1.

22 Ακουσας δε ταυτα ὁ Ιησους ειπεν αυτῳ, Ετι ἑν σοι λειπει·
παντα ὁσα εχεις, πωλησον, και διαδος πτωχοις, και ἑξεις
θησαυρον εν ουρανῳ· και δευρο ακολουθει μοι.
λειπει. *Sap. xix.* 4. *Tit. iii.* 13. *Conf. Matt. vi.* 19. *xix.* 21. *Marc. x.* 21. 1 *Tim. vi.* 19. 1 *Cor. i.* 26. εν καιρῳ τελευτης διαδος κληρονομιαν. *Sir. xxx.* 23. διαδωσει τροφην. *Gen. xlix.* 20. *Alex. Ald.* ου γαρ συνεπηκολουθησαν οπισω μου. *Num. xxxii.* 11.

23 Ὁ δε ακουσας ταυτα, περιλυπος εγενετο· ην γαρ πλουσιος
σφοδρα.
Conf. Matt. xix. 22. *Marc. x.* 22. Ἀβραμ δε ην πλουσιος σφοδρα κτηνεσι. *Gen. xiii.* 2. περιλυπος. *Ps. xli.* 5, 11.

24 Ιδων δε αυτον ὁ Ιησους περιλυπον γενομενον, ειπε, Πως δυσ-
κολως οἱ τα χρηματα εχοντες εισελευσονται εις την βασι-
λειαν του Θεου.
Conf. Matt. xix. 23. *Marc. x.* 23. *Prov. xi.* 28. μακαριος πλουσιος ὁς ευρεθη αμωμος. *Sir. xxxiv.* 8. *Deut. vi.* 10, 12.

25 Ευκοπωτερον γαρ εστι, καμηλον δια τρυμαλιας ῥαφιδος εισ-
ελθειν, η πλουσιον εις την βασιλειαν του Θεου εισελθειν.
Matt. xix. 24. *Marc. x.* 25. *Deut. xxxii.* 15. [*Philo. p.* 349.]

26 Ειπον δε οἱ ακουσαντες, Και τις δυναται σωθηναι;
Conf. Matt. xix. 25. *Marc. x.* 26.

27 Ὁ δε ειπε, Τα αδυνατα παρα ανθρωποις, δυνατα εστι
παρα τῳ Θεῳ.
Conf. Matt. xix. 26. *Marc. x.* 27. *Job. xlii.* 2. *Jer. xxxix.* 17. *Zach. viii.* 6. *Luc. i.* 37. *Gen. xviii.* 14.

28 Ειπε δε ὁ Πετρος, Ιδου, ἡμεις αφηκαμεν παντα, και ηκο-
λουθησαμεν σοι.
Conf. Matt. iv. 20. *ix.* 9. *xix.* 27. *Marc. x.* 28. *Phil. iii.* 7-9.

29 Ὁ δε ειπεν αυτοις, Αμην λεγω ὑμιν, Ὁτι ουδεις εστιν ὁς
αφηκεν οικιαν, η γονεις, η αδελφους, η γυναικα, η τεκνα, ἑνε-
κεν της βασιλειας του Θεου,
Conf. Matt. xix. 29. *Marc. x.* 29. *etc.* ὁ λεγων τῳ πατρι και τῃ μητρι, Ουχ ἑωρακα σε, και τους αδελφους αυτου ουκ επεγνω, και

τους υἱους αυτου απεγνω· εφυλαξε τα λογια σου, και την διαθηκην σου διετηρησε. *Deut.* xxxiii. 9. *Ps.* xxvi. 10. cxviii. 72.

30 Ὁς ου μη απολαβῃ πολλαπλασιονα εν τῳ καιρῳ τουτῳ, και εν τῳ αιωνι τῳ ερχομενῳ ζωην αιωνιον.

και ζωσειν εις ζωην αιωνιον. 4 *Mac.* xv. *Conf. Job.* xlii. 12. [ὁ γαρ μεταδιδους τῳ πλησιον, λαμβανει πολλαπλασιονα παρα Κυριου. *Test. XII Patr. p.* 640.]

31 Παραλαβων δε τους δωδεκα, ειπε προς αυτους, Ιδου, αναβαινομεν εις Ἱεροσολυμα, και τελεσθησεται παντα τα γεγραμμενα δια των προφητων τῳ υἱῳ του ανθρωπου.

και παραλαβων Βαλακ τον Βαλααμ, ανεβιβασε. *Num.* xxii. 41. *Conf. Matt.* xvi. 21. xx. 17, 18. *Marc.* x. 32, 33. *Luc.* ix. 22. του τελεσθηναι λογον Κυριου απο στοματος Ἱερεμιου. *Esd.* i. 1. *Conf. Ps.* xxi. 6, 7. *Esa.* liii. *Dan.* ix. 26. *Zach.* xiii. 7.

32 Παραδοθησεται γαρ τοις εθνεσι, και εμπαιχθησεται, και ὑβρισθησεται, και εμπτυσθησεται,

γιγαντες ερχονται—χαιροντες ἁμα και ὑβριζοντες. *Esa.* xiii. 3.

33 Και μαστιγωσαντες αποκτενουσιν αυτον· και τῃ ἡμερᾳ τῃ τριτῃ αναστησεται·

32, 33.] *Conf. Matt.* xx. 18, 19. *Marc.* x. 33, 34. *Esa.* l. 6. liii. 3. *Mich.* v. 1. *Sophon.* iii. 8. *Ose.* vi. 2.

34 Και αυτοι ουδεν τουτων συνηκαν· και ην το ῥημα τουτο κεκρυμμενον απ᾽ αυτων, και ουκ εγινωσκον τα λεγομενα.

ὁτι ου συνηκαν εις τα εργα Κυριου. *Ps.* xxvii. 5. xciii. 8. μη αποκρυψῃς απ᾽ εμου τας εντολας σου. cxviii. 19. ουκ εγνωσαν, ουδε συνηκαν. lxxxi. 5. εαν μη πιστευσατε, ουδε μη συνητε. *Esa.* vii. 9. σκληρον δε εφανη το ῥημα. *Gen.* xxi. 11.

35 Εγενετο δε εν τῳ εγγιζειν αυτον εις Ἱεριχω, τυφλος τις εκαθητο παρα την ὁδον προσαιτων·

εν τῳ εγγιζειν επ᾽ εμε. *Ps.* xxvi. 2. εγενετο δε ἡνικα ηγγισεν Ἀβραμ εισελθειν εις Αιγυπτον. *Gen.* xii. 11. προσαιτων. *Job.* xxvii. 14. *Conf. Matt.* xx. 29. *Marc.* x. 46.

36 Ακουσας δε οχλου διαπορευομενου, επυνθανετο τι ειη τουτο.

ου μη σε αποστειλω εαν μη με ευλογησῃς. *Gen.* xxxii. 26. *Conf. Marc.* x. 47. *Matt.* xix. 30. επυνθανετο δε—οὑτως εχοντα τυγχανει. 2 *Mac.* iii. 9. και διαπορευεται απεναντι, κ. τ. λ. *Jos.* xv. 3. *Conf.* 1 *Reg.* ii. 8.

37 Απηγγειλαν δε αυτῳ, ὁτι Ιησους ὁ Ναζωραιος παρερχεται·
παρερχεται. Jud. xi. 17, 19. Conf. Matt. ii. 23.

38 Και εβοησε λεγων, Ιησου, υἱε Δαβιδ, ελεησον με.

39 Και οἱ προαγοντες επετιμων αυτῳ ἱνα σιωπησῃ· αυτος δε
πολλῳ μαλλον εκραζεν, Υἱε Δαβιδ, ελεησον με.

Conf. Matt. xx. 30. Marc. x. 47, 48. Esa. ix. 6, 7. Jer. xxiii. 5. και εβοησαν προς Κυριον και ελεγον. 1 Reg. xii. 10. Κυριε ελεησον με. Pss. pass. Conf. Esa. xxxv. 5. και εξελευσεται ῥαβδος εκ της ῥιζης Ιεσσαι, κ. τ. λ. Esa. xi. 1. Jer. xxxvi. 12.

40 Σταθεις δε ὁ Ιησους εκελευσεν αυτον αχθηναι προς αὑτον·
εγγισαντος δε αυτου επηρωτησεν αυτον,

Conf. Matt. xx. 32. Marc. x. 49. αχθηναι. Gen. ii. 19, 22.

41 Λεγων, Τι σοι θελεις ποιησω; Ὁ δε ειπε, Κυριε, ἱνα ανα-
βλεψω.

και οἱ τυφλοι αναβλεψατε ιδειν. Esa. xlii. 18. Marc. x. 51. προσευχη ταπεινου νεφελας διηλθε, κ. τ. λ. Sir. xxxii. 17.

42 Και ὁ Ιησους ειπεν αυτῳ, Αναβλεψον· ἡ πιστις σου σε-
σωκε σε.

43 Και παραχρημα ανεβλεψε, και ηκολουθει αυτῳ δοξαζων
τον Θεον· και πας ὁ λαος ιδων εδωκεν αινον τῳ Θεῳ.

Conf. Matt. xx. 34, etc. παραχρημα παρεστι. Esa. xxx. 13. εδωκαν την δοξαν. Ezech. xxvii. 10. 1 Par. xxix. 25. ερει πας ὁ λαος, Γενοιτο, γενοιτο. Δοξα. Ps. cv. 48. Ald. Comp. εκ στοματος νηπιων και θηλαζοντων κατηρτισω αινον. viii. 2. Esd. iii. 11.

Κεφ. ιθ. 19.

ΚΑΙ εισελθων διηρχετο την Ἱεριχω·

διελθε μεσην Ἱερουσαλημ. Ezech. ix. 4. Ιεριχω. Conf. Jos. vi. 2. 3 Reg. xvi. 34. 4 Reg. ii. 5. Deut. xxxiv. 3. Sir. xxiv. 14.

1-7.] και—και. Conf. 1 Reg. xv. 3-10. et passim.

2 Και ιδου, ανηρ ονοματι καλουμενος Ζακχαιος, και αυτος ην
αρχιτελωνης, και οὑτος ην πλουσιος·

[ενστασης δε της ἡμερας, καθ' ἡν εμελλε τα τελη πιπρασκεσθαι των πολεων, ηγοραζον οἱ τοις αξιωμασιν εν ταις πατρισι διαφεροντες, κ. τ. λ. Jos. Ant. xii. 4. p. 525. Edit. Hud.]

3 Και εζητει ιδειν τον Ιησουν, τις εστι, και ουκ ηδυνατο απο
του οχλου, ὁτι τῃ ἡλικιᾳ μικρος ην.

και εζητει ανελειν Μωυσην. *Exod. ii.* 15. ἡλικια. *Ezech. xiii.* 18. οἱ ου αριθμηθησονται—απο του πληθους. 2 *Par. v.* 6.

4 Και προδραμων εμπροσθεν, ανεβη επι συκομωραιαν, ἱνα ιδῃ
αυτον· ὁτι δι' εκεινης ημελλε διερχεσθαι.

προδραμωμεν εμπροσθεν της γυναικος σου. *Tob. xi.* 2.

5 Και ὡς ηλθεν επι τον τοπον, αναβλεψας ὁ Ιησους ειδεν
αυτον, και ειπε προς αυτον, Ζακχαιε, σπευσας καταβηθι·
σημερον γαρ εν τῳ οικῳ σου δει με μειναι.

σπευσαντες ουν, αναβητε προς τον πατερα μου. *Gen. xlv.* 9. αναβλεψας δε τοις οφθαλμοις αυτου ειδε. *xviii.* 2. δει. *Job. xv.* 3.

6 Και σπευσας κατεβη, και ὑπεδεξατο αυτον χαιρων.

ὑπεδεξαντο αυτους προθυμως. *Tob. vii.* 8. και σπευσας Μωυσης, κυψας επι την γην. *Exod. xxxiv.* 8. *Conf. Ps. cxviii.* 60.

7 Και ιδοντες ἁπαντες διεγογγυζον, λεγοντες, Ὁτι παρα
ἁμαρτωλῳ ανδρι εισηλθε καταλυσαι.

διεγογγυζε πασα συναγωγη. *Exod. xvi.* 2. εν οικοις πορνων κατελυον. *Jer. v.* 7. *Gen. xix.* 2. εισηλθεν εκει εις το σπηλαιον, και κατελυσεν εκει. 3 *Reg. xix.* 9. και ειπεν, ὁτι. *Gen. xxix.* 23.

8 Σταθεις δε Ζακχαιος ειπε προς τον Κυριον, Ιδου, τα ἡμιση
των ὑπαρχοντων μου, Κυριε, διδωμι τοις πτωχοις· και ει
τινος τι εσυκοφαντησα, αποδιδωμι τετραπλουν.

εαν δε τις κλεψῃ μοσχον η προβατον—διπλα αυτα αποτισει. *Exod. xxii.* 1-4. ει παντα τα ὑπαρχοντα Αμαν εδωκα. *Est. viii.* 7. *Prov. vi.* 31. εκ των ὑπαρχοντων σοι ποιει ελεημοσυνην. *Tob. iv.* 7. ὁς διδωσι πτωχοις ουκ ενδεηθησεται. *Prov. xxviii.* 27. ὁ συκοφαντων πενητα παροξυνει τον ποιησαντα. *xiv.* 31. *Eccles. iv.* 1. αποδωσαι. *Exod. xxii.* 1. την αμναδα αποτισει ἑπταπλασιονα. 2 *Reg. xii.* 6. τετραπλοως. *Aq. Sym.* ἑπταπλασιον. *Alex.* τετραπλως. 1 *Reg. vi.* 32. συκοφαντειν. *Conf. Lev. xix.* 11. *Job. xxxv.* 9. *Tob. i.* 6-8.

9 Ειπε δε προς αυτον ὁ Ιησους, Ὁτι σημερον σωτηρια τῳ οικῳ
τουτῳ εγενετο, καθοτι και αυτος υἱος Αβρααμ εστιν.

προς αυτον, (*de illo*). *Ita*, πολλοι λεγουσι τῃ ψυχῃ μου, Ουκ εστι σωτηρια. *Ps. iii.* 2. *Rom. x.* 21. *Grot.* δεδωκα σε—εις σωτηριαν ἑως εσχατου της γης. *Esa. xlix.* 6. εγω δε και ὁ οικος μου. *Jos.*

xxiv. 15. *Alex. Ald. Comp.* Αβραμαιοι παιδες. 4 *Mac. sub fine. Conf. Esd. ii.* σπερμα Ἁβρααμ—υἱοι Ιακωβ εκλεκτοι αυτου. *Ps. civ.* 6. *Conf. Rom. iv.* 16. Ἁβρααμ μεγας πατηρ πληθους εθνων, και ουχ εὑρεθη ὁμοιος εν τῃ δοξῃ, κ. τ. λ. *Sir. xliv.* 19-21. και αποστρεψῃ με μετα σωτηριας εις τον οικον του πατρος μου· και εσται Κυριος μοι εις Θεον. *Gen. xxviii.* 21. *Conf. Gal. iii.* 7, 14, 29. *Joan. viii.* 39.

10 Ηλθε γαρ ὁ υἱος του ανθρωπου ζητησαι και σωσαι το απολωλος.

Conf. Matt. x. 6. *xv.* 24. *xviii.* 11. *Act. xiii.* 46. ελεεις δε παντας, ὁτι παντα δυνασαι, και παροροας ἁμαρτηματα ανθρωπων μετανοιαν, κ. τ. λ. *Sap. xi.* 23-26. επλανηθην ὡς προβατον απολωλος, ζητησον τον δουλον σου, ὁτι τας εντολας σου ουκ επελαθομην. *Ps. cxviii.* 176. ὁ υἱος του ανθρωπου. *Conf. Dan. vii.* 13.

11 Ακουοντων δε αυτων ταυτα, προσθεις ειπε παραβολην, δια το εγγυς αυτον ειναι Ἱερουσαλημ, και δοκειν αυτους ὁτι παραχρημα μελλει ἡ βασιλεια του Θεου αναφαινεσθαι·

προσθεις—ειπε. *Job. xxix.* 1. δια το κατεβεβηκεναι επ' αυτο τον Θεον. *Exod. xix.* 18. εδειξεν αυτῳ βασιλειαν Θεου. *Sap. x.* 10. αναφανειται σοι ειρηνη. *Job. xi.* 18. *xiii.* 18. *xl.* 3. *Deut. xxxiii.* 2. *Aq. Conf. Act. i.* 6. 2 *Thess. ii.* 1-3.

12 Ειπεν ουν, Ανθρωπος τις ευγενης επορευθη εις χωραν μακραν, λαβειν ἑαυτῳ βασιλειαν, και ὑποστρεψαι.

και ην ανθρωπος εκεινος ευγενης. *Job. i.* 3. και επορευθη εις Βηρα, και κατῳκησεν εκει. *Jud. ix.* 21. *Ald. Comp.* και ληψομαι την βασιλειαν. 3 *Reg. xi.* 35. *Conf. Matt. xxv.* 14. *Marc. xiii.* 34.

13 Καλεσας δε δεκα δουλους ἑαυτου, εδωκεν αυτοις δεκα μνας, και ειπε προς αυτους, Πραγματευσασθε ἑως ερχομαι.

πραγματευσασθε, = εργαζεσθε εν αυτοις. *Matt. xxv.* 16. ἡ πραγματεια της προνομης, *exactio tributi.* 1 *Reg. ix.* 15. *Alex.* και εδωκαν—και αργυριου μνας δισχιλιας. *Neh. vii.* 72. *Ezech. xlv.* 12. πραγματευεσθαι. 3 *Reg. ix.* 19. *Alex.* [σικλους διακοσιους· οὑτοι δε εισι πεντε μναι. *Jos. Ant. vii.* 8. 5.]

14 Οἱ δε πολιται αυτου εμισουν αυτον, και απεστειλαν πρεσβειαν οπισω αυτου, λεγοντες, Ου θελομεν τουτον βασιλευσαι εφ' ἡμας.

ὁτι ου σε εξουθενηκασιν, αλλ' η εμε εξουθενωκασι του μη βασιλευειν επ' αυτων. 1 *Reg. viii.* 7. ὁς βασιλευσει εφ' ὑμας. 11. *Conf. Ps. ii.* 1-3. *Joan. i.* 11. [μη εφ' ἡμιν βασιλευσεις; *Philo. de Somn. p.* 862. *Edit. Col. Gen. xxxvii.* 8.] *Esa. xlix.* 7.

15 Και εγενετο εν τῳ επανελθειν αυτον λαβοντα την βασι-
λειαν, και ειπε φωνηθηναι αὑτῳ τους δουλους τουτους, οἱς
εδωκε το αργυριον, ἱνα γνῳ τις τι διεπραγματευσατο.

και εγενετο εν τῳ σπευδειν αυτον και αναχωρειν. 2 *Reg.* *iv.* 4. οὑτοι οἱ λογοι οὑς ειπε Κυριος ποιησαι αυτους. *Exod.* *xxxv.* 1.

16 Παρεγενετο δε ὁ πρωτος λεγων, Κυριε, ἡ μνα σου προσειρ-
γασατο δεκα μνας.

και παρεγενετο—και ειπε. 3 *Reg.* *xviii.* 36. *Comp.* *Conf.* *Matt.* *xxv.* 16, 20. 1 *Par.* *xxix.* 14. [μνα· ἑκατον δραχμαι. *Suid.*]

17 Και ειπεν αυτῳ, Ευ, αγαθε δουλε· ὁτι εν ελαχιστῳ πιστος
εγενου, ισθι εξουσιαν εχων επανω δεκα πολεων.

Conf. *Matt.* *xxv.* 21. *Luc.* *xvi.* 10. [*Conf.* *Jos.* *Ant.* *iv.* 8. 14.]

18 Και ηλθεν ὁ δευτερος λεγων, Κυριε, ἡ μνα σου εποιησε
πεντε μνας.

εποιησε, (*peperit*). ξυλον καρπιμον ποιουν καρπον. *Gen.* *i.* 11, 12.

19 Ειπε δε και τουτῳ, Και συ γινου επανω πεντε πολεων.

Conf. *Matt.* *xxv.* 22. *Esa.* *iii.* 11.

20 Και ἑτερος ηλθε λεγων, Κυριε, ιδου ἡ μνα σου, ἡν ειχον,
αποκειμενην εν σουδαριῳ.

Conf. *Matt.* *xxv.* 24. και καταφαγεται τα αποκειμενα αυτου. *Esa.* *x.* 17. *Symm.* ασεβης ποιει εργα αδικα. σπερμα δε δικαιων μισθος αληθειας. *Prov.* *xi.* 18. κρυψας οκνηρος την χειρα εν τῳ κολπῳ αυτου, ου δυνησεται επενεγκειν επι στομα. *xxvi.* 15.

21 Εφοβουμην γαρ σε, ὁτι ανθρωπος αυστηρος ει. αιρεις ὁ ουκ
εθηκας, και θεριζεις ὁ ουκ εσπειρας.

Conf. *Matt.* *xxv.* 24. την αυστηριαν. 2 *Mac.* *xiv.* 30. αυστηροτερον. *Ibid.* γινωσκω ὁτι σκληρος ει. *Esa.* *xlviii.* 4.

22 Λεγει δε αυτῳ, Εκ του στοματος σου κρινω σε, πονηρε
δουλε. ηδεις ὁτι εγω ανθρωπος αυστηρος ειμι, αιρων ὁ ουκ εθηκα,
και θεριζων ὁ ουκ εσπειρα·

ελεγξαι σε το σον στομα, κ. τ. λ. *Job.* *xv.* 6. 2 *Reg.* *i.* 16. εκ των λογων σου καταδικασθησῃ. *Matt.* *xii.* 37. *Conf.* *Num.* *xxvii.* 21. *Sir.* *xxvii.* 23. [αυστηρος· σκυθρωπος. *Hesych.*]

23 Και διατι ουκ εδωκας το αργυριον μου επι την τραπεζαν,
και εγω ελθων συν τοκῳ αν επραξα αυτο;

Conf. *Matt.* *xxv.* 27. *Deut.* *xxiii.* 19, 20.

24 Και τοις παρεστωσιν ειπεν, Αρατε απ' αυτου την μναν, και δοτε τῳ τας δεκα μνας εχοντι.

οἱ παρεστηκοτες. 3 *Reg.* *x.* 8-12, 6. *Jer.* *xxxii.* 19. *Matt.* *xxv.* 28.

25 Και ειπον αυτῳ, Κυριε, εχει δεκα μνας.

Conf. *Matt.* *xxv.* 29. *Marc.* *iv.* 25. 2 *Reg.* *vii.* 18-22.

26 Λεγω γαρ ὑμιν, Ὁτι παντι τῳ εχοντι δοθησεται· απο δε του μη εχοντος, και ὁ εχει αρθησεται απ' αυτου.

και την επισκοπην λαβοι ἑτερος. *Ps.* *cviii.* 8.

27 Πλην τους εχθρους μου εκεινους, τους μη θελησαντας με βασιλευσαι επ' αυτους, αγαγετε ὡδε, και κατασφαξατε εμπροσθεν μου.

πλην το ῥημα ὁ εαν ειπω προς σε. *Num.* *xxii.* 35. και εξαγαγετε —τουτους. *Jos.* *x.* 22. και κατασφαξουσι σε. *Ezech.* *xvi.* 40. 2 *Mac.* *v.* 12. εὑρεθειη ἡ χειρ σου πασι τοις εχθροις σου, ἡ δεξια σου εὑροι παντας τους μισουντας σε. *Ps.* *xx.* 8.

28 Και ειπων ταυτα, επορευετο εμπροσθεν, αναβαινων εις Ἱεροσολυμα.

και αναβησονται κατ' ενιαυτον, του προσκυνησαι. *Zach.* *xiv.* 16. *Marc.* *x.* 32. [προεπεμψε δ' εμπροσθεν. *Jos.* *Ant.* *viii.* 8. 5.]

29 Και εγενετο ὡς ηγγισεν εις Βηθφαγη και Βηθανιαν, προς το ορος το καλουμενον Ελαιων, απεστειλε δυο των μαθητων αὑτου,

Conf. *Matt.* *xxi.* 1. *Marc.* *xi.* 1. *Deut.* *xxi.* 3. *Zach.* *xiv.* 4.

30 Ειπων, Ὑπαγετε εις την κατεναντι κωμην· εν ᾑ εισπορευομενοι εὑρησετε πωλον δεδεμενον, εφ' ὁν ουδεις πωποτε ανθρωπων εκαθισε· λυσαντες αυτον αγαγετε.

31 Και εαν τις ὑμας ερωτᾳ, Διατι λυετε; οὑτως ερειτε αυτῳ, Ὁτι ὁ Κυριος αυτου χρειαν εχει.

30, 31.] *Conf.* *Matt.* *xxi.* 2-4. *Marc.* *xi.* 2, 3. οὑτως ειπε μοι Κυριος. *Esa.* *xxxi.* 4. *Conf.* *Ps.* *xxiii.* 1. *xlix.* 10, 11.

32 Απελθοντες δε οἱ απεσταλμενοι εὑρον καθως ειπεν αυτοις.

Marc. *xi.* 4. και συνιεις παντα τα εργα αυτων. *Ps.* *xxxii.* 15.

33 Λυοντων δε αυτων τον πωλον, ειπον οἱ κυριοι αυτου προς αυτους, Τι λυετε τον πωλον;

34 Οἱ δε ειπον, Ὁ Κυριος αυτου χρειαν εχει.

Marc. xi. 5, 6. *Zach. ix.* 9. ὁ κυριος του ταυρου. *Exod. xxi.* 28.

35 Και ηγαγον αυτον προς τον Ιησουν· και επιρριψαντες ἑαυ-
των τα ἱματια επι τον πωλον, επεβιβασαν τον Ιησουν.

και επεβιβασαν αυτον επι τον ἡμιονον του βασιλεως. 3 *Reg. i.* 44. *Comp. Conf. Matt. xxi.* 7. επεβιβασαν αυτον οἱ παιδες. 4 *Reg. ix.* 28. *xxiii.* 30. *Jud. x.* 4. *Joan. xii.* 14. *Marc. xi.* 7.

36 Πορευομενου δε αυτου, ὑπεστρωννυον τα ἱματια αὑτων εν
τῃ ὁδῳ.

και σακκον και σποδον ὑποστρωσῃ. *Esa. lviii.* 5. *Conf. Matt. xxi.* 8. *Marc. xi.* 8. 4 *Reg. ix.* 13.

37 Εγγιζοντος δε αυτου ηδη, προς τῃ καταβασει του ορους
των ελαιων, ηρξαντο ἁπαν το πληθος των μαθητων χαιροντες
αινειν τον Θεον φωνῃ μεγαλῃ περι πασων ὡν ειδον δυναμεων,

εν τῳ ορει επι της καταβασεως. *Jos. viii.* 24. *x.* 11. παν το πληθος συναγωγης. *Exod. xii.* 6. ῃνεσαν με φωνῃ μεγαλῃ παντες αγγελοι μου. *Job. xxxviii.* 7. *Matt. xxi.* 8. των επελθοντων προς τῃ θαλασσῃ. *Ezech. xxxix.* 11. *Conf. Exod. xv.* 1. *Jud. v.* 1.

38 Λεγοντες, Ευλογημενος ὁ ερχομενος βασιλευς εν ονοματι
Κυριου· ειρηνη εν ουρανῳ, και δοξα εν ὑψιστοις.

Conf. Matt. xxi. 9. *Marc. xi.* 10. *Luc. ii.* 14. ιδου γαρ βασιλευς δικαιος βασιλευσει, κ. τ. λ. *Esa. xxxii.* 1. κοσμος φωτιζων εν ὑψιστοις Κυριος. *Sir. xliii.* 9. *Conf. Ps. cxvii.* 26. *Ephes. ii.* 14.

39 Και τινες των Φαρισαιων απο του οχλου ειπον προς αυτον,
Διδασκαλε, επιτιμησον τοις μαθηταις σου.

και ουκ επιτιμησετε αυτῃ. *Ruth. ii.* 16. *Conf. Esa. xxvi.* 11.

40 Και αποκριθεις ειπεν αυτοις, Λεγω ὑμιν, Ὁτι εαν οὑτοι
σιωπησωσιν, οἱ λιθοι κεκραξονται.

λιθος εκ τοιχου βοησεται, κ. τ. λ. *Hab. ii.* 11. ει επ' εμοι ποτε ἡ γη εστεναξε. *Job. xxxi.* 38. *Matt. iii.* 9.

41 Και ὡς ηγγισεν, ιδων την πολιν, εκλαυσεν επ' αυτῃ,

επι τουτοις εγω κλαιω. *Thren. i.* 15. επι νεκρῳ κλαυσον. *Sir. xxii.* 11. εαν επιλαθωμαι σου Ἱερουσαλημ, επιλησθειη ἡ δεξια μου. *Ps. cxxxvi.* 5. *Jer. ix.* 1. *Conf. Exod. xxxii.* 32.

42 Λεγων, Ὁτι ει εγνως και συ, και γε εν τῃ ἡμερᾳ σου ταυ-
τῃ, τα προς ειρηνην σου· νυν δε εκρυβη απο οφθαλμων σου·

ει, (*utinam*). *Conf. Luc. xii.* 49. ει μεν αφεις. *Exod. xxxii.* 32. απο του προσωπου σου κρυβησεται. *Sir. vi.* 12. *xxii.* 25. οἱ κε-

κρυμμενοι απο σου. *Deut. vii.* 20. τα εις ειρηνην. 1 *Reg. xxx.* 21. ουκ εκρυβη επ' αυτου ουδε είς λογος. *Sir. xlii.* 27. *Conf. Dan. ii.* 27. *Esa. vi.* 9, 10. ει ὁ λαος μου ηκουσε μου, Ισραηλ ταις ὁδοις μου επορευθη, κ. τ. λ. *Ps. lxxx.* 13-16.

43 Ὁτι ἡξουσιν ἡμεραι επι σε, και περιβαλουσιν οἱ εχθροι σου χαρακα σοι, και περικυκλωσουσι σε, και συνεξουσι σε παντοθεν,

ὁτι ἡκει ἡ ἡμερα αυτων, και καιρος εκδικησεως. *Jer. xxvii.* 27. και ἡξει επι σε απωλεια. *Esa. xlvii.* 11. και περιβαλεις επ' αυτην χαρακα. *Ezech. iv.* 2. και την πολιν συνεχειν. 2 *Mac. ix.* 2. συνεχειν τον Δαυιδ, και τους ανδρας αυτου. 1 *Reg. xxiii.* 8. και περιεκυκλωσαν την πολιν συνεχειν. 2 *Mac. ix.* 2. 4 *Reg. vi.* 14. *Jos. vii.* 9. ουδε μη κυκλωσῃ επ' αυτην χαρακα. *Esa. xxxvii.* 33. *Ezech. xxvi.* 8. *Jer. vi.* 3. 6. *Luc. xxi.* 20. *Conf. Deut. xxviii.* 49-52. *Esa. xxix.* 3. *Dan. ix.* 26.

44 Και εδαφιουσι σε και τα τεκνα σου εν σοι, και ουκ αφησουσιν εν σοι λιθον επι λιθῳ· ανθ' ὡν ουκ εγνως τον καιρον της επισκοπης σου.

νηπια αυτης εδαφιουσιν επ' αρχας. *Nah. iii.* 10. μητερα επι τεκνοις ηδαφισαν. *Ose. x.* 14. και εις την γην εδαφισθησῃ. *Esa. iii.* 26. *xxix.* 4. μακαριος ὁς κρατησει και εδαφιει τα νηπια σου προς την πετραν. *Ps. cxxxvi.* 9. *Conf. Matt. xxiv.* 2. *Marc. xiii.* 2. ανθ' ὡν ουκ ηκουσατε της φωνης Κυριου. *Deut. viii.* 20. εν καιρῳ επισκοπης απολουνται. *Jer. vi.* 15. *Sap. iii.* 7. *Ezech. xxxi.* 12. εις καιρον ιασεως. *Jer. viii.* 15. επεσκεπται και εγνω ὁ Θεος τους οντας αυτου. *Num. xvi.* 5. *Conf.* 3 *Reg. ix.* 7, 8. *Mich. iii.* 12. *Dan. ix.* 24. μη επι τουτοις ουκ επισκεψομαι; λεγει Κυριος· η εν εθνει τοιουτῳ ουκ εκδικησει ἡ ψυχη μου; *Jer. v.* 9, 29. και εγκαταλειμμα ουκ εσται αυτων, ὁτι επαξω κακα επι τους κατοικουντας εν Αναθωθ, εν ενιαυτῳ επισκεψεως αυτων. *xi.* 23. επισκοπη γαρ εσται μετα βροντης και σεισμου, κ. τ. λ. *Esa. xxix.* 6. προ κρισεως εξεταζε σεαυτον, και εν ὡρᾳ επισκοπης εὑρησεις εξιλασμον. *Sir. xviii.* 20. [*Conf. Jos. Bell. Jud. v. vi. vii.*]

45 Και εισελθων εις το ἱερον, ηρξατο εκβαλλειν τους πωλουντας εν αυτῳ και αγοραζοντας,

Conf. Matt. xxi. 12. *Marc. xi.* 15.

46 Λεγων αυτοις, Γεγραπται, Ο οικος μου οικος προσευχης εστιν· ὑμεις δε αυτον εποιησατε σπηλαιον λῃστων.

ὁ γαρ οικος μου, οικος προσευχης κληθησεται, κ. τ. λ. Esa. lvi. 7. τῳ οικῳ σου πρεπει ἁγιασμα. Ps. xcii. 5. Conf. Matt. xxi. 13. Marc. xi. 17. Jer. vii. 10, 11. 3 Reg. viii. 29. CITAT. 82.

47 Και ην διδασκων το καθ' ἡμεραν εν τῳ ἱερῳ· οἱ δε Αρχιερεις και οἱ Γραμματεις εζητουν αὑτον απολεσαι, και οἱ πρωτοι του λαου·

ην διδασκων = ποιμαινων ην. 1 Reg. xvii. 34. καθ' ἡμεραν. Num. iv. 16. και εζητει αυτον αποκτειναι. Exod. iv. 24. εν πρωτοις των κεκλημενων. 1 Reg. ix. 22. Sir. xlv. 20. Conf. Marc. xii. 12. Joan. vii. 19. viii. 37. Matt. xxvi. 3, 4.

48 Και ουχ εὑρισκον το τι ποιησωσιν, ὁ λαος γαρ ἁπας εξεκρεματο αυτου ακουων.

ψυχη αυτου εκκρεμαται εκ της τουτου ψυχης. Gen. xliv. 30. Conf. Ps. lxii. 8. και ανεγνω εν αυτῳ απο της ὡρας του διαφωτισαι τον ἡλιον ἑως ἡμισους της ἡμερας, κ. τ. λ. Neh. viii. 3. ουχ εὑρον κατ' αυτου. Dan. vi. 4. [ὁ δε και τοι ποθῳ αλεκτῳ του παιδος εκκρεμαμενος. Philo de Abr. erg. fil. p. 373. Loesner.]

ΚΕΦ. κ. 20.

ΚΑΙ εγενετο εν μιᾳ των ἡμερων εκεινων, διδασκοντος αυτου τον λαον εν τῳ ἱερῳ και ευαγγελιζομενου, επεστησαν οἱ Αρχιερεις και οἱ Γραμματεις συν τοις Πρεσβυτεροις,

εν μιᾳ των φυλων σου. Deut. xii. 14. επιστησεται ὑμιν. Sap. vi. 5. [Conf. Krebs. et Loesner.] ευαγγελισασθαι πτωχοις απεσταλκε με. Esa. lxi. 1. Matt. xxi. 23. Marc. xi. 2. Act. iv. 1. 1 Par. xxiv. 6.

2 Και ειπον προς αυτον, λεγοντες, Ειπε ἡμιν, εν ποιᾳ εξουσιᾳ ταυτα ποιεις, η τις εστιν ὁ δους σοι την εξουσιαν ταυτην;

εν ποιᾳ εξουσιᾳ pro εν τινος εξουσιᾳ. = εκ ποιου λαου ει συ; Jon. i. 8. εκ ποιας πολεως ει συ; 2 Reg. xv. 2. και ειπε Κυριος—προς Νωε, λεγων. Gen. viii. 15. xxiii. 3. και εξουσια εδοθη αυτῃ. Dan. vii. 6. εδωκεν αυτῳ ὁ βασιλευς εξουσιαν. 1 Mac. x. 8. Conf. Matt. xxi. 23. Marc. xi. 28. Act. vii. 27. Exod. ii. 14.

3 Αποκριθεις δε ειπε προς αυτους, Ερωτησω ὑμας καγω ἑνα λογον, και ειπατε μοι·

αποκριθεις δε—ειπε. Gen. xxvii. 37, 39. Zach. iii. 5. ερωτησω σε λογον, και μη δη κρυψῃς απ' εμου ῥημα. Jer. xlv. 14. και ακουσῃ

εκ στοματος μου λογον, και (*i. e.* ὁν) διαπειλησῃ αυτοις παρ' εμου. *Ezech. iii.* 17.

4 Το βαπτισμα Ιωαννου εξ ουρανου ην, η εξ ανθρωπων;

εξ ουρανου (*a Deo.*) ουκ εστι διαφορα εναντιον του Θεου του ουρανου σωζειν εν πολλοις η εν ολιγοις. 1 *Mac. iii.* 18. εξ ουρανου ταυτα κεκτημαι. 2 *Mac. vii.* 11. ἡ βασιλεια σου σοι μενει αφ' ἡς αν γνῳς την εξουσιαν την ουρανιον. *Dan. iv.* 23. και νυν βοησωμεν εις τον ουρανον ελεησει ἡμας. 1 *Mac. iv.* 10. *Conf. Matt. xi.* 7-19. *Joan. i.* 19-27. [*Conf. Jos. Ant. xviii.* 6. 2.]

5 Οἱ δε συνελογισαντο προς ἑαυτους, λεγοντες, Ὁτι εαν ειπωμεν, Εξ ουρανου· ερει, Διατι ουν ουκ επιστευσατε αυτῳ;

τα αρχαια μη συλλογιζεσθε. *Esa. xliii.* 18. *Conf. Matt. xxi.* 25. *Marc. xi.* 31. ειπε—προς ἑαυτον. *Gen. viii.* 21. *Sym.*

6 Εαν δε ειπωμεν, Εξ ανθρωπων· πας ὁ λαος καταλιθασει ἡμας· πεπεισμενος γαρ εστιν Ιωαννην προφητην ειναι.

7 Και απεκριθησαν μη ειδεναι ποθεν.

6, 7.] *Conf. Matt. xxi.* 26. *Marc. xi.* 32. πεπεισμενος. *Conf.* 2 *Marc. ix.* 27. ετι μικρον και καταλιθοβολησουσι με. *Exod. xvii.* 4. αυτος εν μητρᾳ ἡγιασθη προφητης. *Sir. xlix.* 7. ποθεν. 4 *Reg. vi.* 27.

8 Και ὁ Ιησους ειπεν αυτοις, Ουδε εγω λεγω ὑμιν, εν ποιᾳ εξουσιᾳ ταυτα ποιω.

Conf. Matt. xxi. 27. *Marc. xi.* 33. *Ps. lxxx.* 8-14. *Esa. v.* 1-4. *Jer. ii.* 21. *Conf. Job. v.* 12. *Prov. xxvi.* 4, 5.

9 Ηρξατο δε προς τον λαον λεγειν την παραβολην ταυτην· Ανθρωπος τις εφυτευσεν αμπελωνα, και εξεδοτο αυτον γεωργοις, και απεδημησε χρονους ἱκανους.

Conf. Matt. xxi. 33. *Marc. xii.* 1. διελθοντων δε ετων ἱκανων. 2 *Mac. i.* 20. νυν ηρξαμην λαλησαι. *Gen. xviii.* 27. *Conf. Esa. v.* 1. *Jer. ii.* 21. *xii.* 10. *Neh. ix.* 26. 2 *Thess. ii.* 15. *Ps. lxxix.* 8-14. *Joan. xv.* 1-8.

10 Και εν καιρῳ απεστειλε προς τους γεωργους δουλον, ἱνα απο του καρπου του αμπελωνος δωσιν αυτῳ· οἱ δε γεωργοι δειραντες αυτον, εξαπεστειλαν κενον.

Conf. Matt. xxi. 34. *Marc. xii.* 2, 3. εν καιρῳ. *Ps. i.* 3. *Jer. v.* 24. *Jud. vi.* 8-10. και εξαπεστειλα προς ὑμας παντας τους δουλους μου τους προφητας, ἡμερας και ορθρου, κ. τ. λ. *Jer. vii.* 25. *Neh. ix.* 26.

11 Και προσεθετο πεμψαι ἑτερον δουλον· οἱ δε κακεινον δειραντες και ατιμασαντες εξαπεστειλαν κενον.

12 Και προσεθετο πεμψαι τριτον· οἱ δε και τουτον τραυματισαντες εξεβαλον.

και προσεθηκε (προσεθετο. Ald. Comp.) τεκειν τον αδελφον αυτου. Gen. iv. 2. Conf. Matt. xxi. 36. Marc. xii. 4, 5. και ετραυματισθη. 1 Reg. xxxi. 3. Cant. v. 8. και εξεβαλε τον Αδαμ. Gen. iii. 24. Conf. Jer. ii. 30. v. 24. xxv. 3-7. Ose. vi. 4-6. x. 11.

13 Ειπε δε ὁ κυριος του αμπελωνος, Τι ποιησω; πεμψω τον υἱον μου τον αγαπητον· ισως τουτον ιδοντες εντραπησονται.

ισως (certe). ισως εις αδικον πεφυλακα παντα. 1 Reg. xxv. 21. Conf. Matt. xxi. 37. Marc. xii. 6. υἱος αγαπητος Εφραϊμ, εμοι παιδιον εντρυφων, κ. τ. λ. Jer. xxxviii. 20. τι ποιησω ετι τῳ αμπελωνι μου, και ουκ εποιησω αυτῳ; Esa. v. 4. ισως ακουσεται ὁ οικος Ιουδα παντα τα κακα. Jer. xliii. 3. ισως γαρ προσδεξεται το προσωπον μου. Gen. xxxii. 20.

14 Ιδοντες δε αυτον οἱ γεωργοι, διελογιζοντο προς ἑαυτους, λεγοντες, Οὑτος εστιν ὁ κληρονομος· δευτε, αποκτεινωμεν αυτον, ἱνα ἡμων γενηται ἡ κληρονομια.

εν διαβουλιοις οἱς διαλογιζονται. Ps. ix. 22. και εξαρουμεν και γε τον κληρονομον ὑμων. 2 Reg. xiv. 7. Conf. Matt. xxi. 38. Marc. xii. 7. Joan. xi. 53. Ps. ii. 8. lxxxviii. 27. Gen. xxxvii. 18. Heb. i. 2.

15 Και εκβαλοντες αυτον εξω του αμπελωνος, απεκτειναν. τι ουν ποιησει αυτοις ὁ κυριος του αμπελωνος;

Conf. Matt. xxi. 39. Marc. xii. 8, 9. εκβαλε εκ συνεδριου λοιμον. Prov. xxii. 10. Conf. Heb. xiii. 12. ὁ κυριος του λακκου. Exod. xxi. 34.

16 Ελευσεται και απολεσει τους γεωργους τουτους, και δωσει τον αμπελωνα αλλοις. Ακουσαντες δε ειπον, Μη γενοιτο.

Conf. Matt. xxi. 40, 41, 42. Marc. xii. 9, 10. μη γενοιτο. Gen. xliv. 7, 17. μη μοι γενοιτο ποιησαι το πραγμα τουτο· 1 Mac. ix. 10. ποιμανεις αυτους εν ῥαβδῳ σιδηρᾳ, ὡς σκευος κεραμεως συντριψεις αυτους. Ps. ii. 9. [μη γενοιτο. Conf. Sturz. p. 204, 205.]

17 Ὁ δε εμβλεψας αυτοις ειπε, Τι ουν εστι το γεγραμμενον τουτο· Λιθον ὁν απεδοκιμασαν οἱ οικοδομουντες, οὑτος εγενηθη εις κεφαλην γωνιας;

Λιθον ὁν απεδοκιμασαν οἱ οικοδομουντες κ. τ. λ. Ps. cxvii. 22. Conf. Matt. xxi. 42. Marc. xii. 10. Esa. viii. 14. Rom. ix. 33. 1 Pet. ii. 4. κατα το γεγραμμενον. Esd. iii. 4. Tob. i. 6. CITAT. 83.

18 Πας ὁ πεσων επ' εκεινον τον λιθον, συνθλασθησεται· εφ' ὁν δ' αν πεση, λικμησει αυτον.

Conf. Matt. xxi. 44. *Esa. viii.* 15. *Zach. xii.* 3. ὁ λιθος. *Dan. ii.* 35. και λικμησει πασας τας βασιλειας. 44, 45. 1 *Pet. ii.* 7.

19 Και εζητησαν οἱ Αρχιερεις και οἱ Γραμματεις επιβαλειν επ' αυτον τας χειρας εν αυτῃ τῃ ὡρᾳ, και εφοβηθησαν τον λαον· εγνωσαν γαρ ὁτι προς αυτους την παραβολην ταυτην ειπε.

Conf. Matt. xxi. 45, 46. *Marc. xii.* 12. μη επιβαλης την χειρα σου επι το παιδαριον. *Gen. xxii.* 12. εν αυτῃ τῃ ὡρᾳ. *Dan. v.* 5. ειπον παραβολην προς οικον Ισραηλ. *Ezech. xvii.* 1. *xxiv.* 3.

20 Και παρατηρησαντες απεστειλαν εγκαθετους, ὑποκρινομενους ἑαυτους δικαιους ειναι, ἱνα επιλαβωνται αυτου λογου, εις το παραδουναι αυτον τῃ αρχῃ και τῃ εξουσιᾳ του ἡγεμονος.

παρατηρησεται ὁ ἁμαρτωλος τον δικαιον, κ. τ. λ. *Ps. xxxvi.* 12. μη εξαναστης απο προσωπου ὑβριστου, ἱνα μη εγκαθισῃ ὡς ενεδρον τῳ στοματι σου. *Sir. viii.* 11. ταις ὁδοις μου εκυκλωσαν εγκαθετοι. *Job. xix.* 12. *xxxi.* 9. και τον ειρηνικον ὑποκριθεις. 2 *Mac. v.* 25. *Sir. i.* 30. *viii.* 11. *xxxv.* 15. *xxxvi.* 2. επιλαβου εμης παιδειας. *Prov. iv.* 13. ὁλην την ἡμεραν τους λογους μου εβδελυσσοντο, κατ' εμου παντες οἱ διαλογισμοι εις κακον. *Ps. lv.* 5. *Conf. Matt. xxii.* 15. *Marc. xii.* 13. 2 *Reg. xiv.* 2. 4 *Reg. xiv.* 2. *Alex. Ald. Comp.*

21 Και επηρωτησαν αυτον, λεγοντες, Διδασκαλε, οιδαμεν ὁτι ορθως λεγεις και διδασκεις, και ου λαμβανεις προσωπον, αλλ' επ' αληθειας την ὁδον του Θεου διδασκεις.

Conf. Matt. xxii. 16. *Marc. xii.* 14. και προσωπα ἁμαρτωλων λαμβανετε. *Ps. lxxxi.* 2. *Lev. xix.* 15. *Sir. xxxii.* 13. *xlii.* 1. ορθως παντα ὁσα ελαλησαν. *Deut. v.* 28. ερω επ' αληθειας. *Job. xxxvi.* 4. ὁ Θεος μου, αμωμος ἡ ὁδος αυτου. *Ps. xvii.* 30.

22 Εξεστιν ἡμιν Καισαρι φορον δουναι, η ου;

φοροι ουκ εσονται σοι, ουδε δωσουσι. *Esd. iv.* 13, 20. οἱ επιλοιποι διδοασιν αυτοις φορον κατ' ενιαυτον. 1 *Mac. viii.* 4, 7. *Conf. Matt. xxii.* 17. *Marc. xii.* 14. *Conf. Deut. xvii.* 15. 1 *Esd. ii.* 18, 19.

23 Κατανοησας δε αυτων την πανουργιαν, ειπε προς αυτους, Τι με πειραζετε;

ὁ πλασας τον οφθαλμον, ουχι κατανοει; *Ps. lxxxiii.* 9. και εποιησαν και γε αυτοι μετα πανουργιας. *Jos. ix.* 4. *Sir. xix.* 25. *xxi*

12. *Conf. Matt. xxii.* 18. *Marc. xii.* 15. οὑ επιρασαν με οἱ πατερες ὑμων κ. τ. λ. *Ps. xciv.* 9.

24 Επιδειξατε μοι δηναριον· τινος εχει εικονα και επιγραφην; Αποκριθεντες δε ειπον, Καισαρος.

25 Ὁ δε ειπεν αυτοις, Αποδοτε τοινυν τα Καισαρος Καισαρι, και τα του Θεου τῳ Θεῳ.

Conf. Matt. xxii. 19-21. *Marc. xii.* 16, 17. *Rom. xiii.* 7. τοινυν. *Esa. iii.* 10. *v.* 13.

26 Και ουκ ισχυσαν επιλαβεσθαι αυτου ῥηματος εναντιον του λαου· και θαυμασαντες επι τῃ αποκρισει αυτου, εσιγησαν.

ουκ ισχυω του εξελεσθαι. *Esa. l.* 2. εδωκε Κυριος την χαριν—— εναντιον των Αιγυπτιων. *Exod. xii.* 36. οὑτω θαμασονται εθνη πολλα επ' αυτῳ. *Esa. lii.* 15. *xiv.* 16. *Job. v.* 12, 13. *xlii.* 11. και εθαυμασαν επι τῃ σοφιᾳ αυτης. *Judith. xi.* 20.

27 Προσελθοντες δε τινες των Σαδδουκαιων, οἱ αντιλεγοντες αναστασιν μη ειναι, επηρωτησαν αυτον,

Conf. Matt. xxii. 23. *Marc. xii.* 18. *Act. xxiii.* 8. μη αντιλεγε τῃ αληθειᾳ. *Sir. iv.* 25. μη *abundat. Conf.* 2 *Par. ix.* 20. [*De Sadduc. Conf. Jos. Ant. xiii.* 5. 10. *xviii.* 1. *xx.* 9. 1. *Bell. Jud. ii.* 8. 14.]

28 Λεγοντες, Διδασκαλε, Μωσης εγραψεν ἡμιν, Εαν τινος αδελφος αποθανῃ εχων γυναικα, και οὑτος ατεκνος αποθανῃ, ἱνα λαβῃ ὁ αδελφος αυτου την γυναικα, και εξαναστησῃ σπερμα τῳ αδελφῳ αὑτου.

Conf. Matt. xxii. 24. *Marc. xii.* 28. ατεκνοι αποθανουντοι. *Lev. xx.* 20. *Deut. xxv.* 5-10. *Gen. xxxviii.* 8. *Sir. xvi.* 3. *Ruth. i.* 11, 12. εγραψεν ὑμιν ποιειν. 4 *Reg. xvii.* 37. *CITAT.* 84.

29 Ἑπτα ουν αδελφοι ησαν, και ὁ πρωτος λαβων γυναικα απεθανεν ατεκνος·

30 Και ελαβεν ὁ δευτερος την γυναικα, και οὑτος απεθανεν ατεκνος·

31 Και ὁ τριτος ελαβεν αυτην, ὡσαυτως δε και οἱ ἑπτα· και ου κατελιπον τεκνα, και απεθανον·

και τα καταλελειμμενα τεκνα. *Deut. xxviii.* 54. *Prov. xx.* 7.

32 Ὑστερον δε παντων απεθανε και ἡ γυνη.

Jud. ii. 10. *Eccles. i.* 4. *ix.* 5. ὑστερον. *Jer. xxxviii.* 19.

Conf. Matt. xxii. 25-27. *Marc. xii.* 20-22. *Conf. Lev. xx.* 20. *Jer. xxii.* 10.

33 Εν τῃ ουν αναστασει, τινος αυτων γινεται γυνη; οἱ γαρ ἑπτα εσχον αυτην γυναικα.

Conf. Matt. xxii. 28. *Marc. xii.* 23. 2 *Mac. xii.* 43-45.

34 Και αποκριθεις ειπεν αυτοις ὁ Ιησους, Οἱ υἱοι του αιωνος τουτου γαμουσι και εκγαμισκονται·

οἱ υἱοι της χωρας. *Esd. ii.* 1. υἱοι Σιων. *Ps. cxlix.* 2. [οἱ υἱοι της διαθηκης. *Psalt. Sal. p.* 963.] υἱοι σοφιας. *Sir. iv.* 11. *Conf. supra cap. xvi.* 8. *Ps. xvii.* 14. [γαμειται μεν ἡ γυνη· γαμει δε ὁ ανηρ. *Hesych.*]

35 Οἱ δε καταξιωθεντες του αιωνος εκεινου τυχειν και της αναστασεως της εκ νεκρων, ουτε γαμουσιν ουτε εκγαμισκονται·

Conf. Matt. xxii. 30. *Marc. xii.* 25. καταξιωσαντων τον ελεημονα Κυριον. 2 *Mac. xiii.* 12. ὁτι ὁ Θεος επειρασεν αυτους, και εὑρεν αυτους αξιους ἑαυτου. *Sap. iii.* 5. *i.* 16. *ix.* 12. αξιοι γαρ εκεινοι στερηθηναι φωτος. *xviii.* 4. εαν ευκαιριας τυχω. 1 *Mac. xi.* 42. *Conf. Phil. iii.* 11. *Heb. xi.* 35. *Job. xlii.* 17. *Dan. xii.* 2, 3, 13. [καταξιωσας με των αθανατων και αει οντων. *Act. Thom. c.* 15.]

36 Ουτε γαρ αποθανειν ετι δυνανται· ισαγγελοι γαρ εισι, και υἱοι εισι του Θεου, της αναστασεως υἱοι οντες.

υἱος θανατου ὁ ανηρ ὁ ποιησας τουτο. 2 *Reg. xii.* 5. *Rom. viii.* 13. 1 *Joan. iii.* 2. 1 *Cor. xv.* 42. κατεπιεν ὁ θανατος ισχυσας, κ. τ. λ. *Esa. xxv.* 8. εκ χειρος ᾁδου ῥυσομαι, και εκ θανατου λυτρωσομαι αυτους, κ. τ. λ. *Ose. xiii.* 14. υἱοι εστε Κυριῳ τῳ Θεῳ ἡμων. *Deut. xiv.* 1. *Citat Philo, de Vit. p.* 662. [τεθνηε δ' ουδεις, παρ' εμοι κριτῃ, των αγαθων ανδρων, αλλα και ζησεται τον αει χρονον αγηρως, αθανατω φυσει ψυχης, μηκετι ταις σωματος αναγκαις ενδεδημενη. *Philo. de Joseph.*] [Αβρααμ εκλιπων τα θνητα προστιθεται τῳ Θεου λαῳ. [*Conf. Gen. xxv.* 8. *Heb. ii.* 25.] καρπουμενος αφθαρσιαν, ισος αγγελοις γεγονως· αγγελοι γαρ στρατος εισι Θεου, ασωματοι και ευδαιμονες ψυχαι—οἱ δε ανθρωποι—εις το αφθαρτον και τελειωτατον γενος μετανισταντναι κ.τ.λ. *Philo. v. p.* 164, 165.]

37 Ὁτι δε εγειρονται οἱ νεκροι, και Μωσης εμηνυσεν επι της βατου, ὡς λεγει Κυριον τον Θεον Αβρααμ και τον Θεον Ισαακ και τον Θεον Ιακωβ·

Εγω ειμι ὁ Θεος του πατρος σου, Θεος Ἀβρααμ, κ. τ. λ. *Exod. iii.* 6. *Matt. xxii.* 32. *Marc. xii.* 26. εμηνυσεν. 2 *Mac. iii.* 7. *vi.* 11. *xiv.*

37. *Job.* *xii.* 8. *Sym.* τῳ οφθεντι εν τῃ βατῳ. *Deut.* *xxxiii.* 16. *Act.* *vii.* 32. *Heb.* *xi.* 16. *CITAT.* 85.

38 Θεος δε ουκ εστι νεκρων, αλλα ζωντων. παντες γαρ αυτῳ ζωσιν.

ὁτι ουκ εγκαταλειψεις την ψυχην μου εις ᾁδην, κ. τ. λ. *Ps.* *xv.* 10, 11. ὁτι παρα σοι πηγη ζωης κ. τ. λ. *Ps.* *xxxv.* 9. εγνωρισας μοι ὁδους ζωης. *xv.* 11. *lxxiii.* 26. οἱ δια τον Θεον αποθνησκοντες ζωσι τῳ Θεῳ, κ. τ. λ. 4 *Mac.* 16.

39 Αποκριθεντες δε τινες των Γραμματεων ειπον, Διδασκαλε, καλως ειπας.

40 Ουκ ετι δε ετολμων επερωτᾳν αυτον ουδεν.

και ουκ απεκωλυσεν αυτον ὁ πατηρ αυτου ουδεποτε. 3 *Reg.* *i.* 6.

41 Ειπε δε προς αυτους, Πως λεγουσι τον Χριστον υἱον Δαβιδ ειναι;

Conf. *Matt.* *xxii.* 41. *Marc.* *xii.* 35. και αναστησω τῳ Δαυιδ ανατολην δικαιαν κ. τ. λ. *Jer.* *xxiii.* 5, 6.

42 Και αυτος Δαβιδ λεγει εν βιβλῳ ψαλμων, Ειπεν ὁ Κυριος τῳ Κυριῳ μου, Καθου εκ δεξιων μου,

43 Ἑως αν θω τους εχθρους σου ὑποποδιον των ποδων σου.

Conf. *Matt.* *xxii.* 44. *Marc.* *xii.* 35, 36.

44 Δαβιδ ουν Κυριον αυτον καλει, και πως υἱος αυτου εστιν;

ειπεν ὁ Κυριος τῳ Κυριῳ μου, Καθου εκ δεξιων μου κ. τ. λ. *Ps.* *cix.* 1. *CITAT.* 86.

45 Ακουοντος δε παντος του λαου, ειπε τοις μαθηταις αὑτου,

46 Προσεχετε απο των Γραμματεων των θελοντων περιπατειν εν στολαις, και φιλουντων ασπασμους εν ταις αγοραις, και πρωτοκαθεδριας εν ταις συναγωγαις, και πρωτοκλισιας εν τοις δειπνοις·

Conf. *Matt.* *xxiii.* 5. *Marc.* *xii.* 38, 39. προσεχε απο κακουργου. *Sir.* *xi.* 34. απο παντος αδικου. *xvii.* 11. των θελοντων φοβεισθαι το ονομα σου. *Neh.* *i.* 11.

47 Οἱ κατεσθιουσι τας οικιας των χηρων, και προφασει μακρα προσευχονται. οὑτοι ληψονται περισσοτερον κριμα.

Conf. *Matt.* *xxiii.* 14. *Marc.* *xii.* 40. 2 *Tim.* *iii.* 6. *Tit.* *i.* 11. ψυχας κατεσθιοντες. *Ezech.* *xxii.* 25. και προσηλυτον και ορφανον και χηραν μη καταδυναστευσητε κ. τ. λ. *Jer.* *vii.* 6-10. *Conf.* *Ezech.* *xxii.* 7. *Amos.* *viii.* 4-6. [χηρας πλεονεκτουντες. *Act.* *Thom.* 12.]

ΚΕΦ. κα. 21.

ΑΝΑΒΛΕΨΑΣ δε ειδε τους βαλλοντας τα δωρα αὑτων εις το γαζοφυλακιον πλουσιους·

αναβλεψας δε Ιακωβ τοις οφθαλμοις αυτου, ειδε κ. τ. λ. Gen. xxxiii. 1. *δουναι εις το ἱερον γαζοφυλακιον.* 1 *Esd. v.* 45. *δωρα. Lev. ii.* 4. *Neh. xiii.* 12. *Conf. Exod. xxxv.* 21-29. 4 *Reg. xii.* 9. *Marc. xii.* 41-43.

2 Ειδε δε και τινα χηραν πενιχραν βαλλουσαν εκει δυο λεπτα,

τῳ αδελφῳ τῳ πενιχρῳ. Exod. xxii. 25. *Conf.* 2 *Cor. viii.* 12. *ανοητῳ επερωτησαντι σοφιαν σοφια λογισθησεται, κ.τ.λ. Prov. xvii.* 28.

3 Και ειπεν, Αληθως λεγω ὑμιν, Ὁτι ἡ χηρα ἡ πτωχη αὑτη πλειον παντων εβαλεν·

4 Ἁπαντες γαρ οὑτοι εκ του περισσευοντος αὑτοις εβαλον εις τα δωρα του Θεου, αὑτη δε εκ του ὑστερηματος αὑτης ἁπαντα τον βιον ὃν ειχεν εβαλε.

Conf. Marc. xii. 44. *εστι νωθρος και προσδεομενος αντιληψεως, ὑστερων ισχυϊ, και πτωχειᾳ περισσευει, και οἱ οφθαλμοι Κυριου επεβλεψαν αυτῳ εις αγαθα, και ανωρθωσεν αυτον εκ ταπεινωσεως αυτου. Sir. xi.* 12. [*αυτος (Messias) αναπληρωσει τα ὑστερηματα της φυλης σου. Test. XII Patr. p.* 747.] *βιον. Conf. Cant. viii.* 7.

5 Και τινων λεγοντων περι του ἱερου, ὁτι λιθοις καλοις και αναθημασι κεκοσμηται, ειπε,

ὃν δε προτερον εσκυλευσεν ἁγιον νεων καλλιστοις αναθημασι κοσμησειν. 2 *Mac. ix.* 16. 3 *Mac. i.* 10. *iii.* 17. *Judith. xvi.* 19. 1 *Esd. vi.* 9. *και εκοσμησε τον οικον λιθης τιμιοις.* 2 *Par. iii.* 6. *Conf. Matt. xxiv.* 1. *Marc. xiii.* 1. [*Conf. Jos. Ant. xv.* 11. *Bell. Jud. ii.* 17. 3.]

6 Ταυτα ἁ θεωρειτε, ελευσονται ἡμεραι εν αἱς ουκ αφεθησεται λιθος επι λιθῳ, ὁς ου καταλυθησεται.

ιδου ἡμεραι ερχονται, λεγει Κυριος. Jer. xvi. 14. *ὡς παντα τα εργα αυτου επιθυμητα, και ὡς σπινθηρος εστι θεωρησαι. Sir. xlii.* 22. *Conf. Matt. xxiv.* 2. *Marc. xiii.* 2. *ταυτα ἁ θεωρειτε (quod attinet ad hæc.) Vide Ps. xvii.* 30. *Act. x.* 36. *Apoc. ii.* 26. *vi.* 8. 3 *Reg. ix.* 7. *Mich. iii.* 12. *Conf. Raphel. in loc. Jer. xxxiii.* 18. *Dan. ix.* 26. (*κατα*) *ταυτα ἁ θεωρειτε. Conf. Viger. p.* 44. *Ose. xii.* 7. [*Philo. Leg. ad Cai. T. ii. p.* 592. *Edit. Mangey.*]

7 Επηρωτησαν δε αυτον λεγοντες, Διδασκαλε, ποτε ουν ταυ-
τα εσται; και τι το σημειον ὁταν μελλῃ ταυτα γινεσθαι;

Matt. xxiv. 3. *Marc. xiii.* 3. Κυριε, τι τα εσχατα τουτων; *Dan. xii.* 8. ἑως ποτε το περας ὡν ειρηκας των θαυμασιων; *Dan. xii.* 6. αἱ τιμωριαι ταις ἁμαρτωλοις—ουκ ανευ των γεγονοτων τεκμηριων. *Sap. xix.* 13. τουτο δε σοι το σημειον παρα Κυριου. *Esa. xxxviii.* 7.

8 Ὁ δε ειπε, Βλεπετε μη πλανηθητε· πολλοι γαρ ελευσονται
επι τῳ ονοματι μου, λεγοντες, Ὁτι εγω ειμι, και, Ὁ καιρος
ηγγικε. μη ουν πορευθητε οπισω αυτων.

Conf. Matt. xxiv. 4. *Marc. xiii.* 4. ὁτι καλον το πορευεσθαι οπισω Κυριου. *Sir. xlvi.* 10. ἡκει ὁ καιρος, ηγγικεν ἡ ἡμερα. *Ezech. vii.* 7, 12. ἑως γηρως εγω ειμι. *Esa. xlvi.* 4. *Conf. Jer. xxxvi.* 8. 2 *Cor. xi.* 13. *Col. ii.* 18. 1 *Joan. iv.* 1.

9 Ὁταν δε ακουσητε πολεμους και ακαταστασιας, μη πτοη-
θητε· δει γαρ ταυτα γενεσθαι πρωτον, αλλ' ουκ ευθεως το τελος.

μη φοβου—μη δε πτοηθῃς. *Deut. xxxi.* 6. *Conf. Matt. xxiv.* 6. *Marc. xiii.* 6, 7. *Ps. xxvi.* 3. *Jer. iv.* 27. *Dan. ix.* 26. *Zach. xiv.* 2. πολεμου ακαταστασιαις. *Sir. xxvi.* 27. *Comp. Prov. xxvi.* 28.

10 Τοτε ελεγεν αυτοις, Εγερθησεται εθνος επι εθνος, και βα-
σιλεια επι βασιλειαν·

11 Σεισμοι τε μεγαλοι κατα τοπους και λιμοι και λοιμοι εσον-
ται, φοβητρα τε και σημεια απ' ουρανου μεγαλα εσται.

και επεγερθησονται Αιγυπτιοι επ' Αιγυπτιους. *Esa. xix.* 2. 2 *Par. xv.* 6. *Matt. xxiv.* 7. *Marc. xiii.* 8. εγω σειω τον ουρανον και την γην κ. τ. λ. *Agg. ii.* 21, 22. φοβητρα. *Esa. xix.* 17. τε—και. *Sap. vii.* 16. [*Conf. Jos. Ant. xviii.* 9. 1. *xx.* 3. 4. 5.]

12 Προ δε τουτων ἁπαντων επιβαλουσιν εφ' ὑμας τας χειρας
αὑτων, και διωξουσι, παραδιδοντες εις συναγωγας και φυλα-
κας, αγομενους επι βασιλεις και ἡγεμονας, ἑνεκεν του ονομα-
τος μου.

μη επιβαλῃς την χειρα σου επι το παιδαριον. *Gen. xxii.* 12. ἑνεκεν του ονοματος σου, Κυριε. *Ps. cxlii.* 11. *Ald. Comp. Conf. Matt. x.* 17, 18. *xxiv.* 9. *Marc. xiii.* 9-12. και ηγαγον αυτον προς Ιησου, και απεκτεινεν αυτον. 2 *Par. xxii.* 9. *Joan. xvi.* 2. *Apoc. ii.* 10. *Act. iv.* 3. *v.* 18. *xxv.* 23.

13 Αποβησεται δε ὑμιν εις μαρτυριον.

και τουτο μοι αποβησεται εις σωτηριαν. *Job. xiii.* 16. *Phil. i.* 19. [αποβησεται· γινεται. *Hesych.*] *Conf. Marc. xiii.* 9.

14 Θεσθε ουν εις τας καρδιας ὑμων, μη προμελεταν απολογηθηναι·

θησω τους λογους μου εις το στομα σου. *Esa. li.* 16. και εθετο Δανιηλ εις την καρδιαν αυτου. *Dan. i.* 8. *Mal. ii.* 2. *Conf. Marc. xiii.* 11. *Matt. x.* 19. προσηλθεν επι το βημα Λυσιας, απελογησατο ενδεχομενως. 2 *Mac. xiii.* 26. μη λεγε, Ὁτι νεωτερος εγω ειμι, ὁτι προς παντας οὑς εαν εξαποστειλω σε, πορευσῃ, και κατα παντα ὁσα εαν εντειλωμαι σοι, λαλησεις κ. τ. λ. *Jer. i.* 7, 8. θεσθε τας καρδιας ὑμων εις δυναμιν αυτης. *Ps. xlvii.* 13.

15 Εγω γαρ δωσω ὑμιν στομα και σοφιαν, ᾗ ου δυνησονται αντειπειν ουδε αντιστηναι παντες οἱ αντικειμενοι ὑμιν.

ὁ Θεος Κυριος δωσει ῥημα τοις ευαγγελιζομενοις δυναμει πολλῃ. *Ps. lxvii.* 11. Κυριος διδωσι μοι γλωσσαν παιδειας, του γνωναι ἡνικα δει ειπειν λογον. *Esa. l.* 4. Ιδου δεδωκα τους λογους μου εις το στομα σου. *Jer. i.* 9. ουκ ηδυνηθησαν ετι αντιστηναι κατα προσωπον. *Jud. ii.* 14. *Lev. xxvi.* 37. ουκ εστιν αυτοις αντειπειν. *Est. viii.* 8. μη φοβου, ὁτι πλειους οἱ μεθ' ἡμων ὑπερ τους μετ' αυτων. 4 *Reg. vi.* 16. και αντικεισομαι τοις αντικειμενοις σοι. *Exod. xxiii.* 22. *Est. ix.* 2. *Esa. liv.* 17. *Act. vi.* 10. τις εδωκε στομα ανθρωπῳ, και τις εποιησε δυσκωφον και κωφον, βλεποντα και τυφλον; ουκ εγω ὁ Θεος; Και νυν πορευου, και εγω ανοιξω το στομα σου κ.τ.λ. *Exod. iv.* 11, 12. [*Laudat Philo. p.* 379. *Edit. Col.*]

16 Παραδοθησεσθε δε και ὑπο γονεων και αδελφων και συγγενων και φιλων, και θανατωσουσιν εξ ὑμων.

αδελφων και συγγενων. 2 *Mac. xv.* 18. ἑνεκα σου θανατουμεθα ὁλην την ἡμεραν, κ. τ. λ. *Ps. xliii.* 22. *Conf. Matt. xxiv.* 10. *Marc. xiii.* 12. *Mich. vii.* 6. *Act. vii.* 59. *xii.* 2.

17 Και εσεσθε μισουμενοι ὑπο παντων δια το ονομα μου·

Conf. Marc. xiii. 13. *Matt. x.* 22. 1 *Pet. iv.* 16. δια το ῥημα τουτο. *Deut. xv.* 10. *Gen. xliii.* 18.

18 Και θριξ εκ της κεφαλης ὑμων ου μη αποληται.

και ἡ θριξ της κεφαλης αυτων ουκ εφλογισθη. *Dan. iii.* 27. 1 *Reg. xiv.* 45. *Conf. Matt. x.* 30. 2 *Reg. xiv.* 11. 3 *Reg. i.* 52.

19 Εν τῃ ὑπομονῃ ὑμων κτησασθε τας ψυχας ὑμων.

ἡ ὑπομονη των πενητων ουκ απολειται εις τον αιωνα. *Ps. ix.* 18. *Conf. Matt. xxiv.* 13. *Marc. xiii.* 13. ορος τουτο ὁ εκτησατο ἡ δεξια αυτου. *Ps. lxxvii.* 54. καρδια φρονιμου κταται αισθησιν. *Prov. xviii.* 15. ὑπομεινον τον Κυριον, ανδριζου, και κραταιουσθω ἡ καρ-

δια σου. *Ps. xxvi.* 14. καρδιαν εκτησαμην μετ' αυτων απ' αρχης. *Sir. li.* 20. *Ps. lxxiii.* 2. *Conf. Dan. xii.* 12. *Sophon. iii.* 8.

20 Ὁταν δε ιδητε κυκλουμενην ὑπο στρατοπεδων την Ἱερουσαλημ, τοτε γνωτε ὁτι ηγγικεν ἡ ερημωσις αυτης.

ερημωσις. *Jer. vii.* 32. *xxxii.* 18. *Dan. viii.* 13. *ix.* 27. ἑως της συντελειας καιρου συντελεια δοθησεται επι την ερημωσιν. *Conf. Matt. xxiv.* 15. *Marc. xiii.* 14.

21 Τοτε οἱ εν τῃ Ιουδαιᾳ φευγετωσαν εις τα ορη· και οἱ εν μεσῳ αυτης εκχωρειτωσαν· και οἱ εν ταις χωραις μη εισερχεσθωσαν εις αυτην.

εκχωρησατε εκ μεσου της συναγωγης ταυτης. *Num. xvi.* 45. *Amos. vii.* 12. 1 *Mac. ix.* 62. οἱ λαοι των χωρων. 2 *Par. xxxii.* 13.

22 Ὁτι ἡμεραι εκδικησεως αὑται εισι, του πληρωθηναι παντα τα γεγραμμενα.

κατα τα γεγραμμενα εν νομῳ Μωυση ανθρωπου του Θεου. *Esd. iii.* 2. *Conf. Matt. xxiv.* 16. *Marc. xiii.* 17. ἡκασιν ἡμεραι της εκδικησεως. *Ose. ix.* 7. και κυκλωσω ὡς Δαυιδ επι σε, κ. τ. λ. *Esa. xxix.* 3. του πληρωθηναι λογον Κυριου. 2 *Par. xxxvi.* 21. *Conf. Dan. ix.* 26. *Zach. xi.* 2. *Mal. iv.* 1. *Deut. xxxii.* 35. *Ps. xciii.* 1. *Heb. x.* 30.

23 Ουαι δε ταις εν γαστρι εχουσαις και ταις θηλαζουσαις εν εκειναις ταις ἡμεραις· εσται γαρ αναγκη μεγαλη επι της γης, και οργη εν τῳ λαῳ τουτῳ.

Conf. Matt. xxiv. 19. *Marc. xiii.* 17. ἡμερα θλιψεως και αναγκης. *Soph. i.* 15. *Ps. cxviii.* 143. ἡμερα θλιψεως—και οργης. *Esa. xxxvii.* 3. *Conf. Deut. xxviii.* 56, 57. 1 *Mac. i.* 61. *Mich. iii.* 4, 5. εν, *contra. Judith. vi.* 2. *Jon. i.* 2. [*Jos. Bell. Jud. iv.* 9. 10. *vi.* 3. 4.]

24 Και πεσουνται στοματι μαχαιρας, και αιχμαλωτισθησονται εις παντα τα εθνη· και Ἱερουσαλημ εσται πατουμενη ὑπο εθνων, αχρι πληρωθωσι καιροι εθνων.

και πεσουνται εν μαχαιρᾳ. *Jer. xx.* 4. εν στοματι μαχαιρας. *Jos. xix.* 47. *Jud. xviii.* 27. και αιχμαλωτιουσιν αυτους—εις γην μακραν η εγγυς. 3 *Reg. viii.* 46. *Alex. Ald. Conf.* 1 *Mac. x.* 33. *Ezech. xii.* 3. *Ald. Alex.* και τα ἁγια σου καταπεπατηται. 1 *Mac. iii.* 51. και εσται εις καταπατημα. *Esa. v.* 5. εν τῳ πεπληρωθηναι τα ἑβδομηκοντα ετη. *Jer. xxv.* 12. *xxix.* 10. *Est. i.* 5. και αυτος προσδοκια εθνων. *Gen. xlix.* 10. ἑως της συντελειας καιρου.

Dan. ix. 27. *Conf. Deut. xiii.* 15, 16. *Rom. xi.* 25. και διασπερει σε Κυριος ὁ Θεος σου εις παντα τα εθνη απ᾽ ακρου της γης, ἑως ακρου της γης, κ. τ. λ. *Deut. xxviii.* 64. εν τῳ συντελεσθηναι διασκορπισμον γνωσονται παντα ταυτα. *Dan. xii.* 7. *Conf. Esa. lxvi.* 12-19. και εσται εν τῃ ἡμερᾳ ἐκεινῃ, θησομαι την Ἱερουσαλημ λιθον καταπατουμενον πασι τοις εθνεσι, κ. τ. λ. *Zach. xiii.* 3. και ῳκοδομησει εν τῳ καιρῳ εκεινῳ το ορος Σιων, κυκλοθεν τειχη ὑψηλα και πυργους εχυρους, μηποτε παραγενηθεντα τα εθνη καταπατησωσιν αυτα ὡς εποιησαν το προτερον. 1 *Mac. iv.* 60. και παραδωσω σε εις χειρας ανδρων βαρβαρων τεκταινοντων διαφθορας, κ. τ. λ. *Ezech. xxi.* 31.

25 Και εσται σημεια εν ἡλιῳ και σεληνῃ και αστροις, και επι της γης συνοχη εθνων εν απορια̣, ηχουσης θαλασσης και σαλου,

και εσται σημεια και τερατα εν τῳ οικῳ Ισραηλ. *Esa. viii.* 18. *xiii.* 10. απο των σημειων του ουρανου μη φοβεισθε. *Jer. x.* 2. *Ezech. xxxii.* 7. σκοτος σκληρον εν τῃ απορια̣ αυτων. *Esa. v.* 30. *Jer. viii.* 22. *xxix.* 18. *Lev. xxvi.* 16. *Joel. ii.* 10. *Apoc. vi.* 12. συνοχην και ταλαιπωριαν. *Job. xxx.* 3. παταξαι σε Κυριος απορια̣. *Deut. xxviii.* 22. *Sir. iv.* 2. και εστη ἡ θαλασσα εκ του σαλου αυτης. *Jon. i.* 15. *Ps. lxxxviii.* 9. και ηχησουσι τα κυματα. *Jer. v.* 22. *Matt. xxiv.* 29. 2 *Pet. iii.* 10. [συνοχη· ασθενεια, αδημονια. σαλος· ταραχη. *Hesych.*]

26 Αποψυχοντων ανθρωπων απο φοβου και προσδοκιας των επερχομενων τῃ οικουμενῃ· αἱ γαρ δυναμεις των ουρανων σαλευθησονται.

αποψυχειν. 4 *Mac. xv.* 18. και σαλευθησονται ὑδατα απο της θαλασσης. *Amos. viii.* 12. και τακησονται πασαι αἱ δυναμεις των ουρανων. *Esa. xxxiv.* 4. πανουργος κακων επερχομενων απεκρυβη κ.τ.λ. *Prov. xxvii.* 12. [τελος επερχομενον. *Test. XII Patr. p.* 191.] [τας ανω δυναμεις. *Philo. de Sept. et Test.* 1175.] [επι μειζονος κακου προσδοκια̣. *Jos. Ant. xv.* 3, 4.]

27 Και τοτε οψονται τον υἱον του ανθρωπου ερχομενον εν νεφελῃ μετα δυναμεως και δοξης πολλης.

Conf. Matt. xxiv. 30. *Marc. xiii.* 26. *Dan. vii.* 10-13. *Act. i.* 11. 2 *Thess. i.* 10. *Apoc. i.* 7.

28 Αρχομενων δε τουτων γινεσθαι, ανακυψατε και επαρατε τας κεφαλας ὑμων· διοτι εγγιζει ἡ απολυτρωσις ὑμων.

οὑτος ηρξατο ειναι γιγας. 1 *Par. i.* 10. *Gen. vi.* 1. και νυν ὑψωσε την κεφαλην μου. *Ps. xxvi.* 6. οἱ μισουντες σε ηραν κεφαλην. *lxxxii.* 2. ου δυναμαι ανακυψαι. *Job. x.* 15. προσχες τῃ ψυχῃ μου, και

λυτρωσαι αυτην. Ps. lxix. 18. εγγιζει το ετος το ἑβδομον, ετος της αφεσεως. Deut. xv. 9. ἡμερα γαρ ανταποδοσεως επηλθεν αυτοις, και ενιαυτος λυτρωσεως παρεστι. Esa. lxiii. 4. Conf. Ps. xcvii. 5–9. Rom. viii. 23.

29 Και ειπε παραβολην αυτοις, Ιδετε την συκην και παντα τα δενδρα.

30 Ὁταν προβαλωσιν ηδη, βλεποντες αφ᾽ ἑαυτων γινωσκετε ὁτι ηδη εγγυς τα θερος εστιν.

Conf. Matt. xxiv. 32. Marc. xiii. 28. [αν καρπον προβαλῃ τα φυτα. Jos. Ant. iv. 8. 19.] Prov. xxvi. 18. Ezech. xvii. 23.

31 Οὑτω και ὑμεις ὁταν ιδητε ταυτα γινομενα, γινωσκετε ὁτι εγγυς εστιν ἡ βασιλεια του Θεου.

και γνωσονται ὁτι προφητης ει συ εν μεσῳ αυτων. Ezech. ii. 5. διηλθε θερος, παρηλθεν αμητος, και ἡμεις ου διεσωθημεν. Jer. viii. 20. εδειξεν αυτῳ βασιλειαν Θεου. Sap. x. 10.

32 Αμην λεγω ὑμιν, Ὁτι ου μη παρελθῃ ἡ γενεα αὑτη, ἑως αν παντα γενηται.

και παρηλθον, και ιδου ουκ ην. Ps. xxxvi. 36. ἑως αν παρελθῃ ἡ οργη Κυριου. xxvi. 20.

33 Ὁ ουρανος και ἡ γη παρελευσονται, οἱ δε λογοι μου ου μη παρελθωσι.

εξουσια αιωνιος, ἡτις ου παρελευσεται. Dan. vii. 14. και ου μη εὑρεθωσιν. Jer. xxvii. 20. Ps. xxxvi. 10. lviii. 13. Conf. Esa. li. 6. Matt. xxiv. 35. Marc. xiii. 31. 2 Pet. iii. 7–10. αυτοι απολουνται, συ δε διαμενεις, κ. τ. λ. Ps. ci. 26, 27. cxviii. 89. Heb. i. 11.

34 Προσεχετε δε ἑαυτοις, μηποτε βαρυνθωσιν ὑμων αἱ καρδιαι εν κραιπαλῃ και μεθῃ και μεριμναις βιωτικαις, και αιφνιδιος εφ᾽ ὑμας επιστῃ ἡ ἡμερα εκεινη·

προσεχε σεαυτῳ μηποτε θῃς διαθηκην. Exod. xxxiv. 12. εβαρυνθη ἡ καρδια αυτου. viii. 15, 32. Ps. iv. 2. κεκραιπαληκως εξ οινου. Ps. lxxvii. 65. Aq. Esa. xxix. 9. ἡ μεριμνα του πλουτου. Sir. xxxi. 1, 2. εν ᾡ κατεκειτο εν ταις μεθαις αυτου. Judith. xiii. 15. αιφνιδιος γαρ αυτοις και απροσδοκητος φοβος επηλθε. Sap. xvii. 15. φρικτως και ταχεως επιστησεται ὑμιν. vi. 5. Conf. Rom. xiii. 13. 1 Thess. v. 6. 1 Pet. iv. 7. Esa. xxviii. 7, 8. Ose. iv. 11. Sir. xxviii. 26. Exod. vii. 14. Sap. ii. 4. ix. 15.

35 Ὡς παγις γαρ επελευσεται επι παντας τους καθημενους επι προσωπον πασης της γης.

παγις εφ' ὑμας τους ενοικουντας επι της γης. *Esa. xxiv.* 17. *Jer. v.* 27. *Ps. lvi.* 6. 1 *Mac. i.* 35. επι προσωπον πασης της γης. 2 *Reg. xviii.* 8. *Sir. xxxiii.* 8. ὡς οἱ ιχθυες οἱ θηρευομενοι εν αμφιβληστρῳ κακῳ, κ. τ. λ. *Eccles. ix.* 12. οἱ καθημενοι εν Ἱερουσαλημ. *Neh. xi.* 6. *Judith. v.* 3. 1 *Mac. ii.* 7. ἡμερα αντοποδοσεως επηλθεν αυτοις. *Esa. lxiii.* 4. 2 *Pet. iii.* 10. *Apoc. iii.* 3. *Prov. xxix.* 5.

36 Αγρυπνειτε ουν εν παντι καιρῳ δεομενοι, ἱνα καταξιωθητε εκφυγειν ταυτα παντα τα μελλοντα γινεσθαι, και σταθηναι εμπροσθεν του υἱου του ανθρωπου.

αγρυπνειτε και τηρειτε. *Esd. viii.* 29. 1 *Esd. viii.* 59. ποιουντες δικαιοσυνην εν παντι καιρῳ. *Ps. cv.* 3. *xxxiii.* 1. καταξιωσαντων τον ελεημονα Κυριον. 2 *Mac. xiii.* 12. ουπω γαρ—Θεου κρισιν εκπεφευγας. *vii.* 35. ουκ εκφευξῃ ἁμαρτιαν. *Prov. x.* 19. τοτε στησεται εν παρῥησιᾳ πολλῃ ὁ δικαιος κατα προσωπον των θλιψαντων αυτον. *Sap. v.* 1. *Ps. i.* 5. *Prov. xxii.* 29. *Nah. i.* 6. *Esd. ix.* 15. *Conf. Matt. xxiv.* 42. *Marc. xiii.* 33. *Luc. xii.* 40. ὁ καιρος αυτῳ συνεργει. 1 *Mac. xii.* 1.

37 Ην δε τας ἡμερας εν τῳ ἱερῳ διδασκων· τας δε νυκτας εξερχομενος ηυλιζετο εις το ορος το καλουμενον Ελαιων.

ην προφητευων. *Jer. xxxiii.* 20. και ηυλισθην εν τῃ ερημῳ. *Ps. liv.* 7. *Jud. xix.* 7, 13. και ηυλισθη Ιησους την νυκτα εκεινην. *Jos. viii.* 9. *Oxon. Comp. Francof.* 2 *Reg. xvii.* 16. *Conf. Joan. viii.* 1, 2.

38 Και πας ὁ λαος ωρθριζε προς αυτον εν τῳ ἱερῳ ακουειν αυτου.

εαν ιδῃς συνετον, ορθριζε προς αυτον. *Sir. vi.* 36. *Sap. vi.* 14. και στησονται οἱ ποδες αυτου εν τῃ ἡμερᾳ εκεινῃ επι το ορος των ελαιων κ. τ. λ. *Zach. xiv.* 4. [ορθρευει, Αττικως· ορθριζει Ἑλληνικως. *Moeris.*] *Conf. Salmas. de Ling. Hellenist. p.* 101.

ΚΕΦ. κβ. 22.

ΗΓΓΙΖΕ δε ἡ ἑορτη των αζυμων, ἡ λεγομενη Πασχα·

ηγγικασιν αἱ ἡμεραι του θανατου σου. *Deut. xxxi.* 14. εν τῃ ἑορτῃ των αζυμων. 2 *Par. viii.* 13. *Conf. Marc. xiv.* 1. *Matt. xxvi.* 1, 2. *Exod. xii.* 15. λεγομενη. *Conf.* 1 *Esd. viii.* 41.

2 Και εζητουν οἱ Αρχιερεις και οἱ Γραμματεις, το, πως ανελωσιν αυτον· εφοβουντο γαρ τον λαον.

Conf. Ps. ii. 2. *Joan. xi.* 47. *Act. iv.* 27. και εζητει ανελειν Μωυσην. *Exod. ii.* 15.

3 Εισηλθε δε ὁ Σατανας εις Ιουδαν τον επικαλουμενον Ισκα-
ριωτην, οντα εκ του αριθμου των δωδεκα·

Conf. Matt. xxvi. 14. *Marc. xiv.* 10. *Joan. xiii.* 2, 27. *Ps. xl.* 9. Σα-
τανας. *Conf. Matt. iv.* 10. [ὁ διαβολος οικειουται αυτον ὡς ιδιον
σκευος. *Test. XII Patr. p.* 673.] *Conf. Mich. vii.* 5.

4 Και απελθων συνελαλησε τοις Αρχιερευσι και τοις στρατη-
γοις, το, πως αυτον παραδῳ αυτοις.

συλλαλειν αυτῳ. *Exod. xxxiv.* 35. *Esa. vii.* 6. *Prov. vi.* 22. *Conf.
Marc. xiv.* 11. παραδῳ. *Jer. xlv.* 20. *Conf.* 1 *Mac. vii.* 35. 2 *Mac.
xiv.* 33. [το. *Viger. p.* 17. *Matth. Gr. Gr.* § 279.]

5 Και εχαρησαν, και συνεθεντο αυτῳ αργυριον δουναι·

ηθετησε παντα ὁσα συνεθετο αυτῳ το προτερον. 1 *Mac. xv.* 27. και
διαφθαρμενον συνεθεσθε ειπειν. *Dan. ii.* 9. *Conf. Zach. xi.* 12. εσ-
τησαν τον μισθον μου τριακοντα αργυρους. [και συνεθετο του μη
ποιησαι ετι την ασεβειαν. *Test. XII Patr. p.* 707.]

6 Και εξωμολογησε, και εζητει ευκαιριαν του παραδουναι αυ-
τον αυτοις ατερ οχλου.

ατερ κριων. 2 *Mac. xii.* 15. και ὡμολογησε. *Jer. li.* 25. *Krebs.
ad loc.* ευκαιρια. *Ps. ix.* 9. εαν ευκαιριας τυχω. 1 *Mac. xi.* 42.
[οχλου· ταραχης. *Suid.*]

7 Ηλθε δε ἡ ἡμερα των αζυμων, εν ᾗ εδει θυεσθαι το πασχα·

Conf. Matt. xxvi. 17. *Marc. xiv.* 12. *Deut. xvi.* 5. και συνηχθησαν
εις Ἱερουσαλημ λαος πολυς του ποιησαι την ἑορτην των αζυμων
εν τῳ μηνι τῳ δευτερῳ, εκκλησια πολλη σφοδρα. 2 *Par. xxx.* 13. [ἡ
ἑορτη των αζυμων. *Jos. Bell. Jud. v.* 3. 1. *Ant. ii.* 5.]

8 Και απεστειλε Πετρον και Ιωαννην, ειπων, Πορευθεντες ἑτοι-
μασατε ἡμιν το πασχα, ἱνα φαγωμεν.

9 Οἱ δε ειπον αυτῳ, Που θελεις ἑτοιμασωμεν;

σφαξον θυματα, και ἑτοιμασον. *Gen. xliii.* 16. πορευθεντες λα-
τρευσητε ἑτεροις θεοις. *Jos. xxiii.* 16.

10 Ὁ δε ειπεν αυτοις, Ιδου, εισελθοντων ὑμων εις την πολιν,
συναντησει ὑμιν ανθρωπος κεραμιον ὑδατος βασταζων· ακολου-
θησατε αυτῳ εις την οικιαν οὑ εισπορευεται·

11 Και ερειτε τῳ οικοδεσποτῃ της οικιας, Λεγει σοι ὁ διδασ-
καλος, Που εστι το καταλυμα, ὁπου το πασχα μετα των
μαθητων μου φαγω;

12 Κακεινος ὑμιν δειξει ανωγεον μεγα εστρωμενον· εκει ἑτοι-
μασατε.

και εκαθου επι κλινης εστρωμενης. Ezech. xxiii. 41. [*οικοδεσποτης. Jos. c. Ap. ii.* 11. *ανωγεον· το ὑπερωον οικημα. Suid.*]

13 Απελθοντες δε εὑρον καθως ειρηκεν αυτοις· και ἡτοιμασαν το
πασχα.

14 Και ὁτε εγενετο ἡ ὡρα, ανεπεσε, και οἱ δωδεκα αποστολοι
συν αυτῳ.

και εγενετο—και. Gen. xxiv. 30. *θυσεις το πασχα ἑσπερας προς δυσμας ἡλιου, εν τῳ καιρῳ ᾧ εξηλθες εξ Αιγυπτου. Deut. xvi.* 6. *xii.* 11. *Conf. Matt. xxvi.* 17-19. *Marc. xiv.* 8-18. *και ανεπεσα του φαγειν. Tob. ii.* 1.

15 Και ειπε προς αυτους, Επιθυμιᾳ επεθυμησα τουτο το πασ-
χα φαγειν μεθ' ὑμων, προ του με παθειν·

θανατῳ θανατουσθω. Exod. xxi. 17. *Alex. επιθυμιᾳ γαρ επεθυμησας απελθειν. Gen. xxxi.* 30. *Num. xi.* 4. *Ps. cv.* 14. *και εφαγον —το πασχα. Esd. vi.* 21. *δια τας ἑαυτων ἁμαρτιας πασχομεν.* 2 *Mac. vii.* 32. 4 *Mac.* 9. *προ του καταστρεψαι τον Θεον Σοδομα. Gen. xiii.* 10. *Conf. Joan. xiii.* 1.

16 Λεγω γαρ ὑμιν, Ὁτι ουκετι ου μη φαγω εξ αυτου, ἑως ὁτου
πληρωθῃ εν τῃ βασιλειᾳ του Θεου.

Conf. Matt. xxvi. 29. *Marc. xiv.* 25. *ἑως ὁτου.* 4 *Reg. ii.* 17. *Jud. ix.* 13. *Tob. viii.* 20. *Ald. Comp. Zach. ix.* 15-17. *Sap. x.* 10.

17 Και δεξαμενος ποτηριον, ευχαριστησας ειπε, Λαβετε τουτο
και διαμερισατε ἑαυτοις·

δεξασθαι το ποτηριον. Jer. xxv. 28. *Conf. Ps. xxii.* 5. *cxv.* 13. *διαμερισαντο τα ἱματια μου ἑαυτοις. Ps. xxi.* 18. *Conf. Matt. xxvi.* 25, 27. *Marc. iv.* 23. *Deut. viii.* 10. *Ps. xv.* 5. 1 *Reg. ix.* 13.

18 Λεγω γαρ ὑμιν, Ὁτι ου μη πιω απο του γεννηματος της
αμπελου, ἑως ὁτου ἡ βασιλεια του Θεου ελθῃ.

αναστησει ὁ Θεος του ουρανου βασιλειαν κ. τ. λ. Dan. ii. 44. *και (απο) αμπελου γεννηματος. Esa. xxxii.* 12. *Matt. xxvi.* 29. *Marc. xiv.* 25. *απο του οινου αυτης επιοσαν εθνη. Jer. xxviii.* 7.

19 Και λαβων αρτον, ευχαριστησας εκλασε, και εδωκεν αυ-
τοις, λεγων, Τουτο εστι το σωμα μου, το ὑπερ ὑμων διδομενον·
τουτο ποιειτε εις την εμην αναμνησιν.

Conf. Matt. xxvi. 26. *Marc. xiv.* 22. 1 *Cor. xi.* 23-25. *προσευξομαι ὑπερ ὑμων. Jer. xlix.* 4. *Conf. Ezech. xliii.* 21. *Exod. xxiv.* 8. *Ps. lxxvii.* 4. *χαριτας εγγυου μη επιλαθῃ, εδωκε γαρ την ψυχην αυ-*

του ὑπερ σου. *Sir. xxix.* 15. και εσονται οἱ αρτοι εις αναμνησιν. *Lev. xxiv.* 7. *Ald. Comp. Conf. Joan. x.* 11. και εσται ὑμιν αναμνησις εναντι του Θεου ὑμων. *Num. x.* 10. μνειαν εποιησατο των θαυμασιων αυτου, ελεημων και οικτιρμων ὁ Κυριος. *Ps. cx.* 4. [εξυβριζον εις την εμην ευσεβειαν. *Jos. Ant. i.* 3. 8.]

20 Ὡσαυτως και το ποτηριον μετα το δειπνησαι, λεγων, Τουτο το ποτηριον, ἡ καινη διαθηκη εν τῳ αἱματι μου, το ὑπερ ὑμων εκχυνομενον.

ὡσαυτως και. *Prov. xxvii.* 15. *Conf. Matt. xxvi.* 27. *Marc. xiv.* 23. μετα το γεννησαι αυτον. *Gen. v.* 4. εγενετο δε μετα το αποθανειν Ἁβρααμ. *xxv.* 11. ιδου το αἱμα της διαθηκης. *Exod. xxiv.* 8. διαθησομαι διαθηκην καινην. *Jer. xxxviii.* 31. και συ εν αἱματι διαθηκης σου εξαπεστειλας δεσμιους σου εκ λακκου ουκ εχοντος ὑδωρ. *Zach. ix.* 11. Κυριε, ανταποδωσεις ὑπερ εμου. *Ps. cxxxvii.* 8. *Conf.* 1 *Cor. v.* 7. *xv.* 3.

21 Πλην ιδου ἡ χειρ του παραδιδοντος με μετ᾽ εμου επι της τραπεζης.

πλην. *Num. xxii.* 35. *Jud. iv.* 9. *Ps. xlviii.* 15. πλην ιδε τουτο εὑρον. *Eccles. vii.* 30. ἡ χειρ του παραδιδοντος, *i. e.* ὁ παραδιδων. *Ita,* ἡ χειρ των μαρτυρων. *Deut. xvii.* 7. ὁ εσθιων αρτους μου εμεγαλυνεν επ᾽ εμε πτερνισμον. *Ps. xl.* 9. *Conf. Matt. xxvi.* 21-23. *Marc. xiv.* 18. *Joan. xiii.* 21. τραπεζης. *Ps. lxviii.* 22.

22 Και ὁ μεν υἱος του ανθρωπου πορευεται κατα το ὡρισμενον· πλην ουαι τῳ ανθρωπῳ εκεινῳ δι᾽ οὑ παραδιδοται.

πορευομαι ατεκνος. *Gen. xv.* 2. *Sym. Conf. Luc. xiii.* 33. ηχθη εις θανατον. *Esa. liii.* 8. *Joan. xiii.* 18. ουαι σοι, Μωαβ. *Num. xxi.* 29. *et pass. Act. i.* 16. *Ps. lxviii. Esa. liii. Dan. ix.* 24-26. ὁτι ει εχθρος ωνειδισε με, ὑπενεγκα αν—συ δε ανθρωπε ισοψυχε κ.τ.λ. *Ps. liv.* 12-15. [εις τον ὡρισμενον καιρον, *tempore antea præfinito. Jos. Ant. vi.* 5. 3. *Bretschn.*]

23 Και αυτοι ηρξαντο συζητειν προς ἑαυτους, το, τις αρα ειη εξ αυτων ὁ τουτο μελλων πρασσειν.

Conf. Matt. xxvi. 22. *Marc. xiv.* 19. *Joan. xiii.* 21-25. *Neh. ii.* 4.

24 Εγενετο δε και φιλονεικια εν αυτοις, το, τις αυτων δοκει ειναι μειζων.

το χαλεπον της φιλονεικιας. 2 *Mac. iv.* 4. *xiv.* 37. τους δε μη φιλονεικουντας καλυπτει φιλια. *Prov. x.* 12. μειζων *pro* μεγιστος.

Ita, *προτερα παντων*. *Sir. i.* 4. *Conf. Matt. xx.* 25. *Marc. x.* 42. *Rom. xii.* 10. 1 *Cor. xiii.* 4. *Phil. ii.* 3-5. *Jac. iv.* 5, 6.

25 Ὁ δε ειπεν αυτοις, Οἱ βασιλεις των εθνων κυριευουσιν αυτων, και οἱ εξουσιαζοντες αυτων ευεργεται καλουνται.

επι του Ευεργετου (*Ptolemæi*) βασιλεως. *Prol. Sir.* των εθνων βασιλευσι και τοις ἑαυτων ευεργεταις ὑψαυχενουντες. 3 *Mac. iii.* 19. *Conf. Grot. et Kuinoel. Sap. xix.* 3. 2 *Mac. iv.* 2. [*Cæsarem*, σωτηρα και ευεργετην ανακαλουντες. *Jos. Bell. Jud. iii.* 9. 8.]

26 Ὑμεις δε ουχ οὑτως· αλλ᾽ ὁ μειζων εν ὑμιν, γενεσθω ὡς ὁ νεωτερος· και ὁ ἡγουμενος, ὡς ὁ διακονων.

ουχ οὑτως οἱ ασεβεις. *Ps. i.* 4. νεωτερος εγω ειμι και εξουδενωμενος. *cxviii.* 141. ὁσῳ μεγας ει, τοσουτῳ ταπεινου σεαυτον. *Sir. iii.* 18. 1 *Pet. v.* 3. *Prov. xxix.* 23. *Job. xxii.* 29.

27 Τις γαρ μειζων, ὁ ανακειμενος η ὁ διακονων; ουχι ὁ ανακειμενος; εγω δε ειμι εν μεσῳ ὑμων ὡς ὁ διακονων.

αυτος ανακειται, εσθιει, και πινει. 3 *Esd. iv.* 10. *Conf. Matt. xx.* 28. *Joan. xiii.* 14. *Phil. ii.* 7.

28 Ὑμεις δε εστε οἱ διαμεμενηκοτες μετ᾽ εμου εν τοις πειρασμοις μου·

ὡραν μετα σου διαμενει. *Sir. xii.* 15. *xxxvi.* 1. εν καιρῳ θλιψεως διαμενε αυτῳ. *xxii.* 23. εν τῳ πειρασμῳ εὑρεθη πιστος. 2 *Mac. ii.* 52. *Conf. Matt. xix.* 27. *Heb. ii.* 18.

29 Καγω διατιθεμαι ὑμιν, καθως διεθετο μοι ὁ πατηρ μου βασιλειαν,

τον λογον ὁν διεθεμην ὑμιν. *Agg. ii.* 6. *Ald. et Cyr.* 2 *Par. vii.* 18. διεθηκην αιωνιον διαθησομαι αυτοις. *Esa. lxi.* 8. *Conf. Matt. xxiv.* 47. 2 *Cor. i.* 7. 2 *Tim. ii.* 12.

30 Ἱνα εσθιητε και πινητε επι της τραπεζης μου εν τῃ βασιλειᾳ μου, και καθισησθε επι θρονων, κρινοντες τας δωδεκα φυλας του Ισραηλ.

και οὑτοι προσελευσονται προς την τραπεζαν μου. *Ezech. xliv.* 16. *Conf. Matt. xix.* 28. και αἱ ιδεαι των παιδαριων των εσθιοντων την τραπεζαν του βασιλεως——ποιησον μετα των παιδων σου. *Dan. i.* 13. *Alex. Ald. Comp. Conf. Marc. xix.* 28. *Apoc. iii.* 21. 1 *Cor. vi.* 2. *Ps. xlvii.* 14. εκαθισας επι θρονου ὁ κρινων δικαιοσυνην. *Ps. ix.* 4. και Μεφιβοσθε ησθιεν επι της τραπεζης Δαυιδ καθως εἱς των υἱων αυτου του βασιλεως. 2 *Reg. ix.* 11. των υἱων Ισραηλ——εις τας δωδεκα φυλας. *Exod. xxviii.* 21. *Ald. Comp.*

31 Ειπε δε ὁ Κυριος, Σιμων, Σιμων, ιδου, ὁ Σατανας εξητησατο ὑμας, του σινιασαι ὡς τον σιτον.

Job. i. 8-11. ii. 3-6. *Zach.* iii. 1. Σατανας. *Matt.* iv. 10. [τα πνευματα του Βελιαρ εις πασαν πονηριαν θλιψεως εξαιτησονται ὑμας. *Test. XII Patr.* p. 729.] [σινιασαι· σεισαι, κοσκινευσαι. *Hesych.*] λικμησω—τον οικον Ισραηλ ὁν τροπον λικμαται εν τῳ λικμῳ. *Amos.* ix. 9. [εξαιτουντες τους αιτιους. *Jos. Ant.* v. 2. 9.]

32 Εγω δε εδεηθην περι σου, ἱνα μη εκλειπῃ ἡ πιστις σου· και συ ποτε επιστρεψας στηριξον τους αδελφους σου.

εδεετο δε Ισαακ Κυριου περι Ῥεβεκκας. *Gen.* xxv. 21. *Sir.* xxviii. 4. εξελιπεν ἡ πιστις. *Jer.* vii. 28. εστηρισε γαρ αυτος. 1 *Mac.* xiv. 26. κατισχυσον αυτον και παρακαλεσον αυτον. *Deut.* iii. 28. διδαξω ανομους τας ὁδους σου, και ασεβεις επι σε επιστρεψουσι. *Ps.* l. 13. και εγενοντο αἱ χειρες Μωυση εστηριγμεναι. *Exod.* xvii. 12. πνευματι ἡγεμονικῳ στηριζον με. *Ps.* l. 12. cxi. 8. επιστρεψας, στηριξον. *i. e.* συ ποτε παλιν στηριξον. *Ita*, επιστρεψας ζωωσεις ἡμας. lxxxiv. 6. lxxi. 20. *Conf. Esa.* vi. 10. *Deut.* iv. 30. *Matt.* xvi. 18. *Joan.* xvii. 9. *Ps.* xi. 1.

33 Ὁ δε ειπεν αυτῳ, Κυριε, μετα σου ἑτοιμος ειμι και εις φυλακην και εις θανατον πορευεσθαι.

και ἑτοιμον ειναι του πορευεσθαι μετα—Θεου σου; *Mich.* vi. 8. ἑτοιμοι εσμεν αποθνησκειν, η παραβαινειν τας—εντολας. 4 *Mac.* ix. 1. παρεδοθη εις θανατον ἡ ψυχη αυτου. *Esa.* liii. 12.

34 Ὁ δε ειπε, Λεγω σοι, Πετρε, ου μη φωνησει σημερον αλεκτωρ, πριν ἡ τρις απαρνησῃ μη ειδεναι με.

Conf. Matt. xxvi. 34. *Marc.* xiv. 30. *Joan.* xiii. 38.

35 Και ειπεν αυτοις, Ὁτε απεστειλα ὑμας ατερ βαλαντιου και πηρας και ὑποδηματων, μη τινος ὑστερησατε; Οἱ δε ειπον, Ουδενος.

ουχ ὑστερησας αυτοις ουδεν. *Neh.* ix. 21. ουδεν με ὑστερησει. *Ps.* xxiii. 1. *Conf. Gen.* xlviii. 15. *Deut.* viii. 2-4. *Matt.* x. 9. *Marc.* vi. 8. ατερ κριων. 2 *Mac.* xii. 15.

36 Ειπεν ουν αυτοις, Αλλα νυν ὁ εχων βαλαντιον αρατω, ὁμοιως και πηραν· και ὁ μη εχων, πωλησατω το ἱματιον αὑτου, και αγορασατω μαχαιραν.

εν βαλαντιῳ. *Job.* xiv. 17. *Conf. Esa.* liii. 12.

37 Λεγω γαρ ὑμιν, Ὁτι ετι τουτο το γεγραμμενον δει τελεσ-

θηναι εν εμοι, το, Και μετα ανομων ελογισθη· και γαρ τα περι εμου τελος εχει.

εν τοις ανομοις ελογισθη. Esa. liii. 12. *λαλησω περι σου προς τον πατερα μου.* 1 *Reg. xix.* 3. *Marc. xv.* 28. *του τελεσθηναι λογον Κυριου απο στοματος Ἱερεμιου. Esd. i.* 1. [*εκ του τελους γνωρισθεντα. Jos. Ant. x.* 2. 2. *τελος λαβειν. ii.* 5. 3. *τας ευχας εις τελος αγειν. i.* 3. 8.] *ορασις εις καιρον, και ανατελει εις περας, και ουκ εις κενον. Hab. ii.* 3. *γεγραπται περι εμου. Ps. xxxix.* 7.

38 *Οἱ δε ειπον, Κυριε, ιδου, μαχαιραι ὡδε δυο. Ὁ δε ειπεν αυτοις, Ἱκανον εστι.*

ἱκανουσθω σοι. Deut. iii. 26. *ιδου, εγω ειμι. Esa. vi.* 8. *ουχ ἱκανον σοι. Gen. xxx.* 15. *Conf.* 2 *Cor. xii.* 9.

39 *Και εξελθων επορευθη κατα το εθος εις το ορος των Ελαιων· ηκολουθησαν δε αυτῳ και οἱ μαθηται αυτου.*

κατα τα επι των προγονων αυτων εθη. 2 *Mac. xi.* 25. *Matt. xxvi.* 36. *Marc. xiv.* 32. *Joan. viii.* 1. *και στησονται οἱ ποδες αυτου εν τῃ ἡμερᾳ εκεινῃ επι το ορος των ελαιων κ. τ. λ. Zach. xiv.* 4.

40 *Γενομενος δε επι του τοπου, ειπεν αυτοις, Προσευχεσθε μη εισελθειν εις πειρασμον.*

ἑτοιμασον την ψυχην σου εις πειρασμον. Sir. ii. 1. *και μη εισενεγκῃς ἡμας εις πειρασμον. Matt. vi.* 13. *μη εισελθῃς εις κρισιν μετα του δουλου σου. Ps. cxlii.* 2. *Matt. xxvi.* 41. *Marc. xiv.* 38. *μη παραδῳς με τοις αδικουσι με. Ps. cxviii.* 121. *γενομενοι δε απο της δεησεως.* 1 *Mac. x.* 26. *τοπος. Conf. Gen. xxviii.* 16, 17.

41 *Και αυτος απεσπασθη απ᾽ αυτων ὡσει λιθου βολην, και θεις τα γονατα προσηυχετο*

εκειθεν δε αποσπασθεντων σταδιους ἑννεα. 2 *Mac. xii.* 10. 17. *Conf. Matt. xxvi.* 39. *Marc. xiv.* 35. *Heb. v.* 7. *εκαθητο—ὡσει τοξου βολην. Gen. xxi.* 16. *καμπτειν επι τα γονατα.* 4 *Reg. ix.* 24. *κλινειν επι τα γονατα. Esd. ix.* 5.

42 *Λεγων, Πατερ, ει βουλει παρενεγκειν το ποτηριον τουτο απ᾽ εμου· πλην μη το θελημα μου, αλλα το σον γενεσθω.*

Conf. Matt. xxvi. 42. *Marc. xiv.* 36, 43. *Joan. v.* 30. *του ποιησαι το θελημα σου ὁ Θεος μου ηβουληθην. Ps. xxxix.* 8. *γενηθητω το θελημα σου. Matt. vi.* 10. *ει μεν αφεις, utinam condonares. Exod. xxxii.* 32. *ποτηριον. Conf. Ps. lxxiv.* 8. *Ezech. xxiii.* 31-33.

43 *Ωφθη δε αυτῳ αγγελος απ᾽ ουρανου ενισχυων αυτον.*

ωφθη δε αυτῳ αγγελος Κυριου. Exod. iii. 2. *Conf. Matt. iv.* 11. *xxvi.*

53. ὅτι τοις αγγελοις αυτου εντελειται περι σου, του διαφυλαξαι σε κ. τ. λ. *Ps. xc.* 11.

44 Και γενομενος εν αγωνια, εκτενεστερον προσηυχετο. εγενετο δε ὁ ἱδρως αυτου ὡσει θρομβοι αἱματος καταβαινοντες επι την γην.

αγωνιω τον Κυριον μου τον βασιλεα. *Dan. i.* 10. *LXX.* [αγωνια. *Jos. Ant. vi.* 6. 2. *xi.* 8. 4.] ην δε ου μικρα—αγωνια. 2 *Mac. iii.* 14. *xvi.* 19. ενεφαινε την κατα ψυχην αγωνιαν. *xvi.* 19. και ανεβοησαν προς τον Θεον εκτενως. *Jon. iii.* 8. *Joel. i.* 14. [εκτενεστερον· ενεργητικωτατον, επιμελεστερον. *Suid.*] ἱδρωτος δε και αγρυπνιας το πραγμα. 2 *Mac. ii.* 26. *Conf. Joan. xii.* 27. *Esa. liii. Ps. xxii. Thren. iii.* 52. [θομβος· αἱμα παχυ πεπηγος ὡς βουνοι. *Hesych.*] δακρυα επι σιαγονα καταβαινει. *Sir. xxxii.* 15. ἡ οψις και το της χροας παρηλλαγμενον ενεφαινε την κατα ψυχην αγωνιαν. 2 *Mac. iii.* 16. *Thren. i.* 12. εκτενως ἡ λιτανεια ανεβαινεν εις ουρανον. 3 *Mac. v.* 9.

45 Και αναστας απο της προσευχης, ελθων προς τους μαθητας, εὑρεν αυτους κοιμωμενους απο της λυπης,

εν λυπῃ κοιμηθησεσθε. *Esa. l.* 11. ενυσταξεν ἡ ψυχη μου απο ακηδιας. *Ps. cxviii.* 28. πασα καρδια εις λυπην. *Esa. i.* 5. [*Conf. Philo. Leg. ad Cai. p.* 1030. *Loesner.*]

46 Και ειπεν αυτοις, Τι καθευδετε; ανασταντες προσευχεσθε, ἱνα μη εισελθητε εις πειρασμον.

Conf. Matt. xxvi. 40-45. *Marc. xiv.* 38. *Prov. vi.* 4-11. *Jon. i.* ϛ.

47 Ετι δε αυτου λαλουντος, ιδου, οχλος, και ὁ λεγομενος Ιουδας, εἱς των δωδεκα, προηρχετο αυτων, και εγγισε τῳ Ιησου φιλησαι αυτον.

Conf. Matt. xxvi. 47. *Marc. xiv.* 43. *Joan. xviii.* 3. *Act. i.* 16.

48 Ὁ δε Ιησους ειπεν αυτῳ, Ιουδα, φιληματι τον υἱον του ανθρωπου παραδιδως;

Conf. Matt. xxvi. 48. αξιοπιστοτερα εστι τραυματα φιλου, ἡ ἑκουσια φιληματα εχθρου. *Prov. xxvii.* 6. και ερω προς αυτον, Τι αἱ πληγαι αὑται αναμεσον των χειρων σου; και ερει, Ἁς επληγην εν τῳ οικῳ τῳ αγαπητῳ μου. *Zach. xiii.* 6. *Conf.* 2 *Reg. xx.* 9, 10. *Ps. liv.* 12-14.

49 Ιδοντες δε οἱ περι αυτον το εσομενον, ειπον αυτῳ, Κυριε, ει παταξομεν εν μαχαιρᾳ;

οἱ περι τον Νεεμιαν. 2 *Mac. i.* 33. και επαταξεν αυτον εν μαχαιρᾳ. *Jer. xxvi.* 23. ει. *Conf.* 3 *Reg. i.* 27. *Gen. xvii.* 17.

50 Και επαταξεν εἱς τις εξ αυτων τον δουλον του Αρχιερεως, και αφειλεν αυτου το ους το δεξιον.

εἱς τις. *Ita,* εικων μια. *Dan. ii.* 31. *Esd. iv.* 8. *Gen. xxi.* 15. *Conf. Matt. xxvi.* 51. *Marc. xiv.* 47. *Joan. xviii.* 10.

51 Αποκριθεις δε ὁ Ιησους ειπεν, Εατε ἑως τουτου. Και ἁψαμενος του ωτιου αυτου, ιασατο αυτον.

προσεθηκε μοι ωτιον ακουειν. *Esa. l.* 4. και νυν εασον με. *Exod. xxxii.* 10. *Jud. xi.* 37. *Job. xxxviii.* 11. ηγαπησας με ἑως τουτων. 2 *Reg. vii.* 18. ἑως τουτου. *Lev. xxvi.* 18.

52 Ειπε δε ὁ Ιησους προς τους παραγενομενους επ᾽ αυτον Αρχιερεις και στρατηγους του ἱερου και Πρεσβυτερους, Ὡς επι λῃστην εξεληλυθατε μετα μαχαιρων και ξυλων;

[οἱ στρατηγοι του ἱερου, *præfecti inferiores Levitarum. Conf. Lev. xxii.* 4, 52. *qui* 1 *Esd. vii.* 2. ἱεροσταται *appellantur. Bretschn.*] και εν τοις ανομοις ελογισθη. *Esa. liii.* 12. [δραμοντες δε οἱ του ἱερου φυλακες ηγγειλαν τῳ στρατηγῳ. *Jos. Bell. Jud. vi.* 5. 3.] ὁ ἡγουμενος οικου του Θεου. 1 *Par. ix.* 11. *Jer. xx.* 1. οἱ επισταται του ἱερου. 1 *Esd. i.* 8. *Conf. Ps. ii.* 2.

53 Καθ᾽ ἡμεραν οντος μου μεθ᾽ ὑμων εν τῳ ἱερῳ, ουκ εξετεινατε τας χειρας επ᾽ εμε. αλλ᾽ αὑτη ὑμων εστιν ἡ ὡρα, και ἡ εξουσια του σκοτους.

Conf. Matt. xxvi. 55. *Marc. xiv.* 48, 49. *Luc. iv.* 16. κατεσχε με σκοτος δεινον. 2 *Reg. i.* 9. εκτενω την χειρα μου επι σε. *Jer. li.* 25. 1 *Mac. xii.* 39, 42. *Conf. Col. i.* 13. *Exod. vii.* 5. Ισραηλ εξουσια αυτου. *Ps. cxiii.* 2. *Ezech. vi.* 14. [σος, ειπε, νυν ὁ καιρος εστιν Ελικων· επεγειρε σαυτον. *Philo. legat. Cai. p.* 1016.]

54 Συλλαβοντες δε αυτον ηγαγον, και εισηγαγον αυτον εις τον οικον του Αρχιερεως· ὁ δε Πετρος ηκολουθει μακροθεν.

τον βασιλεα—συνελαβον ζωντα. *Jos. viii.* 23. 4 *Reg. vii.* 12. και εισηγαγεν αυτον εις τον οικον αυτου. *Gen. xxix.* 13. *Cant. iii.* 4. και ηγαγον αυτον προς Ιηου, και απεκτεινεν αυτον. 2 *Par. xxii.* 9. *Conf. Matt. xxvi.* 57. *Marc. xiv.* 53. *Joan. xviii.* 12-24.

55 Ἁψαντων δε πυρ εν μεσῳ της αυλης, και συγκαθισαντων αυτων, εκαθητο ὁ Πετρος εν μεσῳ αυτων.

και ὁταν ἁπτῃ Ααρων τους λυχνους οψε. *Exod. xxx.* 8. *Alex. Ald. Matt. xxvi.* 58, 69. *Marc. xiv.* 54. *Joan. xviii.* 16. 25. συνεκαθισαν παν το πληθος εν τῳ ευρυχωρῳ. 1 *Esd. ix.* 6. *Conf. Ps. i.* 1. *xxv.* 4, 5. *Prov. ix.* 7. *xiii.* 20. *Sir. xiii.* 1.

56 Ιδουσα δε αυτον παιδισκη τις καθημενον προς το φως, και
ατενισασα αυτῳ, ειπε, Και οὑτος συν αυτῳ ην.

Conf. Matt. xxvi. 69. *Marc. xiv.* 66. *Joan. xviii.* 16-25. ατενισασα. 1 *Esd. vi.* 8. εβλεπον γαρ τα φωτα καιομενα. 1 *Mac. xii.* 29. 2 *Mac. i.* 32. παιδισκη. *Gen. xxi.* 10. 1 *Reg. xxv.* 41.

57 Ὁ δε ηρνησατο αυτον, λεγων, Γυναι, ουκ οιδα αυτον.

Conf. Matt. xxvi. 70. *Marc. xiv.* 68. και ειδομεν αυτον, και ουκ ειχεν ειδος ουδε καλλος. *Esa. liii.* 2.

58 Και μετα βραχυ ἑτερος ιδων αυτον, εφη, Και συ εξ αυτων
ει. Ὁ δε Πετρος ειπεν, Ανθρωπε, ουκ ειμι.

παρα βραχυ. *Ps. cxiii.* 17. 2 *Reg. xix.* 36. *Sap. xii.* 10. *Matt. xxvi.* 71. *Marc. xiv.* 69. *Joan. xviii.* 25.

59 Και διαστασης ὡσει ὡρας μιας, αλλος τις διϊσχυριζετο
λεγων, Επ᾽ αληθειας και οὑτος μετ᾽ αυτου ην· και γαρ Γαλι-
λαιος εστιν.

επ᾽ αληθειας. *Esa. xxxvii.* 18. *Job. ix.* 2. [διϊσχυριζεσθαι, *asseverare. Jos. Ant. ii.* 6. 4.] *Conf. Matt. xxvi.* 73. *Marc. xiv.* 70.

60 Ειπε δε ὁ Πετρος, Ανθρωπε, ουκ οιδα ὁ λεγεις. Και παρα-
χρημα, ετι λαλουντος αυτου, εφωνησεν ὁ αλεκτωρ·

και ειπε Κυριος παραχρημα προς Μωυσην. *Num. xii.* 4.

61 Και στραφεις ὁ Κυριος ενεβλεψε τῳ Πετρῳ· και ὑπεμνησθη
ὁ Πετρος του λογου του Κυριου, ὡς ειπεν αυτῳ, Ὁτι πριν
αλεκτορα φωνησαι, απαρνησῃ με τρις.

ὡς ειπε. *Conf.* 1 *Reg. xiii.* 11. και ολιγοψυχοις διδους μακροθυμιαν, και διδους ζωην τοις συντετριμμενοις την καρδιαν, κ. τ. λ. *Esa. lvii.* 15, 16. *Conf. Matt. xxvi.* 75. *Marc. xiv.* 72.

62 Και εξελθων εξω ὁ Πετρος εκλαυσε πικρως.

60-62.] *Conf. Matt. xxvi.* 73-75. *Marc. xiv.* 71, 72. *Joan. xiii.* 18, 27. ὁτι την ανομιαν μου αναγγελω, και μεριμνησω ὑπερ της ἁμαρτιας μου. *Ps. xxxvii.* 18.

63 Και οἱ ανδρες οἱ συνεχοντες τον Ιησουν, ενεπαιζον αυτῳ,
δεροντες·

και ησαν συνεχομεναι ἑως ἡμερας θανατου. 2 *Reg. xx.* 3. *Job. xvi.* 10. *Esa. l.* 6. *Matt. xxvi.* 67. *Marc. xiv.* 65. *Joan. xviii.* 22. παντες οἱ θεωρουντες με εξεμυκτηρισαν με, κ. τ. λ. *Ps. xxi.* 7.

64 Και περικαλυψαντες αυτον, ετυπτον αυτου το προσωπον,

και επηρωτων αυτον, λεγοντες, Προφητευσον, τις εστιν ὁ παισας σε;

τας δε σιαγονας μου εις ῥαπισματα, το δε προσωπον μου ουκ απεστρεψα απο αισχυνης εμπτυσματων. *Esa. l.* 6. *Jud. xvi.* 21-25. 3 *Reg. xxii.* 24.

65 Και ἑτερα πολλα βλασφημουντες ελεγον εις αυτον.

εις αυτον. *Conf.* 2 *Mac. vii.* 31.

66 Και ὡς εγενετο ἡμερα, συνηχθη το πρεσβυτεριον του λαου, Αρχιερεις τε και Γραμματεις, και ανηγαγον αυτον εις το συνεδριον ἑαυτων λεγοντες, Ει συ ει ὁ Χριστος, ειπε ἡμιν.

και γινεται ἡ ἡμερα. 1 *Reg. xiv.* 1. και οἱ αρχοντες συνηχθησαν επιτοαυτο κατα του Κυριου και κατα του χριστου αυτου. *Ps. ii.* 2. *Matt. xxvii.* 1. *Marc. xv.* 1. *Joan. xviii.* 28. *Act. iv.* 26. τε—και. *Sap. vii.* 16. ἑως Χριστου ἡγουμενου. *Dan. ix.* 25.

67 Ειπε δε αυτοις, Εαν ὑμιν ειπω, ου μη πιστευσητε·

Conf. Matt. xxvi. 63. *xxvii.* 11. *Marc. xiv.* 61. *Joan. xviii.* 33.

68 Εαν δε και ερωτησω, ου μη αποκριθητε μοι, η απολυσητε.

ερωτησω δε σε, συ δε μοι αποκριναι. *Job. xl.* 2.

69 Απο του νυν εσται ὁ υἱος του ανθρωπου καθημενος εκ δεξιων της δυναμεως του Θεου.

απο του νυν. *Ps. cxii.* 2. και εσται ἱερευς εκ δεξιων αυτου. *Zach. vi.* 13. *Dan. vii.* 9. *Act. vii.* 56. 1 *Thess. i.* 10. *Apoc. i.* 7. καθου εκ δεξιων μου. *Ps. cix.* 1. και ιδου, μετα των νεφελων του ουρανου, ὡς υἱος ανθρωπου ερχομενος, κ. τ. λ. *Dan. vii.* 13.

70 Ειπον δε παντες, Συ ουν ει ὁ υἱος του Θεου; Ὁ δε προς αυτους εφη, Ὑμεις λεγετε, ὁτι εγω ειμι.

Conf. Matt. xxvi. 64. *Marc. xiv.* 62. *Joan. xviii.* 37. Κυριος ειπε προς με, Υἱος μου ει συ, κ. τ. λ. *Ps. ii.* 7. *Conf. Sap. ii.* 18.

71 Οἱ δε ειπον, Τι ετι χρειαν εχομεν μαρτυριας; αυτοι γαρ ηκουσαμεν απο του στοματος αυτου.

ου γαρ χρειαν εχει ανδρος ἁμαρτωλου. *Sir. xv.* 12. οὑς εγραψε—απο στοματος Ἱερεμιου. *Jer. xxxvi.* 27, 32. Ιδου μαρτυριον εν εθνεσιν εδωκα αυτον αρχοντα και προστασσοντα εθνεσιν, κ. τ. λ. *Esa. lv.* 4, 5. *Conf.* 2 *Reg. i.* 16. *Job. xv.* 5, 6.

Κεφ. κγ. 23.

ΚΑΙ αναστὰν ἅπαν το πληθος αυτων ηγαγεν αυτον επι τον Πιλατον.

και ηγαγεν αυτου προς Ιηου, και απεκτεινεν αυτον. 2 Par. xxii. 9. Conf. Matt. xxvii. 1. Marc. xv. 1. Joan. xviii. 28. επεφωνησε παν το πληθος. 1 Esd. ix. 47. και αναστας αναβηση εις τον τοπον. Deut. xvii. 8.

2 Ηρξαντο δε κατηγορειν αυτου λεγοντες, Τουτον εὕρομεν διαστρεφοντα το εθνος, και κωλυοντα Καισαρι φορους διδοναι, λεγοντα ἑαυτον Χριστον βασιλεα ειναι.

ὧν ηρξατο ὁ Θεος ποιησαι i. e. εποιησε. Gen. ix. 3. ὁ διαστρεφων τον Ισραηλ. 3 Reg. xviii. 17, 18. διδοναι—φορον μεγαν. 1 Mac. viii. 7. [κωλυουσι οἱ νομοι ξενικους ὁρκους ομνυειν. Jos. c. Ap. i. 22.] Matt. xvii. 25. Luc. xx. 25. Rom. xiii. 7.

3 Ὁ δε Πιλατος επηρωτησεν αυτον, λεγων, Συ ει ὁ βασιλευς των Ιουδαιων; Ὁ δε αποκριθεις αυτῳ εφη, Συ λεγεις.

Σεδεκιαν, βασιλεα της Ιουδαιας και Ἱερουσαλημ. 1 Esd. i. 46. Matt. xxvii. 11. Marc. xv. 2. Joan. xviii. 33. 1 Tim. vi. 13. Dan. vii. 14. Mich. v. 2.

4 Ὁ δε Πιλατος ειπε προς τους Αρχιερεις και τους οχλους, Ουδεν εὑρισκω αιτιον εν τῳ ανθρωπῳ τουτῳ.

Conf. Marc. xv. 4. ουχ εὑρησομεν κατα Δανιηλ προφασιν, ει μη εν νομιμοις Θεου αυτου. Dan. vi. 5. Matt. xxvii. 18. ὁτι ανομιαν ουκ εποιησεν, ουδε δολον εν τῳ στοματι αυτου. Esa. liii. 9. αιτιον (ὧν κατηγορειτε κατ' αυτου). v. 14. ουδεν αιτιον θανατου. v. 22.

5 Οἱ δε επισχυον λεγοντες, Ὁτι ανασειει τον λαον, διδασκων καθ' ὁλης της Ιουδαιας, αρξαμενος απο της Γαλιλαιας ἑως ὧδε.

αρξαμενος. Conf. Deut. xvi. 9. Act. x. 37. ὧδε. Ruth. ii. 14. γη εσεισθη, και ὁ ουρανος εταραχθη. Jud. v. 4. Ald. Comp. 2 Reg. xxii. 8. μη εγγισης ὧδε. Exod. iii. 5. οὑτος ὁ ανθρωπος—ὁ σειων βασιλεις. Esa. xiv. 16. ανασειειν. Job. ii. 3. Aq. επισχυειν. 1 Mac. vi. 6. Sir. xxix. 1.

6 Πιλατος δε ακουσας Γαλιλαιαν, επηρωτησεν ει ὁ ανθρωπος Γαλιλαιος εστι·

Γαλιλαια. Conf. 3 Reg. ix. 11. Ezech. xlvii. 8. 4 Reg. xv. 29. 1 Mac. v. 14, 15. Matt. iv. 15. [Jos. Bell. Jud. iii. 3.]

7 Και επιγνους ὁτι εκ της εξουσιας Ἡρωδου εστιν, ανεπεμψεν
αυτον προς Ἡρωδην, οντα και αυτον εν Ἱεροσολυμοις εν ταυ-
ταις ταις ἡμεραις.

Conf. Luc. iii. 1. εν τῳ οικῳ αυτου, και εν πασῃ τῃ εξουσιᾳ αυτου. 4 *Reg. xx.* 13.

8 Ὁ δε Ἡρωδης ιδων τον Ιησουν εχαρη λιαν· ην γαρ θελων εξ
ἱκανου ιδειν αυτον, δια το ακουειν πολλα περι αυτου· και ηλ-
πιζε τι σημειον ιδειν ὑπ᾽ αυτου γινομενον.

διελθοντων δε ετων ἱκανων. 2 *Mac. i.* 20. *Conf. Luc. ix.* 7. *Matt. xiv.* 1. λιαν. 1 *Reg. xi.* 15. δια το προκεισθαι αυτον. *Deut. i.* 36.

9 Επηρωτα δε αυτον εν λογοις ἱκανοις· αυτος δε ουδεν απεκρι-
νατο αυτῳ.

10 Εἱστηκεισαν δε οἱ Αρχιερεις και οἱ Γραμματεις, ευτονως
κατηγορουντες αυτου.

και στας ειπῃ. *Deut. xxv.* 8. οὑτοι στησονται ευλογειν τον λαον. *xxvii.* 12. σημαινετωσαν ευτονως. *Jos. vi.* 8. 2 *Mac. xii.* 23. εις ματην εγενηθη σχοινος ψευδης γραμματευσι. *Jer. viii.* 8.

11 Εξουθενησας δε αυτον ὁ Ἡρωδης συν τοις στρατευμασιν αὑ-
του, και εμπαιξας, περιβαλων αυτον εσθητα λαμπραν, ανε-
πεμψεν αυτον τῳ Πιλατῳ.

εξουδενωσεσε και εμυκτηρισε σε. 4 *Reg. xix.* 21. *Conf. Esa. xlix.* 7. *liii.* 3.

12 Εγενοντο δε φιλοι ὁ τε Πιλατος και ὁ Ἡρωδης εν αυτῃ τῃ
ἡμερᾳ μετ᾽ αλληλων· προϋπηρχον γαρ εν εχθρᾳ οντες προς
ἑαυτους.

εν εχθρᾳ ησαν αυτοις. 1 *Esd. v.* 50. *Conf. Act. iv.* 27. [ἁτε προϋπηρξεν εν τοις εμπροσθεν χρονοις γενομενα τοις ανθρωποις. *Jos. Ant. iv.* 6. 5. *Bell. Jud. iii.* 8. 1.]

13 Πιλατος δε συγκαλεσαμενος τους Αρχιερεις και τους αρχον-
τας και τον λαον,

Conf. Matt. xxvii. 23. *Marc. xv.* 14. *Joan. xviii.* 38. *xix.* 4.

14 Ειπε προς αυτους, Προσηνεγκατε μοι τον ανθρωπον τουτον,
ὡς αποστρεφοντα τον λαον· και ιδου, εγω ενωπιον ὑμων ανα-
κρινας ουδεν εὑρον εν τῳ ανθρωπῳ τουτῳ αιτιον, ὡν κατηγορειτε
κατ᾽ αυτου·

ανακρινας. *Susan.* 48, 51. *Ps. ii.* 2. και ὁσοι ουκ απεστραφησαν απο Κυριου. *Sir. xlvi.* 11. *Conf. Act. xiii.* 28.

15 Αλλ᾽ ουδε Ἡρωδης· ανεπεμψα γαρ ὑμας προς αυτον, και ιδου, ουδεν αξιον θανατου εστι πεπραγμενον αυτῳ.

αξιοι μεν γαρ εκεινοι στρεφθηναι φωτος. *Sap. xviii.* 4. αλλ᾽ ουδε. *Act. xix.* 2. και κριμα ουκ εστιν εν αυτῳ. *Dan. ix.* 26.

16 Παιδευσας ουν αυτον απολυσω.

παιδευε ὑιον σου. *Prov. xix.* 18. *Matt. xxvii.* 26. *Marc. xv.* 15. *Joan. xix.* 1. [παιδευειν αντι του κολαζειν ουδεις των ῥητορων ειπεν, αλλα παρα μονῃ τῃ θειᾳ γραφῃ τουτο εὑρισκεται. *Phav.*] απολυειν. *Conf.* 2 *Mac. ii.* 47. *vi.* 22.

17 Αναγκην δε ειχεν απολυειν αυτοις κατα ἑορτην ἑνα.

σχοιη δε αυτον αναγκη. *Job. xviii.* 14. *Matt. xxvii.* 15. *Joan. xviii.* 39. *Marc. xv.* 6.

18 Ανεκραξαν δε παμπληθει λεγοντες, Αιρε τουτον, απολυσον δε ἡμιν τον Βαραββαν·

εβουλευσαντο του αραι το γενος Ιακωβ. 1 *Mac. v.* 2. παμπληθης. 2 *Mac. x.* 24. και απελυσε αυτον, και απηλθε. *Ps. xxxiii.* 1. απολυων δε τους αιτιους. *Susan.* 53. 1 *Mac. x.* 29. *Conf. Act. iii.* 14. *Matt. xxvii.* 16.

19 Ὁστις ην δια στασιν τινα γενομενην εν τῃ πολει και φονον βεβλημενος εις φυλακην.

και ενεβαλοσαν αυτον εις οικιαν της φυλακης. *Jer. xliv.* 21.

20 Παλιν ουν ὁ Πιλατος προσεφωνησε, θελων απολυσαι τον Ιησουν.

προσφωνησατω ἡμιν περι τουτων. 1 *Esd. vi.* 22.

21 Οἱ δε επεφωνουν λεγοντες, Σταυρωσον, σταυρωσον αυτον.

επεφωνησε παν το πληθος. 1 *Esd. ix.* 47. ειπε δε ὁ βασιλευς, Σταυρωθητω επ᾽ αυτου. *Est. vii.* 9. *Conf. Joan. viii.* 40.

22 Ὁ δε τριτον ειπε προς αυτους, Τι γαρ κακον εποιησεν οὑτος; ουδεν αιτιον θανατου εὑρον εν αυτῳ· παιδευσας ουν αυτον απολυσω.

τοτε οἱ τακτικοι και οἱ σατραπαι εζητον προφασιν εὑρειν κατα Δανιηλ· και πασαν προφασιν και παραπτωμα και αμπλακημα ουχ εὑρον κατ᾽ αυτου, ὁτι πιστος ην. *Dan. vi.* 4.

23 Οἱ δε επεκειντο φωναις μεγαλαις, αιτουμενοι αυτον σταυρωθηναι· και κατισχυον αἱ φωναι αυτων και των Αρχιερεων.

ηνοιξαν επ᾽ εμε το στομα αυτων κ. τ. λ. *Ps. xxi.* 13. [πολλῳ μαλλον επεκειτο αξιων εξετασιν γενεσθαι. *Jos. Ant. vi.* 6. 7.]

24 Ὁ δε Πιλατος επεκρινε γενεσθαι το αιτημα αυτων·

τουτοις θανατον επεκρινε. 2 Mac. iv. 47. Matt. xxvii. 24-26. Marc. xv. 15. Joan. xix. 16. αιτημα σου, ὁ ητησω. 1 Reg. i. 17, 27.

25 Απελυσε δε αυτοις τον δια στασιν και φονον βεβλημενον εις την φυλακην, ὁν ητουντο· τον δε Ιησουν παρεδωκε τῳ θεληματι αυτων.

στασις και μαχη. Prov. xvii. 14. Conf. Marc. xv. 15. και ειδομεν αυτον, και ουκ ειχεν ειδος ουδε καλλος. Esa. liii. 2.

26 Και ὡς απηγαγον αυτον, επιλαβομενοι Σιμωνος τινος Κυρηναιου του ερχομενου απ' αγρου, επεθηκαν αυτῳ τον σταυρον, φερειν οπισθεν του Ιησου.

και παντας τους απηγμενους, ὁσοι εν τῳ δεσμωτηριῳ. Gen. xxxix. 22. Conf. Matt. xxvii. 32. Marc. xv. 21.

27 Ηκολουθει δε αυτῳ πολυ πληθος του λαου, και γυναικων, αἱ και εκοπτοντο και εθρηνουν αυτον.

πληθος πολυ. Deut. xxvi. 5. και εκοψαντο αυτον, Ουαι αδελφε. 3 Reg. xiii. 30. εκει γυναικες καθημεναι θρηνουσαι τον Θαμμουζ. Ezech. viii. 14. Matt. xxvii. 55. Marc. xv. 40. Joan. xix. 25.

28 Στραφεις δε προς αυτας ὁ Ιησους ειπε, Θυγατερες Ἱερουσαλημ, μη κλαιετε επ' εμε, πλην εφ' ἑαυτας κλαιετε και επι τα τεκνα ὑμων.

θυγατηρ Βαβυλωνος. Ps. cxxxvi. 8. Jer. xxvi. 6. Esa. iii. 16. iv. 4. ιδου ὁ βασιλευς κλαιει και πενθει επι Αβεσσαλωμ. 2 Reg. xix. 1. μη κλαιετε τον τεθνηκοτα κ. τ. λ. Jer. xxii. 10. θυγατερες Ισραηλ επι Σαουλ κλαυσατε. 2 Reg. i. 24. Conf. Deut. xxviii. 53. xxxvii. 38. Ose. ix. 12-16. Num. xi. 13. Jud. xi. 37, 38.

29 Ὁτι ιδου, ερχονται ἡμεραι εν αἱς ερουσι, Μακαριαι αἱ στειραι, και κοιλιαι αἱ ουκ εγεννησαν, και μαστοι οἱ ουκ εθηλασαν.

ιδου ἡμεραι ερχονται. Amos. viii. 11. Jer. xxxviii. 17, 31. 4 Reg. xx. 17. μακαριαι αἱ γυναικες σου, μακαριοι οἱ παιδες σου. 3 Reg. x. 8. Conf. Matt. v. 3-11. ευφρανθητι στειρα. Esa. liv. 1. μητραν ατεκνουσαν και μαστους ξηρους. Ose. ix. 14. Conf. Matt. xxiv. 19. 4 Esd. xvi. 34. [Conf. Jos. Bell. Jud. v. 13. 3.]

30 Τοτε αρξονται λεγειν τοις ορεσι, Πεσετε εφ' ἡμας· και τοις βουνοις, Καλυψατε ἡμας.

και ερουσι τοις ορεσιν, Καλυψατε ἡμας, και τοις βουνοις, Πεσατε εφ' ἡμας. Ose. x. 8. Conf. Apoc. vi. 16. Esa. ii. 19. CITAT. 88.

31 Ὁτι ει εν τῳ ὑγρῳ ξυλῳ ταυτα ποιουσιν, εν τῳ ξηρῳ τι γενηται;

Conf. Ps. i. 3, 4. παν ξυλον χλωρον και παν ξυλον ξηρον. *Ezech. xx.* 47. *Sir. vi.* 3. *Conf.* 1 *Pet. iv.* 17. *Jer. xxv.* 9. *Matt. iii.* 10. *Joan. xv.* 6. *Jud. ix.* 8-15. ει μεν ὁ δικαιος μολις σωζεται, ὁ ασεβης και ἁμαρτωλος που φανειται; *Prov. xi.* 31.

32 Ηγοντο δε και ἑτεροι δυο κακουργοι συν αυτῳ αναιρεθηναι.

Conf. Joan. xix. 18. *Marc. xv.* 28. κακουργοι. *Conf. Matt. xxvii.* 44.

33 Και ὁτε απηλθον επι τον τοπον τον καλουμενον Κρανιον,
εκει εσταυρωσαν αυτον, και τους κακουργους, ὁν μεν εκ δεξιων,
ὁν δε εξ αριστερων.

Conf. Matt. xxvii. 33. *Marc. xv.* 22. *Joan. xix.* 17. εκρεμασεν επι ξυλου. *Gen. xl.* 22. *Ald. Deut. xxi.* 22. εν τοις ανομοις ελογισθη. *Esa. liii.* 12. αυτος προς ταις Σουσιων πυλαις εσταυρωθηται. *Addit. Est. viii.* 13. [εις το Ελαιων καλουμενον ορος. *Jos. Bell. Jud. ii.* 13. 5.] ὁν μεν—ὁν δε. *Conf. Sturz. p.* 205-209. *Matt. xxi.* 35. *xiii.* 8. *xxv.* 15. *Rom. ix.* 21. *et sæp.* [μη ειπῃς, αλλα τινα μεν, τινα δε. *Thom. Mag.*] εξ αριστερων, εκ δεξιων. *Gen. xlviii.* 13.

34 Ὁ δε Ιησους ελεγε, Πατερ, αφες αυτοις· ου γαρ οιδασι τι
ποιουσι. Διαμεριζομενοι δε τα ἱματια αυτου, εβαλον κληρον.

Conf. Matt. xxvii. 35. *Marc. xv.* 24. *Esa. xlv.* 15. *Act. iii.* 17. 1 *Cor. iv.* 12. *Joan. xix.* 23. αντι του αγαπᾳν με, ενδιεβαλλον με, εγω δε προσηυχομην. *Ps. cviii.* 4. διεμερισαντο τα ἱματια μου ἑαυτοις, και επι τον ἱματισμον μου εβαλον κληρον. *Ps. xxi.* 18. *Conf. Lev. iv.* 2, 17, 22. *Num. xv.* 24.

35 Και εἱστηκει ὁ λαος θεωρων. Εξεμυκτηριζον δε και οἱ αρ-
χοντες συν αυτοις, λεγοντες, Αλλους εσωσε, σωσατω ἑαυτον,
ει οὑτος εστιν ὁ Χριστος, ὁ του Θεου εκλεκτος.

εγενετο ἡμιν εις ελεγχον. *Sap. ii.* 14. επαγγελλεται γνωσιν εχειν Θεου, και παιδα Κυριου ἑαυτον ονομαζει. 13. Ιακωβ ὁ παις μου κ. τ. λ. *Esa. xlii.* 1. *Conf. Matt. xxvii.* 40-42. *Marc. xv.* 29, 31. ὁ εκλεκτος. *Num. xi.* 28. παντες οἱ θεωρουντες με εξεμυκτηρισαν με, ελαλησαν—Ηλπισεν επι Κυριον, κ. τ. λ. *Ps. xxi.* 7, 8.

36 Ενεπαιζον δε αυτῳ και οἱ στρατιωται, προσερχομενοι και
οξος προσφεροντες αυτῳ

και εδωκαν εις το βρωμα μου χολην, και εις την διψαν μου εποτισαν με οξος. *Ps. lxviii.* 21. *Conf. Luc. iv.* 23. [προσφερειν δειπνον. *Jos. Bell. Jud. i.* 24. 7.]

37 Και λεγοντες, Ει συ ει ὁ βασιλευς των Ιουδαιων, σωσον σεαυτον.

38 Ην δε και επιγραφη γεγραμμενη επ' αυτῳ γραμμασιν Ἑλληνικοις και Ῥωμαϊκοις και Ἑβραϊκοις, ΟΥΤΟΣ ΕΣΤΙΝ Ο ΒΑΣΙΛΕΥΣ ΤΩΝ ΙΟΥΔΑΙΩΝ.

Conf. Matt. xxvii. 37. *Marc. xv.* 26. *Joan. xix.* 19. γραμματα στικτα. *Lev. xix.* 28. *Esa. xxix.* 11, 12. *Conf.* 4 *Mac. xviii.*

39 Εἱς δε των κρεμασθεντων κακουργων εβλασφημει αυτον, λεγων, Ει συ ει ὁ Χριστος, σωσον σεαυτον και ἡμας.

Conf. Matt. xxvii. 44. *Marc. xv.* 32. εἱς των αδελφων αυτου. *Lev. xxv.* 48. ὁ Χριστος. *Conf. Dan. ix.* 25.

40 Αποκριθεις δε ὁ ἑτερος επετιμα αυτῳ λεγων, Ουδε φοβῃ συ τον Θεον, ὁτι εν τῳ αυτῳ κριματι ει;

Ps. xxxv. 1. *Exod. i.* 17, 21. κριμα. *Sir. xxviii.* 22.

41 Και ἡμεις μεν δικαιως· αξια γαρ ὡν επραξαμεν απολαμβανομεν· οὑτος δε ουδεν ατοπον επραξε.

δικαιως γαρ επασχον ταις ιδιαις αυτων πονηριαις. *Sap. xix.* 13. δια τας ἑαυτων ἁμαρτιας πασχομεν. 2 *Mac. vii.* 32. φυλαξαι μη πραξῃς ατοπα. *Job. xxxvi.* 21. ουδεν φησι πεπραχεναι ατοπον. *Prov. xxx.* 20. *Job. xxxiv.* 12. *Judith. xi.* 11. *Conf. Dan. ix.* 14. 2 *Mac. ix.* 28. απελαβον τους κληρους αυτων. *Num. xxxiv.* 14.

42 Και ελεγε τῳ Ιησου, Μνησθητι μου, Κυριε, ὁταν ελθῃς εν τῃ βασιλειᾳ σου.

μνησθητι ἡμων, Κυριε, εν τῃ ευδοκιᾳ του λαου σου. *Ps. cv.* 4. *cxxxi.* 1. *Deut. ix.* 27. *Jer. xv.* 15. και ἡ βασιλεια αυτου ου διαφθαρησεται. *Dan. vii.* 14, 18, 22, 27. *ii.* 44.

43 Και ειπεν αυτῳ ὁ Ιησους, Αμην λεγω σοι, Σημερον μετ' εμου εσῃ εν τῳ παραδεισῳ.

εσται εν ειρηνῃ ἡ ταφη αυτου, ηρται εκ του μεσου. *Esa. lvii.* 2. οἱ δε εισιν εν ειρηνῃ. *Sap. iii.* 3. *iv.* 7. σημερον. *Deut. viii.* 19. *Conf.* 2 *Cor. xii.* 4. *Apoc. ii.* 7. και εζηλωσαν αυτον τα ξυλα του παραδεισου της τρυφης του Θεου. *Ezech. xxxi.* 9. [αυτος (*Filius Dei*) ανοιξει τας θυρας του παραδεισου σου—και δωσει τοις ἁγιοις φαγειν εκ του ξυλου της ζωης. *Test. XII Patr. p.* 586.]

44 Ην δε ὡσει ὡρα ἑκτη, και σκοτος εγενετο εφ' ὁλην την γην, ἑως ὡρας εννατης.

και, *cum. Ruth. i.* 1. *Jud. ii.* 21. ὡσει ὡραν θυσιας ἑσπερινης. *Dan. ix.* 21.

45 Και εσκοτισθη ὁ ἡλιος, και εσχισθη το καταπετασμα του
ναου μεσον·

το καλυμμα του καταπετασματος. *Exod. xl.* 5, 19. *Alex. et Ald.* [*Conf. Jos. Bell. Jud. v.* 5. 4.] *Exod. xxvi.* 31. *xxvii.* 21. *xl.* 3. 1 *Mac. iv.* 51. *Heb. vi.* 19. *ix.* 3. *Conf. Matt. xxvii.* 45, 46. *Marc. xv.* 33, 34. *Amos. v.* 18. *viii.* 9. ὁ λεγων τῳ ἡλιῳ, και ουκ ανατελλει, κατα δε αστρων κατασφραγιζει. *Job. ix.* 7. *Conf. Joel. ii.* 31. *Hab. iii.* 8-11.

46 Και φωνησας φωνῃ μεγαλῃ ὁ Ιησους ειπε, Πατερ, εις χει-
ρας σου παραθησομαι το πνευμα μου. Και ταυτα ειπων εξε-
πνευσεν.

του φωνησαι εις ὑψος εν φωνῃ ευφροσυνης. 1 *Par. xv.* 16. και εφωνησεν εν ισχυϊ. *Dan. iv.* 11. εις χειρας σου παραθησομαι το πνευμα μου. *Ps. xxxi.* 5. δικαιων δε ψυχαι εν χειρι Θεου, και ου μη ἁψηται αυτων βασανος. *Sap. iii.* 1. και το πνευμα επιστρεψῃ προς τον Θεον ὁς εδωκεν αυτο. *Eccles. xii.* 7. *Laudat Philo. Vol. ii. p.* 37. *Conf. Matt. xxvii.* 50. *Marc. xv.* 37. *Joan. xix.* 30. *Act. vii.* 59, 60. *CITAT.* 89.

47 Ιδων δε ὁ ἑκατονταρχος το γενομενον εδοξασε τον Θεον,
λεγων, Οντως ὁ ανθρωπος οὑτος δικαιος ην.

Matt. xxvii. 54. *Marc. xv.* 39. οντως. *Num. xxii.* 37. *Sap. v.* 1.

48 Και παντες οἱ συμπαραγενομενοι οχλοι επι την θεωριαν
ταυτην, θεωρουντες τα γενομενα, τυπτοντες ἑαυτων τα στηθη
ὑπεστρεφον.

και Ασσουρ συμπαρεγενετο μετ᾽ αυτων. *Ps. lxxxii.* 8. [τυπτομενος τα στερνα. *Jos. Ant. vii.* 10. 5.] θεωριαν. 3 *Mac. v.* 24.

49 Εἱστηκεισαν δε παντες οἱ γνωστοι αυτου μακροθεν, και
γυναικες αἱ συνακολουθησασαι αυτῳ απο της Γαλιλαιας, ὁρω-
σαι ταυτα.

εμακρυνας τους γνωστους μου απ᾽ εμου. *Ps. lxxxvii.* 8. *xxxvii.* 11. ου γαρ συνεπηκολουθησαν οπισω μου. *Num. xxxii.* 11. *Conf. Matt. xxvii.* 55. *Marc. xv.* 40. αυτῳ συνακολουθειν. 2 *Mac. ii.* 4.

50 Και ιδου, ανηρ ονοματι Ιωσηφ, βουλευτης, ὑπαρχων ανηρ
αγαθος και δικαιος·

ανθρωποις τοις δικαιοις και αγαθοις. 3 *Reg. ii.* 32. ανηρ αγαθος οὑτος κ. τ. λ. 2 *Reg. xviii.* 27. *Conf. Matt. xxvii.* 57. *Marc. xv.* 43.

Joan. xix. 38. και δωσω τους πονηρους αντι της ταφης αυτου, και τους πλουσιους αντι του θανατου αυτου. *Esa. liii.* 9.

51 (Οὗτος ουκ ην συγκατατεθειμενος τη βουλῃ και τῃ πραξει αυτων·) απο Αριμαθαιας πολεως των Ιουδαιων, ὃς και προσεδεχετο και αυτος την βασιλειαν του Θεου·

ου συγκαταθηση μετα του αδικου γενεσθαι μαρτυς αδικος. *Exod. xxiii.* 1. την σωτηριαν περιμενων Κυριου. *Gen. xlix.* 18. συγκαταθου ἡμιν. *Susan.* 20. *Conf. Luc. ii.* 25, 38. ανθρωπος ην εξ Αρμαθαιμ. 1 *Reg. i.* 1. *Marc. xv.* 43.

52 Οὗτος προσελθων τῳ Πιλατῳ, ῃτησατο το σωμα του Ιησου.

53 Και καθελων αυτο ενετυλιξεν αυτο σινδονι, και εθηκεν αυτο εν μνηματι λαξευτῳ, οὗ ουκ ην ουδεπω ουδεις κειμενος.

και ουκ απεκωλυσεν αυτον ὁ πατηρ αυτου ουδεποτε. 3 *Reg. i.* 6. και ουκ ειληφας εκ χειρος ουδενος ουδεν. 1 *Reg. xii.* 4. ἡ λαξευτη. *Conf. Deut. iv.* 49. *Matt. xxvii.* 58, 59. *Marc. xv.* 45, 46. θαψατε με εν τῳ ταφῳ τουτῳ—παρα τα οστα αυτου θετε με, ἱνα σωθωσι τα οστα μου μετα των οστων αυτου. 3 *Reg. xiii.* 31.

54 Και ἡμερα ην παρασκευη, και σαββατον επεφωσκε.

Conf. Marc. xv. 42. *Matt. xxvii.* 62. ην γαρ ἡ προ του σαββατου, δι' ἡν αιτιαν ουκ εμακροθυμησαν κατατρεχοντες αυτους. 2 *Mac. viii.* 26. [εν σαββασιν, ἡ τῃ προ ταυτης παρασκευῃ, απο ὡρας εννατης. *Jos. Ant. xvi.* 6. 2.]

55 Κατακολουθησασαι δε και γυναικες, αἱτινες ησαν συνεληλυθυιαι αυτῳ εκ της Γαλιλαιας, εθεασαντο το μνημειον, και ὡς ετεθη το σωμα αυτου.

εγω δε ουκ εκοπιασα κατακολουθων οπισω σου. *Jer. xvii.* 16. και ελαβον το σωμα Σαουλ, και το σωμα των υἱων αυτου. 1 *Par. x.* 12. και εθαψαν αυτον και εθηκαν εν τῃ σορῳ. *Gen. l.* 26. *Conf. Luc. viii.* 2.

56 Ὑποστρεψασαι δε ἡτοιμασαν αρωματα και μυρα· και το μεν σαββατον ἡσυχασαν κατα την εντολην.

και την ἡμεραν εκεινην ἡσυχιαν εσχε. 2 *Mac. xiv.* 4. τῃ της καπαυσεως ἡμερᾳ. *xv.* 1. *Conf. Heb. iv.* 4. 2 *Mac. xii.* 38. και επλησαν αρωματων και γενη μυρων. 2 *Par. xvi.* 4. *Conf. Gen. l.* 2. κατα τας εντολας Μωυση. 2 *Par. viii.* 13. μνησθητι την ἡμεραν των σαββατων, ἁγιαζειν αυτην, κ. τ. λ. *Exod. xx.* 8. *Conf. Esa. lviii.* 13, 14. *Jer. xvii.* 24, 25.

ΚΕΦ. κδ. 24.

ΤΗ δε μια των σαββατων ορθρου βαθεος ηλθον επι το μνημα, φερουσαι ἁ ἡτοιμασαν αρωματα, και τινες συν αυταις.

και εγενετο πρωϊ ἡμερα μια. Gen. i. 5. αρτι δε αλεκτρυων εκεκραγει ορθριος. 3 Mac. v. 23. το πρωϊ εν τῳ φωτι. Dan. vi. 19. εις το μνημα. Jer. xxxiii. 23. Conf. Matt. xxviii. 1. Marc. xvi. 1, 2. ἑως διαφαυσῃ ὁ ορθρος. Jud. xvi. 2. Gen. xxxii. 26. Joan. xx. 1. [νυκτι βαθειᾳ. Fabric. Cod. Pseud. p. 595.] Conf. Gen. l. 2.

2 Εὑρον δε τον λιθον αποκεκυλισμενον απο του μνημειου,

Conf. Matt. xxviii. 2. Marc. xvi. 4. και απεκυλιον τον λιθον απο του στοματος του φρεατος. Gen. xxix. 3. Judith. xiii. 9. εν τῳ μνημειῳ, ᾡ ωρυξα εμαυτῳ. Gen. l. 5. [και ου κατειλειψειν επι της οικουμενης ἡλιῳ καθορᾳν πολιν κ. τ. λ. Jos. Bell. Jud. vi. 5. 5. p. 1276. 1295. Edit. Huds.]

3 Και εισελθουσαι ουχ εὑρον το σωμα του Κυριου Ιησου.

Conf. Joan. xx. 2. το σωμα. Conf. 1 Reg. xxxi. 10, 12.

4 Και εγενετο εν τῳ διαπορεισθαι αυτας περι τουτου, και ιδου, δυο ανδρες επεστησαν αυταις εν εσθησεσιν αστραπτουσαις.

δυο ανδρες. i. e. αγγελοι. Ita, Gen. xviii. 2. xix. 5. Jos. v. 13. διηπορει το πνευμα εν εαυτῳ. Dan. ii. 3. Sym. Conf. Jud. xiii. 20-22. Act. i. 10. εσθησις. Esa. xxiii. 18. Aq. Sap. xi. 18.

5 Εμφοβων δε γενομενων αυτων, και κλινουσων το προσωπον εις την γην, ειπον προς αυτας, Τι ζητειτε τον ζωντα μετα των νεκρων;

τι εκζητουσι περι των ζωντων τους νεκρους; Esa. viii. 19. εμφοβων. 1 Mac. xiii. 2. μετα, inter. Joan. vi. 43. και—εθαμβηθην—και πιπτω επι προσωπον μου επι την γην. Dan. viii. 17, 18.

6 Ουκ εστιν ὡδε, αλλ᾽ ηγερθη· μνησθητε ὡς ελαλησεν ὑμιν, ετι ων εν τῃ Γαλιλαιᾳ,

Conf. Matt. xxviii. 6. xvi. 21. Marc. xvi. 6. viii. 31. xvi. 16. Luc. ix. 22. xxiv. 6. ὡς ελαλησε. Ita. 1 Reg. xiii. 11.

7 Λεγων, Ὁτι δει τον υἱον του ανθρωπου παραδοθηναι εις χειρας ανθρωπων ἁμαρτωλων, και σταυρωθηναι, και τῃ τριτῃ ἡμερᾳ αναστηναι.

παρεδωκα αυτον εις χειρας αρχοντων εθνων. Ezech. xxxi. 11. *Ald.* *εν τῃ ἡμερᾳ τῃ τριτῃ αναστησομεθα. Ose. vi.* 3. *Alex. ανδρα ἁμαρτωλον. Sir. x.* 23. [*πλην οἱ υἱοι σου επιβαλουσι χειρας επ᾽ αυτον του αποσκολοπισαι αυτον, κ.τ.λ*; *Test. XII Patr. p.* 549.] *αναστησονται οἱ νεκροι, κ. τ. λ. Esa. xxvi.* 19.

8 Και *εμνησθησαν των ῥηματων αυτου·*

ουκ εμνησθησαν της χειρος αυτου. Ps. lxxvii. 42. *Conf. Joan. ii.* 22.

9 Και *ὑποστρεψασαι απο του μνημειου, απηγγειλαν ταυτα παντα τοις ἑνδεκα και πασι τοις λοιποις.*

Conf. Matt. xxviii. 8. *Marc. xvi.* 8.

10 Ησαν *δε ἡ* Μαγδαληνη Μαρια *και* Ιωαννα *και* Μαρια Ια-
*κωβου, και αἱ λοιπαι συν αυταις, αἱ ελεγον προς τους αποσ-
τολους ταυτα.*

11 Και *εφανησαν ενωπιον αυτων ὡσει ληρος τα ῥηματα αυτων, και ηπιστουν αυταις.*

ενωπιον αυτων. i. e. αυτοις. Conf. Esa. lii. 10. *περισσον—και ληρωδες.* 2 *Mac. xii.* 44. *εδοξε δε γελοιαζειν εναντιον των γαμβρων αυτου. Gen. xix.* 14. *ὡσει ενυπνιαζομενοι. Ps. cxxv.* 1. *alii.*

12 Ὁ *δε* Πετρος *αναστας εδραμεν επι το μνημειον, και παρα-
κυψας βλεπει τα οθονια κειμενα μονα· και απηλθε προς ἑαυ-
τον θαυμαζων το γεγονος.*

το γεγονος. Est. iv. 4. *Joan. xx.* 3-6. *και ανασταντες κατεβησαν εις* Αιγυπτον. *Gen. xliii.* 15. [*εις χασμα παρακυπτειν. Act. Thom. c.* 52.] *οθονια. Conf. Ose. ii.* 5. *Jud. xiv.* 13. *Conf. Prov. xxxi.* 24. *Conf. Marc. xv.* 40, 41. *xvi.* 10, 11. *Luc. viii.* 3. *Joan. xx.* 10. *και παρακυψας* Αβιμελεχ—*ειδε τον* Ισαακ. *Gen. xxvi.* 8.

13 Και *ιδου, δυο εξ αυτων ησαν πορευομενοι εν αυτῃ τῃ ἡμερᾳ
εις κωμην απεχουσαν σταδιους ἑξηκοντα απο* Ἱερουσαλημ, *ᾗ
ονομα* Εμμαους·

απο δε Ἱερουσολυμων *απεχοντι ὡσει σταδιους πεντε.* 3 *Mac. xi.* 5. *πολιν απεχουσαν απο* Ἱεροσολυμων *σταδιους ἑξακοσιους. xii.* 29. *και εσῃ συναντων αυτῳ. Exod. vii.* 15. *Conf. Marc. xvi.* 12. [Εμ*μαους. Conf. Jos. Bell. vii.* 6. 6.]

14 Και *αυτοι ὡμιλουν προς αλληλους περι παντων των συμ-
βεβηκοτων τουτων.*

και διηγησαντο αυτῳ παντα τα συμβεβηκοτα αυτοις. Jos. ii. 23. *ὡμιλουν. Gen. xxiv.* 63. *Aq. Ps. ciii.* 34. *Idem. μετα δε σοφων*

ουχ ὁμιλησει. *Prov. xv.* 13. *Conf. Deut. vi.* 7. *Mal. iii.* 16. *Matt. xviii.* 20. *Joan. xiv.* 18.

15 Και εγενετο εν τῳ ὁμιλειν αυτους και συζητειν, και αυτος
ὁ Ιησους εγγισας συνεπορευετο αυτοις·

Conf. Matt. xviii. 20. και εγενετο εν τῳ κοπτειν αυτους. *Ezech. ix.* 8. ιδου εὑρηκα, ὁς συμπορευσεται μοι. *Tob. v.* 8. *Marc. xvi.* 12.

16 Οἱ δε οφθαλμοι αυτων εκρατουντο του μη επιγνωναι αυτον.

και επαταξεν αυτους αορασιᾳ κ. τ. λ. 4 *Reg. vi.* 18. *Conf. Marc. xvi.* 13. βεβαρηται ἡ καρδια Φαραω, του μη εξαποστειλαι τον λαον. *Exod. vii.* 14, 22. *iv.* 21. *Conf. Esa. xlv.* 15.

17 Ειπε δε προς αυτους, Τινες οἱ λογοι οὑτοι, οὑς αντιβαλλετε
προς αλληλους περιπατουντες, και εστε σκυθρωποι;

προς ἑαυτον αντιβαλλων το γεγονος. 2 *Mac. xi.* 13. εταραχθη ακουσασα το γεγονος. *Est. iv.* 4. σκυθρωποι. *Gen. xl.* 7.

18 Αποκριθεις δε ὁ εἱς, ᾡ ονομα Κλεοπας, ειπε προς αυτον,
Συ μονος παροικεις εν Ἱερουσαλημ, και ουκ εγνως τα γενομενα
εν αυτῃ εν ταις ἡμεραις ταυταις;

και παροικει εν τῃ γῃ ταυτῃ. *Gen. xxvi.* 3. εισηλθες παροικειν, μη και κρισιν κρινειν; *xix.* 9. *Sir. xvi.* 8.

19 Και ειπεν αυτοις, Ποια; Οἱ δε ειπον αυτῳ, Τα περι Ιησου
του Ναζωραιου, ὁς εγενετο ανηρ προφητης, δυνατος εν εργῳ
και λογῳ εναντιον του Θεου και παντος του λαου·

ανηρ προφητης. *Jud. vi.* 8. δυναστος εν πολεμῳ. *Sir. xlvii.* 5. εκ ποιας πολεως συ ει; 2 *Reg. xv.* 2. εν γλωσσῃ. *xxi.* 8.—εναντιον του Θεου. *Gen. vi.* 11.—εναντιον παντων των πολιτων. *xxiii.* 11.—εν εργῳ και λογῳ. *Sir. iii.* 8. τα περι ἡμων. 1 *Reg. ix.* 5. *Conf. Matt. xxi.* 11. *Luc. vii.* 16. *Joan. iv.* 19. [δυνατος ειπειν. *Phil. de Jos.* 554.] [τα μεν περι τοιουτου προφητου τοιαυτα ην. *Jos. Ant. de Elia. viii.* 7. 7.] Ναζωραιου. *Conf. Matt. ii.* 23.

20 Ὁπως τε παρεδωκαν αυτον οἱ Αρχιερεις και οἱ αρχοντες
ἡμων εις κριμα θανατου, και εσταυρωσαν αυτον·

μη ευλαβου κριμα θανατου. *Sir. xli.* 3. ουκ ουδ' ὁπως—εφανητε. 2 *Mac. vii.* 22. *Conf. Matt. xxvii.* 1, 2. *Marc. xv.* 1.

21 Ἡμεις δε ηλπιζομεν ὁτι αυτος εστιν ὁ μελλων λυτρουσθαι
τον Ισραηλ. αλλα γε συν πασι τουτοις τριτην ταυτην ἡμεραν
αγει σημερον, αφ' οὑ ταυτα εγενετο.

και αυτος λυτρωσεται τον Ισραηλ εκ πασων των ανομιων αυτου. Ps. cxxix. 8. και ἡξει ἑνεκεν Σιων ὁ ῥυομενος, και αποστρεψει ασηβειας απο Ιακωβ. Esa. lix. 20. και λυτρωσομαι ὑμας. Exod. vi. 6. ὁ Θεος σου, ὁ λυτρουμενος σε Ισραηλ. Esa. xli. 14. ὁτι εστιν ὁ λυτρουμενος και σωζων τον Ισραηλ. 1 Mac. iv. 11. και ηγαγες καιρον ετων σου. Ezech. xxii. 4. 1 Esd. i. 1. 2 Mac. i. 9. Conf. Act. i. 6. Luc. i. 68. ii. 25. Jer. xxvii. 20. αλλα γε συν πασι τουτοις, at quamvis hæc omnia sint. Conf. 3 Mac. i. 22. 2 Mac. iv. 9. Bretschn. εμπιστευσαι μεθ' ἡμων το ελεος αυτου, και εν ταις ἡμεραις αυτου λυτρωσασθω ἡμας. Sir. l. 24. αφ' οὑ sc. χρονου. Ita, Ose. x. 9. Conf. 1 Mac. iv. 46. xiv. 41. 2 Mac. ii. 18.

22 Αλλα *και γυναικες τινες εξ ἡμων εξεστησαν ἡμας, γενομεναι ορθριαι επι το μνημειον·*

ὁτε εξεπορευομην ορθριος εν πολει. Job. xxix. 7. 3 Mac. v. 10, 23. και εξεστησεν αυτους. Jos. x. 10. 2 Par. xv. 6. Matt. xxviii. 8. Marc. xvi. 10. Joan. xx. 18.

23 Και *μη εὑρουσαι το σωμα αυτου, ηλθον, λεγουσαι και οπτασιαν αγγελων ἑωρακεναι, οἱ λεγουσιν αυτον ζῃν.*

και ιδον εγω Δανιηλ μονος την οπτασιαν. Dan. x. 7, 8. ἑωρακατε. Exod. xiv. 13. [του ζῃν. Jos. Ant. ii. 3. 1.]

24 Και *απηλθον τινες των συν ἡμιν επι το μνεμειον, και εὑρον οὑτω καθως και αἱ γυναικες ειπον· αυτον δε ουκ ειδον.*

Conf. Joan. xx. 1–10.

25 Και *αυτος ειπε προς αυτους, Ω ανοητοι και βραδεις τῃ καρδιᾳ του πιστευειν επι πασιν οἱς ελαλησαν οἱ προφηται·*

ἁμα αφρονες και ανοητοι εισι. Jer. x. 8. Comp. et Theod. λαλησειν. Conf. 3 Reg. xxii. 13, 14. ελπιζομεν επι τῳ Θεῳ. 2 Mac. ii. 18. υἱοι ανθρωπων ἑως ποτε βαρυκαρδιοι; Ps. iv. 2.

26 Ουχι *ταυτα εδει παθειν τον Χριστον, και εισελθειν εις την δοξαν αὑτου;*

πασχομεν. 2 Mac. vii. 32. Conf. Esa. xlix. 6. Phil. ii. 7. Heb. xii. 2. 1 Pet. i. 11. Ps. xxi. lxviii. Dan. ix. 24–27. Zach. xiii. 7. δια τουτο αυτος κληρονομησει πολλους, και των ισχυρων μεριει σκυλα, κ. τ. λ. Esa. liii. 12. τις ὁμοιος σοι; δεδοξασμενος εν ἁγιοις; Exod. xv. 11.

27 Και *αρξαμενος, απο* Μωσεως *και απο παντων των προφητων διηρμηνευεν αυτοις εν πασαις ταις γραφαις τα περι ἑαυτου.*

Conf. Gen. iii. 15. *xxii.* 18. *xxvi.* 4. *xlix.* 10. *Ps. xv.* 8-11. *xxi. pass. cxxx.* 11. *Esa. vii.* 14. *ix.* 6. *Jer. xxiii.* 5. *Dan. ix.* 24. *Rom. i.* 2. *iii.* 21. 1 *Cor. xv.* 3. τις θεος, ὡσπερ συ, εξαιρων ανομιας και ὑπερβαινων ασεβειας, κ. τ. λ. *Mich. vii.* 18, 19. [ὁ Χριστος οὑτος ην—εφανη γαρ αυτοις τριτην εχων ἡμεραν παλιν ζων, των θειων προφητων ταυτα τε και αλλα μυρια θαυμασια περι αυτου ειρηκοτων. *Jos. Ant. xviii.* 3. 3.]

28 Και ηγγισαν εις την κωμην οὑ επορευοντο· και αυτος προσεποιειτο πορῥωτερω πορευεσθαι.

29 Και παρεβιασαντο αυτον, λεγοντες, Μεινον μεθ᾽ ἡμων, ὁτι προς ἑσπεραν εστι, και κεκλικεν ἡ ἡμερα. Και εισηλθε του μειναι συν αυτοις.

και παρεβιασαντο αυτον ἑως οὑ ησχυνετο. 4 *Reg. ii.* 17. μεινατω —μεθ᾽ ἡμων. *Gen. xxiv.* 55. προς ἑσπεραν. *viii.* 11. κεκλικεν ἡ ἡμερα. *Jer. vi.* 4. *Conf. Gen. xix.* 3. *Act. xvi.* 15. *Heb. xiii.* 2. ου μη σε αποστειλω εαν μη με ευλογησῃς. *Gen. xxxii.* 26. προσποιου. 2 *Reg. xiii.* 5. *Comp.*

30 Και εγενετο εν τῳ κατακλιθηναι αυτον μετ᾽ αυτων, λαβων τον αρτον ευλογησε, και κλασας επεδιδου αυτοις.

και ου μη κλασθῃ αρτος. *Jer. xvi.* 7. *Esa. liii.* 7. *Thren. iv.* 3. *Conf. Matt. xxvi.* 26. *Marc. xiv.* 22.

31 Αυτων δε διηνοιχθησαν οἱ οφθαλμοι, και επεγνωσαν αυτον· και αυτος αφαντος εγενετο απ᾽ αυτων.

και ανεῳξεν ὁ Θεος τους οφθαλμους αυτης, και ειδε φρεαρ ὑδατος ζωντος. *Gen. xxi.* 19. διανοιξον δη τους οφθαλμους του παιδαριου. 4 *Reg. vi.* 17. *Conf. Joan. xx.* 13-16. *Tob. xii.* 21. και διηνοιχθησαν οἱ ὀφθαλμοι—και εγνωσαν ὁτι γυμνοι ησαν. *Gen. iii.* 7. αφανεις εγενοντο. 2 *Mac. iii.* 34. *Conf. Jud. xiii.* 20-22. *Conf. Tob. xii.* 12, 21.

32 Και ειπον προς αλληλους, Ουχι ἡ καρδια ἡμων καιομενη ην εν ἡμιν ὡς ελαλει ἡμιν εν τῃ ὁδῳ, και ὡς διηνοιγεν ἡμιν τας γραφας;

εθερμανθη ἡ καρδια μου εντος μου, και εν τῃ μελετῃ μου εκκαυθησεται πυρ. *Ps. xxxviii.* 3. και διανοιξαι την καρδιαν ὑμων εν τῳ νομῳ. 2 *Mac. i.* 4. καιομενη ην. *Gen. i.* 6. *Exod. vii.* 15. και εγενετο ὡς πυρ καιομενον φλεγον εν τοις οστοις μου, κ. τ. λ. *Jer. xx.* 9. [εκαιομην τοις σπλαγχνοις αναγγειλαι, κ. τ. λ. *Test. XII Patr. p.* 671.] *Conf. Gen. l.* 21. και εν τῳ λυσαι τον νομον. 1 *Esd.*

viii. 46. ἡ δηλωσις των λογων σου φωτιει και συνετιει νηπιους. *Ps. cxviii.* 130. *Jer. xv.* 16.

33 Και ανασταντες αυτῃ τῃ ὡρᾳ, ὑπεστρεψαν εις Ἱερουσαλημ,
και εὑρον συνηθροισμενους τους ἑνδεκα και τους συν αυτοις

αυτῃ τῃ ὡρᾳ. *Dan. iv.* 30. Ιουδας δε ὁ Μακκαβαιος και οἱ συν αυτῳ. 2 *Mac. viii.* 1. και συνηθροισε Μωυσης πασαν συναγωγην. *Exod. xxxv.* 1. *Jos. xxii.* 12. *Joel. iii.* 11.

34 Λεγοντας, Ὁτι ηγερθη ὁ Κυριος οντως, και ωφθη Σιμωνι.

Conf. 1 *Cor. xv.* 5. *Sophon. iii.* 8. *Dan. xii.* 13.

35 Και αυτοι εξηγουντο τα εν τῃ ὁδῳ, και ὡς εγνωσθη αυτοις
εν τῃ κλασει του αρτου.

ου μη κλασθῃ αρτος εν πενθει. *Jer. xvi.* 7. και επειδεν ὁ Θεος τους υἱους Ισραηλ και εγνωθη αυτοις. *Exod. ii.* 25. *Conf. Apoc. iii.* 20. *Joan. xiv.* 22, 23. *Marc. xvi.* 12, 13.

36 Ταυτα δε αυτων λαλουντων, αυτος ὁ Ιησους εστη εν μεσῳ
αυτων, και λεγει αυτοις, Ειρηνη ὑμιν.

ὁ δε στας εν μεσῳ αυτων ειπε. *Susan.* 48. ειρηνη σοι, μη φοβου. *Jud. vi.* 23. *Conf. Tob. xii.* 16, 17. *Joan. xx.* 19. *Esa. lvii.* 18, 19.

37 Πτοηθεντες δε και εμφοβοι γενομενοι εδοκουν πνευμα θεω-
ρειν.

μη φοβου——μηδε πτοηθῃς. *Deut. xxxi.* 6. και εξηλθε το πνευμα και εστη ενωπιον Κυριου. 2 *Par. xviii.* 20. *Sir. xxxix.* 28.

38 Και ειπεν αυτοις, Τι τεταραγμενοι εστε; και διατι δια-
λογισμοι αναβαινουσιν εν ταις καρδιαις ὑμων;

ἑως ποτε ὑπαρχουσιν εν σοι διαλογισμοι πονων σου; *Jer. iv.* 14. οἱ διαλογισμοι σου——ανεβησαν. *Dan. ii.* 29. και ουκ αναβησεται αυτων επι την καρδιαν. *Esa. lxv.* 16. ἡ ψυχη μου εταραχθη σφοδρα. *Ps. vi.* 3. *Gen. xli.* 8. *Jer. iv.* 14. *Dan. v.* 9, 10. αναβαινειν εις την καρδιαν τινος. *Jer. iii.* 16. *Conf.* 1 *Reg. xxviii.* 13. *Job. iv.* 15.

39 Ιδετε τας χειρας μου και τους ποδας μου, ὁτι αυτος εγω
ειμι· ψηλαφησατε με και ιδετε· ὁτι πνευμα σαρκα και οστεα
ουκ εχει, καθως εμε θεωρειτε εχοντα.

ωρυξαν χειρας μου και ποδας μου. *Ps. xxi.* 16. *Alex. Ald. Comp.* εγγισον μοι, και ψηλαφησω σε. *Gen. xxvii.* 21. 1 *Joan. i.* 1. τι αἱ πληγαι αὑται αναμεσον των χειρων σου; και ερει, Ἁς επληγην εν τῳ οικῳ τῳ αγαπητῳ μου. *Zach. xiii.* 6. *Conf. Joan. xx.* 20, 27. *Act. i.* 3. [αδελφον ὁν απεδοσθε εις Αιγυπτον, εκεινος νυν παρεσ-

ταυτα αυτος ειμι εγω. *Philo de Jos. p.* 560.] Κυριος ὁ Θεος των πνευματων και πασης σαρκος. *Num. xxvii.* 16. και επιστρεψη ὁ χους επι γην ὡς ην, και το πνευμα επιστρεψη προς τον Θεον ὃς εδωκεν αυτο. *Eccles. xii.* 7. *Conf. Deut. iv.* 12. και πνευμα επι προσωπον μου επηλθεν. *Job. iv.* 15, 16.

40 Και τουτο ειπων επεδειξεν αυτοις τας χειρας και τους πο-
δας.

41 Ετι δε απιστουντων αυτων απο της χαρας και θαυμαζον-
των, ειπεν αυτοις, Εχετε τι βρωσιμον ενθαδε;

παν ξυλον βρωσιμον. *Lev. xix.* 23. *Neh. ix.* 25. *Joan. xxi.* 10. και εξεστη τη διανοια Ιακωβ· ου γαρ επιστευσεν αυτοις. *Gen. xlv.* 26.

42 Οἱ δε επεδωκαν αυτῳ ιχθυος οπτου μερος, και απο μελισ-
σιου κηριου.

κηρια μελιτος. *Prov. xvi.* 24. 1 *Reg. xiv.* 27. [*Fisch. p.* 645.]

43 Και λαβων ενωπιον αυτων εφαγεν.

ενωπιον αυτων. 2 *Reg. xi.* 13. *Conf. Marc. xvi.* 14.

44 Ειπε δε αυτοις, Οὑτοι οἱ λογοι, οὑς ελαλησα προς ὑμας ετι
ων συν ὑμιν, ὁτι δει πληρωθηναι παντα τα γεγραμμενα εν τῳ
νομῳ Μωσεως και προφηταις και ψαλμοις περι εμου.

πληρωθηναι το ῥημα Κυριου ὁ ελαλησε. 3 *Reg. ii.* 27. λαλησαι προς. *Exod. xxiii.* 13. του νομου και των προφητων και των κατ' αυτους. *Prol. Sir. Conf. Matt. xvi.* 21. *xvii.* 22. *Marc. viii.* 31. *x.* 33. *Gen. iii.* 15. *xiv.* 18. *xlix.* 10. *Esa. vii.* 14. *ix.* 6, 7. *liii. Ps. xxi. xxxix.* 6-8. [και τουτων (βιβλιων ἱερων. *sc.*) πεντε μεν εστι τα Μωσεως, α τους τε νομους περιεχει—οἱ μετα Μωϋσην προφηται—αἱ δε λοιπαι τεσσαρες ὑμνους εις τον Θεον, κ. τ. λ. *Jos. c. Apion. i.* 8. *Conf. Philo de Essen. Tom. ii. p.* 475.]

45 Τοτε διηνοιξεν αυτων τον νουν, του συνιεναι τας γραφας·

τοτε ανακαλυπτει νουν ανθρωπων εν ειδεσι. *Job. xxxiii.* 16. αποκαλυψον τους οφθαλμους μου, και κατανοησω τα θαυμασια εκ του νομου σου. *Ps. cxviii.* 18. διανοιξαι την καρδιαν ὑμων εν τῳ νομῳ. 2 *Mac. i.* 4. 1 *Joan. v.* 20. *Act. xvi.* 14. και συνηκεν ὁ λαος εν τῃ αναγνωσει. *Neh. viii.* 8, 12. *Conf.* 3 *Reg. iii.* 11, 12. 2 *Par. ii.* 12.

46 Και ειπεν αυτοις, Ὁτι οὑτω γεγραπται, και οὑτως εδει
παθειν τον Χριστον, και αναστηναι εκ νεκρων τῃ τριτῃ ἡμερᾳ,

αναστησονται οἱ νεκροι και εγερθησονται. *Esa. xxvi.* 19. *Dan. xii.* 2. 2 *Mac. xii.* 44. ἁ δει γενεσθαι. *Dan. ii.* 28. *Conf. Ps. xxi.* 6, 7. *Esa. liii. Act. xvii.* 3. ἡμεις γαρ δια τας ἑαυτων ἁμαρτιας πασ-

χομεν. 2 *Mac. vii.* 32. ιδου ταυτα γεγραπται, κ. τ. λ. 3 *Reg. xi.* 41. *xiv.* 19. ὑγιασει ἡμας μετα δυο ἡμερας, εν τῃ ἡμερᾳ τῃ τριτῃ εξαναστησομεθα. *Ose. vi.* 3.

47 Και κηρυχθηναι επι τῳ ονοματι αυτου μετανοιαν και αφεσιν ἁμαρτιων εις παντα τα εθνη, αρξαμενον απο Ἱερουσαλημ.

λαλησαι επι τῳ ονοματι μου. *Deut. xviii.* 20, 22. *Jos. ix.* 9. διδως επι ἁμαρτημασι μετανοιαν. *Sap. xii.* 19. και εν τῃ σκιᾳ αυτου κατῳκησε παν πληθος εθνων. *Ezech. xxxi.* 6. επι τῳ ονοματι αυτου. *Act. xiii.* 38. 1 *Joan. ii.* 12. *Luc. iv.* 18. *Heb. viii.* 12. *Esa. ii.* 3. *Jer. xxxviii.* 34. *Dan. vii.* 14. [επ᾽ ονοματι του Θεου κωλευειν. *Jos. Ant. iv.* 1. 1.] μνησθησονται και επιστραφησονται προς Κυριον παντα τα περατα της γης κ. τ. λ. *Ps. xxi.* 27. *lxvi.* 2-4. *Ose. ii.* 23. *Mal. i.* 11. εκ γαρ Σιων εξελευσεται νομος, και λογος Κυριου εξ Ἱερουσαλημ, κ. τ. λ. *Esa. ii.* 3, 4.

48 Ὑμεις δε εστε μαρτυρες τουτων.

Conf. Joan. xv. 27. *Act. i.* 8, 22. δια τουτο ὑπομεινον με, λεγει Κυριος, εις ἡμεραν αναστασεως μου εις μαρτυριον. *Sophon. iii.* 8.

49 Και ιδου, εγω αποστελλω την επαγγελιαν του πατρος μου εφ᾽ ὑμας· ὑμεις δε καθισατε εν τῃ πολει Ἱερουσαλημ, ἑως οὑ ενδυσησθε δυναμιν εξ ὑψους.

Conf. Joan. xiv. 26. *xv.* 26. *xvi.* 7. *Act. i.* 4. *et cap. ii. pass.* εν χειρι αυτου ψυχη παντων ζωντων και πνευμα παντος ανθρωπου. *Job. xii.* 10. ὁτι εγω δωσω ὑδωρ εν διψει τοις πορευομενοις εν ανυδρῳ, επιθησω το πνευμα μου επι το σπερμα σου, κ. τ. λ. *Esa. xliv.* 3, 4. *lix.* 20, 21. *Joel. ii.* 28. αφ᾽ οὑ. *Exod. v.* 23. [ὁσιοι Κυριου κληρονομησαιεν επαγγελιας Κυριου. *Psalt. Sal. p.* 951.] ἑως αν ελθῃ εφ᾽ ὑμας πνευμα αφ᾽ ὑψηλου. *Esa. xxxii.* 15. καθισατε εν Ιεριχῳ ἑως του ανατειλαι. 2 *Reg. x.* 5. εξαπεστειλεν εξ ὑψους. *Ps. xvii.* 16. *ci.* 19. καθ᾽ ἑαυτους ενεδυσεν αυτους ισχυν, και κατ᾽ εικονα αυτου εποιησεν αυτους. *Sir. xvii.* 3. ενδυσαι την ισχυν. *Esa. li.* 9. *Conf. Ezech. xxxvi.* 24-26. και δυναμις μεγαλη και συνεσις εδοθη αυτῳ. *Dan. x.* 1.

50 Εξηγαγε δε αυτους εξω ἑως εις Βηθανιαν· και επαρας τας χειρας αὑτου, ευλογησεν αυτους.

επαρσις των χειρων μου θυσια ἑσπερινη. *Ps. cxli.* 2. *Gen. xiv.* 18-20. *Exod. xvii.* 11. *Neh. viii.* 6. και ευλογησεν αυτους, και προσετεθη προς τους πατερας αυτου. 1 *Mac. ii.* 69. ὁ Θεος ελεησαι σε. *Gen. xliii.* 29. ανεληφθη ἑως εις τον ουρανον. 1 *Mac. ii.* 58. *Conf. Act. i.* 12. *Lev. ix.* 22. [*Conf. Lightfoot. Hor. Heb. ad loc.*]

51 Και εγενετο εν τῳ ευλογειν αυτον αυτους, διεστη απ' αυτων, και ανεφερετο εις τον ουρανον.

εγενετο εν τῳ ιδειν με. *Dan. viii.* 15. αναβας εις ὑψος. *Ps. lxvii.* 18. και ανεληφθη Ηλιου εν συσσεισμῳ ὡς εις τον ουρανον. 4 *Reg. ii.* 11. επηρθη ἡ μεγαλοπρεπεια σου ὑπερανω των ουρανων. *Ps. viii.* 1. εν δε τῳ διαλεγεσθαι αυτην. *Est. v.* 2. *Conf. Marc. xvi.* 19. *Act. i.* 9, 12. διεστη. *Coll. Sir. xxviii.* 14. *xlviii.* 9.

52 Και αυτοι προσκυνησαντες αυτον, ὑπεστρεψαν εις Ἱερουσαλημ μετα χαρας μεγαλης·

και πεσων χαμαι προσεκυνεσε. *Job. i.* 20. εστρεψας τον κοπετον μου εις χαραν εμοι, κ. τ. λ. *Ps. xxix.* 11.

53 Και ησαν διαπαντος εν τῳ ἱερῳ, αινουντες και ευλογουντες τον Θεον. Αμην.

αινειτε αυτον. *Ps. cl. pass.* ευλογειτε τον Κυριον. *cii.* 20. *xxi.* 22. και ειπε πασα ἡ εκκλησια, Αμην. *Neh. v.* 13. *Conf. Matt. xxviii.* 20. διαπαντος ἡ αινεσις αυτου εν τῳ στοματι μου. *Ps. xxxiii.* 1. μακαριοι οἱ κατοικουντες εν τῳ οικῳ σου, εις τους αιωνας των αιωνων αινεσουσι σε. *Ps. lxxxiii.* 4. ὁλοκαυτωματα διαπαντος. 1 *Par. xvi.* 40. 2 *Par. ii.* 4. *Conf. Act. ii.* 26. Αμην. *Neh. viii.* 6.

ΕΥΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΙΩΑΝΝΗΝ.

ΚΕΦ. α. 1.

ΕΝ αρχῃ ην ὁ Λογος, και ὁ Λογος ην προς τον Θεον, και Θεος ην ὁ Λογος.

εν αρχῃ. *Gen. i.* 1. εν αρχῃ του ευαγγελιου. *Phil. iv.* 15. εν αρχῃ προ του την γην ποιησαι. *Prov. viii.* 23-25. ημην παρ' αυτῳ. 30. καθ' ἡμεραν ημην προς ὑμας. *Marc. xiv.* 49. και εγενετο λογος Κυριου προς με, λεγων. *pass. apud prophet.* το ῥημα ὁ ελαλησε εν λογῳ Κυριου. 3 *Reg. xiii.* 32. ὁτι εν σοι ὁ Θεος εστι, και ουκ εστι Θεος πλην σου. *Esa. xlv.* 14. τῳ λογῳ του Κυριου οἱ ουρανοι εστερεωθησαν, και τῳ πνευματι του στοματος αυτου πασα ἡ δυναμις αυτων. *Ps. xxxii.* 6. απεστειλε τον λογον αυτου, και ιασατο αυ-

τους. *cvi.* 20. [ιδεα των ιδεων, ὁ Θεου λογος. φησι δ' ὡς εν αρχῃ εποιησεν ὁ Θεος τον ουρανον και την γην.—τον δε αορατον και νοητον θειον λογον και Θεου λογον, εικονα λεγει Θεου. *Philo. de Mund. Opific.*] *Conf. Mich. v.* 2. *Esa. ix.* 6. *xlv.* 15. *Ps. cxlvii.* 18. *ci.* 25. 1 *Joan. i.* 1. οὑτος Θεος. 3 *Reg. xviii.* 24. αυτος Θεος μου και σωτηρ μου. *Ps. lxi.* 6. και καλειται το ονομα αυτου Ὁ Λογος του Θεου. *Apoc. xix.* 13. Κυριος ὁ Θεος. *Gen. ii.* 15, 16, 18. *et pass.*

2 Οὑτος ην εν αρχῃ προς τον Θεον.

ημην (σοφια) παρ' αυτῳ (Θεῳ). *Prov. viii.* 30. *Sir. i.* 1, 4. προς τον Θεον. *Eccles. xii.* 7. [*Conf. Philo de Som. p.* 655.]

3 Παντα δι' αυτου εγενετο, και χωρις αυτου εγενετο ουδε ἑν ὁ γεγονεν.

αὑτη ἡ βιβλος γενεσεως ουρανου και γης, ὁτε εγενετο. *Gen. ii.* 4. *Esa. xlviii.* 7. 2 *Mac. vii.* 28. εποιησεν ὁ Θεος τον ουρανον και την γην. *Gen. i.* 1. και εγενετο φως. 3. 1 *Joan. v.* 11. 1 *Cor. viii.* 6. *Sap. ix.* 9. ὁ ποιησας τα παντα εν λογῳ σου. *Sap. ix.* 1. *Conf. Esa. xliii.* 7. και ου κατελειφθη εξ αυτων ουδε εἱς. 2 *Reg. xiii.* 30. ὁτι δι' αγγελων ωνειδισας Κυριον. *Esa. xxxvii.* 24. *Conf. Ephes. iii.* 9. *Col. i.* 17. *Heb. i.* 1, 2. ἡ παντοδυναμος σου χειρ και κτισασα τον κοσμον. *Sap. xi.* 17. ὁ παντοδυναμος σου λογος απ' ουρανων. *xviii.* 15. και εν λογῳ αυτου συγκειται παντα. *Sir. xliii.* 26. [εὑρησεις—οργανον Λογον Θεου, δι' οὑ κατεσκευασθη. *Philo. de Cherub. Tom. i. p.* 162.]

4 Εν αυτῳ ζωη ην, και ἡ ζωη ην το φως των ανθρωπων,

ὁ ζων εις τον αιωνα εκτισε παντα κοινῃ. *Sir. xviii.* 1. ζωη γαρ εστι τοις εὑρισκουσιν αυτας, και πασῃ σαρκι ιασις. *Prov. iv.* 22. ὁτι παρα σοι πηγη ζωης, εν τῳ φωτι σου οψομεθα φως. *Ps. xxxv.* 9. ὁ λογος της ζωης. 1 *Joan. i.* 1. φως Κυριου πνοη ανθρωπων. *Prov. xx.* 27. *Sap. xviii.* 4. *Bar. iv.* 1. [το φως του κοσμου (*Messias*) το δοθεν εν ὑμιν εις φωτισμον παντος ανθρωπου. *Test. XII Patr. p.* 578. ανατελει ὑμιν αυτος Κυριος, φως δικαιοσυνης. *p.* 644.]

5 Και το φως εν τῃ σκοτιᾳ φαινει, και ἡ σκοτια αυτο ου κατελαβεν.

και ου μη καταλαβῃ αυτους δικαιοσυνη. *Esa. lix.* 9. *Jer. xxviii.* 34. επι δε σε φανησεται Κυριος και ἡ δοξα αυτου. *lx.* 2. ου μη καταληψονται αυτην (σοφιαν) ανθρωποι ασυνετοι. *Sir. xv.* 7. *xxvii.* 8. ὁ ἡλιος δικαιοσυνης και ιασις εν ταις πτερυξιν αυτου. *Mal. iv.* 2 και ου συνησουσι παντες ανομοι, και οἱ νοημονες συνησουσι. *Dan. xii.* 10. *Ephes. iv.* 18. σκοτια. *Matt. x.* 27.

6 Εγενετο ανθρωπος απεσταλμενος παρα Θεου, ονομα αυτῳ Ιωαννης.

εγενετο. *Conf. Jud. i.* 1. *Jos. i.* 1. *et pass.* ιδου εξαποστελλω τον αγγελον μου. *Mal. iii.* 1. πνευμα γαρ παρ' εμου εξελευσεται. *Esa. lvii.* 16. ονομα τῃ γυναικι Ἁβραμ, Σαρα. *Gen. xi.* 29. *ii.* 11, 13. *Conf. Matt. iii.* 1. *xi.* 10. *Marc. i.* 3. *Luc. iii.* 3. *Joan. iii.* 28.

7 Οὑτος ηλθεν εις μαρτυριαν, ἱνα μαρτυρησῃ περι του φωτος, ἱνα παντες πιστευσωσι δι' αυτου.

χειλη αληθινα κατορθοι μαρτυριαν. *Prov. xii.* 19. βουνος της μαρτυριας. *Gen. xxxi.* 47, 48. *Conf. Act. xix.* 4. *Luc. ii.* 32..

8 Ουκ ην εκεινος το φως, αλλ' ἱνα μαρτυρησῃ περι του φωτος.

9 Ην το φως το αληθινον, ὁ φωτιζει παντα ανθρωπον ερχομενον εις τον κοσμον.

εις φως εθνων του ειναι σε εις σωτηριαν ἑως εσχατου της γης. *Esa. xlix.* 6. Κυριος φωτιζει τυφλους. *Ps. cxlv.* 8. και ην φωτιζων αυτους πως φοβηθωσι τον Κυριον. 4 *Reg. xvii.* 28. *Ps. xii.* 3. *cxviii.* 130. οιδαμεν ὁτι Κυριος—φως ποιησας εκ σκοτους. *Job. xxxvii.* 15. εισηλθεν εις τον κοσμον. *Sap. ii.* 24. *xiv.* 14. και εξηγαγε φως εκ των θησαυρων αυτου. *Jer. xxviii.* 16. *Conf. Matt. vi.* 22. *Rom. xi.* 32. *Esa. viii.* 20.

10 Εν τῳ κοσμῳ ην, και ὁ κοσμος δι' αυτου εγενετο, και ὁ κοσμος αυτον ουκ εγνω.

και κτισασα τον κοσμον εξ αμορφου ὑλης. *Sap. xi.* 17. συ γαρ ει Θεος, και ουκ ηδειμεν. *Esa. xlv.* 15. *Conf. Heb. x.* 1, 2. *Ephes. iii.* 9. και [αλλα, *veruntamen*]. — *Mal. i.* 2. και ηγαπησα Ιακωβ. *Conf. Elsner. in loc. Exod. iii.* 4-6. *Jer. x.* 11, 12.

11 Εις τα ιδια ηλθε, και οἱ ιδιοι αυτον ου παρελαβον.

τα ιδια. *Sir. xi.* 34. και εισελθων εις τα ιδια εκαλεσε τους φιλους. *Est. v.* 10. *vi.* 12. οἱ ιδιοι. 2 *Mac. xii.* 22. και παρελαβον. 1 *Reg. xvii.* 31. *Alex. xxi.* 9. *Aled.* και ειδομεν αυτον, και ουκ ειχεν ειδος ουδε καλλος, κ. τ. λ. *Esa. liii.* 2, 3. *Conf. Matt. x.* 6. *Rom. xv.* 8.

12 Ὁσοι δε ελαβον αυτον, εδωκεν αυτοις εξουσιαν τεκνα Θεου γενεσθαι, τοις πιστευουσιν εις το ονομα αυτου·

λαβετε παιδειαν. *Prov. viii.* 10. και τα τεκνα Σιων. *Joel. ii.* 23. υἱοι ὑψιστου παντες. *Ps. lxxxi.* 6. *Esa. lxiii.* 8. εδωκεν αυτοις εξουσιαν ποιησαι τα δικαιωματα. 1 *Mac. i.* 13. *xi.* 58. ὁ πιστευων επ' αυτῳ ου μη καταισχυνθῃ. *Esa. xxviii.* 16. *B. Ald. Comp. Conf.*

Prov. xiv. 26. *Gen. vi.* 2. *Esa. xlv.* 11. *lvi.* 5. *Ose. i.* 10. *Gal. iii.* 26. *Rom. viii.* 15. 2 *Pet. i.* 4. 1 *Joan. iii.* 1. *Luc. xx.* 36. ὁτι ταξω σε εις τεκνα, κ.τ.λ. *Jer. iii.* 19. ὡμολογησαν Θεου ὑιον λαον ειναι. *Sap. xviii.* 13. πως κατελογισθη εν ὑιοις Θεου και εν ἁγιοις ὁ κληρος αυτου εστι; *Sap. v.* 5. [ὁσοι επιστευσαν σοι αυτῳ (*Messiæ*) συγχαρησονται αυτῳ. *Test. XII Patr. p.* 745.]

13 Οἱ ουκ εξ αἱματων, ουδε εκ θεληματος σαρκος, ουδε εκ θεληματος ανδρος, αλλ' εκ Θεου εγεννηθησαν.

αἱμα. *Conf. Gen. ix.* 4. *Lev. xvii.* 11. τα θεληματα της καρδιας. *Jer. xxiii.* 26. *Conf. Matt. xvi.* 17. εγω σημερον γεγεννηκα σε. *Ps. ii.* 7. *l.* 10. ὑιους εγεννησα. *Esa. i.* 2. *Conf. Jac. xviii.* 1 *Pet. i.* 23. 1 *Joan. iii.* 9. *iv.* 18. [εξ αἱματος του Ααρωνος. *Jos. Ant. xx.* 8.]

14 Και ὁ Λογος σαρξ εγενετο, και εσκηνωσεν εν ἡμιν, (και εθεασαμεθα την δοξαν αυτου, δοξαν ὡς μονογενους παρα πατρος,) πληρης χαριτος και αληθειας.

εμνησθη ὁτι σαρξ εισι. *Ps. lxxvii.* 39. *Apoc. xxi.* 3. ιδου εγω ερχομαι, και κατασκηνωσω εν μεσῳ σου. *Zach. ii.* 10. αυτος ὡς ανηρ αληθης. *Neh. vii.* 2. Εσδρας—ὡς γραμματευς. 3 *Esd. viii.* 3. ῥυσαι —την μονογενη μου. *Ps. xxi.* 20. *xxxiv.* 17. *Zach. xii.* 10. εστι γαρ εν αυτῃ πνευμα—μονογενες. *Sap. vii.* 22. πληρης *pro* πληρους. *Ita, Ps. lxxiii.* 22. *Est. vi.* 7. *Grot. ad Marc. vi.* 40. [ἑως οὑ ὁ ὑψιστος αποστειλῃ το σωτηριον αυτου εν επισκοπῃ μονογενους. *Test. XII Patr. p.* 738.] *Conf. Exod. xl.* 34. *Ezech. xliv.* 4. εγενετο (*natus.*) *Sap. vii.* 3. πληρης σοφιας. *Ezech. xxviii.* 12. *Theod.* εν κοιλιᾳ μητρος εγλυφθην (εληφθη. *Ald.*) σαρξ. *Sap. vii.* 2. *Conf. Ps. lxiv.* 2. *Matt. i.* 16. *Luc. i.* 31. *Col. i.* 19. [οφθησεται Θεος, κατοικων εν ανθρωποις. *Test. XII Patr. p.* 672.] ιδου ἡ παρθενος εν γαστρι ληψεται, και τεξεται ὑιον, και καλεσεις το ονομα αυτου Εμμανουηλ. *Esa. vii.* 14. εγω ειμι Κυριος κατασκηνων εν μεσῳ ὑιων Ισραηλ. *Num. xxxv.* 34. τερπου και ευφραινου θυγατερ Σιων, διοτι ιδου εγω ερχομαι, και κατασκηνωσω εν μεσῳ σου, λεγει Κυριος. *Zach. ii.* 10. [δοξα τῳ μονογενει, τῳ απο του πατρος. *Act. Thom. c.* 57.]

15 Ιωαννης μαρτυρει περι αυτου, και κεκραγε λεγων, Οὑτος ην ὁν ειπον, Ὁ οπισω μου ερχομενος, εμπροσθεν μου γεγονεν· ὁτι πρωτος μου ην.

εμπροσθεν τινος γεγοναι. 3 *Reg. iii.* 12. 4 *Reg. xviii.* 5. *Conf. Gen. xlviii.* 20. και εκραξεν—φωνῃ μεγαλῃ. 2 *Reg. xix.* 4. *Conf. Esa. lviii.* 1. εγω εισελευσομαι οπισω σου, και πληρωσω τους λογους

σου. 3 *Reg. i.* 14. ὁ εμπροσθεν αυτων (γενομενος). *Mich. vii.* 20. οἱ εμπροσθεν μου. *Sir. ii.* 8. *Esa. xliii.* 10. πρωτος *pro* προτερος. *Ita, Ps. cxvii.* 8. *Conf. Matt. iii.* 11. *Marc. i.* 7. *Luc. iii.* 16. και εξοδοι αυτου απ᾽ αρχης εξ ἡμερων αιωνος. *Mich. v.* 2. και ιδου, εγω αποστελω ὑμιν Ηλιαν τον Θεσβιτην, πριν ελθειν την ἡμεραν Κυριου την μεγαλην και επιφανη, κ.τ.λ. *Mal. iv.* 5. και εθηκε τον Εφραιμ εμπροσθεν του Μανασση. *Gen. xlviii.* 20. *Conf. Viger. p.* 51. *Act. xiii.* 25.

16 Και εκ του πληρωματος αυτου ἡμεις παντες ελαβομεν και χαριν αντι χαριτος·

του Κυριου ἡ γη και το πληρωμα αυτης. *Ps. xxiii.* 1. εκ δυναμεως εις δυναμιν. *Ps. lxxxiv.* 7. κακα αντι της κακιας. *Jer. xi.* 17. *Esa. xxviii.* 10, 13. ειρηνην επ᾽ ειρηνῃ. *Esa. lvii.* 19. χαρις επι χαριτι. *Sir. xxvi.* 15. *Conf. Col. i.* 19. *ii.* 9. *Ephes. i.* 6. και εξοισω τον λιθον της κληρονομιας, ισοτητα χαριτος χαριτα. *Zach. iv.* 7. ὁτι σα τα παντα, και εκ των σων δεδωκαμεν σοι. 1 *Par. xxix.* 14.

17 Ὁτι ὁ νομος δια Μωσεως εδοθη, ἡ χαρις και ἡ αληθεια δια Ιησου Χριστου εγενετο.

νομον ὁν ενετειλατο Μωυσης. *Sir. xxiv.* 23. 2 *Mac. vii.* 30. Κυριος ὁ λαλων δικαιοσυνην και αναγγελλων αληθειαν. *Esa. xlv.* 19. την χαριν σου και την αληθειαν. *Ps. xxxix.* 10. *Sym.* το ελεος σου και ἡ αληθεια. *Ps. lxxxviii.* 24. *Conf. Exod. xxiii.* 20. *Deut. v.* 6. *Ps. lxxxiv.* 10-12. *Esa. li.* 4. *Mich. vii.* 20. *Joan. iv.* 23.

18 Θεον ουδεις ἑωρακε πωποτε· ὁ μονογενης υἱος, ὁ ων εις τον κολπον του πατρος, εκεινος εξηγησατο.

τις ἑωρακεν αυτον και εκδιηγησεται; *Sir. xliii.* 31. *Conf. xlii.* 15. ου δυνησῃ ιδειν το προσωπον μου· ου γαρ μη ιδῃ ανθρωπος το προσωπον μου, και ζησεται. *Exod. xxxiii.* 20. ημην παρ᾽ αυτῳ αρμοζουσα· εγω ημην ἡ προσεχαιρε, κ. τ. λ. *Prov. viii.* 30. Ἁγιος, ἁγιος, ἁγιος, Κυριος σαβαωθ, πληρης πασα ἡ γη της δοξης αυτου. *Esa. vi.* 3. *Deut. iv.* 12. και κακια ουχ εὑρεθησεται εν σοι πωποτε. 1 *Reg. xxxv.* 28. εν τῳ κολπῳ αυτου. *Deut. xiii.* 6. *xxviii.* 54, 56. 2 *Reg. xii.* 3. *Ruth. iv.* 16. *Luc. xvi.* 22. τον υἱον σου τον μονογενη. *Gen. xxii.* 2. *Aq. Jud. xi.* 34. εξηγεισθε εν τοις εθνεσι την δοξαν. 1 *Par. xvi.* 24. *Gen. xli.* 25. εις *pro* εν. *Vide Marc. i.* 39. και λουσεται εν ὑδατι. *Lev. xiv.* 8. ὁ ων. *i. e.* ὁς ην. *Sir. li.* 13. *Sap. viii.* 20. *Conf.* 1 *Joan. iv.* 11. 1 *Tim. vi.* 16. *Matt. xi.* 27. *Luc. x.* 22.

19 Και αὑτη εστιν ἡ μαρτυρια του Ιωαννου, ὁτε απεστειλαν

οἱ Ιουδαιοι εξ Ἱεροσολυμων Ἱερεις και Λευϊτας, ἱνα ερωτησωσιν αυτον, Συ τις ει;

Conf. Exod. iii. 14. *Joan. v.* 33. *Act. xiii.* 25. *Deut. xvii.* 9.

20 Και ὡμολογησε, και ουκ ηρνησατο· και ὡμολογησεν, Ὁτι ουκ ειμι εγω ὁ Χριστος.

και εκωφευσαν, και ουκ απεκριθησαν. 4 *Reg. xviii.* 36. *Conf. Rom. ix.* 1. 1 *Tim. ii.* 7. ιδου ὡμολογησα. *Jer. xliv.* 26. *Alex.* ουτε ἁπλως Ιουδαιον ὁμολογειν ειναι. 2 *Mac. vi.* 6. [ὡμολογησε, και την ἁμαρτιαν ουκ ηρνειτο. *Jos. Ant. vi.* 7. 4. ισχνοφονον και βραδυγλωσσον, ουκ ευγλωττον αυτον ειναι φασκων. *Philo de Mon. p.* 615.] *Conf. Matt. iii.* 11, 12. *Marc. i.* 7, 8. *Luc. iii.* 15-17.

21 Και ηρωτησαν αυτον, Τι ουν; Ηλιας ει συ; Και λεγει, Ουκ ειμι. Ὁ προφητης ει συ; Και απεκριθη, Ου.

Conf. Matt. xvi. 14. Ἱερεμιας ὁ του Θεου προφητης. 2 *Mac. xv.* 14. ἑως του αναστηναι προφητην πιστον. 1 *Mac. xiv.* 41. *Conf.* 2 *Mac. ii.* 7, 8. *iv.* 46. και ανεστη Ηλιας προφητης ὡς πυρ, και ὁ λογος αυτου ὡς λαμπας εκαιετο, κ. τ. λ. *Sir. xlviii.* 1. προφητην εκ των αδελφων σου, ὡς εμε, αναστησει κ. τ. λ. *Deut. xviii.* 15-19. ὁ προφητης. τι ουν; *pro* τις ουν; *Conf. Act. xii.* 28. *Sir. xvi.* 17. *Marc. i.* 27. 1 *Joan. iii.* 2. *Bretchsn. Conf. Ps. viii.* 4. τι εστιν ανθρωπος, κ. τ. λ.

22 Ειπον ουν αυτῳ, Τις ει; ἱνα αποκρισιν δωμεν τοις πεμψασιν ἡμας· τι λεγεις περι σεαυτου;

δος μοι αποκρισιν προς ταυτα. *Job. xxxiii.* 5. περι. *Jer. xl.* 5.

23 Εφη, Εγω φωνη βοωντος εν τῃ ερημῳ, ευθυνατε την ὁδον Κυριου· καθως ειπεν Ἡσαϊας ὁ προφητης.

ἑτοιμασατε την ὁδον κ. τ. λ. *Esa. xl.* 3. *Matt. iii.* 3. *Luc. iii.* 4, 5. *Marc. i.* 3. καθως ειρηκας. *Exod. x.* 29. *Ald.* Κυριος. *Conf. Jer. xxiii.* 6. *Ose. i.* 7. *Zach. ii.* 5. *viii.* 8. *CITAT.* 90.

24 Και οἱ απεσταλμενοι ησαν εκ των Φαρισαιων·

Conf. Matt. iii. 7. *xxxiii.* 15. *Luc. vii.* 30.

25 Και ηρωτησαν αυτον, και ειπον αυτῳ, Τι ουν βαπτιζεις, ει συ ουκ ει ὁ Χριστος, ουτε Ηλιας, ουτε ὁ προφητης;

ουτε—ουτε. *Esa. i.* 6. *Conf. Deut. xviii.* 15. *Dan. ix.* 24-26.

26 Απεκριθη αυτοις ὁ Ιωαννης λεγων, Εγω βαπτιζω εν ὑδατι· μεσος δε ὑμων ἑστηκεν, ὁν ὑμεις ουκ οιδατε.

εστην εν τῳ ορει τεσσαρακοντα ἡμερας. *Deut. x.* 10. *Alex. O. Ald. Comp.* γυνη εν μεσῳ ἑστωσα. *Cap. viii.* 9. εισηγαγεν εις μεσον αυτης (πολεως) ὑδωρ. *Sir. xlviii.* 17. *Alex. Comp. Conf. Matt. iii.* 11. *Marc. i.* 7. *Luc. iii.* 16. [ἡ δε αναξιαν μεν ειναι και ποδων ἁψασθαι των εκεινου—ελεγε. *Jos. Ant. vi.* 13. 8. οὑτω γαρ και την βαπτισιν αποδεκτην αυτῳ (Ιωαννι) φανεισθαι, μη επι τινων ἁμαρταδων παριστησει χρωμενων, αλλ᾽ εφ᾽ ἁγνειᾳ του σωματος, ἁτε δη και της ψυχης δικαιοσυνῃ προεκκεκαθαρμενης, κ. τ. λ. *xviii.* 6. 2.]

27 Αυτος εστιν ὁ οπισω μου ερχομενος, ὁς εμπροσθεν μου γεγονεν· οὑ εγω ουκ ειμι αξιος ἱνα λυσω αυτου τον ἱμαντα του ὑποδηματος.

λυσαι το ὑποδημα εκ των ποδων σου. *Exod. iii.* 5. και ὑπολυσαι το ὑποδημα αυτου το ἑν απο του ποδος αυτου. *Deut. xxv.* 9. *Jos. v.* 16. *Act. i.* 5. *xi.* 16. *xiii.* 25. *Gen. xviii.* 27. *xxxii.* 10.

28 Ταυτα εν Βηθαβαρᾳ εγενετο περαν του Ιορδανου, ὁπου ην Ιωαννης βαπτιζων.

περαν του Ιορδανου. *i. e.* παρα τον Ιορδανην. *Deut. i.* 1. *iv.* 44. [*Conf. Vos. de Heb. p.* 228.] εστι προφητευων. 2 *Par. xviii.* 7. *Conf. Matt. xi.* 14. *Luc. i.* 76. ἑως Βαιθηρα (Βαιθβηρα. *Ald. Comp.*) και την Ιορδανην. *Jud. vii.* 24. Βηθαραβα. *Jos. xv.* 61. *Alex.*

29 Τῃ επαυριον βλεπει ὁ Ιωαννης τον Ιησουν ερχομενον προς αὑτον, και λεγει, Ιδε ὁ αμνος του Θεου, ὁ αιρων την ἁμαρτιαν του κοσμου.

τῃ επαυριον, (*postea.*) *Ita, Jos. iv.* 6. *xxii.* 24. αρον δη το ἁμαρτημα μου. 1 *Reg. xv.* 25. αρον δη το ανοημα της δουλης σου. *xxv.* 28. *Exod. xxxiv.* 7. *Conf. Lev. xiv. Ezech. xlvi.* 13. αποστελω ὡς αμνον κυριευοντα επι την γην. *Esa. xvi.* 1. *Comp. Esa. viii.* 14. *liii.* 2-7. ιδε. 1 *Par. xxviii.* 10. *Mich. vii.* 18. *Conf.* 1 *Cor. v.* 7. 1 *Pet. i.* 19. επ᾽ ορος ὑψηλον αναβηθι ὁ ευαγγελιζομενος Σιων, ὑψωσον τῃ ισχυϊ την φωνην σου ὁ ευαγγελιζομενος Ἱερουσαλημ· ὑψωσατε, μη φοβεισθε· ειπον ταις πολεσιν Ιουδα, Ιδου ὁ Θεος ὑμων, κ. τ. λ. *Esa. xl.* 9. ὁ Θεος οψεται ἑαυτῳ προβατον εις ὁλοκαρπωσιν. *Gen. xxii.* 8. και τας ἁμαρτιας αυτων αυτος ανοισει. *Esa. liii.* 11. και ληψεται ὁ χειμαρρος εφ᾽ ἑαυτῳ τας αδικιας αυτων εις γην αβατον, κ. τ. λ. *Lev. xvi.* 22. *Alex.* και εξαγορευσουσι τας ἁμαρτιας αυτων, κ. τ. λ. *xxvi.* 40. *Num. v.* 7. *Jos. vii.* 19. *Ps. xxxi.* 5. [πληρωθησεται επι σοι προφητεια ουρανου περι

του αμνου του Θεου και σωτηρος του κοσμου. *Test. XII Patr. p.* 730.] [Ιωαννου του επικαλουμενου Βαπτιστου. *Jos. Ant. xviii.* 6. 2.]

30 Οὑτος εστι περι οὑ εγω ειπον, Οπισω μου ερχεται ανηρ, ὁς εμπροσθεν μου γεγονεν, ὁτι πρωτος μου ην.

ὁ αγγελος της διαθηκης, ὁν ὑμεις θελετε, κ. τ. λ. *Mal. iii.* 1. Ιδου ανηρ, Ανατολη ονομα αυτῳ, κ. τ. λ. *Zach. vi.* 12. *Conf. Luc. i.* 78. ανηρ (*de Messiâ.*) *Conf. Zach. vi.* 12. *xiii.* 7. *Esa. xxxii.* 2. οπισω μου. *Conf. Dan. ii.* 39. πρωτος. *Conf. Heb. viii.* 7. *Act. i.* 1.

31 Καγω ουκ ῃδειν αυτον· αλλ᾽ ἱνα φανερωθῃ τῳ Ισραηλ, δια τουτο ηλθον εγω εν τῳ ὑδατι βαπτιζων.

ουκ ῃδειν; *Gen. xxxi.* 32. εν ὑδατι ουκ ελουσθης. *Ezech. xvi.* 4. συ γαρ ει Θεος, και ουκ ῃδειμεν, κ. τ. λ. *Esa. xlv.* 15. ενισχυσα σε, και ουκ ῃδεις με. *Esa. xlv.* 5. φωνη βοωντος εν τῃ ερημῳ, κ.τ.λ. *Esa. xl.* 3-5.

32 Και εμαρτυρησεν Ιωαννης λεγων, Ὁτι τεθεαμαι το Πνευμα καταβαινον ὡσει περιστεραν εξ ουρανου, και εμεινεν επ᾽ αυτον.

Conf. Agg. ii. 5. *Esa. xlviii.* 16. *Zach. ix.* 12. *Matt. iii.* 16. *Luc. iii.* 21. ὁτι (*nimirum*). *Conf. Gen. xxix.* 33. *Jos. ii.* 24.

33 Καγω ουκ ῃδειν αυτον· αλλ᾽ ὁ πεμψας με βαπτιζειν εν ὑδατι, εκεινος μοι ειπεν, Εφ᾽ ὁν αν ιδῃς το Πνευμα καταβαινον και μενον επ᾽ αυτον, οὑτος εστιν ὁ βαπτιζων εν Πνευματι ἁγιῳ.

ὁ τιθεις νεφη. *Ps. ciii.* 3. *cxlvi.* 8. και ἁγιος απ᾽ ουρανου κατεβη. *Dan. iv.* 10, 20. εγω Δανιηλ ημην πενθων. *x.* 2. και αναπαυσεται επ᾽ αυτον πνευμα του Θεου. *Esa. xi.* 2. *Ps. l.* 12. *Dan. iv.* 5, 6. *Conf. Matt. iii.* 11. *Act. i.* 5. *Joan. iii.* 34.

34 Καγω ἑωρακα, και μεμαρτυρηκα ὁτι οὑτος εστιν ὁ υἱος του Θεου.

ἑωρακα. *Gen. xlvi.* 30. *Ps. ii.* 7. *lxxxviii.* 26, 27. *Esa. liii.* 6. *Alex.*

35 Τῃ επαυριον παλιν εἱστηκει ὁ Ιωαννης, και εκ των μαθητων αυτου δυο.

τῃ επαυριον. *Vide sup. v.* 29. εις τον τοπον, οὑ εἱστηκει εναντιον Κυριου. *Gen. xix.* 27.

36 Και εμβλεψας τῳ Ιησου περιπατουντι, λεγει, Ιδε ὁ αμνος του Θεου.

παντι ανθρωπῳ μη εμβλεπε. *Sir. xlii.* 12. εμφανης εγενηθην τοις

εμε μη επερωτωσιν, κ.τ.λ. *Esa. lxv.* 1. [*Test. XII Patr. pp.* 724, 725.]

37 Και ηκουσαν αυτου οἱ δυο μαθηται λαλουντος, και ηκολου-
θησαν τῳ Ιησου.

Conf. Zach. viii. 21. *Prov. xv.* 24. 3 *Reg. xix.* 20, 21.

38 Στραφεις δε ὁ Ιησους, και θεασαμενος αυτους ακολουθουν-
τας, λεγει αυτοις,

39 Τι ζητειτε; Οἱ δε ειπον αυτῳ, Ῥαββι, (ὁ λεγεται ἑρμη-
νευομενον, Διδασκαλε,) που μενεις;

μεινατω ἡ παρθενος μεθ' ἡμων ἡμερας. *Gen. xxiv.* 55. *Conf. Ruth. i.* 16, 17. *Jud. xix.* 9. *Alex. Comp.*

40 Λεγει αυτοις, Ερχεσθε και ιδετε. Ηλθον και ειδον που με-
νει· και παρ' αυτῳ εμειναν την ἡμεραν εκεινην· ὡρα δε ην ὡς
δεκατη.

ὡς δεκα ετη. *Ruth. i.* 4. *Conf. Ps. xxxiii.* 8.

41 Ην Ανδρεας ὁ αδελφος Σιμωνος Πετρου εἱς εκ των δυο των
ακουσαντων παρα Ιωαννου, και ακολουθησαντωναυτῳ.

42 Εὑρισκει οὑτος πρωτος τον αδελφον τον ιδιον Σιμωνα, και
λεγει αυτῳ, Εὑρηκαμεν τον Μεσσιαν, ὁ εστι μεθερμηνευομενον,
ὁ Χριστος·

εὑρηκα ανδρα εκ των υἱων της αιχμαλωσιας. *Dan. ii.* 25. δευτε και αναβωμεν εις ορος Κυριου κ. τ. λ. *Esa. ii.* 3. ὡς Χριστου ἡγουμενου. *Dan. ix.* 25. *Conf. Matt. iv.* 18. *Esa. lxi.* 1. Χριστος. *Conf. Ps. ii.* 2. *xliv.* 7. *Dan. iv.* 25, 26. ὁ ἱερευς ὁ χριστος. *Lev. iv.* 16. *viii.* 12. *Conf. Act. iv.* 27. *x.* 38. *Heb. v.* 10.

43 Και ηγαγεν αυτον προς τον Ιησουν, εμβλεψας δε αυτῳ ὁ
Ιησους ειπε, Συ ει Σιμων ὁ υἱος Ιωνα, συ κληθησῃ Κηφας· ὁ
ἑρμηνευεται Πετρος.

Conf. Gen. xvii. 5. *xxxii.* 28. *Matt. xvi.* 18. του Ιωνα. *Jon. iv.* 8.

44 Τῃ επαυριον ηθελησεν ὁ Ιησους εξελθειν εις την Γαλιλαιαν·
και εὑρισκει Φιλιππον, και λεγει αυτῳ, Ακολουθει μοι.

τῃ επαυριον. *Vide sup. v.* 29. *Conf. Marc. ix.* 38. *Esa. xlviii.* 17. *xlv.* 14. 2 *Mac. viii.* 36. *Num. xxxii.* 11. 1 *Mac. ii.* 27.

45 Ην δε ὁ Φιλιππος απο Βηθσαϊδα, εκ της πολεως Ανδρεου
και Πετρου.

46 Εὑρισκει Φιλιππος τον Ναθαναηλ, και λεγει αυτῳ, Ὁν

εγραψε Μωσης εν τῳ νομῳ και οἱ προφηται, εὑρηκαμεν, Ιησουν τον υἱον του Ιωσηφ τον απο Ναζαρετ.

Conf. Jer. xxiii. 5. *Act. iii.* 18. *xvi.* 32. *Rom. i.* 2. *iii.* 21. *Joan. xii.* 11. *Gen. iii.* 15. *xlix.* 10. *Deut. xviii.* 18. *Esa. ix.* 6. *vii.* 14. *liii. Mich. v.* 2. *Zach. vi.* 12. *ix.* 9. του νομου και των προφητων. *Prol. Sir. Matt. i.* 16, 19-25. *Luc. iii.* 23.

47 Και ειπεν αυτῳ Ναθαναηλ, Εκ Ναζαρετ δυναται τι αγαθον ειναι; Λεγει αυτῳ Φιλιππος, Ερχου και ιδε.

δευτε ιδετε που οὑτος. 4 *Reg. vi.* 13. δευρο μετ' εμου, και ιδε. *x.* 16. *Conf. Matt. ii.* 23. *Luc. ii.* 4.

48 Ειδεν ὁ Ιησους τον Ναθαναηλ ερχομενον προς αὑτον, και λεγει περι αυτου, Ιδε αληθως Ισραηλιτης, εν ᾡ δολος ουκ εστι.

και ουκ εστι σοι, δολος. 1 *Reg. xx.* 22. *Ald.* ουδε εστιν εν τῳ στοματι αυτου δολος. *Ps. xxxi.* 2. *Esa. liii.* 9. *Conf. Gen. xxv.* 27. *Rom. ii.* 28. *ix.* 6. *Apoc. xiv.* 5. ὁ αληθως αγχιστευς. *Ruth. iii.* 12.

49 Λεγει αυτῳ Ναθαναηλ, Ποθεν με γινωσκεις; Απεκριθη ὁ Ιησους και ειπεν αυτῳ, Προ του σε Φιλιππον φωνησαι, οντα ὑπο την συκην ειδον σε.

και εὑρεν αυτον καθημενον ὑπο δρυν. 3 *Reg. xiii.* 14. *Susan.* 54. προ του σε φωνησαι. *Gen. xiii.* 10. *xxvii.* 7. *Conf. Deut. xviii.* 18. *Zach. viii.* 9. εγω δε κατεσταθην βασιλευς ὑπ' αυτου επι Σιων ορος το ἁγιον αυτου,—υἱος μου ει συ, κ. τ. λ. *Ps. ii.* 6, 7.

50 Απεκριθη Ναθαναηλ και λεγει αυτῳ, Ῥαββι, συ ει ὁ υἱος του Θεου, συ ει ὁ βασιλευς του Ισραηλ.

51 Απεκριθη Ιησους και ειπεν αυτῳ, Ὁτι ειπον σοι, Ειδον σε ὑποκατω της συκης, πιστευεις; μειζω τουτων οψει.

ιδου ὁ βασιλευς ερχεται σοι. *Zach. ix.* 9. βασιλευς Ισραηλ, Κυριος εν μεσῳ σου. *Sophon. iii.* 16. *Ps. lxxxiii.* 3. ετι οψει ανομιας μειζονας. *Ezech. viii.* 6. *Conf. Matt. xxi.* 5. *xxvii.* 11. *Esa. xvi.* 5. 1 *Reg. xvi.* 17. εστι τῳ Κυριῳ δουναι σοι πλειονα τουτων. 2 *Par. xxv.* 9. *Ald. Conf. Matt. xvii.* 1, 2. *xviii.* 4, 5. *Act. i.* 10.

52 Και λεγει αυτῳ, Αμην αμην λεγω ὑμιν, Απ' αρτι οψεσθε τον ουρανον ανεῳγοτα, και τους αγγελους του Θεου αναβαινοντας και καταβαινοντας επι τον υἱον του ανθρωπου.

αμην, αμην. *Ps. xl.* 13. *Sym.* πεπιστωμενως. *Aq. lxxii.* 19. [Αμην· Αληθως. *Suid.*] και ηνοιχθησαν οἱ ουρανοι. *Ezech. i.* 1. και αἱ θυριδες

ανεῳγμεναι. Dan. vi. 10. *vii.* 10. *και οἱ αγγελοι του Θεου ανεβαινον και κατεβαινον επ' αυτη. Gen. xxviii.* 12. *υἱος ανθρωπου. Esa. ix.* 6. *Ps. xliv.* 2. *Matt. iv.* 11. *Luc. xxii.* 43. *Ac. i.* 10. *και ιδου μετα των νεφελων του ουρανου, ὡς ὁ υἱος ανθρωπου ερχομενος, κ. τ. λ. Dan. vii.* 13. [*απ' αρτι. Sturz. p.* 210.]

ΚΕΦ. β. 2.

ΚΑΙ *τῃ ἡμερᾳ τῃ τριτῃ γαμος εγενετο εν* Κανᾳ *της Γαλιλαιας· και ην ἡ μητηρ του* Ιησου *εκει.*

και τῃ ἡμερᾳ τῃ ἑβδομῃ—και επαυσατο. Exod. xxxi. 17. *εγενετο το πασχα.* 4 *Reg. xxiii.* 22. *και ηλθον εις τον γαμον. Tob. ix.* 6. *Conf. Gen. i.* 27, 28. *ii.* 18–24. [*εις* Κανα *κωμην. Jos. Ant. xiii.* 15. 1. *εν κωμῃ της* Γαλιλαιας, *ἡ προσαγορευεται* Κανα. *Bell. Jud. i.* 17. 6.]

2 Εκληθη *δε και ὁ* Ιησους *και οἱ μαθηται αυτου εις τον γαμον.*

κεκληκεν—εις την δοχην. Est. v. 12. *Prov. ix.* 2, 3. 1 *Reg. ix.* 22.

3 Και *ὑστερησαντος οινου, λεγει ἡ μητηρ του* Ιησου *προς αυτον,* Οινον *ουκ εχουσι.*

ου μη ὑστερησῃ ὁ αρτος αυτου. Esa. li. 14. *Neh. ix.* 21.

4 *Λεγει αυτῃ ὁ* Ιησους, Τι *εμοι και σοι, γυναι; ουπω ἡκει ἡ ὡρα μου.*

τι εμοι και σοι; Jud. xi. 12. *Jos. xxii.* 24. 2 *Reg. xvi.* 10. 1 *Esd. i.* 26. *ουπω ὡρα συναχθηναι. Gen. xxix.* 7. *Num. ix.* 2. *Conf. Matt. viii.* 29. *xxiv.* 14. *τοις πασιν ὁ χρονος, και καιρος τῳ παντι πραγματι ὑπο τον ουρανον. Eccles. iii.* 1. [*ὡρα· καιρος επιτηδειος. Suid.*]

5 *Λεγει ἡ μητηρ αυτου τοις διακονοις,* Ὁ *τι αν λεγῃ ὑμιν, ποιησατε.*

και ὁ εαν ειπῃ ὑμιν ποιησατε. Gen. xli. 55.

6 Ησαν *δε εκει ὑδριαι λιθιναι ἑξ κειμεναι κατα τον καθαρισμον των* Ιουδαιων, *χωρουσαι ανα μετρητας δυο η τρεις.*

λαβετε μοι τεσσαρας ὑδριας ὑδατος. 3 *Reg. xviii.* 33. *χωρουσαι. vii.* 26. *Alex. και οινου μετρηται ἑξ. Draco.* 3. *χωρουσα μετρητας τρισχιλιους.* 2 *Par. iv.* 5. *Conf. Marc. vii.* 3. *Matt. xv.* 2.

7 *Λεγει αυτοις ὁ* Ιησους, Γεμισατε *τας ὑδριας ὑδατος.* Και *εγεμισαν αυτας ἑως ανω.*

γεμισατε τα φορεια ὑμων. Gen. xlv. 17. ἑως ανω. 2 Par. xxvi. 8.

8 Και λεγει αυτοις, Αντλησατε νυν και φερετε τῳ αρχιτρικλινῳ. Και ηνεγκαν.

αντλησαι ὑδωρ. Gen. xxiv. 13. και ενεγκε μοι ἱνα φαγω. xxvii. 4. και εισηνεγκεν αυτῳ οινον, και επιε. 25. Conf. Sir. xxxv. περι ἡγουμενων. [Conf. Lightfoot. Hor. Heb. ad loc.]

9 Ὡς δε εγευσατο ὁ αρχιτρικλινος το ὑδωρ οινον γεγενημενον, (και ουκ ηδει ποθεν εστιν· οἱ δε διακονοι ηδεισαν οἱ ηντληκοτες το ὑδωρ·) φωνει τον νυμφιον ὁ αρχιτρικλινος,

και εφωνησεν εν ισχυϊ, και οὑτως ειπε. Dan. iv. 11. νυμφιος εκπορευομενος εκ παστου αυτου. Ps. xviii. 5. Jer. vii. 34.

10 Και λεγει αυτῳ, Πας ανθρωπος πρωτον τον καλον οινον τιθησι, και ὁταν μεθυσθωσι, τοτε τον ελασσω· συ τετηρηκας τον καλον οινον ἑως αρτι.

επιον δε και εμεθυσθησαν μεθ' αυτου. Gen. xliii. 34. Conf. Agg. i. 6. τον οινον—θες. Draco. 11. εδωκε τον αμπελωνα αυτου τοις τηρουσι. Cant. viii. 11. [μεθυει· πληρωται. Hesych.]

11 Ταυτην εποιησε την αρχην των σημειων ὁ Ιησους εν Κανᾳ της Γαλιλαιας, και εφανερωσε την δοξαν αὑτου· και επιστευσαν εις αυτον οἱ μαθηται αυτου.

και εποιησε τα σημεια—και επιστευσεν αυτοις ὁ λαος. Exod. iv. 30. Ald. και φανερωσω αυτοις εισακουειν—ειρηνην και πιστιν. Jer. xl. 6. Alex. Ald. Comp. αναγγειλατε εν τοις εθνεσι την δοξαν αυτου, κ. τ. λ. Ps. xcv. 3. lxxi. 19. και οφθησεται ἡ δοξα Κυριου, κ. τ. λ. Esa. xl. 5. xxviii. 16.

12 Μετα τουτο κατεβη εις Καπερναουμ, αυτος και ἡ μητηρ αυτου, και οἱ αδελφοι αυτου, και οἱ μαθηται αυτου· και εκει εμειναν ου πολλας ἡμερας.

μετα τουτο. Job. iii. 1. κατεβη Ἀβραμ εις Αιγυπτον. Gen. xii. 10. μετ' ου πολυν δε χρονον. 2 Mac. vi. 1. συ, και ὁ υἱος σου, ἡ θυγατηρ σου, ὁ παις σου, κ. τ. λ. Exod. xx. 10.

13 Και εγγυς ην το πασχα των Ιουδαιων, και ανεβη εις Ἱεροσολυμα ὁ Ιησους.

Conf. Luc. ii. 41. Exod. xxiii. 15. Deut. xvi. 1. και ανεβησαν—εις Ἱερουσαλημ. Esd. vii. 7. [της των αζυμων ενστασης ἑορτης, Φασχα παρα τοις Ιουδαιοις καλειται. Jos. Bell. Jud. ii. 1. 3.]

14 Και εὑρεν εν τῳ ἱερῳ τους πωλουντας βοας και προβατα
και περιστερας, και τους κερματιστας καθημενους.

Conf. Matt. xxi. 12. *Marc. xi.* 15. *Luc. xix.* 45. *Deut. xiv.* 23-26.

15 Και ποιησας φραγελλιον εκ σχοινιων, παντας εξεβαλεν εκ
του ἱερου, τα τε προβατα και τους βοας. και των κολλυβισ-
των εξεχεε το κερμα, και τας τραπεζας ανεστρεψε·

[φραγελλιον. *Lat. Flagellum.*] [κερμα. *Jos. Bell. Jud. ii.* 14. 6.] φωνη εκ ναου, κ.τ.λ. *Esa. lxvi.* 6. *Zach. iv.* 6. τε—και. *Sap. vii.* 16.

16 Και τοις τας περιστερας πωλουσιν ειπεν, Αρατε ταυτα
εντευθεν· μη ποιειτε τον οικον του πατρος μου οικον εμποριου.

τα σαββατα μου φυλαξεσθε, και απο των ἁγιων μου φοβηθησεσθε, κ. τ. λ. *Lev. xxvi.* 2, 3. ὁ οικος Κυριου. *Lev. xxxiv.* 26. *et pass.* ὁ οικος Θεου. *Gen. xxviii.* 17. *Ps. liv.* 14. *et pass. Conf. Neh. xiii.* 15-20. εμπορια. *Deut. xxxiii.* 19. *Conf. Luc. ii.* 24, 49.

17 Εμνησθησαν δε οἱ μαθηται αυτου, ὁτι γεγραμμενον εστιν,
Ο ζηλος του οικου σου κατεφαγε με.

Conf. Ps. cxviii. 52. κατα τα γεγραμμενα. *Esd. iii.* 2. ὁτι ὁ ζηλος του οικου σου κατεφαγε με. *Ps. lxviii.* 9. *CITAT.* 91.

18 Απεκριθησαν ουν οἱ Ιουδαιοι και ειπον αυτῳ, Τι σημειον
δεικνυεις ἡμιν, ὁτι ταυτα ποιεις;

και απεκριθη Κυριος ὁ Θεος τῳ Ιωβ, και ειπε. *Job. xxxix.* 31. δειξω αυτοις θαυμαστα. *Mich. vii.* 15. *Ald. Comp.* τουτο σοι το σημειον παρα Κυριου. 4 *Reg. xx.* 9. *Comp. Esa. vii.* 11. *Matt. xii.* 38. *Marc. viii.* 11. *Luc. xi.* 29. *Joan. vi.* 30. 1 *Cor. i.* 22.

19 Απεκριθη ὁ Ιησους και ειπεν αυτοις, Λυσατε τον ναον του-
τον, και εν τρισιν ἡμεραις εγερω αυτον.

20 Ειπον ουν οἱ Ιουδαιοι, Τεσσαρακοντα και ἑξ ετεσιν ῳκοδο-
μηθη ὁ ναος οὑτος, και συ εν τρισιν ἡμεραις εγερεις αυτον;

λυσατε (*imperat. pro fut.*) *Ita, Esa. xxxvii.* 30. φαγε. *Prov. xxv.* 4. *Ephes. iv.* 26. και ελυσαν τα τειχη Ἱερουσαλημ. 1 *Esd. i.* 55. επι τῃ εγερσει του οικου Κυριου. 62. εν τῃ ἡμερᾳ τῃ τριτῃ αναστησομεθα, κ. τ. λ. *Ose. vi.* 3. *Alex.* που ὁ βασιλευς σου οὑτος; *Ose. xiii.* 10. *Conf. Matt. xxvi.* 61. *xxvii.* 40. *Marc. xiv.* 58.

21 Εκεινος δε ελεγε περι του ναου του σωματος αὑτου.

Conf. 1 *Cor. vi.* 19. 2 *Cor. vi.* 16. *Col. ii.* 9. *Agg. ii.* 8-10. [γινεσθε ναοι ἁγιοι. *Act. Thom. c.* 12.] [ουκ οικια ψυχης το σωμα. *Philo. T. i. p.* 197.]

22 Ὁτε ουν ηγερθη εκ νεκρων, εμνησθησαν οἱ μαθηται αυτου ὁτι τουτο ελεγεν αυτοις· και επιστευσαν τῃ γραφῃ, και τῳ λογῳ ᾡ ειπεν ὁ Ιησους.

αναστησονται οἱ νεκροι και εγερθησονται. *Esa. xxvi.* 19. τῳ λογῳ ᾡ ειπε. *Ita,* τῃ γῃ ᾗ ουκ ηδεις. *Jer. xv.* 14. και επιστευσαν τῳ λογῳ αυτου, και ησαν την αινεσιν. *Ps. cv.* 12, 24. *Ald. Comp. cxviii.* 66. *Gen. xv.* 6. *Luc. xxiv.* 8. 1 *Pet. i.* 10. *Conf. Sophon. iii.* 8.

23 Ὡς δε ην εν Ἱεροσολυμοις εν τῳ πασχα, εν τῃ ἑορτῃ πολλοι επιστευσαν εις το ονομα αυτου, θεωρουντες αυτου τα σημεια ἁ εποιει.

εν τῃ ἑορτῃ. *Ezech. xlv.* 25. ηλπισαμεν επι τῳ ονοματι σου. *Esa. xxvi.* 8. και φοβηθησονται τα εθνη το ονομα Κυριου. *Ps. ci.* 15. *Ald. Comp.* ου πιστευουσι μοι επι πασι τοις σημειοις. *Num. xiv.* 11. [ταυτα λεγων ὁ Ἱερεμιας ὑπο μεν των πλειονων επιστευετο. *Jos. Ant. x.* 7. 3. την θυσιαν πασχα λεγομενην. *iii.* 10. 5.] και εποιησε τα σημεια εναντιον του λαου. *Exod. iv.* 30.

24 Αυτος δε ὁ Ιησους ουκ επιστευεν ἑαυτον αυτοις, δια το αυτον γινωσκειν παντας·

επιστευσε. *Conf. Sap. xiv.* 5. το ορος το Σινα εκαπνιζετο ὁλον, δια το καταβεβηκεναι επ᾽ αυτο τον Θεον. *Exod. xix.* 18. *Jud. iii.* 12. *Conf. Matt. ix.* 4. *xvi.* 17. *Marc. ii.* 8. *Luc. v.* 22.

25 Και ὁτι ου χρειαν ειχεν ἱνα τις μαρτυρησῃ περι του ανθρωπου· αυτος γαρ εγινωσκε τι ην εν τῳ ανθρωπῳ.

ου γαρ χρειαν εχει ανδρος ἁμαρτωλου. *Sir. xv.* 12. *Sap. xiii.* 16. Κυριος γινωσκει τους διαλογισμους των ανθρωπων. *Ps. xciii.* 11. 3 *Reg. viii.* 39. *Conf. Act. i.* 24. *Apoc. ii.* 23. ὁτι ουχ ὡς εμβλεψεται ανθρωπος, οψεται ὁ Θεος· ὁτι ανθρωπος οψεται εις προσωπον, ὁ δε Θεος οψεται εις καρδιαν. 1 *Reg. xvi.* 7. ὁτι πασας καρδιας εταζει Κυριος, και παν ενθυμημα γινωσκει· κ.τ.λ. 1 *Par. xxviii.* 9. βαθεια ἡ καρδια παρα παντα, και ανθρωπος εστι, και τις γνωσεται αυτον; Εγω Κυριος κ. τ. λ. *Jer. xvii.* 9, 10.

ΚΕΦ. γ. 3.

ΗΝ δε ανθρωπος εκ των Φαρισαιων, Νικοδημος ονομα αυτῳ, αρχων των Ιουδαιων.

ανθρωπος τις ην—ᾡ ονομα Ιωβ. *Job. i.* 1. *Conf. Matt. iii.* 7. *Luc.*

i. 5. *και παντας τους αρχοντας Ιουδα εσφαξε. Jer. xlvi.* 6. *Comp. Conf. Act. ii.* 22. *Jud. vi.* 27. *Esa. li.* 7.

2 Οὑτος ηλθε προς τον Ιησουν νυκτος, και ειπεν αυτῳ, Ῥαββι, οιδαμεν ὁτι απο Θεου εληλυθας διδασκαλος· ουδεις γαρ ταυτα τα σημεια δυναται ποιειν, ἁ συ ποιεις, εαν μη ῃ ὁ Θεος μετ' αυτου.

εγω δε οιδα ὁτι ου προησεται ὑμας. Exod. iii. 19. *εληλυθας.* 3 *Reg. x.* 10, 12. *μεθ' ὑμων ὁ Θεος. Esa. viii.* 8. *Conf. Matt. i.* 23. *Gen. xxi.* 20, 22. *Esa. lviii.* 11. *Act. x.* 38. *εαν μη. Exod. iii.* 19. *ηλθεν απο της θηρας. Gen. xxvii.* 30. *Conf.* 3 *Reg. xvii.* 24. *Ps. lxxi.* 18. *cxxxvi.* 4. *Joan. ix.* 16, 33.

3 Απεκριθη ὁ Ιησους και ειπεν αυτῳ, Αμην αμην λεγω σοι, Εαν μη τις γεννηθῃ ανωθεν, ου δυναται ιδειν την βασιλειαν του Θεου.

εαν δε τις. Exod. xxi. 7. *Lev. xiii.* 40. *Θεον τον γεννησαντα σε εγκατελιπες. Deut. xxxii.* 18. *εγω σημερον γεγεννηκα σε. Ps. ii.* 7. *cix.* 3. *Conf. Deut. x.* 16. *υἱους εγεννησα. Esa. i.* 2. *και ἡ βασιλεια αυτου ου διαφθαρησεται. Dan. vii.* 14. *εδειξεν αυτῳ βασιλειαν Θεου. Sap. x.* 10. *πιστευω του ιδειν τα αγαθα Κυριου. Ps. xxvi.* 13. *xxxiii.* 8, 12. *Conf.* 1 *Pet. i.* 23. *Tit. iii.* 5. *αμην, αμην. Vide sup. cap. i.* 52. *καρδιαν καθαραν κτισον εν εμοι ὁ Θεος, και πνευμα ευθες εγκαινισον εν τοις εγκατοις μου. Ps. l.* 10. *και αναγγελουσι την δικαιοσυνην αυτου λαῳ τῳ τεχθησομενῳ, ὁν εποιησεν ὁ Κυριος. xxi.* 31. *ci.* 18. [*ευφροσυνην ουκ ειδον. Test. XII Patr. p.* 607.] *Conf. Ps. cv.* 5, *ανωθεν. Sap. xix.* 6.

4 Λεγει προς αυτον ὁ Νικοδημος, Πως δυναται ανθρωπος γεννηθηναι γερων ων; μη δυναται εις την κοιλιαν της μητρος αὑτου δευτερον εισελθειν και γεννηθηναι;

και εισελευσεται εις αυτην το ὑδωρ. Num. v. 27. *εις την κοιλιαν. Jud. iii.* 21. *Alex. O. Ald. Comp. γερων. Job. xxxii.* 9. *Prov. xxxi.* 23. *δευτερον. Gen. xxvii.* 34. *και ουκ εδωκε Κυριος ὁ Θεος ὑμιν καρδιαν ειδεναι, και οφθαλμους βλεπειν, κ. τ. λ. Deut. xxix.* 4.

5 Απεκριθη ὁ Ιησους, Αμην αμην λεγω σοι, Εαν μη τις γεννηθῃ εξ ὑδατος και Πνευματος, ου δυναται εισελθειν εις την βασιλειαν του Θεου.

ὑμεις δε εσεσθε μοι βασιλειον ἱερατευμα. Exod. xix. 6. *ἡ βασιλεια σου βασιλεια παντων των αιωνων. Ps. cxliv.* 13. *Conf. Num. xiv.* 30. *Ps. xciv.* 11. *Rom. vi.* 4. *Col. ii.* 12. *και δωσω ὑμιν καρδιαν καινην,*

και πνευμα καινον δωσω εν ὑμιν, κ. τ. λ. *Ezech.* *xxxvi.* 26. *Conf.* *xi.* 19, 20. 1 *Joan.* *ii.* 29. *iii.* 9.

6 Το γεγεννημενον εκ της σαρκος, σαρξ εστι· και το γεγεννημενον εκ του Πνευματος, πνευμα εστι.

ου φοβηθησομαι τι ποιησει μοι σαρξ. *Ps.* *lv.* 4. *lxxviii.* 39. ἑως αν ελθῃ εφ' ἡμας πνευμα αφ' ὑψηλου. *Esa.* *xxxii.* 15. *xxxvii.* 7. *xliv.* 3. *lvii.* 16. γενεα σαρκος και αἱματος, ἡ μεν τελευτᾳ, ἑτερα δε γενναται. *Sir.* *xiv.* 9. *Gen.* *vi.* 3. *Esa.* *xl.* 6. *Conf.* *Gen.* *v.* 3. *vi.* 5. *Rom.* *viii.* 4-8. *Gal.* *iv.* 29. *Ezech.* *xi.* 19. 1 *Cor.* *ii.* 14.

7 Μη θαυμασῃς ὁτι ειπον σοι, Δει ὑμας γεννηθηναι ανωθεν.

μη θαυμασῃς. *Eccles.* *v.* 7. *Sir.* *xxvi.* 11. εις τον ουρανον ανω, και εις την γην κατω. *Esa.* *viii.* 22. τις γαρ καθαρος εσται απο ῥυπου; αλλ' ουθεις. *Job.* *xiv.* 4. τις αν αποκαθαρισαι αυτον γεννητος γυναικος; *xxv.* 4. *Conf.* 1 *Joan.* *iv.* 7. *v.* 1, 4, 18.

8 Το πνευμα ὁπου θελει πνει, και την φωνην αυτου ακουεις, αλλ' ουκ οιδας ποθεν ερχεται και που ὑπαγει· οὑτως εστι πας ὁ γεγεννημενος εκ του Πνευματος.

το δε αυτο πνευμα εν πασῃ χωρᾳ πνει. *Epist.* *Jer.* 61. τηρων ανεμον ου σπειρει, και βλεπων εν ταις νεφελαις ου θερισει. *Eccles.* *xi.* 4. *Bar.* *iii.* 29. ὡς θελεις. *Est.* *iii.* 11. *Comp.* και ειπεν ὁ Κυριος τῳ διαβολῳ, ποθεν συ ερχῃ; *Job.* *ii.* 2. που πορευῃ, και ποθεν ερχῃ; *Jud.* *xix.* 17. *Gen.* *xvi.* 8. *Conf.* *Col.* *iii.* 3. *Ps.* *cvi.* 25. 1 *Cor.* *ii.* 11. *Ezech.* *xxxvii.* 9. *xviii.* 31. *Jer.* *xxxviii.* 31. του Θεου ειμι. *Esa.* *xliv.* 5. ουκ εστι γινωσκων τις ἡ ὁδος του πνευματος, κ. τ. λ. *Eccles.* *xi.* 5, 6. και αναβησῃ ὡς ὑετος, και ἡξεις ὡς νεφελη κ. τ. λ. *Ezech.* *xxxviii.* 9. καταιγις, ἡν ουκ οψεται ανθρωπος, τα δε πλειονα των εργων αυτου εν αποκρυφοις, κ. τ. λ. *Sir.* *xvi.* 21, 22.

9 Απεκριθη Νικοδημος και ειπεν αυτῳ, Πως δυναται ταυτα γενεσθαι;

10 Απεκριθη ὁ Ιησους και ειπεν αυτῳ, Συ ει ὁ διδασκαλος του Ισραηλ, και ταυτα ου γινωσκεις;

πως ερειτε, Ὁτι σοφοι εσμεν ἡμεις, και νομος Κυριου μεθ' ἡμων εστιν; κ. τ. λ. *Jer.* *viii.* 8. *Conf.* *Esa.* *ix.* 16. *lxvi.* 7-9.

11 Αμην αμην λεγω σοι, Ὁτι ὁ οιδαμεν λαλουμεν, και ὁ ἑωρακαμεν μαρτυρουμεν· και την μαρτυριαν ἡμων ου λαμβανετε.

12 Ει τα επιγεια ειπον ὑμιν, και ου πιστευετε, πως, εαν ειπω ὑμιν τα επουρανια, πιστευσετε;

και μολις εικαζομεν τα επι της γης, και τα εν χερσιν εὑρισκομεν μετα πονου· τα δε εν ουρανοις τις εξιχνιασε; Sap. ix. 16. *εαν μη πιστευσητε, ουδε μη συνητε. Esa. vii.* 9.

13 Και ουδεις αναβεβηκεν εις τον ουρανον, ει μη ὁ εκ του ουρα-
νου καταβας, ὁ υἱος του ανθρωπου, ὁ Ων εν τῳ ουρανῳ·

τις ανεβη εις τον ουρανον και ελαβεν αυτην (σοφιαν); Bar. iii. 29. *τις ανεβη εις τον ουρανον και κατεβη; Prov. xxx.* 4. *Deut. xxxii.* 12. *Ων Κυριε. Jer. xiv.* 13. *xxxix.* 17. *Sap. xiii.* 1. *εγω ειμι ὁ Ων—ὁ Ων απεσταλκε με προς ὑμας. Exod. iii.* 14. *Conf. Joan. vi.* 46. *Apoc. i.* 4, 8. *Conf. Ephes. iv.* 9. 1 *Tim. vi.* 15, 16. 1 *Cor. xv.* 47. *τον απ᾽ ουρανου συμμαχον εχοντες.* 2 *Mac. xi.* 10.

14 Και καθως Μωσης ὑψωσε τον οφιν εν τῃ ερημῳ, οὑτως ὑψω-
θηναι δει τον υἱον του ανθρωπου·

ποιησον σεαυτῳ οφιν, και θες αυτον επι σημειου, κ. τ. λ. Num. xxi. 8, 9. 4 *Reg. xviii.* 4. *Matt. xxvi.* 54. *Marc. viii.* 31. *Luc. ix.* 22. *ὁ γαρ επιστραφεις ου δια θεωρουμενον εσωζετο, αλλα δια σε τον παντων σωτηρα. Sap. xvi.* 7. 12. [*Conf. Philo, de Leg. Alleg.* 851. *de Agric.* 202. *και επι ξυλου ὑψωθησεται. Test. XII Patr. p.* 739.]

15 Ἱνα πας ὁ πιστευων εις αυτον μη αποληται, αλλ᾽ εχῃ ζωην
αιωνιον.

ὁ πιστευων εν αυτῳ ου μη καταισχυνθῃ. Esa. xxviii. 16. *Alex. αναστασις εις ζωην.* 2 *Mac. vii.* 14. *σωζειν εις ζωην αιωνιον.* 4 *Mac. xv. επιστραφητε επ᾽ εμε, και σωθησεται, κ. τ. λ. Esa. xlv.* 22. *Dan. xii.* 2. *Ps. xv.* 11. *Luc. xix.* 10. 1 *Joan. v.* 10. *Ezech. xviii.* 4. *εἱλου γαρ μου την ψυχην, ἱνα μη αποληται, και απερριψας οπισω μου πασας τας ἁμαρτιας. Esa. xxxviii.* 17.

16 Οὑτω γαρ ηγαπησεν ὁ Θεος τον κοσμον, ὡστε τον υἱον αὑ-
του τον μονογενη εδωκεν, ἱνα πας ὁ πιστευων εις αυτον μη
αποληται, αλλ᾽ εχῃ ζωην αιωνιον.

σωτηριοι αἱ γενεσεις του κοσμου, και ουκ εστιν εν αυταις φαρμακον ολεθρου, ουτε ᾁδου βασιλειον επι γης. Sap. i. 14. *την ὁδον εχειν. Job. xvii.* 9. *οὑτως. Exod. ii.* 14. 1 *Reg. xv.* 32. *μονογενης. Conf. sup. cap. i.* 14. *Rom. v.* 8. 1 *Joan. iv.* 9. *ii.* 2.

17 Ου γαρ απεστειλεν ὁ Θεος τον υἱον αὑτου εις τον κοσμον,
ἱνα κρινῃ τον κοσμον, αλλ᾽ ἱνα σωθῃ ὁ κοσμος δι᾽ αυτου.

κρινῃ. Conf. Esa. lxvi. 16. 1 *Cor. xi.* 32. *και οψονται παντα ακρα της γης την σωτηριαν την παρα του Θεου. Esa. lii.* 10. *Conf.*

Ezech. xxxviii. 22. *Luc. ix.* 56. 1 *Joan. iv.* 14. *Jer. xxvii.* 34. *Esa. lix.* 16. Κυριος παντοκρατωρ ὁ Θεος μονος εστι, και ουκ εστιν ετι πλην αυτου σωτηρ. *Sir. xxiv.* 23. *Edit. Drusii.* ιδου ὁ βασιλευς σου ερχεται σοι δικαιος και σωζων. *Zach. ix.* 9. *Ald. Comp.* μη θελησει θελησω τον θανατον του ανομου, κ. τ. λ. *Ezech. xviii.* 23.

18 Ὁ πιστευων εις αυτον ου κρινεται· ὁ δε μη πιστευων ηδη κεκριται, ὁτι μη πεπιστευκεν εις το ονομα του μονογενους ὑιου του Θεου.

εις τον βραχιονα μου εθνη ελπιουσι. *Esa. li.* 5. *Conf. Deut. xviii.* 19.

19 Αὑτη δε εστιν ἡ κρισις, ὁτι το φως εληλυθεν εις τον κοσμον, και ηγαπησαν οἱ ανθρωποι μαλλον το σκοτος, η το φως· ην γαρ πονηρα αυτων τα εργα.

ὁ νομος σου, και φως τοις τριβοις μου. *Ps. cxviii.* 104. αυτη εστι σκοτος, και ου φως. *Amos. v.* 18. ὁ λαος ὁ πορευομενος εν σκοτει. *Esa. ix.* 2. εις φως εθνων. *xlii.* 6. φως δικαιοις διαπαντος. *Prov. xiii.* 9. εληλυθα. *Jer. xxvii.* 26. ὁτι εἱλοντο τον θανατον, η την ζωην. *Jer. viii.* 3. εισηλθεν εις τον κοσμον. *Sap. ii.* 24. *Conf. Esa. lx.* 1, 2, 3. τα εργα των ανθρωπων κ.τ.λ. *Ps. xvi.* 4. *Conf. Esa. xxx.* 9-12.

20 Πας γαρ ὁ φαυλα πρασσων, μισει το φως, και ουκ ερχεται προς το φως, ἱνα μη ελεγχθῃ τα εργα αυτου·

ουκ επεγνωσαν φως. *Job. xxiv.* 16. ὁ σπειρων φαυλα θερισει κακα. *Prov. xxii.* 8. εμισησαν γαρ σοφιαν. *i.* 29. *v.* 12. εις το φως. *Soph. iii.* 6. οἱ πορευομενοι εν σκοτει, και ουκ εστιν αυτοις φως. *Esa. l.* 10. *Eccles. ii.* 13. 14. εν σκοτει ἑσπερινῳ, ἡνικα αν ἡσυχια νυκτερινη και γνοφωδης. *Prov. vii.* 9. επραξεν αδικα; *Job. xxxvi.* 23. ελεγχθῃ. *Job. xiii.* 3, 15. *xv.* 3. *Amos. v.* 10. βαρυς εστιν ἡμιν και βλεπομενος, ὁτι ανομοιος τοις αλλοις ὁ βιος αυτου, κ. τ. λ. *Sap. ii.* 15. [και εκρυβη, ὁ τε Αδαμ και ἡ γυνη αυτου απο προσωπου του Κυριου κ. τ. λ.—ὁ δ' αρετης φυγας, ευθυς αποκεκρυπται Θεου. *Philo. lib. ii. alleg. init. p.* 46. φως γαρ ἡ αληθεια. *de Jos. p.* 536.] εἱς εστιν ανηρ εις το επερωτησαι δι' αυτου τον Κυριον, και εγω μεμισηκα αυτον, κ. τ. λ. 3 *Reg. xxii.* 8.

21 Ὁ δε ποιων την αληθειαν, ερχεται προς το φως, ἱνα φανερωθῃ αυτου τα εργα, ὁτι εν Θεῳ εστιν ειργασμενα.

γενηθητω ἡ καρδια μου αμωμος εν τοις δικαιωμασι σου, ὁπως αν μη αισχυνθω. *Ps. cxviii.* 80. ποιησαι ενωπιον αυτου αληθειαν. *Tob. xiii.* 6. περιεπατησα ενωπιον σου εν αληθειᾳ. 4 *Reg. xx.* 3. *Tob. iii.* 5. εργαζεσθω παντα, ὁσα συνεταξε Κυριος. *Exod. xxxv.* 10.

προσελθατε προς αυτον και φωτισθητε. *Ps. xxxiii.* 5. εξαποστειλον το φως σου και την αληθειαν σου. *xliii.* 3. *Conf. Ephes. iii.* 5, 8. μακαριος ὁ λαος ὁ γινωσκων αλαλαγμον· Κυριε εν τῳ φωτι του προσωπου σου πορευσονται, κ. τ. λ. *Ps. lxxxviii.* 15, 16.

22 Μετα ταυτα ηλθεν ὁ Ιησους και οἱ μαθηται αυτου εις την Ιουδαιαν γην. και εκει διετριβε μετ᾽ αυτων και εβαπτιζεν.

και διετριψει—ἑπτα ἡμερας. *Lev. xiv.* 8. *Jer. xlii.* 7.

23 Ην δε και Ιωαννης βαπτιζων εν Αινων εγγυς του Σαλειμ, ὁτι ὑδατα πολλα ην εκει· και παρεγινοντο και εβαπτιζοντο.

εγω Δανιηλ ημην πενθων. *Dan. x.* 2. επι Σαλιμ κατα θαλασσαν. *Jos. xix.* 22. Θαραβααμ και Αινων. *Jos. xv.* 61. εν κατακλυσμῳ ὑδατων πολλων. *Ps. xxxi.* 6. *Nah. i.* 12. *Apoc. i.* 15. *Conf. Matt. iii.* 6. *Marc. i.* 5. 1 *Reg. ix.* 4.

24 Ουπω γαρ ην βεβλημενος εις την φυλακην ὁ Ιωαννης.

ενεβαλοσαν αυτον εις οικιαν της φυλακης. *Jer. xliv.* 20. και παρεθετο αυτον εις φυλακην. 2 *Par. xvi.* 10. *Conf. Matt. iii.* 1. *xiv.* 3.

25 Εγενετο ουν ζητησις εκ των μαθητων Ιωαννου μετα Ιουδαιων περι καθαρισμου·

Conf. cap. i. 26. *Marc. vii.* 2, 5-8.

26 Και ηλθον προς τον Ιωαννην και ειπον αυτω, Ῥαββι, ὁς ην μετα σου περαν του Ιορδανου, ᾡ συ μεμαρτυρηκας, ιδε ὁυτος βαπτιζει, και παντες ερχονται προς αυτον.

Conf. Num. xi. 28, 29. *Esa. ii.* 2. *Matt. iii.* 11. *Marc. i.* 7. *Luc. iii.* 16. [μαρτυρων τοις Ιουδαιοις ὑπερ ὡν ευ προς αυτων παθοι. *Jos. Ant. xii.* 3. 3.] *Conf. Luc. iv.* 22. *Act. xix.* 26, 27.

27 Απεκριθη Ιωαννης και ειπεν, Ου δυναται ανθρωπος λαμβανειν ουδεν, εαν μη ῃ δεδομενον αυτῳ εκ του ουρανου.

ουκ εστι διαφορα εναντιον του ουρανου σωζειν εν πολλοις η εν ολιγοις. 1 *Mac. iii.* 18, 19. *Alex. Ald. Comp. Conf. Gen. xli.* 16. 1 *Cor. iv.* 7. *Heb. v.* 4. *Num. xvii.* 5. 1 *Par. xxviii.* 4. *Jer. i.* 5.

28 Αυτοι ὑμεις μοι μαρτυρειτε ὁτι ειπον, Ουκ ειμι εγω ὁ Χριστος, αλλ᾽ ὁτι απεσταλμενος ειμι εμπροσθεν εκεινου.

αποστελει τον αγγελον αυτου εμπροσθεν σου. *Gen. xxiv.* 7. *xxxii.* 3, 16. *Conf. Matt. xi.* 10. *Marc. i.* 2. *Luc. i.* 17. *Mal. iii.* 1. *iv.* 5.

29 Ὁ εχων των νυμφην, νυμφιος εστιν· ὁ δε φιλος του νυμφιου, ὁ ἑστηκως και ακουων αυτου, χαρᾳ χαιρει δια την φωνην του νυμφιου. αὑτη ουν ἡ χαρα ἡ εμη πεπληρωται.

της εχουσης τον ανδρα. *Esa. liv.* 1. γυναικα ληψῃ, και ανηρ ἑτερος ἑξει αυτην. *Deut. xxviii.* 30. φωνην νυμφιου και φωνην νυμφης. *Jer. vii.* 34. *xvi.* 9. *Cant. v.* 1. ὁ παρεστηκως σοι. *Deut. i.* 38. χαρητε ἁμα αυτῃ χαρᾳ παντες ὁσοι πενθειτε. *Esa. lxvi.* 10. επλησθη χαρας το στομα ἡμων. *Ps. cxxv.* 2. *Conf. Jud. xiv.* 11. 1 *Mac. ix.* 37. *Tob. xi.* 16. *Ephes. v.* 25. *Matt. xxii.* 2. 2 *Cor. xi.* 2. και ὡς συνοικων νεανισκος παρθενῳ, οὑτω κατοικησουσιν οἱ υἱοι σου. και εσται ὁν τροπον ευφρανθησεται νυμφιος επι νυμφῃ, οὑτως ευφρανθησεται Κυριος επι σοι. *Esa. lxii.* 5. ὁ ἑστηκως. *Conf. Deut. xxv.* 8. *xxvii.* 12. *Jos. vii.* 34. *Gen. xli.* 46.

30 Εκεινον δει αυξανειν, εμε δε ελαττουσθαι.

ελαττωσαι. *Sir. xviii.* 6. αυξανειν. *Jos. iv.* 14. *Gen. xvii.* 20. *Conf. Esa. ix.* 7. ἁ δει γενεσθαι. *Dan. ii.* 28. [*Conf. Krebs. et Loesner.*]

31 Ὁ ανωθεν ερχομενος, επανω παντων εστιν. ὁ ων εκ της γης, εκ της γης εστι, και εκ της γης λαλει· ὁ εκ του ουρανου ερχομενος, επανω παντων εστι,

1 *Cor. xv.* 47-49. αιωνιος εστιν ὁ επανω βροτων. *Job. xxxiii.* 12. *Matt. xxviii.* 18. *Ephes. i.* 21. *Phil. ii.* 9. 1 *Pet. iii.* 22. ὁ Κυριος ανωθεν. *Job. iii.* 4. *Conf. Eccles. xii.* 7.

32 Και ὁ ἑωρακε και ηκουσε, τουτο μαρτυρει· και την μαρτυριαν αυτου ουδεις λαμβανει.

ἑωρακε. *Gen. xlvi.* 30. *Deut. vii.* 15. *Num. xiii.* 33. ουδεις (*i. e. pauci.*) ιδετε ὡς ὁ δικαιος απωλετο, και ουδεις ενδεχεται τῃ καρδιᾳ. *Esa. lvii.* 1. 1 *Joan. v.* 10. *Rom. iii.* 4. Κυριε, τις επιστευσε τῃ ακοῃ ἡμων; και ὁ βραχιων Κυριου τινι απεκαλυφθη; *Esa. liii.* 1, 2.

33 Ὁ λαβων αυτου την μαρτυριαν, εσφραγισεν ὁτι ὁ Θεος αληθης εστιν·

τοτε φανεροι εσονται οἱ σφραγιζομενοι τον νομον. *Esa. viii.* 16. 3 *Reg. xx.* 8. *Est. viii.* 8-10. και αυτος ὡς σφραγις επι δεξιας χειρος. *Sir. xlix.* 11. *Conf. Neh. ix.* 38. *Jer. xxxix.* 10. *Dan. vi.* 17.

34 Ὁν γαρ απεστειλεν ὁ Θεος, τα ῥηματα του Θεου λαλει· ου γαρ εκ μετρου διδωσιν ὁ Θεος το Πνευμα.

εδωκα το πνευμα μου επ᾽ αυτον. *Esa. xlii.* 1. *xi.* 2. *Neh. ix.* 20. και αφελω απο του πνευματος του επι σοι, και επιθησω επ᾽ αυτους. *Num. xi.* 17, 25. *Apoc. xix.* 9, 10. *Ephes. iv.* 7. εκ μετρου. *Conf. Judith. vii.* 21. *Esd. vii.* 12. *Rom. viii.* 2. εχρισε σε ὁ Θεος, ὁ Θεος σου ελαιον αγαλλιασεως παρα τους μετοχους σου. *Ps. xlv.* 7. 4 *Reg. ii.* 9.

35 Ὁ πατηρ αγαπᾳ τον υἱον, και παντα δεδωκεν εν τῃ χειρι
αυτου.

ὁτι παιδιον εγεννηθη ἡμιν, υἱος εδοθη ἡμιν, οὑ ἡ αρχη εγενηθη επι του ωμου αυτου κ. τ. λ. *Esa. ix.* 6, 7. *Alex.* ὁτι παρεδωκε Κυριος —εν χειρι ἡμων. *Jud. iii.* 28. *Dan. vii.* 14. παντα ὁσα ην αυτῳ, εδωκε δια χειρος Ιωσηφ. *Exod. xiii.* 3. *Matt. xi.* 27. *Luc. x.* 22. *Heb. ii.* 8.

36 Ὁ πιστευων εις τον υἱον, εχει ζωην αιωνιον· ὁ δε απειθων
τῳ υἱῳ, ουκ οψεται ζωην, αλλ' ἡ οργη του Θεου μενει επ'
αυτον.

και ζησεται εις τελος, ὁτι ουκ οψεται καταφθοραν. *Ps. xlviii.* 9. ἑως αιωνος ουκ οψεται φως. *Ps. xlviii.* 19. *lxxxviii.* 48. ουκ οψεται θανατον. εν ἡμερᾳ οργης Κυριου. *Soph. ii.* 3. *et pass. Conf.* 1 *Joan. v.* 11. σωσον ψυχην μου του μη ελθειν εις διαφθοραν, και ἡ ζωη μου φως οψεται. *Job. xxxiii.* 28. ὁτι παρα σοι πηγη ζωης, εν τῳ φωτι σου οψομεθα φως. *Ps. xxxv.* 9. δια τουτο εγενετο επι σε οργη παρα Κυριου. 2 *Par. xix.* 2. *Zach. vii.* 12. επι πολυ εμεινεν ἡ οργη. *Sap. xviii.* 20.

ΚΕΦ. δ. 4.

ΩΣ ουν εγνω ὁ Κυριος, ὁτι ηκουσαν οἱ Φαρισαιοι, ὁτι Ιησους πλειονας μαθητας ποιει και βαπτιζει η Ιωαννης·

Conf. sup. iii. 22, 26. Κυριος γινωσκει τους διαλογισμους των ανθρωπων. *Ps. xciii.* 11. *Conf. Matt. iii.* 7.

2 (Καιτοιγε Ιησους αυτος ουκ εβαπτιζεν, αλλ' οἱ μαθηται
αυτου·)

3 Αφηκε την Ιουδαιαν, και απηλθε παλιν εις την Γαλιλαιαν.

και αφηκε τα προβατα φυλακι—και ελαβε, και απηλθε, κ. τ. λ. 1 *Reg. xvii.* 20, 22. *Comp. Ald. Grabe.*

4 Εδει δε αυτον διερχεσθαι δια της Σαμαρειας.

[εθος ην τοις Γαλιλαιοις, εν ταις ἑορταις εις την ἱεραν πολιν παραγινομενοις, ὁδευειν δια της Σαμαρεων χωρας. *Jos. Ant. xx.* 6. 1.]

5 Ερχεται ουν εις πολιν της Σαμαρειας λεγομενην Συχαρ,
πλησιον του χωριου ὁ εδωκεν Ιακωβ Ιωσηφ τῳ υἱῳ αὐτου.

πλησιον γης Εδωμ. *Num. xxxiii.* 37. *Jos. xii.* 9. εγω δε διδωμι σοι Σικιμα. *Gen. xlviii.* 22. *Jos. xxiv.* 32. *Gen. xxxiii.* 19. *xlviii.* 22. εν τῃ μεριδι του αγρου οὑ εκτησατο Ιακωβ παρα των Αμμορραιων των κατοικουντων εν Σικιμοις κ. τ. λ. *Jos. xxiv.* 32. εισεληλυθει

γαρ εις την λεγομενην Περσεπολιν. 2 *Mac. ix.* 2. [*Jos. Ant. v.* 7. 2. *xi.* 8. 6.]

6 Ην δε εκει πηγη του Ιακωβ. ὁ ουν Ιησους κεκοπιακως εκ της ὁδοιποριας, εκαθεζετο οὑτως επι τῃ πηγῃ· ὡρα ην ὡσει ἑκτη.

ὁδοιποριας. Job. vi. 19. *alii. Sap. xiii.* 18. 1 *Mac. vi.* 41. *δραμουνται. Dan. ix.* 21. *ου κοπιασουσι. Esa. xl.* 31. *ὡσει ἡ ὡρα αὑτη, αυριον.* 4 *Reg. vii.* 1. *εκαθισεν επι του φρεατος. Exod. ii.* 15. *οὑτως. Sir. xx.* 18. *Esa. xvi.* 7. [*Conf. Kypk. ad loc.*]

7 Ερχεται γυνη εκ της Σαμαρειας αντλησαι ὑδωρ. λεγει αυτῃ ὁ Ιησους, Δος μοι πιειν.

δος ἡμιν ὑδωρ ἱνα πιωμεν. Exod. xvii. 2. *και εδραμεν επι το φρεαρ αντλησαι ὑδωρ. Gen. xxiv.* 20. *Alex. Ald. Conf. Luc. xvii.* 11.

8 Οἱ γαρ μαθηται αυτου απεληλυθεισαν εις την πολιν, ἱνα τροφας αγορασωσι.

και απεληλυθει εν ειρηνῃ. 2 *Reg. iii.* 22. *και πασαι αἱ χωραι ηλθον εις Αιγυπτον αγοραζειν. Gen. xli.* 57. *και εδωκεν αυταις τροφας.* 2 *Par. xi.* 23. *Conf. Luc. ix.* 13.

9 Λεγει ουν αυτῳ ἡ γυνη ἡ Σαμαρειτις, Πως συ Ιουδαιος ων παρ᾽ εμου πιειν αιτεις, ουσης γυναικος Σαμαρειτιδος; ου γαρ συγχρωνται Ιουδαιοι Σαμαρειταις.

Conf. 4 *Reg. xvii.* 24. *etc. Luc. ix.* 52, 53. *Joan. viii.* 48. *Act. x.* 28. [*Σαμαρειτις χωρα. Jos. Bell. Jud. iii.* 3, 4.] *Sir. l.* 25, 26.

10 Απεκριθη Ιησους και ειπεν αυτῃ, Ει ᾐδεις την δωρεαν του Θεου, και τις εστιν ὁ λεγων σοι, Δος μοι πιειν, συ αν ᾐτησας αυτον, και εδωκεν αν σοι ὑδωρ ζων.

ᾐδεις. Gen. xviii. 19. *Deut. viii.* 16. *δοματα και δωρεας—ληψεσθε παρ᾽ εμου. Dan. ii.* 6. *συ γαρ ει Θεος, και ουκ ᾐδειμεν, ὁ Θεος του Ισραηλ σωτηρ. Esa. xlv.* 15. *εδοθη ἡμιν. Esa. ix.* 6. *και αντλησατε ὑδωρ—εκ των πηγων του σωτηριου. Esa. xii.* 3. *αιτησαι.* 1 *Mac. iii.* 44. *και εν τῃ ἡμερᾳ εκεινῃ εξελευσεται ὑδωρ ζων εξ Ἱερουσαλημ. Zach. xiv.* 8. *Conf. Esa. xliii.* 19, 20.

11 Λεγει αυτῳ ἡ γυνη, Κυριε, ουτε αντλημα εχεις, και το φρεαρ εστι βαθυ· ποθεν ουν εχεις το ὑδωρ το ζων;

ὑδωρ ζων. Gen. xxvi. 19. *Lev. xiv.* 5. *Zach. xiii.* 1. *και.* (*αλλα*). *Zach. viii.* 19. *Gen. ii.* 7. *Bar. iii.* 12. [*ὑδωρ ζων a Josepho explicatur per πηγαιον και αενναιον ὑδωρ. Schleus.*] *Sir. xv.* 3. *xxiv.* 21. *xxv.* 4. 1 *Cor. ii.* 14. *οἱ διψωντες πορευεσθε εφ᾽ ὑδωρ, και ὁσοι μη εχετε αργυριον, κ. τ. λ. Esa. lv.* 1.

12 Μη συ μειζων ει του πατρος ἡμων Ιακωβ, ὁς εδωκεν ἡμιν
το φρεαρ, και αυτος εξ αυτου επιε, και οἱ υἱοι αυτου, και τα
θρεμματα αυτου;

[θρεμματα· βοσκηματα, προβατα. *Hesych.*] [*Jos. Ant. ix.* 14. 3.]

13 Απεκριθη ὁ Ιησους και ειπεν αυτῃ, Πας ὁ πινων εκ του
ὑδατος τουτου, διψησει παλιν·

οἱ εσθιοντες με (σοφιαν) ετι πεινασουσι, και οἱ πινοντες με ετι διψησουσι. *Sir. xxiv.* 21. ὡς ὑδωρ ψευδες, ουκ εχον πιστιν. *Jer. xv.* 18. *Conf. Prov. ix.* 5. *Cant. v.* 1. *Esa. lxv.* 13. *xlix.* 10. *Rom. v.* 21. 1 *Joan. v.* 20. *Apoc. vii.* 16, 17.

14 Ὁς δ' αν πιῃ εκ του ὑδατος οὑ εγω δωσω αυτῳ, ου μη διψ-
ησῃ εις τον αιωνα· αλλα το ὑδωρ ὁ δωσω αυτῳ, γενησεται εν
αυτῳ πηγη ὑδατος ἁλλομενου εις ζωην αιωνιον.

ου μη σαλευθω εις τον αιωνα. *Ps. xxix.* 7. ἡτις εις τους αιωνας ου διαφθαρησεται. *Dan. ii.* 44. οὑτοι εις ζωην αιωνιον. *Dan. xii.* 2. ευσεβειαν την σωζουσαν εις αιωνιον ζωην. 4 *Mac.* 15. πηγη κηπου, και φρεαρ ὑδατος ζωντος και ῥοιζουντος απο του Λιβανου. *Cant. iv.* 15. *Esa. xliv.* 3. νομος σοφου πηγη ζωης. *Prov. xiii.* 14. ψωμιει αυτον αρτον συνεσεως, και ὑδωρ σοφιας ποτισει αυτον. *Sir. xv.* 3. ὁτι εμεθυσα πασαν ψυχην διψωσαν, και πασαν ψυχην πεινωσαν ενεπλησα. *Jer. xxxviii.* 25. ανοιξω επι των ὁρεων ποταμους, και εν μεσῳ πεδιων πηγας κ.τ.λ. *Esa. xli.* 17-19. ὑδατος, οὑ εγω δωσω. *Ita*, κακων, ὡν εγω επαγω. *Jer. xlix.* 17. *Sophon. iii.* 11. εμε εγκατελιπον πηγην ὑδατος ζωης, και ωρυξαν ἑαυτοις λακκους συντετριμμενους, οἱ ου δυνησονται ὑδωρ συνεχειν. *Jer. ii.* 13. [*Citat Philo de profug.* 374. *Edit. Col.*]

15 Λεγει προς αυτον ἡ γυνη, Κυριε, δος μοι τουτο το ὑδωρ, ἱνα
μη διψω, μηδε ερχωμαι ενθαδε αντλειν.

16 Λεγει αυτῃ ὁ Ιησους, Ὑπαγε, φωνησον τον ανδρα σου, και
ελθε ενθαδε.

17 Απεκριθη ἡ γυνη και ειπεν, Ουκ εχω ανδρα. Λεγει αυτῃ ὁ
Ιησους, Καλως ειπας, Ὁτι ανδρα ουκ εχω·

της εχουσης τον ανδρα. *Esa. liv.* 1. καλως ειπας. 2 *Reg. iii.* 13.

18 Πεντε γαρ ανδρας εσχες· και νυν ὁν εχεις, ουκ εστι σου
ανηρ· τουτο αληθες ειρηκας.

19 Λεγει αυτῳ ἡ γυνη, Κυριε, θεωρω ὁτι προφητης ει συ.

Κυριε. *Gen. xxiii.* 5. *Conf.* 3 *Reg. xvii.* 24. 4 *Reg. vi.* 12. *Luc. vii.* 16.

20 Οἱ πατερες ἡμων εν τουτῳ τῳ ορει προσεκυνησαν· και ὑμεις λεγετε, ὁτι εν Ἱεροσολυμοις εστιν ὁ τοπος, ὁπου δει προσκυνειν.

και λατρευσετε τῳ Θεῳ εν τῳ ορει τουτῳ. *Exod. iii.* 12. οἱ πατερες ἡμων ανηγγειλαν ἡμιν. *Ps. xliii.* 1. *lxxvii.* 3. και προσκυνειτε εις ορος ἁγιον αυτου. *Ps. xcviii.* 9. *Sophon. iii.* 11. ὁ Θεος εν τοπῳ ἁγιῳ αυτου. *lxvii.* 5. *Esa. iv.* 5. *Conf. Jud. ix.* 7. 2 *Par. vii.* 12. *Gen. xii.* 6, 7.

21 Λεγει αυτῃ ὁ Ἰησους, Γυναι, πιστευσον μοι, ὁτι ερχεται ὡρα, ὁτε ουτε εν τῳ ορει τουτῳ ουτε εν Ἱεροσολυμοις προσκυνησετε τῳ πατρι.

Conf. Mal. i. 11. *Ose. iii.* 4. εν ὡρᾳ επισκοπης εὑρησεις εξιλασμον. *Sir. xviii.* 20. *Conf.* 2 *Par. xx.* 20.

22 Ὑμεις προσκυνειτε ὁ ουκ οιδατε· ἡμεις προσκυνουμεν ὁ οιδαμεν· ὁτι ἡ σωτηρια εκ των Ιουδαιων εστιν.

ουαι τοις εξουθενουσι Σιων, και τοις πεποιθοσιν επι το ορος Σαμαρειας. *Amos. vi.* 1. *viii.* 14. την σωτηριαν περιμενων Κυριου. *Gen. xlix.* 18. *Conf. Esa. ii.* 3. *xvii.* 10. *xlvii.* 15. *xlix.* 6. *lxii.* 11. *Ps. xxvi.* 1. *cix.* 2. εκ της σαρκος μου ει συ. *Gen. xxix.* 14. *Conf. Rom. iii.* 2. 4 *Reg. xvii.* 29. *Luc. xxiv.* 47. εκ γαρ Σιων εξελευσεται νομος, και λογος Κυριου εξ Ἱερουσαλημ. *Esa. ii.* 3. δεδωκα εν Σιων σωτηριαν τῳ Ισραηλ εις δοξασμα. *xlvi.* 13.

23 Αλλ᾽ ερχεται ὡρα και νυν εστιν, ὁτε οἱ αληθινοι προσκυνηται προσκυνησουσι τῳ πατρι εν πνευματι και αληθειᾳ· και γαρ ὁ πατηρ τοιουτους ζητει τους προσκυνουντας αυτον.

ἡμερα Κυριου ερχεται. *Esa. xiii.* 9. *Amos. ix.* 13. ουδε προσκυνησεις Θεῳ αλλοτριῳ. *Ps. lxxx.* 9. κυπαρισσοι τοιαυται εν τῳ παραδεισῳ του Θεου. *Ezech. xxxi.* 8. και γαρ. *Job. v.* 2.

24 Πνευμα ὁ Θεος· και τους προσκυνουντας αυτον εν πνευματι και αληθειᾳ δει προσκυνειν.

ὁτι πνευμα Θεου ἁγιον εν σοι. *Dan. iv.* 5, 6. *Agg. ii.* 5. και δωσω πνευμα μου εφ᾽ ὑμας. *Ezech. xxxvii.* 6, 8, 9. *Alex. Ald. Conf.* 2 *Cor. iii.* 17. *Phil. iii.* 3. *Jos. xxiv.* 14. 1 *Reg. xii.* 24.

25 Λεγει αυτῳ ἡ γυνη, Οιδα ὁτι Μεσσιας ερχεται, ὁ λεγομενος Χριστος· ὁταν ελθῃ εκεινος, αναγγελει ἡμιν παντα.

νομον, ὁν αν αναγγειλωσιν ὑμιν οἱ ἱερεις. *Deut. xxiv.* 8. και καινα ἁ εγω αναγγελλω. *Esa. xlii.* 9. *xliii.* 12. και αναγγελει ἡμιν την ὁδον αυτου. *ii.* 3. ἑως του αναστηναι προφητην πιστον. 1 *Mac.*

xiv. 41. *Conf. Dan. ix.* 24, 25. προφητην αναστησω—και δωσω τα ῥηματα εν τῳ στοματι αυτου, και λαλησει αυτοις καθ' ὁτι αν εντειλωμαι αυτῳ. *Deut. xviii.* 18.

26 Λεγει αυτῃ ὁ Ιησους, Εγω ειμι, ὁ λαλων σοι.

εγω γαρ ειμι Κυριος ὁ αγαπων δικαιοσυνην. *Esa. lxi.* 8. εγω ειμι ὁ Ων. *Exod. iii.* 14. *Coll. Esa. xliii.* 15, 19. *xliv.* 6. 1 *Par. xxix.* 14. *Matt. xvi.* 20.

27 Και επι τουτῳ ηλθον οἱ μαθηται αυτου, και εθαυμασαν ὁτι
μετα γυναικος ελαλει· ουδεις μεντοι ειπε, Τι ζητεις; η, Τι
λαλεις μετ' αυτης;

τι ζητεις; *Gen. xxxvii.* 14. *Conf. Luc. vii.* 39.

28 Αφηκεν ουκ την ὑδριαν αὑτης ἡ γυνη, και απηλθεν εἱς την
πολιν, και λεγει τοις ανθρωποις,

29 Δευτε, ιδετε ανθρωπον, ὁς ειπε μοι παντα ὁσα εποιησα·
μητι οὑτος εστιν ὁ Χριστος;

δευρο και δειξω σοι τον ανδρα ὁν συ ζητεις. *Jud. iv.* 22. δευτε και ιδετε. 4 *Reg. vii.* 14. *Conf. Ps. cxxxviii.* 1-16. *Matt. xii.* 25.

30 Εξηλθον ουν εκ της πολεως, και ηρχοντο προς αυτον.

31 Εν δε τῳ μεταξυ ηρωτων αυτον οἱ μαθηται, λεγοντες,
Ῥαββι, φαγε.

ερωτησω σε λογον. *Jer. xlv.* 14. μεταξυ. *Conf. Gen. xlix.* 10. *Aq.*

32 Ὁ δε ειπεν αυτοις, Εγω βρωσιν εχω φαγειν, ἡν ὑμεις ουκ
οιδατε.

και γλυκυτερα τα κριματα σου ὑπερ μελι και κηριον. *Ps. xviii.* 10. *Esa. xxv.* 6. βρωσει εφαγαμεν. 2 *Reg. xix.* 42. ὡσει στεατος και πιοτητος εμπλησθειη ἡ ψυχη μου κ. τ. λ. *Ps. lxii.* 5. *Conf. Ps. cxviii.* 103. *Sir. xxiv.* 20. *Prov. ix.* 5.

33 Ελεγον ουν οἱ μαθηται προς αλληλους, Μητις ηνεγκεν αυ-
τῳ φαγειν;

μητι. *Gen. xviii.* 30. *Mal. iii.* 8. προς αλληλους λεγοντες. *Gen. xlii.* 28.

34 Λεγει αυτοις ὁ Ιησους, Εμον βρωμα εστιν, ἱνα ποιω το
θελημα του πεμψαντος με, και τελειωσω αυτου το εργον.

αγαπων σε εποιησα το θελημα σου. *Esa. xlviii.* 14. *Ps. xxxix.* 8. *cxi.* 1. *Job. xxiii.* 11, 12. ἑως οὑ ετελειωσε—τον οικον Κυριου. 2 *Par. viii.* 16. και την λειτουργιαν αυτου ετελειωσαν. *Sir. l.* 19. ἱνα τελειωθῃ ἡ ευλογια σου. *vii.* 32. *Conf. Ezech. xxvii.* 11. *Tob. xii.* 19. *et Grot. ad loc.* εγενηθη τα δακρυα μου εμοι αρτος. *Ps. xli.* 3. κηρια

μελιτος λογοι καλοι, γλυκασμα δε αυτου ιασις ψυχης. Prov. xvi. 24. *του ποιησαι το θελημα σου ὁ Θεος μου ηβουληθην, κ. τ. λ. Ps. xxxix.* 8.

35 Ουχ ὑμεις λεγετε ὁτι ετι τετραμηνον εστι, και ὁ θερισμος ερχεται; ιδου, λεγω ὑμιν, επαρατε τους οφθαλμους ὑμων, και θεασασθε τας χωρας, ὁτι λευκαι εισι προς θερισμον ηδη.

ετι δυο ετη—και. Jer. xxviii. 3. *Gen. vii.* 4. *Jon. iii.* 4. *και επηρε—τους οφθαλμους αυτου.* 1 *Par. xxi.* 6. *Gen. xiii.* 10. *και εγενετο εκει ἡμερας τετραμηνον. Jud. xix.* 2. *Alex. Ald. Comp. χωρας. Gen. xxxiv.* 63. *Aquil. ανεσχον—τον ὑετον προ τριων μηνων του θερισμου. Amos. iv.* 7. *B. in marg. διηλθε θερος, παρηλθεν αμητος, και ἡμεις ου διεσωθημεν. Jer. viii.* 20. *προς θερισμον = φαρμακον προς σωτηριαν.* 3 *Mac. i.* 19. *Conf. Matt. ix.* 37. *Luc. x.* 2.

36 Και ὁ θεριζων μισθον λαμβανει, και συναγει καρπον εις ζωην αιωνιον· ἱνα και ὁ σπειρων ὁμου χαιρῃ και ὁ θεριζων.

ὁ δε σπειρων δικαιοσυνην ληψεται μισθον πιστον. Prov. xi. 21. *και συναξεις τον καρπον αυτης. Lev. xxv.* 3. *Ruth. ii.* 7. *σπειρατε ἑαυτοις—τρυγησατε εις καρπον ζωης. Ose. x.* 12. *θησαυριζει, και ου γινωσκει τινι συναξει αυτα. Ps. xxxviii.* 6. *ει αρα εστι καρπος τῳ δικαιῳ. Ps. lvii.* 11. *cxxxvi.* 5. *Prov. xix.* 22. *Esa. xxxii.* 20. *σωζειν εις ζωην αιωνιον.* 4 *Mac. xv. και—και. Sap. iv.* 1. *Conf. Heb. xi.* 40. *ερχομενοι δε ἡξουσι εν αγαλλιασει, αιροντες τα δραγματα αυτων. Ps. cxxv.* 6. *πασα δε ἡ εκκλησια ὁμου. Esd. ii.* 64.

37 Εν γαρ τουτῳ ὁ λογος εστιν ὁ αληθινος, ὁτι αλλος εστιν ὁ σπειρων, και αλλος ὁ θεριζων.

αληθινος ὁ λογος. 2 *Par. ix.* 5. *Dan. x.* 1. [*αλλοι καμον, αλλοι ωναντο. Suid.*] *Conf. Amos. ix.* 13. *εν τουτῳ. Gen. xlii.* 3. *Num. xvi.* 28. *σπειραιμι αρα, και αλλοι φαγοισαν, κ. τ. λ. Job. xxxi.* 8. *ὁ σπειρων. Ps. cxxviii.* 7. *ὁ θεριζων. Prov. xxii.* 8.

38 Εγω απεστειλα ὑμας θεριζειν ὁ ουχ ὑμεις κεκοπιακατε· αλλοι κεκοπιακασι, και ὑμεις εις τον κοπον αυτων εισεληλυθατε.

και εδωκεν ὑμιν γην εφ' ἡν ουκ εκοπιασατε επ' αυτης. Jos. xxiv. 13. *εισεληλυθατε. Ezech. iv.* 14. *και εγω ειπα, κενως εκοπιασα. Esa. xlix.* 4. *Sir. vi.* 19. *συ σπερεις, και ου μη αμησῃς, συ πιεσεις ελαιον, και ου μη αλειψῃ ελαιον, κ. τ. λ. Mich. vi.* 15.

39 Εκ δε της πολεως εκεινης πολλοι επιστευσαν εις αυτον των Σαμαρειτων, δια τον λογον της γυναικος μαρτυρουσης, Ὁτι ειπε μοι παντα ὁσα εποιησα.

40 Ὡς ουν ηλθον προς αυτον οἱ Σαμαρειται, ηρωτων αυτον
μειναι παρ᾽ αυτοις· και εμεινεν εκει δυο ἡμερας.

και εμεινεν εκει ἡμερας πολλας. 1 *Mac. xi.* 40.

41 Και πολλῳ πλειους επιστευσαν δια τον λογον αυτου,

42 Τῃ τε γυναικι ελεγον, Ὁτι ουκετι δια την σην λαλιαν πι-
στευομεν· αυτοι γαρ ακηκοαμεν, και οιδαμεν ὁτι οὑτος εστιν
αληθως ὁ Σωτηρ του κοσμου, ὁ Χριστος.

ακηκοαμεν. *Job. v.* 27. ουκ εισι λαλιαι ουδε λογοι. *Ps. xviii.* 3. *Cant. iv.* 3. *Esa. xi.* 3. και αυτος προσδοκια εθνων. *Gen. xlix.* 10. ὁ του κοσμου κτιστης. 2 *Mac. vii.* 23. βασιλευς. 9. του ειναι σε εις σωτηριαν ἑως εσχατου της γης. *Esa. xlix.* 6. *Conf. Esa. xlv.* 22. *Joan. xvii.* 8. και αποκαλυψει Κυριος τον βραχιονα τον ἁγιον αυτου ενωπιον παντων των εθνων, κ. τ. λ. *Esa. lii.* 10. ακοην μεν ωτος ηκουον σου το προτερον, νυνι δε ὁ οφθαλμος μου ἑωρακε σε. *Job. xlii.* 5. ἁ ὁ οφθαλμος μου ἑωρακε, και ουκ αλλος. *xix.* 27. ιδου εγνωκα ὁτι συ ανθρωπος Θεου, και ῥημα Κυριου εν τῳ στοματι σου αληθινον. 3 *Reg. xvii.* 24.

43 Μετα δε τας δυο ἡμερας εξηλθεν εκειθεν, και απηλθεν εις
την Γαλιλαιαν.

και εγενετο μετα τρεις ἡμερας. *Jos. iii.* 2. και εξηλθε του απελθειν εις την ὁδον αυτου. *Jud. xix.* 27. *Alex. Ald. Comp.*

44 Αυτος γαρ ὁ Ιησους εμαρτυρησεν, ὁτι προφητης εν τῃ ιδιᾳ
πατριδι τιμην ουκ εχει.

εμαρτυρησε. *Thren. ii.* 13. εκ της ιδιας χωρας. *Job. ii.* 11. 1 *Esd. iv.* 20. *Conf. Matt. xiii.* 57. *Marc. vi.* 4. *Luc. iv.* 24. *Joan. vii.* 1.

45 Ὁτε ουν ηλθεν εις την Γαλιλαιαν, εδεξαντο αυτον οἱ Γαλι-
λαιοι, παντα ἑωρακοτες ἁ εποιησεν εν Ἱεροσολυμοις εν τῃ ἑορτῃ·
και αυτοι γαρ ηλθον εις την ἑορτην.

εδεξαντο. *Sir. xxxv.* 16. 1 *Mac. xv.* 27. ἑωρακοτες. *Num. xiii.* 33. *Exod. xiv.* 13. *Conf. xxiii.* 15. *Deut. xvi.* 1, 16.

46 Ηλθεν ουν ὁ Ιησους παλιν εις την Κανα της Γαλιλαιας, ὁπου
εποιησε το ὑδωρ οινον. και ην τις βασιλικος, οὑ ὁ υἱος ησθενει
εν Καπερναουμ.

ανηρ τις. 2 *Par. xviii.* 7. *Ald. Conf. Jos. xix.* 28. *Sap. ii.* 1–10.

47 Οὑτος ακουσας ὁτι Ιησους ἡκει εκ της Ιουδαιας εις την Γα-
λιλαιαν, απηλθε προς αυτον, και ηρωτα αυτον ἱνα καταβῃ και
ιασηται αυτου τον υἱον· ημελλε γαρ αποθνησκειν.

και μελλων αποθνησκειν. 2 Mac. vii. 18.

48 Ειπεν ουν ὁ Ιησους προς αυτον, Εαν μη σημεια και τερατα ιδητε, ου μη πιστευσητε.

ἑως τινος παροξυνει με ὁ λαος οὑτος; και ἑως τινος ου πιστευουσι μοι επι πασι τοις σημειοις, κ. τ. λ. Num. xiv. 11. Conf. 1 Cor. i. 22. xiv. 22. εαν μη. Conf. Ps. lviii. 15. cv. 14, 15.

49 Λεγει προς αυτον ὁ βασιλικος, Κυριε, καταβηθι πριν αποθανειν το παιδιον μου.

προ του αποθανειν με. Gen. xxvii. 7. xxxvi. 31. μη χρονισης. Ps. xxxix. 17. [βασιλικος. Jos. Ant. xvii. 10. 3. Conf. Krebs.]

50 Λεγει αυτῳ ὁ Ιησους, Πορευου· ὁ υἱος σου ζῃ. Και επιστευσεν ὁ ανθρωπος τῳ λογῳ ᾡ ειπεν αυτῳ Ιησους, και επορευετο.

πορευου. Jer. iii. 12. xxxv. 13. και επιστευσεν Ἁβραμ τῳ Θεῳ, και ελογισθη αυτῳ εις δικαιοσυνην. Gen. xv. 6. και επιστευσαν τῳ λογῳ αυτου. Ps. cv. 13. Ald. Comp. και ειπεν Ηλιου, Βλεπε, ζῃ ὁ υἱος σου. 3 Reg. xvii. 23. ὑπαγε ὑγιαινων. Tob. xii. 5.

51 Ηδη δε αυτου καταβαινοντος, οἱ δουλοι αυτου απηντησαν αυτῳ, και απηγγειλαν λεγοντες, Ὁτι ὁ παις σου ζῃ.

52 Επυθετο ουν παρ' αυτων την ὡραν εν ᾗ κομψοτερον εσχε· και ειπον αυτῳ, Ὁτι χθες ὡραν ἑβδομην αφηκεν αυτον ὁ πυρετος.

επορευθη δε πυθεσθαι παρα Κυριου. Gen. xxv. 22. κατεδεται αυτον πυρετος. Job. xx. 26. alii. [κομψοτερον· βελτιωτερον, ελαφροτερον. Hesych.] χθες. Gen. xix. 34. xxxi. 29. 42.

53 Εγνω ουν ὁ πατηρ, ὁτι εν εκεινῃ τῃ ὡρᾳ, εν ᾗ ειπεν αυτῳ ὁ Ιησους, Ὁτι ὁ υἱος σου ζῃ. Και επιστευσεν αυτος και ἡ οικια αυτου ὁλη.

ει ζησομαι εκ της αρρωστιας μου ταυτης; 4 Reg. viii. 8. και ζησῃ συ και ἡ οικια σου. Jer. xlv. 17. εγω δε και ὁ οικος μου λατρευσομεν Κυριῳ. Jos. xxiv. 15. Alex. Ald. Comp. πασα ἡ οικια ἡ πατρικη. Gen. l. 8. ειπεν—ὁτι. Gen. xxix. 33. Jos. ii. 24.

54 Τουτο παλιν δευτερον σημειον εποιησεν ὁ Ιησους, ελθων εκ της Ιουδαιας εις την Γαλιλαιαν.

εποιησε τα σημεια εναντιον του λαου. Exod. iv. 30. ὁτι αυτος ειπε, και εγενηθησαν· αυτος ενετειλατο, και εκτιθησαν. Ps. xxxii. 9.

ΚΕΦ. ε. 5.

ΜΕΤΑ ταυτα ην ἑορτη των Ιουδαιων, και ανεβη ὁ Ιησους εις Ἱεροσολυμα.

και ανεβησαν—εις Ἱερευσαλημ. Esd. vii. 7. και μετα ταυτα απεστειλε Σενναχηριμ. 2 Par. xxxii. 9. αἱ ἑορται Κυριου. Lev. xxiii. 2. Conf. Deut. xvi. 1. Exod. xxxiv. 23.

2 Εστι δε εν τοις Ἱεροσολυμοις επι τῃ προβατικῃ κολυμβηθρα, ἡ επιλεγομενη Ἑβραϊστι Βηθεσδα, πεντε στοας εχουσα.

πυλην την προβατικην. Neh. iii. 1. xxxii. 12. 38. οἱ αδελφοι οἱ εν Ἱεροσολυμοις Ιουδαιοι. 2 Mac. i. 1. [στοαν ανατολικην την του μεν εξωθεν Ἱερου. Jos. Ant. xx. 9. 7.]

3 Εν ταυταις κατεκειτο πληθος πολυ των ασθενουντων, τυφλων, χωλων, ξηρων, εκδεχομενων την του ὑδατος κινησιν.

4 Αγγελος γαρ κατα καιρον κατεβαινεν εν τῃ κολυμβηθρᾳ, και εταρασσε το ὑδωρ· ὁ ουν πρωτος εμβας μετα την ταραχην του ὑδατος ὑγιης εγινετο, ᾡ δηποτε κατειχετο νοσηματι.

κατα τον καιρον. Num. ix. 13. Esa. lx. 22. και εταρασσες ὑδωρ τοις ποσι σου. Ezech. xxxii. 2. Ose. vi. 9. Esa. xxiv. 14. ωδινες καθεξουσι σε. Jer. xiii. 21. [μεθῃ νηφαλιῳ κατασχεθεις. Philo. de Opit. 15.] [Jos. Bell. Jud. v. 3. 2. Βεζεθα. 4. 2.]

5 Ην δε τις ανθρωπος εκει τριακονταοκτω ετη εχων εν τῃ ασθενειᾳ.

ην δε τις. Exod. ii. 1. ασθενεια. 2 Mac. ix. 22.

6 Τουτον ιδων ὁ Ιησους κατακειμενον, και γνους ὁτι πολυν ηδη χρονον εχει, λεγει αυτῳ, Θελεις ὑγιης γενεσθαι;

πολυν ζησεις χρονον. Prov. ix. 11. και ὑγιης εσῃ. Esa. xxxviii. 21.

7 Απεκριθη αυτῳ ὁ ασθενων, Κυριε, ανθρωπον ουκ εχω, ἱνα ὁταν ταραχθῃ το ὑδωρ, βαλλῃ με εις την κολυμβηθραν· εν ᾡ δε ερχομαι εγω, αλλος προ εμου καταβαινει.

εις κολυμβηθραν του βασιλεως. Neh. ii. 14. ὁτι ερρὑσατο πτωχον εκ δυναστου, και πενητα ᾡ ουχ ὑπηρχε βοηθος. Ps. lxxi. 12. ἱνα βαλῃ με (qui me conjiciat). Sic, Esd. vii. 25. καταστησον κριτας, ἱνα ωσι κρινοντες. Dan. v. 15. εισηλθον οἱ μαγοι ἱνα αναγνωσι. Conf. Deut. xxxii. 36-39.

8 Λεγει αυτῳ ὁ Ιησους, Εγειραι, αρον τον κραββατον σου, και περιπατει.

του μη αιρειν βασταγματα—εν τῃ ἡμερᾳ των σαββατων. *Jer. xvii.* 27. *Conf. Matt. ix.* 6. *Marc. ii.* 11. *Luc. v.* 24. *Act. ix.* 34.

9 Και ευθεως εγενετο ὑγιης ὁ ανθρωπος, και ηρε τον κραββατον αὑτου, και περιεπατει. ην δε σαββατον εν εκεινῃ τῃ ἡμερᾳ.

και ὡρκισεν Ιησους εν τῃ ἡμερᾳ εκεινῃ. *Jos. vi.* 26. και περιεπατει (*abiit*). *Ita*, και περιεπατησαν εκειθεν—εν τῳ καιρῳ εκεινῳ ανηρ εις φυλην αυτου, κ. τ. λ. *Jud. xxi.* 24. *Marc. ii.* 9, 11. [κραββατος. *Act. Thom. c.* 50, 51.]

10 Ελεγον ουν οἱ Ιουδαιοι τῳ τεθεραπευμενῳ, Σαββατον εστιν· ουκ εξεστι σοι αραι τον κραββατον.

ουκ εξεστιν ἡμιν ιδειν. *Esd. iv.* 14. *Conf. Exod. xx.* 10. *Deut. v.* 13. *Neh. xiii.* 19. *Jer. xvii.* 21. *Matt. xii.* 2. *Marc. ii.* 24. *Luc. vi.* 2. [ουκ εστιν ἡμιν εν τοις σαββασιν, ουτε εν τῃ ἑορτῃ, ὁδευειν. *Jos. Ant. xiii.* 8. 4.]

11 Απεκριθη αυτοις, Ὁ ποιησας με ὑγιη, εκεινος μοι ειπεν, Αρον τον κραββατον σου, και περιπατει.

ὁ ποιησας τουτο. 2 *Reg. xii.* 5. *Conf. Ps. cxxxv.* 4, 5.

12 Ηρωτησαν ουν αυτον, Τις εστιν ὁ ανθρωπος ὁ ειπων σοι, Αρον τον κραββατον σου, και περιπατει;

13 Ὁ δε ιαθεις ουκ ηδει τις εστιν· ὁ γαρ Ιησους εξενευσεν, οχλου οντος εν τῳ τοπῳ.

ηδει. *Esa. xlv.* 15. και εξενευσε, και ανεστρεψεν εις τον οικον. *Jud. xviii.* 26. *iv.* 18. *Alex. Ald. Conf.* 4 *Reg. ii.* 24. 3 *Mac. iii.* 22.

14 Μετα ταυτα εὑρισκει αυτον ὁ Ιησους εν τῳ ἱερῳ, και ειπεν αυτῳ, Ιδε ὑγιης γεγονας· μηκετι ἁμαρτανε, ἱνα μη χειρον τι σοι γενηται.

τεκνον, ἡμαρτες; μη προσθῃς μηκετι. *Sir. xxi.* 1. *Conf. Matt. xii.* 45. ὁρατε, μη πληγην αλλην επαξω εγω εφ' ὑμας, και εξαναλωσω ὑμας. *Exod. xxxiii.* 5. *Neh. ix.* 28. *Lev. xxvi.* 23-27.

15 Απηλθεν ὁ ανθρωπος, και ανηγγειλε τοις Ιουδαιοις, ὁτι Ιησους εστιν ὁ ποιησας αυτον ὑγιη.

Conf. Deut. xxvi. 3. *Marc. i.* 45. *Ps. xxv.* 7.

16 Και δια τουτο εδιωκον τον Ιησουν οἱ Ιουδαιοι, και εζητουν αυτον αποκτειναι, ὁτι ταυτα εποιει εν σαββατῳ.

σωσον με εκ παντων των διωκοντων με. *Ps. vii.* 1. και εζητει ανελειν Μωυσην. *Exod. ii.* 15. *Gen. xxxvii.* 18. και εζητουν αποκτειναι αυτον. *Jer. xxxiii.* 21. *Matt. xii.* 10. *Luc. vi.* 7, 11.

17 Ὁ δε Ἰησους απεκρινατο αυτοις, Ὁ πατηρ μου ἑως αρτι
εργαζεται, καγω εργαζομαι.

Gen. ii. 1, 2. *Ps. lxiv.* 6. *Esa. xl.* 26. *Hab. i.* 5. *Cap. x.* 37.

18 Δια τουτο ουν μαλλον εζητουν αυτον οἱ Ιουδαιοι αποκτει-
ναι, ὁτι ου μονον ελυε το σαββατον, αλλα και πατερα ιδιον
ελεγε τον Θεον, ισον ἑαυτον ποιων τῳ Θεῳ.

εν τῳ λυσαι τον νομον. 1 *Esd. ix.* 46. *Conf. Jer. xvii.* 27. πας ὁ ποιων εργον εν αυτῃ τελευτατω. *Exod. xxxv.* 2. υἱος μου ει συ, εγω σημερον γεγεννηκα σε. *Ps. ii.* 7. ου μονον—αλλα και. *Prol. Sir. Conf. Phil. ii.* 6. *Num. xv.* 33. επαγγελλεται γνωσιν εχειν Θεου, και παιδα Κυριου ἑαυτον ονομαζει—και αλαζονευεται πατερα Θεον. *Sap. ii.* 13-15. συ γαρ ει Θεος, και ουκ ηδειμεν, ὁ Θεος του Ισραηλ σωτηρ. *Esa. xlv.* 15. *Conf.* 2 *Mac. ix.* 12.

19 Απεκρινατο ουν ὁ Ιησους και ειπεν αυτοις, Αμην αμην λεγω
ὑμιν, Ου δυναται ὁ υἱος ποιειν αφ᾽ ἑαυτου ουδεν, εαν μη τι
βλεπῃ τον πατερα ποιουντα· ἁ γαρ αν εκεινος ποιῃ, ταυτα
και ὁ υἱος ὁμοιως ποιει.

ου δυναται ποιειν, *i. e.* ου ποιει. *Ita, Gen. xix.* 22. *xxxvii.* 4. *Num. xvi.* 28. *Conf. Marc. vi.* 5. *Luc. xvi.* 2. ου μη σε αποστειλω, εαν μη με ευλογησῃς. *Gen. xxxii.* 26. *Conf. Deut. xvi.* 5. *Esa. xliv.* 25. *Num. xxiv.* 13. *Prov. ii.* 6. *Luc. xxi.* 15.

20 Ὁ γαρ πατηρ φιλει τον υἱον, και παντα δεικνυσιν αυτῳ
ἁ αυτος ποιει· και μειζονα τουτων δειξει αυτῳ εργα, ἱνα ὑμεις
θαυμαζητε.

ὁτι πονηρα σοι ενεδειξαντο. *Gen. l.* 17. μειζονα τουτων ποιησουσι. 1 *Mac. vi.* 27. πολλα αποκρυφα εστι μειζονα τουτων, ολιγα γαρ ἑωρακαμεν των εργων αυτου. *Sir. xliii.* 32. *Conf. Zach. xiii.* 7. *Esa. l.* 4, 5. *Ps. xcvii.* 1. *cxliv.* 5. *Joan. i.* 18. *xiv.* 10, 11. *Matt. iii.* 17. *Luc. ix.* 35. 2 *Pet. i.* 17. ὡστε θαυμασαι παντας. 2 *Mac. i.* 22.

21 Ὡσπερ γαρ ὁ πατηρ εγειρει τους νεκρους και ζωοποιει, οὑτω
και ὁ υἱος οὑς θελει ζωοποιει.

και εγερθησονται οἱ εν τοις μνημειοις. *Esa. xxvi.* 19. μη Θεος εγω, του ζωοποιησαι η του θανατωσαι; 4 *Reg. v.* 7. *Ald. Comp.* Κυριος θανατοι και ζωογονει, καταγει εις ᾁδου και αναγει. 1 *Reg. ii.* 6. *Conf. Job. xxxvi.* 6. *Deut. xxxii.* 39. *Tob. xiii.* 2. ὡσπερ

xvi. 13. γαρ—ουτω και. *Eccles. v.* 15. *Esa. xlvi.* 10. *Luc. vii.* 14. *viii.* 54. 3 *Reg. xvii.* 21. 4 *Reg. iv.* 32-35.

22 Ουδε γαρ ὁ πατηρ κρινει ουδενα, αλλα την κρισιν πασαν δεδωκε τῳ υἱῳ·

ὁ κρινων πασαν την γην. *Gen. xviii.* 25. *Ps. ix.* 7, 8. *lxxxi.* 8. *lvii.* 11. ου παρειστηκει ουδεις. *Gen. xlv.* 1. *Exod. x.* 2, 3. *Conf. Matt. xi.* 27. *xxviii.* 18. *Act. xvii.* 31. 1 *Pet. iv.* 5.

23 Ἱνα παντες τιμωσι τον υἱον, καθως τιμωσι τον πατερα. ὁ μη τιμων τον υἱον, ου τιμᾳ τον πατερα τον πεμψαντα αυτον.

και προσκυνησουσι σοι, και εν σοι προσευξονται· ὁτι εν σοι ὁ Θεος εστι, και ουκ εστι Θεος πλην σου. *Esa. xlv.* 14. τιμα τον Κυριον. *Prov. iii.* 9. *Esa. xxix.* 13. *Conf.* 1 *Joan. ii.* 23. 2 *Joan.* 9.

24 Αμην αμην λεγω ὑμιν, Ὁτι ὁ τον λογον μου ακουων, και πιστευων τῳ πεμψαντι με, εχει ζωην αιωνιον· και εις κρισιν ουκ ερχεται, αλλα μεταβεβηκεν εκ του θανατου εις την ζωην.

ακουε υἱε και δεξαι εμους λογους. *Prov. iv.* 10. οὑτοι εις ζωην αιωνιον. *Dan. xii.* 2. εἱλοντο τον θανατον, η την ζωην. *Jer. viii.* 3. μεταβαινειν εις των πατρωων νομων. 2 *Mac. vi.* 1, 29. μεταβαινειν εις τα Ἑλληνικα. *Ibid.* 9. *Conf. Sap. vii.* 27. ελθειν εις διαφθοραν. *Job. xxxiii.* 28. *Conf. Gen. ii.* 17. *Exod. x.* 17. ἡμερα γαρ κρισεως Κυριου, και ενιαυτος ανταποδοσεως κρισεως Σιων. *Esa. xxxiv.* 8. *Conf. Rom. viii.* 24. *Ephes. ii.* 6. 1 *Joan. iii.* 2. [και εις κρισιν ουκ ερχεται, τουτ᾽ εστιν, ου κολαζεται. *Phav.*]

25 Αμην αμην λεγω ὑμιν, Ὁτι ερχεται ὡρα και νυν εστιν, ὁτε οἱ νεκροι ακουσονται της φωνης του υἱου του Θεου, και οἱ ακουσαντες ζησονται.

ιδου ἡμερα ερχεται. *Mal. iv.* 1. και ουκ ηκουσαν της φωνης σου. *Jer. xxxix.* 23. *xlii.* 8. *Conf. Gen. iii.* 8, 10. αναστησονται οἱ νεκροι. *Esa. xxvi.* 19. ὁτι παρα σοι πηγη ζωης, εν τῳ φωτι σου οψομεθα φως. *Ps. xxxv.* 9. *Conf. Ephes. ii.* 1. 1 *Tim. v.* 6. *Rom. vi.* 4.

26 Ὡσπερ γαρ ὁ πατηρ εχει ζωην εν ἑαυτῳ, οὑτως εδωκε και τῳ υἱῳ ζωην εχειν εν ἑαυτῳ·

27 Και εξουσιαν εδωκεν αυτῳ και κρισιν ποιειν, ὁτι υἱος ανθρωπου εστι.

εδωκεν αυτοις εξουσιαν των επ᾽ αυτης. *Sir. xvii.* 2. κρινων πασαν την γην, ου ποιησεις κρισιν; *Gen. xviii.* 25. ὡς υἱος ανθρωπου ερ-

χομενος—και αυτῳ εδοθη ἡ αρχη και ἡ τιμη και ἡ βασιλεια, κ. τ. λ. *Dan. vii.* 13, 14. συ γαρ ζωης και θανατου εξουσιαν εχεις, κ. τ. λ. *Sap. xvi.* 13.

28 Μη θαυμαζετε τουτο· ὁτι ερχεται ὡρα, εν ᾑ παντες οἱ εν τοις μνημειοις ακουσονται της φωνης αυτου,

και αναξω ὑμας εκ των μνηματων ὑμων. *Ezech. xxxvii.* 12. *Ose. xiii.* 14. *Conf. Apoc. xx.* 13. 1 *Cor. xv.* 52. 1 *Thess. iv.* 16. και εγερθησονται οἱ εν τοις μνημειοις. *Esa. xxvi.* 29.

29 Και εκπορευσονται, οἱ τα αγαθα ποιησαντες, εις αναστασιν ζωης· οἱ δε τα φαυλα πραξαντες, εις αναστασιν κρισεως.

σοι μεν γαρ αναστασις εις ζωην ουκ εσται. 2 *Mac. vii.* 14. οὑτοι εις ζωην αιωνιον, και οὑτοι εις ονειδισμον και εις αισχυνην αιωνιον. *Dan. xii.* 2. *Conf. Eccles. xii.* 14. *Matt. xxv.* 46. *Apoc. xiv.* 11. 1 *Pet. iv.* 18. οιδα γαρ ὁτι αενναος εστιν ὁ εκλυειν με μελλων επι γης αναστησαι το δερμα μου κ. τ. λ. *Job. xix.* 25, 26.

30 Ου δυναμαι εγω ποιειν απ᾽ εμαυτου ουδεν. καθως ακουω, κρινω· και ἡ κρισις ἡ εμη δικαια εστιν· ὁτι ου ζητω το θελημα το εμον, αλλα το θελημα του πεμψαντος με πατρος.

ανευ του Θεου ουκ αποκριθησεται το σωτηριον. *Gen. xli.* 16. ου δυναμαι. *Vide sup. v.* 19. Κυριος απεστειλε με ποιησαι παντα τα εργα ταυτα, ὁτι ουκ απ᾽ εμαυτου. *Num. xvi.* 28. του ποιησαι το θελημα σου—ηβουληθην. *Ps. xxxix.* 8. *Esa. xliv.* 28. *Conf. Ps. xcv.* 10. *Esa. v.* 16. ου κατα την δοξαν κρινει, κ. τ. λ. *xi.* 3.

31 Εαν εγω μαρτυρω περι εμαυτου, ἡ μαρτυρια μου ουκ εστιν αληθης.

εγκωμιαζετω σε ὁ πελας, και μη το σον στομα· αλλοτριος, και μη τα σα χειλη. *Prov. xxvii.* 2. αληθες εσται το ῥημα. *Gen. xli.* 32. χειλη αληθινα κατορθοι μαρτυριαν. *Prov. xii.* 19.

32 Αλλος εστιν ὁ μαρτυρων περι εμου, και οιδα ὁτι αληθης εστιν ἡ μαρτυρια ἡν μαρτυρει περι εμου.

ὁτι πιστος εστιν ἁγιος Ισραηλ. *Esa. xlix.* 7. *Esa. xlii.* 1. *Matt. iii.* 17. *xvii.* 5. θαυμαστα τα μαρτυρια σου. *Ps. cxviii.* 129.

33 Ὑμεις απεσταλκατε προς Ιωαννην, και μεμαρτυρηκε τῃ αληθειᾳ·

34 Εγω δε ου παρα ανθρωπου την μαρτυριαν λαμβανω, αλλα ταυτα λεγω ἱνα ὑμεις σωθητε.

35 Εκεινος ην ὁ λυχνος ὁ καιομενος και φαινων, ὑμεις δε ηθε-
λησατε αγαλλιασθηναι προς ὡραν εν τῳ φωτι αυτου·

και ανεστη Ηλιας προφητης ὡς πυρ, και ὁ λογος αυτου ὡς λαμπας εκαιετο. Sir. xlviii. 1. εγω δε εν τῳ Κυριῳ αγαλλιασομαι. Hab. iii. 7. πορευεσθε τῳ φωτι του πυρος ὑμων, και τῃ φλογι ᾗ εξεκαυσατε. Esa. l. 11. εν τῳ φωτι σου οψομεθα φως. Ps. xxxv. 9. προς ὡραν. Conf. Gen. xxiv. 11. ἡτοιμασα λυχνον τῳ χριστῳ μου. Ps. cxxxi. 17. ψυχῃ θελουσῃ. Conf. 1 Par. xxviii. 9. λυχνος τοις ποσι μου ὁ νομος σου. Ps. cxviii. 105. Conf. Exod. xxxix. 37. Comp. Francof. Matt. iii. 5. Marc. vi. 20. [Jos. Ant. xviii. 6. 2.]

36 Εγω δε εχω την μαρτυριαν μειζω του Ιωαννου· τα γαρ εργα
ἁ εδωκε μοι ὁ πατηρ ἱνα τελειωσω αυτα, αυτα τα εργα ἁ
εγω ποιω, μαρτυρει περι εμου ὁτι ὁ πατηρ με απεσταλκε·

Conf. Matt. iii. 17. Marc. i. 11. Luc. iii. 22. 2 Pet. i. 17. 1 Tim. vi. 16. ὁτι—εγενηθη τελειωθηναι το εργον τουτο. Neh. vi. 16. και ου δυνησομαι καταβηναι, μηποτε καταπαυσῃ το εργον· ὡς αν τελειωσω αυτο, καταβησομαι προς ὑμας. vi. 3. εαν ειπῃς εν τῃ καρδιᾳ σου, Πως γνωσομεθα το ῥημα ὁ ουκ ελαλησε Κυριος; κ. τ. λ. Deut. xviii. 21, 22. μαρτυρει ὁ βουνος οὑτος, και μαρτυρει ἡ στηλη αὑτη. Gen. xxxi. 48. Alex. Conf. cap. x. 37, 38.

37 Και ὁ πεμψας με πατηρ, αυτος μεμαρτυρηκε περι εμου.
Ουτε φωνην αυτου ακηκοατε πωποτε, ουτε ειδος αυτου ἑωρα-
κατε.

ὑμεις ακηκοατε παντα ὁσα ενετειλατο. Jos. xxii. 2. ἑωρακατε. Exod. xiv. 13. το ειδος της δοξης Κυριου. xxvii. 17. Num. xii. 8. Esa. liii. 2. Conf. Deut. xviii. 15. Exod. xx. 19. 1 Tim. vi. 16. 1 Joan. iv. 12.

38 Και τον λογον αυτου ουκ εχετε μενοντα εν ὑμιν, ὁτι ὁν
απεστειλεν εκεινος, τουτῳ ὑμεις ου πιστευετε.

ὁτι Κυριος παντοκρατωρ απεσταλκε με. Zach. ii. 9. Conf. Jos. i. 8.

39 Ερευνατε τας γραφας, ὁτι ὑμεις δοκειτε εν αυταις ζωην
αιωνιον εχειν, και εκειναι εισιν αἱ μαρτυρουσαι περι εμου·

μακαριοι οἱ εξερευνωντες τα μαρτυρια αυτου. Ps. cxix. 2. Conf. Act. xvii. 11. 1 Pet. i. 11. ὁτι ουχι λογος κενος οὑτος ὑμιν· ὁτι αὑτη ἡ ζωη ὑμων. Deut. xxxii. 47. Conf. 1 Mac. xii. 9. Esa. viii. 20. xxxiv. 16. Apoc. xix. 10. Luc. xvi. 29. xxiv. 27. μακαριοι οἱ εξερευνωντες τα μαρτυρια αυτου, ἐν ὁλῃ καρδιᾳ εκζητησουσιν αυτον. Ps. cxviii. 2. συνετισον με, και εξερευνησω τον νομον σου. 34. [ερευνᾳν μετα πασης ακριβειας. Philo de sac. Cain et Abel. p. 144.]

40 Και ου θελετε ελθειν προς με, ἱνα ζωην εχητε.

και ουκ ηθελησαν ακουειν. Esa. xxviii. 12. *Ps. lxxxi.* 11. *εγνωρισας μοι ὁδους ζωης. Ps. xv.* 11. *xxix.* 5. *xxxv. ὁτι τετρωμενη αγαπης εγω ειμι. Cant. v.* 8. *Conf. Ps. xcv.* 1. *Esa. xlv.* 24. *lv.* 1-3. *και ἱνατι αποθνησκετε οικος* Ισραηλ; *Ezech. xviii.* 31.

41 *Δοξαν παρα ανθρωπων ου λαμβανω·*

δοξαν καταλαμβανειν. Esa. x. 3.

42 Αλλ᾽ *εγνωκα ὑμας, ὁτι την αγαπην του* Θεου *ουκ εχετε εν ἑαυτοις.*

Conf. Luc. xvi. 15. *νυν γαρ εγνων ὁτι φοβῃ συ τον* Θεον. *Gen. xxii.* 12.

43 Εγω *εληλυθα εν τῳ ονοματι του πατρος μου, και ου λαμβανετε με· εαν αλλος ελθῃ εν τῳ ονοματι τῳ ιδιῳ, εκεινον ληψεσθε.*

εληλυθα. Jer. xxvii. 26. *ευλογημενος ὁ ερχομενος εν ονοματι* Κυριου. *Ps. cxvii.* 26. *εν τῃ δοξῃ ονοματος* Κυριου Θεου *αυτων ὑπαρξουσι. Mich. v.* 4. *συνεργους ελαμβανε.* 2 *Mac. viii.* 7. *Matt. xxiv.* 5.

44 Πως *δυνασθε ὑμεις πιστευσαι, δοξαν παρα αλληλων λαμβανοντες, και την δοξαν την παρα του μονου* Θεου *ου ζητειτε;*

Conf. Ps. xlix. 23. *Jer. iv.* 2. *ix.* 26. *xiii.* 23. *Rom. ii.* 29.

45 Μη *δοκειτε ὁτι εγω κατηγορησω ὑμων προς τον πατερα· εστιν ὁ κατηγορων ὑμων,* Μωσης, *εις ὁν ὑμεις ηλπικατε.*

εις τον βραχιονα μου εθνη ελπιουσι. Esa. li. 5. *Ps. cxliv.* 15. *μη ὑπολαβητε ταις ψυχαις ὑμων. Jer. xliv.* 9. *κατηγορουμενος—προς τον* Ευπατορα. 2 *Mac. x.* 13. *ελεγξαι σε το σον στομα και μη εγω, τα δε χειλη σου καταμαρτυρησουσι σου. Job. xv.* 6.

46 Ει *γαρ επιστευετε* Μωσῃ, *επιστευετε αν εμοι· περι γαρ εμου εκεινος εγραψεν.*

ἱνα πιστευσωσι σοι (Μωϋσῃ) *ὁτι ωπται σοι ὁ* Θεος. *Exod. iv.* 5. *xiv.* 31. *τῳ λαλησαντι περι του βασιλεως. Est. vii.* 9. *Conf. Gen. iii.* 15. *xxii.* 18. *xlix.* 10. *Act. xxvi.* 22. *Rom. i.* 2. *iii.* 21. *Luc. xvi.* 31. *εαν μη πιστευσητε, ουδε μη συνητε. Esa. vii.* 9. *εν κεφαλιδι βιβλιου γεγραπται περι εμου. Ps. xxxix.* 7.

47 Ει *δε τοις εκεινου γραμμασιν ου πιστευετε, πως τοις εμοις ῥημασι πιστευσετε;*

προφητην εκ των αδελφων σου, ὡς εμε, αναστησει σοι Κυριος *ὁ* Θεος *σου· αυτου ακουσεσθε—και ὁ ανθρωπος ὁς εαν μη ακουσῃ κ.τ.λ. Deut. xviii.* 15-19. *γραμματα. Conf. Est. vi.* 1. *Esa. xxix.* 11, 12. [*δια των ανακειμενων εν τῳ ἱερῳ γραμματων. Jos. Ant. v.* 1. 17.]

ΚΕΦ. ϛ. 6.

ΜΕΤΑ ταυτα απηλθεν ὁ Ιησους περαν της θαλασσης της Γαλιλαιας της Τιβεριαδος·

περαν της θαλασσης. Deut. xxx. 13. Conf. Num. xxxiv. 11. Jos. xii. 3. μετα ταυτα. Est. iii. 1. Conf. Matt. xiv. 14. το ὑδωρ τουτο το εκπορευομενον εις την Γαλιλαιαν. Ezech. xlvii. 8. [Ἡρωδης—οικοδομειται πολιν επωνυμον αυτῳ Τιβεριαδα, τοις κρατιστοις επικτισας αυτην της Γαλιλαιας, επι λιμνῃ τῃ Γεννησαριτιδι. Jos. Ant. xviii. 2. 3.]

2 Και ηκολουθει αυτῳ οχλος πολυς, ὁτι ἑωρων αυτου τα σημεια ἁ εποιει επι των ασθενουντων.

ἑωρων. Exod. v. 19. και τουτο σοι το σημειον, ὁ ἡξει επι τους δυο υἱους σου. 1 Reg. iii. 36. Conf. Marc. vi. 33.

3 Ανηλθε δε εις το ορος ὁ Ιησους, και εκει εκαθητο μετα των μαθητων αὑτου.

Conf. Luc. ix. 10. ανηλθε. 3 Reg. xiii. 12.

4 Ην δε εγγυς το πασχα ἡ ἑορτη των Ιουδαιων.

θυματα ἑορτης του πασχα. Exod. xxxiv. 25. Conf. Exod. xii. 18. Lev. xxiii. 5. Num. xxviii. 16. Deut. xvi. 1.

5 Επαρας ουν ὁ Ιησους τους οφθαλμους, και θεασαμενος ὁτι πολυς οχλος ερχεται προς αὑτον, λεγει προς τον Φιλιππον, Ποθεν αγορασομεν αρτους, ἱνα φαγωσιν οὑτοι;

και επαρας Λωτ τους οφθαλμους αυτου επειδε πασαν την περιχωραν. Gen. xiii. 10. xxii. 4. εν οχλῳ πολλῳ. Ezech. xvii. 17. αγορασαι λιθους. 2 Par. xxxiv. 11. ἱνα. Vide sup. cap. v. 7. Marc. vi. 35. Luc. ix. 12. Matt. xiv. 15.

6 (Τουτο δε ελεγε πειραζων αυτον· αυτος γαρ ᾐδει τι εμελλε ποιειν.)

ὁ Θεος επειρασε τον Ἀβρααμ. Gen. xxii. 1. πειραζει Κυριος—του ειδεναι ει αγαπατε Κυριον. Deut. xiii. 3. Alex. Ald. Conf. Ps. xxv. 2. 2 Par. xxxii. 31. εμελλε. Conf. Sap. xiv. 1.

7 Απεκριθη αυτῳ Φιλιππος, Διακοσιων δηναριων αρτοι ουκ αρκουσιν αυτοις, ἱνα ἑκαστος αυτων βραχυ τι λαβῃ.

εγευσαμην βραχυ τι του μελιτος. 1 Reg. xiv. 29. και αρκεσι αυτοις. Num. xi. 22. Conf. Gen. xxiii. 15.

8 Λεγει αυτῳ εἱς εκ των μαθητων αυτου, Ανδρεας ὁ αδελφος Σιμωνος Πετρου,

εἱς εξ ὑμων. Gen. iii. 22. xlii. 16. xliv. 28. Marc. vi. 37.

9 Εστι παιδαριον ἑν ὡδε, ὁ εχει πεντε αρτους κριθινους και δυο
οψαρια· αλλα ταυτα τι εστιν εις τοσουτους;

και εκει ην ἑν των παιδαριων του Σαουλ. 1 Reg. xxi. 7. Tob. vi. 2. και ειπε, Δοτε τῳ λαῳ και εσθιετωσαν. και ειπεν ὁ λειτουργος αυτῳ, Τι δω τουτο ενωπιον ἑκατον ανδρων;—και εφαγον, και κατελιπον, κατα το ῥημα Κυριου. 4 Reg. iv. 42-44. Conf. Matt. xiv. 17. Num. xi. 21. [παιδαρια· τα μειζονα, και τα αρτιως γεγονοτα. Hesych.]

10 Ειπε δε ὁ Ιησους, Ποιησατε τους ανθρωπους αναπεσειν, ην
δε χορτος πολυς εν τῳ τοπῳ. ανεπεσον ουν οἱ ανδρες τον αριθ-
μον ὡσει πεντακισχιλιοι.

ανεπεσα του φαγειν. Tob. ii. 1. Judith. xii. 15. ιδου δη ὁ τοπος εν ᾡ ἡμεις οικουμεν. 4 Reg. vi. 1. ὁ αριθμος αυτων ἑπτακισχιλιοι. Num. iii. 22. Alex. Ald.

11 Ελαβε δε τους αρτους ὁ Ιησους, και ευχαριστησας διεδωκε
τοις μαθηταις, οἱ δε μαθηται τοις ανακειμενοις· ὁμοιως και εκ
των οψαριων ὁσον ηθελον.

και ελαβεν αρτους—και εδωκεν τῃ Αγαρ. Gen. xxi. 14. αυτος διαδωσει τροφην αρχουσι. Gen. xlix. 20. Alex. Ald. αυτος ανακειται, εσθιει και πινει. 1 Esd. iv. 10. δανιεις αυτῳ ὁσον επιδεεται. Deut. xv. 8. Conf. Matt. xxvi. 27. 1 Reg. ix. 13. εκ των σων. 1 Par. xxix. 14. [οψαριον· το ιχθυδιον. Suid.]

12 Ὡς δε ενεπλησθησαν, λεγει τοις μαθηταις αὑτου, Συνα-
γαγετε τα περισσευσαντα κλασματα, ἱνα μη τι αποληται.

εφαγοσαν και ενεπλησθησαν σφοδρα. Ps. lxxvii. 33. συναγαγετε. Num. xxi. 16. ἑνεκεν κλασματων αρτων. Ezech. xiii. 19.

13 Συνηγαγον ουν, και εγεμισαν δωδεκα κοφινους κλασματων
εκ των πεντε αρτων των κριθινων, ἁ επερισσευσε τοις βεβρω-
κοσιν.

συνηγαγον. Exod. iv. 29. παν ὁ εαν περισσευσῃ σοι ποιει ελεημοσυνην. Tob. iv. 22. γεμισατε τα φορεια ὑμων. Gen. xlv. 17. Ruth. ii. 14. Conf. 3 Reg. xvii. 15, 16. 2 Mac. ii. 11.

11-13.] *και ηνεγκε προς τον ανθρωπον του Θεου πρωτογεννηματων εικοσι αρτους κριθινους και παλαθας· και ειπε, Δοτε τῳ λαῳ, και εσθιετωσαν. και ειπεν ὁ λειτουργος αυτου, Τι δω τουτο ενωπιον ἑκατον ανδρων; και ειπε, Δος τῳ λαῳ, και εσθιετωσαν, ὁτι ταδε λεγει Κυριος, Φαγονται και καταλειψουσι. και εφαγον και κατελιπον, κατα το ῥημα Κυριου. 4 Reg. iv. 42-44.*

14 Οἱ ουν ανθρωποι ιδοντες ὁ εποιησε σημειον ὁ Ιησους, ελεγον, Ὁτι οὑτος εστιν αληθως ὁ προφητης ὁ ερχομενος εις τον κοσμον.

και εποιησε τα σημεια εναντιον του λαου, και επιστευσεν ὁ λαος και εχαρη. *Exod. iv.* 30. ὁτι ερχομενος ἡξει. *Hab. ii.* 3. προφητην εκ των αδελφων σου, ὡς εμε, αναστησει σοι Κυριος ὁ Θεος σου. *Deut. xviii.* 15, 18. μεχρι του παραγενηθηναι προφητην. 1 *Mac. iv.* 46. εισηλθεν εις κοσμον. *Sap. xiv.* 14. *Conf. Luc. vii.* 16. *xxiv.* 19. *Esa. xxxv.* 4. *Deut. xviii.* 15, 12. ουκ εκλειψει αρχων εξ Ιουδα, και ἡγουμενος εκ των μηρων αυτου, ἑως αν ελθῃ τα αποκειμενα αυτῳ· και αυτος προσδοκια εθνων. *Gen. xlix.* 10.

15 Ιησους ουν γνους ὁτι μελλουσιν ερχεσθαι και ἁρπαζειν αυτον, ἱνα ποιησωσιν αυτον βασιλεα, ανεχωρησε παλιν εις το ορος αυτος μονος.

ανεχωρησε δε—απο προσωπου Φαραω. *Exod. ii.* 15. ανεχωρησεν —εις πεδιον Συριας. *Ose. xii.* 12. *Conf. Marc. vi.* 46.

16 Ὡς δε οψια εγενετο, κατεβησαν οἱ μαθηται αυτου επι την θαλασσαν,

ὡς δε οψια εγενετο. *Judith. xiii.* 1. *Conf. Matt. xiv.* 22. *Marc. vi.* 47.

17 Και εμβαντες εις το πλοιον, ηρχοντο περαν της θαλασσης εις Καπερναουμ. Και σκοτια ηδη εγεγονει, και ουκ εληλυθει προς αυτους ὁ Ιησους,

εμβας εις πλοιον. 1 *Mac. xv.* 37. εληλυθει. 3 *Reg. x.* 12.

18 Ἡ τε θαλασσα ανεμου μεγαλου πνεοντος διηγειρετο.

ὁτι ἡ θαλασσα επορευετο και εξηγειρετο. *Jon. i.* 13. *Conf. Ps. cvi.* 23-30. ὁ εξαγων ανεμους εκ θησαυρων αυτου. *cxxxiv.* 7.

19 Εληλακοτες ουν ὡς σταδιους εικοσιπεντε η τριακοντα, θεωρουσι τον Ιησουν περιπατουντα επι της θαλασσης, και εγγυς του πλοιου γινομενον· και εφοβηθησαν.

ουδε πορευσεται πλοιον ελαυνον. *Esa. xxxiii.* 21. εν τῃ θαλασσῃ ἡ ὁδος σου, και αἱ τριβοι σου εν ὑδασι. *Ps. lxxvi.* 19. *Hab. iii.* 15. *Zach. x.* 11. περιπατων ὡς επ' εδαφους επι θαλασσης. *Job. ix.* 8. ὡς δεκα ετη. *Ruth. i.* 4. σταδιων οντων διακοσιων τεσσαρακοντα. 2 *Mac. xii.* 9, 10, 16. *Conf. Ps. xlvii.* 5.

20 Ὁ δε λεγει αυτοις, Εγω ειμι· μη φοβεισθε.

μη φοβου, μετα σου γαρ ειμι, κ. τ. λ. *Esa. xli.* 10, 14. μη φοβου,

ὁτι ελυτρωσαμην σε, εκαλεσα σε το ονομα σου· εμος ει συ. *xliii.* 1. *xliv.* 2. *Conf. Matt. xiv.* 27-31. *Marc. vi.* 49.

21 Ηθελον ουν λαβειν αυτον εις το πλοιον, και ευθεως το πλοιον εγενετο επι της γης εις ἡν ὑπηγον.

και ὡδηγησεν αυτους επι λιμενα θεληματος αυτων. *Ps. cvi.* 30. [ολιγαις ἡμεραις προς τοις λιμεσι γινεται. *Philo in Flac. p.* 980.]

22 Τῃ επαυριον ὁ οχλος ὁ ἑστηκως περαν της θαλασσης, ιδων ὁτι πλοιαριον αλλο ουκ ην εκει ει μη ἑν εκεινο εις ὁ ενεβησαν οἱ μαθηται αυτου, και ὁτι ου συνεισηλθε τοις μαθηταις αὑτου ὁ Ιησους εις το πλοιαριον, αλλα μονοι οἱ μαθηται αυτου απηλθον,

και εγενετο τῃ επαυριον. *Gen. xix.* 34. 1 *Par. xxix.* 21. συνεισερχεσθαι. *Est. ii.* 13. *Job. xxii.* 4. *Zach. viii.* 21. *Matt. xiv.* 22.

23 (Αλλα δε ηλθε πλοιαρια εκ Τιβεριαδος εγγυς του τοπου ὁπου εφαγον τον αρτον, ευχαριστησαντος του Κυριου·)

24 Ὁτε ουν ειδεν ὁ οχλος ὁτι Ιησους ουκ εστιν εκει ουδε οἱ μαθηται αυτου, ενεβησαν και αυτοι εις τα πλοια, και ηλθον εις Καπερναουμ, ζητουντες τον Ιησουν.

25 Και εὑροντες αυτον περαν της θαλασσης, ειπον αυτῳ, Ῥαββι, ποτε ὡδε γεγονας;

26 Απεκριθη αυτοις ὁ Ιησους και ειπεν, Αμην, αμην λεγω ὑμιν, ζητειτε με, ουχ ὁτι ειδετε σημεια, αλλ᾽ ὁτι εφαγετε εκ των αρτων και εχορτασθητε.

Conf. Ose. vii. 14. και εδωκεν αυτος το αιτημα αυτων, και εξαπεστειλε πλησμονην εις την ψυχην αυτων. *Ps. cv.* 15.

27 Εργαζεσθε μη την βρωσιν την απολλυμενην, αλλα την βρωσιν την μενουσαν εις ζωην αιωνιον, ἡν ὁ υἱος του ανθρωπου ὑμιν δωσει· τουτον γαρ ὁ πατηρ εσφραγισεν ὁ Θεος.

εργαζεσθε, (*acquirere, comparare*). *Ita*, εργαζεσθαι το χρυσιον. *Exod. xxxi.* 4. εργαζεσθε βρωσιν (*operam dare ut victum adipiscimur: ut* κατεργαζεσθαι σωτηριαν. *Phil. ii.* 12. εργαζεσθαι αληθειαν. *Eccles. Grotius.*) μη—αλλα. *Gen. xlv.* 8. *Exod. xvi.* 8. και θησομαι σε ὡς σφραγιδα. *Agg. ii.* 24. και του σφραγισαι ὁρασιν— και του χρισαι ἁγιον ἁγιων. *Dan. ix.* 24. εις ζωην αιωνιον. 4 *Mac.* 15. *Dan. xii.* 2. *Conf. Matt. iii.* 17. *xvii.* 5. *Marc. i.* 11. *Luc. iii.* 22. 2 *Pet. i.* 17. και εγραψεν επ᾽ αυτου γραμματα εκτετυπωμενα

σφραγιδος, Ἁγιασμα Κυριῳ. *Exod. xxxvi. sub fin.* [το γαρ φαγειν εστι συμβολον τροφης ψυχικης. *Philo de Alleg. p.* 44.]

28 Ειπον ουν προς αυτον, Τι ποιουμεν, ἱνα εργαζωμεθα τα εργα του Θεου;

εργαζεσθε το εργον ὑμων προ καιρου, και δωσει τον μισθον ὑμων εν καιρῳ αυτου. *Jer. li.* 38. εργαζεσθαι τα εργα Κυριου. *Num. viii.* 11. *Sophon. ii.* 3. *Exod. xxxv.* 10.

29 Απεκριθη ὁ Ιησους και ειπεν αυτοις, Τουτο εστι το εργον του Θεου, ἱνα πιστευσητε εις ὁν απεστειλεν εκεινος.

εργον του Θεου, *Conf.* θυσια τῳ Θεῳ. *Ps. l.* 17. ἱνα γνωτε και πιστευσητε, και συνητε ὁτι εγω ειμι. *Esa. xliii.* 10. *Conf.* 1 *Joan. iii.* 23.

30 Ειπον ουν αυτῳ, Τι ουν ποιεις συ σημειον, ἱνα ιδωμεν και πιστευσωμεν σοι; τι εργαζῃ;

Conf. Matt. xii. 38. *xvi.* 1. *Marc. viii.* 11. *Luc. xi.* 29. 1 *Cor. i.* 22.

31 Οἱ πατερες ἡμων το μαννα εφαγον εν τῃ ερημῳ, καθως εστι γεγραμμενον, Αρτον εκ του ουρανου εδωκεν αυτοις φαγειν.

και εβρεξεν αυτοις μαννα φαγειν, και αρτον ουρανου εδωκεν αυτοις. *Ps. lxxvii.* 24. οὑτος ὁ αρτος, ὁν εδωκε Κυριος ὑμιν φαγειν. *Exod. xvi.* 15. οἱ πατερες ἡμων ανηγγειλαν ἡμιν. *Ps. xliii.* 1. *lxxvii.* 3. *Conf. Neh. ix.* 15. *Num. xi.* 7. 1 *Cor. x.* 3. *Sap. xvi.* 29. *Sir. xv.* 3. αγγελων τροφην εψωμισας τον λαον σου, και ἑτοιμον αρτον αυτοις απ᾽ ουρανου επεμψας, κ. τ. λ. *Sap. xvi.* 20. [ιδου ὑω ὑμιν αρτους απ᾽ ουρανου. *Philo p.* 839. *Jos. Ant. iii.* 1. 6.] *CITAT.* 92.

32 Ειπεν ουν αυτοις ὁ Ιησους, Αμην, αμην λεγω ὑμιν, Ου Μωσης δεδωκεν ὑμιν τον αρτον εκ του ουρανου· αλλ᾽ ὁ πατηρ μου διδωσιν ὑμιν τον αρτον εκ του ουρανου τον αληθινον.

τας ὁδους αυτου ἑωρακα, και ιασαμην αυτον, και παρεκαλεσα αυτον, και εδωκα αυτῳ παρακλησιν αληθινην. *Esa. lvii.* 18.

33 Ὁ γαρ αρτος του Θεου εστιν ὁ καταβαινων εκ του ουρανου, και ζωην διδους τῳ κοσμῳ.

και ἁγιος απ᾽ ουρανου κατεβη. *Dan. iv.* 10, 20. *Ps. xvii.* 11. και διδους ζωην τοις συντετριμμενοις την καρδιαν. *Esa. lvii.* 15. ὁτι ουκ επ᾽ αρτῳ μονῳ ζησεται ὁ ανθρωπος, αλλ᾽ επι παντι ῥηματι κ. τ. λ. *Deut. viii.* 3. *Conf. Sap. xvi.* 26.

34 Ειπον ουν προς αυτον, Κυριε, παντοτε δος ἡμιν τον αρτον τουτον.

35 Ειπε δε αυτοις ὁ Ιησους, Εγω ειμι ὁ αρτος της ζωης· ὁ ερ-

χομενος προς με, ου μη πειναση· και ὁ πιστευων εις εμε, ου
μη διψηση πωποτε.

ου πεινασουσιν, ουδε διψησουσι. *Esa. xlix.* 10. τουτο το αναπαυμα τῳ πεινωντι. *xxviii.* 12. *Sir. xxiv.* 21. και αρτον ουρανου ενεπλησεν αυτους. *Ps. civ.* 40. οἱ διψωντες πορευεσθε εφ' ὑδωρ, κ. τ. λ. *Esa. lv.* 1, 2. εις σε ελπιζουσι. *Ps. cxliv.* 15. *Esa. li.* 5. *Conf. cap. iv.* 14. *Prov. ix.* 5. *Apoc. vii.* 16.

36 Αλλ' ειπον ὑμιν, ὁτι και ἑωρακατε με και ου πιστευετε.

και—και, *quanquam—tamen.* 2 *Reg. iii.* 8. *Mal. ii.* 14. [*Winer.* § 57.]

37 Παν ὁ διδωσι μοι ὁ πατηρ, προς εμε ἡξει· και τον ερχομενον
προς με ου μη εκβαλω εξω·

εξω—εξω της βασιλειας. *Bretschn.* και εξεβαλεν αυτους απο φυλων Ισραηλ. 2 *Par. xi.* 16. *Exod. xii.* 33. και δωσω σοι εθνη κληρονομιαν σου, κ. τ. λ. *Ps. ii.* 8. *Conf. Esa. viii.* 18. *liii.* 10-12. Κυριος δε χρηστος ων, και ειδως το πλασμα αυτου, ουτε ανηκεν αυτους, ουτε εγκατελιπε φειδομενος αυτων. *Sir. xvii.* 21. *Comp. Esa. i.* 18. *xli.* 9. *xlii.* 3. *lv.* 7. ἡκετε προς με. *Gen. xlv.* 18. προς σε πασα σαρξ ἡξει. *Ps. lxiv.* 2. *cix.* 3.

38 Ὁτι καταβεβηκα εκ του ουρανου, ουχ ἱνα ποιω το θελημα
το εμον, αλλα το θελημα του πεμψαντος με.

ιδου ἡκω—του ποιησαι το θελημα σου, κ. τ. λ. *Ps. xxxix.* 7-8. *Conf. Matt. xxvi.* 39. *Marc. xiv.* 36. *Luc. xxii.* 42. *Joan. iv.* 34. ὁτι ου τῃ εμαυτου χαριτι, αλλα τῃ θηλησει του Θεου ἡμων ηλθον—και νυν εξομολογεισθε τῳ Θεῳ, διοτι αναβαινω προς τον αποστειλαντα με, κ. τ. λ. *Tob. xii.* 18-20.

39 Τουτο δε εστι το θελημα του πεμψαντος με πατρος, ἱνα
παν ὁ δεδωκε μοι, μη απολεσω εξ αυτου, αλλα αναστησω
αυτο εν τῃ εσχατῃ ἡμερᾳ.

αναστηθι, και μη απωσῃ εις τελος. *Ps. xliii.* 23. αναστησονται οἱ νεκροι. *Esa. xxvi.* 19. *Ps. lxxxvii.* 10. επ' εσχατων των ἡμερων εσται. *Ezech. xxxviii.* 16. *Neh. viii.* 18. *Conf. Joan. x.* 28. και ευαγγελιζομενοι οὑς Κυριος προσκεκληται. *Joel. ii.* 32. ὁ του κοσμου βασιλευς αποθανοντας ἡμας ὑπερ των αυτου νομων εις αιωνιον αναβιωσιν ζωης ἡμας αναστησει. 2 *Mac. vii.* 9.

40 Τουτο δε εστι το θελημα του πεμψαντος με, ἱνα πας ὁ
θεωρων τον υἱον και πιστευων εις αυτον, εχῃ ζωην αιωνιον, και
αναστησω αυτον εγω τῃ εσχατῃ ἡμερᾳ.

εξεγερθησονται, οὑτοι εις ζωην αιωνιον. *Dan. xii.* 2. ὁ θεωρων—εις τον ἁγιον του Ισραηλ εμβλεψονται. *Esa. xvii.* 7. *Vide Keuchen*

in loc. παντι ανθρωπῳ μη εμβλεπε εν καλλει. *Sir. xlii.* 12. [και αυτη εστιν ἡ συνησις—ἱνα. *Test. XII Patr. p.* 606.]

41 Εγογγυζον ουν οἱ Ιουδαιοι περι αυτου, ὁτι ειπεν, Εγω ειμι ὁ αρτος ὁ καταβας εκ του ουρανου·

την γογγυσιν—ἡν εγογγυσαν περι ὑμων, ακηκοα. *Num. xiv.* 27.

42 Και ελεγον, Ουχ οὑτος εστιν Ιησους ὁ υἱος Ιωσηφ, οὑ ἡμεις οιδαμεν τον πατερα και την μητερα; πως ουν λεγει οὑτος, Ὁτι εκ του ουρανου καταβεβηκα;

Conf. Matt. xiii. 55. *Marc. vi.* 3. *Luc. iv.* 22.

43 Απεκριθη ουν ὁ Ιησους και ειπεν αυτοις, Μη γογγυζετε μετ᾽ αλληλων.

44 Ουδεις δυναται ελθειν προς με, εαν μη ὁ πατηρ ὁ πεμψας με ἑλκυσῃ αυτον, και εγω αναστησω αυτον τῃ εσχατῃ ἡμερᾳ.

αγαπησιν αιωνιον ηγαπησα σε· δια τουτο εἱλκυσα σε εις οικτειρημα. *Jer. xxxviii.* 3. οιδα γαρ ὁτι αεννναος εστιν ὁ εκλυειν με μελλων, επι γης αναστησαι το δερμα μου. *Job. xix.* 25, 26. ἑλκυσον με. οπισω σου εις οσμην μυρων σου δραμουμεν. *Cant. i.* 4. *Aq.* εξετεινα αυτους εν δεσμοις αγαπησεως μου. *Ose. xi.* 4.

45 Εστι γεγραμμενον εν τοις προφηταις, Και εσονται παντες διδακτοι του Θεου. Πας ουν ὁ ακουσας παρα του πατρος και μαθων, ερχεται προς με·

και παντας τους υἱους σου διδακτους Θεου. *Esa. liv.* 13. *xi.* 9. *Mich. iv.* 2. *Hab. ii.* 14. *Jer. xxxviii.* 34. *CITAT.* 93.

46 Ουχ ὁτι τον πατερα τις ἑωρακεν· ει μη ὁ Ων παρα του Θεου, οὑτος ἑωρακε τον πατερα.

ὁ Ων Κυριε. *Jer. xiv.* 3. *xxxix.* 17. *Conf. cap. i.* 18. *iii.* 13. *vii.* 29. *viii.* 38. *ix.* 58. *Rom. ix.* 5. *Heb. xiii.* 8. *Apoc. i.* 8. *xi.* 17, 18. [ὁ Ων, Θεος. *Hesych.*] *Conf. Exod. iii.* 14. *vi.* 2. 3 *Reg. xviii.* 39. *Ps. ci.* 27. συ αυτος [הוא] ει. *Heb. ii.* 11. 2 *Pet. iii.* 8. αινειτε το Ον. *Ps. cxlvi.* 1. *Theod.* (*Drus.*) τον Ια. (*Bahrdt.*)

47 Αμην, αμην λεγω ὑμιν, Ὁ πιστευων εις εμε, εχει ζωην αιωνιον.

48 Εγω ειμι ὁ αρτος της ζωης.

49 Οἱ πατερες ὑμων εφαγον το μαννα εν τῃ ερημῳ, και απεθανον·

εφαγον το μαν ετη τεσσαρακοντα. *Exod. xvi.* 35. το δε μαννα ὡσει σπερμα κοριου. *Num. xi.* 7. *Conf. Ps. xxi.* 26. *Esa. lv.* 1. *Cant. v.* 1. 1 *Cor. x.* 5. *Heb. iii.* 16. [καλουσι δε Ἑβραιοι το βρωμα τουτο

μαννα· το γαρ μαν επερωτησις κατα την ἡμετεραν διαλεκτον, Τι τουτ᾽ εστιν ανακρινουσα. και οἱ μεν χαιροντες επι τοις απ᾽ ουρανου πεμφθεισιν αυτοις διετελουν· τῃ δε τροφῃ ταυτῃ τεσσαρακοντα ετεσιν εχρησαντο, εφ᾽ ὁσον χρονον ησαν εν τῃ ερημῳ. *Jos. Ant. iii.* 1. 6.]

50 Οὑτος εστιν ὁ αρτος ὁ εκ του ουρανου καταβαινων, ἱνα τις εξ αυτου φαγῃ και μη αποθανῃ.

και εβρεξεν αυτοις μαννα φαγειν, και αρτον ουρανου εδωκεν αυτοις. *Ps. lxxvii.* 24. *Conf. Rom. viii.* 10, 11.

51 Εγω ειμι ὁ αρτος ὁ ζων, ὁ εκ του ουρανου καταβας· εαν τις φαγῃ εκ τουτου του αρτου, ζησεται εις τον αιωνα. και ὁ αρτος δε ὁν εγω δωσω, ἡ σαρξ μου εστιν, ἡν εγω δωσω ὑπερ της του κοσμου ζωης.

και οἱ προφηται, μη τον αιωνα ζησονται; *Zach. i.* 5. χαριτας εγγυου μη επιλαθῃ, εδωκε γαρ την ψυχην αυτου ὑπερ σου. *Sir. xxix.* 15. προσευξομαι ὑπερ ὑμων. *Jer. xlix.* 4. *Ezech. xliii.* 21-27.

52 Εμαχοντο ουν προς αλληλους οἱ Ιουδαιοι, λεγοντες, Πως δυναται οὑτος ἡμιν δουναι την σαρκα φαγειν;

ωργισθη—και εμαχεσατο. *Gen. xxxi.* 36. εμαχεσαμην τοις στρατηγοις, και ειπον. *Neh. xiii.* 11. *Alex. Ald. Comp.* 1 *Cor. ii.* 14.

53 Ειπεν ουν αυτοις ὁ Ιησους, Αμην, αμην λεγω ὑμιν, Εαν μη φαγητε την σαρκα του υἱου του ανθρωπου, και πιητε αυτου το αἱμα, ουκ εχετε ζωην εν ἑαυτοις.

54 Ὁ τρωγων μου την σαρκα, και πινων μου το αἱμα, εχει ζωην αιωνιον, και εγω αναστησω αυτον τῃ εσχατῃ ἡμερᾳ.

και οψομαι το αἱμα, και σκεπασω ὑμας. *Exod. xii.* 13. εδιψησεν ἡ ψυχη μου προς τον Θεον τον ζωντα. *Ps. xli.* 2. *xxxiv.* 8. *Conf. Matt. xxvi.* 26. 1 *Cor. xi.* 23. οἱ εσθιοντες με (σοφιαν) ετι πεινασουσι, κ. τ. λ. *Sir. xxiv.* 21. *Conf. Ezech. iii.* 1.

55 Ἡ γαρ σαρξ μου αληθως εστι βρωσις, και το αἱμα μου αληθως εστι ποσις.

την βρωσιν ὑμων και την ποσιν ὑμων. *Dan. i.* 16. ελθατε, φαγετε των εμων αρτων, και πιετε οινον ὁν εκερασα ὑμιν. *Prov. ix.* 5. το λογιον σου εζησε με. *Ps. cxviii.* 50. *Conf. Luc. xxiv.* 25.

56 Ὁ τρωγων μου την σαρκα, και πινων μου το αἱμα, εν εμοι μενει, καγω εν αυτῳ.

Conf. 1 *Joan. iii.* 24. διοτι ιδου εγω ερχομαι και κατασκηνωσω εν μεσῳ σου, λεγει Κυριος, κ. τ. λ. *Zach. ii.* 10, 11. *Ps. xc.* 1, 2.

57 Καθως απεστειλε με ὁ ζων πατηρ, καγω ζω δια τον πατερα· και ὁ τρωγων με, κακεινος ζησεται δι' εμε.

και γαρ ἡμεις ζωη ζησομεθα. Sir. xlviii. 11. *ὁ ζων εις τον αιωνα. xviii.* 1. *ελθετωσαν μοι οἱ οικτιρμοι σου, και ζησομαι. Ps. cxviii.* 77, 89, 93. *Deut. v.* 26. *Heb. xii.* 9. *κακεινος. Esa. lvii.* 6.

58 Οὑτος εστιν ὁ αρτος ὁ εκ του ουρανου καταβας· ου καθως εφαγον οἱ πατερες ὑμων το μαννα, και απεθανον· ὁ τρωγων τουτον τον αρτον, ζησεται εις τον αιωνα.

οὑτος ὁ αρτος, ὃν εδωκε Κυριος. *Exod. xvi.* 15. *βασιλευσει* Κυριος *εις τον αιωνα. Ps. ix.* 40. *οἱ πατερες ὑμων που εισι; Zach. i.* 5.

59 Ταυτα ειπεν εν συναγωγῃ διδασκων εν Καπερναουμ.

60 Πολλοι ουν ακουσαντες εκ των μαθητων αυτου ειπον, Σκληρος εστιν οὑτος ὁ λογος· τις δυναται αυτου ακουειν;

σκληρον δε εφανη το ῥημα σφοδρα. Gen. xxi. 11. *Deut. i.* 17. *τις δυναται; Conf. Matt. xii.* 34. 1 *Joan. iii.* 9. *και ου δυνανται ακουειν. Jer. vi.* 10. *Ald. Comp. Gen. xxxvii.* 4.

61 Ειδως δε ὁ Ιησους εν ἑαυτῳ, ὁτι γογγυζουσι περι τουτου οἱ μαθηται αυτου, ειπεν αυτοις, Τουτο ὑμας σκανδαλιζει;

ειδως. Esa. liii. 3. *εν ἑαυτῳ. Gen. xviii.* 12. *εγενηθη αυτοις εις σκανδαλον. Ps. cv.* 36. *ὁ ζητων νομον εμπλησθησεται αυτου, και ὁ ὑποκρινομενος σκανδαλισθησεται εν αυτῳ. Sir. xxxv.* 15.

62 Εαν ουν θεωρητε τον υἱον του ανθρωπου αναβαινοντα ὁπου ην το προτερον;

και εισελευσονται οἱ υἱοι αυτων, ὡς το προτερον. Jer. xxxvii. 20. *Conf. Marc. xvi.* 19. *Luc. xxiv.* 51. *Act. i.* 9. *Ps. lxvii.* 18. *Ephes. iv.* 8. *Conf. cap. i.* 1. 18. *iii.* 13. *vi.* 46. *Rom. ix.* 5. *Apoc. i.* 8.

63 Το πνευμα το εστι ζωοποιουν, ἡ σαρξ ουκ ωφελει ουδεν· τα ῥηματα ἁ εγω λαλω ὑμιν, πνευμα εστι και ζωη εστιν.

ὁτι ουχι λογος κενος οὑτος ὑμιν· ὁτι αὑτη ἡ ζωη ὑμων κ. τ. λ. Deut. xxxii. 47. *και επιστρεψας ἐζωοποιησας με. Ps. lxx.* 20. *Eccles. vii.* 13. *μη Θεος εγω του—ζωοποιησαι;* 4 *Reg. v.* 7. *Ald. Comp. πνευματι ἡγεμονικῳ στηριξον με. Ps. l.* 11. *Conf. Sap. xii.* 1. *ὁς ουκ ωφελησει αυτους. Esa. xxx.* 5, 6. *ωφελεια σοι ουκ εστι. Jer. xxxvii.* 13. *Sir. xx.* 30. *xxxi.* 23. *ὁ Θεος, συ επιστρεψας ζωωσεις ἡμας, κ. τ. λ. Ps. lxxxiv.* 6. *ιδου εγω φερω εφ' ὑμας πνευμα ζωης. Ezech. xxxvii.* 5. *Conf.* 2 *Cor. iii.* 6. *Heb. ix.* 12. *x.* 10. *τον δεσποζοντα της ζωης και του πνευματος.* 2 *Mac. xiv.* 46. *ιδου απεριτμητα τα ωτα αυτων, και ου δυνησονται ακουειν. Jer. vi.* 10.

64 Αλλ᾽ εισιν εξ ὑμων τινες οἱ ου πιστευουσιν. Ηδει γαρ εξ αρχης ὁ Ιησους, τινες εισιν οἱ μη πιστευοντες, και τις εστιν ὁ παραδωσων αυτον.

ὁ παραδωσων. *Jer. xxxviii.* 20. 1 *Mac. vii.* 35. 2 *Mac. xiv.* 33. Κυριε εδοκιμασας με, και εγνως με, κ. τ. λ. *Ps. cxxxviii.* 1, 2.

65 Και ελεγε, Δια τουτο ειρηκα ὑμιν, ὁτι ουδεις δυναται ελθειν προς με, εαν μη ῃ δεδομενον αυτῳ εκ του πατρος μου.

ουδε εν ισχυϊ, αλλα εν πνευματι μου. *Zach. iv.* 6. και εκχεω—πνευμα χαριτος και οικτιρμου. *xii.* 10. και δωσω πνευμα μου εις ὑμας, και ζησεσθε. *Ezech. xxxvii.* 14. ζωωσεις ἡμας, και το ονομα σου επικαλεσομεθα, κ. τ. λ. *Ps. lxxix.* 18, 19. *cxviii.* 36, 37.

66 Εκ τουτου πολλοι απηλθον των μαθητων αυτου εις τα οπισω, και ουκετι μετ᾽ αυτου περιεπατουν.

απηλλοτριωθησαν εις τα οπισω. *Esa. i.* 4. *Ald. Comp. Ps. lxxvii.* 57. συντηρησον και προσεχε σφοδρως, ὁτι μετα της πτωσεως σου περιπατεις. *Sir. xiii.* 13. *Prov. viii.* 20. *Eccles. xi.* 9.

67 Ειπεν ουν ὁ Ιησους τοις δωδεκα, Μη και ὑμεις θελετε ὑπαγειν;

οἱ δωδεκα. 2 *Reg. xxiii.* 18-23. *xv.* 19, 20.

68 Απεκριθη ουν αυτῳ Σιμων Πετρος, Κυριε, προς τινα απελευσομεθα; ῥηματα ζωης αιωνιου εχεις·

συ ει ἡ ελπις μου, μερις μου εν γῃ ζωντων. *Ps. cxli.* 5. το ῥημα σου τους σοι πιστευοντας διατηρει. *Sap. xvi.* 26.

69 Και ἡμεις πεπιστευκαμεν, και εγνωκαμεν ὁτι συ ει ὁ Χριστος ὁ υἱος του Θεου του ζωντος.

Θεου ζωντος. *Deut. iv.* 33. *Conf. Matt. xvi.* 16. *Marc. viii.* 29. *Luc. ix.* 20. Χριστος. *Dan. ix.* 25. υἱος μου ει συ. *Ps. ii.* 7.

70 Απεκριθη αυτοις ὁ Ιησους, Ουκ εγω ὑμας τους δωδεκα εξελεξαμην, και εξ ὑμων εἱς διαβολος εστιν;

και εσται ὁ ανηρ ὁν εκλελεκται Κυριος, κ. τ. λ. *Num. xvi.* 7. *Deut. xvii.* 15. καταστησον επ᾽ αυτον ἁμαρτωλον, και διαβολος στητω εκ δεξιων αυτου. *Ps. cviii.* 6. ου γαρ αξιος ὁ διαβολος της αυλης του βασιλεως. *Est. vii.* 4. *viii.* 1. *Conf. Luc. vi.* 16. *Joan. viii.* 44. και (αλλα). *Ita*, και ουκ εισηκουσαν. *Zach. i.* 4. *viii.* 19. *Gen. xxi.* 7. *Conf. Elsner in loc. Conf.* 1 *Joan. iii.* 8. *Act. xiii.* 10.

71 Ελεγε δε τον Ιουδαν Σιμωνος Ισκαριωτην· οὑτος γαρ ημελλεν αυτον παραδιδοναι, εἱς ων εκ των δωδεκα.

Ιουδαν (υἱον) Σιμωνος. *Ita*, εγω Αζαριας Ανανιου του μεγαλου. *Tob. v.* 12. ελεγε δε (εις) τον Ιουδαν. *Ita*, ὁ ειπων (εις) τον ασεβη, Δικαιος εστι. *Prov. xxiv.* 24. *Bos.* και γαρ ὁ ανθρωπος της ειρηνης, μου εφ' ὁν ηλπισα, ὁ εσθιων αρτους μου, εμεγαλυνεν επ' εμε πτερνισμον. *Ps. xl.* 9. εἱς εξ αυτων. *Sir. xxxv.* 1.

ΚΕΦ. ζ. 7.

ΚΑΙ περιεπατει ὁ Ιησους μετα ταυτα εν τῃ Γαλιλαιᾳ· ου γαρ ηθελεν εν τῃ Ιουδαιᾳ περιπατειν, ὁτι εζητουν αυτον οἱ Ιουδαιοι αποκτειναι.

εν Βαβυλωνι περιπατων. *Dan. iv.* 26. και εζητουν αποκτειναι αυτον. *Jer. xxxiii.* 21. *Conf. Esa. ix.* 1, 2.

2 Ην δε εγγυς ἡ ἑορτη των Ιουδαιων ἡ σκηνοπηγια.

εν τῃ ἑορτῃ της σκηνοπηγιας, κ. τ. λ. *Deut. xvi.* 16. *Lev. xxiii.* 34. 1 *Mac. x.* 21. *Conf. Neh. viii.* 14. *Zech. xiv.* 16. [*Conf. Jos. Ant. iii.* 10. 4. *iv.* 8. 12.]

3 Ειπον ουν προς αυτον οἱ αδελφοι αυτου, Μεταβηθι εντευθεν, και ὑπαγε εις την Ιουδαιαν, ἱνα και οἱ μαθηται σου θεωρησωσι τα εργα σου ἁ ποιεις·

Conf. Matt. xii. 46. *Marc. iii.* 31. *Act. i.* 14.

4 Ουδεις γαρ εν κρυπτῳ τι ποιει, και ζητει αυτος εν παῤῥησιᾳ ειναι. ει ταυτα ποιεις, φανερωσον σεαυτον τῳ κοσμῳ.

εν παῤῥησιᾳ. *Sap. v.* 1. *Lev. xxvi.* 13. *Prov. i.* 20. σωτηρια κοσμου. *Sap. vi.* 24. εν κρυπτῳ, *clam.* πορευομενος εν ακακιᾳ. *Ps. lxxxiii.* 11. εν ατιμιᾳ. *Judith. i.* 11. εν ὁμονοιᾳ. *Sap. xviii.* 9.

5 Ουδε γαρ οἱ αδελφοι αυτου επιστευον εις αυτον.

Conf. Jer. xii. 6. *Matt. iii.* 21.

6 Λεγει ουν αυτοις ὁ Ιησους, Ὁ καιρος ὁ εμος ουπω παρεστιν· ὁ δε καιρος ὁ ὑμετερος παντοτε εστιν ἑτοιμος.

διοτι παρεστιν ἡμερα Κυριου. *Joel. ii.* 1. ἡκει ἡ ἡμερα σου και ὁ καιρος. *Jer. xxvii.* 31. εληλυθασιν οἱ καιροι αυτης. *Ps. ci.* 13. *Eccles. iii.* 1.

7 Ου δυναται ὁ κοσμος μισειν ὑμας· εμε δε μισει, ὁτι εγω μαρτυρω περι αυτου, ὁτι τα εργα αυτου πονηρα εστιν.

και ουκ ηδυναντο λαλειν αυτῳ ουδεν ειρηνικον. *Gen. xxxvii.* 4. *Conf. cap. v.* 19. μισουντες τα καλα, και ζητουντες τα πονηρα. *Mich. iii.* 2. *Sap. ii.* 12. εργα γυναικος πορνης; *Ezech. xvi.* 30. *Esa. lix.*

6. οἱ δε ἁμαρτανοντες εις εμε ασεβουσιν εις τας ἑαυτων ψυχας, και οἱ μισουντες με αγαπωσι θανατον. Prov. viii. 36. ειπεν Αχααβ προς Ηλιου, Ει εὑρηκας με ὁ εχθρος μου; 3 Reg. xx. 20. xxii. 8. παν ζωον αγαπᾳ το ὁμοιον αυτῳ. Sir. xiii. 15.

8 Ὑμεις αναβητε εις την ἑορτην ταυτην· εγω ουπω αναβαινω εις την ἑορτην ταυτην, ὁτι ὁ καιρος ὁ εμος ουπω πεπληρωται.

ὁσα αν μη αναβῃ του ἑορτασαι την ἑορτην. Zach. xiv. 18, 19. πεπληρωνται γαρ αἱ ἡμεραι. Gen. xxix. 21. Num. vi. 5.

9 Ταυτα δε ειπων αυτοις, εμεινεν εν τῃ Γαλιλαιᾳ.

10 Ὡς δε ανεβησαν οἱ αδελφοι αυτου, τοτε και αυτος ανεβη εις την ἑορτην, ου φανερως, αλλ᾽ ὡς εν κρυπτῳ.

11 Οἱ ουν Ιουδαιοι εζητουν αυτον εν τῃ ἑορτῃ, και ελεγον, Που εστιν εκεινος;

12 Και γογγυσμος πολυς περι αυτου ην εν τοις οχλοις. οἱ μεν ελεγον, Ὁτι αγαθος εστιν. αλλοι δε ελεγον, Ου· αλλα πλανᾳ τον οχλον.

ανηρ αγαθος οὑτος, κ. τ. λ. 2 Reg. xviii. 27. και επλανησεν αυτους. 4 Reg. xxi. 9. εγογγυσαν περι ὑμων. Num. xiv. 27. Conf. Neh. vii. 2. Matt. xxi. 46. Luc. vii. 16. Prov. xxvi. 19.

13 Ουδεις μεντοι παρρησιᾳ ελαλει περι αυτου, δια τον φοβον των Ιουδαιων.

μεντοι. Prov. v. 4. δια τον φοβον των Ιουδαιων. Est. viii. 17.

14 Ηδη δε της ἑορτης μεσουσης, ανεβη ὁ Ιησους εις το ἱερον, και εδιδασκε.

μεσουσης της νυκτος. Exod. xii. 29. xxxiv. 22. εν μεσῳ της ἑορτης σου. Ps. lxxiii. 4. Conf. Neh. viii. 3. Ald. Comp.

15 Και εθαυμαζον οἱ Ιουδαιοι λεγοντες, Πως οὑτος γραμματα οιδε, μη μεμαθηκως;

διδαξαι αυτους γραμματα και γλωσσαν. Dan. i. 4. και δοθησεται το βιβλιον τουτο εις χειρας ανθρωπου μη επισταμενου γραμματα—και ερει, Ουκ επισταμαι γραμματα. Esa. xxix. 12. Conf. Matt. xiii. 54. Marc. vi. 3. Luc. iv. 16. [δια το εκ των ἱερων ἡμων πεπεισθαι γραμματων. Jos. Ant. xviii. 5. 8. c. Ap. 1. 8.]

16 Απεκριθη αυτοις ὁ Ιησους και ειπεν, Ἡ εμη διδαχη ουκ εστιν εμη, αλλα του πεμψαντος με·

ου γαρ καθ᾽ ἡμων (sc. μονον) εστιν ὁ γογγυσμος ὑμων, αλλ᾽ η κατα του Θεου. Exod. xvi. 8. Conf. Amos. vii. 14-16.

17 Εαν τις θελη το θελημα αυτου ποιειν, γνωσεται περι της
διδαχης, ποτερον εκ του Θεου εστιν, η εγω απ' εμαυτου λαλω.

παντα τα θεληματα μου ποιησει. *Esa. xliv.* 28. ποτερον. *Job. vii.* 12. *Sap. vi.* 12, 13. *Sir. i.* 25. ὁτι ουκ απ' εμαυτου. *Num. xvi.* 28. *Conf. Joan. iii.* 21. *viii.* 47. [ου πολυς πονος τοις θελουσι κατα τους κειμενους νομους ζην. *Philo de Abrah. p.* 350.] *Conf. Exod. ii.* 23.

18 Ὁ αφ' ἑαυτου λαλων, την δοξαν την ιδιαν ζητει· ὁ δε ζη-
των την δοξαν του πεμψαντος αυτον, οὑτος αληθης εστι, και
αδικια εν αυτω ουκ εστιν.

και ουκ εστιν αδικια εν αυτω. *Exod. xxxii.* 4. *O. Ald. Comp. Ps. xci.* 15. και ανομησωσιν ανομοι, και ου συνησουσι παντες ανομοι, και οἱ νοημονες συνησουσι. *Dan. xii.* 10. οἱ δε διεσπαρμενοι πορευσονται επ' αυτης, και ου μη πλανηθωσι. *Esa. xxxv.* 8. νυν γαρ εγνων, ὁτι φοβη συ τον Θεον. *Gen. xxii.* 12. *Sir. xlvi.* 6.

19 Ου Μωσης δεδωκεν ὑμιν τον νομον, και ουδεις εξ ὑμων ποιει
τον νομον; τι με ζητειτε αποκτειναι;

νομον, ὁν ενετειλατο ἡμιν Μωυσης. *Deut. xxxiii.* 4. και δωσω σοι— τον νομον και τας εντολας. *Exod. xxiv.* 12. αθωον και δικαιον ουκ αποκτενεις. *xxiii.* 7. και τον νομον και τας εντολας ἁς εγραψεν ὑμιν ποιειν, φυλασσεσθε. 4 *Reg. xvii.* 37. τι βοας προς με; *Exod. xiv.* 15. *Conf. Matt. xii.* 14. *Marc. iii.* 6. *Act. vii.* 53.

20 Απεκριθη ὁ οχλος και ειπε, Δαιμονιον εχεις· τις σε ζητει
αποκτειναι;

δαιμονιον. *Matt. iv.* 24. *vii.* 22. *cap. viii.* 48. *x.* 20.

21 Απεκριθη ὁ Ιησους και ειπεν αυτοις, Ἑν εργον εποιησα, και
παντες θαυμαζετε.

ἑν (*redundat*). *Ita*, επιστολη μια. *Esd. iv.* 8. εικων μια. *Dan. ii.* 31. μη θαυμαζε εν εργοις ἁμαρτωλου. *Sir. xi.* 21.

22 Δια τουτο Μωσης δεδωκεν ὑμιν την περιτομην, (ουχ ὁτι εκ
του Μωσεως εστιν, αλλ' εκ των πατερων·) και εν σαββατω
περιτεμνετε ανθρωπον.

δια τουτο, *vere, profecto, Ita, Ps. xxx.* 22. και τη ἡμερα τη ογδοη περιτεμει την σαρκα της ακροβυστιας αυτου. *Lev. xii.* 3. *Gen. xvii.* 10, 11. κ. τ. λ. ανθρωπος. (*puer.*) *Sir. iii.* 11. *Joan. xvi.* 2.

23 Ει περιτομην λαμβανει ανθρωπος εν σαββατω, ἱνα μη
λυθη ὁ νομος Μωσεως, εμοι χολατε ὁτι ὁλον ανθρωπον ὑγιη
εποιησα εν σαββατω;

μη λυθη ὁ νομος. *Conf.* 2 *Mac. iv.* 11. *Ps. lxxxviii.* 44. χολατε. 3 *Mac.*

iii. 1. *Ps. lxxvii.* 21. *Sym.* [και λελυκασι τους πατριους νομους. *Jos. Ant. xi.* 5. 3.] [*Philo de Circumcis. p.* 610.]

24 Μη κρινετε κατ᾽ οψιν, αλλα την δικαιαν κρισιν κρινατε.

ὁς δικαιον κρινει τον αδικον, αδικον δε τον δικαιον, ακαθαρτος και βδελυκτος παρα Θεῳ. *Prov. xvii.* 15. ουκ εκριναν κρισιν ορφανου και κρισιν χηρας. *Jer. v.* 28. ἡ οψις (προσωπον) της γης. *Exod. x.* 5, 15. *Num. xxii.* 5, 11. εν οψει ανθρωπων. *Sap. iii.* 4. ουκ επιγνωσῃ προσωπον εν κρισει. *Deut. i.* 17. *xvi.* 19. κριμα δικαιον κρινετε. *Zach. vii.* 9. *Conf. Esa. xi.* 1-4. *Prov. xxiv.* 23. *Alex. Aq. S. Theod. Ps. lvii.* 1. *Jac. ii.* 1. 1 *Reg. xvi.* 7. [οψις. *Jos. Bell. Jud. iii.* 5. 2.]

25 Ελεγον ουν τινες εκ των Ἱεροσολυμιτων, Ουχ οὑτος εστιν, ὁν ζητουσιν αποκτειναι;

26 Και ιδε, παρρησιᾳ λαλει, και ουδεν αυτῳ λεγουσι. μηποτε αληθως εγνωσαν οἱ αρχοντες, ὁτι οὑτος εστιν αληθως ὁ Χριστος;

και ουδεν αυτῳ λεγουσι. *Est. iii.* 3. μηποτε. *Conf. Gen. xlvii.* 18. *Jud. iii.* 24. ὁ Χριστος. *Dan. ix.* 25.

27 Αλλα τουτον οιδαμεν ποθεν εστιν· ὁ δε Χριστος ὁταν ερχηται, ουδεις γινωσκει ποθεν εστιν.

τινος συ ει, και ποθεν ει; 1 *Reg. xxx.* 13. 2 *Reg. i.* 13. *Conf. Matt. xiii.* 55. *Marc. vi.* 3. *Luc. iv.* 22. την γενεαν αυτου τις διηγησεται; *Esa. liii.* 8. *Heb. vii.* 3. *Esa. ix.* 6, 7. *Matt. i.* 23. *xxii.* 42.

28 Εκραξεν ουν εν τῳ ἱερῳ διδασκων ὁ Ιησους και λεγων, Και με οιδατε, και οιδατε ποθεν ειμι· και απ᾽ εμαυτου ουκ εληλυθα, αλλ᾽ εστιν αληθινος ὁ πεμψας με, ὁν ὑμεις ουκ οιδατε·

εκραξε. *Exod. xxii.* 23. κεκραγασι, λεγοντες. *v.* 8. εληλυθα. *Jer. xxvii.* 26. *Conf. Num. xxiv.* 13. *Rom. iii.* 4. *Sap. xiii.* 1.

29 Εγω δε οιδα αυτον, ὁτι παρ᾽ αυτου ειμι, κακεινος με απεστειλεν.

Conf. cap. i. 18. *iii.* 13. *vi.* 46. *viii.* 47. *Matt. xi.* 27. πνευμα Κυριου επ᾽ εμε, οὑ εινεκεν εχρισε με, ευαγγελισασθαι πτωχοις απεσταλκε με, κ. τ. λ. *Esa. lxi.* 1, 2.

30 Εζητουν ουν αυτον πιασαι· και ουδεις επεβαλεν επ᾽ αυτον την χειρα, ὁτι ουπω εληλυθει ἡ ὡρα αυτου.

πιασαι. *Cant. ii.* 15. μη επιβαλῃς την χειρα σου επι το παιδαριον. *Gen. xxii.* 12. ιδου ἡμερα ερχεται. *Mal. iv.* 1. και οὑ ουχ ὑπενοησε πιασθησεται. *Sir. xxiii.* 21. *Conf. Marc. xi.* 18. *Luc.*

xix. 47. [*σος, ειπε, νυν ὁ καιρος εστι. Philo. p.* 1016.]

31 Πολλοι δε εκ του οχλου επιστευσαν εις αυτον, και ελεγον, Ὁτι ὁ Χριστος ὁταν ελθῃ, μητι πλειονα σημεια τουτων ποιησει, ὡν οὑτος εποιησεν;

Conf. Dan. ix. 24-26. *τουτων—ὡν. Sophon. iii.* 11.

32 Ηκουσαν οἱ Φαρισαιοι του οχλου γογγυζοντος περι αυτου ταυτα· και απεστειλαν οἱ Φαρισαιοι και οἱ Αρχιερεις ὑπηρετας, ἱνα πιασωσιν αυτον.

Conf. Joan. vii. 12. [*ὑπηρετας. Jos. Ant. iv.* 3. 1. *xv.* 8. 4.]

33 Ειπεν ουν αυτοις ὁ Ιησους, Ετι μικρον χρονον μεθ' ὑμων ειμι, και ὑπαγω προς τον πεμψαντα με.

χρονον μικρον κατελιπον σε, και μετ' ελεους μεγαλου ελεησω σε. Esa. liv. 7. *προ μικρου χρονου.* 2 *Mac. x.* 6. *Exod. xvii.* 4. *και ετι ολιγον και ου μη ὑπαρξῃ ἁμαρτωλος, και ζητησεις τον τοπον αυτου και ου μη εὑρῃς. Ps. xxxvi.* 10. *ετι μικρον, και ἡξει αμητος. Jer. xxviii.* 33. *Conf. Ps. xxix.* 5.

34 Ζητησετε με, και ουχ εὑρησετε· και ὁπου ειμι εγω, ὑμεις ου δυνασθε ελθειν.

και εζητει αυτον, και ουχ εὑρισκετο. 1 *Reg. x.* 21. *Ose. v.* 6. *Cant. iii.* 1-4. *Conf. Matt. xxiii.* 39. *Luc. xiii.* 35.

35 Ειπον ουν οἱ Ιουδαιοι προς ἑαυτους, Που οὑτος μελλει πορευεσθαι, ὁτι ἡμεις ουχ εὑρησομεν αυτον; μη εις την διασποραν των Ἑλληνων μελλει πορευεσθαι, και διδασκειν τους Ἑλληνας;

και τας διασπορας του Ισραηλ επισυναξει. Ps. cxlvii. 2. *Deut. xxxii.* 26. *Esa. xi.* 12. *επισυναγαγε την διασποραν ἡμων.* 2 *Mac. i.* 27. *εκ περατων ποταμων Αιθιοπιας προσδεξομαι εν διεσπαρμενοις μου, κ. τ. λ. Sophon. iii.* 10, 11. *Ἑλληνας, (Gentiles). Conf. Esa. ix.* 12. 2 *Mac. iv.* 13, 36. *vi.* 9. *Jac. i.* 1. 1 *Pet. i.* 1. [*το Ιουδαιων γενος πολυ μεν κατα την οικουμενην παρεσπαρται τοις εγχωριοις. Jos. Bell. Jud. viii.* 3. 3. *ὁπερ (εθνος) ουκ εξεδεξατο καθαπερ των αλλων ἑκαστον μιας χωρας—περιβολος, αλλ' ολιγου δεω φαναι πασα ἡ οικουμενη· κεχυται γαρ ανα τε της ηπειρους και νησους ἁπασας. Philo ad Cai.* 1023 *et* 1232.]

36 Τις εστιν οὑτος ὁ λογος ὁν ειπε, Ζητησετε με, και ουχ εὑρησετε· και, Ὁπου ειμι εγω, ὑμεις ου δυνασθε ελθειν;

37 Εν δε τῃ εσχατῃ ἡμερᾳ τῃ μεγαλῃ της ἑορτης εἱστηκει ὁ Ιησους, και εκραξε λεγων, Εαν τις διψᾳ, ερχεσθω προς με και πινετω·

εν ευσημῳ ἡμερᾳ ἑορτης ὑμων. *Ps. lxxx.* 3. *Lev. xxiii.* 36. και τα σαββατα και ἡμεραν μεγαλην. *Esa. i.* 13. *xii.* 3. οἱ διψωντες πορευεσθε εφ' ὑδωρ. *lv.* 1. *Conf. sup. iv.* 14. *vi.* 35. *Apoc. xxii.* 17. *Zach. xiv.* 16. *Conf.* 1 *Tim. ii.* 4. 2 *Pet. iii.* 9. *Apoc. iii.* 20. *Esa. lv.* 1. *lvi.* 7. *xliii.* 3. [ισταμενος ηυχετο. *Jos. Ant. x.* 11. 6.]

38 Ὁ πιστευων εις εμε, καθως ειπεν ἡ γραφη, ποταμοι εκ της κοιλιας αυτου ῥευσουσιν ὑδατος ζωντος.

και αντλησατε ὑδωρ μετ' ευφροσυνης εκ των πηγων του σωτηριου. *Esa. xii.* 3. *xliv.* 3. *Prov. xviii.* 4. και ἡ κοιλια σου πλησθησεται της κεφαλιδος ταυτης. *Ezech. iii.* 3. ὁς ερευνᾳ ταμιεια κοιλιας. *Prov. xx.* 27. και τον νομον σου εν μεσῳ της κοιλιας μου. *Ps. xxxix.* 8. *Alex. Ald. Comp.* *xlv.* 4. και εν τῃ ἡμερᾳ εκεινῃ εξελευσεται ὑδωρ ζων εξ Ἱερουσαλημ. *Zach. xiv.* 8. *Ezech. vii.* 19. την κοιλιαν μου αλγω και τα αισθητηρια της καρδιας μου. *Jer. iv.* 19. *Job. xxxviii.* 29, 30. μεθυσθησονται απο πιοτητος οικου σου, και του χειμαρρουν της τρυφης σου ποτιεις αυτους, κ. τ. λ. *Ps. xxxv.* 8, 9. δια τουτο ἡ κοιλια μου—ηχησει, και τα εντος μου ὡς τειχος ενεκαινισας. *Esa. xvi.* 11. *Conf. Sir. li.* 21.

39 (Τουτο δε ειπε περι του Πνευματος, οὗ εμελλον λαμβανειν οἱ πιστευοντες εις αυτον· ουπω γαρ ην Πνευμα ἁγιον, ὁτι ὁ Ιησους ουδεπω εδοξασθη.)

εδοξασεν ὁ βασιλευς—Αμαν. *Est. iii.* 1. Ισραηλ δοξασθησεται. *Esa. xliv.* 23. περι του Πνευματος, οὗ. *Ita,* των κακων, ὡν εγω επαγω. *Jer. xxviii.* 64. πνευμα το ἁγιον. *Esa. lxiii.* 10. *Ps. li.* 12. *Joel. ii.* 28. *Act. ii.* 17-28. *Tit. iii.* 6. 2 *Cor. iii.* 8. Ἁβρααμ μεγας πατηρ πληθους εθνων, και ουχ εὑρεθη ὁμοιος εν τῃ δοξῃ, κ. τ. λ. *Sir. xliv.* 19-21.

40 Πολλοι ουν εκ του οχλου ακουσαντες τον λογον, ελεγον, Οὑτος εστιν αληθως ὁ προφητης.

Conf. Deut. xviii. 15, 18. *Matt. xxi.* 46. *Luc. vii.* 16.

41 Αλλοι ελεγον, Οὑτος εστιν ὁ Χριστος. Αλλοι δε ελεγον, Μη γαρ εκ της Γαλιλαιας ὁ Χριστος ερχεται;

φανερα εσται ἡ Γαλιλαια. *Esa. xxxiii.* 9. *Matt. xvi.* 14.

42 Ουχι ἡ γραφη ειπεν, ὁτι εκ του σπερματος Δαβιδ, και απο Βηθλεεμ, της κωμης ὁπου ην Δαβιδ, ὁ Χριστος ερχεται;

εκ καρπου της κοιλιας σου θησομαι επι του θρονου σου. *Ps. cxxxi.* 11. και συ Βηθλεεμ, οικος Εφραθα, κ. τ. λ. *Mich. v.* 2. *Matt. ii.* 5. *Luc. ii.* 4. *Sir. xlv.* 25, 26. και ηλθεν εις Βηθλεεμ. 1 *Reg. xvi.* 4. *xx.* 6, 28. *Esa. xi.* 1. *Jer. xxiii.* 5.

43 Σχισμα ουν εν τῳ οχλῳ εγενετο δι' αυτον.

εσχιζοντο απ' αυτου ενθα και ενθα. 1 Mac. vi. 45.

44 Τινες δε ηθελον εξ αυτων πιασαι αυτον, αλλ' ουδεις επεβαλεν επ' αυτον τας χειρας.

πιασαι. Cant. ii. 15. μη επβαλῃς την χειρα σου επι το παιδαριον. Gen. xxii. 12. Conf. Ps. lxxv. 10.

45 Ηλθον ουν οἱ ὑπηρεται προς τους Αρχιερεις και Φαρισαιους· και ειπον αυτοις εκεινοι, Διατι ουκ ηγαγετε αυτον;

και ηγαγεν αυτον εις Βαβυλωνα. Jer. xlvi. 7.

46 Απεκριθησαν οἱ ὑπηρεται, Ουδεποτε οὑτως ελαλησεν ανθρωπος, ὡς οὑτος ὁ ανθρωπος.

και ουκ απεκωλυσεν αυτον ὁ πατηρ αυτου ουδεποτε. 3 Reg. i. 6. ανομιαν ουκ εποιησεν, ουδε δολον εν τῳ στοματι αυτου. Esa. liii. 9. ὡραιος καλλει παρα τους υἱους των ανθρωπων. Ps. xliv. 2.

47 Απεκριθησαν ουν αυτοις οἱ Φαρισαιοι, Μη και ὑμεις πεπλανησθε;

48 Μη τις εκ των αρχοντων επιστευσεν εις αυτον, η εκ των Φαρισαιων;

εἱς των αρχοντων αυτων. Dan. xi. 5. τις εκ της φυλης Λευι. Exod. ii. 1. Conf. 1 Cor. i. 20. ii. 8. Act. vi. 7.

49 Αλλ' ὁ οχλος οὑτος ὁ μη γινωσκων τον νομον, επικαταρατοι εισι.

επικαταρατοι οἱ εκκλινοντες απο των εντολων. Ps. cxviii. 21. επικαταρατος πας ανθρωπος ὁς ουκ εμμενει εν πασι τοις λογοις του νομου τουτου. Deut. xxvii. 26. xxviii. 15.

50 Λεγει Νικοδημος προς αυτους, ὁ ελθων νυκτος προς αυτον, εἱς ων εξ αυτων,

51 Μη ὁ νομος ἡμων κρινει τον ανθρωπον, εαν μη ακουσῃ παρ' αυτου προτηρον, και γνῳ τι ποιει;

Conf. Exod. xxiii. 1. Lev. xix. 15. Deut. i. 17. xvii. 4, 8. xix. 15.

52 Απεκριθησαν και ειπον αυτῳ, Μη και συ εκ της Γαλιλαιας ει; ερευνησον και ιδε, ὁτι προφητης εκ της Γαλιλαιας ουκ εγηγερται.

ερευνησατε και ιδετε. 4 Reg. x. 23. Conf. Esa. ix. 1, 2. Matt. iv. 15.

53 Και επορευθη ἑκαστος εις τον οικον αὑτου.

ανηρ εις τα σκηνωματα σου Ισραηλ. 2 Reg. xx. 1. 3 Reg. xii. 16.

Κυριος διασκεδαζει βουλας εθνων, αθετει δε λογισμους λαων, και αθετει βουλας αρχοντων. *Ps. xxxii.* 10. *Job. v.* 12, 13.

ΚΕΦ. η. 8.

ΙΗΣΟΥΣ δε επορευθη εις το ορος των Ελαιων·

και στησονται οἱ ποδες αυτου εν τῃ ἡμερᾳ εκεινῃ επι το ορος των Ελαιων. *Zach. xiv.* 4. *Matt. xxi.* 1. *Marc. xi.* 1.

2 Ορθρου δε παλιν παρεγενετο εις το ἱερον, και πας ὁ λαος ηρχετο προς αυτον· και καθισας εδιδασκεν αυτους.

ορθρου δε ειπον τῳ βασιλει. *Est. v.* 14. και απεστελλον προς ὑμας τους δουλους μου—ορθρου αποστελλων. *Jer. xxv.* 4.

3 Αγουσι δε οἱ Γραμματεις και οἱ Φαρισαιοι προς αυτον γυναικα εν μοιχειᾳ κατειλημμενην, και στησαντες αυτην εν μεσῳ,

εαν δε καταλειφθῃ και εὑρεθῃ εν τῃ χειρι αυτου. *Exod. xxii.* 4. και στησει αυτην εναντι Κυριου. *Num. v.* 16, 18. εν μεσῳ αυτων. *Job. ii.* 1. *Conf. Matt. iii.* 7.

4 Λεγουσιν αυτῳ, Διδασκαλε, αὑτη ἡ γυνη κατεληφθη επαυτοφωρῳ μοιχευομενη.

[επ᾽ αυτοφωρῳ· ὁ φανερως καταληφθεις, ὑπευθυνος γενομενος. *Hesych.*] [*Jos. Ant. xvi.* 7. 5.]

5 Εν δε τῳ νομῳ Μωσης ἡμιν ενετειλατο τας τοιαυτας λιθοβολεισθαι· συ ουν τι λεγεις;

θανατῳ θανατουσθωσαν ὁ μοιχευων, και ἡ μοιχευομενη. *Lev. xx.* 10, 11. *Deut. xxii.* 22. ειπεν ὁ λαος λιθοβολησαι αυτον. 1 *Reg. xxx.* 6. *Exod. xxi.* 32. *Ezech. xvi.* 38-40. *Conf. Lev. xx.* 10.

6 Τουτο δε ελεγον πειραζοντες αυτον, ἱνα εχωσι κατηγορειν αυτου. Ὁ δε Ιησους κατω κυψας τῳ δακτυλῳ εγραφεν εις την γην·

και εκυψεν επι την γην. 3 *Reg. xviii.* 42. *Exod. iv.* 31. αφεστηκοτες επι της γης γραφητωσαν. *Jer. xvii.* 13. κατω εις γην. *Eccles. iii.* 21. *Esa. xxxvii.* 31.

7 Ὡς δε επεμενον ερωτωντες αυτον, ανακυψας ειπε προς αυτους, Ὁ αναμαρτητος ὑμων, πρωτος τον λιθον επ᾽ αυτῃ βαλετω.

ου δυναμαι ανακυψαι. *Job. x.* 15. τις γαρ ων βροτος, ὁτι εσται

αμεμπτος, η ὡς εσομενος δικαιος γεννητος γυναικος; *Job. xv.* 14. των αναμαρτητων νηπιων. 2 *Mac. viii.* 4. *xii.* 42. *Deut. xvii.* 7. *xxix.* 19. *Conf.* 1 *Joan. i.* 8. 3 *Reg. viii.* 46. *Rom. iii.* 23. *ii.* 1. καιρος του βαλειν λιθους, και καιρος του συναγαγειν λιθους. *Eccles. iii.* 5. *Conf. Luc. xviii.* 11.

8 Και παλιν κατω κυψας εγραφεν εις την γην.

9 Οἱ δε ακουσαντες, και ὑπο της συνειδησεως ελεγχομενοι,
εξηρχοντο εἱς καθ' εἱς αρξαμενοι απο των πρεσβυτερων ἑως των
εσχατων· και κατελειφθη μονος ὁ Ιησους, και ἡ γυνη εν μεσῳ
ἑστωσα.

συνεχομενη τῃ συνειδησει. *Sap. xvii.* 11. ελεγξω σε, και παραστησω κατα προσωπον σου. *Ps. l.* 21. εβουλευσατο μετα των πρεσβυτερων. 2 *Par. xxxii.* 3. *Num. x.* 31. *Vide Keuchen.* απο νεανισκου και ἑως πρεσβυτερου. *Jos. vi.* 21. *Alex. Ald. O. Gen. xliii.* 33. ὑπελειφθη δε Ιακωβ μονος. *Gen. xxxii.* 24. ἑστωσα. *Dan. ii.* 31. 1 *Par. vi.* 39. και κατελειφθη μονος Νωε. *Gen. vii.* 23. [ἡ συνειδησις μου συνεχει με περι της ἁμαρτιας μου. *Test. XII Patr. p.* 527.] ὁ καθ' εἱς. 3 *Mac. v.* 34. *Rom. xii.* 5.

10 Ανακυψας δε ὁ Ιησους, και μηδενα θεασαμενος πλην της
γυναικος, ειπεν αυτῃ, Ἡ γυνη, που εισιν εκεινοι οἱ κατηγοροι
σου; ουδεις σε κατεκρινεν;

11 Ἡ δε ειπεν, Ουδεις, Κυριε. Ειπε δε αυτῃ ὁ Ιησους, Ουδε
εγω σε κατακρινω· πορευου και μηκετι ἁμαρτανε.

πορευου εις ειρηνην. 1 *Reg. i.* 17. πορευου, ὁτι εξαπεσταλκε σε Κυριος. *xx.* 22. *Conf. Luc. ix.* 56. τεκνον, ἡμαρτες; μη προσθῃς μηκετι. *Sir. xxi.* 1. *Conf. cap. iii.* 17. *Luc. xii.* 14.

12 Παλιν ουν ὁ Ιησους αυτοις ελαλησε λεγων, Εγω ειμι το
φως του κοσμου· ὁ ακολουθων εμοι, ου μη περιπατησει εν τῃ
σκοτιᾳ, αλλ' ἑξει το φως της ζωης.

ελαλησε, λεγων. *Gen. xlii.* 22. το φως του προσωπου σου. *Ps. iv.* 6. εξαποστειλον το φως σου. *xlii.* 3. αλλ' εσται σοι Κυριος φως αιωνιον. *Esa. lx.* 19, 20. εδωκα σε—εις φως εθνων. *xlii.* 6. *xlix.* 6. εν φωτι ζωης. *Prov. xvi.* 15. ὑπομειναντων αυτων φως, εγενετο αυτοις σκοτος, μειναντες αυγην εν αωριᾳ περιεπατησαν. *Esa. lix.* 9. *Conf. Luc. ii.* 32. 1 *Joan. ii.* 11. *Marc. ix.* 38. οἱ πορευομενοι εν σκοτει, και ουκ εστιν αυτοις φως. *Esa. l.* 10. παρα σοι πηγη ζωης, εν τῳ φωτι σου οψομεθα φως. *Ps. xxxv.* 9. φωτιζου, φωτιζου Ἱερουσαλημ, ἡκει γαρ σου το φως, και ἡ δοξα Κυριου επι σε ανα-

τεταλκεν, κ. τ. λ. Esa. lx. 1, 2. *και ανατελει ὑμιν τοις φοβουμενοις το ονομα μου ἡλιος δικαιοσυνης, κ, τ. λ. Mal. iv.* 2. *εγγιζει ταχυ ἡ δικαιοσυνη μου, και εξελευσεται ὡς φως το σωτηριον μου, και εις τον βραχιονα μου εθνη ελπιουσι. Esa. li.* 5. *σωσον την ψυχην μου—και ἡ ζωη μου φως οψεται. Job. xxxiii.* 28.

13 Ειπον ουν αυτῳ οἱ Φαρισαιοι, Συ περι σεαυτου μαρτυρεις· ἡ μαρτυρια σου ουκ εστιν αληθης.

14 Απεκριθη Ιησους και ειπεν αυτοις, Καν εγω μαρτυρω περι εμαυτου, αληθης εστιν ἡ μαρτυρια μου· ὁτι οιδα ποθεν ηλθον, και που ὑπαγω· ὑμεις δε ουκ οιδατε ποθεν ερχομαι, και που ὑπαγω.

15 Ὑμεις κατα την σαρκα κρινετε· εγω ου κρινω ουδενα.

Conf. cap. vii. 24.

16 Και εαν κρινω δε εγω, ἡ κρισις ἡ εμη αληθης εστιν· ὁτι μονος ουκ ειμι, αλλ᾽ εγω και ὁ πεμψας με πατηρ.

17 Και εν τῳ νομῳ δε τῳ ὑμετερῳ γεγραπται, ὁτι δυο ανθρωπων ἡ μαρτυρια αληθης εστιν.

επι στοματος δυω μαρτυρων—στησεται παν ῥημα. Deut. xix. 15. *xvii.* 6. *Conf.* 2 *Cor. xiii.* 1. *Matt. xviii.* 16. *Heb. x.* 28. *ὁτι αληθες εσται το ῥημα το παρα του Θεου. Gen. xli.* 32. *και εὑροσαν γεγραμμενον εν τῳ νομῳ. Neh. viii.* 14. *CITAT.* 94.

18 Εγω ειμι ὁ μαρτυρων περι εμαυτου, και μαρτυρει περι εμου ὁ πεμψας με πατηρ.

19 Ελεγον ουν αυτῳ, Που εστιν ὁ πατηρ σου; Απεκριθη ὁ Ιησους, Ουτε εμε οιδατε, ουτε τον πατερα μου· ει εμε ῃδειτε, και τον πατερα μου ῃδειτε αν.

ουκ ισχυσαν ειδεναι Τον Οντα. Sap. xiii. 1.

20 Ταυτα τα ῥηματα ελαλησεν ὁ Ιησους εν τῳ γαζοφυλακιῳ, διδασκων εν τῳ ἱερῳ· και ουδεις επιασεν αυτον, ὁτι ουπω εληλυθει ἡ ὡρα αυτου.

εγενετο δε μετα το λαλησαι τον Κυριον παντα τα ῥηματα ταυτα. Job. xlii. 7. *εποιησεν ἑαυτῳ γαζοφυλακιον μεγα. Neh. xiii.* 5. 2 *Mac. iii.* 6. *Est. iii.* 9. *πιαζειν. Conf. Sir. xxiii.* 21. *Cant. ii.* 15.

21 Ειπεν ουν παλιν αυτοις ὁ Ιησους, Εγω ὑπαγω, και ζητησετε με, και εν τῃ ἁμαρτιᾳ ὑμων αποθανεισθε· ὁπου εγω ὑπαγω, ὑμεις ου δυνασθε ελθειν.

ιδου εγω πορευομαι τελευταν. *Gen.* xxv. 32. 3 *Reg.* ii. 2. *Jos.* xxiii. 14. ἑκαστος εν τῃ ἑαυτου ἁμαρτιᾳ αποθανειται. *Deut.* xxiv. 16. *Ezech.* xviii. 24. iii. 19. αποθνησκει δε αφρων εν ἁμαρτιαις. *Prov.* xxiv. 9. ουκ ελεησεν εθνος απωλειας, τους εξηρμενους [εξερχομενους *Comp.*] εν ἁμαρτιαις αυτων. *Sir.* xvi. 9.

22 Ελεγον ουν οἱ Ιουδαιοι, Μητι αποκτενει ἑαυτον, ὁτι λεγει, Ὁπου εγω ὑπαγω, ὑμεις ου δυνασθε ελθειν ;

23 Και ειπεν αυτοις, Ὑμεις εκ των κατω εστε, εγω εκ των ανω ειμι· ὑμεις εκ του κοσμου τουτου εστε, εγω ουκ ειμι εκ του κοσμου τουτου.

ὁ προσηλυτος ὁς εστιν εν σοι αναβησεται ανω ανω, συ δε καταβησῃ κατω κατω. *Deut.* xxviii. 43. *Conf. Col.* iii. 1, 2.

24 Ειπον ουν ὑμιν, Ὁτι αποθανεισθε εν ταις ἁμαρτιαις ὑμων· εαν γαρ μη πιστευσητε ὁτι Εγω Ειμι, αποθανεισθε εν ταις ἁμαρτιαις ὑμων.

εν ταις ἁμαρτιαις αυτου—αποθανειται. *Ezech.* xviii. 18. Ιδετε, ιδετε ὁτι Εγω Ειμι, κ. τ. λ. *Deut.* xxxii. 39. [אני הוא] ἱνα γνωτε και πιστευσητε και συνητε ὁτι Εγω Ειμι. *Esa.* xliii. 10. xlviii. 12. εαν δε μη πιστευσωσι σοι. *Exod.* iv. 8. εαν μη πιστευσητε, ουδε μη συνητε. *Esa.* vii. 9.

25 Ελεγον ουν αυτῳ, Συ τις ει; Και ειπεν αυτοις ὁ Ιησους, Την αρχην ὁ, τι και λαλω ὑμιν.

την αρχην. *Gen.* xliii. 20. *Dan.* viii. 1. ix. 21. *Gen.* xiii. 4. [(την αρχην, *omnino. Kuinoel.*) πως γαρ αν την αρχην εισελθειν ὑπεμειναν. *Philo de Abra. p.* 366. ουδε γαρ λογους την αρχην παραδεχεται. *de Leg. p.* 796.]

26 Πολλα εχω περι ὑμων λαλειν και κρινειν· αλλ᾽ ὁ πεμψας με αληθης εστι, καγω ἁ ηκουσα παρ᾽ αυτου, ταυτα λεγω εις τον κοσμον.

εις τον κοσμον, *pro* εν τῳ κοσμῳ. *Conf. Marc.* i. 39. *cap.* xv. 15.

27 Ουκ εγνωσαν ὁτι τον πατερα αυτοις ελεγεν.

Conf. Esa. vi. 9. xlii. 18-20. lix. 10.

28 Ειπεν ουν αυτοις ὁ Ιησους, Ὁταν ὑψωσητε τον υἱον του ανθρωπου, τοτε γνωσεσθε ὁτι εγω ειμι· και απ᾽ εμαυτου ποιω ουδεν, αλλα καθως εδιδαξε με ὁ πατηρ μου, ταυτα λαλω.

Conf. cap. iii. 14. xii. 32, 33. εν τουτῳ γνωσεσθε ὁτι Κυριος απεστειλε με ποιησαι παντα τα εργα ταυτα, ὁτι ουκ απ᾽ εμαυτου. *Num.* xvi. 28. [επι ξυλου ὑψωθησεται. *Test. XII Patr. p.* 739.]

29 Και ὁ πεμψας με, μετ᾽ εμου εστιν· ουκ αφηκε με μονον ὁ
πατηρ, ὁτι εγω τα αρεστα αυτῳ ποιω παντοτε.

και τα αρεστα ενωπιον σου εποιησα. *Esa. xxxviii.* 3. εποιησε γαρ —το αρεστον Κυριῳ. *Sir. xlviii.* 22. *Conf. Esa. xlii.* 1-6. *xlix.* 4-8. *liii.* 10-12. *Matt. xxvi.* 39. *Marc. xiv.* 36. *Luc. xxii.* 42.

30 Ταυτα αυτου λαλουντος πολλοι επιστευσαν εις αυτον.

και ελαλησεν Ααρων—και επιστευσεν ὁ λαος. *Exod. iv.* 30, 31. και επιστευσαν τῳ Θεῳ, και Μωυσῃ τῳ θεραποντι αυτου. *xiv.* 31.

31 Ελεγεν ουν ὁ Ιησους προς τους πεπιστευκοτας αυτῳ Ιου-
δαιους, Εαν ὑμεις μεινητε εν τῳ λογῳ τῳ εμῳ, αληθως μαθηται
μου εστε·

και τους μεμνηκοτας εν τῳ Ιουδαϊσμῳ. 2 *Mac. viii.* 1. οἱ πιστοι εν αγαπῃ προσμενουσιν αυτῳ. *Sap. iii.* 9.

32 Και γνωσεσθε την αληθειαν, και ἡ αληθεια ελευθερωσει
ὑμας.

και οἱ νοημονες συνησουσι. *Dan. xii.* 10. επισυναγαγε την διασποραν ἡμων, ελευθερωσον τους δουλευοντας εν τοις εθνεσι. 2 *Mac. i.* 27. *Conf. Ps. lxxxv.* 11. *Ose. ii.* 20. *Esa. lxi.* 1. *Rom. vi.* 14.

33 Απεκριθησαν αυτῳ, Σπερμα Αβρααμ εσμεν, και ουδενι δε-
δουλευκαμεν πωποτε· πως συ λεγεις, Ὁτι ελευθεροι γενη-
σεσθε;

σπερμα Ἀβρααμ. *Ps. civ.* 6. *Esa. xli.* 8. το δε εθνος ᾡ εαν δουλευσωσι. *Gen. xv.* 14. ελευθεροι. 1 *Esd. iii.* 19. *Neh. xiii.* 17. *Ps. cxviii.* 45.

34 Απεκριθη αυτοις ὁ Ιησους, Αμην αμην λεγω ὑμιν, Ὁτι πας
ὁ ποιων την ἁμαρτιαν, δουλος εστι της ἁμαρτιας.

παρανομιαι ανδρα αγρευουσι, σειραις δε των ἑαυτου ἁμαρτιων ἑκαστος σφιγγεται. *Prov. v.* 22. εξαγαγειν εκ δεσμων δεδεμενους, και εξ οικου φυλακης. *Esa. xlii.* 7. κηρυξαι αιχμαλωτοις αφεσιν. *lxi.* 1. *Conf. Rom. vi.* 16. 2 *Pet. ii.* 19. [ὁ δ᾽ αθλιος ὑπηρετησει τοις προστατταμενοις, αναγραφεις του παθους δουλος. *Philo de Vit. Mos. p.* 648.] *Conf.* 1 *Esd. iv.* 36.

35 Ὁ δε δουλος ου μενει εν τῃ οικιᾳ εις τον αιωνα· ὁ υἱος μενει
εις τον αιωνα.

Conf. Gen. xxi. 10. *Ezech. xlvi.* 27. *Gal. iv.* 30. ου κλιθησεται εις τον αιωνα του αιωνος. *Ps. ciii.* 5. *Conf. Rom. viii.* 2, 17, 21.

36 Εαν ουν ὁ υἱος ὑμας ελευθερωσῃ, οντως ελευθεροι εσεσθε.

οντως. *Num. xxii.* 37. *Conf. Ps. xix.* 13. *Esa. xlix.* 24, 25. και συ εν αἱματι διαθηκης σου εξαπεστειλας δεσμους σου εκ λακκου,

κ. τ. λ. Zach. ix. 11, 12. [*ὁτι πας ὁ σπουδαιος ελευθερος. Philo.*]

37 *Οιδα ὁτι σπερμα* Αβρααμ *εστε· αλλα ζητειτε με αποκτει-
ναι, ὁτι ὁ λογος ὁ εμος ου χωρει εν ὑμιν.*

διηκει δε και χωρει (σοφια) δια παντων. Sap. vii. 24. *Conf. Gen. xxii.* 18. *Matt. iii.* 9. *xiii.* 15. *Act. xiii.* 26. 1 *Cor. ii.* 14.

38 *Εγω ὁ ἑωρακα παρα τῳ πατρι μου, λαλω· και ὑμεις ουν ὁ
ἑωρακατε παρα τῳ πατρι ὑμων, ποιειτε.*

μη επιλαθῃ παντας τους λογους οὑς ἑωρακασιν οἱ οφθαλμοι σου. Deut. iv. 9. *μνησθησομαι δη τα εργα* Κυριου, *και ἁ ἑωρακα, εκδιηγησομαι. Sir. xlii.* 15.

39 *Απεκριθησαν και ειπον αυτῳ,* Ὁ *πατηρ ἡμων* Αβρααμ
εστι. Λεγει *αυτοις ὁ* Ιησους, Ει *τεκνα του* Αβρααμ *ητε, τα
εργα του* Αβρααμ *εποιειτε αν.*

ὁ πατηρ σου Αμορῥαιος, *και ἡ μητηρ σου* Χετταια. *Ezech. xvi.* 3 *Conf. Rom. iv.* 16. *Gal. iii.* 7, 29. *εις κιβδηλον ελογισθημεν αυτῳ και απεχεται των ὁδων ἡμων ὡς απο ακαθαρσιων· μακαριζει εσχατα δικαιων, και αλαζονευεται πατερα* Θεον. *Sap. ii.* 16. Αβραμαιοι *παιδες.* 4 *Mac. sub fin.*

40 Νυν *δε ζητειτε με αποκτειναι, ανθρωπον ὁς την αληθειαν
ὑμιν λελαληκα, ἡν ηκουσα παρα του* Θεου· *τουτο* Αβρααμ *ουκ
εποιησεν.*

λαλων αληθειαν. Ps. xiv. 2. 3 *Reg. xxii.* 16. *μη αντιλεγε τῃ αληθειᾳ. Sir. iv.* 25. [*Conf. Philo de Abrah. passim.*]

41 Ὑμεις *ποιειτε τα εργα του πατρος ὑμων.* Ειπον *ουν αυτῳ,*
Ἡμεις *εκ πορνειας ου γεγεννημεθα· ἑνα πατερα εχομεν, τον*
Θεον.

ὁτι τεκνα πορνειας εστι. Ose. i. 1. *ii.* 4. *και ιδου εν γαστρι εχει εκ πορνειας. Gen. xxxviii.* 24. *iv.* 20. *Conf. Esa. i.* 21. *Jer. iii.* 1. *συ γαρ ει πατηρ ἡμων, ὁτι* Ἁβρααμ *ουκ εγνω ἡμας, κ. τ. λ. Esa. lxiii.* 16. *lxiv.* 8. *Mal. i.* 6. *Sir. xxii.* 1. *Sap. xiv.* 1.

42 Ειπεν *ουν αυτοις ὁ* Ιησους, Ει *ὁ* Θεος *πατηρ ὑμων ην, ηγα-
πατε αν εμε· εγω γαρ εκ του* Θεου *εξηλθον και ἡκω· ουδε γαρ
απ' εμαυτου εληλυθα, αλλ' εκεινος με απεστειλε.*

ὁτι ουκ απ' εμαυτου—Κυριος *απεσταλκε με. Num. xvi.* 28, 29. *πνευμα εξηλθε παρα* Κυριου. *xi.* 31. *Esa. lvii.* 16. *Sir. xxiv.* 3. *Gen. xxiv.* 50. *Conf. cap. i.* 18. *xvi.* 27. *xvii.* 8.

43 Διατι *την λαλιαν την εμην ου γινωσκετε, ὁτι ου δυνασθε
ακουειν τον λογον τον εμον;*

ακουσον—τα ῥηματα μου, και λαλιαν ενωτιζου μου. *Job. xxxiii.* 1. ου δυνασθε. *Conf. Gen. xxxvii.* 4. *Jer. vi.* 10. *Sap. xiii.* 1.

44 Ὑμεις εκ πατρος του διαβολου εστε, και τας επιθυμιας του
πατρος ὑμων θελετε ποιειν. εκεινος ανθρωποκτονος ην απ' αρχης, και εν τῃ αληθειᾳ ουχ ἑστηκεν· ὁτι ουκ εστιν αληθεια εν αυτῳ. Ὁταν λαλῃ το ψευδος, εκ των ιδιων λαλει· ὁτι ψευστης εστι και ὁ πατηρ αυτου.

Φινεες ὁ πατηρ ἡμων εν τῳ ζηλωσαι ζηλον. 1 *Mac. ii.* 54. *Esa. lxiii.* 16. τις εστιν ὑετου πατηρ; *Job. xxxviii.* 28. φθονῳ δε διαβολου θανατος εισηλθεν εις τον κοσμον· πειραζουσι δε αυτον, οἱ της εκεινου μεριδος οντες. *Sap. ii.* 24. *Sir. xxv.* 24. απ' αρχης. *Eccles. iii.* 11. *Ps. lxxvii.* 2. των θελοντων φοβεισθαι το ονομα σου. *Neh. i.* 11. *Conf. Gen. iii.* 3-7. εν ὁδῳ ἁμαρτωλων ουκ εστη. *Ps. i.* 1. και εστη πας ὁ λαος εν τῃ διαθηκῃ. 4 *Reg. xxiii.* 3. απολεις παντας τους λαλουντας το ψευδος. *Ps. v.* 6. πνευμα ψευδες. 3 *Reg. xxii.* 22. 2 *Par. xviii.* 21. κρεισσων ὁ πτωχος δικαιος, η πλουσιος ψευστης. *Prov. xix.* 22. *Sir. xxv.* 2. οὑτος ην πατηρ οικουντων εν σκηναις. *Gen. iv.* 20. *Conf.* 1 *Joan. iii.* 8, 10, 15. *Jude* 6.

45 Εγω δε ὁτι την αληθειαν λεγω, ου πιστευετε μοι.

εγω δε. (*quod ad me attinet.*) *Conf. Esa. xliii.* 15, 19. *xliv.* 6. *Jos. xxiii.* 14. *Judith. ii.* 12. εμοι δε το προσκολλασθαι τῳ Θεῳ αγαθον. *Ps. lxxiii.* 28. *Conf. Lud. de Dieu. ad loc.*

46 Τις εξ ὑμων ελεγχει με περι ἁμαρτιας; ει δε αληθειαν
λεγω, διατι ὑμεις ου πιστευετε μοι;

ἱνα μη ελεγξῃ σε και ψευδης γενῃ. *Prov. xxx.* 6. *Ps. xlix.* 21. *Gen. xxi.* 25. ὁτι ανομιαν ουκ εποιησε. *Esa. liii.* 9. *Conf.* 2 *Cor. v.* 21. 1 *Pet. i.* 19. *ii.* 2. *Heb. vii.* 26. *xxvii.* 9. 14.

47 Ὁ Ὢν εκ του Θεου τα ῥηματα του Θεου ακουει· δια τουτο
ὑμεις ουκ ακουετε, ὁτι εκ του Θεου ουκ εστε.

Conf. sup. 42. *xv.* 15.

48 Απεκριθησαν ουν οἱ Ιουδαιοι και ειπον αυτῳ, Ου καλως λε-
γομεν ἡμεις, ὁτι Σαμαρειτης ει συ, και δαιμονιον εχεις;

οἱ καθημενοι εν ορει Σαμαρειας—λαος μωρος. *Sir. l.* 26. δαιμονιον. *Conf. Matt. vii.* 22. *cap. iv.* 9.

49 Απεκριθη Ιησους, Εγω δαιμονιον ουκ εχω, αλλα τιμω τον
πατερα μου, και ὑμεις ατιμαζετε με.

ἱνα μη ατιμαζωνται οἱ προγονοι σου. *Sir. viii.* 4. τιμα τον Κυριον. *Prov. iii.* 9. *Conf. cap. v.* 23.

50 Εγω δε ου ζητω την δοξαν μου· εστιν ὁ ζητων και κρινων.
[ὁ δε ζητων ουκ εστιν ανθρωπος, αλλ' η Θεος, η λογος, η νομος θειος. *Philo de Jos. p.* 551.] *Conf. cap. vii.* 18.

51 Αμην αμην λεγω ὑμιν, Εαν τις τον λογον τον εμον τηρησῃ,
θανατον ου μη θεωρησῃ εις τον αιωνα.

τηρησον δε εμην βουλην και εννοιαν. *Prov. iii.* 21. και τους λογους μου ουκ ετηρησε. 1 *Reg. xv.* 11. *Exod. xxxiv.* 7. *Sir. xxxv.* 23. και ουκ οψεται θανατον; *Ps. lxxxviii.* 48. εις τον αιωνα ου μη επιλαθωμαι. *Ps. cxviii.* 93. *cxi.* 6. κατα γαρ τας ἡμερας του ξυλου της ζωης εσονται αἱ ἡμεραι του λαου μου. *Esa. lxv.* 22.

52 Ειπον ουν αυτῳ οἱ Ιουδαιοι, Νυν εγνωκαμεν ὁτι δαιμονιον
εχεις. Αβρααμ απεθανε, και οἱ προφηται, και συ λεγεις, Εαν
τις τον λογον μου τηρησῃ, ου μη γευσεται θανατου εις τον
αιωνα.

εγευσατο ὁτι καλον εστι το εργαζεσθαι. *Prov. xxxi.* 18. γευσασθε και ιδετε ὁτι χρηστος ὁ Κυριος. *Ps. xxxiii.* 8. οἱ πατερες ὑμων που εισι, και προφηται; μη τον αιωνα ζησονται; *Zach. i.* 5.

53 Μη συ μειζων ει του πατρος ἡμων Αβρααμ, ὁστις απεθανε;
και οἱ προφηται απεθανον· τινα σεαυτον συ ποιεις;

αλλ' ὁ αδελφος αυτου ὁ νεωτερος μειζων αυτου εσται. *Gen. xlviii.* 19. ὁστις. *Deut. v.* 26. *Conf. Joan. x.* 33. *xix.* 7.

54 Απεκριθη Ιησους, Εαν εγω δοξαζω εμαυτον, ἡ δοξα μου ουδεν
εστιν· εστιν ὁ πατηρ μου ὁ δοξαζων με, ὁν ὑμεις λεγετε, ὁτι
Θεος ὑμων εστι,

ἑως δυσμων το ονομα μου δεδοξασται εν τοις εθνεσι. *Mal. i.* 11. *Dan. vii.* 13, 14. *Ps. lxxxv.* 12. *cxii.* 2. *Conf. Sir. x.* 29. ουδεν. *Eccles. iii.* 19. *Conf. Act. iii.* 13. *Esa. xlviii.* 1.

55 Και ουκ εγνωκατε αυτον, εγω δε οιδα αυτον· και εαν ειπω
ὁτι ουκ οιδα αυτον, εσομαι ὁμοιος ὑμων, ψευστης· αλλ' οιδα
αυτον, και τον λογον αυτου τηρω.

και (*sed.*) 1 *Reg. i.* 2. 2 *Reg. xv.* 3. *Judith. xiii.* 6. *Sir. xlviii.* 4. τον δε Κυριον ουκ επεγνωσαν. *Ose. x.* 4.

56 Αβρααμ ὁ πατηρ ὑμων ηγαλλιασατο ἱνα ιδῃ την ἡμεραν
την εμην· και ειδε, και εχαρη.

Ἀβρααμ μεγας πατηρ πληθους εθνων, και ουχ εὑρεθη ὁμοιος εν τῃ δοξῃ. *Sir. xliv.* 19. αγαλλιασεται Ιακωβ. *Ps. lii.* 6. ἡμερας ιδειν αγαθας. *xxxiii.* 12. *Conf. Joel. ii.* 1. *Amos. v.* 18. αὑτη ἡ ἡμερα ἡν

προσεδοκωμεν. Thren. ii. 16. *Conf. Gen. xii.* 3. *Gal. iii.* 6-8. *Heb. xi.* 13. *και ενευλογοθησονται εν τω σπερματι σου παντα τα εθνη της γης, ανθ' ὡν ὑπηκουσας της εμης φωνης. Gen. xxii.* 18. *xlii.* 18.

57 Ειπον ουν οἱ Ιουδαιοι προς αυτον, Πεντηκοντα ετη ουπω εχεις, και Αβρααμ ἑωρακας;

58 Ειπεν αυτοις ὁ Ιησους, Αμην αμην λεγω ὑμιν, Πριν Αβρααμ γενεσθαι, Εγω Ειμι.

προ του ορη ἑδρασθηναι, προ δε παντων βουνων, γεννᾳ με. Prov. viii. 25. Εγω Ειμι ὁ Ων. *Exod. iii.* 14. *Esa. xliii.* 10. *προ του ορη γενηθηναι και πλασθηναι την γην και την οικουμενην, και απο του αιωνος ἑως του αιωνος* Συ Ει. *Ps. lxxxix.* 2. *Conf. Joan. xvi.* 27. *xvii.* 24. *Col. i.* 15. Εγω Ειμι, *κ. τ. λ. Deut. xxxii.* 39.

59 Ηραν ουν λιθους ἱνα βαλωσιν επ' αυτον· Ιησους δε εκρυβη, και εξηλθεν εκ του ἱερου, διελθων δια μεσου αυτων· και παρηγεν οὑτως.

αιρειν ὁπλα. 2 *Mac. xv.* 5. *βαλῃ επ' αυτην βελος. Esa. xxxvii.* 33. *ὡσει σκια παραγουσι. Ps. cxliii.* 4. *εκρυβη. Conf. Job. xv.* 18. *Deut. vii.* 20. *Conf.* 4 *Reg. vi.* 18-20. *Gen. xix.* 11. *ὁτι σκοτος ου σκοτισθησεται απο σου, κ. τ. λ. Ps. cxxxviii.* 12. *Luc. iv.* 30. *xxiv.* 31. *Act. viii.* 39.

ΚΕΦ. θ. 9.

ΚΑΙ παραγων ειδεν ανθρωπον τυφλον εκ γενετης.

εκ γενετης. Lev. xxv. 47. *Addit. Est. xiv.* 5.

2 Και ηρωτησαν αυτον οἱ μαθηται αυτου, λεγοντες, Ῥαββι, τις ἡμαρτεν, οὑτος, η οἱ γονεις αυτου, ἱνα τυφλος γεννηθῃ;

Exod. xx. 5. *Lev. xx.* 18. *Ezech. xviii.* 6. *Sir. xli.* 5-9. *Tob. iii.* 3, 4. *παις δε ημην ευφυης, ψυχης τε ελαχον αγαθης, κ. τ. λ. Sap. viii.* 19, 20. [*Philo de Somn. p.* 455. *Edit. Col. Jos. Bell. Jud. ii.* 8.]

3 Απεκριθη ὁ Ιησους, Ουτε οὑτος ἡμαρτεν, ουτε οἱ γονεις αυτου· αλλ' ἱνα φανερωθῃ τα εργα του Θεου εν αυτῳ.

δευτε και ιδετε τα εργα του Θεου. Ps. xlv. 8. *Alex. Ald. Comp. lxv.* 5. *και φανερωσω αυτοις, και ιατρευσω αυτην. Jer. xl.* 6.

4 Εμε δει εργαζεσθαι τα εργα του πεμψαντος με, ἑως ἡμερα εστιν· ερχεται νυξ, ὁτε ουδεις δυναται εργαζεσθαι.

εργαζεσθαι τα εργα των υἱων Ισραηλ. Num. viii. 19. *εργαζεσθαι*

τα εργα Κυριου. 11. ἑως ετι ζῃς. Sir. xxx. 20. Conf. Ps. ciii. 22, 23. Exod. xxxv. 10. ου γαρ οἱ εν ᾁδου αινεσουσι σε, κ. τ. λ. Esa. xxxviii. 18. Conf. Ps. vi. 5. ἁ δει γενεσθαι. Dan. ii. 28. παντα ὁσα αν εὑρῃ ἡ χειρ σου του ποιησαι, ὡς ἡ δυναμις σου ποιησον, ὁτι ουκ εστι ποιημα και λογισμος και γνωσις και σοφια εν ᾁδῃ, ὁπου συ πορευῃ εκει. Eccles. ix. 10.

5 Ὁταν εν τῳ κοσμῳ ω, φως ειμι του κοσμου.

εις φως εθνων. Esa. xlii. 6, 7. Mal. iv. 2. τοις δε Ιουδαιοις εγενετο φως και ευφροσυνη. Est. ix. 16. Conf. cap. i. 4-9. [ὁ αγαπητος του Θεου——γνωσιν καινην φωτιζων παντα τα εθνη, κ. τ. λ. Test. XII Patr. p. 746.]

6 Ταυτα ειπων, επτυσε χαμαι, και εποιησε πηλον εκ του πτυσματος, και επεχρισε τον πηλον επι τους οφθαλμους του τυφλου,

Conf. 3 Reg. xvii. 21. πτυελος. Job. xxx. 10. Marc. vii. 33.

7 Και ειπεν αυτῳ, Ὑπαγε, νιψαι εις την κολυμβηθραν του Σιλωαμ· (ὁ ἑρμηνευεται, απεσταλμενος.) απηλθεν ουν και ενιψατο και ηλθε βλεπων.

το ὑδωρ του Σιλωαμ. Esa. viii. 6. του Σιλωα. Neh. iii. 15. Comp. το ὑδωρ της αρχαιας κολυμβηθρας. Esa. xxii. 9. [Conf. Jos. Ant. vii. 14. 5. Bell. Jud. vi. 7. 2.] πορευθεις λουσαι ἑπτακις εν τῳ Ιορδανῃ. 4 Reg. v. 10. Κυριος σοφοι τυφλους. Ps. cxlv. 8. Conf. Matt. ix. 29. Marc. viii. 25. Luc. vii. 21.

8 Οἱ ουν γειτονες και οἱ θεωρουντες αυτον το προτερον ὁτι τυφλος ην, ελεγον, Ουχ οὑτος εστιν ὁ καθημενος και προσαιτων;

προσαιτειν. Job. xxvii. 14. γειτονες. Jer. vi. 21. το προτερον. Jer. xxxvii. 20.

9 Αλλοι ελεγον, Ὁτι οὑτος εστιν· αλλοι δε, Ὁτι ὁμοιος αυτῳ εστιν. Εκεινος ελεγεν, Ὁτι εγω ειμι.

10 Ελεγον ουν αυτῳ, Πως ανεῳχθησαν σου οἱ οφθαλμοι;

τοτε ανοιχθησονται οφθαλμοι τυφλων. Esa. xxxv. 5. xlii. 7. ηνεῳχθησαν. Dan. vii. 10. Conf. Jer. xliii. 17, 18.

11 Απεκριθη εκεινος και ειπεν, Ανθρωπος λεγομενος Ιησους πηλον εποιησε, και επεχρισε μου τους οφθαλμους, και ειπε μοι, Ὑπαγε εις την κολυμβηθραν του Σιλωαμ, και νιψαι. απελθων δε και νιψαμενος ανεβλεψα.

και οἱ τυφλοι αναβλεψατε ιδειν. Esa. xlii. 18. κηρυξαι τυφλοις αναβλεψιν. lxi. 1. ὑπαγε ὑγιαινων. Tob. xii. 4. Conf. 4 Reg. v. 13.

12 Ειπον ουν αυτῳ, Που εστιν εκεινος; Λεγει, Ουκ οιδα.

13 Αγουσιν αυτον προς τους Φαρισαιους, τον ποτε τυφλον.
Conf. Matt. iii. 7.

14 Ην δε σαββατον, ὁτε τον πηλον εποιησεν ὁ Ιησους, και
ανεῳξεν αυτου τους οφθαλμους.
ανεῳξε. *Gen. xxx.* 22. *xli.* 57.

15 Παλιν ουν ηρωτων αυτον και οἱ Φαρισαιοι, πως ανεβλεψεν.
ὁ δε ειπεν αυτοις, Πηλον επεθηκεν επι τους οφθαλμους μου,
και ενιψαμην, και βλεπω.

16 Ελεγον ουν εκ των Φαρισαιων τινες, Οὑτος ὁ ανθρωπος ουκ
εστι παρα του Θεου, ὁτι το σαββατον ου τηρει. Αλλοι ελεγον,
Πως δυναται ανθρωπος ἁμαρτωλος τοιαυτα σημεια ποιειν;
Και σχισμα ην εν αυτοις.
οἱ παρα τινος, *legati.* 1 *Mac. ii.* 15, 17. *vii.* 32. τα σαββατα μου φυλαξεσθε. *Lev. xxvi.* 2. τηρησις εντολων. *Sir. xxxv.* 23. ανθρωποι ἁμαρτωλοι. *Num. xxxii.* 14. σχισμα. 1 *Reg. xv.* 29. *Comp.*

17 Λεγουσι τῳ τυφλῳ παλιν, Συ τι λεγεις περι αυτου, ὁτι
ηνοιξε σου τους οφθαλμους; Ὁ δε ειπεν, Ὁτι προφητης εστιν.
ὁτι. *Ruth. ii.* 13.

18 Ουκ επιστευσαν ουν οἱ Ιουδαιοι περι αυτου, ὁτι τυφλος ην
και ανεβλεψεν, ἑως ὁτου εφωνησαν τους γονεις αυτου του ανα-
βλεψαντος,
ἑως ὁτου. 1 *Reg. xxx.* 4. οἱ τυφλοι αναβλεψατε. *Esa. xlii.* 18.

19 Και ηρωτησαν αυτους, λεγοντες, Οὑτος εστιν ὁ υἱος ὑμων,
ὁν ὑμεις λεγετε ὁτι τυφλος εγεννηθη; πως ουν αρτι βλεπει;
Deut. xxi. 20. [αρτι· προ ολιγου, Αττικ. επι του νυν, Ἑλληνικ. *Moeris.*]

20 Απεκριθησαν αυτοις οἱ γονεις αυτου και ειπον, Οιδαμεν ὁτι
οὑτος εστιν ὁ υἱος ἡμων, και ὁτι τυφλος εγεννηθη·

21 Πως δε νυν βλεπει, ουκ οιδαμεν· η τις ηνοιξεν αυτου τους
οφθαλμους, ἡμεις ουκ οιδαμεν· αυτος ἡλικιαν εχει· αυτον ερω-
τησατε, αυτος περι αὑτου λαλησει.
ἡλικιαν εχει. *Conf. Job. xxix.* 18. 2 *Mac. vii.* 27. *xv.* 30. [τον νεωτατον ουκ εχοντα πω ἡλικιαν αποδημιας, οικοι καταμειναι. *Philo de Jos. p.* 550.] τα περι αυτου. *Sir. xix.* 30.

22 Ταυτα ειπον οἱ γονεις αυτου, ὁτι εφοβουντο τους Ιουδαιους·

ηδη γαρ συνετεθειντο οἱ Ιουδαιοι, ἱνα εαν τις αυτον ὁμολογησῃ Χριστον, αποσυναγωγος γενηται.

και πολλοι των εθνων περιετεμοντο, και Ιουδαϊζον, δια τον φοβον των Ιουδαιων. *Est. viii.* 17. ῥημα ψευδες—συνεθεσθε ειπειν. *Dan. ii.* 9. ουτε ἁπλως Ιουδαιον ὁμολογειν ειναι. 2 *Mac. vi.* 6. *Conf.* 1 *Reg. xxii.* 13. *Esa. lxvi.* 5. αποσυναγωγος. *Conf. Sir. i.* 30.

23 Δια τουτο οἱ γονεις αυτου ειπον, Ὁτι ἡλικιαν εχει, αυτον ερωτησατε.

24 Εφωνησαν ουν εκ δευτερου τον ανθρωπον ὁς ην τυφλος, και ειπον αυτῳ, Δος δοξαν τῳ Θεῳ· ἡμεις οιδαμεν ὁτι ὁ ανθρωπος οὑτος ἁμαρτωλος εστιν.

και επηρωτησα εκ δευτερου και ειπα. *Zach. iv.* 12. δοτε δοξαν αινεσει αυτου. *Ps. lxv.* 2. δος δοξαν σημερον τῳ Κυριῳ. *Jos. vii.* 19. *Conf.* 1 *Reg. vi.* 5. 2 *Par. xxx.* 8.

25 Απεκριθη ουν εκεινος και ειπεν, Ει ἁμαρτωλος εστιν, ουκ οιδα· ἑν οιδα, ὁτι τυφλος ων αρτι βλεπω.

μιαν ῃτησαμην παρα Κυριου. *Ps. xxvi.* 4. ει οιδας ἱνατι ηλθον προς σε; *Dan. x.* 20.

26 Ειπον δε αυτῳ παλιν, Τι εποιησε σοι; πως ηνοιξε σου τους οφθαλμους;

27 Απεκριθη αυτοις, Ειπον ὑμιν ηδη, και ουκ ηκουσατε· τι παλιν θελετε ακουειν; μη και ὑμεις θελετε αυτου μαθηται γενεσθαι;

28 Ελοιδορησαν ουν αυτον, και ειπον, Συ ει μαθητης εκεινου· ἡμεις δε του Μωσεως εσμεν μαθηται.

ελοιδορησαν αυτον. *Deut. xxxiii.* 8. μη φοβεισθε ονειδισμον ανθρωπων. *Esa. li.* 7. 2 *Mac. xii.* 14.

29 Ἡμεις οιδαμεν ὁτι Μωσῃ λελαληκεν ὁ Θεος· τουτον δε ουκ οιδαμεν ποθεν εστιν.

ὁ γαρ Μωυσης οὑτος ὁ ανθρωπος ὁς εξηγαγεν ἡμας εκ γης Αιγυπτου, ουκ οιδαμεν τι γεγονεν αυτῳ. *Exod. xxxii.* 1. ελαλησεν ὁ Θεος προς Μωυσην. *iv.* 30. *xix.* 19.

30 Απεκριθη ὁ ανθρωπος και ειπεν αυτοις, Εν γαρ τουτῳ θαυμαστον εστιν, ὁτι ὑμεις ουκ οιδατε ποθεν εστι, και ανεῳξε μου τους οφθαλμους.

31 Οιδαμεν δε ὁτι ἁμαρτωλων ὁ Θεος ουκ ακουει· αλλ' εαν
τις θεοσεβης ῃ, και το θελημα αυτου ποιῃ, τουτου ακουει.

Conf. Ps. lxv. 18. *xxxiii.* 15. *Esa. i.* 15. ανθρωπος ακακος, αληθινος, αμεμπτος, θεοσεβης. *Job. i.* 1. *ii.* 3. *Conf. Prov. xv.* 8, 29. *xxviii.* 9. *Job. xxvii.* 9. και ανομησαν ανομοι, και ου συνησουσιν παντες ανομοι, και οἱ νοημονες συνησουσι. *Dan. xii.* 10. και προσευξασθε προς με, και εισακουσομαι ὑμων. *Jer. xxxvi.* 12. *Conf.* 1 *Joan. v.* 14. του ποιησαι το θελημα σου. *Ps. xxxix.* 8.

32 Εκ του αιωνος ουκ ηκουσθη, ὁτι ηνοιξε τις οφθαλμους τυφ-
λου γεγεννημενου.

Conf. Esa. xlii. 7. απο του αιωνος ουκ ηκουσαμεν. *Esa. lxiv.* 4.

33 Ει μη ην οὑτος παρα Θεου, ουκ ηδυνατο ποιειν ουδεν.

34 Απεκριθησαν και ειπον αυτῳ, Εν ἁμαρτιαις συ εγεννηθης
ὁλος, και συ διδασκεις ἡμας; Και εξεβαλον αυτον εξω.

ιδου γαρ εν ανομιαις συνεληφθην, και εν ἁμαρτιαις εκισσησε με ἡ μητηρ μου. *Ps. l.* 5. *Esa. xlviii.* 8. [του παθους ὁλος ην. *Jos. Bell. Jud. i.* 2. 4.] εκβαλε εκ συνεδριου λοιμον. *Prov. xxii.* 10. εκβαλλειν——εξω. 2 *Par. xxix.* 16. *Conf. Exod. xi.* 1.

35 Ηκουσεν ὁ Ιησους ὁτι εξεβαλον αυτον εξω· και εὑρων αυ-
τον, ειπεν αυτῳ, Συ πιστευεις εις τον υἱον του Θεου;

Conf. Ps. ii. 7. *Matt. xvi.* 16. *xxvi.* 63.

36 Απεκριθη εκεινος και ειπε, Τις εστι, Κυριε, ἱνα πιστευσω
εις αυτον;

37 Ειπε δε αυτῳ ὁ Ιησους, Και ἑωρακας αυτον, και ὁ λαλων
μετα σου, εκεινος εστιν.

38 Ὁ δε εφη, Πιστευω, Κυριε. και προσεκυνησεν αυτῳ.

και προσκυνουσι τα ιχνη των ποδων σου. *Esa. lx.* 14. *Comp.* ὁτι εμοι καμψει παν γονυ, και ομειται πασα γλωσσα τον Θεον. *Esa. xlv.* 24. *Conf. cap. i.* 18. *Ps. ci.* 27.

39 Και ειπεν ὁ Ιησους, Εις κριμα εγω εις τον κοσμον τουτον
ηλθον, ἱνα οἱ μη βλεποντες βλεπωσι, και οἱ βλεποντες τυφλοι
γενωνται.

και βλεποντες βλεψετε, και ου μη ιδητε. *Esa. vi.* 9. κηρυξαι——τυφλοις αναβλεψιν. *lxi.* 1. *Conf. Esa. viii.* 13-15. *ix.* 2. *Mal. iii.* 2. *Exod. xxiii.* 8. *Deut. xvi.* 19. *Matt. xi.* 25. *Luc. x.* 21. *Conf. cap. xv.* 22.

40 Και ηκουσαν εκ των Φαρισαιων ταυτα οἱ οντες μετ' αυτου,
και ειπον αυτῳ, Μη και ἡμεις τυφλοι εσμεν;

Κυριος σοφοι τυφλους. *Ps. cxlvi.* 6. φωτιζει. *alii. Conf. Esa. xlii.* 7, 16, 18, 19. *xliii.* 8. *Rom. ii.* 19.

41 Ειπεν αυτοις ὁ Ιησους, Ει τυφλοι ητε, ουκ αν ειχετε ἁμαρτιαν· νυν δε λεγετε, Ὁτι βλεπομεν· ἡ ουν ἁμαρτια ὑμων μενει.

ειδον ανδρα δοξαντα παρ᾽ αυτῳ σοφον ειναι, ελπιδα μεντοι εσχε μαλλον αφρων αυτου. *Prov. xxvi.* 12. *Esa. xliii.* 8. και ειπας, Αθωος ειμι, κ.τ.λ. *Jer. ii.* 35. ουαι οἱ συνετοι εν ἑαυτοις, κ.τ.λ. *Esa. v.* 21.

Κεφ. ι. 10.

ΑΜΗΝ, αμην, λεγω ὑμιν, Ὁ μη εισερχομενος δια της θυρας εις την αυλην των προβατων, αλλα αναβαινων αλλαχοθεν, εκεινος κλεπτης εστι και ληστης·

Ιδου εγω εκζητησω τα προβατα μου, και επισκεψομαι αυτα. *Ezech. xxxiv.* 11. και αναστησω επ᾽ αυτους ποιμενα ἑνα, και ποιμανει αυτους τον δουλον μου Δαυιδ, και εσται αυτων ποιμην. *Ezech. xxxiv.* 23. *xxxvii.* 24. ω ποιμενες οἱ απολλυοντες και διασκορπιζοντες τα προβατα της νομης αυτων. *Jer. xxiii.* 1. *Ps. xxii.* 1. *Zach. xi.* 4-9. *Jer. ii.* 8. *x.* 20. *xii.* 10. *etc.* αλλαχοθεν. *Est. iv.* 14. *Ald. Comp.* ει κλεπται εισηλθον—η λησται νυκτος. *Obad.* 5. *Esa. i.* 23. *Ezech. xxxiv.* 2-5.

2 Ὁ δε εισερχομενος δια της θυρας, ποιμην εστι των προβατων.

και εγενετο Αβελ ποιμην προβατων. *Gen. iv.* 2.

3 Τουτῳ ὁ θυρωρος ανοιγει, και τα προβατα της φωνης αυτου ακουει, και τα ιδια προβατα καλει κατ᾽ ονομα, και εξαγει αυτα.

γνωστως επιγνωσῃ ψυχας ποιμνιου σου, και επιστησεις καρδιαν σου σαις αγελαις. *Prov. xxvii.* 23. ἑταιροι προσεχοντες τῃ φωνῃ σου, ακουτισον με. *Cant. viii.* 13. ἡμεις λαος αυτου, και προβατα χειρος αυτου. *Ps. xciv.* 7. λαος αυτου και προβατα της νομης αυτου. *xcix.* 3. *Prov. v.* 13. *Esa. xxxii.* 9. *xl.* 11. και πασιν αυτοις ονοματα καλων. *Ps cxlvi.* 4. κατ᾽ ονομα. 3 *Joan.* 15. εξαγει. *Ezech. xvii.* 12. *Ald. Conf. Mich. ii.* 13. *Zach. ix.* 16. *Ezech. xliv.* 11. [θυρωρος· φυλαξ της θυρας. *Hesych.*]

4 Και ὁταν τα ιδια προβατα εκβαλῃ, εμπροσθεν αυτων πορευεται· και τα προβατα αυτῳ ακολουθει, ὁτι οιδασι την φωνην αυτου.

εκβαλλειν. 2 *Par. xiii.* 9. *Conf. Cant. ii.* 8. *v.* 2.

5 Αλλοτριῳ δε ου μη ακολουθησωσιν, αλλα φευξονται απ᾽
αυτου· ὁτι ουκ οιδασι των αλλοτριων την φωνην.

εγνωσαν αλλοτριους η εμε. *Job. xix.* 13.

6 Ταυτην την παροιμιαν ειπεν αυτοις ὁ Ιησους· εκεινοι δε ουκ
εγνωσαν τινα ἠν ἁ ελαλει αυτοις.

7 Ειπεν ουν παλιν αυτοις ὁ Ιησους, Αμην, αμην, λεγω ὑμιν,
Ὁτι εγω ειμι ἡ θυρα των προβατων.

εις θυραν ελπιδος. *Ose. ii.* 15. *Sym. Conf. Luc. xiii.* 14. 1 *Cor. xvi.* 9. *Apoc. iii.* 8. [(Χριστος) ἡ θυρα της γνωσεως, δι᾽ ἡς εισερχονται Αβρααμ και οἱ προφηται. *Ignat. ad Philadelph. c.* 9.]

8 Παντες ὁσοι προ εμου ηλθον, κλεπται εισι και λῃσται· αλλ᾽
ουκ ηκουσαν αυτων τα προβατα.

και τας βιας τας πρωτας ἁς προ εμου εβαρυναν. *Neh. v.* 15. *Thren. i.* 7. αλλ᾽ ουκ. *Conf. Job. xxxii.* 21.

9 Εγω ειμι ἡ θυρα· δι᾽ εμου εαν τις εισελθῃ, σωθησεται, και
εισελευσεται και εξελευσεται, και νομην εὑρησει.

και εὑρον νομας πλειονας και αγαθας. 1 *Par. iv.* 40. εν νομῃ αγαθῃ βοσκησω αυτους. *Ezech. xxxiv.* 14. ευλογημενος συ εν τῳ εισπορευεσθαι σε, και—εν τῳ εκπορευεσθαι σε. *Deut. xxviii.* 6. *Num. xxvii.* 17. *Ps. cxx.* 8. σωζειν εις αιωνιον ζωην. 4 *Mac. xv. Conf. Rom. v.* 1. *Heb. x.* 19. *Mich. v.* 4. 1 *Pet. ii.* 25. Κυριος ποιμαινει με, και ουδεν με ὑστερησει. Εις τοπον χλοης εκει με κατεσκηνωσεν· επι ὑδατος αναπαυσεως εξεθρεψε με. *Ps. xxii.* 1, 2. *Job. xxxiii.* 28. εγω ειμι. *Conf. Cant. v.* 8.

10 Ὁ κλεπτης ουκ ερχεται ει μη ἱνα κλεψῃ και θυσῃ και απο-
λεσῃ· εγω ηλθον ἱνα ζωην εχωσι, και περισσον εχωσιν.

11 Εγω ειμι ὁ ποιμην ὁ καλος· ὁ ποιμην ὁ καλος την ψυχην
αὑτου τιθησιν ὑπερ των προβατων.

ὡς ποιμην ποιμανει το ποιμνιον αυτου, και τῳ βραχιονι αυτου συναξει αρνας, και εν γαστρι εχουσας παρακαλεσει. *Esa. xl.* 11. ει δω πρωτοτοκα μου—ὑπερ ἁμαρτιας ψυχης μου; *Mich. vi.* 7. *Ezech. xxxiv.* 23. *Esd. vi.* 17. *Esa. liii.* 5, 10, 12. και εθηκα την ψυχην μου εν χειρι μου. *Jud. xii.* 3. 1 *Reg. xix.* 5. *xxviii.* 21. χαριτας εγγυου μη επιλαθῃ, εδωκε γαρ την ψυχην αυτου ὑπερ σου. *Sir. xxix.* 15. *Conf.* 2 *Mac. iii.* 32. 1 *Tim. ii.* 6. *Luc. xxii.* 19. *Dan. ix.* 26. [ποιμενες λαων οἱ βασιλεις, ουχ ὡς ονειδος, αλλ᾽ ὡς ὑπερβαλλουσα τιμη, προσαγορευονται. και μοι δοκει—μονος αν γε-

νεσθαι βασιλευς τελειος, ὁ την ποιμενικην επιστημην αγαθος, εν ελαττωσι ζωοις παιδευθεις τα των κρειττονων. Philo Vit. Mos. p. 612.]

12 Ὁ μισθωτος δε, και ουκ ων ποιμην, οὑ ουκ εισι τα προβατα ιδια, θεωρει τον λυκον ερχομενον, και αφιησι τα προβατα, και φευγει· και ὁ λυκος ἁρπαζει αυτα, και σκορπιζει τα προβατα.

λυκος ἁρπαξ. Gen. xlix. 27. *τι κοινωνησει λυκος αμνῳ; Sir. xiii.* 17. *Ω οἱ ποιμαινοντες τα ματαια, καταλελοιποτες τα προβατα. Zach. xi.* 17. *Conf. Sophon. iii.* 3. *Job. ii.* 11. *Ezech. xxi.* 30. *τα ιδια. Sir. xi.* 34. *ὁτι οἱ ποιμενες ηφρονευσαντο, και τον* Κυριον *ουκ εζητησαν· δια τουτο ουκ ενοησε πασα ἡ νομη, και διεσκορπισθησαν. Jer. x.* 21. *ω ποιμενες* Ισραηλ, *μη βοσκουσι ποιμενες ἑαυτους; ου τα προβατα βοσκουσιν οἱ ποιμενες; κ. τ. λ. Ezech. xxxiv.* 2. *et pass. και εσκορπισθησαν.* 1 *Mac. vi.* 54.

13 Ὁ δε μισθωτος φευγει, ὁτι μισθωτος εστι, και ου μελει αυτῳ περι των προβατων.

παροικος η μισθωτος ουκ εδεται απ᾽ αυτου. Exod. xii. 45. *ου μελει μοι. Tob. x.* 5. *ᾡ μελει περι παντων. Sap. xii.* 13. *το ησθενηκος ουκ ενισχυσατε, και το κακως εχον ουκ εσωματοποιησατε, κ.τ.λ. Ezech. xxxiv.* 4. *Conf. xxxiv.* 11. 1 *Mac. xiv.* 43. *φευγει ασεβης μηδενος διωκοντος, δικαιος δε ὡσπερ λεων πεποιθε. Prov. xxviii.* 1. *ω ποιμενες οἱ απολλυοντες και διασκορπιζοντες τα προβατα της νομης αυτων. Jer. xxiii.* 1.

14 Εγω ειμι ὁ ποιμην ὁ καλος· και γινωσκω τα εμα, και γινωσκομαι ὑπο των εμων,

που εστι το ποιμνιον ὁ εδοθη σοι, προβατα δοξης σου; Jer. xiii. 20. *Conf. Amos. iii.* 2. Κυριος *ποιμαινει με, και ουδεν με ὑστερησει. Ps. xxii.* 1. *Conf. Sir. xviii.* 13. *Heb. xiii.* 20. 1 *Pet. ii.* 25. *v.* 4. *εγω βοσκησω τα προβατα μου, και εγω αναπαυσω αυτα, και γνωσονται ὁτι εγω ειμι* Κυριος. *Ezech. xxxiv.* 15. *Nah. i.* 7. *Num. xvi.* 5.

15 Καθως γινωσκει με ὁ πατηρ, καγω γινωσκω τον πατερα· και την ψυχην μου τιθημι ὑπερ των προβατων.

ὡς προβατον επι σφαγην ηχθη. Esa. liii. 7, 10. *παταξατε τους ποιμενας, και εκσπασατε τα προβατα. Zach. xiii.* 7.

16 Και αλλα προβατα εχω, ἁ ουκ εστιν εκ της αυλης ταυτης· κακεινα με δει αγαγειν, και της φωνης μου ακουσουσι· και γενησεται μια ποιμνη, εἱς ποιμην.

Conf. Esa. lvi. 8. ὑμεις προβατα μου, και προβατα ποιμνιου μου εστε. *Ezech. xxxiv.* 31. *xxxvii.* 22. εαν εισακουσῃς της φωνης Κυριου. *Deut. xxviii.* 9. *Alex. Ald. Comp.* και ποιμην εἱς εσται παντων. *Ezech. xxxvii.* 24. *Alex. Ald.* και αναστησω επ᾽ αυτους ποιμενα ενα, και ποιμανει αυτους, τον δουλον μου Δαυιδ, κ.τ.λ. *xxxiv.* 23. *Conf. omnino Zach. xiv.* 9. αγαγειν τα τεκνα σου μακροθεν. *Esa. lx.* 9. και ἡξουσιν αλλογενεις ποιμαινοντες τα προβατα σου. *Esa. lxi.* 5-8. *Conf. xlix.* 9. ἁ δει γενεσθαι. *Dan. ii.* 28.

17 Δια τουτο ὁ πατηρ με αγαπᾳ, ὁτι εγω τιθημι την ψυχην μου, ἱνα παλιν λαβω αυτην.

δια τουτο αυτος κληρονομησει πολλους και των ισχυρων μεριει σκυλα· ανθ᾽ ὡν παρεδοθη εις θανατον ἡ ψυχη αυτου, κ. τ. λ. *Esa. liii.* 12. αγαπησιν αιωνιον ηγαπησα σε. *Jer. xxxviii.* 3.

18 Ουδεις αιρει αυτην απ᾽ εμου, αλλ᾽ εγω τιθημι αυτην απ᾽ εμαυτου. εξουσιαν εχω θειναι αυτην, και εξουσιαν εχω παλιν λαβειν αυτην. ταυτην την εντολην ελαβον παρα του πατρος μου.

απ᾽ εμαυτου. *Num. xvi.* 29. συ γαρ ζωης και θανατου εξουσιαν εχεις, και καταγεις εις πυλας ᾁδου και αναγεις. *Sap. xvi.* 13. *Conf. Jer. xxxvii.* 21. *Heb. x.* 5. σωμα δε κατηρτισω μοι. *Ps. xxxix.* 6.

19 Σχισμα ουν παλιν εγενετο εν τοις Ιουδαιοις δια τους λογους τουτους.

20 Ελεγον δε πολλοι εξ αυτων, Δαιμονιον εχει και μαινεται· τι αυτου ακουετε;

οἱ αφρονες τον βιον αυτου ελογισαμεθα μανιαν. *Sap. v.* 4. *Conf. Matt. vii.* 22. *Jer. xxxvi.* 26. *Ose. ix.* 7. η γαρ ευφραινομενοι μεμηνασιν, η προφητευουσι ψευδη. *Sap. xiv.* 28. [ταυτα λεγων ὁ Ἱερεμιας ὑπο μεν των πλειονων επιστευετο· οἱ δε ἡγεμονες και οἱ ασεβεις ὡς εξεστηκοτα των φρενων αυτον οὑτως εξεφαυλιζον, κ. τ. λ. *Jos. Ant. x.* 7. 3.] *Conf. cap. vii.* 20. *viii.* 48.

21 Αλλοι ελεγον, Ταυτα τα ῥηματα ουκ εστι δαιμονιζομενου· μη δαιμονιον δυναται τυφλων οφθαλμους ανοιγειν;

Conf. Exod. iv. 11. Κυριος σοφοι τυφλους. *Ps. cxlvi.* 8. δαιμονιου μεσημβρινου. *xc.* 6. *Conf. Bar. iv.* 7. *Matt. iv.* 24. [*Jos. Ant. vi.* 8. 2. *xvi.* 11. 3.] *Conf. Act. xii.* 15. *xxvi.* 24, 25.

22 Εγενετο δε τα εγκαινια εν τοις Ἱεροσολυμοις, και χειμων ην·

ὁτι ουκ εγενηθη το πασχα τουτο. 4 *Reg. xxiii.* 22. αἱ ἡμεραι εγ-

καινισμου. 1 *Mac. iv.* 59. *Conf. Neh. xii.* 27. *Esd. vi.* 16, 17. *Num. vii.* 84-88. *Exod. xl.* 2 *Mac. x.* 5-8. [ὁταν—τα εγκαινια ηγε. *Philo, p.* 440. *Conf. Jos. Ant. xii.* 7. 7.]

23 Και περιεπατει ὁ Ιησους εν τῳ ἱερῳ εν τῃ στοᾳ του Σολομωντος.

24 Εκυκλωσαν ουν αυτον οἱ Ιουδαιοι, και ελεγον αυτῳ, Ἑως ποτε την ψυχην ἡμων αιρεις; ει συ ει ὁ Χριστος, ειπε ἡμιν παρῥησιᾳ.

επαρσιν ψυχης. *Ezech. xxiv.* 25. *Conf. Apoc. vi.* 10. παν το εν τῃ ψυχῃ σου ποιει. 1 *Par. xvii.* 2. ἑως ποτε αποστρεψεις το προσωπον σου απ᾽ εμου; *Ps. xii.* 1. ψυχην αιρειν. *i. e.* απαταν *vel* επαιρειν. *Krebs. Conf. Esa. xxxvi.* 14. 4 *Reg. xviii.* 29. *sed Elsner,* "*quamdiu enecas nos?*" *Conf. Esa. lxiv.* 6, 7.

25 Απεκριθη αυτοις ὁ Ιησους, Ειπον ὑμιν, και ου πιστευετε, τα εργα ἁ εγω ποιω εν τῳ ονοματι του πατρος μου, ταυτα μαρτυρει περι εμου·

εν ονοματι Κυριου. *Ps. cxvii.* 26.

26 Αλλ᾽ ὑμεις ου πιστευετε· ου γαρ εστε εκ των προβατων των εμων, καθως ειπον ὑμιν.

οἱ υἱοι μου και τα προβατα μου ουκ εισι. *Jer. x.* 19. *Conf.* 1 *Joan. iv.* 6.

27 Τα προβατα τα εμα της φωνης μου ακουει, καγω γινωσκω αυτα· και ακολουθουσι μοι,

ὡδηγησεν με επι τριβους δικαιοσυνης. *Ps. xxii.* 3.

28 Καγω ζωην αιωνιον διδωμι αυτοις· και ου μη απολωνται εις τον αιωνα, και ουχ ἁρπασει τις αυτα εκ της χειρος μου.

ου μη σαλευθῳ εις τον αιωνα. *Ps. xxix.* 6. εἱλου γαρ μου την ψυχην, ἱνα μη αποληται. *Esa. xxxviii.* 17. μηποτε ἁρπασῃ ὡς λεων. *Ps. vii.* 2. ἁρπαζειν εκ της χειρος. 2 *Reg. xxiii.* 21. σωζειν εις ζωην αιωνιον. 4 *Mac. xv.* 2. *Dan. xii.* 2. *Conf. Esa. xl.* 11.

29 Ὁ πατηρ μου, ὁς δεδωκε μοι, μειζων παντων εστι· και ουδεις δυναται ἁρπαζειν εκ της χειρος του πατρος μου.

προτερα παντων. *Sir. i.* 4. *Deut. xxxiii.* 3. *Sap. iii.* 1. τις Θεος μεγας, ὡς ὁ Θεος ἡμων; *Ps. lxxvi.* 13. *lxxxvi.* 10. δικαιων δε ψυχαι εν χειρι Θεου, και ου μη ἁψηται αυτων βασανος. *Sap. iii.* 1. *Conf. Exod. xviii.* 11. *Ps. cxliv.* 3. *Mal. i.* 14.

30 Εγω και ὁ πατηρ ἑν εσμεν.

Conf. Esa. vii. 14. *Zach. vi.* 13. και επι ανδρα πολιτην μου, λεγει Κυριος παντοκρατωρ, κ. τ. λ. *xiii.* 7. ὁτι εν σοι ὁ Θεος εστι, και ουκ εστι θεος πλην σου. *Esa. xlv.* 14. Κυριος ὁ Θεος ἡμων, Κυριος εἱς εστι. *Deut. vi.* 4. και εγενετο ἑν. *Exod. xxxvi.* 18. *Comp. Zach. xiv.* 9. *Joan. v.* 7. Κυριος ὁ Θεος. *Gen. ii.* 15, 16. *et pass.*

31 Εβαστασαν ουν παλιν λιθους οἱ Ιουδαιοι, ἱνα λιθασωσιν αυτον.

32 Απεκριθη αυτοις ὁ Ιησους, Πολλα καλα εργα εδειξα ὑμιν εκ του πατρος μου· δια ποιον αυτων εργον λιθαζετε με;

τα εργα Κυριου παντα ὁτι καλα σφοδρα. *Sir. xxxix.* 16. δειξον ἡμιν Κυριε το ελεος σου. *Ps. lxxxiv.* 7. εδειξας τῳ λαῳ σου σκληρα. *lix.* 3. *Conf. Ps. xxxiv.* 7. λιθαζειν. 2 *Reg. xvi.* 6. 13.

33 Απεκριθησαν αυτῳ οἱ Ιουδαιοι, λεγοντες, Περι καλου εργου ου λιθαζομεν σε, αλλα περι βλασφημιας, και ὁτι συ, ανθρωπος ων ποιεις σεαυτον Θεον.

[ὁς αν καταρασηται Θεον, ἁμαρτια ενοχος εστω· ὁς δ' αν ονομαση το ονομα του Κυριου, θνησκετω. [*Conf. Lev. xxiv.* 16. 3 *Reg. xx.* 13.] *Philo de Vit. Mos. p.* 528. *Edit. Col.*] *Conf. Matt. v.* 22. *Conf. Act. v.* 12.

34 Απεκριθη αυτοις ὁ Ιησους, Ουκ εστι γεγραμμενον εν τῳ νομῳ ὑμων, Εγω ειπα, θεοι εστε;

εγω ειπα, Θεοι εστε. *Ps. lxxxi.* 6. οἱ θεοι. *Dan. ii.* 11. ει μη τις αγγελος. *Ib. LXX. CITAT.* 95.

35 Ει εκεινους ειπε θεους, προς οὑς ὁ λογος του Θεου εγενετο, και ου δυναται λυθηναι ἡ γραφη,

ειπον προς Ζοροβαβελ. *Agg. i.* 1. εγενετο λογος Κυριου προς Ιωναν. *Jon. i.* 1. *iii.* 1. *Esa. ii.* 1. *Jer. i.* 2, 4. *xviii.* 1. *Conf.* 2 *Par. xix.* 6. *Num. xi.* 17.

36 Ὁν ὁ πατηρ ἡγιασε και απεστειλεν εις τον κοσμον, ὑμεις λεγετε, Ὁτι βλασφημεις, ὁτι ειπον, υἱος του Θεου ειμι;

αυτος εν μητρᾳ ἡγιασθη προφητης. *Sir. xlix.* 7. εγω ενετειλαμην τοις ἡγιασμενοις μου. *Esa. xiii.* 3 *Aq.* εις τον κοσμον. *Sap. ii.* 24. *Conf. Ps. ii.* 2-6. *Esa. xli.* 2-5. *Jer. i.* 5. *Marc. i.* 24.

37 Ει ου ποιω τα εργα του πατρος μου, μη πιστευετε μοι·

38 Ει δε ποιω, καν εμοι μη πιστευητε, τοις εργοις πιστευσατε·

ἱνα γνωτε και πιστευσητε, ὁτι εν εμοι ὁ πατηρ, καγω εν αυτῳ.

εργον εγω εργαζομαι—ὁ ου μη πιστευσητε. Hab. i. 5. *ἱνα γνωτε, και πιστευσητε, και συνητε, ὁτι εγω ειμι.* Esa. xliii. 10.

39 Εζητουν ουν παλιν αυτον πιασαι· και εξηλθεν εκ της χειρος αυτων.

μη ηδυναντο—σωσαι—εκ χειρος μου. 2 Par. xxxii. 13, 14.

40 Και απηλθε παλιν περαν του Ιορδανου, εις τον τοπον ὁπου ην Ιωαννης το πρωτον βαπτιζων· και εμεινεν εκει.

41 Και πολλοι ηλθον προς αυτον, και ελεγον, Ὁτι Ιωαννης μεν σημειον εποιησεν ουδεν· παντα δε ὁσα ειπεν Ιωαννης περι τουτου, αληθη ην.

και εποιησε τα σημεια—και επιστευσεν αυτοις ὁ λαος. Exod. iv. 30, 31. Conf. xiv. 31. *και επιστευσαν τοις λογοις αυτου, και ῃνεσαν την αινεσιν αυτου.* Ps. cv. 12. Conf. cap. i. 29. 33.

42 Και επιστευσαν πολλοι εκει εις αυτον.

ΚΕΦ. ια. 11.

ΗΝ δε τις ασθενων Λαζαρος απο Βηθανιας, εκ της κωμης Μαριας και Μαρθας της αδελφης αυτης.

ην δε τις εκ της φυλης Λευι, κ. τ. λ. Exod. ii. 1. *ανθρωπος τις ην εν χωρᾳ τῃ Αυσιτιδι, κ. τ. λ.* Job. i. 1. [Ιωαννης απο Γισχαλων. Jos. Bell. Jud. ii. 21.] Conf. Marc. xi. 1.

2 (Ην δε Μαρια ἡ αλειψασα τον Κυριον μυρῳ, και εκμαξασα τους ποδας αυτου ταις θριξιν αὑτης, ἡς ὁ αδελφος Λαζαρος ησθενει.)

ηλειψατο το προσωπον αυτης εν μυρισμῳ. Judith. xvi. 8. *εκμασσονται το προσωπον αυτων.* Epist. Jer. 13. Sir. xii. 11. Conf. Matt. xxvi. 7. Marc. xiv. 3. Luc. vii. 38.

3 Απεστειλαν ουν αἱ αδελφαι προς αυτον λεγουσαι, Κυριε, ιδε, ὁν φιλεις ασθενει.

ιδε. Eccles. i. 10. vii. 28. Jer. iii. 2. *ασθενει.* 1 Reg. ii. 5.

4 Ακουσας δε ὁ Ιησους ειπεν, Αὑτη ἡ ασθενεια ουκ εστι προς θανατον, αλλ᾽ ὑπερ της δοξης του Θεου, ἱνα δοξασθῃ ὁ υἱος του Θεου δι᾽ αυτης.

εμαλακισθη—ἑως θανατου. *Esa. xxxviii.* 1. εις θανατον. *alii. Job. xxxiii.* 30. ηρρωστησεν—εις θανατον. 4 *Reg. xx.* 1. [προς σωτηριαν φαρμακον. *Jos. Bell. Jud. iv.* 9. 11.] ιδου συνησε ὁ παις μου, και ὑψωθησεται, και δοξασθησεται σφοδρα. *Esa. lii.* 13.

5 Ηγαπα δε ὁ Ιησους την Μαρθαν και την αδελφην αυτης και τον Λαζαρον.

και ηγαπησεν αυτον Ιωναθαν. 1 *Reg. xviii.* 1.

6 Ὡς ουν ηκουσεν ὁτι ασθενει, τοτε μεν εμεινεν εν ᾡ ην τοπῳ δυο ἡμερας.

και εμεινεν εκει ἡμερας πολλας. 1 *Mac. xi.* 40. *Gen. xxii.* 14.

7 Επειτα μετα τουτο λεγει τοις μαθηταις, Αγωμεν εις την Ιουδαιαν παλιν.

8 Λεγουσιν αυτῳ οἱ μαθηται, Ῥαββι, νυν εζητουν σε λιθασαι οἱ Ιουδαιοι, και παλιν ὑπαγεις εκει;

και εζητει αυτον αποκτειναι. *Exod. iv.* 24. *Conf. Ps. x.* 1-4.

9 Απεκριθη ὁ Ιησους, Ουχι δωδεκα εισιν ὡραι της ἡμερας; εαν τις περιπατῃ εν τῃ ἡμερᾳ, ου προσκοπτει, ὁτι το φως του κοσμου τουτου βλεπει·

ἱνα πορευῃ πεποιθως εν ειρηνῃ πασας τας ὁδους σου, ὁ δε πους σου ου μη προσκοψῃ. *Prov. iii.* 23. φως δικαιοις διαπαντος, φως δε ασεβων σβεννυται. *xiii.* 9. *Conf. Matt. x.* 30. *Luc. xiii.* 32.

10 Εαν δε τις περιπατῃ εν τῃ νυκτι, προσκοπτει, ὁτι το φως ουκ εστιν εν αυτῳ.

αἱ δε ὁδοι των δικαιων ὁμοιως φωτι λαμπουσι, κ. τ. λ. *Prov. iv.* 18, 19. προ του προσκοψαι ποδας ὑμων επ' ορη σκοτεινα· και αναμενειτε εις φως. *Jer. xiii.* 16.

11 Ταυτα ειπε, και μετα τουτο λεγει αυτοις, Λαζαρος ὁ φιλος ἡμων κεκοιμηται· αλλα πορευομαι ἱνα εξυπνισω αυτον.

εκοιμηθη μετα των πατερων. 3 *Reg. xiv.* 20. και εξυπνισθη Σαλωμων. *iii.* 15. *Job. xiv.* 12. [*Sturz. p.* 167.] *Matt. ix.* 24.

12 Ειπον ουν οἱ μαθηται αυτου, Κυριε, ει κεκοιμηται, σωθησεται.

13 Ειρηκει δε ὁ Ιησους περι του θανατου αυτου· εκεινοι δε εδοξαν ὁτι περι της κοιμησεως του ὑπνου λεγει.

τον αυτον ὑπνον κοιμωμενοι. *Sap. xvii.* 14. *Sir. xlvi.* 19.

14 Τοτε ουν ειπεν αυτοις ὁ Ιησους παρρησιᾳ, Λαζαρος απεθανε·

15 Και χαιρω δι' ὑμας, (ἱνα πιστευσητε,) ὁτι ουκ ημην εκει· αλλ' αγωμεν προς αυτον.

χαιρω—ὁτι. *Conf. Exod. iv.* 31. *Conf.* 1 *Joan. v.* 13.

16 Ειπεν ουν Θωμας, ὁ λεγομενος Διδυμος, τοις συμμαθηταις, Αγωμεν και ἡμεις, ἱνα αποθανωμεν μετ' αυτου.

και οὑ εαν αποθανῃς, αποθανουμαι, κ. τ. λ. *Ruth. i.* 17. [ελαχεν ἡ Ινδια Ιουδᾳ Θωμᾳ, τῳ και Διδυμῳ. *Act. Thom. c.* 1. Ιουδαν Θωμαν, τον και Διδυμον. *c.* 2. ὁ διδυμος ων του Χριστου. *c.* 31.]

17 Ελθων ουν ὁ Ιησους εὑρεν αυτον τεσσαρας ἡμερας ηδη εχοντα εν τῳ μνημειῳ.

18 (Ην δε ἡ Βηθανια εγγυς των Ἱεροσολυμων, ὡς απο σταδιων δεκαπεντε·)

Ἱεροσολυμων απεχοντι ὡσει σταδιους πεντε. 2 *Mac. xi.* 5. [βαλλων στρατοπεδον απο δεκα σταδιων της Ἱεριχουντος. *Jos. Ant. xviii.* 3. 2.] *Conf. Apoc. xiv.* 20.

19 Και πολλοι εκ των Ιουδαιων εληλυθεισαν προς τας περι Μαρθαν και Μαριαν, ἱνα παραμυθησωνται αυτας περι του αδελφου αυτων.

οἱ περι τον Νεεμιαν. 2 *Mac. i.* 33. *Conf.* 1 *Reg. i.* 6. *Act. xiii.* 13. εληλυθει. 3 *Reg. x.* 10, 12. και παραμυθουμενος αυτους εκ του νομου. 2 *Mac. xv.* 9. *Eccles. iv.* 1. *Sym. Conf. Gen. xxxvii.* 35. και ηλθον αδελφοι αυτου του παρακαλεσαι αυτον. 1 *Par. vii.* 22.

20 Ἡ ουν Μαρθα, ὡς ηκουσεν ὁτι ὁ Ιησους ερχεται, ὑπηντησεν αυτῳ· Μαρια δε εν τῳ οικῳ εκαθεζετο.

Σαρρα δε ὑπηντησεν αυτοις. *Tob. vii.* 1. *Alex.* εκαθισεν—εν τῳ οικῳ αυτου. 2 *Reg. vii.* 1. *Gen. xxxviii.* 11. *Conf. Matt. xxv.* 1-6.

21 Ειπεν ουν ἡ Μαρθα προς τον Ιησουν, Κυριε, ει ης ὡδε, ὁ αδελφος μου ουκ αν ετεθνηκει.

22 Αλλα και νυν οιδα ὁτι ὁσα αν αιτησῃ τον Θεον, δωσει σοι ὁ Θεος.

αιτησαι παρ' εμου, και δωσω. *Ps. ii.* 8. αλλα και. 3 *Mac. iii.* 23.

23 Λεγει αυτῃ ὁ Ιησους, Αναστησεται ὁ αδελφος σου.

και αναστησῃ εις τον κληρον σου εις συντελειαν ἡμερων. *Dan. xii.* 13. αναστησονται οἱ νεκροι. *Esa. xxvi.* 19. 2 *Mac. vii.* 9-23.

24 Λεγει αυτῳ Μαρθα, Οιδα ὁτι αναστησεται, εν τῃ αναστασει εν τῃ εσχατῃ ἡμερᾳ.

σοι μεν γαρ αναστασις εις ζωην ουκ εσται. 2 *Mac. vii.* 14. *xii.* 43. *Dan. xii.* 2, 12. *Conf. Luc. xiv.* 14. *εαν γαρ αποθανη ανθρωπος, ζησεται συντελεσας ἡμερας του βιου αυτου. ὑπομενω ἑως παλιν γενωμαι. κ. τ. λ. Job. xiv.* 14, 15. *οιδα γαρ ὁτι αεννασς εστιν ὁ εκλυειν με μελλων, επι γης αναστησαι το δερμα μου, κ. τ. λ. xix.* 25-27. *ανθρωπος δε κοιμηθεις ου μην αναστῃ ἑως αν ὁ ουρανος ου μη συρραφῃ, και ουκ εξυπνισθησονται εξ ὑπνου αυτων. xiv.* 12. *αναστῃ και ου μη εξεγερθῃ ἑως αν ὁ ουρανος παλαιωθῃ. Alex. και ετελευτησεν Ιωβ πρεσβυτερος και πληρης ἡμερων· γεγραπται δε αυτον παλιν αναστησεσθαι μεθ' ὡν ὁ Κυριος ανιστησι. xlii.* 17. *Conf.* 1 *Thess. iv.* 14. *Apoc. xx.* 5. *Sophon. iii.* 8. *Exod. xiii.* 19.

25 *Ειπεν αυτῃ ὁ Ιησους, Εγω ειμι ἡ αναστασις και ἡ ζωη. ὁ πιστευων εις εμε, καν αποθανῃ, ζησεται·*

Conf. cap. vi. 39, 40. 44. *ὁτι παρα σοι πηγη ζωης, εν φωτι σου οψομεθα φως. Ps. xxxv.* 9. *Deut. xxx.* 20. *Ose. vi.* 2.

26 *Και πας ὁ ζων και πιστευων εις εμε, ου μη αποθανῃ εις τον αιωνα. πιστευεις τουτο;*

ου μη σαλευθω εις τον αιωνα. Ps. xxix. 6. [*ὁσοι επιστευσαν αυτῳ επι γης, συγχαρησονται αυτῳ, ὁτε και παντες αναστησονται. Test. XII Patr. p.* 745.] *Conf. Matt. ix.* 28.

27 *Λεγει αυτῳ, Ναι, Κυριε· εγω πεπιστευκα, ὁτι συ ει ὁ Χριστος, ὁ υἱος του Θεου, ὁ εις τον κοσμον ερχομενος.*

εισηλθεν εις τον κοσμον. Sap. ii. 24. *xiv.* 14. *Conf. Matt. xvi.* 16. *Amos. iv.* 13. *Dan. ix.* 25. *Mal. iii.* 1. 1 *Mac. iv.* 46. *xiv.* 41.

28 *Και ταυτα ειπουσα, απηλθε και εφωνησε Μαριαν την αδελφην αὑτης λαθρα ειπουσα, Ὁ διδασκαλος παρεστι και φωνει σε.*

φωνησον αυτον προς με. Tob. v. 8. *Conf. Zach. iii.* 11. *Cant. ii.* 8. 14.

29 *Εκεινη ὡς ηκουσεν, εγειρεται ταχυ και ερχεται προς αυτον.*

30 *(Ουπω δε εληλυθει ὁ Ιησους εις την κωμην, αλλ' ην εν τῳ τοπῳ ὁπου ὑπηντησεν αυτῳ ἡ Μαρθα.)*

31 *Οἱ ουν Ιουδαιοι οἱ οντες μετ' αυτης εν τῃ οικιᾳ και παραμυθουμενοι αυτην, ιδοντες την Μαριαν ὁτι ταχεως ανεστη και εξηλθεν, ηκολουθησαν αυτῃ, λεγοντες, Ὁτι ὑπαγει εις το μνημειον, ἱνα κλαυσῃ εκει.*

και ουθεις ην των εν τῃ οικιᾳ εσω. Gen. xxxix. 11. *και εκαλεσε τους οντας εν τῃ οικιᾳ.* 14. *Conf. Gen. xxxvii.* 35. *ηλθε δε Ἀβρααμ κοψασθαι Σαρραν, και πενθησαι. xxiii.* 2. 2 *Reg. xii.* 16-18.

32 Ἡ ουν Μαρια ὡς ηλθεν ὁπου ην ὁ Ιησους, ιδουσα αυτον,
επεσεν εις τους ποδας αυτου, λεγουσα αυτῳ, Κυριε, ει ης ὡδε,
ουκ αν απεθανε μου ὁ αδελφος.

και επεσεν—επι τους ποδας αυτου, και ειπε. 1 *Reg. xxv.* 23, 24. *παρα τους ποδας.* 4 *Reg. iv.* 37. *Ald. v.* 3. *Est. viii.* 3.

33 Ιησους ουν ὡς ειδεν αυτην κλαιουσαν, και τους συνελθοντας
αυτῃ Ιουδαιους κλαιοντας, ενεβριμησατο τῳ πνευματι, και
εταραξεν ἑαυτον,

εμβριμηματι οργης. Thren. ii. 6. *Conf. Gen. xl.* 6. *προς εμαυτον ἡ ψυχη μου εταραχθη. Ps. xli.* 6. *και εναντιον σου πασα ἡ επιθυμια μου, και ὁ στεναγμος μου ουκ απεκρυβη απο σου. Ps. xxxvii.* 9. *εν εμοι εταραχθη ἡ καρδια μου. cxlii.* 4. *στενοχωρια πνευματος. Sap. v.* 3. *εταραχθη δε Ιωσηφ—και εζητει κλαυσαι· εισελθων δε εις το ταμειον εκλαυσεν εκει· και νιψαμενος το προσωπον, εξελθων ενεκρατευσατο, κ.τ.λ. Gen. xliii.* 30, 31. *xlv.* 1-5. *ολεκομαι πνευματι φερομενος. Job. xvii.* 1. *Conf. Marc. iii.* 5. *ix.* 19. *xiv.* 33-35. *Heb. v.* 7, 8.

34 Και ειπε, Που τεθεικατε αυτον;

και εθηκαν εν τῃ σορῳ. Gen. l. 26. *Conf. Matt. xxviii.* 6.

35 Λεγουσιν αυτῳ, Κυριε, ερχου και ιδε. Εδακρυσεν ὁ Ιησους.

36 Ελεγον ουν οἱ Ιουδαιοι, Ιδε, πως εφιλει αυτον.

δευτε και ιδετε. Ps. lxv. 5. 4 *Reg. vii.* 14. *πως κατελογισθη εν υἱοις Θεου; Sap. v.* 5. *αγαπησω αυτους ὁμολογως. Ose. xiv.* 5.

37 Τινες δε εξ αυτων ειπον, Ουκ ηδυνατο οὑτος ὁ ανοιξας τους
οφθαλμους του τυφλου, ποιησαι ἱνα και οὑτος μη αποθανῃ;

38 Ιησους ουν παλιν εμβριμωμενος εν ἑαυτῳ, ερχεται εις το
μνημειον. ην δε σπηλαιον, και λιθος επεκειτο επ᾽ αυτῳ.

το σπηλαιον παρα Εφρων—εν κτησει μνημειου. Gen. xlix. 30. *Judith. xvi.* 23. *κυλισατε λιθους μεγαλους επι το στομα του σπηλαιου. Jos. x.* 18. *Ox. Ald. Comp. προσευχη ταπεινου νεφελας διηλθε, και ἑως συνεγγισῃ ου μη παρακληθῃ, και ου μη αποστῃ ἑως επισκεψηται ὁ ὑψιστος, κ. τ. λ. Sir. xxxii.* 17.

39 Λεγει ὁ Ιησους, Αρατε τον λιθον. Λεγει αυτῳ ἡ αδελφη του
τεθνηκοτος Μαρθα, Κυριε, ηδη οζει· τεταρταιος γαρ εστι.

αιρειν βασταγματα. Neh. xiii. 19. *οζει. Exod. viii.* 14. *Ps. xxxviii.* 6. *εμοι χθες, και σοι σημερον. Sir. xxxviii.* 22.

40 Λεγει αυτῃ ὁ Ιησους, Ουκ ειπον σοι, ὁτι εαν πιστευσῃς, οψει την δοξαν του Θεου ;

ἐαν δε μη πιστευσωσι σοι. *Exod. iv.* 8. και οψονται την δοξαν μου. *Esa. lxvi.* 18. *xl.* 5. *Ps. lxii.* 2. *Conf. Rom. vi.* 4. 2 *Cor. iii.* 18.

41 Ηραν ουν τον λιθον, οὑ ην ὁ τεθνηκως κειμενος. Ὁ δε Ιησους ηρε τους οφθαλμους ανω, και ειπε, Πατερ, ευχαριστω σοι ὁτι ηκουσας μου.

προς σε ηρα τους οφθαλμους μου. *Ps. cxxii.* 1. 1 *Reg. vi.* 13. και αναβλεψονται εις τον ουρανον ανω. *Esa. viii.* 21. *Zach. i.* 18.

42 Εγω δε ηδειν ὁτι παντοτε μου ακουεις· αλλα δια τον οχλον τον περιεστωτα ειπον, ἱνα πιστευσωσιν ὁτι συ με απεστειλας.

και γνωσεσθε ὁτι εγω ειμι Κυριος, εν τῳ ανοιξαι με τους ταφους ὑμων, κ. τ. λ. *Ezech. xxxvii.* 13. ἱνα γνωτε, και πιστευσητε, και συνητε ὁτι εγω ειμι. *Esa. xliii.* 10. *Exod. iii.* 13, 14. *iv.* 5.

43 Και ταυτα ειπων, φωνῃ μεγαλῃ εκραυγασε, Λαζαρε, δευρο εξω.

ὁ λαος εκραυγασε φωνῃ μεγαλῃ. *Esd. iii.* 13. και ειπε, Δευρο Δανιηλ. *Dan. xii.* 9. 3 *Reg. i.* 13. *xvii.* 21. 4 *Reg. iv.* 33-36.

44 Και εξηλθεν ὁ τεθνηκως, δεδεμενος τους ποδας και τας χειρας κειριαις, και ἡ οψις αυτου σουδαριῳ περιεδεδετο. λεγει αυτοις ὁ Ιησους, Λυσατε αυτον, και αφετε ὑπαγειν.

και περιεδησε ζωνῃ οσφυας αυτων. *Job. xii.* 18. *Conf. Sir. xxxviii.* 16. οψις αυτου. *Jer. iii.* 3. *Cant. ii.* 14. *Conf. Ose. xiii.* 14.

45 Πολλοι ουν εκ των Ιουδαιων οἱ ελθοντες προς την Μαριαν, και θεασαμενοι ἁ εποιησεν ὁ Ιησους, επιστευσαν εις αυτον.

και εποιησε τα σημεια—και επιστευσεν αυτοις ὁ λαος. *Exod. iv.* 30. 31. *Ald.* εις σε ελπιζουσι. *Ps. cxliv.* 15. [ταυτα λεγων ὁ Ἱερεμιας ὑπο μεν των πλειονων επιστευετο. *Jos. Ant. x.* 7. 3.]

46 Τινες δε εξ αυτων απηλθον προς τους Φαρισαιους, και ειπον αυτοις ἁ εποιησεν ὁ Ιησους.

47 Συνηγαγον ουν οἱ Αρχιερεις και οἱ Φαρισαιοι συνεδριον, και ελεγον, Τι ποιουμεν; ὁτι οὑτος ὁ ανθρωπος πολλα σημεια ποιει.

και συνηγαγε τους ἱερεις και τους Λευιτας. 2 *Par. xxiv.* 5. *Conf. Matt. iii.* 7-14. *xxvi.* 3. *Marc. xiv.* 1. *Ps. ii.* 2-4.

48 Εαν αφωμεν αυτον οὑτω, παντες πιστευσουσιν εις αυτον· και ελευσονται οἱ Ῥωμαιοι και αρουσιν ἡμων και τον τοπον και το εθνος.

εβουλευσαντο του αραι το γενος Ιακωβ. 1 *Mac. v.* 2. *και ἡξουσι Ῥωμαιοι, και εξωσουσιν αυτον, κ. τ. λ.* *Dan. xi.* 30. *LXX.* *τον τοπον—οὑ κατεσκηνωσα το ονομα μου.* *Jer. vii.* 12. *Ονιαν τον γενομενον Αρχιερεα.* 2 *Mac. xv.* 12.

49 *Εἱς δε τις εξ αυτων Καϊαφας, Αρχιερευς ων του ενιαυτου εκεινου, ειπεν αυτοις, Ὑμεις ουκ οιδατε ουδεν·*

και τουτο τριτον ετος επι Σιμωνος αρχιερεως. 1 *Mac. xiv.* 27.

50 *Ουδε διαλογιζεσθε, ὁτι συμφερει ἡμιν, ἱνα εἱς ανθρωπος αποθανῃ ὑπερ του λαου, και μη ὁλον το εθνος αποληται.*

ὡς συμφερει, και ὡς βελτιον ὑμιν. *Jer. xxxiii.* 14. *προσδεξαι την θυσιαν ὑπερ παντος του λαου σου.* 2 *Mac. i.* 26. *iii.* 32. *και αποστελει αυτοις ανθρωπον ὁς σωσει αυτους.* *Esa. xix.* 20. *Num. xvi.* 4.

51 *Τουτο δε αφ᾽ ἑαυτου ουκ ειπεν, αλλα Αρχιερευς ων του ενιαυτου εκεινου, προεφητευσεν ὁτι εμελλεν ὁ Ιησους αποθνησκειν ὑπερ του εθνους,*

ουκ απ᾽ εμαυτου. *Num. xvi.* 28. [*κελευει τον Αρχιερεα λαβοντα την αρχιερατικην στολην προφητευειν αυτῳ περι των μελλοντων.* *Jos. Ant. vi.* 6. 3.] [*ὁ προς αληθειαν ἱερευς ευθυς εστι προφητης.* *Philo de Creat. p.* 723.]

52 *Και ουχ ὑπερ του εθνους μονον, αλλ᾽ ἱνα και τα τεκνα του Θεου τα διεσκορπισμενα συναγαγῃ εις ἑν.*

το απολωλος ζητησω, και το πλανωμενον αποστρεψω, κ. τ. λ. *Ezech. xxxiv.* 16. *Esa. liv.* 1. *και εξεγερω τα τεκνα σου Σιων επι τα τεκνα των Ἑλληνων.* *Zach. ix.* 13. *ὑμεις δε συναγαγετε κατα ἑνα τους υἱους Ισραηλ.* *Esa. xxvii.* 12. *xxx.* 1. *xlix.* 6. *υἱοι ὑψιστου παντες.* *Ps. lxxxi.* 6. *ειπε Κυριος ὁ συναγων τους διεσπαρμενους Ισραηλ, ὁτι συναξω επ᾽ αυτον συναγωγην, κ.τ.λ.* *Esa. lvi.* 8. *συναγε πασας φυλας Ιακωβ.* *Sir. xxxiii.* 11.

53 *Απ᾽ εκεινης ουν της ἡμερας συνεβουλευσαντο ἱνα αποκτεινωσιν αυτον.*

54 *Ιησους ουν ουκ ετι παρῤῥησιᾳ περιεπατει εν τοις Ιουδαιοις, αλλα απηλθεν εκειθεν εις την χωραν εγγυς της ερημου, εις Εφραϊμ λεγομενην πολιν, κακει διετριβε μετα των μαθητων αὑτου.*

εν Βαβυλωνι περιπατων. *Dan. iv.* 26. *Sir. xiii.* 13. *και διατριψει—ἑπτα ἡμερας.* *Lev. xiv.* 8. *Εφραϊμ.* *Ps. lxxvii.* 67. 2 *Par. xiii.* 19. [*Βεθηλα τε και Εφραϊμ πολιχνια.* *Jos. Bell. Jud. iv.* 9. 9.]

55 Ην δε εγγυς το πασχα των Ιουδαιων· και ανεβησαν πολλοι
εις Ἱεροσολυμα εκ της χωρας προ του πασχα, ἱνα ἁγνισωσιν
ἑαυτους.

και του σαββατου. Neh. xiii. 19. απο οινου και σικερα ἁγνισθησεται. Num. vi. 3. οὑτος ἁγνισθησεται τῃ ἡμερᾳ τῃ τριτῃ. xix. κατα τον εθισμον ἁγνισθεντες. 2 Mac. xii. 38. Conf. 2 Par. xxx. 17. εκ ποιας χωρας. Jon. i. 8.

56 Εζητουν ουν τον Ιησουν, και ελεγον μετ᾽ αλληλων εν τῳ ἱερῳ
ἑστηκοτες, Τι δοκει ὑμιν, ὁτι ου μη ελθῃ εις την ἑορτην;

ὁτι—εν τουτῳ γνωσομαι ὁτι ειρηνικοι εστε. Gen. xlii. 33.

57 Δεδωκεισαν δε και οἱ Αρχιερεις και οἱ Φαρισαιοι εντολην, ἱνα
εαν τις γνῳ που εστι, μηνυσῃ, ὁπως πιασωσιν αυτον.

δεδωκειν. 2 Reg. xviii. 11. εδωκας αυτοις—εντολας αγαθας. Neh. ix. 13. και οὑ ουχ ὑπενοησε πιασθησεται. Sir. xxiii. 21. μηνυσῃ. 2 Mac. iii. 7. και λογοις μισους εκυκλωσαν με, και επολεμησαν με δωρεαν, κ. τ. λ. Ps. cviii. 3.

ΚΕΦ. ιβ. 12.

Ο ΟΥΝ Ιησους προ ἑξ ἡμερων του πασχα ηλθεν εις Βηθανιαν, ὁπου ην Λαζαρος ὁ τεθνηκως, ὁν ηγειρεν εκ νεκρων.

προ δυω ετων του σεισμου. Amos. i. 1. 2 Mac. xv. 36. ὁπου ην. Job. vi. 17. ὁ εγειρας νεκρον εκ θανατου και εξ ᾁδου. Sir. xlviii. 5. Conf. Matt. xxvi. 6. Marc. xiv. 3.

2 Εποιησαν ουν αυτῳ δειπνον εκει, και ἡ Μαρθα διηκονει· ὁ δε
Λαζαρος εἱς ην των συνανακειμενων αυτῳ.

Βαλτασαρ—εποιησε δειπνον μεγα. Dan. v. 1. οἱ διακονοι του βασιλεως. Est. ii. 2. αυτος ανακειται, εσθιει, και πινει. 1 Esd. iv. 10. Conf. Luc. x. 40.

3 Ἡ ουν Μαρια λαβουσα λιτραν μυρου ναρδου πιστικης πολυ-
τιμου, ηλειψε τους ποδας του Ιησου, και εξεμαξε ταις θριξιν
αὑτης τους ποδας αυτου· ἡ δε οικια επληρωθη εκ της οσμης
του μυρου.

και εδωκαν φαγειν και αλειψασθαι. 2 Par. xxviii. 15. οινου πολυτελους και μυρων πλησθωμεν. Sap. ii. 7. Conf. Luc. vii. 37.

4 Λεγει ουν εἱς εκ των μαθητων αυτου, Ιουδας Σιμωνος Ισκα-
ριωτης, ὁ μελλων αυτον παραδιδοναι,

5 *Διατι τουτο το μυρον ουκ επραθη τριακοσιων δηναριων, και εδοθη πτωχοις;*

ὁς διδωσι πτωχοις, ουκ ενδεηθησεται. *Prov. xxviii.* 27. *Conf. Matt. xxvi.* 9. *Marc. xiv.* 5. *Amos. viii.* 5, 6. *Mal. i.* 10.

6 Ειπε *δε τουτο, ουχ ὁτι περι των πτωχων εμελεν αυτῳ, αλλ᾽ ὁτι κλεπτης ην, και το γλωσσοκομον ειχε, και τα βαλλομενα εβασταζεν.*

και ενεβαλον εις το γλωσσοκομον. 2 *Par. xxiv.* 10. *Θεος—ᾧ μελει περι παντων. Sap. xii.* 13. *οἱ αρχοντες σου απειθουσι, κοινωνοι κλεπτων, αγαπωντες δωρα. Esa. i.* 23. [*γλωσσοκομον· θηκη, σορος ξυλινη λειψανων. Hesych.*] *Conf.* 4 *Reg. v.* 20.

7 Ειπεν *ουν ὁ* Ιησους, Αφες *αυτην· εις την ἡμεραν του ενταφιασμου μου τετηρηκεν αυτο.*

αφες αυτην. 4 *Reg. iv.* 27. *ενταφιασαι τον πατερα αυτου. Gen. l.* 2, 3. *ἡμερα (tempus). Sophon. i.* 14-16. *iii.* 8. *Jos. vi.* 26. *και δωσω τους πονηρους αντι της ταφης αυτου, και τους πλουσιους αντι του θανατου αυτου. Esa. liii.* 9.

8 Τους *πτωχους γαρ παντοτε εχετε μεθ᾽ ἑαυτων, εμε δε ου παντοτε εχετε.*

Conf. Matt. xxvi. 11. *Marc. xiv.* 7. *ου γαρ μη εκλιπῃ ενδεης απο της γης σου. Deut. xv.* 11. *Conf. Act. i.* 9-11.

9 Εγνω *ουν οχλος πολυς εκ των* Ιουδαιων *ὁτι εκει εστι· και ηλθον ου δια τον* Ιησουν *μονον, αλλ᾽ ἱνα και τον* Λαζαρον *ιδωσιν, ὁν ηγειρεν εκ νεκρων.*

10 Εβουλευσαντο *δε οἱ* Αρχιερεις, *ἱνα και τον* Λαζαρον *αποκτεινωσιν·*

τοτε ὁ βασιλευς εβουλευσατο καταστησαι τον Δανιηλ επι πασης της βασιλειας αυτου. Dan. vi. 4. *LXX. Ps. lxxxii.* 5.

11 Ὁτι *πολλοι δι᾽ αυτον ὑπηγον των* Ιουδαιων, *και επιστευον εις τον* Ιησουν.

[*κατα μικρον εις πιστιν ὑπηγετο. Jos. Bell. Jud. iii.* 7. 9.]

12 Τῃ *επαυριον οχλος πολυς ὁ ελθων εις την ἑορτην, ακουσαντες ὁτι ερχεται ὁ* Ιησους *εις* Ἱεροσολυμα,

13 Ελαβον *τα βαΐα των φοινικων, και εξηλθον εις ὑπαντησιν αυτῳ, και εκραζον,* Ὡσαννα· *ευλογημενος ὁ ερχομενος εν ονοματι* Κυριου, *ὁ βασιλευς του* Ισραηλ.

και εισηλθεν—μετα αινεσεως και βαΐων, και εν κινυραις και εν κυμβαλοις, κ. τ. λ. 1 *Mac. xiii.* 51. *Cant. vii.* 8. *Sym. και ιδου ἡ θυγατηρ αυτου εξεπορευετο εις ὑπαντησιν. Jud. xi.* 34. *ευλογημενος ὁ ερχομενος εν ονοματι Κυριου. Ps. cxvii.* 27. *υἱοι Σιων αγαλλιασθωσαν επι τῳ βασιλει αυτων. Ps. cxlix.* 2. *CITAT.* 96.

14 Εὑρων δε ὁ Ιησους οναριον, εκαθισεν επ᾽ αυτο, καθως εστι γεγραμμενον,

15 Μη φοβου, θυγατερ Σιων· ιδου, ὁ βασιλευς σου ερχεται, καθημενος επι πωλον ονου.

χαιρε σφοδρα θυγατερ Σιων, κηρυσσε θυγατερ Ἱερουσαλημ· ιδου ὁ βασιλευς ερχεται σοι δικαιος και σωζων, αυτος πραΰς, και επιβεβηκως επι ὑποζυγιον και πωλον νεον. Zach. ix. 9. *και επιβεβηκως επι ὑποζυγιον και πωλον ονου. apud. Justin. Conf. Matt. xxi.* 5. *CITAT.* 97.

16 Ταυτα δε ουκ εγνωσαν οἱ μαθηται αυτου το πρωτον· αλλ᾽ ὁτε εδοξασθη ὁ Ιησους, τοτε εμνησθησαν ὁτι ταυτα ην επ᾽ αυτῳ γεγραμμενα, και ταυτα εποιησαν αυτῳ.

ἁ ουκ εγινωσκον επηρωτων με. Ps. xxxiv. 11. *Conf. Luc. ix.* 45.

17 Εμαρτυρει ουν ὁ οχλος ὁ ων μετ᾽ αυτου, ὁτε τον Λαζαρον εφωνησεν εκ του μνημειου, και ηγειρεν αυτον εκ νεκρων·

[*εγω μεν μαρτυρω σοι πολλην περι εμου σπουδην και ευνοιαν. Jos. Ant. vi.* 14. 6. *Vide Krebs. p.* 115.]

18 Δια τουτο και ὑπηντησεν αυτῳ ὁ οχλος, ὁτι ηκουσε τουτο αυτον πεποιηκεναι το σημειον.

19 Οἱ ουν Φαρισαιοι ειπον προς ἑαυτους, Θεωρειτε ὁτι ουκ ωφελειτε ουδεν; ιδε, ὁ κοσμος οπισω αυτου απηλθεν.

μνησθησονται και επιστραφησονται προς Κυριον παντα τα περατα της γης, κ. τ. λ. Ps. xxi. 27. *τι ωφελησαν πλειον η κοπους; Sir. xxxi.* 23. *Conf. Matt. iii.* 7. *ὁ κοσμος, multitudo. Sic Sap. vi.* 24. *πληθος δε σοφων σωτηρια κοσμου, κ. τ. λ.*

20 Ησαν δε τινες Ἑλληνες εκ των αναβαινοντων, ἱνα προσκυνησωσιν εν τῃ ἑορτῃ·

και αναβησονται κατ᾽ ενιαυτον του προσκυνησαι. Zach. xiv. 16. *Conf.* 3 *Reg. viii.* 41. *Ἑλληνες. Act. xvii.* 4.

21 Οὑτοι ουν προσηλθον Φιλιππῳ τῳ απο Βηθσαϊδα της Γαλιλαιας, και ηρωτων αυτον λεγοντες, Κυριε, θελομεν τον Ιησουν ιδειν.

22 Ερχεται Φιλιππος και λεγει τῳ Ανδρεᾳ· και παλιν Ανδρεας και Φιλιππος λεγουσι τῳ Ιησου.

23 Ὁ δε Ιησους απεκρινατο αυτοις λεγων, Εληλυθεν ἡ ὡρα ἱνα δοξασθῃ ὁ υἱος του ανθρωπου.

ιδου συνησει ὁ παις μου, και ὑψωθησεται, και δοξασθησεται σφοδρα. *Esa. lii.* 13. ιδου ἡμερα ερχεται. *Mal. iv.* 1. συναχθησομαι και δοξασθησομαι εναντιον Κυριου, κ. τ. λ. *Esa. xlix.* 5, 6.

24 Αμην, αμην, λεγω ὑμιν, Εαν μη ὁ κοκκος του σιτου πεσων εις την γην αποθανῃ, αυτος μονος μενει· εαν δε αποθανῃ, πολυν καρπον φερει.

ὁτε ξυλον ηνεγκε τον καρπον αυτου. *Joel. ii.* 22. *Ezech. xvii.* 8.

25 Ὁ φιλων την ψυχην αὑτου, απολεσει αυτην· και ὁ μισων την ψυχην αὑτου εν τῳ κοσμῳ τουτῳ, εις ζωην αιωνιον φυλαξει αυτην.

και οἱ μισουντες με (σοφιαν) αγαπωσι θανατον. *Prov. viii.* 36. ὁ αγαπων αδικιαν μισει την ἑαυτου ψυχην. *Ps. x.* 6. τους μισουντας την ψυχην Δαυιδ. 2 *Reg. v.* 8. ὁς φυλασσει εντολην, τηρει την ἑαυτου ψυχην. *Prov. xix.* 16. *Conf. Matt. x.* 37-39. *Marc. viii.* 35. *Luc. ix.* 24. σωζειν εις ζωην αιωνιον. 4 *Mac. xv.* 2. *Dan. xii.* 2. *Conf. Matt. vi.* 24. εαν γαρ αποθανῃ ανθρωπος, ζησεται, συντελεσας ἡμερας του βιου αυτου· ὑπομενω ἑως παλιν γενωμαι. *Job. xiv.* 14. *Conf. Eccles. ii.* 17.

26 Εαν εμοι διακονῃ τις, εμοι ακολουθειτω· και ὁπου ειμι εγω, εκει και ὁ διακονος ὁ εμος εσται· και εαν τις εμοι διακονῃ, τιμησει αυτον ὁ πατηρ.

οἱ ἁγιασθεντες δια τον Θεον τετιμηνται. 4 *Mac.* 18. τους δοξαζοντας με δοξασω, και ὁ εξουθενων με ατιμωθησεται. 1 *Reg. ii.* 30. *Conf.* 1 *Thess. iv.* 17. ου γαρ συνηκολουθησαν οπισω μου. *Num. xxxii.* 11. *Conf. Esa. xliii.* 15, 21. *xliv.* 6. 1 *Mac. ii.* 27.

27 Νυν ἡ ψυχη μου τεταρακται· και τι ειπω; Πατερ, σωσον με εκ της ὡρας ταυτης. αλλα δια τουτο ηλθον εις την ὡραν ταυτην.

και εταραχθη ἡ ψυχη αυτου. *Gen. xli.* 8. εταραχθη ἡ καρδια μου. *Thren. ii.* 11. *Ps. liv.* 4. εκ μεγαλων κινδυνων ὑπο του Θεου σεσωσμενοι. 2 *Mac. i.* 11. εν ὡρᾳ εξεγειρου. *Sir. xxxv.* 11. ηδη ὡρα του φαγειν. *Ruth. ii.* 14. σωσον με. *Ps. iii.* 7. *xxi.* 21. *Conf. Matt. xxvi.* 39. *Heb. v.* 7.

28 Πατερ, δοξασον σου το ονομα. Ηλθεν ουν φωνη εκ του
ουρανου, Και εδοξασα, και παλιν δοξασω.

ἱνα το ονομα Κυριου δοξασθῃ. *Esa. lxv.* 5. *Mal. i.* 11. και εδωκε Κυριος φωνας και ὑετον εν τῃ ἡμερᾳ εκεινῃ. 1 *Reg. xii.* 18. *Gen. xxii.* 11. *Conf. Exod. xix.* 19. *Matt. iii.* 17.

29 Ὁ ουν οχλος ὁ ἑστως και ακουσας ελεγε βροντην γεγονεναι.
αλλοι ελεγον, Αγγελος αυτῳ λελαληκεν.

ὁ ἑστως. 1 *Par. vi.* 39. βροντησει ὁ ισχυρος εν φωνῃ αυτου θαυμασια. *Job. xxxvii.* 5. *Conf. Apoc. vi.* 1. *xiv.* 2.

30 Απεκριθη ὁ Ιησους και ειπεν, Ου δι' εμε αὑτη ἡ φωνη γε-
γονεν, αλλα δι' ὑμας.

31 Νυν κρισις εστι του κοσμου τουτου· νυν ὁ αρχων του κοσμου
τουτου εκβληθησεται εξω·

ἡμερα γαρ κρισεως Κυριου, και ενιαυτος ανταποδοσεως κρισεως Σιων. *Esa. xxxiv.* 8. *Conf. Act. xxvi.* 18. 2 *Cor. iv.* 4. *Ephes. ii.* 2.

32 Καγω εαν ὑψωθω εκ της γης, παντας ἑλκυσω προς εμαυτον.

εαν δωται περι ἁμαρτιας ἡ ψυχη. *Esa. liii.* 10. *Ald. Just. Mart.* αγαπησιν αιωνιον ηγαπησα σε· δια τουτο εἱλκυσα σε εις οικτειρημα. *Jer. xxxi.* 3. εἱλκυσα με εξ ὑδατων πολλων. 2 *Reg. xxii.* 17. *Sir. xxviii.* 19. *Esa. xi.* 10-12. *xlix.* 22. ανελαβον αυτον επι τον βραχιονα μου, και ουκ εγνωσαν ὁτι ιαμαι αυτους. εν διαφθορᾳ ανθρωπων εξετεινα αυτους εν δεσμοις αγαπησεως μου, κ.τ.λ. *Ose. xi.* 3, 4. *Conf.* 2 *Cor. v.* 14. και επιβλεψονται προς με, ανθ' ὡν κατωρχησαντο, κ. τ. λ. *Zach. xii.* 10. ὁτι εμοι καμψει παν γονυ, και ομειται πασα γλωσσα τον Θεον. *Esa. xlv.* 23. (εαν *quando*). *Prov. iii.* 24. *Esa. xxiv.* 13. *Amos. vii.* 2.

33 (Τουτο δε ελεγε, σημαινων ποιῳ θανατῳ ημελλεν αποθ-
νησκειν.)

εν θανατῳ νοσερῳ αποθανουνται. *Jer. xiv.* 15. *Conf. Sir. xxviii.* 21. [ποιῳ θανατῳ αυτους αναλωσει. *Act. Thom. c.* 21.] [ὁ χριστος οὑτος ην· και αυτον ενδειξει των πρωτων ανδρων παρ' ἡμιν, σταυρῳ επιτιμηκοτος Πιλατου, ουκ επαυσατο οἱγε πρωτον αυτον αγαπησαντες. *Jos. Ant. xviii.* 3. 3.]

34 Απεκριθη αυτῳ ὁ οχλος, Ἡμεις ηκουσαμεν εκ του νομου,
ὁτι ὁ Χριστος μενει εις τον αιωνα· και πως συ λεγεις, Ὁτι
δει ὑψωθηναι τον υἱον του ανθρωπου; τις εστιν οὑτος ὁ υἱος
του ανθρωπου;

Conf. Ps. cix. 4. *Dan. vii.* 14. Κυριος εις τον αιωνα μενει. *Ps. ix.* 7. *lxxxviii.* 29. *ci.* 12. *Esa. xl.* 8. *Dan. ii.* 44. *vi.* 26. *Ezech. xxxvii.* 25. *Esa. liii.* 8-10. *Luc. i.* 33. 2 *Reg. vii.* 13.

35 Ειπεν ουν αυτοις ὁ Ιησους, Ετι μικρον χρονον το φως μεθ᾽ ὑμων εστι. περιπατειτε ἑως το φως εχετε, ἱνα μη σκοτια ὑμας καταλαβῃ· και ὁ περιπατων εν τῃ σκοτιᾳ ουκ οιδε που ὑπαγει.

προ μικρου χρονου. 2 *Mac. x.* 6. *Exod. xvii.* 4. *Conf. Jer. xiii.* 16. *Cap. viii.* 12. *sup.* αἱ ὁδοι των ασεβων σκοτειναι, ουκ οιδασι πως προσκοπτουσι. *Prov. iv.* 19. ετι μικρον. *Jer. xxviii.* 33. οἱ πορευομενοι εν σκοτει, και ουκ εστιν αυτοις φως. *Esa. l.* 10. και εσται εν σκοτει τα εργα αυτων. *xxix.* 15. συντηρησον και προσεχε σφοδρως, ὁτι μετα της πτωσεως σου περιπατεις. *Sir. xiii.* 13. ἑως ετι ζῃς. *Sir. xxx.* 20. *Conf. Esa. lx.* 1, 2.

36 Ἑως το φως εχετε, πιστευετε εις το φως, ἱνα υἱοι φωτος γενησθε. Ταυτα ελαλησεν ὁ Ιησους, και απελθων εκρυβε απ᾽ αυτων.

Conf. Luc. xvi. 8. *Ephes. v.* 8. 2 *Pet. i.* 19. 2 *Cor. iv.* 4-6.

37 Τοσαυτα δε αυτου σημεια πεποιηκοτος εμπροσθεν αυτων, ουκ επιστευον εις αυτον·

38 Ἱνα ὁ λογος Ησαϊου του προφητου πληρωθῃ, ὁν ειπε, Κυριε, τις επιστευσε τῃ ακοῃ ἡμων; και ὁ βραχιων Κυριου τινι απεκαλυφθη;

ὁ λογος ὁ γενομενος προς Ησαϊαν. *Esa. ii.* 1. *xxxviii.* 4. του πληρωθηναι λογον Κυριου. 2 *Par. xxxvi.* 21. Κυριε, τις επιστευσε τῃ ακοῃ ἡμων, κ. τ. λ. *Esa. liii.* 1. *Conf. Rom. x.* 10. *CITAT.* 98.

39 Δια τουτο ουκ ηδυναντο πιστευειν, ὁτι παλιν ειπεν Ησαϊας,

ουκ ηδυναντο πιστευειν. *i. e.* ουκ επιστευον. *Ita Gen. xix.* 22. *Job. vi.* 7. *xxxii.* 3.

40 Τετυφλωκεν αυτων τους οφθαλμους, και πεπωρωκεν αυτων την καρδιαν· ἱνα μη ιδωσι τοις οφθαλμοις, και νοησωσι τῃ καρδιᾳ, και επιστραφωσι, και ιασωμαι αυτους.

Esa. vi. 9, 10. *Conf. Matt. xiii.* 15. *Rom. xi.* 8. και ετυφλωθησαν οἱ δουλοι του Θεου. *Esa. xlii.* 19. πεπωρωνται γαρ απο οργης οἱ οφθαλμοι μου. *Job. xvii.* 7. *Conf. Marc. iv.* 12. *Luc. viii.* 10. *Act. xxviii.* 26. *CITAT.* 99.

41 Ταυτα ειπεν Ησαΐας, ὁτε ειδε την δοξαν αυτου, και ελα-
λησε περι αυτου·

Ἡσαΐας ὁ προφητης ὁ μεγας, και πιστος εν ὁρασει αυτου, κ. τ. λ. *Sir. xlviii.* 22-25. *Conf. Esa. vi.* 1. ειδον τον Κυριον καθημενον επι θρονου, κ.τ.λ. αρθητω ὁ ασεβης, ἱνα μη ιδῃ την δοξαν Κυριου. *xxvi.* 10.

42 Ὁμως μεντοι και εκ των αρχοντων πολλοι επιστευσαν εις
αυτον· αλλα δια τους Φαρισαιους ουχ ὡμολογουν, ἱνα μη απο-
συναγωγοι γενωνται.

ὁμως. 2 *Mac. xv.* 5. ουτε ἁπλως Ιουδαιον ὁμολογειν ειναι. 2 *Mac. vi.* 6. και Ιουδαΐζον δια τον φοβον των Ιουδαιων. *Est. viii.* 17.

43 Ηγαπησαν γαρ την δοξαν των ανθρωπων μαλλον ηπερ την
δοξαν του Θεου.

ηγαπησας κακιαν ὑπερ αγαθωσυνην. *Ps. li.* 3. ευγενως θελων αποθανειν, ηπερ τοις αλιτηριοις ὑποχειριος γενεσθαι. 2 *Mac. xiv.* 42. *Conf. Matt. vi.* 2. *xxiii.* 5-7. *Luc. xvi.* 15. *Rom. ii.* 29.

44 Ιησους δε εκραξε και ειπεν, Ὁ πιστευων εις εμε, ου πισ-
τευει εις εμε, αλλ᾽ εις τον πεμψαντα με·

ου σε εξουθενηκασιν (μονον) αλλ᾽ η εμε εξουθενωκασι. 1 *Reg. viii.* 7. *Conf. Marc. ix.* 37. 1 *Pet. i.* 21. και εκραξεν ὁ βασιλευς φωνῃ μεγαλῃ. 2 *Reg. xix.* 4.

45 Και ὁ θεωρων εμε, θεωρει τον πεμψαντα με.

του θεωρειν με την τερπνοτητα Κυριου. *Ps. xxvi.* 4. *Cap. xiv.* 9.

46 Εγω φως εις τον κοσμον εληλυθα, ἱνα πας ὁ πιστευων εις
εμε, εν τῃ σκοτιᾳ μη μεινῃ.

εξαποστειλον το φως σου και την αληθειαν σου, αυτα με ὡδηγησαν και ηγαγον με εις ορος ἁγιον σου, κ. τ. λ. *Ps. xlii.* 3. ανοιξαι οφθαλμους τυφλων, κ. τ. λ. *Esa. xlii.* 7. εν τῳ φωτι σου οψομεθα φως. *Ps. xxxv.* 10. ὁ αφρων εν σκοτει πορευεται. *Eccles. ii.* 14. και εδωκα σε εις φως εθνων. *xlii.* 6. φθονῳ δε διαβολου θανατος εισηλθεν εις τον κοσμον. *Sap. ii.* 24.

47 Και εαν τις μου ακουσῃ των ῥηματων και μη πιστευσῃ,
εγω ου κρινω αυτον· ου γαρ ηλθον ἱνα κρινω τον κοσμον, αλλ᾽
ἱνα σωσω τον κοσμον.

Conf. cap. viii. 15, 16. 2 *Pet. iii.* 9.

48 Ὁ αθετων εμε και μη λαμβανων τα ῥηματα μου, εχει τον
κρινοντα αυτον· ὁ λογος ὁν ελαλησα, εκεινος κρινει αυτον εν
τῃ εσχατῃ ἡμερᾳ.

ὁ αθετων αθετει. *Esa. xxi.* 2. οἱ δε με αθετησαν. *Esa. i.* 2. ουαι τοις αθετουσι. *Esa. xxiv.* 16. *xxxiii.* 1. *Jer. v.* 11. *Exod. xxi.* 8. οὑτοι οἱ λογοι οὓς ελαλησε Μωυσης. *Deut. i.* 1. ὃς εαν μη ακουσῃ ὅσα αν λαλησῃ ὁ προφητης εκεινος επι τῳ ονοματι μου, εγω εκδικησω εξ αυτου. *xviii.* 19. επ᾽ εσχατων. *Sir. i.* 13.

49 Ὅτι εγω εξ εμαυτου ουκ ελαλησα· αλλ᾽ ὁ πεμψας με πατηρ, αυτος μοι εντολην εδωκε, τι ειπω και τι λαλησω·

εν τουτῳ γνωσεσθε ὅτι Κυριος απεστειλε με ποιησαι παντα τα εργα ταυτα, ὅτι ουκ απ᾽ εμαυτου. *Num. xvi.* 28. *Conf. cap. vi.* 40. *viii.* 47. προφητην αναστησω αυτοις—και δωσω τα ῥηματα εν τῳ στοματι αυτου, και λαλησει αυτοις καθ᾽ ὅτι αν εντειλωμαι αυτῳ. *Deut. xviii.* 18.

50 Και οιδα ὅτι ἡ εντολη αυτου ζωη αιωνιος εστιν. ἃ ουν λαλω εγω, καθως ειρηκε μοι ὁ πατηρ, οὑτω λαλω.

ὅτι παρα σοι πηγη ζωης, κ. τ. λ. *Ps. xxxv.* 10. λαλησον—και ερεις προς αυτους. *Lev. i.* 2. *xv.* 2. *xvii.* 8. ειπεν ὁ Κυριος Κυριῳ μου. *Ps. cix.* 1. *xxxix.* 10.

ΚΕΦ. ιγ. 13.

ΠΡΟ δε της ἑορτης του πασχα, ειδως ὁ Ιησους ὅτι εληλυθεν αυτου ἡ ὡρα, ἱνα μεταβῃ εκ του κοσμου τουτου προς τον πατερα, αγαπησας τους ιδιους τους εν τῳ κοσμῳ, εις τελος ηγαπησεν αυτους.

ιασομαι τας κατοικιας αυτων, αγαπησω αυτους ὁμολογως. *Ose. xiv.* 5. αγαπησιν αιωνιον ηγαπησα σε· δια τουτο εἱλκυσα σε εις οικτειρημα. *Jer. xxxviii.* 3. θυματα ἑορτης του πασχα. *Exod. xxxiv.* 25. ειδως. *Neh. x.* 29. εληλυθε. *Ruth. iii.* 14. εις το τελος των καιρων. *Dan. xi.* 13. *Esa. ix.* 7. *Alex. Ald. Comp. Conf. Matt. xxvi.* 1. *Marc. xiv.* 1. *Luc. xxii.* 1.

2 Και δειπνου γενομενου, (του διαβολου ηδη βεβληκοτος εις την καρδιαν Ιουδα Σιμωνος Ισκαριωτου, ἱνα αυτον παραδῳ,)

εγενετο το πασχα. 2 *Reg. xxiii.* 22. *Tob. i.* 6. ὁ διαβολος. *Job. i.* 1. *Zach. iii.* 1. εδωκεν εν καρδιᾳ βασιλεως οὑτως. *Esd. vii.* 27. *Neh. ii.* 12. *vii.* 5. φθονῳ δε διαβολου θανατος εισηλθεν εις τον κοσμον· πειραζουσι δε αυτον οἱ της εκεινου μεριδος οντες. *Sap. ii.* 24. [ουχ ἁπαντα ὁσα ειπον αθροα εις νουν βαλλομενον. *Philo. de Abrah. p.* 377.] *Conf. Luc. xxii.* 3. 31. 3 *Reg. xxii.* 21, 22. *Act. v.* 3. *Ephes. ii.* 2.

3 Ειδως ὁ Ιησους, ὁτι παντα δεδωκεν αυτῳ ὁ πατηρ εις τας χειρας, και ὁτι απο Θεου εξηλθε και προς τον Θεον ὑπαγει,

δεδωκα την γην εν χειρι αυτου. *Jud. i. 2.* παρεδωκεν αυτους εις χειρας εχθρων. *Ps. cv.* 41. παρα Κυριου εξηλθε το πραγμα τουτο. *Gen. xxiv.* 50. *Num. xi.* 31. *Conf. Matt. xxviii.* 18. *Act. ii.* 36. *Heb. i.* 2. *Joan. i.* 18. *iii.* 13. *vi.* 46. *viii.* 47.

4 Εγειρεται εκ του δειπνου, και τιθησι τα ἱματια, και λαβων λεντιον, διεζωσεν ἑαυτον·

διεζωσε. *Ezech. xxiii.* 15. τα ἱματια *(pallium)*, *Esd. ix.* 4. *Job. i.* 20. *Conf. Luc. xii.* 37. *xvii.* 7, 8.

5 Ειτα βαλλει ὑδωρ εις τον νιπτηρα, και ηρξατο νιπτειν τους ποδας των μαθητων, και εκμασσειν τῳ λεντιῳ ᾧ ην διεζωσμενος.

και ηνεγκεν ὑδωρ νιψαι τους ποδας αυτων. *Gen. xliii.* 24. και τον ζωμον εβαλεν εν τῃ χυτρᾳ. *Jud. vi.* 19. καταλυσατε και νιψασθε τους ποδας ὑμων. *xix.* 2. (νιψατε. *Alex. Ald.*) 1 *Reg. xxv.* 41. *Conf. Exod. xxx.* 18-20. *Deut. xxi.* 6.

6 Ερχεται ουν προς Σιμωνα Πετρον· και λεγει αυτῳ εκεινος, Κυριε, συ μου νιπτεις τους ποδας;

Conf. Luc. v. 8. *Matt. iii.* 14.

7 Απεκριθη Ιησους και ειπεν αυτῳ, Ὁ εγω ποιω, συ ουκ οιδας αρτι, γνωσῃ δε μετα ταυτα.

και εγω ηκουσα, και ου συνηκα· και ειπα, Κυριε, τι τα εσχατα τουτων; κ. τ. λ. *Dan. xii.* 8-13.

8 Λεγει αυτῳ Πετρος, Ου μη νιψῃς τους ποδας μου εις τον αιωνα. Απεκριθη αυτῳ ὁ Ιησους, Εαν μη νιψω σε, ουκ εχεις μερος μετ᾽ εμου.

δικαιος εις τον αιωνα ουκ ενδωσει. *Prov. x.* 30. ουκ εστιν αυτῳ μερις ουδε κληρος μετα σου. *Deut. xiv.* 27. 2 *Reg. xx.* 6. *Conf. Act. viii.* 21. *Matt. iii.* 11. ὁτι εκπλυνει Κυριος τον ῥυπον των υἱων κ.τ.λ. *Esa. iv.* 4. *Ezech. xvi.* 4-9. *xxxvi.* 25. *Zach. xiii.* 1.

9 Λεγει αυτῳ Σιμων Πετρος, Κυριε, μη τους ποδας μου μονον, αλλα και τας χειρας και την κεφαλην.

επιπλειον πλυνον με απο της ανομιας μου, και απο της ἁμαρτιας μου καθαρισον με. *Ps. l.* 2. και λουσεται ὑδατι παν το σωμα αυτου. *Lev. xvi.* 4. *Jer. iv.* 14. *Conf. Esa. i.* 6.

10 Λεγει αυτῳ ὁ Ιησους, Ὁ λελουμενος ου χρειαν εχει η τους

ποδας νιψασθαι, αλλ' εστι καθαρος ὁλος· και ὑμεις καθαροι εστε, αλλ' ουχι παντες.

πας ὁ ἁπτομενος των κρεων αυτης ἁγιασθησεται κ. τ. λ. *Lev. vi.* 27. λουσασθε, καθαροι γενεσθε. *Esa. i.* 16. ου γαρ χρειαν εχει. *Sir. xv.* 12. ῥαντιεις με ὑσσωπῳ, και καθαρισθησομαι. *Ps. l.* 7. λουσεται εν ὑδατι και καθαρος εσται. *Lev. xiv.* 8-10. *Conf. Act. xv.* 9. *Esa. i.* 18. [ὁλος του πενθους ην. *Jos. Bell. Jud. i.* 2. 4.] *Conf. Gen. xx.* 5, 6. *Ps. xxiii.* 4.

11 Ηδει γαρ τον παραδιδοντα αυτον· δια τουτο ειπεν, Ουχι παντες καθαροι εστε.

12 Ὁτε ουν ενιψε τους ποδας αυτων, και ελαβε τα ἱματια αὐτου, αναπεσων παλιν, ειπεν αυτοις, Γινωσκετε τι πεποιηκα ὑμιν;

ανεπεσα του φαγειν. *Tob. ii.* 1. τι τουτο εποιησας ἡμιν; *Exod. xiv.* 11. *Ezech. xxiv.* 19.

13 Ὑμεις φωνειτε με, Ὁ διδασκαλος, και ὁ κυριος· και καλως λεγετε, ειμι γαρ.

Conf. Jer. xxxix. 18. καλως. *Jer. i.* 12. *Conf.* 1 *Reg. ix.* 9. 1 *Cor. viii.* 6. *Matt. xxiii.* 8-10. διδασκαλος. 2 *Mac. i.* 10. [διδασκαλος ανθρωπων των ἡδονῃ ταληθη δεχομενων. *Jos. Ant. xviii.* 3. 3. *de Christ. si sana lectio.*]

14 Ει ουν εγω ενιψα ὑμων τους ποδας, ὁ κυριος και ὁ διδασκαλος, και ὑμεις οφειλετε αλληλων νιπτειν τους ποδας.

15 Ὑποδειγμα γαρ εδωκα ὑμιν, ἱνα καθως εγω εποιησα ὑμιν, και ὑμεις ποιητε.

τοις δε νεοις ὑποδειγμα γενναιον καταλελοιπως. 2 *Mac. vi.* 28, 31. ὑποδειγμα μετανοιας. *Sir. xliv.* 16. *Conf. Phil. ii.* 5. *Col. iii.* 13. *Matt. xi.* 29. 1 *Pet. ii.* 21.

16 Αμην, αμην, λεγω ὑμιν, ουκ εστι δουλος μειζων του κυριου αὑτου, ουδε αποστολος μειζων του πεμψαντος αυτον.

Conf. Matt. x. 24. *Luc. vi.* 40. αποστολος, *nuntius.* 3 *Reg. xiv.* 6. *Alex. Ald. Comp.*

17 Ει ταυτα οιδατε, μακαριοι εστε εαν ποιητε αυτα.

Conf. Jac. iv. 7. *Gen. vi.* 22. *Exod. xl.* 16. *Ps. xviii.* 11.

18 Ου περι παντων ὑμων λεγω· εγω οιδα οὑς εξελεξαμην· αλλ' ἱνα ἡ γραφη πληρωθῃ, Ὁ τρωγων μετ' εμου τον αρτον, επῃρεν επ' εμε την πτερναν αὑτου.

εγω εισελευσομαι—και πληρωσω τους λογους σου. 3 *Reg. i.* 14.

εκλεγειν. *Num. xvi.* 7. *Deut. xvii.* 15. ὁ εσθιων αρτους μου εμεγαλυνεν επ' εμε πτερνισμον. *Ps. xl.* 9. *Conf. Marc. xiv.* 18. *Gen. xxvii.* 36. πτερνα. *Gen. iii.* 15. ἡ ανομια της πτερνης μου. *Ps. xlviii.* 5. μητι πτερνιει ανθρωπος Θεον; κ.τ.λ. *Mal. iii.* 8-10. πας αδελφος πτερνῃ πτερνιει, και πας φιλος δολιως πορευσεται. *Jer. ix.* 4. επισκεπται και εγνω ὁ Θεος τους οντας αυτου, και τους ἁγιους. *Num. xvi.* 5. 2 *Tim. ii.* 19. *CITAT.* 100.

19 Απ' αρτι λεγω ὑμιν προ του γενεσθαι, ἱνα ὁταν γενηται,
πιστευσητε ὁτι Εγω Ειμι.

ἱνα γνωτε και πιστευσητε και συνητε ὁτι Εγω Ειμι. *Esa. xliii.* 10-15. Εγω ειμι πρωτος, και Εγω ειμι εις τον αιωνα. *xlviii.* 12. *Deut. xxxii.* 39. *Conf. Exod. iii.* 14. *vi.* 3. τα επερχομενα προ του ελθειν. *xliv.* 7. *Conf. cap. viii.* 24.

20 Αμην, αμην, λεγω ὑμιν, Ὁ λαμβανων εαν τινα πεμψω, εμε
λαμβανει· ὁ δε εμε λαμβανων, λαμβανει τον πεμψαντα με.

Conf. Luc. ix. 48. *Matt. x.* 40. συνεργους ελαμβανε. 2 *Mac. viii.* 7.

21 Ταυτα ειπων ὁ Ιησους εταραχθη τῳ πνευματι, και εμαρ-
τυρησε και ειπεν, Αμην, αμην, λεγω ὑμιν, Ὁτι εἱς εξ ὑμων
παραδωσει με.

εταραχθη δε Ιωσηφ. *Gen. xliii.* 30. εἱς εξ ἡμων. *iii. xxii. Conf. Matt. xxvi.* 21. *Marc. xiv.* 18. *Luc. xxii.* 21. *Cap. xi.* 33. *xii.* 27.

22 Εβλεπον ουν εις αλληλους οἱ μαθηται, απορουμενοι περι τι-
νος λεγει.

Conf. Gen. xlii. 1. [απορια· αγνωσια. *Hesych. Phav.*]

23 Ην δε ανακειμενος εἱς των μαθητων αυτου εν τῳ κολπῳ του
Ιησου, ὁν ηγαπα ὁ Ιησους·

και εν κολπῳ αυτου οισεται. *Esa. xl.* 11. 2 *Reg. xii.* 3. ὁ δε πατηρ αυτον ηγαπησε, (*i. e. maxime.*) *Gen. xliv.* 20. και εκαλεσε το ονομα αυτου Σαλωμων, και Κυριος ηγαπησεν αυτον. 2 *Reg. xii.* 24. *Conf. Joan. xix.* 26. *xxi.* 7, 20.

24 Νευει ουν τουτῳ Σιμων Πετρος πυθεσθαι τις αν ειη περι οὑ
λεγει.

νευετω δικαια. *Prov. iv.* 25. πυθεσθαι. *Gen. xxv.* 22.

25 Επιπεσων δε εκεινος επι το στηθος του Ιησου, λεγει αυτῳ,
Κυριε, τις εστιν;

26 Αποκρινεται ὁ Ιησους, Εκεινος εστιν, ᾡ εγω βαψας το ψω-
μιον επιδωσω. Και εμβαψας το ψωμιον, διδωσιν Ιουδᾳ Σιμω-
νος Ισκαριωτῃ.

Conf. Jud. vi. 19, 20. και βαψεις τον ψωμιον σου εν τῳ οξει. *Ruth. ii.* 14. και διαβολος στητω εκ δεξιων αυτου. *Ps. cviii.* 6.

27 Και μετα το ψωμιον, τοτε εισηλθεν εις εκεινον ὁ Σατανας.
λεγει ουν αυτῳ ὁ Ιησους, Ὁ ποιεις, ποιησον ταχιον.

ταχιον. 1 *Mac. ii.* 40. *Sap. xiii.* 9. ὁ απειθων απειθειτω. *Ezech. iii.* 27. *Conf. Luc. xxii.* 3. αντιλογιας εγειρει πας κακος, ὁ δε Κυριος αγγελον ανελεημονα εκπεμψει αυτῳ. *Prov. xvii.* 11.

28 Τουτο δε ουδεις εγνω των ανακειμενων προς τι ειπεν αυτῳ.

29 Τινες γαρ εδοκουν, επει το γλωσσοκομον ειχεν ὁ Ιουδας, ὁτι
λεγει αυτῳ ὁ Ιησους, Αγορασον ὡν χρειαν εχομεν εις την ἑορτην· η τοις πτωχοις ἱνα τι δῳ.

ὡν ουν εαν χρειαν εχητε. 2 *Mac. ii.* 15. *Conf. cap. xii.* 6.

30 Λαβων ουν το ψωμιον εκεινος, ευθεως εξηλθεν· ην δε νυξ,
ὁτε ουν εξηλθε.

31 Λεγει ὁ Ιησους, Νυν εδοξασθη ὁ υἱος του ανθρωπου, και ὁ
Θεος εδοξασθη εν αυτῳ.

υἱος δοξαζει πατερα. *Mal. i.* 6. ἡ δεξια σου Κυριε δεδοξασται εν ισχυϊ. *Exod. xv.* 6. Ὁ γαρ Κυριος εδοξασε πατερα επι τεκνοις. *Sir. iii.* 2. εν σοι ενδοξασθησομαι. *Esa. xlix.* 3.

32 Ει ὁ Θεος εδοξασθη εν αυτῳ, και ὁ Θεος δοξασει αυτον εν
ἑαυτῳ, και ευθυς δοξασει αυτον.

Conf. 1 *Reg. ii.* 30. ιδου συνησει ὁ παις μου, και ὑψωθησεται, και δοξασθησεται σφοδρα. *Esa. lii.* 13.

33 Τεκνια, ετι μικρον μεθ' ὑμων ειμι. ζητησετε με, και καθως ειπον τοις Ιουδαιοις, ὁτι, Ὁπου ὑπαγω εγω, ὑμεις ου δυνασθε ελθειν, και ὑμιν λεγω αρτι.

ετι μικρον, και ἡξει ὁ αμητος αυτης. *Jer. xxviii.* 33. μεινον με μικρον ετι. *Job. xxxvi.* 2. *Esa. x.* 25. δευτε τεκνα, ακουσατε μου. *Ps. xxxiii.* 11. *Conf.* 1 *Joan. ii.* 1. *Gal. iv.* 19.

34 Εντολην καινην διδωμι ὑμιν, ἱνα αγαπατε αλληλους· καθως ηγαπησα ὑμας, ἱνα και ὑμεις αγαπατε αλληλους.

πνευμα καινον δωσω εν αυτοις. *Ezech. xi.* 19. και καινα ἁ εγω αναγγελλω. *Esa. xlii.* 9. καρδιαν καινην. *xxxvi.* 26. ᾀσμα καινον. *Ps. cxlix.* 1. *Matt. xxvi.* 29. και αγαπησεις τον πλησιον σου, ὡς σεαυτον. *Lev. xix.* 18. *Ps. xv.* 3. αγαπη δε τηρησις νομων αυτης. *Sap. vi.* 18. *Conf. Matt. xxii.* 39. *Gal. vi.* 2. *Jac. ii.* 8. 1 *Pet. i.* 22. 1 *Joan. iii.* 11. *Ps. cxviii.* 63. *cxxxii.* 1.

35 Εν τουτῳ γνωσονται παντες ὁτι εμοι μαθηται εστε, εαν
αγαπην εχητε εν αλληλοις.

εν τουτῳ γνωσομαι ὁτι ειρηνικοι εστε. *Gen. xlii.* 33. *Cap. xvi.* 30. [*Josuam* Μωυσης μαθητην *Josephus appellat. Ant. vi.* 5. 4.] *Conf. Act. iv.* 32. μετοχος εγω ειμι παντων των φοβουμενων σε, και των φυλασσοντων τας εντολας σου. *Ps. cxviii.* 63. *Conf. cap. xiv.* 34. *xv.* 17.

36 Λεγει αυτῳ Σιμων Πετρος, Κυριε, που ὑπαγεις; Απεκριθη
αυτῳ ὁ Ιησους, Ὁπου ὑπαγω, ου δυνασαι μοι νυν ακολουθησαι·
ὑστερον δε ακολουθησεις μοι.

37 Λεγει αυτῳ ὁ Πετρος, Κυριε, διατι ου δυναμαι σοι ακολου-
θησαι αρτι; την ψυχην μου ὑπερ σου θησω.

εδωκε—ψυχην—ὑπερ σου. *Sir. xxix.* 15. *Conf. Matt. xxvi.* 35.

38 Απεκριθη αυτῳ ὁ Ιησους, Την ψυχην σου ὑπερ εμου θησεις;
Αμην, αμην, λεγω σοι, ου μη αλεκτωρ φωνησει, ἑως οὑ απαρ-
νηση με τρις.

Conf. Matt. xxvi. 34. *Marc. xiv.* 30. *Luc. xxii.* 34. προ συντριβης ἡγειται ὑβρις, προ δε πτωματος κακοφροσυνη. *Prov. xvi.* 18. *Conf.* 1 *Cor. x.* 12. *Cap. xviii.* 17, 25-27.

ΚΕΦ. ιδ. 14.

ΜΗ ταρασσεσθω ὑμων ἡ καρδια· πιστευετε εις τον Θεον,
και εις εμε πιστευετε.

εταραχθησαν παντες οἱ ασυνετοι τῃ καρδιᾳ. *Ps. lxxv.* 5. ου μη φοβηθητε, ουδε μη ταραχθητε. *Esa. viii.* 12. ἡ καρδια μου εταραχθη εν εμοι. *Ps. liv.* 4. *Conf. Gen. xv.* 6. *Sir. xxxi.* 14. Ἱνατι περιλυπος ει ἡ ψυχη μου, και ἱνατι συνταρασσεις με; ελπισον επι τον Θεον, κ. τ. λ. *Ps. xlii.* 5. μη φοβου, ὁτι ελυτρωσαμην σε, κ.τ.λ. *Esa. xliii.* 1, 2. *li.* 5. εις σε ελπιζουσι. *Ps. cxliv.* 15.

2 Εν τῃ οικιᾳ του πατρος μου μοναι πολλαι εισιν· ει δε μη,
ειπον αν ὑμιν. Πορευομαι ἑτοιμασαι τοπον ὑμιν.

και στησω αυτον αρχοντα εν τοπῳ πιστῳ, και εσται εις θρονον δοξης του οικου του πατρος αυτου· και εσται πεποιθως επ᾽ αυτον πας ενδοξος εν τῳ οικῳ του πατρος αυτου, κ.τ.λ. *Esa. xxii.* 23, 24. μη δως αυτοις μονην. 1 *Mac. vii.* 38. ει δε μη. *Gen. xxx.* 1. *xlii.*

16. *Exod. xxxii.* 32. *ιδου εγω πορευομαι τελευταν. Gen. xxv.* 32. *εν οικιαις των θεων αυτων. Jer. l.* 12. *και ἑτοιμασω την βασιλειαν αυτου.* 2 *Reg. vii.* 12. 1 *Par. xv.* 1-3. *ὁ κατοικων εν ουρανοις. Ps. ii.* 4. *x.* 5. *Conf. Heb. xiii.* 14. *ιδε εκ του οικου του ἁγιου σου. Esa. lxiii.* 15. *lxvi.* 1. *Amos. ix.* 6. *Conf. Esa. lvii.* 15. [*την ψυχην Γαδ αγγελοι παραλαβοντες εις τον ουρανον ανηγαγον, ὑποδεικνυοντες αυτῳ τους εκει τοπους, οικησεις, κ. τ. λ. Act. Thom. c.* 22, 27.]

3 Και εαν πορευθω και ἑτοιμασω ὑμιν τοπον, παλιν ερχομαι και παραληψομαι ὑμας προς εμαυτον· ἱνα ὁπου ειμι εγω, και ὑμεις ητε.

παραληψομαι σε, εισαξω σε εις οικον μητρος μου. Cant. viii. 2. *δευρο παραλαβω σε εις τοπον αλλον. Num. xxiii.* 27. *Gen. xlvii.* 2. *εις τον τοπον ὁν ἡτοιμασεν αυτη.* 1 *Par. xv.* 3. 1 *Thess. iv.* 17. *Conf. Ps. xv.* 11. *xxxii.* 13, 14.

4 Και ὁπου εγω ὑπαγω οιδατε, και την ὁδον οιδατε.

5 Λεγει αυτῳ Θωμας, Κυριε, ουκ οιδαμεν που ὑπαγεις· και πως δυναμεθα την ὁδον ειδεναι;

6 Λεγει αυτῳ ὁ Ιησους, Εγω ειμι ἡ ὁδος και ἡ αληθεια και ἡ ζωη· ουδεις ερχεται προς τον πατερα, ει μη δι' εμου.

εν τῃ ὁδῳ σου ζησον με. Ps. cxviii. 37. *ὁδηγησον με εν ὁδῳ αιωνιᾳ. cxxxviii.* 24. *αὑτη ἡ ὁδος, πορευθωμεν εν αυτῃ. Esa. xxx.* 21. *xxxv.* 8. *και ιδετε ποια εστιν ἡ ὁδος ἡ αγαθη, και βαδιζετε εν αυτῃ, και εὑρησετε αγνισμον ταις ψυχαις. Jer. vi.* 16. *Conf. Prov. viii.* 21. 1 *Cor. iv.* 17. *Col. ii.* 6. *ἡ αληθεια. Ita, Θεος πιστος, και ουκ εστιν αδικια. Deut. xxxii.* 4. [*πατηρ αληθειας. Act. Thom. c.* 26.] *Conf. Esd. iv.* 33-41.

7 Ει εγνωκειτε με, και τον πατερα μου εγνωκειτε αν· και απ' αρτι γινωσκετε αυτον, και ἑωρακατε αυτον.

Conf. Heb. i. 3. *Joan. vi.* 46. *viii.* 19. *Matt. xi.* 27.

8 Λεγει αυτῳ Φιλιππος, Κυριε, δειξον ἡμιν τον πατερα, και αρκει ἡμιν.

και αρκει ἡμιν. Prov. xxx. 16. *Ita, και εποιησαν. Jud. iii.* 7. *Sir. xxvi.* 16, 17. *εμφανισον μοι σεαυτον. Exod. xxxiii.* 18.

9 Λεγει αυτῳ ὁ Ιησους, Τοσουτον χρονον μεθ' ὑμων ειμι, και ουκ εγνωκας με, Φιλιππε; ὁ ἑωρακως εμε, ἑωρακε τον πατερα· και πως συ λεγεις, Δειξον ἡμιν τον πατερα;

ἑωρακα. Gen. xlvi. 30. *Conf. Ps. x.* 1. *Jer. ii.* 23.

10 Ου πιστευεις ὁτι εγω εν τῳ πατρι, και ὁ πατηρ εν εμοι
εστι; τα ῥηματα, ἁ εγω λαλω ὑμιν, απ' εμαυτου ου λαλω· ὁ
δε πατηρ, ὁ εν εμοι μενων, αυτος ποιει τα εργα.

ὁτι ουκ απ' εμαυτου. *Num. xvi.* 28. ου δυνησομαι παραβηναι το ῥημα Κυριου ποιησαι αυτο καλον η πονηρον παρ' εμαυτου· ὁσα αν ειπῃ ὁ Θεος, ταυτα ερω. *Num. xxiv.* 13. *Cap. viii.* 47.

11 Πιστευετε μοι, ὁτι εγω εν τῳ πατρι, και ὁ πατηρ εν εμοι·
ει δε μη, δια τα εργα αυτα πιστευετε μοι.

12 Αμην, αμην, λεγω ὑμιν, Ὁ πιστευων εις εμε, τα εργα ἁ
εγω ποιω, κακεινος ποιησει, και μειζονα τουτων ποιησει· ὁτι
εγω προς τον πατερα μου πορευομαι.

Conf. Marc. xvi. 17. *Luc. x.* 17. *Act. ii.* 4. 1 *Cor. xii.* 10.

13 Και ὁ τι αν αιτησητε εν τῳ ονοματι μου, τουτο ποιησω· ἱνα
δοξασθῃ ὁ πατηρ εν τῳ υἱῳ.

ελπισον επ' αυτον, και αυτος ποιησει. *Ps. xxxvi.* 5. ὁτι ουκ επιστευσαν εν τῳ Θεῳ, ουδε ηλπισαν κ.τ.λ. *lxxvii.* 22. αιτησαι παρ' εμου, και δωσω. *ii.* 8. *Conf. Matt. vii.* 7. *Marc. xi.* 24. *Ephes. ii.* 18. *iii.* 12. *Heb. vii.* 25. *xiii.* 15.

14 Εαν τι αιτησητε εν τῳ ονοματι μου, εγω ποιησω.

ευξαμενου δε σου προς αυτον εισακουσεται σου· δωσει δε σοι αποδουναι τας ευχας. *Job. xxii.* 27. *Conf. Sir. xxxii.* 17. *xxxvii.* 15.

15 Εαν αγαπατε με, τας εντολας τας εμας τηρησατε.

τουτο εστι τηρησις εντολων. *Sir. xxxv.* 23. *Conf. Luc. vi.* 46. 1 *Joan. iv.* 20. *Matt. vii.* 21. 2 *Cor. v.* 14, 15.

16 Και εγω ερωτησω τον πατερα, και αλλον παρακλητον δω-
σει ὑμιν, ἱνα μενῃ μεθ' ὑμων εις τον αιωνα,

και εὑρισκει ανθρωπον αλλον. 3 *Reg. xxi.* 37. παρακλητον. *Job. xvi.* 2. *Aquil.* ινα, (*pro relativo*). *Esd. vii.* 25. *Dan. v.* 15. *Conf. Esa. xlii.* 1. *Ezech. xxxvi.* 27. παρακαλειτε, παρακαλειτε τον λαον μου, λεγει ὁ Θεος, κ.τ.λ. *Esa. xl.* 1. [Παρακλητον· Πνευμα λεγεται, ὡς τας παρακλησεις των ὁλων δεχομενον. *Hesych.*]

17 Το πνευμα της αληθειας, ὁ ὁ κοσμος ου δυναται λαβειν,
ὁτι ου θεωρει αυτο, ουδε γινωσκει αυτο· ὑμεις δε γινωσκετε αυ-
το, ὁτι παρ' ὑμιν μενει, και εν ὑμιν εσται.

Conf. Ps. ix. 4. 1 *Joan. iii.* 13. *Ezech. ii.* 6. *Jer. x.* 2. το ορος ὁ ευδοκησεν ὁ Θεος κατοικειν εν αυτῳ· και γαρ ὁ Κυριος κατασκηνωσει εις τελος. *Ps. lxvii.* 16. *xxii.* 4. *xciii.* 19.

18 Ουκ αφησω ὑμας ορφανους· ερχομαι προς ὑμας.
μετα σου ειμι του σωζειν σε. Jer. xv. 20. Ps. xxvi. 10. και Κυριος *ὁ συμπορευομενος μετα σου ουκ ανησει σε, ουδε μη σε εγκαταλιπῃ. Deut. xxxi. 8. ορφανῳ συ ησθα βοηθος. Ps. ix. 34. ερχομαι, sedeo. Conf. Gen. xlii. 29. xlv. 25. Conf. omnino Esa. xlix. 15. li. 12. lxvi. 11-13. 1 Cor. ii. 14.*

19 Ετι μικρον και ὁ κοσμος με ουκ ετι θεωρει, ὑμεις δε θεω-
ρειτε με. ὁτι εγω ζω, και ὑμεις ζησεσθε.
ετι μικρον, και ἡξει ὁ αμητος αυτης. Jer. xxviii. 33. Ose. i. 4. Conf. 1 Cor. xv. 20. 1 Thess. iv. 14. ὁτι παρα σοι πηγη ζωης, εν τῳ φωτι σου οψομεθα φως. Ps. xxxv. 9. Rom. v. 10. viii. 34.

20 Εν εκεινῃ τῃ ἡμερᾳ γνωσεσθε ὑμεις ὁτι εγω εν τῳ πατρι
μου, και ὑμεις εν εμοι, καγω εν ὑμιν.
και γνωσομεθα. διωξωμεν του γνωναι τον Κυριον. *Ose. vi. 4. εν τῃ ἡμερᾳ εκεινῃ. Zach. xii. 4. vi. 10. και θησω τα ἁγια μου εν μεσῳ αυτων εις τον αιωνα. Ezech. xxxvii. 26. και οφθησομαι εν ὑμιν. Exod. xxv. 8. και εγνωσθη αυτοις. ii. 25.*

21 Ὁ εχων τας εντολας μου και τηρων αυτας, εκεινος εστιν ὁ
αγαπων με· ὁ δε αγαπων με, αγαπηθησεται ὑπο του πατρος
μου· και εγω αγαπησω αυτον, και εμφανισω αυτῳ εμαυτον.

22 Λεγει αυτῳ Ιουδας, (ουχ ὁ Ισκαριωτης,) Κυριε, τι γεγονεν,
ὁτι ἡμιν μελλεις εμφανιζειν σεαυτον, και ουχι τῳ κοσμῳ;
21, 22.] *εμφανισον μοι σεαυτον, γνωστως ινα ιδω σε. Exod. xxxiii. 13. Ps. lxxix. 2. lix. 3. οἱ αγαπωντες τον* Κυριον, *μισειτε πονηρον. Ps. xcvi. 10. cxviii. 97. δια τουτο ηγαπησα τας εντολας σου. 127.* Κυριος *αγαπᾳ δικαιους. cxlv. 8. Prov. xxii. 11. εμφανιζεται* (Κυριος) *τοις μη απιστουσιν αυτῳ. Sap. i. 2. Ps. xxx. 16. xxxiv. 27. και καινιει σε εν τῃ αγαπησει αυτου. Sophon. iii. 17.*

23 Απεκριθη ὁ Ιησους και ειπεν αυτῳ, Εαν τις αγαπᾳ με,
τον λογον μου τηρησει, και ὁ πατηρ μου αγαπησει αυτον, και
προς αυτον ελευσομεθα, και μονην παρ᾽ αυτῳ ποιησομεν.
και λεγει, Αυτος *προπορευσομαι σου, και καταπαυσω σε. Exod. xxxiii. 14.* Θεος *εγγιζων εγω ειμι, λεγει* Κυριος, *και ουχι* Θεος *πορρωθεν. Jer. xxiii. 23. διοτι ιδου εγω ερχομαι, και κατασκηνωσω εν μεσῳ σου, λεγει* Κυριος. *Zach. ii. 10. Num. xxxv. 4. μονην. 1 Mac. vii. 38. Conf. Prov. iii. 1. Apoc. iii. 20. xxi. 3. 1 Joan. ii. 24.*

24 Ὁ μη αγαπων με, τους λογους μου ου τηρει· και ὁ λογος,
ὁν ακουετε, ουκ εστιν εμος, αλλα του πεμψαντος με πατρος.

ὁτι απεστρεψεν—και τους λογους μου ουκ ετηρησε. 1 *Reg.* *xv.* 11. ουκ εστιν εμος (μονον). *Ita, Exod. xvi.* 8. *Prov. viii.* 10. *Joel. ii.* 13. *Conf. Luc. xiv.* 12. *Joan. v.* 38. *vii.* 16. *viii.* 47. *xii.* 44.

25 Ταυτα λελαληκα ὑμιν παρ᾽ ὑμιν μενων·

26 Ὁ δε Παρακλητος, το Πνευμα το ἁγιον, ὁ πεμψει ὁ πατηρ εν τῳ ονοματι μου, εκεινος ὑμας διδαξει παντα, και ὑπομνησει ὑμας παντα ἁ ειπον ὑμιν.

ουκ απεστειλα σε τῳ ονοματι μου. *Jer. xxxvi.* 25. ὁρκους πατερων—ὑπομνησας. *Sap. xviii.* 22. *Conf. Joel. ii.* 28. *Esa. xliii.* 10, 11. 1 *Joan. ii.* 27. *Luc. xxiv.* 49. *Joan. vi.* 45. εξαποστειλον το φως σου και την αληθειαν σου, αυτα με ὡδηγησαν και ηγαγον με εις το ορος ἁγιον κ. τ. λ. *Ps. xlii.* 3. βουλην δε σου τις εγνω, ει μη συ εδωκας σοφιαν, και επεμψας το ἁγιον σου πνευμα απο ὑψιστων; *Sap. ix.* 17. πνευμα εστιν εν βροτοις, πνοη δε παντοκρατορος εστιν ἡ διδασκουσα. *Job. xxxii.* 8. *Conf. cap. vii.* 39. *xx.* 22.

27 Ειρηνην αφιημι ὑμιν, ειρηνην την εμην διδωμι ὑμιν· ου καθως ὁ κοσμος διδωσιν, εγω διδωμι ὑμιν. μη ταρασσεσθω ὑμων ἡ καρδια, μηδε δειλιατω.

μη φοβεισθε, μηδε δειλιασητε. *Deut. i.* 21. 2 *Mac. xv.* 8. δια τουτο πασα χειρ εκλυθησεται, και πασα ψυχη ανθρωπου δειλιασει. *Esa. xiii.* 7. *Prov. xii.* 25. *Conf. Esa. ix.* 6. *Agg. ii.* 10. 1 *Cor. ii.* 12. Κυριος ευλογησει τον λαον αυτου εν ειρηνῃ. *Ps. xxviii.* 11. και ποιησω και ειρηνην και πιστιν. *Jer. xl.* 6. ειρηνην επ᾽ ειρηνῃ τοις μακραν και τοις εγγυς ουσι. *Esa. lvii.* 19. και διαθησομαι αυτοις διαθηκην ειρηνης, διαθηκη αιωνια εσται μετ᾽ αυτων. *Ezech. xxxvii.* 26. και εν πολλῃ ειρηνῃ τα τεκνα σου. *Esa. liv.* 13. ιδου εγω διδωμι αυτῳ διαθηκην ειρηνης, κ. τ. λ. *Num. xxv.* 12, 13. [φθανει δε χρησμοις δωρησαμενος ὁ Θεος Φινεει το μεγιστον αγαθον, ειρηνην, ὁ μηδεις ἱκανος ανθρωπων παρασχειν. *Philo de Vit. Mos. p.* 1. 649.] κατακρυψεις αυτους εν αποκρυφῳ του προσωπου σου απο ταραχης ανθρωπων, κ. τ. λ. *Ps. xxx.* 20. *Sap. ix.* 10.

28 Ηκουσατε ὁτι εγω ειπον ὑμιν, Ὑπαγω, και ερχομαι προς ὑμας. ει ηγαπατε με, εχαρητε αν ὁτι ειπον, Πορευομαι προς τον πατερα· ὁτι ὁ πατηρ μου μειζων μου εστι.

29 Και νυν ειρηκα ὑμιν πριν γενεσθαι· ἱνα ὁταν γενηται, πιστευσητε.

αναγγελλων προτερον τα εσχατα πριν γενεσθαι. *Esa. xlvi.* 10. *xliv.* 7. *Sir. xlviii.* 25. πλην ἑως ὑπομνησεως ταυθ᾽ ἡμιν ειρησθω. 2 *Mac. vi.* 17. *Conf. Esa. xlii.* 1. *xlix.* 5-7. *Ps. lxxxix.* 2.

30 Ουκ ετι πολλα λαλησω μεθ' ὑμων· ερχεται γαρ ὁ του κοσ-
μου τουτου αρχων, και εν εμοι ουκ εχει ουδεν·

31 Αλλ' ἱνα γνῳ ὁ κοσμος, ὁτι αγαπω τον πατερα, και κα-
θως ενετειλατο μοι ὁ πατηρ, οὑτω ποιω. εγειρεσθε, αγωμεν εν-
τευθεν.

και εποιησαν—οἱ υἱοι αυτου καθως ενετειλατο αυτοις. *Gen. l.* 12. *Comp. Ald.* εποιησε Μωυσης παντα ὁσα ενετειλατο αυτῳ. *Exod. xl.* 16. *Conf. Phil. ii.* 8. *Heb. x.* 5. *Esa. l.* 5. του ποιησαι το θελημα σου ὁ Θεος μου ηβουληθην, και τον νομον σου εν μεσῳ της καρδιας μου. *Ps. xxxix.* 8. *Conf. Jer. xxxviii.* 3. *Ezech. xxxvii.* 28.

ΚΕΦ. ιε. 15.

ΕΓΩ ειμι ἡ αμπελος ἡ αληθινη, και ὁ πατηρ μου ὁ γεωρ-
γος εστι.

ιδου εγω αγω τον δουλον μου Ανατολην. *Zach. iii.* 9. εγω ὡς αμπελος εβλαστησα χαριν. *Sir. xxiv.* 17. *Alex. Comp.* εγω δε εφυτευσα σε αμπελον καρποφορον πασαν αληθινην. *Jer. ii.* 21. *Conf. Jud. ix.* 12. *Ose. x.* 1. *Ezech. xv.* 2-6. *Ps. lxxix.* 8. διασκορπιω—γεωργον και το γεωργιον αυτου. *Jer. li.* 23. *Cant. viii.* 11. *Matt. xxi.* 33. 1 *Cor. iii.* 9. *Esa. v.* 2-7. *Jer. xii.* 10.

2 Παν κλημα εν εμοι μη φερον καρπον, αιρει αυτο· και παν το
καρπον φερον, καθαιρει αυτο, ἱνα πλειονα καρπον φερῃ.

και περικαθαριει Κυριος την καρδιαν σου. *Deut. xxx.* 6. *Conf.* 4 *Reg. iv.* 6. 2 *Mac. i.* 29. εξ εμου ὁ καρπος σου εὑρηται. *Ose. xiv.* 9. του ποιειν βλαστους, και φερειν καρπον. *Ezech. xvii.* 8. *xv.* 2. *Conf. Ps. i.* 3. *Cant. iv.* 16. *Jer. xvii.* 8. [ὁσα παθων η κακων δενδρα αναβλαστουντα εις ὑψος εξηρθη φθοροποιους φεροντα καρπους ὑποτεμνομενα καθαιρεται, ὡς μηδε βραχυ τι λειψανον εαθηναι. *Philo de Agric. p.* 189.] ελευκανε τα κληματα αυτης. *Joel. i.* 7.

3 Ηδη ὑμεις καθαροι εστε, δια τον λογον ὁν λελαληκα ὑμιν.

ὁτι λογον εγω ελαλησα, ειπε Κυριος. *Jer. xli.* 5. *Ezech. xvii.* 21. *Conf. cap. xiii.* 10. *Ephes. v.* 9, 26. *Gal. v.* 22. ὁ νομος του Κυριου αμωμος επιστρεφων ψυχας, ἡ μαρτυρια Κυριου πιστη σοφιζουσα νηπια. *Ps. xviii.* 7. *Conf. Exod. xxxi.* 13. *Ezech. xx.* 12.

4 Μεινατε εν εμοι, καγω εν ὑμιν. καθως το κλημα ου δυναται
καρπον φερειν αφ' ἑαυτου, εαν μη μεινῃ εν τῃ αμπελῳ, οὑτως
ουδε ὑμεις, εαν μη εν εμοι μεινητε.

και τους μεμενηκοτας εν τῳ Ιουδαϊσμῳ. 2 *Mac. viii.* 1. 1 *Joan. ii.* 5. και ου μη ὑπολειφθῃ εξ αυτων ῥιζα, ουδε κλημα. *Mal. iv.* 1. και τα κληματα αυτων διεφθειραν. *Nah. ii.* 2. *Ps. lxxix.* 11. *Conf. Cant. viii.* 5. *Esa. xxvii.* 10, 11.

5 Εγω ειμι ἡ αμπελος, ὑμεις τα κληματα. ὁ μενων εν εμοι,
καγω εν αυτῳ, οὑτος φερει καρπον πολυν· ὁτι χωρις εμου ου
δυνασθε ποιειν ουδεν.

ανευ του Θεου ουκ αποκριθησεται το σωτηριον. *Gen. xli.* 16. και ανευ κρισεως μη ποιησῃς μηδεν. *Sir. xxx.* 29. *Conf. Ps. xci.* 13. *Amos. vi.* 13. *Act. iv.* 12. *Phil. iv.* 13. και εσται ὡς ελαια κατακαρπος. *Ose. xiv.* 7. *Prov. xi.* 30.

6 Εαν μη τις μεινῃ εν εμοι, εβληθη εξω ὡς το κλημα, και εξ-
ηρανθη, και συναγουσιν αυτα και εις πυρ βαλλουσι, και και-
εται.

εβληθη—και εξηρανθη. *h. e.* βληθησεται και ξηρανθησεται. *præt. pro fut. Ita,* παιδιον εγεννηθη ἡμιν, υἱος εδοθη ἡμιν. *Esa. v.* 4, 5. *ix.* 6. *xl.* 8. *Conf. Luc. i.* 69. *Apoc. x.* 7. *Ose. xiii.* 15. *Ezech. xv.* 2. *xvii.* 24. *Matt. iii.* 10. *Job. xv.* 30. *Esa. xiv.* 19.

7 Εαν μεινητε εν εμοι, και τα ῥηματα μου εν ὑμιν μεινῃ, ὁ εαν
θελητε αιτησεσθε, και γενησεται ὑμιν.

και εσται τα ῥηματα ταυτα—εν τῃ καρδιᾳ σου. *Deut. vi.* 6.

8 Εν τουτῳ εδοξασθη ὁ πατηρ μου, ἱνα καρπον πολυν φερητε,
και γενησεσθε εμοι μαθηται.

εν τουτῳ. *Gen. xlii.* 33. *Num. xvi.* 28. φυτευμα Κυριου εις δοξαν. *Esa. lxi.* 3. *Ps. cxviii.* 11. *Conf. cap. xiii.* 31. *Matt. v.* 16. 1 *Cor. vi. vi.* 10. [και αὑτη εστιν ἡ συνεσις—ἱνα. *Test. XII Patr. p.* 606.]

9 Καθως ηγαπησε με ὁ πατηρ, καγω ηγαπησα ὑμας, μεινατε
εν τῃ αγαπῃ τῃ εμῃ.

οἱ πιστοι εν αγαπῃ προσμενουσιν αυτῳ. *Sap. iii.* 9. αγαπησιν αιωνιον ηγαπησα σε. *Jer. xxxviii.* 3. *Ose. xiv.* 5.

10 Εαν τας εντολας μου τηρησητε, μενειτε εν τῃ αγαπῃ μου·
καθως εγω τας εντολας του πατρος μου τετηρηκα, και μενω
αυτου εν τῃ αγαπῃ.

τας εντολας σου ηγαπησα. *Ps. cxviii.* 159. κατοικιω αυτους, ὁτι ηγαπησα αυτους. *Zach. x.* 6. και καινιει σε εν τῃ αγαπησει αυτου. *Sophon. iii.* 17. *Conf. Esa. xlii.* 1-4.

11 Ταυτα λελαληκα ὑμιν, ἱνα ἡ χαρα ἡ εμη εν ὑμιν μεινῃ, και
ἡ χαρα ὑμων πληρωθῃ.

Conf. 1 *Joan.* i. 4. εν γαρ ευφροσυνῃ—και εν χαρᾳ διδαχθησεσθε. *Esa.* lv. 12. *lxii.* 4. *Jer.* xxxix. 41. *xl.* 9.

12 Αὑτη εστιν ἡ εντολη ἡ εμη, ἱνα αγαπατε αλληλους, καθως ηγαπησα ὑμας.

Conf. Ephes. v. 2. 1 *Joan.* iii. 11, 16. 1 *Thess.* iv. 9. *Lev.* xix. 18.

13 Μειζονα ταυτης αγαπην ουδεις εχει, ἱνα τις την ψυχην αὑτου θῃ ὑπερ των φιλων αὑτου.

χαριτας εγγυου μη επιλαθῃ, εδωκε γαρ την ψυχην αυτου ὑπερ σου. *Sir.* xxix. 15. *Conf. cap.* vi. 51. *Rom.* v. 6-8. 1 *Joan.* iv. 7-11.

14 Ὑμεις φιλοι μου εστε, εαν ποιητε ὁσα εγω εντελλομαι ὑμιν.

ὁ φιλος σου ὁ ισος τῃ ψυχῃ σου. *Deut.* xiii. 6. *Ald. Comp. Conf. Sap.* vii. 14. 27. και ελαλησε Κυριος προς Μωυσην—ὡς ειτις λαλησαι προς τον ἑαυτου φιλον. *Exod.* xxxiii. 11.

15 Ουκετι ὑμας λεγω δουλους, ὁτι ὁ δουλος ουκ οιδε τι ποιει αυτου ὁ κυριος· ὑμας δε ειρηκα φιλους, ὁτι παντα ἁ ηκουσα παρα του πατρος μου, εγνωρισα ὑμιν.

μη κρυψω εγω απο Ἀβρααμ του παιδος μου ἁ εγω ποιω; *Gen.* xviii. 17. 2 *Par.* xx. 7. *Esa.* xli. 8. *Jac.* ii. 23. *Ephes.* i. 9. *Col.* i. 26. και αἱρετιω αυτους, ὁν τροπον αἱρετιζει ανθρωπος τον υἱον, τον δολευοντα αυτῳ. *Mal.* iii. 17. *Conf. cap.* viii. 26. 47.

16 Ουχ ὑμεις με εξελεξασθε, αλλ᾽ εγω εξελεξαμεν ὑμας, και εθηκα ὑμας, ἱνα ὑμεις ὑπαγητε και καρπον φερητε, και ὁ καρπος ὑμων μενῃ· ἱνα ὁ τι αν αιτησητε τον πατερα εν τῳ ονοματι μου, δῳ ὑμιν.

εθηκε με ὡς βελος εκλεκτον. *Esa.* xlix. 2. *xxvii.* 4. και ειπα σοι, παις μου ει, εξελεξαμην σε. *xli.* 9. *Conf. Deut.* vii. 7. *Ps.* i. 3. *xc.* 15. αιτησαι παρ᾽ εμου, και δωσω σοι κ. τ. λ. *ii.* 8.

17 Ταυτα εντελλομαι ὑμιν, ἱνα αγαπατε αλληλους.

εντελλομαι (*indico. inculco.*) εντελειται—ελεος αυτου. *Ps.* xli. 8. *Conf. Grot. Est.* ii. 15. *Jos.* xi. 9. 1 *Joan.* iii. 14-17.

18 Ει ὁ κοσμος ὑμας μισει, γινωσκετε ὁτι εμε πρωτον ὑμων μεμισηκεν.

Conf. 2 *Reg.* xxii. 8. *Esa.* xlix. 7. *Zach.* xi. 8.

19 Ει εκ του κοσμου ητε, ὁ κοσμος αν το ιδιον εφιλει· ὁτι δε εκ του κοσμου ουκ εστε, αλλ᾽ εγω εξελεξαμην ὑμας εκ του κοσμου, δια τουτο μισει ὑμας ὁ κοσμος.

Conf. Sir. iii. 19, 20. 1 *Joan.* iv. 5. εκλεγειν εκ— 2 *Reg.* xxiv. 12.

Sir. xlv. 4. βαρυς εστιν ἡμιν και βλεπομενος, ὁτι ανομοιος τοις αλλοις ὁ βιος αυτου, κ. τ. λ. *Sap. ii.* 15. βδελυγμα δε ἁμαρτωλῳ θεοσεβεια. *Sir. i.* 24.

20 Μνημονευετε του λογου οὑ εγω ειπον ὑμιν, Ουκ εστι δουλος μειζων του κυριου αὑτου. ει εμε εδιωξαν, και ὑμας διωξουσιν· ει τον λογον μου ετηρησαν, και τον ὑμετερον τηρησουσιν.

και ουκ εστιν αυτων τις μειζων του φοβουμενου τον Κυριον. *Sir.* *x.* 24. *Matt. x.* 24. *Luc. vi.* 40. *Joan. xiii.* 16. *Act. vii.* 52. Κυριου του Θεου ἡμων μνημονευε. *Tob. iv.* 5. και διωξονται ὑμας οἱ μισουντες ὑμας. *Lev. xxvi.* 17. το ὑμετερον αἱμα. *Gen. ix.* 1. και τους λογους μου ουκ ετηρησε. 1 *Reg. xv.* 11. και γαρ τουτο εστι τηρησις εντολων. *Sir. xxxv.* 23. *Conf. Ezech. iii.* 6.

21 Αλλα ταυτα παντα ποιησουσιν ὑμιν δια το ονομα μου, ὁτι ουκ οιδασι τον πεμψαντα με.

ποιησον μετ' εμου ἑνεκεν του ονοματος σου. *Ps. cviii.* 21. *lxviii.* 7. *xliii.* 26. *Matt. xxiv.* 9. δια το ονομα. *Conf. Deut. xv.* 10.

22 Ει μη ηλθον και ελαλησα αυτοις, ἁμαρτιαν ουκ ειχον· νυν δε προφασιν ουκ εχουσι περι της ἁμαρτιας αὑτων.

του προφασιζεσθαι προφασεις εν ἁμαρτιαις. *Ps. cxl.* 4. *Ose. x.* 4. *Conf. Matt. vii.* 28. *Act. xvii.* 30. *Jac. iv.* 17. *Ezech. ii.* 5. *xxxiii.* 31-33.

23 Ὁ εμε μισων, και τον πατερα μου μισει.

24 Ει τα εργα μη εποιησα εν αυτοις, ἁ ουδεις αλλος πεποιηκεν, ἁμαρτιαν ουκ ειχον· νυν δε και ἑωρακασι, και μεμισηκασι και εμε και τον πατερα μου·

και—και. *Sap. iv.* 1. *Conf. Act. ii.* 22. *Exod. xx.* 5. *Prov. viii.* 36.

25 Αλλ' ἱνα πληρωθῃ ὁ λογος ὁ γεγραμμενος εν τῳ νομῳ αυτων, ὁτι Εμισησαν με δωρεαν.

και πληρωσω τους λογους σου. 3 *Reg. i.* 14. οἱ μισουντες με δωρεαν. *Ps. xxxiv.* 19. 1 *Reg. xix.* 5. επολεμησαν με δωρεαν. *Ps. cviii.* 3. *cxix.* 7. *cxviii.* 161. αντι του αγαπᾳν με, ενδιεβαλλον με, εγω δε προσηυχομην. κ. τ. λ. *Ps. cviii.* 4, 5. καθως επηγγειλατο δια του νομου. 2 *Mac. ii.* 18. *CITAT.* 101.

26 Ὁταν δε ελθῃ ὁ Παρακλητος, ὁν εγω πεμψω ὑμιν παρα του πατρος, το Πνευμα της αληθειας, ὁ παρα του πατρος εκπορευεται, εκεινος μαρτυρησει περι εμου·

Conf. cap. iv. 46. *vii.* 29. το Πνευμα. *Conf. Gen. i.* 2. *xli.* 48. *Ps.* *xxxii.* 6. *Job. xxxiii.* 4. 1 *Cor. ii.* 10-12. *Apoc. i.* 16. *Dan. vii.* 10.

Esa. xlviii. 16. *Act. ii.* 32. *v.* 32. [Παρακλητον· Πνευμα λεγεται, ὡς τας παρακλησεις των ὁλων δεχομενον. *Hesych.*]

27 Και ὑμεις δε μαρτυρειτε, ὁτι απ' αρχης μετ' εμου εστε.

καθως απ' αρχης ητε. *Ezech. xvi.* 55. *Conf. Act. i.* 8, 21. 1 *Pet. v.* 1. *Marc. i.* 1. *Luc. i.* 1. δια τουτο ὑπομεινον με, λεγει Κυριος, εις ἡμεραν αναστασεως μου εις μαρτυριον. *Sophon. iii.* 8.

ΚΕΦ. ιϛ. 16.

ΤΑΥΤΑ λελαληκα ὑμιν, ἱνα μη σκανδαλισθητε.

μηποτε σκανδαλισθῃς. *Sir. ix.* 5. *Conf. Matt. xi.* 6.

2 Αποσυναγωγους ποιησουσιν ὑμας· αλλ' ερχεται ὡρα, ἱνα πας ὁ αποκτεινας ὑμας, δοξῃ λατρειαν προσφερειν τῳ Θεῳ.

αλλα (*imo.*) *Job. xxxii.* 8. ποιησεις την λατρειαν. *Exod. xiii.* 5. *Conf. Ps. xliii.* 22. *Prov. xix.* 27. *Esa. lvii.* 1-5. *Luc. vi.* 22. *Act. viii.* 1. εν συναγωγῃ ἁμαρτωλων εκκαυθησεται πυρ, κ. τ. λ. *Sir. xvi.* 6. εν μεσῳ συναγωγης καταβαλει σε. *i.* 30. ὑβρει και βασανῳ ετασωμεν αυτον, ἱνα γνωμεν την επιεικειαν αυτου, και δοκιμασωμεν την ανεξικακιαν αυτου· θανατῳ ασχημονι καταδικασωμεν αυτον· εσται γαρ αυτου επισκοπη εκ λογων αυτου. *Sap. ii.* 19, 20. [προσφερειν τῳ Θεῳ ευχην. *Jos. Ant. iii.* 9. 3.]

3 Και ταυτα ποιησουσιν ὑμιν, ὁτι ουκ εγνωσαν τον πατερα ουδε εμε.

Conf. Rom. x. 2. 1 *Tim. i.* 13. *Matt. xxiv.* 9. *Cap. xii.* 42.

4 Αλλα ταυτα λελαληκα ὑμιν, ἱνα ὁταν ελθῃ ἡ ὡρα, μνημονευητε αυτων, ὁτι εγω ειπον ὑμιν· ταυτα δε ὑμιν εξ αρχης ουκ ειπον, ὁτι μεθ' ὑμων ημην.

εξ αρχης (*olim.*) *Sir. xxxix.* 22. *Matt. ix.* 15. *Marc. ii.* 19. *Luc. v.* 34. εισακουσατε εις τα επερχομενα. *Esa. xlii.* 23.

5 Νυν δε ὑπαγω προς τον πεμψαντα με, και ουδεις εξ ὑμων ερωτᾳ με, Που ὑπαγεις;

αναβαινω προς τον αποστειλαντα με. *Conf. Tob. xii.* 20.

6 Αλλ' ὁτι ταυτα λελαληκα ὑμιν, ἡ λυπη πεπληρωκεν ὑμων την καρδιαν.

λυπη εν καρδιᾳ. *Prov. x.* 23. πνευμα Κυριου πεπληρωκε την οικουμενην. *Sap. i.* 7. τον ουρανον και την γην εγω πλερω; *Jer. xxiii.* 24. *Ps. cxxxviii.* 7.

7 Αλλ᾽ εγω την αληθειαν λεγω ὑμιν, συμφερει ὑμιν ἱνα εγω απελθω· εαν γαρ μη απελθω, ὁ Παρακλητος ουκ ελευσεται προς ὑμας· εαν δε πορευθω, πεμψω αυτον προς ὑμας·

και ου συμφερει τῳ βασιλει εασαι αυτους. *Est. iii.* 8. τι συμφερει καρπωσις ειδωλῳ; *Sir. xxx.* 19. *Conf. Joan. xiv.* 16. 1 *Joan. ii.* 1. *Act. ii.* 33. [τον αστειον (Αβρααμ) ουκ αποθνησκοντα, αλλ᾽ απερχομενον εισηγαγε. *Philo. p.* 513.] συ δε απελευσῃ προς τους πατερας σου εν ειρηνῃ. *Gen. xv.* 15. *Conf. Ps. lxvii.* 18.

8 Και ελθων εκεινος ελεγξει τον κοσμον περι ἁμαρτιας και περι δικαιοσυνης και περι κρισεως.

ελεγξω σε και παραστησω κατα προσωπον σου. *Ps. xlix.* 21. *cxl.* 5. *Jer. xxiii.* 5. *Conf. Zach. xii.* 10. ὁτι κατεγραψας κατ᾽ εμου κακα, περιεθηκας δε μοι νεοτητος ἁμαρτιας. *Job. xiii.* 26.

9 Περι ἁμαρτιας μεν, ὁτι ου πιστευουσιν εις εμε·

10 Περι δικαιοσυνης δε, ὁτι προς τον πατερα μου ὑπαγω, και ουκ ετι θεωρειτε με·

11 Περι δε κρισεως, ὁτι ὁ αρχων του κοσμου τουτου κεκριται.

και εαν τις δῳ μωμον τῳ πλησιον, ὡς εποιησεν αυτῳ ὡσαυτως αντιποιηθησεται αυτῳ. *Lev. xxiv.* 19. *Conf. Esa. xxxiv.* 8. *xxxv.* 4. *xlix.* 24. *Luc. x.* 18. *Col. ii.* 15. *Heb. ii.* 14. *Dan. ix.* 24.

12 Ετι πολλα εχω λεγειν ὑμιν, αλλ᾽ ου δυνασθε βασταζειν αρτι·

επειδαν εχω λαλησαι. *Gen. xviii.* 31. βαρος ὑπερ σε μη αρῃς. *Sir. xiii.* 2. ὁ εαν επιθῃς επ᾽ εμε, βαστασω. 4 *Reg. xviii.* 14. *Conf.* 1 *Cor. iii.* 1, 2. *Heb. v.* 11-14.

13 Ὁταν δε ελθῃ εκεινος, το Πνευμα της αληθειας, ὁδηγησει ὑμας εις πασαν την αληθειαν· ου γαρ λαλησει αφ᾽ ἑαυτου, αλλ᾽ ὁσα αν ακουσῃ λαλησει, και τα ερχομενα αναγγελει ὑμιν.

το πνευμα σου το αγαθον ὁδηγησει με εν τῃ ευθειᾳ. *Ps. cxlii.* 10. ὁδηγησον με επι την αληθειαν σου, και διδαξον με. *xxiv.* 5. *cxviii.* 35. κατεβη πνευμα παρα Κυριου και ὡδηγησεν αυτους. *Esa. lxiii.* 14. τις ὡσπερ εγω;—και τα επερχομενα προ του ελθειν αναγγειλατωσαν ὑμιν; *xliv.* 7. *Conf. Joel. ii.* 28. 1 *Joan. ii.* 27. *Heb. viii.* 10. *Cap. viii.* 26. [και το πνευμα της αληθειας μαρτυρει παντα, κ. τ. λ. *Test. XII Patr. p.* 612.] το προσωπον σου επιφανον επι τον δουλον σου, και διδαξον με τα δικαιωματα σου. *Ps. cxviii.* 135. [ὁ γαρ νους ουκ αν οὑτως ευσκοπως ευθυβολησεν, ει μη και

θειον ην Πνευμα το προδηγετουν προς την αληθειαν. *Philo de Vit. Mos. p.* 693. Πνευμα πασης ορθης αφηγουμενον ὁδου. *p.* 291.]

14 Εκεινος εμε δοξασει, ὁτι εκ του εμου ληψεται, και αναγ-
γελει ὑμιν.

Conf. Ps. xliv. 1, 2. νομον, ὁν αν αναγγειλωσιν ὑμιν οἱ ἱερεις. *Deut. xxiv.* 8. *Conf.* 1 *Joan. iv.* 1-3. *v.* 1. *Act. ii.* 32-36. *Cap. vii.* 28.

15 Παντα ὁσα εχει ὁ πατηρ, εμα εστι· δια τουτο ειπον, ὁτι,
Εκ του εμου ληψεται, και αναγγελει ὑμιν.

και αφελω απο του πνευματος του επι σοι, και επιθησω επ' αυτους. *Num. xi.* 17. Κυριος, Κυριος απεστειλε με, και το πνευμα αυτου. *Esa. xlviii.* 16. *Conf. cap. iii.* 35. *x.* 29, 30. *xiii.* 3.

16 Μικρον και ου θεωρειτε με, και παλιν μικρον και ὀψεσθε με,
ὁτι εγω ὑπαγω προς τον πατερα.

μικρον. *Job. x.* 20. *Prov. vi.* 10. *Jer. xxviii.* 33. *Marc. xvi.* 19.

17 Ειπον ουν εκ των μαθητων αυτου προς αλληλους, Τι εστι
τουτο, ὁ λεγει ἡμιν, Μικρον και ου θεωρειτε με, και παλιν μι-
κρον και οψεσθε με; και, ὁτι, Εγω ὑπαγω προς τον πατερα;

ὁ βασιλευς εθεωρει τους αστραγαλους της χειρος. *Dan. v.* 5. *Susan.* 20. εγω ὑπαγω. *præs. pro fut.* ετι γαρ ἡμερων ἑπτα εγω επαγω ὑετον επι την γην. *Gen. vii.* 4. και ειπεν, ὁτι. *Gen. xxix.* 33. *Jos. ii.* 24.

18 Ελεγον ουν, Τουτο τι εστιν ὁ λεγει, το μικρον; ουκ οιδαμεν
τι λαλει.

19 Εγνω ουν ὁ Ιησους ὁτι ηθελον αυτον ερωταν, και ειπεν αυ-
τοις, Περι τουτου ζητειτε μετ' αλληλων, ὁτι ειπον, Μικρον και
ου θεωρειτε με, και παλιν μικρον και οψεσθε με.

θελημα των φοβουμενων αυτον ποιησει, και της δεησεως αυτων επακουσεται. *Ps. cxliv.* 19.

20 Αμην, αμην, λεγω ὑμιν, ὁτι, Κλαυσετε και θρηνησετε ὑμεις,
ὁ δε κοσμος χαρησεται· ὑμεις δε λυπηθησεσθε, αλλ' ἡ λυπη
ὑμων εις χαραν γενησεται.

μη κλαιετε—μηδε θρηνειτε. *Jer. xxii.* 10. εστρεψας τον κοπετον μου εις χαραν εμοι. *Ps. xxix.* 11. *cxxv.* 5. απο πενθους εις χαραν. *Est. ix.* 22. *Conf. Luc. xxiii.* 27. χρονον μικρον κατελιπον σε, και μετ' ελεους μεγαλου ελεησω σε. κ. τ. λ. *Esa. liv.* 7, 8. εν κλαυθμῳ εξηλθον, και εν παρακλησει αναξω αυτους. *Jer. xxxviii.* 9.

21 Ἡ γυνη ὁταν τικτῃ, λυπην εχει, ὁτι ηλθεν ἡ ὡρα αυτης·

ὁταν δε γεννηση το παιδιον, ουκ ετι μνημονευει της θλιψεως,
δια την χαραν, ὁτι εγεννηθη ανθρωπος εις τον κοσμον.

εν λυπαις τεξῃ τεκνα. Gen. iii. 16. *Conf. Eccles. iii.* 2. *Jer. xxx.* 6. *Ose. xiii.* 13. *ανθρωπος (puer). Sir. iii.* 11.

22 Και ὑμεις ουν λυπην μεν νυν εχετε· παλιν δε οψομαι ὑμας,
και χαρησεται ὑμων ἡ καρδια, και την χαραν ὑμων ουδεις αιρει
αφ᾽ ὑμων,

χαρησεται ἡ καρδια αυτου. Hab. i. 15. *Zach. x.* 7. *και οψεσθε και χαρησεται ἡ καρδια ὑμων. Esa. lxvi.* 14. *Conf. Luc. xxiv.* 41. *αυτος ἡσυχιαν παρεξει, και τις καταδικασεται. Job. xxxiv.* 29.

23 Και εν εκεινῃ τῃ ἡμερᾳ εμε ουκ ερωτησετε ουδεν. Αμην,
αμην, λεγω ὑμιν, ὁτι, Ὁσα αν αιτησητε τον πατερα εν τῳ ονο-
ματι μου, δωσει ὑμιν.

αιτησαι παρ᾽ εμου, και δωσω. Ps. ii. 8. *Matt. vii.* 7. *οἱ εκλεκτοι μου ου κοπιασουσιν εις κενον, κ. τ. λ. Esa. lxv.* 23, 24.

24 Ἑως αρτι ουκ ητησατε ουδεν εν τῳ ονοματι μου· αιτειτε,
και ληψεσθε, ἱνα ἡ χαρα ὑμων ῃ πεπληρωμενη.

ἱνα. Vide sup. cap. v. 7. *Ps. lxxxvii.* 2. 3 *Reg. xviii.* 36.

25 Ταυτα εν παροιμιαις λελαληκα ὑμιν· αλλ᾽ ερχεται ὡρα
ὁτε ουκ ετι εν παροιμιαις λαλησω ὑμιν, αλλα παρῤῥησιᾳ περι
του πατρος αναγγελω ὑμιν.

εν—παροιμιαις και παραβολαις. Sir. xlvii. 18. *αποκρυφα παροιμιων εκζητησει. xxxix.* 3. *και ειπα, Μηδαμως Κυριε—αυτοι λεγουσι προς με, Ουχι παραβολη εστι λεγομενη αὑτη; Ezech. xx.* 49. *Conf. Prov. i.* 6. *το στομα μου εξαγγελει την δικαιοσυνην σου, κ. τ. λ. Ps. lxx.* 15. *Conf. Matt. xiii.* 10. *Marc. iv.* 13.

26 Εν εκεινῃ τῃ ἡμερᾳ εν τῳ ονοματι μου αιτησεσθε· και ου
λεγω ὑμιν ὁτι εγω ερωτησω τον πατερα περι ὑμων·

βουλην δε σου τις εγνω, ει μη συ εδωκας σοφιαν, και επεμψας το ἁγιον σου πνευμα απο ὑψιστων; Sap. ix. 17. *Conf. Rom. v.* 5. *viii.* 32. 1 *Joan. ii.* 1. *Cap. xiv.* 16. *xvii.* 9. 24.

27 Αυτος γαρ ὁ πατηρ φιλει ὑμας, ὁτι ὑμεις εμε πεφιληκατε,
και πεπιστευκατε ὁτι εγω παρα του Θεου εξηλθον.

και εγνωσαν ὁτι παρα του Θεου ἡμων εγενηθη τελειωθηναι το εργον τουτο. Neh. vi. 16. *πνευμα εξηλθε παρα Κυριου. Num. xi.* 31. *παρα Κυριου εξηλθε το πραγμα τουτο. Gen. xxiv.* 50. *Κυριος ὁ Θεος σου εν σοι, ὁ δυνατος σωσει σε, επαξει επι σε ευφροσυνην, και καινιει σε εν τῃ αγαπησει αυτου, κ. τ. λ. Sophon. iii.* 17. *Cap. iii.* 13.

28 Εξηλθον παρα του πατρος, και εληλυθα εις τον κοσμον· παλιν αφιημι τον κοσμον, και πορευομαι προς τον πατερα.

εισηλθεν εις τον κοσμον. *Sap. ii.* 24. *Cap. viii.* 14. *xiii.* 1. 3. 31.

29 Λεγουσιν αυτῳ οἱ μαθηται αυτου, Ιδε, νυν παῤῥησιᾳ λαλεις, και παροιμιαν ουδεμιαν λεγεις.

30 Νυν οιδαμεν ὁτι οιδας παντα, και ου χρειαν εχεις ἱνα τις σε ερωτᾳ. εν τουτῳ πιστευομεν ὁτι απο Θεου εξηλθες.

ου γαρ χρειαν εχει ανδρος ἁμαρτωλου. *Sir. xv.* 12. εν τουτῳ γνωσομαι ὁτι ειρηνικοι εστε. *Gen. xlii.* 33. *Cap. iii.* 2. *vi.* 46.

31 Απεκριθη αυτοις ὁ Ιησους, Αρτι πιστευετε;

32 Ιδου, ερχεται ὡρα και νυν εληλυθεν, ἱνα σκορπισθητε ἑκαστος εις τα ιδια, και εμε μονον αφητε· και ουκ ειμι μονος, ὁτι ὁ πατηρ μετ᾽ εμου εστι.

ὁτι εληλυθασι οἱ καιροι αυτης. *Jer. xxvii.* 26. *Mal. iv.* 1. εσκορπισθησαν ἑκαστος εις τον τοπον αυτου. 1 *Mac. vi.* 54. και εισελθων εις τα ιδια. *Est. v.* 10. μετ᾽ εμου. *Conf.* 1 *Par. xvii.* 2. *Matt. xxvi.* 31. *Marc. xiv.* 27. Ῥομφαια εξεγερθητι επι τους ποιμενας μου, και επι ανδρα πολιτην μου—παταξατε τους ποιμενας, και εκπασατε τα προβατα, κ. τ. λ. *Zach. xiii.* 7. *Conf. cap. x.* 30. *xiv.* 9, 10.

33 Ταυτα λελαληκα ὑμιν, ἱνα εν εμοι ειρηνην εχητε. εν τῳ κοσμῳ θλιψιν ἑξετε· αλλα θαρσειτε, εγω νενικηκα τον κοσμον.

θαρσησον. *Judith. xi.* 1. *Gen. xxxv.* 17. 1 *Cor. xv.* 57. 1 *Joan. iv.* 4. ειρηνην επ᾽ ειρηνῃ τοις μακραν, και τοις εγγυς. *Esa. lvii.* 19. *Mich. v.* 5. *Zach. ix.* 10. αναβας εις ὑψος, ῃχμαλωτευσας αιχμαλωσιαν, κ. τ. λ. *Ps. lxvii.* 18. αυτος γαρ αλγειν ποιει, και παλιν αποκαθιστησιν· επαισε, και αἱ χειρες αυτου ιασαντο· ἑξακις εξ αναγκων σε εξελειται, εν δε τῳ ἑβδομῳ ου μη ἁψηται σου κακον, κ.τ.λ. *Job. v.* 18, 19. ανδριζεσθε, και κραταιουσθω ἡ καρδια ὑμων, παντες οἱ ελπιζοντες επι Κυριον. *Ps. xxx.* 24.

ΚΕΦ. ιζ. 17.

ΤΑΥΤΑ ελαλησεν ὁ Ιησους, και επηρε τους οφθαλμους αὑτου εις τον ουρανον, και ειπε, Πατερ, εληλυθεν ἡ ὡρα· δοξασον σου τον υἱον, ἱνα και ὁ υἱος σου δοξασῃ σε·

και επηρε Δαυιδ τους οφθαλμους αυτου. 1 *Par. xxi.* 16. *Ps. cxxii.* 1. εις τον ουρανον. *Esa. xiv.* 14. *Jer. iv.* 23. κακωσις ὡρας. *Sir. xi.* 27.

ὡρα. *Conf. Gen. xviii.* 10. *Deut. xi.* 14. ὁ Θεος ὁ ἁγιος δοξασθησεται εν δικαιοσυνῃ. *Esa. v.* 16.

2 Καθως εδωκας αυτῳ εξουσιαν πασης σαρκος, ἱνα παν ὁ δεδωκας αυτῳ, δωσῃ αυτοις ζωην αιωνιον.

και ἡ εξουσια αυτου εις γενεαν και γενεαν. *Dan. iii.* 33. *vii.* 13. εδωκεν αυτοις εξουσιαν των επ᾽ αυτης. *Sir. xvii.* 2. οὑτοι εις ζωην αιωνιον. *Dan. xii.* 2. 4 *Mac.* 15. και διδους ζωην τοις συντετριμμενοις την καρδιαν. *Esa. lvii.* 15. πασα σαρξ. *Gen. vi.* 12. *Esa. xl.* 6. *Conf. Matt. xi.* 27. *Heb. i.* 2. *Luc. x.* 22. παν. *Gen. vii.* 22.

3 Αὑτη δε εστιν ἡ αιωνιος ζωη, ἱνα γινωσκωσι σε τον μονον αληθινον Θεον, και ὁν απεστειλας Ιησουν Χριστον.

αὑτη. *i. e.* τουτο. *Conf. Matt. xxi.* 42. Κυριος ὁ Θεος οικτιρμων—και αληθινος. *Exod. xxxiv.* 6. το γαρ επιστασθαι σε ὁλοκληρος δικαιοσυνη, και ειδεναι το κρατος σου ῥιζα αθανασιας. *Sap. xv.* 3. *Job. viii.* 6. ἱνα γνῳ πασα βασιλεια—ὁτι συ ει ὁ Θεος μονος. *Esa. xxxvii.* 20. *liii.* 11. 1 *Joan. v.* 20. και επιγνωσῃ τον Κυριον. *Ose. ii.* 20. *Conf.* 1 *Tim. i.* 17. *Esa. xliv.* 6. *xlv.* 22. *Deut. xxxii.* 12. 1 *Cor. viii.* 4. 1 *Thess. i.* 9. [εκλαθομενοι του προς αληθειαν Θεου. *Phil. Vit. Mos. p.* 694. εις τον οντως οντα αληθη Θεον. *Id. ad. Cai. p.* 1040.] και γνωτωσαν ὁτι ονομα σοι Κυριος· συ μονος ὑψιστος επι πασαν την γην. *Ps. lxxxii.* 18. Θεον επεγνωσαν αληθη. *Sap. xii.* 27.

4 Εγω σε εδοξασα επι της γης· το εργον ετελειωσα, ὁ δεδωκας μοι ἱνα ποιησω·

εγενηθη τελειωθηναι το εργον τουτο. *Neh. vi.* 16. *Conf. supra. c.* 5, 36. *Ps. xxxix.* 8, 9. *Conf. Matt. ix.* 8. *Marc. ii.* 12. *Luc. v.* 26. ιδου συνησει ὁ παις μου, και ὑψωθησεται και δοξασθησεται σφοδρα. *Esa. lii.* 13. Τετελεσται. *Cap. xix.* 30.

5 Και νυν δοξασον με συ, Πατερ, παρα σεαυτῳ, τῃ δοξῃ ᾗ ειχον προ του τον κοσμον ειναι παρα σοι.

προ του τας αβυσσους ποιησαι. *Prov. viii.* 24. *Ps. lxxi.* 5, 17. προ του ορη ἑδρασθηναι. *Prov. viii.* 25. *Conf.* 2 *Tim. i.* 9. κρυψῃς παρα σεαυτῳ. *Prov. ii.* 1. *iii.* 13. και νυν. *Conf.* 1 *Reg. xii.* 13. 1 *Pet. i.* 20. ὁ βασιλευς της δοξης. *Ps. xxiii.* 7, 9. ὁ του κοσμου κτιστης. 2 *Mac. vii.* 23. τις ὡσπερ εγω; στητω—και ἑτοιμασατω μοι αφ᾽ οὑ εποιησα ανθρωπον εις τον αιωνα, κ.τ.λ. *Esa. xliv.* 7. *Zach. xiii.* 7. *Conf. Esa. xlii.* 1. εν σοι ενδοξασθησομαι. *Esa. xlix.* 3. *iv.* 2.

6 Εφανερωσα σου το ονομα τοις ανθρωποις, οὑς δεδωκας μοι εκ

του κοσμου· σοι ησαν, και εμοι αυτους δεδωκας· και τον λογον σου τετηρηκασι.

και τους λογους μου ουκ ετηρησε. 1 *Reg. xv.* 11. *Conf.* 1 *Joan. iv.* 5. *Matt. xii.* 50. επιφανον το προσωπον σου επι δουλον σου, σωσον με εν τῳ ελεει σου. *Ps. xxx.* 16.

7 Νυν *εγνωκαν ὁτι παντα ὁσα δεδωκας μοι, παρα σου εστιν·*

Conf. 1 *Joan. ii.* 1. *Cap. vii.* 16, 17. *xiv.* 7-10. *xvi.* 27-30.

8 Ὁτι *τα ῥηματα ἁ δεδωκας μοι, δεδωκα αυτοις· και αυτοι ελαβον, και εγνωσαν αληθως, ὁτι παρα σου εξηλθον, και επιστευσαν ὁτι συ με απεστειλας.*

ὁ Ων απεσταλκε με προς ὑμας. *Exod. iii.* 14. *Conf. Zach. ii.* 11. και μη δη κρυψῃς απ' μου ῥημα. *Jer. xlv.* 14. τα δε ῥηματα μου τηρειτω ση καρδια. *Prov. iii.* 1. *Conf. cap. viii.* 47.

9 Εγω *περι αυτων ερωτω· ου περι του κοσμου ερωτω, αλλα περι ὡν δεδωκας μοι, ὁτι σοι εισι.*

και ηρωτησε Δαυιδ ετι εν Θεῳ. 1 *Par. xiv.* 14.

10 Και *τα εμα παντα σα εστι, και τα σα εμα· και δεδοξασμαι εν αυτοις.*

φειδῃ δε παντων, ὁτι σα εστι. *Sap. xi.* 26. σα τα παντα, και εκ των σων δεδωκαμεν σοι. 1 *Par. xxix.* 14. *Conf.* 2 *Thess. i.* 10.

11 Και *ουκ ετι ειμι εν τῳ κοσμῳ, και οὑτοι εν τῳ κοσμῳ εισι, και εγω προς σε ερχομαι.* Πατερ *ἁγιε, τηρησον αυτους εν τῳ ονοματι σου, οὑς δεδωκας μοι, ἱνα ωσιν ἑν, καθως ἡμεις.*

ὁ Θεος ἁγιος εστι. *Jos. xxiv.* 19. ετηρησεν αυτον αμεμπτον Θεῳ. *Sap. x.* 5. εδικαιωθητε εν τῳ ονοματι του Κυριου Ιησου και εν τῳ Πνευματι του Θεου ἡμων. 1 *Cor. vi.* 11. εν τῳ ονοματι μου ὑψωθησεται το κερας αυτου. *Ps. lxxxviii.* 24. και ουκ ετι ειμι. *Conf. Gen. xxxvii.* 30. *xlii.* 36. και (*tamen*). 2 *Reg. iii.* 8. *Mal. ii.* 14. *Conf. cap. i.* 18. *x.* 30. *Rom. ix.* 5.

12 Ὁτε *ημην μετ' αυτων εν τῳ κοσμῳ, εγω ετηρουν αυτους εν τῳ ονοματι σου· οὑς δεδωκας μοι εφυλαξα, και ουδεις εξ αυτων απωλετο, ει μη ὁ υἱος της απωλειας, ἱνα ἡ γραφη πληρωθῃ.*

ὁς φυλασσει εντολην, τηρει την ἑαυτου ψυχην. *Prov. xix.* 16. και ετηρησεν αυτον αμεμπτον Θεῳ. *Sap. x.* 5. και μια αυτων ουκ απωλετο. *Esa. xxxiv.* 16. υἱος θανατου. 2 *Reg. xii.* 5. τεκνα απωλειας. *Esa. lvii.* 4. *xxxiii.* 2. ἱνα οἱ σοι παιδες φυλαχθωσιν αβλαβεις. *Sap. xix.* 6. εθνος απωλειας. *Sir. xvi.* 9. *Conf. Ps. cviii.* 8. *xl.* 9. μη-

ποτε—απολεισθε. *ii.* 12. *Prov. xvi.* 18. *Ezech. xx.* 9. *Act. i.* 20. *Joan. vi.* 87-40. *x.* 27, 28. *Heb. ii.* 13.

13 Νυν δε προς σε ερχομαι, και ταυτα λαλω εν τῳ κοσμῳ, ἱνα εχωσι την χαραν την εμην πεπληρωμενην εν αὑτοις.

Cap. xv. 11. εις χαραν καρδιας μου. *Jer. xv.* 16.

14 Εγω δεδωκα αυτοις τον λογον σου, και ὁ κοσμος εμισησεν αυτους, ὁτι ουκ εισιν εκ του κοσμου, καθως εγω ουκ ειμι εκ του κοσμου.

Conf. 1 *Joan. iii.* 13. βαρυς εστιν ἡμιν και βλεπομενος, ὁτι ανομοιος τοις αλλοις ὁ βιος αυτου, κ. τ. λ. *Sap. ii.* 15. βδελυγμα δικαιος ανηρ ανδρι αδικῳ, βδελυγμα δε ανομῳ κατευθυνουσα ὁδος. *Prov. xxix.* 27. *Conf. Ps. xvi.* 13, 14. *Zach. xi.* 9. *Gen. iii.* 15.

15 Ουκ ερωτω ἱνα αρῃς αυτους εκ του κοσμου, αλλ᾿ ἱνα τηρησῃς αυτους εκ του πονηρου.

ἱνα σε τηρησῃ απο γυναικος αλλοτριας και πονηρας. *Prov. vii.* 5. ερασθητι αυτης (σοφιας), και τηρησει σε. *iv.* 6. *Conf. Matt. vi.* 13. 1 *Joan. v.* 19. ὁ αγγελος ὁ ῥυομενος με εκ παντων των κακων. *Gen. xlviii.* 16. *Conf. Ps. xxix.* 9. *Esa. xxxviii.* 18.

16 Εκ του κοσμου ουκ εισι, καθως εγω εκ του κοσμου ουκ ειμι.

17 Ἁγιασον αυτους εν τῃ αληθειᾳ σου· ὁ λογος ὁ σος αληθεια εστι.

και ὁ νομος σου αληθεια. *Ps. cxviii.* 142. ὁ Θεος της αληθειας. *xxx.* 5. και ἁγιασθησομαι εν ὑμιν κατ᾿ οφθαλμους των λαων. *Ezech. xx.* 41. ἁγιασον μοι παν πρωτοτοκον. *Exod. xiii.* 2. εις τον αιωνα Κυριε ὁ λογος σου. *Ps. cxviii.* 89.

18 Καθως εμε απεστειλας εις τον κοσμον, καγω απεστειλα αυτους εις τον κοσμον·

Conf. Esa. lxi. 1, 2. 2 *Cor. v.* 20. *Matt. xxiii.* 34.

19 Και ὑπερ αυτων εγω ἁγιαζω εμαυτον, ἱνα και αυτοι ωσιν ἡγιασμενοι εν αληθειᾳ.

ἡγιασα εμοι παν πρωτοτοκον. *Num. iii.* 13. και ἁγιασθησεσθε, και ἁγιοι εσεσθε. *Lev. xi.* 44. *Ezech. xliv.* 19. 2 *Par. xxix.* 34. *Jer. i.* 5. και την αληθειαν σου εν εκκλησιᾳ ἁγιων. *Ps. lxxxviii.* 5. εν αληθειᾳ της σωτηριας σου. *lxviii.* 13. *Conf. Lev. xxii.* 2. ὑπερ. *Conf. sup. vi.* 51. *x.* 11. *Ephes. v.* 25. και ειπε τοις Λευιταις ἱεροδουλοις του Ισραηλ, ἁγιασαι ἑαυτους τῳ Κυριῳ, κ. τ. λ. 1 *Esd. i.* 3. εν πιστει και πρᾳϋτητι αυτου ἡγιασε. *Sir. xlv.* 4.

20 *Ου περι τουτων δε ερωτω μονον, αλλα και περι των πιστευ-
σοντων δια του λογου αυτων εις εμε·*

και ουχ ὑμιν μονοις εγω διατιθεμαι την διαθηκην——αλλα και τοις ὡδε ουσι μεθ' ὑμων. Deut. xxix. 14, 15. *Conf. Esa. lxvi.* 3. *ὁ* Θεος Κυριος *δωσει ῥημα τοις ευαγγελιζομενοις δυναμει πολλῃ. Ps. lxvii.* 11. *εις εμε. Conf. Ps. cxliv.* 15. *Esa. li.* 5.

21 *Ἱνα παντες ἑν ωσι· καθως συ,* Πατερ, *εν εμοι, καγω εν σοι,
ἱνα και αυτοι εν ἡμιν ἑν ωσιν· ἱνα ὁ κοσμος πιστευσῃ ὁτι συ
με απεστειλας.*

του επικαλεισθαι παντας το ονομα Κυριου, *του δουλευειν αυτῳ ὑποζυγον ἑνα. Sophon. iii.* 9. *ἱνα γνωτε και πιστευσητε και συνητε ὁτι* Εγω Ειμι. *Esa. xliii.* 10-12. *lviii.* 8, 9. *Ps. lxxxv.* 17.

22 *Και εγω την δοξαν ἡν δεδωκας μοι, δεδωκα αυτοις, ἱνα ωσιν
ἑν καθως ἡμεις ἑν εσμεν·*

εν χειρι αυτου ψυχη παντων ζωντων και πνευμα παντος ανθρωπου. Job. xii. 10. *και δωσεις της δοξης σου επ' αυτον. Num. xxvii.* 20. *Conf.* 1 *Joan. i.* 3. *iii.* 24.

23 *Εγω εν αυτοις, και συ εν εμοι, ἱνα ωσι τετελειωμενοι εις ἑν,
και ἱνα γινωσκῃ ὁ κοσμος ὁτι συ με απεστειλας, και ηγαπη-
σας αυτους, καθως εμε ηγαπησας.*

Heb. xi. 40. *οὑτοι ετελειωσαν σου το καλλος. Ezech. xxvii.* 11. *Conf. Ps. cxxxii.* 1. *εσται* Κυριος *εἱς, και το ονομα αυτου ἑν. Zach. xiv.* 9. *διηγησομαι το ονομα σου τοις αδελφοις μου, εν μεσῳ εκκλησιας ὑμνησω σε. Ps. xxi.* 22. 1 *Joan. iii.* 1. *iv.* 19.

24 Πατερ, *οὑς δεδωκας μοι, θελω ἱνα ὁπου ειμι εγω, κακεινοι
ωσι μετ' εμου· ἱνα θεωρωσι την δοξαν την εμην, ἡν εδωκας μοι,
ὁτι ηγαπησας με, προ καταβολης κοσμου.*

αγαπησιν αιωνιον ηγαπησα σε. Jer. xxxviii. 3. *Prov. viii.* 30, 31. *Esa. xliv.* 7. *καταβολη.* 2 *Mac. ii.* 29. 1 *Thess. iv.* 17. 1 *Joan. iii.* 2. 2 *Pet. i.* 4. *Ps. xvi.* 15. *μιαν ητησαμην——του θεωρειν με τερπνοτητα* Κυριου. *Ps. xxvi.* 4. *Conf. Ps. cix.* 3.

25 Πατερ *δικαιε, και ὁ κοσμος σε ουκ εγνω, εγω δε σε εγνων,
και οὑτοι εγνωσαν ὁτι συ με απεστειλας·*

ὁτι Κυριος *παντοκρατωρ απεσταλκε με. Zach. ii.* 9. *vi.* 15. *xiv.* 20.

26 *Και εγνωρισα αυτοις το ονομα σου, και γνωρισω· ἱνα ἡ
αγαπη ἡν ηγαπησας με, εν αυτοις ῃ, καγω εν αυτοις.*

Conf. Esa. xi. 9. *Col. i.* 27. *Ephes. iii.* 17.

ΚΕΦ. ιη. 18.

ΤΑΥΤΑ ειπων ὁ Ιησους εξηλθε συν τοις μαθηταις αὑτου περαν του χειμαρρου των Κεδρων, ὁπου ην κηπος, εις ὁν εισηλθεν αυτος και οἱ μαθηται αυτου.

και εξηλθον—κατα την ὁδον κηπου του βασιλεως. *Jer. xlvi.* 4. *Comp.* εισηλθον εις κηπον. *Cant. v.* 1. [Κεδρων. *Conf. Jos. Ant. viii.* 1. 5. *ix.* 7. 3.] εις τον χειμαρρουν Κεδρων. 4 *Reg. xxiii.* 6. 2 *Reg. xv.* 23. *Conf. Matt. xxvi.* 36. *Marc. xiv.* 32. *Luc. xxii.* 39. 2 *Par. xv.* 6.

2 Ηδει δε και Ιουδας, ὁ παραδιδους αυτον, τον τοπον· ὁτι πολ-
λακις συνηχθη ὁ Ιησους εκει μετα των μαθητων αὑτου.

Conf. Luc. xxi. 37. *xxii.* 39. και γαρ ὁ ανθρωπος της ειρηνης μου εφ' ὁν ηλπισα, ὁ εσθιων αρτους μου, κ.τ.λ. *Ps. xl.* 9. εκει. *Gen. xix.* 20.

3 Ὁ ουν Ιουδας λαβων την σπειραν, και εκ των Αρχιερεων και
Φαρισαιων ὑπηρετας, ερχεται εκει μετα φανων και λαμπαδων
και ὁπλων.

κατεστησεν αυτους επι των σπειρων. 2 *Mac. xii.* 20. *Conf. Matt. xxvi.* 47. *Marc. xiv.* 43. *Luc. xxii.* 47. *Act. i.* 16. [Αττικοι δε λυχνουχον εκαλουν, ὁν ἡμεις φανον. *Hesych.*]

4 Ιησους ουν ειδως παντα τα ερχομενα επ' αυτον, εξελθων ει-
πεν αυτοις, Τινα ζητειτε;

φοβος και τρομος ηλθεν επ' εμε. *Ps. liv.* 5. *Deut. xxviii.* 15, 45. τα ερχομενα. *Conf. Esa. xliv.* 7. *Cap. xiii.* 18.

5 Απεκριθησαν αυτῳ, Ιησουν τον Ναζωραιον. Λεγει αυτοις ὁ
Ιησους, Εγω Ειμι. Εἱστηκει δε και Ιουδας, ὁ παραδιδους αυτον,
μετ' αυτων.

Conf. Esa. xliii. 10-12. *Deut. xxxii.* 39. *Cap. viii.* 24. *xiii.* 19. εἱστηκει. *Conf. Gen. xli.* 46.

6 Ὡς ουν ειπεν αυτοις, ὁτι, Εγω Ειμι, απηλθον εις τα οπισω,
και επεσον χαμαι.

και πεσων χαμαι προσεκυνησε. *Job. i.* 20. επεστρεψεν ἡ σκια—εις τα οπισω. 4 *Reg. xx.* 11. εθαυμασαν, εταραχθησαν, εσαλευθησαν. *Ps. xlvii.* 5. *Conf. cap. xviii.* 37. *xix.* 7.

7 Παλιν ουν αυτους επηρωτησε, Τινα ζητειτε; Οἱ δε ειπον,
Ιησουν τον Ναζωραιον.

8 Απεκριθη ὁ Ιησους, Ειπον ὑμιν, ὁτι, Εγω Ειμι. ει ουν εμε ζη-
τειτε, αφετε τουτους ὑπαγειν.

αφετε αυτον καταρασθαι. 2 *Reg. xvi.* 11. ιδου εγω ειμι ηδικησα· και οὑτοι τα προβατα τι εποιησαν; κ. τ. λ. 2 *Reg. xxiv.* 17.

9 Ἱνα πληρωθῃ ὁ λογος ὁν ειπεν, Ὁτι οὑς δεδωκας μοι, ουκ
απωλεσα εξ αυτων ουδενα.

Conf. cap. xvii. 12. πληρωθηναι τον λογον Κυριου, ὁν ελαλησε. 3 *Reg. ii.* 27. *Ald. Conf. Esd. i.* 1. *Thren. ii.* 17. *Luc. xxi.* 21.

10 Σιμων ουν Πετρος εχων μαχαιραν, εἱλκυσεν αυτην, και
επαισε τον του Αρχιερεως δουλον, και απεκοψεν αυτου το ωτιον
το δεξιον. ην δε ονομα τῳ δουλῳ Μαλχος.

Conf. Matt. xxvi. 51. *Marc. xiv.* 47. *Luc. xxii.* 50.

11 Ειπεν ουν ὁ Ιησους τῳ Πετρῳ, Βαλε την μαχαιραν σου εις
την θηκην. το ποτηριον ὁ δεδωκε μοι ὁ πατηρ, ου μη πιω αυτο;

και ελαβε την μαχαιραν. *Jud. xix.* 29. *Alex. O. Ald. Comp.* δωσω το ποτηριον αυτης εις χειρας σου. *Ezech. xxiii.* 31. το ποτηριον αφανισμου. *Ezech. xxiii.* 33. *Conf. Ps. lxxiv.* 8. υἱοι οἱς ουκ εστι πιστις εν αυτοις. *Deut. xxxii.* 20. *Conf. Ps. xxxix.* 8.

12 Ἡ ουν σπειρα και ὁ χιλιαρχος και οἱ ὑπηρεται των Ιουδαιων
συνελαβον τον Ιησουν, και εδησαν αυτον,

[σπειρα. *Conf. Jos. Bell. Jud. iii.* 4. 2. *Ant. xix.* 2. 3.] και συνελαβον αυτους. 4 *Reg. x.* 14. *Comp. Jos. viii.* 23. *Conf. Matt. xxvi.* 57. *Marc. xiv.* 53. *Luc. xxii.* 54.

13 Και απηγαγον αυτον προς Ανναν πρωτον· ην γαρ πενθερος
του Καϊαφα, ὁς ην αρχιερευς του ενιαυτου εκεινου.

και απηγαγεν αυτους προς αυτον. 4 *Reg. xi.* 4. ετους πρωτου επι Σιμωνος αρχιερεως. 1 *Mac. xiii.* 42. *xiv.* 27. [*Conf. Jos. Ant. iii.* 12. 2.] ὁ πενθερος σου. *Gen. xxxviii.* 13. ην γαρ γαμβρος του αρχιερεως. 1 *Mac. xvi.* 12. *Luc. iii.* 2.

14 Ην δε Καϊαφας ὁ συμβουλευσας τοις Ιουδαιοις, ὁτι συμφε-
ρει ἑνα ανθρωπον απολεσθαι ὑπερ του λαου.

εδωκε ψυχην ὑπερ σου. *Sir. xxix.* 15. απο των ανομιων του λαου μου ηχθη εις θανατον. *Esa. liii.* 8. ποιησατε μοι ὡς συμφερει. *Jer. xxxiii.* 14. *Conf. cap. xi.* 49-52.

15 Ηκολουθει δε τῳ Ιησου Σιμων Πετρος, και ὁ αλλος μαθη-
της. ὁ δε μαθητης εκεινος ην γνωστος τῳ Αρχιερει, και συν-
εισηλθε τῳ Ιησου εις την αυλην του Αρχιερεως·

Conf. Matt. xxvi. 58. *Marc. xiv.* 54. *Luc. xxii.* 54. εμακρυνας τους γνωστους μου απ' εμου. *Ps. lxxxvii.* 8. 4 *Reg. x.* 11. συνεισερχεσθαι αυτῳ απο του γυναικωνος. *Est. ii.* 13. γνωστος. *Neh. v.* 10.

16 Ὁ δε Πετρος εἱστηκει προς τῃ θυρᾳ εξω. εξηλθεν ουν ὁ μαθητης ὁ αλλος, ὁς ην γνωστος τῳ Αρχιερει, και ειπε τῃ θυρωρῳ, και εισηγαγε τον Πετρον.

εισηγαγε δε Ιωσηφ Ιακωβ τον πατερα αυτου. *Gen. xlvii.* 7. προς τῳ Λιβανῳ. *Jos. ix.* 1. ἡ θυρωρος του οικου. 2 *Reg. iv.* 6.

17 Λεγει ουν ἡ παιδισκη ἡ θυρωρος τῳ Πετρῳ, Μη και συ εκ των μαθητων ει του ανθρωπου τουτου; Λεγει εκεινος, Ουκ ειμι.

Conf. Matt. xxvi. 69. *Marc. xiv.* 67. *Luc. xxii.* 56.

18 Εἱστηκεισαν δε οἱ δουλοι και οἱ ὑπηρεται ανθρακιαν πεποιηκοτες, ὁτι ψυχος ην, και εθερμαινοντο· ην δε μετ' αυτων ὁ Πετρος ἑστως και θερμαινομενος.

ανθρακια. *Ps. cxix.* 4. *Aq. Conf. Ps. i.* 1.

19 Ὁ ουν Αρχιερευς ηρωτησε τον Ιησουν περι των μαθητων αυτου, και περι της διδαχης αυτου.

20 Απεκριθη αυτῳ ὁ Ιησους, Εγω παρῤῥησιᾳ ελαλησα τῳ κοσμῳ· εγω παντοτε εδιδαξα εν τῃ συναγωγῃ και εν τῳ ἱερῳ, ὁπου παντοτε οἱ Ιουδαιοι συνερχονται, και εν κρυπτῳ ελαλησα ουδεν.

τοτε στησεται εν παρρησιᾳ πολλῃ ὁ δικαιος. *Sap. v.* 1. εν δε πλατειαις παρῥησιαν αγει. *Prov. i.* 20. ουκ εν κρυφῃ λελακηκα. *Esa. xlv.* 19. *xlviii.* 16. *Conf. Luc. ii.* 46. *iv.* 15. *Col. ii.* 15.

21 Τι με επερωτᾳς; επερωτησον τους ακηκοοτας, τι ελαλησα αυτοις· ιδε, οὑτοι οιδασιν ἁ ειπον εγω.

ακηκοας. *Deut. iv.* 33. *Conf. Deut. xix.* 15-19.

22 Ταυτα δε αυτου ειποντος, εἱς των ὑπηρετων παρεστηκως εδωκε ῥαπισμα τῳ Ιησου, ειπων, Οὑτως αποκρινῃ τῳ Αρχιερει;

ὁ παρεστηκως Μωυσῃ. *Num. xi.* 28. εδωκα—τας σιαγονας μου εις ῥαπισματα. *Esa. l.* 6. *Conf. Jer. xx.* 2. 3 *Reg. xxii.* 24. *Mich. v.* 1.

23 Απεκριθη αυτῳ ὁ Ιησους, Ει κακως ελαλησα, μαρτυρησον περι του κακου· ει δε καλως, τι με δερεις;

ὑτι κακως ελαλησαν επι τα ἁγια σου. 1 *Mac. vii.* 42. και αρχοντα του λαου ου κακως ερεις. *Exod. xxii.* 28. *Conf. Deut. xxxi.* 21.

24 Απεστειλεν αυτον ὁ Αννας δεδεμενον προς Καϊαφαν τον Αρχιερεα.

Conf. Matt. xxvi. 57. *Marc. xiv.* 53. *Luc. xxii.* 54.

25 Ην δε Σιμων Πετρος ἑστως και θερμαινομενος· Ειπον ουν αυτῳ, Μη και συ εκ των μαθητων αυτου ει; Ηρνησατο εκεινος, και ειπεν, Ουκ ειμι.

ηρνησατο δε—και ειπε. *Gen. xviii.* 15. *Conf. Matt. xxvi.* 69. *Marc. xiv.* 66. *Luc. xxii.* 58. *Conf. Prov. xii.* 19. *xxix.* 25.

26 Λεγει εἱς εκ των δουλων του Αρχιερεως, συγγενης ων οὑ απεκοψε Πετρος το ωτιον, Ουκ εγω σε ειδον εν τῳ κηπῳ μετ' αυτου;

αποστειλατε εξ ὑμων ἑνα. *Gen. xlii.* 16. οἱ δουλοι και οἱ ἱερεις του Βααλ. 4 *Reg. x.* 19, 23. *Matt. xxvi.* 73.

27 Παλιν ουν ηρνησατο ὁ Πετρος, και ευθεως αλεκτωρ εφωνησεν.

28 Αγουσιν ουν τον Ιησουν απο του Καϊαφα εις το πραιτωριον. ην δε πρωϊα· και αυτοι ουκ εισηλθον εις το πραιτωριον, ἱνα μη μιανθωσιν, αλλ' ἱνα φαγωσι το πασχα.

ἱνα μη μιανθωσι. *Lev. v.* 3. *Conf. xxii.* 5. και εφαγον υἱοι Ισραηλ το πασχα. *Esd. vi.* 21. απο φυλακης πρωϊας. *Ps. cxxix.* 6. *Conf. Deut. xvi.* 2. *Ezech. xlv.* 21. [πραιτωρια βασιλικα. *Act. Thom.* § 3. το παλατιον. § 17, 18, 19.] *Conf. Matt. xxvii.* 1. *Marc. xv.* 1. *Mich. ii.* 1. *Jer. vii.* 3-11.

29 Εξηλθεν ουν ὁ Πιλατος προς αυτους, και ειπε, Τινα κατηγοριαν φερετε κατα του ανθρωπου τουτου;

κατηγοριαν ψευδη συστησασθαι καθ' ἡμων. *Gen. xliii.* 18.

30 Απεκριθησαν και ειπον αυτῳ, Ει μη ην οὑτος κακοποιος, ουκ αν σοι παρεδωκαμεν αυτον.

31 Ειπεν ουν αυτοις ὁ Πιλατος, Λαβετε αυτον ὑμεις, και κατα τον νομον ὑμων κρινατε αυτον. Ειπον ουν αυτῳ οἱ Ιουδαιοι, Ἡμιν ουκ εξεστιν αποκτειναι ουδενα·

κατα τον νομον. *Num. ix.* 3. *xii.* 14.

32 Ἱνα ὁ λογος του Ιησου πληρωθῃ, ὁν ειπε σημαινων ποιῳ θανατῳ ημελλεν αποθνησκειν.

Conf. Matt. xx. 19. *Marc. x.* 33. *Luc. xviii.* 32. ὁτι κεκατηραμενος

ὑπο Θεου πας κρεμαμενος επι ξυλου. *Deut. xxi.* 23. ωρυξαν χειρας μου και ποδας. *Ps. xxi.* 16. [ποιῳ θανατῳ αυτους αναλωσει. *Act. Thom. c.* 21.]

33 Εισηλθεν ουν εις το πραιτωριον παλιν ὁ Πιλατος, και εφω-
νησε τον Ιησουν και ειπεν αυτῳ, Συ ει ὁ βασιλευς των Ιουδαιων;

φωνησον αυτον προς με. *Tob. v.* 8. *Conf. Marc. xv.* 2. *Luc. xxiii.* 3. εγω δε κατεσταθην βασιλευς ὑπ' αυτου επι Σιων. *Ps. ii.* 6. επι τον θρονον Δαυιδ. *Esa. ix.* 7. και βασιλευσει βασιλευς. *Jer. xxiii.* 5. βασιλευς Ισραηλ. *Sophon. iii.* 15. ιδου ὁ βασιλευς σου. *Zach. ix.* 9. *Conf. Ose. iii.* 5.

34 Απεκριθη αυτῳ ὁ Ιησους, Αφ' ἑαυτου συ τουτο λεγεις, η αλ-
λοι σοι ειπον περι εμου;

35 Απεκριθη ὁ Πιλατος, Μητι εγω Ιουδαιος ειμι; το εθνος το
σον και οἱ Αρχιερεις παρεδωκαν σε εμοι· τι εποιησας;

τι πεποιηκε; (κακον). 1 *Reg. xx.* 32. παραπτωμα ουκ εποιησα. *Dan. vi.* 22. *Gen. iv.* 10. *Conf. Esd. iv.* 12. *Neh. iv.* 2.

36 Απεκριθη ὁ Ιησους, Ἡ βασιλεια ἡ εμη ουκ εστιν εκ του κοσ-
μου τουτου· ει εκ του κοσμου τουτου ην ἡ βασιλεια ἡ εμη, οἱ
ὑπηρεται αν οἱ εμοι ηγωνιζοντο, ἱνα μη παραδοθω τοις Ιουδαιοις·
νυν δε ἡ βασιλεια ἡ εμη ουκ εστιν εντευθεν.

ἡ βασιλεια σου βασιλεα παντων των αιωνων. *Ps. cxliv.* 13. *Dan. vii.* 14, 27. αγωνισασθαι δε γενναιως. 2 *Mac. viii.* 16. εδειξεν αυτῳ βασιλειαν Θεου, και εδωκεν αυτῳ γνωσιν ἁγιων. *Sap. x.* 10.

37 Ειπεν ουν αυτῳ ὁ Πιλατος, Ουκουν βασιλευς ει συ; Απεκ-
ριθη ὁ Ιησους, Συ λεγεις, ὁτι βασιλευς ειμι εγω. εγω εις τουτο
γεγεννημαι, και εις τουτο εληλυθα εις τον κοσμον, ἱνα μαρτυ-
ρησω τῃ αληθειᾳ. πας ὁ ων εκ της αληθειας, ακουει μου της
φωνης.

βασιλευς μεγας εγω ειμι. *Mal. i.* 14. *Ps. xlvi.* 6. ηκουσας της φωνης της γυναικος σου. *Gen. iii.* 17. τουτου γαρ χαριν γεννωνται. *Prov. xvii.* 17. δικαιος και αμεμπτος εγεννηθη εις χλευασμα. *Job. xii.* 4. *Conf.* 1 *Tim. vi.* 13. *Luc. i.* 32. 1 *Joan. iv.* 6.

38 Λεγει αυτῳ ὁ Πιλατος, Τι εστιν αληθεια; Και τουτο ειπων,
παλιν εξηλθε προς τους Ιουδαιους, και λεγει αυτοις, Εγω ουδε-
μιαν αιτιαν εὑρισκω εν αυτῳ.

δια τηνδε την αιτιαν τουσδε πεπτωκεναι. 2 *Mac. xii.* 40. και κριμα ουκ εστιν εν αυτῳ. *Dan. ix.* 26. *Conf. Matt. xxvii.* 18. *Marc. xv.* 14. *Luc. xxiii.* 22.

39 Εστι δε συνηθεια ὑμιν, ἱνα ἑνα ὑμιν απολυσω εν τῳ πασχα·
βουλεσθε ουν ὑμιν απολυσω τον βασιλεα των Ιουδαιων;

απολυων δε τους αιτιους. *Susan.* 53. 1 *Mac. x.* 29. [ἡ πατριος συνηθεια. *Jos. Ant. x.* 4. 5.] *Conf. Matt. xxvii.* 15. *Marc. xv.* 6. *Luc. xxiii.* 17. συνηθεια. *Prov. xvii.* 9. *Sym.* συνηθης. 2 *Mac. iii.* 31.

40 Εκραυγασαν ουν παλιν παντες, λεγοντες, Μη τουτον, αλλα
τον Βαραββαν· ην δε ὁ Βαραββας ληστης.

ὁτι ὁ λαος εκραυγασε φωνῃ μεγαλῃ. *Esd. iii.* 13. *Conf. Ps. lxviii.* 7, 26. *Act. iii.* 14. παρεδοθη εις θανατον ἡ ψυχη αυτου, και εν τοις ανομοις ελογισθη, κ. τ. λ. *Esa. liii.* 12. περιεκυκλωσαν με μοσχοι πολλοι, ταυροι πιονες περιεσχον με. Ηνοιξαν επ' εμε το στομα αυτων, κ. τ. λ. *Ps. xxi.* 12, 13. *Matt. xxvii.* 16. *Marc. xv.* 7.

ΚΕΦ. ιθ. 19.

ΤΟΤΕ ουν ελαβεν ὁ Πιλατος τον Ιησουν, και εμαστιγωσε.

επι τον νωτον μου ετεκταινον οἱ ἁμαρτωλοι, εμακρυναν την ανομιαν αυτων. *Ps. cxxviii.* 3. τον νωτον μου εδωκα εις μαστιγας. *Esa. l.* 6. *Conf. Ps. xxxiv.* 15. *xxi.* 6. *Matt. xxvii.* 26. *Marc. xv.* 15. [προς επιδειξιν αισχυνης προσταττει παντας περιδυθεντας αικισθηναι μαστιξιν, εἱς εθος τους κακουργους πονηροτατους προπηλακιζεσθαι. *Philo in Flac. p.* 975. τα μεν γαρ πρωτα των θεαματων αχρι τριτης ὡρας η τεταρτης εξ ἑωθινου ταυτα ην, Ιουδαιοι μαστιγουμενοι, κρεμαμενοι, τροχιζομενοι, καταδικαζομενοι, κ.τ.λ. *Ib.* 977.]

2 Και οἱ στρατιωται πλεξαντες στεφανον εξ ακανθων, επεθηκαν αυτου τῃ κεφαλῃ, και ἱματιον πορφυρουν περιεβαλον αυτον,

ὁ στεφανος της ελπιδος ὁ πλεκεις της δοξης. *Esa. xxviii.* 5. περιβεβλημενων αυτων ἱματισμον πορφυρουν. *Epist. Jer.* 12. και ποιησεις στεφανους, και επιθησεις επι την κεφαλην Ιησου του Ιωσεδεκ του ἱερεως του μεγαλου· και ερεις προς αυτον, Ταδε λεγει Κυριος παντοκρατωρ, Ιδου ανηρ. *Zach. vi.* 11, 12. *Conf. Matt. xxvii.* 29. *xxvi.* 67. *Marc. xiv.* 65. *Luc. xxii.* 63. *Ps. xxii.* 6.

3 Και ελεγον, Χαιρε, ὁ βασιλευς των Ιουδαιων· και εδιδουν αυτῳ ῥαπισματα.

χαιρε και ευφραινου θυγατερ Ιδουμαιας. *Thren. iv.* 21. τας δε σιαγονας μου εις ῥαπισματα (εδωκα). *Esa. l.* 6. *Mich. v.* 2. *Esa. liii.* 4, 5.

ἁγιασατε τον φαυλιζοντα την ψυχην αυτου, τον βδελυσσομενον ὑπο των εθνων των δουλων των αρχοντων. βασιλεις οψονται αυτον, και αναστησονται αρχοντες, και προσκυνησουσιν κ. τ. λ. *Esa. xlix.* 7.

4 Εξηλθεν ουν παλιν εξω ὁ Πιλατος, και λεγει αυτοις, Ιδε, αγω ὑμιν αυτον εξω, ἱνα γνωτε ὁτι εν αυτῳ ουδεμιαν αιτιαν εὑρισκω.

και κριμα ουκ εστιν εν αυτῳ. *Dan. ix.* 26.

5 Εξηλθεν ουν ὁ Ιησους εξω, φορων τον ακανθινον στεφανον, και το πορφυρουν ἱματιον. και λεγει αυτοις, Ιδε ὁ ανθρωπος.

απο φορουντος ὑακινθον και στεφανον. *Sir. xl.* 4. *Ps. lxxxvi.* 5. εφορεσε διαδημα. *xi.* 5. ιδου ανηρ, Ανατολη ονομα αυτῳ. *Zach. vi.* 12. ιδου ὁ Θεος ἡμων. *Esa. xl.* 9. *Thren. i.* 12.

6 Ὁτε ουν ειδον αυτον οἱ Αρχιερεις και οἱ ὑπηρεται, εκραυγασαν λεγοντες, Σταυρωσον, σταυρωσον. Λεγει αυτοις ὁ Πιλατος, Λαβετε αυτον ὑμεις και σταυρωσατε· εγω γαρ ουχ εὑρισκω εν αυτῳ αιτιαν.

ειπε δε ὁ βασιλευς, Σταυρωθητω επ᾽ αυτου. *Est. vii.* 9. *Conf. Act. iii.* 13. *Matt. xxvii.* 23.

7 Απεκριθησαν αυτῳ οἱ Ιουδαιοι, Ἡμεις νομον εχομεν, και κατα τον νομον ἡμων οφειλει αποθανειν, ὁτι ἑαυτον υἱον του Θεου εποιησεν.

κατα—τα γεγραμμενα εν τῳ νομῳ Μωυση. *Jos. ix.* 34. πλην ὁ προφητης ὁς αν ασεβηση λαλησαι επι τῳ ονοματι μου ῥημα ὁ ου προσεταξα λαλησαι—αποθανειται ὁ προφητης εκεινος. *Deut. xviii.* 20. επαγγελλεται γνωσιν εχειν Θεου, και παιδα Κυριου ἑαυτον ονομαζει. *Sap. ii.* 13. *Conf. cap. viii.* 58. *x.* 30, 31. ανθρωπος ὁς εαν καταρασηται Θεον, ἁμαρτιαν ληψεται· ονομαζον το ονομα Κυριου, θανατῳ θανατουσθω. *Lev. xxiv.* 15, 16. *Matt. xxvi.* 63-65.

8 Ὁτε ουν ηκουσεν ὁ Πιλατος τουτον τον λογον, μαλλον εφοβηθη,

9 Και εισηλθεν εις το πραιτωριον παλιν, και λεγει τῳ Ιησου, Ποθεν ει συ; Ὁ δε Ιησους αποκρισιν ουκ εδωκεν αυτῳ.

δος μοι αποκρισιν. *Job. xxxiii.* 5. και ειπε Δαυιδ τῳ παιδαριῳ—ποθεν ει συ; 2 *Reg. i.* 13. *Jos. ix.* 8. *Conf. Esa. liii.* 7. *Act. viii.* 32.

10 Λεγει ουν αυτῳ ὁ Πιλατος, Εμοι ου λαλεις; ουκ οιδας ὁτι εξουσιαν εχω σταυρωσαι σε, και εξουσιαν εχω απολυσαι σε;

λαλεις (*respondes*). *Job.* *xix.* 7. εξουσιαν εν ανθρωποις εχων. 2 *Mac.* *vii.* 16. 1 *Mac.* *x.* 35. απολυων δε τους αιτιους. *Susan.* 53. απεχε απο ανθρωπου ὁς εχει εξουσιαν του φονευειν. *Sir.* *ix.* 13. εν χειρι αυτου ψυχη παντων ζωντων, και πνευμα παντος ανθρωπου. *Job.* *xii.* 10.

11 Απεκριθη ὁ Ιησους, Ουκ ειχες εξουσιαν ουδεμιαν κατ᾽ εμου, ει μη ην σοι δεδομενον ανωθεν· δια τουτο ὁ παραδιδους με σοι μειζονα ἁμαρτιαν εχει.

ανωθεν (*e cælo*). *Job.* *iii.* 4. *Conf.* *cap.* *iii.* 31. *Jac.* *i.* 17. ανομιας μειζονας. *Ezech.* *viii.* 6. *Luc.* *xxii.* 53. δια τουτο. *Matt.* *xiii.* 52. *Jud.* *viii.* 7.

12 Εκ τουτου εζητει ὁ Πιλατος απολυσαι αυτον. Οἱ δε Ιουδαιοι εκραζον λεγοντες, Εαν τουτον απολυσῃς, ουκ ει φιλος του Καισαρος. πας ὁ βασιλεα αὑτον ποιων, αντιλεγει τῳ Καισαρι.

και αρξει, και ουκ εσται ὁ αντιλεγων. *Esa.* *xxii.* 22. *l.* 5. [αυτους φιλους ειναι Καισαρος παρεκαλει. *Jos.* *Ant.* *xiv.* 8. 1.]

13 Ὁ ουν Πιλατος ακουσας τουτον τον λογον, ηγαγεν εξω τον Ιησουν, και εκαθισεν επι του βηματος, εις τοπον λεγομενον Λιθοστρωτον, Ἑβραϊστι δε Γαββαθα.

προσηλθεν επι το βημα Λυσιας. 2 *Mac.* *xiii.* 26. και επεσον επι προσωπον επι την γην επι το λιθοστρωτον. 2 *Par.* *vii.* 3. [Λιθοστρωτον. *Conf.* *Jos.* *Bell.* *Jud.* *vi.* 1. 8. τῃ δε ἑξης ὁ Πιλατος καθισας επι βηματος εν τῳ μεγαλῳ σταδιῳ, και προσκαλεσαμενος το πληθος κ. τ. λ. *ii.* 9. 3.]

14 Ην δε παρασκευη του πασχα, ὡρα δε ὡσει ἑκτη· και λεγει τοις Ιουδαιοις, Ιδε, ὁ βασιλευς ὑμων.

ὡσει ὡραν θυσιας ἑσπερινης. *Dan.* *ix.* 21. *iv.* 16. *Conf.* *Marc.* *xv.* 42. [εν σαββασιν, η τῃ προ ταυτης παρασπευῃ. *Jos.* *Ant.* *xvi.* 6. 2.]

15 Οἱ δε εκραυγασαν, Αρον, αρον, σταυρωσον αυτον. Λεγει αυτοις ὁ Πιλατος, Τον βασιλεα ὑμων σταυρωσω; Απεκριθησαν οἱ αρχιερεις, Ουκ εχομεν βασιλεα ει μη Καισαρα.

ουκ εκλειψει αρχων εξ Ιουδα, και ἡγουμενος εκ των μηρων αὑτου, ἑως αν κ. τ. λ. *Gen.* *xlix.* 10. και εβουλευσαντο του αραι το γενος Ιακωβ κ. τ. λ. 1 *Mac.* *v.* 2. *Conf.* 1 *Reg.* *xii.* 12.

16 Τοτε ουν παρεδωκεν αυτον αυτοις, ἱνα σταυρωθῃ. Παρελαβον δε τον Ιησουν και απηγαγον·

ανθ' ὡν παρεδοθη εις θανατον ἡ ψυχη αυτου. *Esa. liii.* 12. *Conf. Matt. xxvii.* 33. *Marc. xv.* 22. *Luc. xxiii.* 33.

17 Και βασταζων τον σταυρον αὑτου, εξηλθεν εις τον λεγομε-
νον Κρανιου τοπον, ὁς λεγεται Ἑβραϊστι Γολγοθα·

ὁ εαν επιθης επ' εμε, βαστασω. 4 *Reg. xviii.* 14. *Sir. vi.* 25. *Conf. Deut. xxi.* 22, 23. *Esa. liii.* 4. *Heb. xiii.* 12. *Num. xv.* 35. *Act. vii.* 58. και εξηγαγον αυτον εξω της πολεως, και ελιθοβολησαν αυτον εν λιθοις, και απεθανε. 3 *Reg. xx.* 13.

18 Ὁπου αυτον εσταυρωσαν, και μετ' αυτου αλλους δυο εν-
τευθεν και εντευθεν, μεσον δε τον Ιησουν.

εἱς εντευθεν—και εἱς εντευθεν. *Dan. xii.* 5. *Conf. Ps. xxi.* 16. *lxviii.* 26. *Esa. liii. Zach. xii. xiii.* 6. *Matt. xxvii.* 38.

19 Εγραψε δε και τιτλον ὁ Πιλατος, και εθηκεν επι του σταυ-
ρου· ην δε γεγραμμενον, ΙΗΣΟΥΣ Ο ΝΑΖΩΡΑΙΟΣ Ο ΒΑ-
ΣΙΛΕΥΣ ΤΩΝ ΙΟΥΔΑΙΩΝ.

20 Τουτον ουν τον τιτλον πολλοι ανεγνωσαν των Ιουδαιων, ὁτι
εγγυς ην της πολεως ὁ τοπος, ὁπου εσταυρωθη ὁ Ιησους· και
ην γεγραμμενον Ἑβραϊστι, Ἑλληνιστι, Ῥωμαϊστι.

Ιουδαϊστι. 4 *Reg. xviii.* 28. [τιτλος· πτυχιον επιγραμμα εχον. *Hesych.*] *Matt. xxvii.* 37.

21 Ελεγον ουν τῳ Πιλατῳ οἱ Αρχιερεις των Ιουδαιων, Μη γρα-
φε, Ὁ βασιλευς των Ιουδαιων· αλλ' ὁτι εκεινος ειπε, Βασιλευς
ειμι των Ιουδαιων.

22 Απεκριθη ὁ Πιλατος, Ὁ γεγραφα, γεγραφα.

εγω μεν γαρ καθαπερ ητεκνωμαι, ητεκνωμαι. *Gen. xliii.* 14. γεγραφα τα ὑπογεγραμμενα. 2 *Mac. ix.* 25.

23 Οἱ ουν στρατιωται, ὁτε εσταυρωσαν τον Ιησουν, ελαβον τα
ἱματια αυτου, (και εποιησαν τεσσαρα μερη, ἑκαστῳ στρατι-
ωτῃ μερος,) και τον χιτωνα. ην δε ὁ χιτων αρῤαφος, εκ των
ανωθεν ὑφαντος δι' ὁλου.

ὑφαντου. *Exod. xxviii.* 28. και ἱματιον εκ δυο ὑφασμενον. *Lev. xix.* 19. ὁλον ὑακινθινον. *Exod. xxviii.* 27. *Conf. Matt. xxvii.* 35. *Marc. xv.* 24. *Luc. xxiii.* 34. [*Conf. Jos. Ant. iii.* 7. 4.]

24 Ειπον ουν προς αλληλους, Μη σχισωμεν αυτον, αλλα λα-
χωμεν περι αυτου, τινος εσται· ἱνα ἡ γραφη πληρωθῃ, ἡ λεγου-
σα, Διεμερισαντο τα ἱματια μου ἑαυτοις, και επι τον ἱματισ-

μον μου εβαλον κληρον. Οἱ μεν ουν στρατιωται ταυτα εποιησαν·

εσχισε τα ἱματια. *Esa. xxxvii.* 1. διεμερισαντο τα ἱματια μου ἑαυτοις, και επι τον ἱματισμον μου εβαλον κληρον. *Ps. xxi.* 18. *Conf. Exod. xxxix.* 27. *CITAT.* 102.

25 Εἱστηκεισαν δε παρα τῳ σταυρῳ του Ιησου ἡ μητηρ αυτου, και ἡ αδελφη της μητρος αυτου, Μαρια ἡ του Κλωπα, και Μαρια ἡ Μαγδαληνη.

εἱστηκεισαν δε οἱ ἱερεις οἱ αιροντες την κιβωτον. *Jos. iv.* 10. *Dan. xii.* 5.

26 Ιησους ουν ιδων την μητερα, και τον μαθητην παρεστωτα ὁν ηγαπα, λεγει τῃ μητρι αὑτου, Γυναι, ιδου, ὁ υἱος σου.

Conf. cap. xiii. 23. *Cant. viii.* 7. *Matt. xii.* 50. *Job. xxxi.* 18.

27 Ειτα λεγει τῳ μαθητῃ, Ιδου, ἡ μητηρ σου. Και απ᾽ εκεινης της ὡρας ελαβεν αυτην ὁ μαθητης εις τα ιδια.

εις τα ιδια (οικηματα). *Ita,* 3 *Esd. v.* 47. *vi.* 32. 3 *Mac. vi.* 27. και εισελθων εις τα ιδια. *Est. v.* 10. *vi.* 12. και εποιησε με ὡς πατερα Φαραω. *Gen. xlv.* 8. 2 *Reg. xii.* 3.

28 Μετα τουτο ειδως ὁ Ιησους ὁτι παντα ηδη τετελεσται, ἱνα τελειωθῃ ἡ γραφη, λεγει, Διψω.

μετα τουτο. *Gen. x.* 18. *Lev. xiv.* 19. ἱνα τελειωθῃ ἡ ευλογια σου. *Sir. vii.* 32. *Esd. i.* 1. εις τελειωσιν των λογων. *Judith. x.* 9. εις αναπληρωσιν συντελειας. *Dan. xii.* 13. *Luc. i.* 45. *Conf. Ps. lxviii.* 20-28. [τελειωσαι προθεσιν. *Act. Thom. c.* 10.] εξηρανθη ὡσει οστρακον ἡ ισχυς μου, και ἡ γλωσσα μου κεκολληται τῳ λαρυγγι μου, κ. τ. λ. *Ps. xxi.* 15.

29 Σκευος ουν εκειτο οξους μεστον· οἱ δε πλησαντες σπογγον οξους, και ὑσσωπῳ περιθεντες, προσηνεγκαν αυτου τῳ στοματι.

Conf. Matt. xxvii. 48. εδωκαν εις το βρωμα μου χολην, και εις την διψαν μου εποτισαν με οξος. *Ps. lxviii.* 21. περιθου δε αυτους σοις δακτυλοις. *Prov. vii.* 3. *Conf. Ps. xxxix.* 8, 9. (προσφερειν τροφην. *Jos. Ant. vii.* 7. 4.)

30 Ὁτε ουν ελαβε το οξος ὁ Ιησους, ειπε, Τετελεσται· και κλινας την κεφαλην, παρεδωκε το πνευμα.

ἑως αν τελεσθῃ ὁσα αν ηθελησα. *Esa. lv.* 11. τετελεσται λογος και ἡ αποκρισις. *Esd. vii.* 12. *Alex. Ald. Comp. Conf. Dan. ix.* 24. Γεγονε. *Apoc. xvi.* 17. εν εξοδῳ πνευματος αυτου. *Sir. xxxviii.* 23. και

το πνευμα επιστρεψῃ προς τον Θεον. *Eccles. xii.* 7. *Conf. Matt. xxvii.* 50. βιου—ὁν πιστη θανατου σφραγις ετελειωσε. 4 *Mac.* 7.

31 Οἱ ουν Ιουδαιοι, ἱνα μη μεινῃ επι του σταυρου τα σωματα
εν τῳ σαββατῳ, επει παρασκευη ην· (ην γαρ μεγαλη ἡ ἡμερα
εκεινη του σαββατου·) ηρωτησαν τον Πιλατον, ἱνα κατεα-
γωσιν αυτων τα σκελη, και αρθωσιν.

ου κοιμηθησεται το σωμα αυτου επι του ξυλου, αλλα ταφῃ θαψετε αυτο εν τῃ ἡμερᾳ εκεινῃ, κ. τ. λ. *Deut. xxi.* 23. και τα σαββατα, και ἡμεραν μεγαλην. *Esa. i.* 13. κατεαγωσιν. *Jer. xxxi.* 25. *Ps. l.* 17. *Sym. cxlvi.* 3. *alii.* σκελη. *Lev. xi.* 21. *Amos. iii.* 12. παρασκευη. *Vide sup.* 14. *Marc. xv.* 42. *Conf. Matt. xxvii.* 58.

32 Ηλθον ουν οἱ στρατιωται, και του μεν πρωτου κατεαξαν τα
σκελη και του αλλου του συσταυρωθεντος αυτῳ·

33 Επι δε τον Ιησουν ελθοντες, ὡς ειδον αυτον ηδη τεθνηκοτα,
ου κατεαξαν αυτου τα σκελη·

34 Αλλ' εἱς των στρατιωτων λογχῃ αυτου την πλευραν ενυξε,
και ευθυς εξηλθεν αἱμα και ὑδωρ.

λογχη. *Jud. v.* 8. *Conf.* 1 *Joan. v.* 6. ενυξε. *Sir. xxii.* 19.

35 Και ὁ ἑωρακως μεμαρτυρηκε, και αληθινη αυτου εστιν ἡ
μαρτυρια, κακεινος οιδεν ὁτι αληθη λεγει, ἱνα ὑμεις πιστευ-
σητε.

36 Εγενετο γαρ ταυτα, ἱνα ἡ γραφη πληρωθῃ, Οστουν ου συν-
τριβησεται αυτου.

αυτος δε ετραυματισθη δια τας ἁμαρτιας ἡμων, και μεμαλακισται δια τας ανομιας ἡμων, κ.τ.λ. *Esa. liii.* 5. εξηριθμησαν παντα τα οστα μου. *Ps. xxi.* 17. φυλασσει παντα τα οστα αυτων, ἑν εξ αυτων ου συντριβησεται. *Ps. xxxiii.* 20. οστουν ου συντριψουσιν απ' αυτου. *Num. ix.* 12. και οστουν ου συντριβησεται απ' αυτου. *Exod. xii.* 46. *Comp. CITAT.* 103.

37 Και παλιν ἑτερα γραφη λεγει, Οψονται εις ὁν εξεκεντησαν.

και επιβλεψονται προς με ανθ' ὡν κατωρχησαντο. *Zach. xii.* 10. και επιβλεψονται προς με ὁν εξεκεντησαν. *Theod. Ald.* εις ὁν εξεκεντησαν. *alii.* ὡρυξαν χειρας μου και ποδας. *Ps. xxi.* 16. [οψονται εις ὁν εξεκεντησαν. *Ignat. Epist. Trall.* § 10. *Just. Mart.* 1 *Apolog. i.* 77. *Edit. Thirl.* οψονται αυτον. *Barnab. Epist.* § 7. *Videbunt in quem compunxerunt. Iren. adv. Her. lib. iv. c.* 66. *cognoscent eum, quem pupugerunt. Tertul. ad Jud.* § 14. συν ᾧ εξεκεντησαν, και κοψονται

αυτον. Aq. Conf. Apoc. i. 7. Esa. liii. 4. [*κατωρχησαντο· κατεχαρησαν. ενεπαιξαν. Suid. Phav.*]

38 Μετα δε ταυτα ηρωτησε τον Πιλατον ὁ Ιωσηφ ὁ απο Αριμαθαιας, (ων μαθητης του Ιησου, κεκρυμμενος δε δια τον φοβον των Ιουδαιων,) ἱνα αρῃ το σωμα του Ιησου· και επετρεψεν ὁ Πιλατος. ηλθεν ουν και ηρε το σωμα του Ιησου.

μετα δε ταυτα. Gen. xv. 14. *xxiii.* 19. *και καθειλον το σωμα αυτου απο του ξυλου. Jos. viii.* 29. *Alex. O. Ald. Comp. δια τον φοβον των Ιουδαιων. Est. viii.* 17. *και ηρεν ὁ προφητης το σωμα—του θαψαι αυτον εν τῳ ταφῳ ἑαυτου.* 3 *Reg. xiii.* 29. *Conf. Matt. xxvii.* 57. *Marc. xv.* 42. *Luc. xxiii.* 50.

39 Ηλθε δε και Νικοδημος, (ὁ ελθων προς τον Ιησουν νυκτος το πρωτον,) φερων μιγμα σμυρνης και αλοης ὡσει λιτρας ἑκατον.

και δωσω τους πονηρους αντι της ταφης αυτου, και τους πλουσιους αντι του θανατου αυτου, κ. τ. λ. Esa. liii. 9. *σμυρνα. Ps. xliv.* 8. *μιγμα. Sir. xxxviii.* 8. *Conf. Gen. l.* 2.

40 Ελαβον ουν το σωμα του Ιησου, και εδησαν αυτο οθονιοις μετα των αρωματων, καθως εθος εστι τοις Ιουδαιοις ενταφιαζειν.

και εθαψαν αυτον εν τῳ μνηματι, ᾡ ωρυξεν—και εκοιμισαν αυτον επι της κλινης, και επλησαν αρωματων, και γενη μυρων μυρεψων, κ. τ. λ. 2 *Par. vi.* 14. *ὡς εθος εστι.* 1 *Mac. x.* 89. *κατα τα επι των προγονων αυτων εθη.* 2 *Mac. xi.* 25. *και προσεταξεν—ενταφιασαι τον πατερα αυτου. Gen. l.* 2, 3. *περιστειλον το σωμα αυτου, και μη ὑπεριδῃς την ταφην αυτου. Sir. xxxviii.* 16. *και εις χουν θανατου κατηγαγες με. Ps. xxi.* 15.

41 Ην δε εν τῳ τοπῳ, ὁπου εσταυρωθη, κηπος, και εν τῳ κηπῳ μνημειον καινον, εν ᾡ ουδεπω ουδεις ετεθη.

και εθαψαν αυτον—εν τῳ κηπῳ. 4 *Reg. xxi.* 25. *και εθηκαν εν τῃ σορῳ. Gen. l.* 26. *Conf. Num. xx.* 28. *Jos. xxiv.* 33.

42 Εκει ουν δια την παρασκευην των Ιουδαιων, ὁτι εγγυς ην το μνημειον, εθηκαν τον Ιησουν.

Conf. v. 31. *τι συ ὡδε, και τι σοι εστιν ὡδε; ὁτι ελατομησας σεαυτῳ ὡδε μνημειον, κ. τ. λ. Esa. xxii.* 16.

ΚΕΦ. κ. 20.

ΤΗ δε μια των σαββατων Μαρια ἡ Μαγδαληνη ερχεται
πρωϊ, σκοτιας ετι ουσης, εις το μνημειον· και βλεπει τον
λιθον ηρμενον εκ του μνημειου.

και εγενετο πρωϊ, ἡμερα μια. Gen. i. 5. Conf. Matt. xxviii. 1. Marc. xvi. 1. Luc. xxiv. 1. σκοτια. Job. xxviii. 3. [σκοτος, Αττικως· σκοτια, Ἑλληνικως. Moeris.]

2 Τρεχει ουν και ερχεται προς Σιμωνα Πετρον και προς τον
αλλον μαθητην ὁ εφιλει ὁ Ιησους, και λεγει αυτοις, Ηραν τον
Κυριον εκ του μνημειου, και ουκ οιδαμεν που εθηκαν αυτον.

αυτον ὁ πατηρ φιλει εκ παντων των υἱων αυτου. Gen. xxxvii. 4.

3 Εξηλθεν ουν ὁ Πετρος και ὁ αλλος μαθητης, και ηρχοντο εις
το μνημειον.

Conf. Luc. xxiv. 12.

4 Ετρεχον δε οἱ δυο ὁμου· και ὁ αλλος μαθητης προεδραμε τα-
χιον του Πετρου, και ηλθε πρωτος εις το μνημειον,

ταχιον. Sap. xiii. 9. προεδραμωμεν εμπροσθεν της γυναικος σου, κ. τ. λ. Tob. xi. 3. τον τουτων δεσποτην πως ταχιον ουχ εὑρον; Sap. xiii. 9. πασα ἡ εκκλησια ὁμου. Esd. ii. 6. 1 Mac. ii. 40. [θαττον· Αττικως· ταχιον, Ἑλληνικως. Phrynic. Moeris. Phav.]

5 Και παρακυψας βλεπει κειμενα τα οθονια, ου μεντοι εισ-
ηλθεν.

και παρακυψας Αβιμελεχ.—δια της θυριδος ειδε τον Ισαακ. Gen. xxvi. 8. Conf. cap. xix. 40. Luc. xxiv. 12.

6 Ερχεται ουν Σιμων Πετρος ακολουθων αυτῳ, και εισηλθεν εις
το μνημειον, και θεωρει τα οθονια κειμενα,

7 Και το σουδαριον ὁ ην επι της κεφαλης αυτου, ου μετα των
οθονιων κειμενον, αλλα χωρις εντετυλιγμενον εις ἑνα τοπον.

Conf. cap. xi. 44. Luc. xix. 20. εις pro εν. Marc. ii. 1.

8 Τοτε ουν εισηλθε και ὁ αλλος μαθητης ὁ ελθων πρωτος εις
το μνημειον, και ειδε, και επιστευσεν·

επιστευσα, διο ελαλησα. Ps. cxv. 10. Infra. 25. 29.

9 Ουδεπω γαρ ῃδεισαν την γραφην, ὁτι δει αυτον εκ νεκρων
αναστηναι.

αναστησονται οἱ νεκροι. Esa. xxvi. 19. ὁ εγειρας νεκρον εκ θανατου. Sir. xlviii. 5. ὁτι ουκ εγκαταλειψεις την ψυχην μοι εις ᾀδην, ουδε δωσεις τον ὁσιον σου ιδειν διαφθοραν. Ps. xv. 10. συ γαρ ει Θεος, και ουκ ηδειμεν, ὁ Θεος του Ισραηλ σωτηρ. Esa. xlv. 15. ἁ δει γενεσθαι. Dan. ii. 28, 29. Conf. Luc. xxiv. 25, 26.

10 Απηλθον ουν παλιν προς ἑαυτους οἱ μαθηται.

και απελθωμεν ἡμεις καθ' ἑαυτους. 1 Reg. xxvi. 11, 12. Num. xxiv. 25.

11 Μαρια δε εἱστηκει προς το μνημειον κλαιουσα εξω. ὡς ουν
εκλαιε, παρεκυψεν εις το μνημειον,

εις τας πλατειας παρακυπτουσα. Prov. vii. 6. Conf. Marc. xvi. 5.

12 Και θεωρει δυο αγγελους εν λευκοις καθεζομενους, ἑνα προς
τῃ κεφαλῃ, και ἑνα προς τοις ποσιν, ὁπου εκειτο το σωμα του
Ιησου.

κατεπενθησεν εν πενθικοις. Exod. xxxiii. 4. εφανη—εφιππος εν λευκῃ εσθητι, πανοπλιαν. 2 Mac. xi. 8. και το ενδυμα αυτου λευκον ὡσει χιων. Dan. vii. 9. Conf. Matt. xxviii. 3. Luc. xxiv. 4. εἱς—εἱς. Dan. xii. 5. Conf. Dan. vii. 9. και ελαβεν απο των λιθων του τοπου, και εθηκη προς κεφαλης αυτου. Gen. xxviii. 11.

13 Και λεγουσιν αυτῃ εκεινοι, Γυναι, τι κλαιεις; Λεγει αυτοις,
ὁτι, Ηραν τον Κυριον μου, και ουκ οιδα που εθηκαν αυτον.

εζητησα ὁν ηγαπησεν ἡ ψυχη μου· εζητησα αυτον, και ουχ εὑρον αυτον· εκαλεσα αυτον, και ουχ ὑπηκουσε μου. Cant. iii. 1, 2. και ειπεν, Οτι. Gen. xxix. 33. Jos. ii. 24.

14 Και ταυτα ειπουσα εστραφη εις τα οπισω, και θεωρει τον
Ιησουν ἑστωτα· και ουκ ῃδει ὁτι ὁ Ιησους εστι.

και επεστρεψεν ἡ σκια—εις τα οπισω. 4 Reg. xx. 11. Ose. xi. 3. Ps. cxiii. 3. Conf. Marc. xvi. 9. Luc. xxiv. 16.

15 Λεγει αυτῃ ὁ Ιησους, Γυναι, τι κλαιεις; τινα ζητεις; Εκεινη
δοκουσα ὁτι ὁ κηπουρος εστι, λεγει αυτῳ, Κυριε, ει συ εβαστασας
αυτον, ειπε μοι που αυτον εθηκας· καγω αυτον αρω.

ηρωτησε δε αυτον ὁ ανθρωπος, λεγων, τι ζητεις; ὁ δε ειπε, τους αδελφους μου ζητω. Gen. xxxvii. 15, 16. Cant. iii. 3, 4.

16 Λεγει αυτῃ ὁ Ιησους, Μαρια. Στραφεισα εκεινη λεγει αυτῳ, Ῥαββουνι· ὁ λεγεται, Διδασκαλε.

17 Λεγει αυτῃ ὁ Ιησους, Μη μου ἁπτου, ουπω γαρ αναβεβηκα προς τον πατερα μου· πορευου δε προς τους αδελφους μου, και ειπε αυτοις, Αναβαινω προς τον πατερα μου και πατερα ὑμων, και Θεον μου και Θεον ὑμων.

εαν αναβωσιν εις τον ουρανον. Amos. ix. 2. Esa. xiv. 13, 14. *αναβας εις ὑψος, κ. τ. λ. Ps. lxvii.* 18. *Jud. xiii.* 20. *Prov. xxx.* 4. *ὁ βασιλευς μου και ὁ Θεος μου. Ps. v.* 2. *αναβαινω προς τον αποστειλαντα με. Tob. xii.* 20. *διηγησομαι το ονομα σου τοις αδελφοις μου, εν μεσῳ εκκλησιας ὑμνησω σε. Ps. xxi.* 22. *ειπεν ὁ* Κυριος *τῳ* Κυριῳ *μου. cix.* 1. *Conf. Heb. ii.* 11-13. *Esa. viii.* 18. *Rom. viii.* 29. *και ερω,* Λαος *μεν οὑτος εστι· και αυτος ερει,* Κυριος *ὁ* Θεος *μου. Zach. xiii.* 9. *Conf. cap. iii.* 13.

18 Ερχεται Μαρια ἡ Μαγδαληνη απαγγελλουσα τοις μαθηταις, ὁτι ἑωρακε τον Κυριον, και ταυτα ειπεν αυτῃ.

19 Ουσης ουν οψιας, τῃ ἡμερᾳ εκεινῃ τῃ μιᾳ των σαββατων, και των θυρων κεκλεισμενων, ὁπου ησαν οἱ μαθηται συνηγμενοι, δια τον φοβον των Ιουδαιων, ηλθεν ὁ Ιησους και εστη εις το μεσον, και λεγει αυτοις, Ειρηνη ὑμιν.

ειρηνη σοι. Jud. vi. 23. *μη φοβου—ειρηνη σοι. Dan. x.* 19. *Conf.* 4 *Reg. iv.* 4. *Esa. xxvi.* 20. *Tob. xii.* 16, 17. *Conf. Marc. xvi.* 14. *Luc. xxiv.* 36. 1 *Cor. xv.* 5. *ὑγιασει ἡμας μετα δυο ἡμερας· εν τῃ ἡμερᾳ τῃ τριτῃ εξαναστησομεθα, κ. τ. λ. Ose. vi.* 3. *και προσκυνησατε αυτῳ. παντες αγγελοι αυτου. Ps. xcvi.* 7.

20 Και τουτο ειπων εδειξεν αυτοις τας χειρας και την πλευραν αὑτου. εχαρησαν ουν οἱ μαθηται ιδοντες τον Κυριον.

ιδοντες δε οἱ εν Σουσοις *εχαρησαν. Est. ix.* 15. *και εχαρη ὁτι επεσκεψατο ὁ* Θεος *τους υἱους* Ισραηλ. *Exod. iv.* 31. *τι αἱ πληγαι αὑται αναμεσον των χειρων σου; κ. τ. λ. Zach. xiii.* 6.

21 Ειπεν ουν αυτοις ὁ Ιησους παλιν, Ειρηνη ὑμιν· καθως απεσταλκε με ὁ πατηρ, καγω πεμπω ὑμας.

ὁ Θεος*—απεσταλκε με. Exod. iii.* 13, 14, 15. *et pass. Jer. xxvi.* 5.

22 Και τουτο ειπων ενεφυσησε και λεγει αυτοις, Λαβετε Πνευμα ἁγιον.

λαβε—ανθρωπον ὁς εχει πνευμα εν ἑαυτῳ. Num. xxvii. 18. *ὁτι πνευμα* Θεου *ἁγιον εν σοι. Dan. iv.* 5, 6. *Conf.* 3 *Reg. xvii.* 21. *Act. ii.* 4. 8. *μη εὑρησομεν ανθρωπον τοιουτον, ὁς εχει πνευμα* Θεου *εν αυτῳ; Gen. xli.* 38. *πνευμα θειον το ποιησαν με, πνοη δε παντοκρατορος ἡ διδασκουσα με. Job. xxxiii.* 4. *Conf. Ps. xxxii.* 6. *Ezech. xxxvii.* 9. [*και ενεφυσεν εις το προσωπον αυτου, και εγενετο ὁ ανθρωπος εις ψυχην ζωσαν. Gen. ii.* 7. *Citat Philo, lib.* 1. *Alleg. p.* 35, 36. *lib. ii. p.* 69. *το γαρ "ενεφυσησεν" ουδεν ην ἑτερον η πνευμα θειον. Ib. T. i. p.* 32. *Conf. Horneman. Spec. ii. p.* 95-97.]

23 Αν τινων αφητε τας ἁμαρτιας, αφιενται αυτοις· αν τινων
κρατητε, κεκρατηνται.

και αφες πασας τας ἁμαρτιας μου. *Ps. xxiv.* 18. και εξιλασεται περι αυτων ὁ ἱερευς, και αφεθησεται αυτοις ἡ ἁμαρτια. *Lev. iv.* 20. *Conf. Matt. xvi.* 19. *xviii.* 18. *Marc. xvi.* 15, 16. *Luc. xxiv.* 47. *Act. ii.* 38. 1 *Cor. v.* 3. 1 *Tim. i.* 20. εκρατησα αυτον, και ουκ αφηκα αυτον. *Cant. iii.* 4. και ενδυσω αυτον την στολην σου και τον στεφανον σου—και αρξει, και ουκ εσται ὁ αντιλεγων· και δωσω αυτῳ την κλειδα κ. τ. λ. *Esa. xxii.* 21, 22.

24 Θωμας δε, εἱς εκ των δωδεκα, ὁ λεγομενος Διδυμος, ουκ ην
μετ᾽ αυτων ὁτε ηλθεν ὁ Ιησους.

25 Ελεγον ουν αυτῳ οἱ αλλοι μαθηται, Ἑωρακαμεν τον Κυριον.
Ὁ δε ειπεν αυτοις, Εαν μη ιδω εν ταις χερσιν αυτου τον τυπον
των ἡλων, και βαλω τον δακτυλον μου εις τον τυπον των ἡλων,
και βαλω την χειρα μου εις την πλευραν αυτου, ου μη πιστευσω.

Θεον ἑωρακαμεν. *Jud. xiii.* 22. *O. Ald. Comp.* ηλος. *Jer. x.* 4. ωρυξαν χειρας μου και ποδας. *Ps. xxi.* 16. εαν τε καλεσω και μη ὑπακουσῃ, ου πιστευω ὁτι εισακηκοε μου της φωνης. *Job. ix.* 16. ἁ εγω εμαυτῳ συνεπισταμαι, ἁ ὁ οφθαλμος μου ἑωρακε, και ουκ αλλος. *Job. xix.* 27. και αυτος ερει, Κυριος ὁ Θεος μου. *Zach. xiii.* 9.

26 Και μεθ᾽ ἡμερας οκτω παλιν ησαν εσω οἱ μαθηται αυτου,
και Θωμας μετ᾽ αυτων. ερχεται ὁ Ιησους, των θυρων κεκλεισμενων, και εστη εις το μεσον και ειπεν, Ειρηνη ὑμιν.

οἱ ησαν εσω εν τῳ οικῳ. *Ezech. ix.* 6. *Gen. xxxix.* 11. εγενετο δε μετα τριμηνον. *Gen. xxxviii.* 24. εις το μεσον. 3 *Reg. vi.* 8.

27 Ειτα λεγει τῳ Θωμᾳ, Φερε τον δακτυλον σου ὡδε, και ιδε
τας χειρας μου· και φερε την χειρα σου, και βαλε εις την
πλευραν μου· και μη γινου απιστος, αλλα πιστος.

[φερε, *agedum. Conf. Jos. Ant. iv.* 8. 2.] *Conf. Ps. lxxvii.* 37. *cii.* 13.

28 Και απεκριθη ὁ Θωμας, και ειπεν αυτῳ, Ὁ Κυριος μου και
ὁ Θεος μου.

ὁ Θεος μου· και ὁ Κυριος μου. *Ps. xxxiv.* 23. ὁ Θεος. *Gen. iv.* 9. 13. *et passim.* αληθως Κυριος ὁ Θεος αυτος ὁ Θεος. 3 *Reg. xviii.* 39. ὁτι συ Κυριος ὁ Θεος μου. *Jer. xxxviii.* 18. *Zach. xiii.* 9. *Esa. xlv.* 14, 15. ὁ Θεος ὁ Θεος μου, προς σε ορθριζω. *Ps. lxii.* 1. εξομολογησομαι σοι εν καθαρᾳ, ὁ Θεος ὁ Θεος μου. *xlii.* 4. *Conf. v.* 2. και νυν Κυριε μου Κυριε, συ ει Θεος. 2 *Reg. vii.* 28. και ειπον. *Conf.*

omnino Exod. iii. 13-15. *vi.* 3. εγω Κυριος ὁ Θεος, τουτο μου εστι το ονομα. *Esa. xlii.* 8.

29 Λεγει αυτῳ ὁ Ιησους, Ὁτι ἑωρακας με, Θωμα, πεπιστευκας· μακαριοι οἱ μη ιδοντες, και πιστευσαντες.

μακαριοι οἱ ιδοντες σε. *Sir. xlviii.* 11. και επιστευσεν Ἀβραμ τῳ Θεῳ, και ελογισθη αυτῳ εις δικαιοσυνην. *Gen. xv.* 6. *Conf.* 1 *Pet. i.* 8. 2 *Cor. v.* 7. *Heb. xi.* 1. 17. και μετα τον συσσεισμον πυρ, ουκ εν τῳ πυρι Κυριος· και μετα το πυρ φωνη αυρας λεπτης. 3 *Reg. xix.* 12. *Conf. cap. iv.* 48. *xvii.* 20. *Luc. i.* 45.

30 Πολλα μεν ουν και αλλα σημεια εποιησεν ὁ Ιησους ενωπιον των μαθητων αὑτου, ἁ ουκ εστι γεγραμμενα εν τῳ βιβλιῳ τουτῳ.

και εποιησε τα σημεια εναντιον του λαου. *Exod. iv.* 30. ενωπιον λαου μου. 1 *Reg. xv.* 30. ιδου ταυτα γεγραμμενα εν βιβλιῳ. 2 *Par. xxxvi.* 8. *Conf. Luc. i.* 3, 4. *Rom. xv.* 4.

31 Ταυτα δε γεγραπται, ἱνα πιστευσητε ὁτι ὁ Ιησους εστιν ὁ Χριστος ὁ υἱος του Θεου, και ἱνα πιστευοντες ζωην εχητε εν τῳ ονοματι αυτου.

ἱνα πιστευσωσι σοι, ὁτι ωπται σοι ὁ Θεος. *Exod. iv.* 5. ἱνα γνωτε και πιστευσητε και συνητε ὁτι Εγω Ειμι. *Esa. xliii.* 10. 1 *Pet. i.* 9. διαγγελων το προσταγμα Κυριου. Κυριος ειπε προς με, υἱος μου ει συ—μακαριοι παντες οἱ πεποιθοτες επ᾽ αυτῳ. *Ps. ii.* 7-12. *Conf. Lev. xviii.* 5. *Ps. xix.* 5.

Κεφ. κα. 21.

ΜΕΤΑ ταυτα εφανερωσεν ἑαυτον παλιν ὁ Ιησους τοις μαθηταις επι της θαλασσης της Τιβεριαδος· εφανερωσε δε οὑτως.

και φανερωσω αυτοις εισακουειν. *Ald. Comp. Jer. xl.* 6. μετα ταυτα. *Est. iii.* 1. 2 *Par. xxxii.* 1, 9. *Conf. Matt. xxvi.* 32. *xxviii.* 7. [μεχρι της Τιβεριαδος λιμνης. *Jos. Bell. Jud. iii.* 3. 5.]

2 Ησαν ὁμου Σιμων Πετρος, και Θωμας ὁ λεγομενος Διδυμος, και Ναθαναηλ ὁ απο Κανα της Γαλιλαιας, και οἱ του Ζεβεδαιου, και αλλοι εκ των μαθητων αυτου δυο.

οἱ του Ζεβεδαιου (*scil.* υἱοι). *Ita,* εγω Αζαριας Ανανιου του μεγαλου. *Tob. v.* 12. 1 *Mac. ii.* 1. [ανηρ απο Γισχαλων. *Jos. Bell. Jud. xxi.* 1.]

3 Λεγει αυτοις Σιμων Πετρος, Ὑπαγω ἁλιευειν. Λεγουσιν αυτῳ, Ερχομεθα και ἡμεις συν σοι. Εξηλθον και ανεβησαν εις το πλοιον ευθυς, και εν εκεινῃ τῃ νυκτι επιασαν ουδεν.

και ανεβη εις το αυτο, του πλευσαι μετ' αυτων. Jon. i. 3. πιασατε ἡμιν αλωπεκας. Cant. ii. 15. ιδου εγω αποστελλω τους ἁλιεις τους πολλους, λεγει Κυριος, *και ἁλιευσουσιν αυτους. Jer. xvi.* 16. *Conf.* 4 *Reg. vi.* 1-7. *Act. xviii.* 3.

4 Πρωΐας δε ηδη γενομενης εστη ὁ Ιησους εις τον αιγιαλον· ου μεντοι ηδεισαν οἱ μαθηται ὁτι Ιησους εστι.

πρωΐας της ῥηθεισης. Dan. viii. 26. *παρ' αιγιαλον θαλασσων. Jud. v.* 17. *Alex.* O. *Ald. Comp. Conf. Luc. xxiv.* 16. *Esa. xlv.* 5.

5 Λεγει ουν αυτοις ὁ Ιησους, Παιδια, μη τι προσφαγιον εχετε; Απεκριθησαν αυτῳ, Ου.

υἱος αγαπητος Εφραϊμ, *εμοι παιδιον εντρυφων. Jer. xxxviii.* 20. *ιδου εγω και τα παιδια ἁ μοι εδωκεν ὁ* Θεος. *Esa. viii.* 18. [οψον, Αττικως· *προσφαγιον,* Ἑλληνικως. *Moeris.*]

6 Ὁ δε ειπεν αυτοις, Βαλετε εις τα δεξια μερη του πλοιου το δικτυον, και εὑρησετε. Εβαλον ουν, και ουκ ετι αυτο ἑλκυσαι ισχυσαν απο του πληθους των ιχθυων.

ὡς οἱ ιχθυες της θαλασσης—πληθος πολυ σφοδρα. Ezech. xlvii. 10. *αμφιβαλει το αμφιβληστρον αυτου. Hab. i.* 17. *και εἱλκυσεν αυτον εν αμφιβληστρῳ. i.* 15. *απο του πληθους.* 2 *Par. v.* 6. *Conf. Ps. viii.* 8. *και στεναξουσιν οἱ ἁλιεις, και στεναξουσι παντες οἱ βαλλοντες αγκιστρον εις τον ποταμον, κ. τ. λ. Esa. xix.* 8.

7 Λεγει ουν ὁ μαθητης εκεινος, ὁν ηγαπα ὁ Ιησους, τῳ Πετρῳ, Ὁ Κυριος εστι. Σιμων ουν Πετρος, ακουσας ὁτι ὁ Κυριος εστι, τον επενδυτην διεζωσατο, (ην γαρ γυμνος,) και εβαλεν ἑαυτον εις την θαλασσαν.

εξεδυσατο Ιωναθαν *τον επενδυτην.* 1 *Reg. xviii.* 4. *Alex. Ald. Comp. γυμνος.* 1 *Reg. xix.* 24. *Job. xxxi.* 19. *Matt. xxv.* 36.

8 Οἱ δε αλλοι μαθηται τῳ πλοιαριῳ ηλθον· (ου γαρ ησαν μακραν απο της γης, αλλ' ὡς απο πηχων διακοσιων,) συροντες το δικτυον των ιχθυων.

και συρουμεν αυτην ἑως εις τον χειμαρρουν. 2 *Reg. xvii.* 13. *εννεα πηχεων. Deut. iii.* 11. [*βαλλων στρατοπεδον απο δεκα σταδιων της* Ἱερεχουντος. *Jos. Ant. xviii.* 3. 2.] *ὡς δεκα ετη. Ruth. i.* 4. 3 *Reg. xxii.* 6.

9 Ὡς ουν απεβησαν εις την γην, βλεπουσιν ανθρακιαν κειμενην και οψαριον επικειμενον, και αρτον.

ανθρακια. Sir. xi. 32. 4 Mac. ix. 20. οψαριον. Conf. Tob. vii. 8. Num. xi. 22. [Fischer. Prolus. p. 260.]

10 Λεγει αυτοις ὁ Ιησους, Ενεγκατε απο των οψαριων ὧν επιασατε νυν.

και ενεγκε μοι ἱνα φαγω. Gen. xxvii. 4. 7. ὁ εσθιων απο των κ.τ.λ. Lev. xi. 40. Conf. 3 Reg. xix. 5, 6. Matt. iv. 11.

11 Ανεβη Σιμων Πετρος, και εἱλκυσε το δικτυον επι της γης, μεστον ιχθυων μεγαλων ἑκατον πεντηκοντατριων· και τοσουτων οντων, ουκ εσχισθη το δικτυον.

12 Λεγει αυτοις ὁ Ιησους, Δευτε, αριστησατε. Ουδεις δε ετολμα των μαθητων εξετασαι αυτον, Συ τις ει; ειδοτες ὁτι ὁ Κυριος εστιν.

εισελθε μετ᾽ εμου εις οικον, και αριστησον. 3 Reg. xiii. 7. Gen. xliii. 32. δευτε αποκτεινωμεν αυτον. Gen. xxxvii. 20. ανευ πασης ανακρισεως και εξετασεως. 3 Mac. vii. 5. Conf. Matt. ii. 8. τις οὑτος, ὁστις ετολμησε ποιησαι το πραγμα τουτο; Est. vii. 5. [εξεταζω. ερωτω. Phav.] Gen. xxxii. 19. Marc. ix. 32.

13 Ερχεται ουν ὁ Ιησους, και λαμβανει τον αρτον και διδωσιν αυτοις, και το οψαριον ὁμοιως.

Conf. Gen. xviii. 8. Luc. xxiv. 42.

14 Τουτο ηδη τριτον εφανερωθη ὁ Ιησους τοις μαθηταις αὑτου, εγερθεις εκ νεκρων.

ὁ εγειρας νεκρον εκ θανατου. Sir. xlviii. 5. δια τουτο ὑπομεινον με, λεγει Κυριος, εις ἡμεραν αναστασεως μου εις μαρτυριον. Sophon. iii. 8. Conf. cap. xx. 19. 26.

15 Ὁτε ουν ηριστησαν, λεγει τῳ Σιμωνι Πετρῳ ὁ Ιησους, Σιμων Ιωνα, αγαπᾳς με πλειον τουτων; Λεγει αυτῳ, Ναι, Κυριε· συ οιδας ὁτι φιλω σε. Λεγει αυτῳ, Βοσκε τα αρνια μου.

Ματταθιας Ιωαννου του Συμεων. 1 Mac. ii. 1. Tob. v. 12. αγαπησω σε Κυριε, ισχυς μου. Ps. xvii. 1. xcvi. 10. Κυριος ποιμαινει με, και ουδεν με ὑστερησει. Ps. xxii. 1. Ose. xiii. 5. ποιμαινε τα προβατα της σφαγης. Zach. xi. 4. 7. 9. Barb. Ald. Comp. Conf. Jer. xxvii. 45. Ps. lxxvii. 72. ὡς ποιμην ποιμανει το ποιμνιον αυτου, και τῳ βραχιονι αυτου συναξει αρνας, και εν γαστρι εχουσας παρακαλει. Esa. xl. 11. και ποιμαινε τας εριφους σου επι σκηνω-

μασι των ποιμενων. Cant. i. 8. *και τα προβατα μου ου βοσκετε. Ezech. xxxiv.* 3. 14. *εν νομῃ αγαθῃ βοσκησω αυτους.*

16 Λεγει αυτῳ παλιν δευτερον, Σιμων Ιωνα, αγαπᾳς με ; Λε-
γει αυτῳ, Ναι, Κυριε· συ οιδας ὁτι φιλω σε. Λεγει αυτῳ,
Ποιμαινε τα προβατα μου.

εκαλεσεν αγγελος Κυριου *τον* ʽΑβρααμ *δευτερον. Gen. xxii.* 15. *φυλαξει αυτον ὡς ὁ βοσκων ποιμνιον. Jer. xxxviii.* 10. *αυτον ὁ πατηρ φιλει εκ παντων των υἱων αυτου. Gen. xxxvii.* 4. *εγω βοσκησω τα προβατα μου. Ezech. xxxiv.* 15, 16. *και νυν συ οιδας τον δουλον σου,* Κυριε *μου* Κυριε. 2 *Reg. vii.* 20. *ποιμαινειν τον λαον μου* Ισραηλ. 2 *Reg. vii.* 7. 1 *Pet. i.* 25. *v.* 4. *Act. xx.* 28. *Heb. xiii.* 20.

17 Λεγει αυτῳ το τριτον, Σιμων Ιωνα, φιλεις με; Ελυπηθη ὁ
Πετρος, ὁτι ειπεν αυτῳ το τριτον, Φιλεις με ; και ειπεν αυτῳ,
Κυριε, συ παντα οιδας· συ γινωσκεις ὁτι φιλω σε. Λεγει αυτῳ
ὁ Ιησους, Βοσκε τα προβατα μου.

τριτον. Num. xxiv. 10. 2 *Cor. xiii.* 1. *εγω τους εμε φιλουντας αγαπω. Prov. viii.* 17. *Conf. Jer. xvii.* 10. 3 *Reg. xvii.* 18. *και ειπε προς με,* ʽΥιε *ανθρωπου, ει ζησεται τα οστεα ταυτα ; και ειπα,* Κυριε, Κυριε, *συ επιστῃ ταυτα. Ezech. xxxvii.* 3. 1 *Reg. iii.* 4-8. *Jos. xx.* 22. 1 *Par. xxix.* 17. *Job. xxxi.* 4-6.

18 Αμην, αμην, λεγω σοι, ὁτε ης νεωτερος, εζωννυες σεαυτον,
και περιεπατεις ὁπου ηθελες· ὁταν δε γηρασῃς, εκτενεις τας
χειρας σου, και αλλος σε ζωσει, και οισει ὁπου ου θελεις.

νεωτερος εγενομην, και γαρ εγηρασα. Ps. xxxvi. 25. *οὑ εαν θελῃς εκτενεις την χειρα σου. Sir. xv.* 16. *Conf.* 2 *Pet. i.* 14. 2 *Reg. xv.* 5. 4 *Reg. vi.* 7. *Act. xii.* 3, 4.

19 Τουτο δε ειπε, σημαινων ποιῳ θανατῳ δοξασει τον Θεον.
Και τουτο ειπων λεγει αυτῳ, Ακολουθει μοι.

ἑως δυσμων το ονομα μου δεδοξασται εν τοις εθνεσι. Mal. i. 11. *ου γαρ συνηκολουθησαν οπισω μου. Num. xxxii.* 11. *Ald. Conf.* 3 *Reg. xix.* 21. [*ποιῳ θανατῳ αυτους αναλωσει. Act. Thom. c.* 21.] *πας ὁ ζηλων τῳ νομῳ—εξελθετω οπισω μου.* 1 *Mac. i.* 27.

20 Επιστραφεις δε ὁ Πετρος βλεπει τον μαθητην, ὁν ηγαπα ὁ
Ιησους, ακολουθουντα, ὁς και ανεπεσεν εν τῳ δειπνῳ επι το
στηθος αυτου και ειπε, Κυριε, τις εστιν ὁ παραδιδους σε ;

ανεπεσα του φαγειν. Tob. ii. 1. *επ. του στηθους. Exod. xxviii.* 23, 26.

21 Τουτον ιδων ὁ Πετρος λεγει τῳ Ιησου, Κυριε, οὑτος δε τι ;

τι, [*subaud.* πεισεται. *Grot.* ποιησει. *alii.*] *Conf.* τι ουν ποιησω Ιησουν; *Matt. xxvii.* 22.

22 Λεγει αυτῳ ὁ Ιησους, Εαν αυτον θελω μενειν ἑως ερχομαι,
τι προς σε; συ ακολουθει μοι.

ὁ Κυριος εις τον αιωνα μενει. *Ps. ix.* 7. οὑτως δε ηθελησεν ὁ βασιλευς, και επεταξε. *Est. i.* 8. *Conf. Gen. xxiii.* 15. *Eccles. vii.* 17. *Matt. xvi.* 21. *Phil. i.* 21. 1 *Cor. xv.* 6. τα κρυπτα Κυριῳ τῳ Θεῳ ἡμων, τα δε φανερα ἡμιν, κ. τ. λ. *Deut. xxix.* 29. *Conf. Ps. cxxx.* —οἱ πατερες ὑμων που εισι, και οἱ προφηται; μη τον αιωνα ζησονται; *Zach. i.* 5. ἑτοιμον ειναι του πορευεσθαι μετα Κυριου Θεου σου. *Mich. vi.* 8.

23 Εξηλθεν ουν ὁ λογος οὑτος εις τους αδελφους, ὁτι ὁ μαθητης
εκεινος ουκ αποθνησκει· και ουκ ειπεν αυτῳ ὁ Ιησους, ὁτι ουκ
αποθνησκει· αλλ᾽, Εαν αυτον θελω μενειν ἑως ερχομαι, τι προς
σε;

και το δογμα εξηλθε. *Dan. ii.* 13. *Conf. Matt. ix.* 26. *Luc. vii.* 17. και ουκ εστιν ὁς αντιποιησεται τῃ χειρι αυτου, και ερει αυτῳ, Τι εποιησας; *Dan. iv.* 32. και (*tamen*). 2 *Reg. iii.* 8. *Mal. ii.* 14. και συ δευρο, και αναπαυου· ετι γαρ ἡμεραι και ὡραι εις αναπληρωσιν συντελειας, και αναστησῃ εις τον κληρον συ εις συντελειαν ἡμερων. *Dan. xii.* 13. *Job. xxviii.* 28. *xxxiii.* 13.

24 Οὑτος εστιν ὁ μαθητης ὁ μαρτυρων περι τουτων, και γρα-
ψας ταυτα· και οιδαμεν ὁτι αληθης εστιν ἡ μαρτυρια αυτου.

ἡ μαρτυρια Κυριου πιστη. *Ps. xviii.* 7. *Conf. cap. xix.* 35. 1 *Joan. i.* 1. *v.* 6, 9. 3 *Joan.* 12.

25 Εστι δε και αλλα πολλα ὁσα εποιησεν ὁ Ιησους, ἁτινα εαν
γραφηται καθ᾽ ἑν, ουδε αυτον οιμαι τον κοσμον χωρησαι τα
γραφομενα βιβλια. Αμην.

και ουκ εχωρει αυτους ἡ γη κατοικειν ἁμα. *Gen. xiii.* 6. χωρουσαν μετρητας τρισχιλιους. 2 *Par. iv.* 5. *Conf. Gen. xi.* 4. ιδου ταυτα μερη ὁδου αυτου, και επι ικμαδα λογου ακουσομεθα εν αυτῳ· σθενος δε βροντης αυτου τις οιδεν, ὁποτε ποιησει; *Job. xxvi.* 14. *Conf. Ps. xxxix.* 5. *lxx.* 15. *Sym.* ὁτι ει αληθως κατοικησει ὁ Θεος μετα ανθρωπων επι της γης; ει ὁ ουρανος και ὁ ουρανος του ουρανου ουκ αρκεσουσι σοι, κ. τ. λ. 3 *Reg. viii.* 27. ου μη δυνηται ἡ γη ὑπενεγκειν παντας τους λογους αυτου. *Amos. vii.* 10. κατα μερος. *Conf.* 2 *Mac. ii.* 30. χωρησαι. *Conf. Matt. xix.* 11. ἁτινα. *Conf. Deut. v.* 26. *Jon. iv.* 11. *Gen. xiii.* 16. εγω μεν οιμαι. 4 *Mac.* 1. 33. *Gen. xxxviii.* 7. Αμην. *Neh. v.* 13. *viii.* 6. 1 *Par. xvi.* 36.

ΠΡΑΞΕΙΣ ΤΩΝ ʽΑΓΙΩΝ ΑΠΟΣΤΟΛΩΝ.

ΚΕΦ. α. 1.

ΤΟΝ μεν πρωτον λογον εποιησαμην περι παντων, ω Θεοφιλε, ὡν ηρξατο ὁ Ιησους ποιειν τε και διδασκειν,

και ανεγνω Σοφονιας τους λογους τουτους εις τα ὠτα Ἱερεμιου. *Jer. xxxvi.* 29. *Ald. et Morini.* περι παντων ποιεισθαι λογον. 2 *Mac. ii.* 30. ὡν. *Sophon. iii.* 11. (*primum volumen historiarum composui.*) [ὁ μεν προτερος λογος ην ἡμιν, ω Θεοδοτε, περι του παντα δουλον ειναι φαυλον κ. τ. λ. *Philo, p.* 670. *Edit. Col.*] [ποιειν λογον προς τινα. *Jos. Ant. iv.* 2. 3.] ποιειν αναγνωσιν. *Prol. Sir.* ηρξατο Μωυσης διασαφησαι τον νομον. *Deut. i.* 5. και τουτο ηρξαντο ποιησαι. *Gen. xi.* 6. *ii.* 3. *Conf. Luc. i.* 3. 1 *Par. xxix.* 29.

2 Αχρι ἡς ἡμερας εντειλαμενος τοις αποστολοις δια Πνευματος ἁγιου, οὑς εξελεξατο, ανεληφθη.

αχρι αιωνος. 2 *Mac. xiv.* 15. και την φυλην Εφραϊμ ουκ εξελεξατο. και εξελεξατο την φυλην Ιουδα. *Ps. lxxvii.* 67, 68. *Conf. Num. xvi.* 7. *Deut. xvii.* 15. αιτησαι τι ποιησω σοι πριν η αναληφθηναι με απο σου. 4 *Reg. ii.* 9. *Sir. xlviii.* 9. *xlix.* 14. Ηλιας εν τῳ ζηλωσαι ζηλον νομου ανεληφθη ἑως εις τον ουρανον. 1 *Mac. ii.* 58. *Conf. Matt. xxviii.* 19. *Marc. xvi.* 19. *Joan. xx.* 21. και αναπαυσεται επ' αυτον πνευμα του Θεου, πνευμα σοφιας και συνεσεως, κ.τ.λ. *Esa. xi.* 2, 3. *xlii.* 1. *xlviii.* 16. *lix.* 20, 21. *lxi.* 1.

3 Οἱς και παρεστησεν ἑαυτον ζωντα μετα το παθειν αυτον, εν πολλοις τεκμηριοις, δι' ἡμερων τεσσαρακοντα οπτανομενος αυτοις, και λεγων τα περι της βασιλειας του Θεου.

και κατεβη Κυριος εν νεφελῃ, και παρεστη αυτῳ εκει. *Exod. xxxiv.* 5. και παρεστησεν αυτους εναντιον Φαραω. *Gen. xlvii.* 2. *Ald.* και κατεγενομην εν τῳ ορει τεσσαρακοντα ἡμερας και τεσσαρακοντα νυκτας, κ. τ. λ. *Deut. ix.* 9. 18. και εζησε Σηθ μετα το γεννησαι αυτον τον Ενως. *Gen. v.* 7. ουκ ανευ των—τεκμηριων. *Sap. xix.* 13. *v.* 11. και ενεβλεποντο—και ουκ ωπτανοντο εξω. 3 *Reg. viii.* 8.

Tob. xii. 19. ὑπηρεται οντες της αυτου βασιλειας. *Sap. vi.* 4. και επικειται ἡμιν τα της βασιλειας. 1 *Mac. vi.* 57. τα περι αυτου. *Sir. xix.* 30. 1 *Reg. i.* 5. εδειξεν αυτῳ βασιλειαν Θεου. *Sap. x.* 10.

4 Και συναλιζομενος παρηγγειλεν αυτοις απο Ἱεροσολυμων μη χωριζεσθαι, αλλα περιμενειν την επαγγελιαν του πατρος, ἡν ηκουσατε μου·

μη συναλισθω εν ταις τερπνοτησιν αυτων. *Ps. cxl.* 4. *alii. Prov. xxii.* 24. [πληθος εις εκκλησιαν συγκαλεσας. *Jos. Ant. xix.* 7. 4.] και παρηγγειλε Σαουλ τῳ λαῳ. 1 *Reg. xv.* 4. *xxiii.* 8. εις Αντιοχειαν εχωρισθη. 2 *Mac. v.* 21. αφ᾽ ἡς εχωρισθημεν απ᾽ αυτων. 1 *Mac. i.* 11. την σωτηριαν περιμενων Κυριου. *Gen. xlix.* 18. *Sap. viii.* 12. και ηκουσεν Αλεξανδρος ὁ βασιλευς τας επαγγελιας. 1 *Mac. x.* 15. *Conf. Luc. xxiv.* 49. *Joan. xiv.* 16.

5 Ὁτι Ιωαννης μεν εβαπτισεν ὑδατι, ὑμεις δε βαπτισθησεσθε εν Πνευματι ἁγιῳ, ου μετα πολλας ταυτας ἡμερας.

επενθησεν Εφραϊμ ἡμερας πολλας. 1 *Par. vii.* 22. μετ᾽ ου πολυν δε χρονον. 2 *Mac. vi.* 1. *Conf. Joel. ii.* 28. *iii.* 18. *Matt. iii.* 11. *Marc. i.* 8. *Joan. i.* 26. *Luc. iii.* 16.

6 Οἱ μεν ουν συνελθοντες επηρωτων αυτον, λεγοντες, Κυριε, ει εν τῳ χρονῳ τουτῳ αποκαθιστανεις την βασιλειαν τῳ Ισραηλ;

συ ει ὁ αποκαθιστων την κληρονομιαν μου εμοι. *Ps. xvi.* 5. ει. *Conf. Tob. v.* 5. 3 *Reg. xx.* 20. *Viger. p.* 414. και καταπαυσω βασιλειαν οικου Ισραηλ. *Ose. i.* 4. *Conf. Gen. xlix.* 10. *Esa. ix.* 7. *Jer. xxiii.* 6. *Dan. vii.* 27. *Mich. v.* 2. *Matt. xx.* 21. *Luc. xx.* 29. *Amos. ix.* 11. και επιστησω τους κριτας σου ὡς το προτερον, και τους συμβουλους σου ὡς το απ᾽ αρχης, και μετα ταυτα κληθηση πολις δικαιοσυνης, μητροπολις πιστη Σιων, κ.τ.λ. *Esa. i.* 26, 27. εν τῳ χρονῳ εκεινῳ. *Jer. xxxviii.* 1. *Conf.* 2 *Mac. ii.* 18.

7 Ειπε δε προς αυτους, Ουχ ὑμων εστι γνωναι χρονους η καιρους οὑς ὁ πατηρ εθετο εν τῃ ιδιᾳ εξουσιᾳ·

και αυτος αλλοιοι καιρους και χρονους. *Dan. ii.* 21. *vii.* 12. θεσθε ὑμιν αυτοις βουλην επ᾽ αυτην. *Jud. xix.* 30. εξουσια. *Conf. Sir. xxv.* 25. *Matt. xxi.* 23. *xxiv.* 36. 2 *Pet. iii.* 8. 1 *Thess. v.* 2. *Marc. xiii.* 32. *Luc. xvii.* 20. τα κρυπτα Κυριῳ τῳ Θεῳ ἡμων, τα δε φανερα ἡμιν, κ. τ. λ. *Deut. xxix.* 29.

8 Αλλα ληψεσθε δυναμιν, επελθοντος του ἁγιου Πνευματος εφ᾽ ὑμας, και εσεσθε μοι μαρτυρες εν τε Ἱερουσαλημ και εν παση τῃ Ιουδαιᾳ και Σαμαρειᾳ και ἑως εσχατου της γης.

και δυναμιν δεδωκας μοι. Dan. ii. 23. *Conf. Luc. i.* 35. *γενεσθε μοι μαρτυρες. Esa. xliii.* 10. *έως εσχατου της γης. xlviii.* 20. *xlix.* 6. *lxii.* 11. *εν όλῃ τῃ* Ιουδαιᾳ. 1 *Esd. i.* 32. *Conf. Marc. xvi.* 20. *Luc. xxiv.* 48. *Act. ii.* 5.

9 Και *ταυτα ειπων, βλεποντων αυτων επηρθη, και νεφελη ὑπελαβεν αυτον απο των οφθαλμων αυτων.*

ὑψωσω σε Κυριε, *ότι ὑπελαβες με. Ps. xxix.* 1. *αναβας εις ὑψος κ. τ. λ. Ps. lxvii.* 18. *Conf. Marc. xvi.* 19. *Luc. xxiv.* 51. *Joan. vi.* 62. *Dan. vii.* 13.

10 Και *ὡς ατενιζοντες ησαν εις τον ουρανον, πορευομενου αυτου, και ιδου, ανδρες δυο παρειστηκεισαν αυτοις εν εσθητι λευκῃ,*

ατενιζοντες. 1 *Esd. vi.* 28. *Job. vii.* 8. *alii. ατενιζοντες εις την του βασιλεως προθεσιν.* 3 *Mac. ii.* 26. *ανατεινας τα ομματα προς τον* Θεον. 4 *Mac. vi.* 26. *οἱ αγγελοι του* Θεου *παραστηναι ενωπιον του* Κυριου. *Job. i.* 6. *εφιππος εν λευκῃ εσθητι.* 2 *Mac. xi.* 8. *Conf. Luc. xxiv.* 4. *Joan. xx.* 12. 1 *Thess. iv.* 16.

11 Οἱ *και ειπον,* Ανδρες Γαλιλαιοι, *τι ἑστηκατε εμβλεποντες εις τον ουρανον; οὑτος ὁ* Ιησους, *ὁ αναληφθεις αφ᾽ ὑμων εις τον ουρανον, οὑτως ελευσεται ὁν τροπον εθεασασθε αυτον πορευομενον εις τον ουρανον.*

και στας ειπῃ. Deut. xxv. 8. *xxvii.* 12. [*ανδρες* Ισραηλιται. *Jos. Ant. iii.* 8. 1.] *εμβλεψονται εις την γην. Esa. v.* 30. *ὁ αναληφθεις εν λαιλαπι. Sir. xlviii.* 9. 1 *Mac. ii.* 58. *ὁν τροπον. Num. i.* 19. *και ἡξει* Κυριος *ὁ* Θεος *μου, και παντες οἱ ἁγιοι μετ᾽ αυτου. Zach. xiv.* 5. *Dan. vii.* 10-14.

12 Τοτε *ὑπεστρεψαν εις* Ἱερουσαλημ *απο ορους του καλουμενου* Ελαιωνος, *ὁ εστιν εγγυς* Ἱερουσαλημ, *σαββατου εχον ὁδον.*

σαββατου ὁδον. Vide Jos. iii. 4. *Conf. Luc. xxiv.* 50. *Joan. xi.* 18. *Zach. xiv.* 4. [*Conf. Jos. Ant. xx.* 8. 6. *Bell. Jud. v.* 2. 3. *εις το* Σιναιον *καλουμενον ορος. Ant. viii.* 13. 7.]

13 Και *ότε εισηλθον, ανεβησαν εις το ὑπερῳον οὑ ησαν καταμενοντες, ὁ τε* Πετρος *και* Ιακωβος *και* Ιωαννης *και* Ανδρεας, Φιλιππος *και* Θωμας, Βαρθολομαιος *και* Ματθαιος, Ιακωβος Αλφαιου *και* Σιμων *ὁ* Ζηλωτης, *και* Ιουδας Ιακωβου.

αναβαινωσιν επι τα ὑπερῳα. Ezech. xli. 7. *και ανεβη εις το ὑπερῳον της πυλης.* 2 *Reg. xviii.* 33. *Tob. iii.* 17. *Conf. Num. xxii.* 8. *Matt. x.* 2, 3. *καταμενειν. Num. xx.* 1. *Jos. ii.* 22.

14 Οὑτοι *παντες ησαν προσκαρτερουντες ὁμοθυμαδον τῃ προσ-*

ευχῃ και τῃ δεησει, συν γυναιξι και Μαριᾳ τῃ μητρι του Ιησου, και συν τοις αδελφοις αυτου.

και προσκαρτερησαντες ληψεσθε απο των καρπων της γης. *Num. xiii.* 21. ὁμοθυμαδον δε επι γης κοιμωνται. *Job. xxi.* 26. απεκριθη δε πας ὁ λαος ὁμοθυμαδον. *Exod. xix.* 8. *Conf. Matt. xii.* 46. *Luc. xxiii.* 27. [ἱσταμενος ηυχετο. *Jos. de Dan. Ant. x.* 11. 6.]

15 Και εν ταις ἡμεραις ταυταις αναστας Πετρος εν μεσῳ των μαθητων ειπεν· (ην τε οχλος ονοματων επιτοαυτο ὡς ἑκατον εικοσιν·)

και Δαυιδ αρχων εν μεσῳ αυτων. *Ezech. xxxiv.* 24. πασα δε ἡ εκκλησια ὁμου ὡσει τεσσαρες μυριαδες, κ. τ. λ. *Esd. ii.* 64. ὡς δεκα ετη. *Ruth. i.* 4. εξ αριθμου ονοματων. *Num. xxvi.* 53. *Conf. Apoc. iii.* 4. *xi.* 13. επιτοαυτο. *i. e.* ὁμου. *Ps. xxxvi.* 38. *LXX. Sym.*

16 Ανδρες αδελφοι, εδει πληρωθηναι την γραφην ταυτην, ἡν προειπε το Πνευμα το ἁγιον δια στοματος Δαβιδ, περι Ιουδα του γενομενου ὁδηγου τοις συλλαβουσι τον Ιησουν·

εδει. *Sap. xvi.* 4. πληρωθηναι λογον Κυριου δια στοματος Ἱερεμιου. 2 *Par. xxxvi.* 21. 3 *Reg. ii.* 27. ὁδηγον εχων τον Μενελαον. 2 *Mac. v.* 15. 1 *Mac. iv.* 2. και γαρ ὁ ανθρωπος της ειρηνης μου, εφ᾽ ὁν ηλπισα, ὁ εσθιων αρτους μου, εμεγαλυνεν επ᾽ εμε πτερνισμον. *Ps. xl.* 9. *liv.* 12-14. τοις αδελφοις τοις κατ᾽ Αιγυπτον Ιουδαιοις. 2 *Mac. i.* 1. *Conf. Joan. xiii.* 18. *xviii.* 3. *Matt. xxii.* 43. και συνελαβοντο—και απεκτειναν. *Jud. vii.* 25. *Jos. viii.* 23. 3 *Reg. xx.* 18. αλλ᾽ εστι Θεος εν ουρανῳ αποκαλυπτων μυστηρια, και εγνωρισε—ἁ δει γενεσθαι επ᾽ εσχατων των ἡμερων, κ. τ. λ. *Dan. ii.* 28.

17 Ὁτι κατηριθμημενος ην συν ἡμιν, και ελαχε τον κληρον της διακονιας ταυτης.

και παντι καταριθμουμενῳ εν τοις Λευιταις. 2 *Par. xxxi.* 19. ὑμας δε ελαβεν ὁ Θεος—ειναι αυτω λαον και κληρον. *Deut. iv.* 20. *Ald. ix.* 29. *Conf. Matt. x.* 1-4. *Marc. iii.* 14. *Luc. vi.* 13. *Joan. vi.* 70. Σαουλ ελαχε του βασιλευειν—επι Ισραηλ. 1 *Reg. xiv.* 47. εν πρεσβειῳ την ἡλικιαν ηδη λελογχως. 3 *Mac. vi.* 1.

18 Οὑτος μεν ουν εκτησατο χωριον εκ του μισθου της αδικιας, και πρηνης γενομενος ελακησε μεσος, και εξεχυθη παντα τα σπλαγχνα αυτου,

ελαβεν αυτον ανηκεστος των σπλαγχνων αλγηδων. 2 *Mac. ix.* 5. και εξεχυθη ἡ κοιλια αυτου εις την γην. 2 *Reg. xx.* 10. [ὁ δε δρακων φυσηθεις (*a veneno hausto*) ελακησε και απεθανε, και εξεχυθη

ὁ ιος αυτου, και ἡ χολη. *Act. Thom. c.* 33] [τεθνηκε το επιτιθεμενον ἡμιν παθος και πρηνες αταφον ερριπται. *Philo. p.* 1145.] ζυγος αδικιας. *Ose. xii.* 7. το σπηλαιον—ὁ εκτησατο Ἀβρααμ. *Gen. l.* 13. *Conf. Matt. xxvii.* 5.

19 Και γνωστον εγενετο πασι τοις κατοικουσιν Ἱερουσαλημ, ὡστε κληθηναι το χωριον εκεινο τῃ ιδιᾳ διαλεκτῳ αυτων Ακελδαμα, τουτεστι, χωριον αἱματος.

γνωστος εν τῃ Ιουδαιᾳ ὁ Θεος. *Ps. lxxv.* 1. ὁτι τῃ διαλεκτῳ αυτων καλουνται Φρουραι. *Est. ix.* 26. ὡστε. *Jos. x.* 14. 2 *Reg. ii.* 16. τουτ᾽ εστι. ὡστε. *Job. xl.* 19. *Gen. ix.* 15. *Jos. x.* 14.

20 Γεγραπται γαρ εν βιβλῳ ψαλμων, Γενηθητω ἡ επαυλις αυτου ερημος, και μη εστω ὁ κατοικων εν αυτῃ. και, Την επισκοπην αυτου λαβοι ἑτερος.

γενηθητω ἡ επαυλις αυτων ηρημωμενη, και εν τοις σκηνωμασιν αυτων μη εστω ὁ κατοικων. *Ps. lxviii.* 25. *CITAT.* 105. και την επισκοπην αυτου λαβοι ἑτερος. *cviii.* 8. *Vide CITAT.* 106.

21 Δει ουν των συνελθοντων ἡμιν ανδρων εν παντι χρονῳ, εν ᾡ εισηλθε και εξηλθεν εφ᾽ ἡμας ὁ Κυριος Ιησους,

Κυριος φυλαξει την εισοδον σου και την εξοδον σου. *Ps. cxxi.* 8. *Deut. xxviii.* 6. 1 *Reg. xxix.* 6. *Zach. viii.* 20. εφ᾽ ἡμας. *Conf. Amos. ix.* 12. συνελθοντων. *Gen. xiv.* 4. *Sym.* εν παντι χρονῳ. *Jos. iv.* 24. *Alex. Ald. Comp.* δια τουτο ὑπομεινον με, λεγει Κυριος, εις ἡμεραν αναστασεως μου εις μαρτυριον. *Sophon. iii.* 8. 16. [*Conf. Viger. p.* 142.]

22 Αρξαμενος απο του βαπτισματος Ιωαννου ἑως της ἡμερας ἡς ανεληφθη αφ᾽ ἡμων, μαρτυρα της αναστασεως αυτου γενεσθαι συν ἡμιν ἑνα τουτων.

23 Και εστησαν δυο, Ιωσηφ τον καλουμενον Βαρσαβαν, ὁς επεκληθη Ιουστος, και Ματθιαν.

24 Και προσευξαμενοι ειπον, Συ, Κυριε, καρδιογνωστα παντων, αναδειξον εκ τουτων των δυο ἑνα, ὁν εξελεξω,

εκλεγειν εκ. 2 *Reg. xxiv.* 12. *Sir. xlv.* 4. ᾁδης και απωλεια φανερα παρα τῳ Κυριῳ· πως ουχι αἱ καρδιαι των ανθρωπων; *Prov. xv.* 11. εταζων καρδιας. *Jer. xvii.* 10. αναδειξον. 2 *Mac. ii.* 8. *ix.* 25. *Conf. Num. xxvii.* 16. 1 *Reg. xvi.* 7. *Luc. x.* 1. Κυριος καρδιας παντων γινωσκει, κ. τ. λ. *Prov. xxiv.* 12. *iii.* 5, 6.

25 Λαβειν τον κληρον της διακονιας ταυτης και αποστολης, εξ ἡς παρεβη Ιουδας, πορευθηναι εις τον τοπον τον ιδιον.

κληθησονται επι τοις εκεινων κληροις. *Gen. xlviii.* 6. *Deut. x.* 9. *Conf. sup.* 17. οὗτος δε ὁ τοπος των μη ειδοτων τον Κυριον. *Job. xviii.* 21. και απεστρεψεν εις τον τοπον αυτου. *xxvi.* 25. *xxix.* 4. *Prov. xxvii.* 8. παντα πορευεται εις τον τοπον ἑνα. *Eccles. iii.* 20. *Ald.* παρεβησαν—εκ της ὁδου. *Exod. xxxii.* 2. αὑτη ἡ μερις ανθρωπου ασεβους παρα Κυριου, και κτημα ὑπαρχοντων αυτῳ παρα του επισκοπου. *Job. xx.* 29. [επορευθη εις τον οφειλομενον τοπον της δοξης. *Clem. i. Epist. Rom. p.* 24. *Edit. Wotton.*]

26 Και εδωκαν κληρους αυτων, και επεσεν ὁ κληρος επι Ματθιαν, και συγκατεψηφισθη μετα των ἑνδεκα αποστολων.

και εβαλον κληρους, και επεσεν ὁ κληρος επι Ιωναν. *Jon. i.* 7. *Ezech. xxiv.* 6. καθως εθετο ψηφισμα και κληρον αφανισαι αυτους. *Est. ix.* 24. *Conf.* 1 *Par. xxiv.* 5. *Lev. xvi.* 8. *Jos. xiii.* 6. *Jud. xx.* 9. *Prov. i.* 14. εις κολπους επερχεται παντα τοις αδικοις, παρα δε Κυριου παντα τα δικαια. *Prov. xvi.* 33. αντιλογιας παυει σιγηρος [κληρος. *Ald. Orig.*], εν δε δυναστειαις ὁριζει. *xviii.* 18.

Sept. 23. 1851.

ΚΕΦ. β. 2.

ΚΑΙ εν τῳ συμπληρουσθαι την ἡμεραν της Πεντηκοστης, ησαν ἁπαντες ὁμοθυμαδον επιτοαυτο.

επληρωθησαν αἱ ἡμεραι. *Gen. xxv.* 24. *Lev. xii.* 4. συμπληρωσις. *Dan. ix.* 2. και εν τῳ αρξασθαι αυτους της αινεσεως. 2 *Par. xx.* 22. *xxix.* 27. εις συμπληρωσιν ετων ἑβδομηκοντα. *xxxvi.* 21. *Dan. ix.* 2. επιτοαυτο. *Ps. ii.* 2. *xviii.* 9. της Πεντηκοστης. (*sc.* ἑορτης). Εν τῃ πεντηκοστῃ ἑορτῃ. *Tob. ii.* 1. *Conf. Lev. xxv.* 8-13. μετα την λεγομενην πεντηκοστην. 2 *Mac. xii.* 32. ὁμοθυμαδον. *Conf. cap. i.* 4. 14. *Luc. xxiv.* 53. *Neh. iv.* 8. *vi.* 2. *Lev. xxiii.* 15. *Deut. xvi.* 9. *Exod. xxiii.* 16. ὁμοθυμαδον δε κατεδραμον επ' εμε. *Job. xvi.* 11. απεκριθη δε πας ὁ λαος ὁμοθυμαδον. *Exod. xix.* 8. συνηλθοσαν επι το αυτο. *Jos. ix.* 2. [ὁμοθυμαδον· ὁμου, ὁμοψυχως. *Hesych.*]

2 Και εγενετο αφνω εκ του ουρανου ἡχος ὡσπερ φερομενης πνοης βιαιας, και επληρωσεν ὁλον τον οικον οὗ ησαν καθημενοι·

αφνω. *Jos. x.* 9. *Eccles. ix.* 12. εν ανεμῳ βιαιῳ. *Exod. xiv.* 21. ὡς αφ' ὑδατος φερομενου. *Esa. xxxii.* 2. και επεβη επι χερουβιμ, και επετασθη, επετασθη επι πτερυγων ανεμων, κ.τ.λ. *Ps. xvii.* 10, 11. φωνῃ φυλλου φερομενου. *Lev. xxvi.* 36. πνοη. *Job. xxxvii.* 10. ὁ οικος ενεπλησθη καπνου. *Esa. vi.* 4. ησαν καθημενοι = εσῃ συναντων.

Exod. vii. 15. *Conf.* 3 *Reg. viii.* 10. *Exod. xl.* 34. *Ps. xvii.* 11. [*Conf. Jos. Ant. iii.* 5. 2.]

3 Και ωφθησαν αυτοις διαμεριζομεναι γλωσσαι ὡσει πυρος, εκαθισε τε εφ᾽ ἑνα ἑκαστον αυτων.

ὁρασις ωφθη προς με. *Dan. viii.* 1. εν πνευματι κρισεως και πνευματι καυσεως. *Esa. iv.* 4. *Conf. Matt. iii.* 11. ιδου προησομαι ὑμιν εμης πνοης ῥησιν, διδαξω δε ὑμας τον εμον λογον. *Prov. i.* 23. *Conf. Apoc. xiv.* 6.

4 Και επλησθησαν ἁπαντες Πνευματος ἁγιου, και ηρξαντο λαλειν ἑτεραις γλωσσαις, καθως το Πνευμα εδιδου αυτοις αποφθεγγεσθαι.

ανηρ σοφος πλησθησεται ευλογιας. *Sir. xxxvii.* 24. οἱ δε ασεβεις πλησθησονται κακων. *Prov. xii.* 21. θεῳ ἑτερῳ. *Exod. xxxiv.* 14. ἑκαστος κατα γλωσσαν. *Gen. x.* 5. 31. τους αποφθεγγομενους. 1 *Par. xxv.* 1. *Ezech. xiii.* 9. *Zach. x.* 2. *Ps. lviii.* 7. πλησθησεται πνευματος. *Prov. xv.* 4. *Dan. iv.* 5, 6. *Conf. Joan. xv.* 26. 1 *Cor. xii.* 10. και απεσταλη προς με ἑν των Σεραφιμ, και εν τῃ χειρι ειχεν ανθρακα, ὁν τῃ λαβιδι ελαβεν απο του θυσιαστηριου, και ἡψατο του στοματος μου, κ.τ.λ. *Esa. vi.* 6, 7. *lix.* 21. *Jer. i.* 7. 9.

5 Ησαν δε εν Ἱερουσαλημ κατοικουντες Ιουδαιοι ανδρες ευλαβεις απο παντος εθνους των ὑπο τον ουρανον.

εκ της ὑπο τον ουρανον. *Deut. xxv.* 19. *xxix.* 20. *Eccles. i.* 9. απολωλεν ευλαβης απο της γης. *Mich. vii.* 2. *Alex. B. Ald. Comp. Cyr. Conf.* 3 *Reg. viii.* 41-43. *Mal. iii.* 16. *Sophon. iii.* 12, 13. κατοικουντες (*diversantes*). *Conf. Gen. xxvii.* 44. 3 *Reg. xvii.* 20. ερχομαι συναγαγειν παντα τα εθνη και τας γλωσσας, και ἡξουσι, και οψονται την δοξαν μου, κ. τ. λ. *Esa. lxvi.* 18, 19. *Zach. viii.* 18-21.

6 Γενομενης δε της φωνης ταυτης, συνηλθε το πληθος και συνεχυθη· ὁτι ηκουον εἱς ἑκαστος τῃ ιδιᾳ διαλεκτῳ λαλουντων αυτων.

δευτε και καταβαντες συγχεωμεν—εκει—δια τουτο εκληθη το ονομα αυτης Συγχυσις. *Conf. Gen. xi.* 7-9. συνεχυθη. 1 *Mac. iv.* 27. διαλεκτος. *Est. ix.* 26. διεβοηθη ἡ φωνη εις τον οικον Φαραω. *Gen. xlv.* 16. και συνηχθησαν εις Ἱερουσαλημ λαος πολυς. 2 *Par. xxx.* 13.

7 Εξισταντο δε παντες και εθαυμαζον, λεγοντες προς αλληλους, Ουκ, ιδου, παντες οὑτοι εισιν οἱ λαλουντες Γαλιλαιοι;

εξισταντο δε οἱ ανθρωποι. *Gen. xliii.* 33. και εξεστησαν και εφοβηθησαν σφοδρα. 1 *Reg. xvii.* 11.

8 Και πως ἡμεις ακουομεν ἑκαστος τῃ ιδιᾳ διαλεκτῳ ἡμων εν ᾑ εγεννηθημεν,

9 Παρθοι και Μηδοι και Ελαμιται, και οἱ κατοικουντες την Μεσοποταμιαν, Ιουδαιαν τε και Καππαδοκιαν, Ποντον και την Ασιαν,

ορη Μηδων. 4 *Reg. xvii.* 6. Ελαμ. *Gen. xiv.* 1. οἱ Ελαμιται. *Esa. xi.* 11. *xxi.* 2. 1 *Mac. vi.* 1. [*Conf. Jos. Ant. i.* 6. 4.] Μεσοποταμια. *Gen. xxiv.* 10. *Deut. xxiii.* 4. [Ασιαν, *i. e. Ioniam. Conf. Schleus. et Grot. ad Pet. i.* 1. *Jos. Ant. xii.* 3. 3.]

10 Φρυγιαν τε και Παμφυλιαν, Αιγυπτον και τα μερη της Λιβυης της κατα Κυρηνην, και οἱ επιδημουντες Ῥωμαιοι, Ιουδαιοι τε και προσηλυτοι,

Αιγυπτος. *Gen. xii.* 10. *Esa. xix.* 23-25. Λιβυες. *Jer. xxvi.* 9. *Dan. xi.* 43. Ιουδαιοι. *Est. viii.* 17. Αραβες. *Deut. ii.* 8. *Esa. xiii.* 20. *xv.* 9. [προσηλυτοι· οἱ εξ εθνων προσεληλυθοτες, και κατα τους θειους πολιτευομενοι νομους. *Suid.*] ἑως μερους του Ιορδανου. *Jos. xv.* 2. 5. *Neh. iii.* 15. πυλην—κατα ανατολας. *Ezech. xl.* 6. πασα ἡ εκκλησια (Ιουδαιοι), και οἱ προσηλυτοι. 2 *Par. xxx.* 25. [Ιουδαιων, και των σεβομενων τον Θεον. *Jos. Ant. xiv.* 7. 2.]

11 Κρητες και Αραβες, ακουομεν λαλουντων αυτων ταις ἡμετεραις γλωσσαις τα μεγαλεια του Θεου;

Περσαι, και Κρητες. *Ezech. xxx.* 5. 1 *Mac. x.* 67. *Vide Keuchen in loc.* φυλαι, γλωσσαι. *Dan. iii.* 4. ὁ Θεος—ἁ εποιησας μεγαλεια. *Ps. lxx.* 21. διαγγελε πασι το μεγαλειον του Θεου κρατος. 2 *Mac. iii.* 34. του γνωρισαι παντα τα μεγαλεια σου. 1 *Par. xvii.* 19. *Ald. Conf. Ezech. xxxviii.* 4-7. 1 *Mac. xv.* 23.

12 Εξισταντο δε παντες και διηπορουν, αλλος προς αλλον λεγοντες, Τι αν θελοι τουτο ειναι;

και διηπορει. *Dan. ii.* 3. *Sym.* και εξεστη. *Theod.* αλλος αλλαχῃ. *Sap. xviii.* 18. θελειν, *i. e.* μελλειν. *Loesner. ad loc. Conf. cap. xvii.* 20.

13 Ἑτεροι δε χλευαζοντες ελεγον, Ὁτι γλευκους μεμεστωμενοι εισι.

δικαιος γαρ ανηρ και αμεμπτος εγεννηθη εις χλευασμα. *Job. xii.* 4. χλευαζειν. *Prov. xiv.* 9. *xix.* 28. *Aq.* ασκος γλευκους ζεων. *Job. xxxii.* 19. πεπληρωμενους του οινου—και του λιβανου μεμεστωμενους. 3 *Mac. v.* 10. *Conf.* 2 *Mac. vii.* 27. [γλευκος· το αποσταγμα της σταφυλης, πριν πατηθῃ. *Hesych.*] *Conf. Sap. xi.* 14.

14 Σταθεις δε Πετρος συν τοις ἑνδεκα, επηρε την φωνην ἁυτου, και απεφθεγξατο αυτοις, Ανδρες Ιουδαιοι, και οἱ κατοικουντες Ἱερουσαλημ ἁπαντες, τουτο ὑμιν γνωστον εστω, και ενωτισασθε τα ῥηματα μου.

Conf. Matt. xx. 32. οἱ ἑνδεκα (*sc.* μαθηται). *Conf.* 2 *Reg. xxiii.* 18-23. και επηρε την φωνην αυτου—και ειπε. *Jud. ix.* 7. ανδρες Ιουδα. *Jer. iv.* 4. τα ῥηματα μου ενωτισαι Κυριε. *Ps. v.* 1. *Gen. iv.* 23. *Job. xxxiii.* 1. *Esa. xxviii.* 23. [*Conf. Sturz. p.* 166.] γνωστον εστω. *Ezech. xxxvi.* 32. *Sap. xvi.* 28.

15 Ου γαρ, ὡς ὑμεις ὑπολαμβανετε, ὁυτοι μεθυουσιν· εστι γαρ ὡρα τριτη της ἡμερας·

ὑπελαβες—ὁτι εσομαι σοι ὁμοιος. *Ps. xlix.* 21. μη ὑπολαβητε ταις ψυχαις ὑμων. *Jer. xliv.* 9. αριστου ὡρα εστι. *Susan.* 13.

16 Αλλα τουτο εστι το ειρημενον δια του προφητου Ιωηλ,

Conf. 2 *Pet. iii.* 3. *Jer. xxiii.* 25. *Neh. ix.* 30.

17 Και εσται εν ταις εσχαταις ἡμεραις, (λεγει ὁ Θεος,) εκχεω απο του Πνευματος μου επι πασαν σαρκα, και προφητευσουσιν οἱ υἱοι ὑμων και αἱ θυγατερες ὑμων· και οἱ νεανισκοι ὑμων ὁρασεις οψονται, και οἱ πρεσβυτεροι ὑμων ενυπνια ενυπνιασθησονται.

ὁρασις ωφθη προς με. *Dan. viii.* 1.

18 Και γε επι τους δουλους μου και επι τας δουλας μου εν ταις ἡμεραις εκειναις εκχεω απο του Πνευματος μου, και προφητευσουσι.

19 Και δωσω τερατα εν τῳ ουρανῳ ανω, και σημεια επι της γης κατω, αἱμα και πυρ και ατμιδα καπνου.

20 Ὁ ἡλιος μεταστραφησεται εις σκοτος, και ἡ σεληνη εις αἱμα, πριν η ελθειν την ἡμεραν Κυριου την μεγαλην και επιφανη.

και ὁ ἡλιος εγενετο μελας ὡς σακκος τριχινος, και ἡ σεληνη εγενετο ὡς αἱμα. *Apoc. vi.* 12. *Conf. Matt. xxiv.* 29. *Marc. xiii.* 24. *Luc. xxi.* 25. πριν ελθειν την ἡμεραν Κυριου την μεγαλην και επιφανη. *Mal. iv.* 5. *Sophon. ii.* 3. *Mal. iv.* 5.

21 Και εσται, πας ὁς αν επικαλεσηται το ονομα Κυριου, σωθησεται.

Conf. Rom. x. 13. *Matt. xxviii.* 19. 1 *Cor. i.* 2.

17-21.] και εσται μετα ταυτα, και εκχεω κ. τ. λ. και οἱ πρεσβυτεροι ὑμων ενυπνια ενυπνιασθησονται, και οἱ νεανισκοι κ. τ. λ.

Joel. ii. 28-32. εν ταις εσχαταις ἡμεραις. *Esa. ii.* 2. *xliv.* 3. *Zach. xii.* 10. *Conf. Joan. vii.* 38. 1 *Tim. iv.* 10. *Heb. i.* 1. *CITAT.* 107.

22 Ανδρες Ισραηλιται, ακουσατε τους λογους τουτους· Ιησουν τον Ναζωραιον, ανδρα απο του Θεου αποδεδειγμενον εις ὑμας δυναμεσι και τερασι και σημειοις, οἱς εποιησε δι' αυτου ὁ Θεος εν μεσῳ ὑμων, καθως και αυτοι οιδατε,

απεσταλκε με—λαλησαι τους λογους τουτους—ακουσατε τους λογους του βασιλεως. *Esa. xxxvi.* 12, 13. κορασια—αποδεδειγμενα. *Est. ii.* 9. *Ald. Comp.* εν τοις αποδεδειγμενοις του δημου βιβλιοις. 1 *Mac. xiv.* 23. εποιησαν παντα τα σημεια και τα τερατα ταυτα. *Exod. xi.* 10. *Jer. xxxix.* 20. *Conf. Matt. xi.* 4. *Luc. vii.* 16. *Rom. i.* 4. [ἱνα γνω πας ὁ λαος αποδεδειγμενον αυτον απο του Πατρος βασιλεα. *Jos. Ant. vii.* 14. 5. ανδρες Ισραηλιται. *iii.* 8. 1.] εν μεσῳ παντος Ισραηλ. *Deut. xi.* 6.

23 Τουτον τῃ ὡρισμενῃ βουλῃ και προγνωσει του Θεου εκδοτον λαβοντες, δια χειρων ανομων προσπηξαντες ανειλετε·

πολλοι λογισμοι εν καρδιᾳ ανδρος, ἡ δε βουλη του Κυριου εις τον αιωνα μενει. *Prov. xix.* 21. πασα ἡ βουλη μου στησεται. *Esa. xlvi.* 10. ου γαρ εισιν αἱ βουλαι μου ὡσπερ αἱ βουλαι ὑμων. *Esa. lv.* 8. και ἡ κρισις σου εν προγνωσει, κ.τ.λ. *Judith. ix.* 6. *Conf.* 1 *Pet. i.* 2. εκδοτον, *deditum.* εδωκε τον Βηλ εκδοτον τῳ Δανιηλ. *Draco.* 26. *Kuinoel. Conf. Matt. xxvi.* 24. *Marc. xiv.* 21. *Luc. xxii.* 22. [λαβων αυτον εκδοτον. *Jos. Ant. vi.* 13.] *Esa. x.* 5, 19. *Mich. iv.* 11-13. *Dan. iv,* 23. *ix.* 24. 27. *Rom. ix.* 17. *Phil. i.* 12-14. ὁριζειν. *Conf. Rom. i.* 4. [Θεος τον της πολεως λαον—προς απωλειαν εκδοτον φονευσιν εχθροις παρεστησε. *Jos. Bell. Jud. iii.* 7. 31.] [εκδοτος· προδεδομενος, αποδεδομενος. *Hesych.*] *Conf. cap. iv.* 28.

24 Ὁν ὁ Θεος ανεστησε, λυσας τας ωδινας του θανατου, καθοτι ουκ ην δυνατον κρατεισθαι αυτον ὑπ' αυτου.

αναστασις εις ζωην. 2 *Mac. vii.* 14. ωδινας—ελυσας. *Job. xxxix.* 2. *xix.* 25. και ἡ γη εκρατηθη ὑπ' αυτων. *Jos. xviii.* 1. *Ose. xiii.* 14. περιεσχον με ωδινες θανατου. *Ps. cxiv.* 3. 2 *Reg. xxii.* 6. *Rom. iv.* 24. 1 *Cor. vi.* 14. 2 *Cor. iv.* 14. *Gal. i.* 1. αναστησονται οἱ νεκροι, και εγερθησονται οἱ εν τοις μνημειοις, κ.τ.λ. *Esa. xxvi.* 19. *xxv.* 8. *liii.* 10. [αναστησει γαρ Κυριος—Θεον και ανθρωπον. *Test. XII Patr. p.* 542.]

25 Δαβιδ γαρ λεγει εις αυτον, Προωρωμην τον Κυριον ενωπιον μου δια παντος· ὁτι εκ δεξιων μου εστιν, ἱνα μη σαλευθω·

26 Δια τουτο ευφρανθη ἡ καρδια μου, και ηγαλλιασατο ἡ
γλωσσα μου· ετι δε και ἡ σαρξ μου κατασκηνωσει επ᾽ ελπιδι.
[*Conf. Jos. Ant. vii.* 15. 3. *xvi.* 7. 1.]

27 Ὁτι ουκ εγκαταλειψεις την ψυχην μου εις ᾁδου, ουδε δω-
σεις τον ὁσιον σου ιδειν διαφθοραν.

ὁ δε εμου ακουων κατασκηνωσει επ᾽ ελπιδι, κ.τ.λ. *Prov. i.* 33. *Conf. Ps. iv.* 8. *Esa. xxxii.* 9. *Comp.* ηγαπημενος ὑπο Κυριου κατασκηνωσει πεποιθως, κ.τ.λ. *Deut. xxxiii.* 12. (ψυχη, *cadaver.*) επι παση ψυχῃ τετελευτηκυιᾳ ουκ εισελευσεται. *Num. vi.* 6. *Lev. xxi.* 11. *xxii.* 4.

28 Εγνωρισας μοι ὁδους ζωης· πληρωσεις με ευφροσυνης μετα
του προσωπου σου.

25-28.] εις αυτον, *de illo.* εμελετων εις σε. *Ps. lxii.* 6. καγω διαπαντος μετα σου. εκρατησας της χειρος της δεξιας μου. *lxxii.* 23. *Conf. Ps. lxxxv.* 13. *xxix.* 11. *lxii.* 5. εσαλευθη ἡ ψυχη αυτου. *Judith. xii.* 16. εθαμβηθη και εσαλευθη σφοδρα. 1 *Mac. vi.* 8. *Ps. xv.* 8-11. *CITAT.* 108.

29 Ανδρες αδελφοι, εξον ειπειν μετα παρρησιας προς ὑμας περι
του πατριαρχου Δαβιδ, ὁτι και ετελευτησε και εταφη, και
το μνημα αυτου εστιν εν ἡμιν αχρι της ἡμερας ταυτης.

και ηγαγον ὑμας μετα παρρησιας. *Lev. xxvi.* 13. εξον. *Est. iv.* 2. (*sit mihi fas audita loqui.*) και ετελευτησεν εκει Μαριαμ, και εταφη εκει. *Num. xxi.* 1. και εκοιμηθη Δαυιδ μετα πατερων αυτου, και εταφη εν πολει Δαυιδ. 3 *Reg. ii.* 10. *Conf. Act. xiii.* 36.

30 Προφητης ουν ὑπαρχων, και ειδως ὁτι ὁρκῳ ωμοσεν αυτῳ ὁ
Θεος, εκ καρπου της οσφυος αυτου το κατα σαρκα αναστησειν
τον Χριστον, καθισαι επι του θρονου αυτου,

ὁ Θεος—ὁ ὑπαρχων προ των αιωνων. *Ps. liv.* 19. ωμοσε Κυριος τῳ Δαυιδ αληθειαν, και ου μη αθετησει αυτην, Εκ καρπου της κοιλιας σου θησομαι επι θρονου σου. *Ps. cxxxi.* 11. *Job. xxxviii.* 3. ηθετησε τον ὁρκισμον ὁν ωμοσε. 1 *Mac. vi.* 62. βασιλεις εκ της οσφυος σου εξελευσονται. *Gen. xxxv.* 11. 1 *Reg. viii.* 19. 2 *Par. vi.* 9. *Conf.* 2 *Reg. vii.* 12-16. *Luc. i.* 69. *Esa. ix.* 7. *xi.* 1. και εκαθισαν τον βασιλεα επι του θρονου της βασιλειας. 2 *Par. xxiii.* 20. πιστος Δαυιδ υἱος Ιεσσαι, και πιστος ανηρ ὁν ανεστησε Κυριος επι χριστον Θεου Ιακωβ, και ευπρεπεις ψαλμοι Ισραηλ. Πνευμα Κυριου ελαλησεν εν εμοι, και ὁ λογος αυτου επι γλωσσης μου, κ.τ.λ. 2 *Reg. xxiii.* 1, 2. [*Conf. Jos. Ant. vii.* 15. 3. *xiii.* 8. 4. *Bell. Jud. i.* 2. 5.] *CITAT.* 109.

[τουτου δε εγγυητης, [*David.*] ουχ ὁ τυχων, αλλα και προφητης εστιν, ῳ καλον πιστευειν, ὁ τας ὑμνῳδιας αναγραψας, κ.τ.λ. *Philo de Agric. p.* 308. *Tom.* 1. *Edit. Mangey.*]

31 Προϊδων ελαλησε περι της αναστασεως του Χριστου, ὁτι ου κατελειφθη ἡ ψυχη αυτου εις ᾁδου, ουδε ἡ σαρξ αυτου ειδε διαφθοραν.

προϊδων. *Conf. Gen. xxxvii.* 18. *Ps. cxxxviii.* 3. *Sap. xix.* 2. *Luc. xxiv.* 48. *Ps. xvi.* 8. *Coll.* 27. *supra.*

32 Τουτον τον Ιησουν ανεστησεν ὁ Θεος, οὑ παντες ἡμεις εσμεν μαρτυρες.

Conf. Sophon. ii. 8. *Luc. xxiv.* 48. *Joan. xv.* 27.

33 Τῃ δεξιᾳ ουν του Θεου ὑψωθεις, την τε επαγγελιαν του ἁγιου Πνευματος λαβων παρα του πατρος, εξεχεε τουτο ὁ νυν ὑμεις βλεπετε και ακουετε.

ἡ δεξια σου, Κυριε, δεδοξασται εν ισχυϊ. *Exod. xv.* 6. ὑψωθησεται ὑπερανω των βουνων. *Esa. ii.* 2. *Gen. vii.* 24. και ὑψωσει κερας χριστου αυτου. 1 *Reg. ii.* 10. και εκχεω απο του πνευματος μου, κ.τ.λ. *Joel. ii.* 18. *Zach. xii.* 10. *Ezech. xxxvi.* 18. *Conf. Luc. xxiv.* 49. *Joan. xiv.* 16. τοτε ελαλησας εν ὁρασει τοις υἱοις σου, και ειπας, Εθεμην βοηθειαν επι δυνατον, ὑψωσα εκλεκτον εκ του λαου μου, κ.τ.λ. *Ps. lxxxviii.* 19, 20. *cxvii.* 16. υἱος μου ει συ. *ii.* 7. ιδου συνησει ὁ παις μου, και ὑψωθησεται, και δοξασθησεται σφοδρα. *Esa. lii.* 13. δια τουτου αυτος κληρονομησει πολλους, κ.τ.λ. *liii.* 12. σοφιαν εξεχεε. *Sir. i.* 9. [εκχεει πνευμα χαριτος εφ᾽ ὑμας. *Test. XII Patr. p.* 617.]

34 Ου γαρ Δαβιδ ανεβη εις τους ουρανους. Λεγει δε αυτος, Ειπεν ὁ Κυριος τῳ Κυριῳ μου, Καθου εκ δεξιων μου·

35 Ἑως αν θω τους εχθρους σου ὑποποδιον των ποδων σου.

αναβας εις ὑψος. *Ps. lxvii.* 18. *Ald. Comp.* ανεβης. *Just.* ανεβη. *Ps. cix.* 1. *Luc. xx.* 42. *Matt. xxii.* 44. *Marc. xii.* 36. Ειπεν ὁ Κυριος τῳ Κυριῳ μου κ.τ.λ. *Heb. i.* 13. επεθηκαν τους ποδας αυτων επι τους τραχηλους αυτων—οὑτω ποιησει Κυριος πασι τοις εχθροις ὑμων. *Jos. x.* 24, 25. *Esa. lxvi.* 1. *Thren. ii.* 1. *CITAT.* 110.

36 Ασφαλως ουν γινωσκετω πας οικος Ισραηλ, ὁτι Κυριον και Χριστον αυτον ὁ Θεος εποιησε, τουτον τον Ιησουν ὁν ὑμεις εσταυρωσατε.

Ακουσατε λογον Κυριου οικος Ιακωβ, και πασα πατρια οικου Ισραηλ. *Jer. ii.* 4. ασφαλως ειδοτες. *Sap. xviii.* 6. πας οικος Ισραηλ.

Num. xx. 29. *Amos. vi.* 15. *ix.* 9. επι χριστον Θεου Ιακωβ. 2 *Reg. xxiii.* 1. και εχρισαν αυτον, και κατεστησαν αυτον αντι του πατρος αυτου εις βασιλεα. 2 *Par. xxxvi.* 1. εχρισε σε ὁ Θεος ὁ Θεος σου ελαιον αγαλλιασεως παρα τους μετοχους σου. *Ps. xliv.* 7. ἑως Χριστου ἡγουμενου. *Dan. ix.* 25. και εποιησεν αυτον ὁ πατηρ αυτου αρχοντα. 1 *Par. xxvi.* 10. *Gen. xlv.* 10. *Ezech. xxxiv.* 23, 24.

37 Ακουσαντες δε κατενυγησαν τῃ καρδιᾳ, ειπον τε προς τον Πετρον και τους λοιπους αποστολους, Τι ποιησομεν, ανδρες αδελφοι;

ὡς δε ηκουσαν, κατενυγησαν οἱ ανδρες. *Gen. xxxiv.* 7. και ελαλησεν αυτων εις την καρδιαν. *l.* 21. και κατανενυγμενον τῃ καρδιᾳ. *Ps. cviii.* 16. *Sir. xiv.* 1. *xx.* 21. *Susan.* 10.

38 Πετρος δε εφη προς αυτους, Μετανοησατε, και βαπτισθητω ἑκαστος ὑμων επι τῳ ονοματι Ιησου Χριστου εις αφεσιν ἁμαρτιων· και ληψεσθε την δωρεαν του ἁγιου Πνευματος.

επιστρεψατε προς με, και επιστραφησομαι προς ὑμας. *Mal. iii.* 7. λουσασθε, καθαροι γενεσθε, κ. τ. λ. *Esa. i.* 16. εδιδους τοπον μετανοιας. *Sap. xii.* 10. διδως επι ἁμαρτημασι μετανοιαν. 19. ὑποδειγμα μετανοιας. *Sir. xliv.* 16. και επεκαλεσατο εκει επι τῳ ονοματι Κυριου. *Gen. xxi.* 33. *Ald.* και ὁ εξαποστελλων τον χιμαρον τον διεσταλμενον εις αφεσιν. *Lev. xvi.* 26. αδελφῳ σου αφεσιν ποιησεις του χρεους σου. *Deut. xv.* 3. ἑως αν ελθῃ εφ᾿ ὑμας πνευμα αφ᾿ ὑψηλου. *Esa. xxxii.* 15. *xliv.* 3. *lix.* 21. *Est. ii.* 18. δοματα και δωρεας—ληψεσθε παρ᾿ εμου. *Dan. ii.* 6. την δωρεαν της οικιας. *v.* 17.

39 Ὑμιν γαρ εστιν ἡ επαγγελια και τοις τεκνοις ὑμων, και πασι τοις εις μακραν, ὁσους αν προσκαλεσηται Κυριος ὁ Θεος ἡμων.

επαγγελια. *Est. iv.* 7. 1 *Mac. x.* 15. και εσται πας ὁς αν επικαλεσηται το ονομα Κυριου σωθησεται—και ευαγγελιζομενοι οὑς Κυριος προσκεκληται. *Joel. ii.* 32. και οἱ μακραν μνησθησονται μου. *Zach. x.* 9. τις ὡς Κυριος ὁ Θεος ἡμων; *Ps. cxii.* 5. τοις εγγυς και τοις μακραν εν πασῃ τῃ γῃ. *Dan. ix.* 7. *Conf. Jer. xxxi.* 34. *Zach. xiii.* 1. *Esa. lvii.* 19. και στησω την διαθηκην μου ανα μεσον σου και ανα μεσον του σπερματος σου μετα σε, κ.τ.λ. *Gen. xvii.* 7, 8. προσθειη Κυριος εφ᾿ ὑμας, εφ᾿ ὑμας και επι τους υἱους ὑμων. *Ps. cxiii.* 14. *Conf. Joel. iii.* 1. *Rom. ix.* 24.

40 Ἑτεροις τε λογοις πλειοσι διεμαρτυρετο και παρεκαλει, λεγων, Σωθητε απο της γενεας της σκολιας ταυτης.

απολειπετε αφροσυνην, ἱνα εις τον αιωνα βασιλευσητε· και ζητησατε φρονησιν κ. τ. λ. Prov. ix. 6. [γενεα σκολια και διεστραμμενη, κ. τ. λ. Philo de Verb. Noe. p. 214. Edit. Col.] και τους προφητας σου απεκτειναν, οἱ διεμαρτυραντο εν αυτοις επιστρεψαι αυτους προς σε. Neh. ix. 26. διατηρησεις ἡμας απο της γενεας ταυτης. Ps. xi. 7. γενεα σκολια. Deut. xxxii. 5. Prov. ii. 15. γενεας γαρ αδικου χαλεπα τα τελη. Sap. iii. 19.

41 Οἱ μεν ουν ασμενως αποδεξαμενοι τον λογον αυτου εβαπτισθησαν· και προσετεθησαν τῃ ἡμερᾳ εκεινῃ ψυχαι ὡσει τρισχιλιαι.

ασμενως. 2 Mac. iv. 12. 3 Mac. iii. 15. Conf. Luc. viii. 13. οἱ φυγαδευοντες—προσετεθησαν αυτοις. 1 Mac. ii. 43. ουκ εστιν ελαττωσαι ουδε προσθειναι. Sir. xviii. 5. πασαι αἱ ψυχαι, υἱοι και θυγατερες. Gen. xlvi. 15. και απεδεξατο, και εποιησε κατα τους λογους αυτου. 1 Mac. ix. 71. ὡσει τρισχιλιοι ανδρες. Jud. xvi. 27. [αἱ δ' ασμενως δεξαμεναι τους λογους. Jos. Ant. iv. 7. xviii. 34. 5.]

42 Ησαν δε προσκαρτερουντες τῃ διδαχῃ των αποστολων και τῃ κοινωνιᾳ και τῃ κλασει του αρτου και ταις προσευχαις.

οὑτοι προσκαρτερουν εν τῃ οικιᾳ Ιωακειμ. Susan. 6. —ησαν προσκαρτερουντες = εσῃ συναντων. Exod. vii. 15. ισχυροτερῳ σου και πλουσιωτερῳ μη κοινωνει. Sir. xiii. 2. στηρισον την καρδιαν σου κλασματι αρτου. Jud. xix. 5. Ald. O. Alex. Comp. Conf. Heb. x. 25. Rom. xii. 12. Ephes. vi. 18.

43 Εγενετο δε πασῃ ψυχῃ φοβος, πολλα τε τερατα και σημεια δια των αποστολων εγινετο.

πασα ψυχη εξ ὑμων. Lev. xvii. 12. 15. και εσται σημεια και τερατα εν τῳ οικῳ Ισραηλ. Esa. viii. 18.

44 Παντες δε οἱ πιστευοντες ησαν επι το αυτο, και ειχον ἁπαντα κοινα,

κοινον αερα. Sap. vii. 3. Conf. Exod. xvi. 18. 2 Par. xx. 20. επι το αυτο. Ps. xxxiii. 3. Conf. Esd. iv. 3. 1 Mac. xii. 23. Ps. xv. 2, 3.

45 Και τα κτηματα και τας ὑπαρξεις επιπρασκον, και διεμεριζον αυτα πασι, καθοτι αν τις χρειαν ειχε·

οικον και ὑπαρξιν μεριζουσι πατερες παισι. Prov. xix. 14. εσκορπισεν, εδωκε τοις πενησι, κ. τ. λ. Ps. cxi. 9. [κατα την ἑκαστου χρειαν προσεφερον πασι. Test. XII Patr. p. 640.]

46 Καθ' ἡμεραν τε προσκαρτερουντες ὁμοθυμαδον εν τῳ ἱερῳ,

κλωντες τε κατ᾽ οικον αρτον, μετελαμβανον τροφης εν αγαλλιασει και αφελοτητι καρδιας,

καθ᾽ ἡμεραν. *Num. iv.* 16. ου μη κλασθῃ αρτος. *Jer. xvi.* 7. μετελαμβανον. *Sap. xviii.* 9. εν αγαλλιασει θεριουσι. *Ps. cxxv.* 5. *Conf. Ps. xli.* 4. *Deut. xii.* 7. εν ἁπλοτητι καρδιας. 1 *Par. xxix.* 17. *Sap. i.* 1. ὡς ει τινα μητηρ παρακαλεσει, οὑτω καγω παρακαλεσω ὑμας, και εν Ἱερουσαλημ παρακληθησεσθε. *Esa. lxvi.* 13. οὑτοι προσεκαρτερουν εν τῃ οικιᾳ Ιωακειμ. *Susan.* 6. *Num. xiii.* 21. *Conf. Luc. xxiv.* 53. και ευφρανθησεσθε, και την αληθειαν και την ειρηνην αγαπησατε. *Zach. viii.* 19. και ην αγαθον μετα Κυριου και μετα ανθρωπων. 1 *Reg. ii.* 26. [αφελεια. *Jos. Ant. iii.* 12. 2.]

47 Αινουντες τον Θεον και εχοντες χαριν προς ὁλον τον λαον. Ὁ δε Κυριος προσετιθει τους σωζομενους καθ᾽ ἡμεραν τῃ εκκλησιᾳ.

αινειτε—Κυριον. *Ps. cxii.* 1. *et pass.* και χαριν εχεις παρ᾽ εμοι. *Exod. xxxiii.* 12. ὁ Θεος χαριν και δοξαν δωσει. *Ps. lxxxiii.* 11. *Conf. sup.* 41. χαριν εχεις παρ᾽ εμοι. *Exod. xxxiii.* 12, 13. *Num. xviii.* 2. *Esa. xiv.* 1. συναχθητε, και ἡκετε, βουλευσασθε ἁμα οἱ σωζομενοι απο των εθνων. *Esa. xlv.* 20. ὁδηγησον με Κυριε εν τῃ ὁδῳ σου, και πορευσομαι εν τῃ αληθειᾳ σου. *Ps. lxxxv.* 11.

Κεφ. γ. 3.

ΕΠΙ το αυτο δε Πετρος και Ιωαννης ανεβαινον εις το ἱερον επι την ὡραν της προσευχης την ενατην.

συνηλθοσαν επι το αυτο. *Jos. ix.* 2. *Jer. iii.* 18. και ανεβη εις οικον Κυριου. 2 *Par. xxix.* 20. ὡσει ὡραν θυσιας ἑσπερινης. *Dan. ix.* 21. *Ps. liv.* 17. *Gen. xxix.* 7. *i. e.* την ενατην της ἡμερας. *Krebs.*

2 Και τις ανηρ χωλος εκ κοιλιας μητρος αὐτου ὑπαρχων εβασταζετο· ὁν ετιθουν καθ᾽ ἡμεραν προς την θυραν του ἱερου την λεγομενην Ὡραιαν, του αιτειν ελεημοσυνην παρα των εισπορευομενων εις το ἱερον.

ὁτι Ναζηραιος Θεου εγω ειμι εκ κοιλιας μητρος μου. *Jud. xvi.* 18. *Alex. O. Ald. Job. i.* 21. *Esa. xlix.* 1. καθ᾽ ἡμεραν. *Num. iv.* 16. ὁ ὑπαρχων προ των αιωνων. *Ps. liv.* 19. τας θυρας του οικου του ναου χρυσας. 2 *Par. iv.* 22. και θησω αυτον επι την γην. *Ezech. xiii.* 14. [των δε πυλων, αἱ μεν εννεα χρυσῳ και αργυρῳ κεκαλυμμεναι πανταχοθεν ησαν—μια δ᾽ η εξωθεν του νεω

Κορινθιου χαλκου, πολυ τῃ τιμῃ τας καταργυρους και περιχρυσους ὑπεραγουσα, κ. τ. λ. *Jos. Bell. Jud. v.* 5. 3. *Conf. Ant. xv.* 11. 3. *xx.* 8. 7.]

3 Ὁς ιδων Πετρον και Ιωαννην μελλοντας εισιεναι εις το ἱερον, ηρωτα ελεημοσυνην λαβειν.

εισιοντι εις το ἁγιον. *Exod. xxviii.* 29. 35. ληψεται ελεημοσυνην παρα Θεου. *Ps. xxiii.* 5. καλον ποιησαι ελεημοσυνην. *Tob. xii.* 8. ηρωτησαν—τα εις ειρηνην. 1 *Reg. xxx.* 21. *Conf. Sir. xxix.* 12.

4 Ατενισας δε Πετρος εις αυτον συν τῳ Ιωαννῃ, ειπε, Βλεψον εις ἡμας.

ατενισας. 1 *Esd. vi.* 28. ποιησον μετ᾽ εμου σημειον εις αγαθον. *Ps. lxxxv.* 17. *cxviii.* 132. *Conf. Jud. vii.* 17.

5 Ὁ δε επειχεν αυτοις, προσδοκων τι παρ᾽ αυτων λαβειν.

τοις καιροις επεχοντες. 2 *Mac. ix.* 25. παντα προς σε προσδοκωσι, δουναι την τροφην. *Ps. ciii.* 27. επειχεν. *sc.* οφθαλμους. *Bos. p.* 227.

6 Ειπε δε Πετρος, Αργυριον και χρυσιον ουχ ὑπαρχει μοι· ὁ δε εχω, τουτο σοι διδωμι. εν τῳ ονοματι Ιησου Χριστου του Ναζωραιου, εγειραι και περιπατει.

και παντα ὁσα ὑπαρχει ανθρωπῳ—εκτισει. *Job. ii.* 4. *Alex. Ald. Comp.* ουχ ὑπαρχει μοι φιλος. *Sir. xx.* 16. ευλογημενος ὁ ερχομενος εν ονοματι Κυριου. *Ps. cxvii.* 26. Ναζωραιου. *Conf. Matt. ii.* 23. αργυριον. *Eccles. x.* 19. εν ονοματι Κυριου του Θεου του επικεκλημενου Θεου Ισραηλ, κ. τ. λ. *Sir. xlvii.* 18.

7 Και πιασας αυτον της δεξιας χειρος ηγειρε· παραχρημα δε εστερεωθησαν αυτου αἱ βασεις και τα σφυρα,

το μηδε βασει χρησθαι δυναμενον. *Sap. xiii.* 18. εγω εστερεωσα τους στυλους αυτης. *Ps. lxxiv.* 3. *Esa. xlii.* 5. *Jer. x.* 4.

8 Και εξαλλομενος εστη και περιεπατει, και εισηλθε συν αυτοις εις το ἱερον, περιπατων και ἁλλομενος και αινων τον Θεον.

τα γαρ ορη και οἱ βουνοι εξαλουνται προσδεχομενοι. *Esa. lv.* 12. τοτε ἁλειται ὡς ελαφος ὁ χωλος. *xxxv.* 6.

9 Και ειδεν αυτον πας ὁ λαος περιπατουντα και αινουντα τον Θεον·

10 Επεγινωσκον τε αυτον ὁτι οὑτος ην ὁ προς την ελεημοσυνην

καθημενος επι τῃ Ὡραιᾳ πυλῃ του ἱερου· και επλησθησαν θαμβους και εκστασεως επι τῳ συμβεβηκοτι αυτῳ.

φοβος και θαμβος εγενηθη ἡμιν. *Thren. iii.* 47. *Ald. Comp.* και εθαμβησεν ἡ γη, και εγενηθη εκστασις. 1 *Reg. xiv.* 15. τους προς απαντησιν διατεταγμενους. 3 *Mac. i.* 19.

11 Κρατουντος δε του ιαθεντος χωλου τον Πετρον και Ιωαννην, συνεδραμε προς αυτους πας ὁ λαος επι τῃ στοᾳ τῃ καλουμενῃ Σολομωντος, εκθαμβοι.

και συνεδραμον παντες. *Judith. xiii.* 13. *Conf. Joan. x.* 23. 4 *Reg. iv.* 8. [ην δε ἡ στοα του μεν εξωθεν ἱερου—εργον Σολομωνος. *Jos. Ant. xx.* 8. 7.] και Αβεννηρ ην κρατων του οικου Σαουλ. 2 *Reg. iii.* 6. *Conf. Col. ii.* 19. *Apoc. iii.* 11. *Joan. x.* 23.

12 Ιδων δε Πετρος απεκρινατο προς τον λαον, Ανδρες Ισραηλιται, τι θαυμαζετε επι τουτῳ, η ἡμιν τι ατενιζετε, ὡς ιδιᾳ δυναμει η ευσεβειᾳ πεποιηκοσι του περιπατειν αυτον;

απεκριθησαν δε—προς Ἀβρααμ. *Gen. xxiii.* 5. 3 *Reg. xii.* 13. μη θαυμασῃς επι τῳ πραγματι. *Eccles. v.* 7. παντος δυνατωτερα εστιν ευσεβεια. *Sap. x.* 12. του περιπατειν. *Winer.* § 45.

13 Ὁ Θεος Αβρααμ και Ισαακ και Ιακωβ, ὁ Θεος των πατερων ἡμων, εδοξασε τον παιδα αὐτου Ιησουν· ὁν ὑμεις παρεδωκατε, και ηρνησασθε αυτον κατα προσωπον Πιλατου, κριναντος εκεινου απολυειν.

ὁ Θεος των πατερων μου. *Dan. ii.* 23. εγω ειμι ὁ Θεος του πατρος σου, Θεος Ἀβρααμ, και Θεος Ισαακ, και Θεος Ιακωβ. *Exod. iii.* 6. παις μου ει, εξελεξαμην σε. *Esa. xli.* 9. ιδου συνησει ὁ παις μου, και ὑψωθησεται, και δοξασθησεται σφοδρα. *lii.* 13. κατα προσωπον βασιλεως. 2 *Par. xiii.* 8. τον μεν της ὁλης κακιας αιτιον—απελυσε των κατηγορηματων. 2 *Mac. iv.* 47. και γνωσονται ὁτι εγω ειμι Κυριος ὁ Θεος αυτων, και ὁ Θεος των πατερων αυτων. *Ezech. xxviii.* 26. απολυων δε τους αιτιους. *Susan.* 53. *Conf. Joan. xviii.* 39. *Matt. xxvii.* 2. *Marc. xv.* 11. *Luc. xxiii.* 18-21.

14 Ὑμεις δε τον ἁγιον και δικαιον ηρνησασθε, και ῃτησασθε ανδρα φονεα χαρισθηναι ὑμιν,

ὁ ἁγιος εν Ισραηλ. *Ezech. xxxix.* 7. *Alex. Conf. Dan. x.* 10. ὁ ὁσιος (*de Messiâ.*) *Ps. xvi.* 10. *Zach. ix.* 9. αρνουμενοι γαρ σε ειδεναι ασεβεις. *Sap. xvi.* 16. χαρισθηναι. *Act. xxv.* 11. *Conf. Matt. xxvii.* 20. *Marc. xv.* 11. *Luc. xxiii.* 18. *Joan. xviii.* 40. δησωμεν τον δικαιον, ὁτι δυσχρηστος ἡμιν εστι. *Esa. iii.* 10. [αρωμεν τον δικαιον,

κ. τ. λ. *Just. Mart. Dialog. Tryph. p.* 367. *Edit. Theod.*] ενεδρευσωμεν δε τον δικαιον, ὁτι δυσχρηστος ἡμιν εστι, κ. τ. λ. *Sap. ii.* 12. *Owen. p.* 66. φονευς. 4 *Reg. ix.* 31. *Comp. Sap. xii.* 5. ανδρα ἁμαρτωλον. *Sir. x.* 23. [τῳ πατερων ονοματι ταυτην χαριζομενος την δωρεαν. *Jos. Ant. ii.* 6. 9. *Conf. Krebs. ad loc.*]

15 Τον δε αρχηγον της ζωης απεκτεινατε· ὁν ὁ Θεος ηγειρεν εκ νεκρων, οὑ ἡμεις μαρτυρες εσμεν.

αρχηγος. *Mich. i.* 13. 1 *Mac. x.* 47. ὁ εγειρας νεκρον του θανατου και εξ ᾳδου εν λογῳ Ὑψιστου. *Sir. xlviii.* 5. ἡ αρχη εγενηθη επι του ωμου αυτου, και καλειται ονομα αυτου, Μεγαλης βουλης αγγελος. *Esa. ix.* 6. *Conf. Joan. i.* 4. *v.* 26. *Col. iii.* 4. 2 *Tim. i.* 10. *Heb. ii.* 10. 1 *Joan. v.* 11. ὑπομεινον με—εις ἡμεραν αναστασεως μου εις μαρτυριον. *Sophon. iii.* 8.

16 Και επι τῃ πιστει του ονοματος αυτου, τουτον ὁν θεωρειτε και οιδατε, εστερεωσε το ονομα αυτου· και ἡ πιστις ἡ δι' αυτου εδωκεν αυτῳ την ὁλοκληριαν ταυτην απεναντι παντων ὑμων.

επι τῃ πιστει—και ἡ πιστις, *similes nominum repetitiones apud LXX invenies, Gen. xiv.* 24. *Ps. lxxxi.* 1. 3 *Reg. xii.* 1. απο ποδων ἑως κεφαλης ουκ εστιν εν αυτῳ ὁλοκληρια. *Esa. i.* 6. στερεωσον λογον, και πιστωθητι, κ. τ. λ. *Sir. xxix.* 3. εστερεωθη ἡ καρδια μου εν Κυριῳ. 1 *Reg. ii.* 1. απεναντι των ανδρων και των γυναικων. *Neh. viii.* 3. *Conf. Gal. v.* 6.

17 Και νυν, αδελφοι, οιδα ὁτι κατα αγνοιαν επραξατε, ὡσπερ και οἱ αρχοντες ὑμων·

και νυν αδελφοι. *Judith. viii.* 24. *Conf. Deut. xv.* 2, 3. τα ὑπερ ἁμαρτιας και τα ὑπερ αγνοιας. *Ezech. xl.* 39. ὁς αν φαγῃ ἁγια κατ' αγνοιαν. *Lev. xxii.* 14. *Conf. Num. xv.* 24. *Luc. xxiii.* 34. *Joan. vii.* 26. 1 *Cor. ii.* 8. [αποκτενειτε αυτον (*Messiam*), ουκ ειδοτες αυτου το αναστημα, το αθωον αἱμα εν κακιᾳ επι κεφαλης ὑμων αναδεχομενοι. κ. τ. λ. *Test. XII Patr. p.* 582.]

18 Ὁ δε Θεος ἁ προκατηγγειλε δια στοματος παντων των προφητων αὑτου παθειν τον Χριστον, επληρωσεν οὑτω.

του πληρωθηναι λογον δια στοματος Ἱερεμιου. 2 *Par. xxxvi.* 21, 22. *Conf. Esa. l.* 6. *liii. pass. Luc. xxiv.* 27. 44. *Joan. v.* 46. *Act. iii.* 18. *xvi.* 22. *Rom. iii.* 21. *xvi.* 26. 2 *Pet. iii.* 2. ἡμεις γαρ δια τας ἑαυτων ἁμαρτιας πασχομεν. 2 *Mac. vii.* 32. [τοις προκατηγγελμενοις ὑπο του Θεου πιστιν—παρειχε. *Jos. Ant. i.* 12. 3.] *Conf. Gal. iii.* 8.

19 Μετανοησατε ουν και επιστρεψατε, εις το εξαλειφθηναι ὑμων τας ἁμαρτιας, ὁπως αν ελθωσι καιροι αναψυξεως απο προσωπου του Κυριου,

επιστραφητε επ' εμε, και σωθησεσθε, κ. τ. λ. *Esa. xlv.* 22. *Ps. lxxvii.* 38. επιστρεψατε προς με, λεγει Κυριος. *Zach. i.* 3. *Sir. xvii.* 25. εν πασι τουτους ου μετενοησεν ὁ λαος. *xlviii.* 16. ευλαβεισθω πασα σαρξ απο προσωπου Κυριου. *Zach. ii.* 13. 2 *Par. xxxiii.* 12. *Jos. v.* 1. *Gen. iii.* 8. *Ps. xvi.* 15. εξηγαγες ἡμας εις αναψυχην. *Ps. lxv.* 12. *Exod. viii.* 15. *Ose. xii.* 8. 2 *Mac. xiii.* 10. ιδου γαρ απηλειψα ὡς νεφελην τας ανομιας σου, κ. τ. λ. *Esa. xliv.* 22. εγω ειμι αυτος ὁ εξαλειφων τας ανομιας σου. *xliii.* 25. *Ald. Comp.* εξαλειψαι ανομιαν λαου. *Sir. xlvi.* 20. *xlvii.* 22. 2 *Mac. xii.* 42. 3 *Mac. ii.* 19. και εν τῳ αποστρεψαι ανομον απο της ανομιας αυτου ἡς εποιησε—ζωῃ ζησεται, κ. τ. λ. *Ezech. xviii.* 27, 28. *Conf. Rom. xi.* 25. *Ps. li.* 9. [αναψυξις· αναπαυσις. *Hesych.*]

20 Και αποστειλῃ τον προκεκηρυγμενον ὑμιν Ιησουν Χριστον,

προκεχειρισμενον [*Ita Griesbach in loc.* προκεκηρυγμενον.] προχειρισασθε ὑμιν δωδεκα ανδρας. *Jos. iii.* 12. *Exod. iv.* 13. 2 *Mac. iii.* 7. *viii.* 9. εκλελυμενοι, και ανεψυξαν εκει. 2 *Reg. xvi.* 14. *Conf. Exod. viii.* 15. [Ἱερεμιας τα μελλοντα τῃ πολει δεινα προεκηρυξε. *Jos. Ant. x.* 5. 1.]

21 Ὁν δει ουρανον μεν δεξασθαι αχρι χρονων αποκαταστασεως παντων, ὡν ελαλησεν ὁ Θεος δια στοματος παντων ἁγιων αὑτου προφητων απ' αιωνος.

αποκαταστησει δε σοι διαιταν δικαιοσυνης. *Job. viii.* 6. [αποκαταστασις των Ιουδαιων (*de redit. captiv. Babyl.*) *Jos. Ant. xi.* 3. 8. των Ἱεροσολυμων αποκαταστασις. (*instauratio Hieros.*) *xi.* 4. 6.] [τελεια αποκαταστασις αρετης. *Philo. p.* 522.] *Conf. Rom. viii.* 19. *Apoc. xxi.* 1. 2 *Pet. iii.* 13. οἱ γιγαντες οἱ απ' αιωνος. *Gen. vi.* 4. *Ps. xxiv.* 6. *cxviii.* 52. του πληρωθηναι λογον Κυριου δια στοματος Ἱερεμιου. 2 *Par. xxxvi.* 21. *Tob. iv.* 12. *Sir. xliv.* 2. [αχρι του νυν. *Philo. p.* 380.] αλλ' η εστι Θεος εν ουρανῳ αποκαλυπτων μυστηρια, και εγνωρισε—ἁ δει γενεσθαι κ.τ.λ. *Dan. ii.* 28. [ουχ ἱνα μονον αυτῳ μηνυθῃ ὁ χρονος εν ᾡ την ἱεραν οικησουσι γην, αλλ' ὑπερ του και την τελειαν αποκαταστασιν αρετης παραστησαι. *Philo. p.* 522.]

22 Μωσης μεν γαρ προς τους πατερας ειπεν, ὁτι, Προφητην ὑμιν αναστησει Κυριος ὁ Θεος ὑμων εκ των αδελφων ὑμων, ὡς

εμε· αυτου ακουσεσθε κατα παντα ὁσα αν λαλησῃ προς ὑμας.

επι σοι ηλπισαν οἱ πατερες ἡμων. *Ps. xxii.* 4. παντα ὁσα ειρηκα προς ὑμας. *Exod. xxiii.* 13. προφητην εκ των αδελφων σου, ὡς εμε, αναστησει σοι ὁ Κυριος ὁ Θεος σου. αυτου ακουσεσθε. *Deut. xviii.* 15. και λαλησει αυτοις καθ' ὁτι αν εντειλωμαι αυτῳ. *xviii.* 18. και ὁ ανθρωπος ὁς εαν μη ακουσῃ ὁσα αν λαλησῃ ὁ προφητης εκεινος επι τῳ ονοματι μου, εγω εκδικησω εξ αυτου. *xviii.* 19.

23 Εσται δε, πασα ψυχη, ἡτις αν μη ακουσῃ του προφητου εκεινου, εξολοθρευθησεται εκ του λαου.

πασα—ἡτις. *Conf. Deut. i.* 39. εξολοθρευθησεται εκ του λαου αυτου. *Exod. xxx.* 33. [παν εξολοθρευσω σου το γενος. *Jos. Ant. viii.* 11. 1.] [εξολοθρευθησεται. *Conf. Sturz. de voc. Alex. p.* 166, 167.] *CITAT.* 111.

24 Και παντες δε οἱ προφηται απο Σαμουηλ και των καθεξης, ὁσοι ελαλησαν, και προκατηγγειλαν τας ἡμερας ταυτας.

Conf. 1 *Reg. ii.* 10. *iii.* 1. 2 *Reg. vii.* 6. Μωυσης και Ααρων εν τοις ἱερευσιν αυτου, και Σαμουηλ εν τοις επικαλουμενοις το ονομα αυτου, κ.τ.λ. *Ps. xcviii.* 6. *Jer. xv.* 1. [*Conf. Jos. Ant. v.* 10.]

25 Ὑμεις εστε υἱοι των προφητων, και της διαθηκης ἡς διεθετο ὁ Θεος προς τους πατερας ἡμων, λεγων προς Αβρααμ, Και τῳ σπερματι σου ενευλογηθησονται πασαι αἱ πατριαι της γης.

υἱος ανομιας. *Ps. lxxxix.* 22. υἱος θανατου. 2 *Reg. xii.* 15. υἱος επιστημων. *Sir. xlvii.* 12. υἱοι σοφιας. *iv.* 11. διαθηκην μου, ἡν διεθεμην προς τους πατερας αυτων. *Jer. xi.* 10. 2 *Mac. i.* 2. και ενευλογηθησονται εν τῳ σπερματι σου παντα τα εθνη της γης. *Gen. xxii.* 18. προσκυνησουσι—πασαι αἱ πατριαι των εθνων. *Ps. xxi.* 27. *Conf. Tob. i.* 9. 1 *Par. xvi.* 28. [ενευλογηθησονται γαρ σοι πασαι αἱ φυλαι. *Philo de Som. p.* 459.] εν ὁρκῳ εστησεν αυτῳ ενευλογηθηναι εθνη. *Sir. xliv.* 21. [υἱοι της διαθηκης. *Psalt. Sal. xvii.* 17.] *Conf. Gen. xii.* 2, 3. *xviii.* 18. *xxvi.* 4. *Rom. xv.* 8. *Gal. iii.* 8. *Tob. iv.* 12. εμνησθη εις τον αιωνα διαθηκης αυτου, λογου οὑ ενετειλατο εις χιλιας γενεας, κ. τ. λ. *Ps. civ.* 8-10. *CITAT.* 112.

26 Ὑμιν πρωτον ὁ Θεος αναστησας τον παιδα αὑτου Ιησουν, απεστειλεν αυτον ευλογουντα ὑμας, εν τῳ αποστρεφειν ἑκαστον απο των πονηριων ὑμων.

προσδοκαν ελπιδας παλιν αναστησεσθαι ὑπ' αυτου. 2 *Mac. vii.* 14.

Deut. xiii. 1. *xxxiv.* 10. *Sir. xlvii.* 1. *xlviii.* 1. αποστρεψαι ανθρωπον απο αδικιας. *Job. xxxiii.* 17. και αποστρεψωσιν απο των ὁδων αυτων των πονηρων. 2 *Par. vii.* 14. μη ονειδιζε ανθρωπον αποστρεφοντα απο ἁμαρτιας. *Sir. viii.* 5. παυσασθε απο των πονηριων ὑμων. *Esa. i.* 16. *Ezech. xxxiii.* 18. *Conf. Matt. i.* 21. *Eph. v.* 26. και ἡξει ἑνεκεν Σιων ὁ ῥυομενος, και αποστρεψει ασεβειας απο Ιακωβ, κ. τ. λ. *Esa. lix.* 20, 21. ευλογησαι ἡμας ὁ Θεος, και φοβηθητωσαν αυτον παντα τα περατα της γης. *Ps. lxvi.* 7. [τουτο γαρ, φησιν, ονομα εστιν αιωνιον, Θεος Αβρααμ, κ. τ. λ. *Philo de Abr. p.* 280. *Conf. Exod. iii.* 15.]

ΚΕΦ. δ. 4.

ΛΑΛΟΥΝΤΩΝ δε αυτων προς τον λαον, επεστησαν αυτοις οἱ ἱερεις και ὁ στρατηγος του ἱερου και οἱ Σαδδουκαιοι,

ουκ επιστηση εφ᾽ αἱμα του πλησιον σου. *Lev. xix.* 16. φρικτως και ταχεως επιστησεται ὑμιν. *Sap. vi.* 5. ὁ προστατης του ἱερου. 2 *Mac. iii.* 4. *Conf.* 2 *Par. xxiii.* 4-9. 4 *Reg. xii.* 9. *xxv.* 18. *Matt. iii.* 7. [ὁ στρατηγος. *Jos. Ant. xx.* 6. 2. δραμοντες δε οἱ του ἱερου φυλακες ηγγειλαν τῳ στρατηγῳ. *Bell. Jud. vi.* 5. 3. *p.* 1281. *Edit. Hud.*] ὁ ἡγουμενος οικου του Θεου. 1 *Par. ix.* 11. *Jer. xx.* 1. οἱ επισταται του ἱερου. 1 *Esd. i.* 8. *vii.* 2.

2 Διαπονουμενοι δια το διδασκειν αυτους τον λαον, και καταγγελλειν εν τῳ Ιησου την αναστασιν την εκ νεκρων·

διαπονουμενοι. *Gen. vi.* 6. *Aq.* ενεθυμηθη. *LXX.* δια το καταβεβηκεναι επ᾽ αυτο τον Θεον. *Exod. xix.* 18. [διαπονηθεις· λυπηθεις. *Hesych.*] ὑπερ αναστασεως διαλογιζομενος. 2 *Mac. xii.* 43. και απαγγελλων εις ανθρωπους τον Χριστον αυτου. *Amos. iv.* 13. δια το προσκεισθαι αυτον. *Deut. i.* 36. *Conf. Sophon. iii.* 8.

3 Και επεβαλον αυτοις τας χειρας, και εθεντο εις τηρησιν εις την αυριον· ην γαρ ἑσπερα ηδη.

μη επιβαλης την χειρα σου επι το παιδαριον. *Gen. xxii.* 12. εις τηρησιν. 1 *Mac. v.* 18. *Conf. cap. v.* 18. εις την αυριον. *Jos. iii.* 5. και εθετο αυτους εν φυλακῃ ἡμερας τρεις. *Gen. xlii.* 17.

4 Πολλοι δε των ακουσαντων τον λογον επιστευσαν· και εγενηθη ὁ αριθμος των ανδρων ὡσει χιλιαδες πεντε.

και εγενηθη αυτοις οὑτως. *Gen. xlii.* 25. *xliv.* 2. ὁ αριθμος αυτων ἑπτακισχιλιοι. *Num. iii.* 22. *Alex. Ald. Ps. cv.* 2.

5 Εγενετο δε επι την αυριον συναχθηναι αυτων τους Αρχοντας και Πρεσβυτερους και Γραμματεις εις Ἱερουσαλημ,

και συναχθησονται παντα τα εθνη εις αυτην. *Jer. iii.* 27. οἱ αρχοντες της συναγωγης. *Exod. xxxiv.* 31. *Conf. Ps. ii.* 1 *Mac. xiv.* 9. *xxi.* 41. [*Jos. Ant. xx.* 1. 2.] εις ματην εγενηθη σχοινος ψευδης γραμματευσι. *Jer. viii.* 8. και εργαζομενοι κακα εν ταις κοιταις αυτων, και ἁμα τῃ ἡμερᾳ συνετελουν αυτα. *Mich. ii.* 1.

6 Και Ανναν τον Αρχιερεα και Καϊαφαν και Ιωαννην και Αλεξανδρον, και ὁσοι ησαν εκ γενους αρχιερατικου.

εκ γενους Ιουδαιων. *Est. vi.* 13. απο γενους του βασιλεως. *Jer. xlviii,* 1. *Conf. Luc. iii.* 2. [*Jos. Ant. xviii.* 2. 2.]

7 Και στησαντες αυτους εν τῳ μεσῳ, επυνθανοντο, Εν ποιᾳ δυναμει η εν ποιῳ ονοματι εποιησατε τουτο ὑμεις;

και—εστησεν αυτον εναντιον Ελεαζαρ του ἱερεως. *Num. xxvii.* 22. εκ ποιας πολεως συ ει; 2 *Reg. xv.* 2. εν ποιᾳ ὁδῳ ζητησεις αυτον; *Sir. xxx.* 31. και εδωκεν αυτῳ εξουσιαν, κ.τ.λ. 1 *Mac. x.* 6. *Conf. Exod. ii.* 14. 3 *Reg. xxi.* 12-14. *Dan. ii.* 15. *Matt. xxi.* 3.

8 Τοτε Πετρος πλησθεις Πνευματος ἁγιου ειπε προς αυτους, Αρχοντες του λαου και Πρεσβυτεροι του Ισραηλ,

ὁ δε συντηρων αυτην πλησθησεται πνευματος. *Prov. xv.* 4. *Sap. ix.* 17. *Dan. iv.* 5, 6. αρχοντες του λαου τουτου. *Esa. xxviii.* 14. των πρεσβυτερων Ισραηλ. *Exod. xxiv.* 1. 9. αρχοντες λαων συνηχθησαν. *Ps. xlvi.* 9. *ii.* 2. *Conf. Luc. xii.* 11.

9 Ει ἡμεις σημερον ανακρινομεθα επι ευεργεσιᾳ ανθρωπου ασθενους, εν τινι οὑτος σεσωσται,

ανακρινομεθα. *Susan.* 48. 51. αξιω, μεμνημενους των ευεργεσιων κοινη. 2 *Mac. ix.* 26. [επ' ευεργεσιᾳ του γενους ἡμων. *Philo de Cher. p.* 125.] εν τῳ Θεῳ ποιησομεν δυναμιν. *Ps. cvii.* 13. 2 *Reg. xxii.* 30. εν τινι. *Mich. vi.* 6. και σωσω αυτους εν Κυριῳ Θεῳ αυτων. *Ose. i.* 7. σεσωσται. *Conf.* 2 *Mac. iii.* 29. 32.

10 Γνωστον εστω πασιν ὑμιν και παντι τῳ λαῳ Ισραηλ, ὁτι εν τῳ ονοματι Ιησου Χριστου του Ναζωραιου, ὁν ὑμεις εσταυρωσατε, ὁν ὁ Θεος ηγειρεν εκ νεκρων, εν τουτῳ οὑτος παρεστηκεν ενωπιον ὑμων ὑγιης.

γνωστον εστω τῳ βασιλει, ὁτι. *Esd. iv.* 12. *Dan. iii.* 18. ὁ εγειρας νεκρον του θανατου και εξ ᾁδου εν λογῳ Ὑψιστου. *Sir. xlviii.* 5.

ὑγιης. *xxx.* 14. και παρειστηκει ενωπιον αυτου—παριστασθω δη Δαυιδ ενωπιον εμου, ὁτι εὑρε χαριν εν οφθαλμοις μου. 1 *Reg. xvi.* 21, 22. εν χειρι αυτου ψυχη παντων ζωντων, και πνευμα παντος ανθρωπου. *Job. xii.* 10.

11 Οὑτος εστιν ὁ λιθος ὁ εξουθενηθεις ὑφ᾽ ὑμων των οικοδομουντων, ὁ γενομενος εις κεφαλην γωνιας.

Conf. Esa. xxviii. 16. *Rom. ix.* 33. 1 *Pet. ii.* 7. *Matt. xxi.* 42. *Marc. xii.* 10. *Luc. xx.* 17. Λιθον ὁν επεδοκιμασαν οἱ οικοδομουντες, κ.τ.λ. *Ps. cxvii.* 22. *CITAT.* 113.

12 Και ουκ εστιν εν αλλῳ ουδενι ἡ σωτηρια· ουτε γαρ ονομα εστιν ἑτερον ὑπο τον ουρανον το δεδομενον εν ανθρωποις, εν ᾧ δει σωθηναι ἡμας.

πλην δια Κυριου του Θεου ἡμων ἡ σωτηρια του Ισραηλ. *Jer. iii.* 23. *Esa. xxviii.* 16. Κυριος παντοκρατωρ ὁ Θεος μονος εστι, και ουκ εστιν ετι πλην αυτου σωτηρ. *Sir. xxiv.* 24. *Comp.* σωτηρια δε των δικαιων παρα Κυριου. *Ps. xxxvi.* 39. και σωζων ουκ εστι παρεξ εμου. *Ose. xiii.* 14. εγω ὁ Θεος, και ουκ εστι παρεξ εμου σωζων. *Esa. xliii.* 11. ουκ εστιν αλλος πλην εμου· δικαιος και σωτηρ. *xlv.* 21. *Conf. lix.* 17. *lxiii.* 9. ὑπο τον ουρανον. *Job. ii.* 2. *Prov. viii.* 26. ὁ γαρ Κυριος ὁ Θεος ζηλωτον ονομα. *Exod. xxxiv.* 14. *Conf.* 1 *Cor. iii.* 11. 1 *Joan. v.* 11. *Matt. i.* 21. *Zach. iv.* 10. δεδομενον εν ανθρωποις *pro* δεδ. ανθρωποις. *Conf. Sir. iii.* 7. δουλευειν εν. *xlv.* 17. εδωκεν εν εντολαις. εδωκεν εν ἑορταις. *xlvii.* 10. *Bretchsn.* δει. *Conf. Sap. xvi.* 4. *Dan. ii.* 28. *Est. iv.* 16. [εν αυτῳ γαρ ειναι την σωτηριαν αυτου, και ουκ εν αλλῳ. *Jos. Ant. iii.* 1. 5.] την σωτηριαν περιμενων Κυριου. *Gen. xlix.* 18. *Sir. xlvii.* 10. δουλευσουσιν εν τοις εθνεσι. *Jer. xxv.* 11. *Conf. Act. xiii.* 15. 1 *Cor. viii.* 7.

13 Θεωρουντες δε την του Πετρου παρῥησιαν και Ιωαννου, και καταλαβομενοι ὁτι ανθρωποι αγραμματοι εισι και ιδιωται, εθαυμαζον, επεγινωσκον τε αυτους ὁτι συν τῳ Ιησου ησαν·

εν πασῃ γραμματικῃ και σοφιᾳ. *Dan. i.* 17. [ιδιωτης· αγραμματος, αμαθης. *Suid.* απειρος. *Hesych.*]

14 Τον δε ανθρωπον βλεποντες συν αυτοις ἑστωτα τον τεθεραπευμενον, ουδεν ειχον αντειπειν.

ουκ εστιν αυτοις αντειπειν. *Est. viii.* 8. 1 *Mac. xiv.* 44.

15 Κελευσαντες δε αυτους εξω του συνεδριου απελθειν, συνεβαλον προς αλληλους,

συμπορευομενοι δε οἱ υἱοι αυτου προς αλληλους. *Job. i.* 4. συνεβαλον. *Gen. xiv.* 3. *Aq.* [Συνεδριον. *Conf. Jos. Ant. ix.* 1. 1. *xiv.* 9. 4. *xx.* 9. 1.]

16 Λεγοντες, Τι ποιησομεν τοις ανθρωποις τουτοις; ὁτι μεν γαρ γνωστον σημειον γεγονε δι' αυτων, πασι τοις κατοικουσιν Ἱερουσαλημ φανερον, και ου δυναμεθα αρνησασθαι·

γνωστος ὁ Θεος. *Ps. lxxvi.* 1. ὡς δε φανερον εγενηθη το πραγμα. 2 *Mac. i.* 33. ου πολλοις εστι φανερα. *Sir. vi.* 24. *Sap. xii.* 27.

17 Αλλ' ἱνα μη επι πλειον διανεμηθῃ εις τον λαον, απειλῃ απειλησωμεθα αυτοις μηκετι λαλειν επι τῳ ονοματι τουτῳ μηδενι ανθρωπων.

επι πλειον. *Jer. ii.* 12. θανατῳ θανατουσθω. *Lev. xxiv.* 17. 21. ὁσα αν λαλησῃ ὁ προφητης τῳ ονοματι Κυριου. *Deut. xviii.* 22. επι τῳ ονοματι μου. 19. [επ' ονοματι του Θεου κωλυειν. *Jos. Ant. iv.* 1. 1. ηπειλουν αποκτεινειν αυτον. *v.* 2. 8.]

18 Και καλεσαντες αυτους, παρηγγειλαν αυτοις το καθολου μη φθεγγεσθαι μηδε διδασκειν επι τῳ ονοματι του Ιησου.

τοις—το καθολου μη βλεπουσι. *Ezech. xiii.* 3. 22. *xvii.* 14. Κυριος εκ Σιων εφθεγξατο. *Amos. i.* 2. *iv.* 13. φθεγξομαι προβληματα. *Ps. lxxvii.* 2. *Conf. Ps. xviii.* 4. *Job. xiii.* 7.

19 Ὁ δε Πετρος και Ιωαννης αποκριθεντες προς αυτους ειπον, Ει δικαιον εστιν ενωπιον του Θεου, ὑμων ακουειν μαλλον η του Θεου, κρινατε.

ει αληθευετε, η ου. *Gen. xlii.* 16. ενωπιον Κυριου και ενωπιον Χριστου αυτου. 1 *Reg. xii.* 3. μαλλον η. 2 *Mac. vi.* 19. κριναι ὁ Θεος ανα μεσον εμου και σου. *Gen. xvi.* 5. ου χρειαν εχομεν ἡμεις περι του ῥηματος τουτου αποκριθηναι σοι, κ. τ. λ. *Dan. iii.* 16. ει αληθως αρα δικαιοσυνην λαλειτε, ευθεια κρινετε οἱ υἱοι των ανθρωπων. *Ps. lvii.* 1. *cxviii.* 46.

20 Ου δυναμεθα γαρ ἡμεις, ἁ ειδομεν και ηκουσαμεν, μη λαλειν.

και ουκ ηδυναντο λαλειν αυτῳ ουδεν ειρηνικον. *Gen. xxxvii.* 4. *xliii.* 32. *Conf. Num. xxii.* 38. 2 *Reg. xxiii.* 2. *Mich. iii.* 8. επιστευσα, διο ελαλησα. *Ps. cxv.* 10. εξαποστειλω σε, πορευσῃ, και κατα παντα ὁσα εαν εντειλωμαι σοι, λαλησεις, κ. τ. λ. *Jer. i.* 7, 8.

21 Οἱ δε προσαπειλησαμενοι απελυσαν αυτους, μηδεν εὑρισκοντες το πως κολασωνται αυτους, δια τον λαον, ὁτι παντες εδοξαζον τον Θεον επι τῳ γεγονοτι.

και απελυσεν αυτον, και απηλθε. Ps. xxxiii. 1. *Susan.* 53. *αξιοι ησαν ὑπο τοιουτων κολασθηναι. Sap. xvi.* 9. *οὑτος μου Θεος, και δοξασω αυτον. Exod. xv.* 2.

22 *Ετων γαρ ην πλειονων τεσσαρακοντα ὁ ανθρωπος, εφ᾽ ὁν εγεγονει το σημειον τουτο της ιασεως.*

τι το σημειον ὁτι ιασεται με Κυριος; *και ιασις εν ταις πτερυξιν αυτου. Mal. iv.* 2. 4 *Reg. xx.* 8, 9.

23 *Απολυθεντες δε ηλθον προς τους ιδιους, και απηγγειλαν ὁσα προς αυτους οἱ* Αρχιερεις *και οἱ* Πρεσβυτεροι *ειπον.*

ταυτα κατελαλησαν οἱ φοβουμενοι τον Κυριον, *ἑκαστος προς τον πλησιον αυτου. Mal. iii.* 16. *Conf. Ps. cxviii.* 63. *Prov. xiii.* 20.

24 *Οἱ δε ακουσαντες, ὁμοθυμαδον ηραν φωνην προς τον* Θεον, *και ειπον,* Δεσποτα, *συ ὁ* Θεος *ὁ ποιησας τον ουρανον και την γην και την θαλασσαν και παντα τα εν αυτοις,*

απεκριθη δε πας ὁ λαος ὁμοθυμαδον. Exod. xix. 8. *επηρε την φωνην αυτου. Jud. ix.* 7. *τον παντων δεσποτην επικαλεσομαι. Job. v.* 8. *ελεησον ἡμας* Δεσποτα *ὁ* Θεος *παντων. Sir. xxxiii.* 1. *ὁ ων δεσποτα,* Κυριε. *Jer. i.* 6. *iv.* 10. *ὁ* Ων Κυριε, *συ εποιησας τον ουρανον και την γην τῃ ισχυϊ σου τῃ μεγαλῃ, κ.τ.λ. xxxix.* 17. *Gen. xv.* 2. *Judith. ix.* 12. *ὁ* Θεος *ὁ ποιησας τον ουρανον. Esa. xlii.* 5. *xlv.* 18. *εν αρχῃ εποιησεν ὁ* Θεος *τον ουρανον και την γην. Gen. i.* 1. *θαλασσα και παντα τα ἑρποντα εν αυτοις. Ps. lxviii.* 34. *Esa. xxxvii.* 16-20. [Δεσποτα *των επ᾽ ουρανων και γης και θαλασσης. Jos. Ant. iv.* 3. 2.] *Conf.* 2 *Pet. ii.* 1. *Juda.* 4.

25 Ὁ *δια στοματος* Δαβιδ *του παιδος σου ειπων,* Ἱνατι *εφρυαξαν εθνη, και λαοι εμελετησαν κενα;*

του πληρωθηναι λογον Κυριου *δια στοματος* Ἱερεμιου. 2 *Par. xxxvi.* 12. 21. Ιακωβ *ὁ παις μου. Esa. xliv.* 1. *xlv.* 4.

26 Παρεστησαν *οἱ βασιλεις της γης, και οἱ αρχοντες συνηχθησαν επι το αυτο, κατα του* Κυριου, *και κατα του* Χριστου *αυτου.*

25, 26.] Ἱνατι *εφρυαξαν εθνη; κ. τ. λ. Ps. ii.* 1, 2. *Conf. Ps. lxxxii.* 3-8. *Sir. xlvi.* 19. *CITAT.* 114.

27 Συνηχθησαν *γαρ επ᾽ αληθειας επι τον ἁγιον παιδα σου,* Ιησουν, *ὁν εχρισας,* Ἡρωδης *τε και* Ποντιος Πιλατος, *συν εθνεσι και λαοις* Ισραηλ,

και συναχθεντες επ᾽ εμε. Gen. xxxiv. 30. *επ᾽ αληθειας. Deut. xxii.*

20. *Job. ix.* 2. δια τουτο εχρισε σε ὁ Θεος, ὁ Θεος σου. *xliv.* 7. και του χρισαι ἁγιον ἁγιων. *Dan. ix.* 24. εὑρον Δαυιδ τον δουλον μου, εν ελεει αγιῳ εχρισα αυτον. *Ps. lxxxviii.* 20. *Alex. Ald. Comp.* [*Vat, et Hieron. in Esa. lv.* εν ελεει ἁγιῳ εχρισα αυτον.] και εχρισεν αυτον εν μεσῳ των αδελφων αυτου· και εφηλατο πνευμα Κυριου επι Δαυιδ απο της ἡμερας εκεινης. 1 *Reg. xvi.* 13. *Conf. Matt. iii.* 16. *Act. x.* 38. *Heb. i.* 9. παντα τα εθνη—και ὁ λαος αυτου. *Tob. xiv.* 7. *Conf. Joan. x.* 36. *Esa. lxi.* 1. *Luc. iv.* 18. οὑ ωνειδισαν οἱ εχθροι σου Κυριε, οὑ ωνειδισαν το ανταλλαγμα του Χριστου σου. *Ps. lxxxviii.* 51. *Biel.* ανταλλαγμα. [*Jos. Ant. xviii.* 4. 1, 2. *Bell. Jud. ii.* 9. 2.]

28 Ποιησαι ὁσα ἡ χειρ σου και ἡ βουλη σου προωρισε γενεσθαι.

και ἡ χειρ του Θεου ην επ᾽ αυτοις. *Deut. ii.* 15. *Conf. cap. ii.* 23. *Matt. xxvi.* 24. *Marc. xiv.* 21. *Luc. xxii.* 22. *Joan. vii.* 30. συ γαρ εποιησας τα προτερα εκεινων, και εκεινα, και τα μετεπειτα, και τα νυν, και τα επερχομενα διενοηθης, κ. τ. λ. *Judith. ix.* 5. *Conf. Esa. xlvi.* 10, 11. *Gen. l.* 20. *Ps. lxxv.* 10.

29 Και τα νυν, Κυριε, επιδε επι τας απειλας αυτων, και δος τοις δουλοις σου μετα παῤῥησιας πασης λαλειν τον λογον σου,

το νυν εχον. *Tob. vii.* 11. και επειδεν ὁ οφθαλμος μου εν τοις εχθροις μου. *Ps. xci.* 11. επιδοι ὁ Θεος ανα μεσον εμου και σου. *Gen. xxxi.* 49. δῳη σοι Κυριος κατα την καρδιαν σου. *Ps. xix.* 4. *Alex. Ald. Comp.* τον του Χριστου λογον. *Heb. vi.* 1. νυν δε Κυριε ὁ Θεος ἡμων σωσον ἡμας εκ χειρος αυτου, κ. τ. λ. *Esa. xxxvii.* 20. *Conf. Judith. xi.* 12-14. *Ezech. ii.* 6. επισκεψασθω Κυριος ὁ Θεος των πνευματων και πασης σαρκος ανθρωπων επι της συναγωγης ταυτης, κ. τ. λ. *Num. xxvii.* 16, 17. [*Citat Philo de Agric. p.* 151. *Edit. Col.*]

30 Εν τῳ την χειρα σου εκτεινειν σε εις ιασιν, και σημεια και τερατα γινεσθαι, δια του ονοματος του ἁγιου παιδος σου Ιησου.

εξεπετασα τας χειρας μου. *Esa. lxv.* 2. εξετεινε την χειρα αυτου εν τῳ αποδιδοναι. *Ps. liv.* 22. δια το ονομα Κυριου το ἁγιον. *Esa. lx.* 9. *Sir. xxxiii.* 3-6. [*Winer.* § 45.]

31 Και δεηθεντων αυτων εσαλευθη ὁ τοπος εν ᾡ ησαν συνηγμενοι, και επλησθησαν ἁπαντες Πνευματος ἁγιου, και ελαλουν τον λογον του Θεου μετα παῤῥησιας.

μετα παῤῥησιας. 1 *Mac. iv.* 18. και εσαλευθη και εντρομος εγενηθη ἡ γη. *Ps. xvii.* 7. δεηθεντων αυτων. *Conf. Gen. xliv.* 4.

Oct. 1. 1851.

32 Του δε πληθους των πιστευσαντων ην ἡ καρδια και ἡ ψυχη μια· και ουδε εἱς τι των ὑπαρχοντων αυτῳ ελεγεν ιδιον ειναι, αλλ᾽ ην αυτοις ἁπαντα κοινα.

και εγενετο χειρ Κυριου δουναι αυτοις καρδιαν μιαν. 2 *Par. xxx.* 12. ψυχη μια. 1 *Par. xii.* 38. ειπα τῳ Κυριῳ, Κυριος μου ει συ, ὁτι των αγαθων μου ου χρειαν εχεις. Τοις ἁγιοις τοις εν τῃ γῃ αυτου, κ.τ.λ. *Ps. xv.* 2, 3. τα ὑπαρχοντα. *Est. viii.* 7. *Gen. xxxvi.* 6. το ιδιον. *Sir. xi.* 34. [γνωμῃ και ψυχῃ μιᾳ. *Philo de Vit. Mos. p.* 615.] εμον το αργυριον, κ. τ. λ. *Agg. ii.* 8.

33 Και μεγαλῃ δυναμει απεδιδουν το μαρτυριον οἱ αποστολοι της αναστασεως του Κυριου Ιησου· χαρις τε μεγαλη ην επι παντας αυτους·

χαρις. *Conf. cap. ii.* 47. εξεχυθη χαρις εν χειλεσι σου. *Ps. xlv.* 2.

34 Ουδε γαρ ενδεης τις ὑπηρχεν εν αυτοις· ὁσοι γαρ κτητορες χωριων η οικιων ὑπηρχον, πωλουντες εφερον τας τιμας των πιπρασκομενων,

ὁτι ουκ εσται εν σοι ενδεης. *Deut. xv.* 4. την τιμην της λυτρωσεως. *Ps. xlviii.* 8. ἡ τιμη των εμπορων. 2 *Par. i.* 16. αγορασατε—ανευ αργυριου και τιμης οινον. *Esa. lv.* 1. 1 *Par. xxix.* 14. 2 *Mac. viii.* 14. φοβηθητε τον Κυριον παντες οἱ ἁγιοι αυτου, ὁτι ουκ εστιν ὑστερημα τοις φοβουμενοις αυτον. *Ps. xxxiii.* 9. *Conf. Exod. xvi.* 18.

35 Και ετιθουν παρα τους ποδας των αποστολων· διεδιδοτο δε ἑκαστῳ καθοτι αν τις χρειαν ειχεν.

παντα ὑπεταξας ὑποκατω των ποδων αυτου. *Ps. viii.* 6. εκαλεσεν αυτην κατα ποδας αυτου. *Esa. xli.* 2. εαν χρειαν εχητε. 2 *Mac. ii.* 15. και ευλογησε Κυριος ὁ Θεος επι ποδι μου. *Gen. xxx.* 30. *Conf. Exod. xvi.* 18. *Lev. xxiii.* 22. *Prov. xxviii.* 27.

36 Ιωσης δε ὁ επικληθεις Βαρναβας ὑπο των αποστολων, (ὁ εστι μεθερμηνευομενον, υἱος παρακλησεως,) Λευϊτης, Κυπριος τῳ γενει,

επικληθεις. 1 *Mac. vii.* 37. 2 *Reg. vi.* 2. ὁ δε προφητευων—λαλει οικοδομην, και παρακλησιν, και παραμυθιαν. 1 *Cor. xiv.* 3. *Conf. Gen. xxvii.* 36. *Marc. iii.* 17.

37 Ὑπαρχοντος αυτῳ αγρου, πωλησας ηνεγκε το χρημα, και εθηκε παρα τους ποδας των αποστολων.

παρακομιζοντα τα χρηματα τῳ βασιλει. 2 *Mac. iv.* 23. *Job. xxvii.* 17. *Prov. xvii.* 16. και ηυξηθη εις πληθος· και ευλογησε σε Κυριος ὁ Θεος επι τῳ ποδι μου. *Gen. xxx.* 30. *Job. xlii.* 12.

ΚΕΦ. ε. 5.

ΑΝΗΡ δε τις Ανανιας ονοματι, συν Σαπφειρῃ τῃ γυναικι αὑτου, επωλησε κτημα,

ην δε τις εκ της φυλης Λευι. *Exod. ii.* 1. 1 *Reg. i.* 1. κτημα. *Prov. xxiii.* 10. *Job. xx.* 29. = χωριον. 3.

2 Και ενοσφισατο απο της τιμης, συνειδυιας και της γυναικος αυτου, και ενεγκας μερος τι παρα τους ποδας των αποστολων εθηκεν.

χρυσωματα τινα των του ἱερου νοσφισαμενος. 2 *Mac. iv.* 32. [νοσφιζεται· ιδιοποιει, κλεπτει, αποστερει, αφαιρει. *Hesych.*] ενοσφισατο (μερος τι) απο της τιμης. *Ita*, απο του αρτου αυτου ησθιε. 2 *Reg. xii.* 3. *Comp. Conf. Bos. Ellips. p.* 162. ου γαρ συνοιδα εμαυτῳ ατοπα πραξας. *Job. xxvii.* 6. εκαλεσεν αυτην κατα ποδας αυτου. *Esa. xli.* 2. [ουδεμιαν δραχμην νοσφισαμενος. *Philo de Jos. p.* 563.]

3 Ειπε δε Πετρος, Ανανια, διατι επληρωσεν ὁ Σατανας την καρδιαν σου, ψευσασθαι σε το Πνευμα το ἁγιον, και νοσφισασθαι απο της τιμης του χωριου;

πνευμα Κυριου πεπληρωκε την οικουμενην. *Sap. i.* 7. 2 *Mac. vii.* 21. μη ουχι τον ουρανον και την γην εγω πληρω; *Jer. xxiii.* 24. αυτοι δε ηπειθησαν, και παρωξυναν το πνευμα το ἁγιον αυτου, κ. τ. λ. *Esa. lxiii.* 10. ψευδεσθαι παν ψευδος. *Sir. vii.* 13. και εστη διαβολος (σαταν *Ald. Comp.*) εν τῳ Ισραηλ, και επεσεισε (επεπεισε *alii*) τον Δαυιδ του αριθμησαι τον Ισραηλ. 1 *Par. xxi.* 1. ψευσονται σε οἱ εχθροι σου. *Deut. xxxiii.* 29. *Ps. lxv.* 3. και ενοσφισαντο απο του αναθεματος. *Jos. vii.* 1. *Exod. xvii.* 5. *Conf.* 4 *Reg. v.* 20. *Num. xxx.* 3. *Deut. xxiii.* 21. *Luc. xxii.* 3. *Ps. xciii.* 7. *Esa. xxix.* 15. αγαθον το μη ευξασθαι σε, η το ευξασθαι σε και μη αποδουναι. *Eccles. v.* 4. επληροφορηθη καρδια υἱων του ανθρωπου εν αυτοις του ποιησαι το πονηρον. *Eccles. viii.* 11.

4 Ουχι μενον σοι εμενε, και πραθεν εν τῃ σῃ εξουσιᾳ ὑπηρχε; τι ὁτι εθου εν τῃ καρδιᾳ σου το πραγμα τουτο; ουκ εψευσω ανθρωποις, αλλα τῳ Θεῳ.

ἡ βασιλεια σου σοι μενει. *Dan. iv.* 23. μενετω σοι. 1 *Mac. xv.* 7. εθετο Δανιηλ εις την καρδιαν αυτου. *Dan. i.* 8. *Hag. ii.* 19. υἱοι αλλοτριοι εψευσαντο μοι. *Ps. xvii.* 44. *Jer. v.* 12. ἡνικα αν ψευσησθε Κυριῳ τῳ Θεῳ μου. *Jos. xxiv.* 27. ου γαρ καθ' ἡμων εστιν

ὁ γογγυσμος ὑμων, αλλ' η κατα του Θεου. *Exod. xvi.* 8. και ειπεν ανηρ—Τις εποιησε το πραγμα τουτο; *Jud. vi.* 29. *Alex. O. Ald. Comp.* 1 *Par. xxi.* 8. *Est. vii.* 5. Σοι μονῳ ἡμαρτον, και το πονηρον ενωπιον σου εποιησα κ. τ. λ. *Ps. l.* 4. *Mal. ii.* 2.

5 Ακουων δε Ανανιας τους λογους τουτους, πεσων εξεψυξε· και εγενετο φοβος μεγας επι παντας τους ακουοντας ταυτα.

και εκψυξει πασα σαρξ και παν πνευμα. *Ezech. xxi.* 7. και εγενετο φοβος Θεου επι τας πολεις. *Gen. xxxv.* 5.

6 Αναστα̃ντες δε οἱ νεωτεροι συνεστειλαν αυτον, και εξενεγκαντες εθαψαν.

περισταλης. *Ezech. xxix.* 5. *Tob. xii.* 13. [περιστελλειν θανοντα. *Jos. Ant. xvii.* 3. 3.] [εκφερεσθαι· εκ του οικου επι μνηματος εκφερεσθαι. *Suid.*]

7 Εγενετο δε ὡς ὡρων τριων διαστημα, και ἡ γυνη αυτου μη ειδυια το γεγονος εισηλθεν.

εγενετο δε—και. *Conf.* 1 *Reg. i.* 12-20. 31. πηχων ἑξ, διαστηματα. *Ezech. xli.* 8. και εταραχθη ακουσασα το γεγονος. *Est. iv.* 4. ὡς δεκα ετη. *Ruth. i.* 4. απεκριθη. *Deut. xxvi.* 5. *Job. iii.* 1. *Alex.*

8 Απεκριθη δε αυτῃ ὁ Πετρος, Ειπε μοι, ει τοσουτου το χωριον απεδοσθε; Ἡ δε ειπε, Ναι, τοσουτου.

ναι. *Gen. xlii.* 21. απεδοτο δε Ἡσαυ τα πρωτοτοκια. *Gen. xxv.* 33.

9 Ὁ δε Πετρος ειπε προς αυτην, Τι ὁτι συνεφωνηθη ὑμιν πειρασαι το Πνευμα Κυριου; ιδου, οἱ ποδες των θαψαντων τον ανδρα σου επι τῃ θυρᾳ, και εξοισουσι σε.

και συνεφωνησαν οἱ ἱερεις του μη λαβειν αργυριον. 4 *Reg. xii.* 8. και ουκ εστιν ὁ θαπτων. *ix.* 10. και τι πειραζετε Κυριον; *Exod. xvii.* 2. *Sap. i.* 2. *Num. xiv.* 22. οἱ ποδες τινος, (*pro homine*). *Ps. cxviii.* 101. *Nah. i.* 15. ποδες των ευαγγελιζομενων. *Esa. lii.* 7. *Ald.* οξεις οἱ ποδες αυτων εκχεαι αἱμα. *Rom. iii.* 15. ουχι φωνη των ποδων του κυριου αυτου κατοπισθεν αυτου; 4 *Reg. vi.* 32. ται εξεπειρασαν τον Θεον εν ταις καρδιαις αυτων. *Ps. lxxvii.* 18.

10 Επεσε δε παραχρημα παρα τους ποδας αυτου, και εξεψυξεν· εισελθοντες δε οἱ νεανισκοι εὑρον αυτην νεκραν, και εξενεγκαντες εθαψαν προς τον ανδρα αὑτης.

πεσων δε βροτος ουκ ετι εστι. *Job. xiv.* 10. νεανισκοι. *Gen. xiv.* 24.

11 Και εγενετο φοβος μεγας εφ' ὁλην την εκκλησιαν, και επι παντας τους ακουοντας ταυτα.

12 Δια δε των χειρων των αποστολων εγενετο σημεια και τε-
ρατα εν τῳ λαῳ πολλα· και ησαν ὁμοθυμαδον ἁπαντες εν τῃ
στοᾳ Σολομωντος·

δια χειρος ἱερεων. 2 *Par.* *xxiii.* 18. *xxiv.* 11. *xxvi.* 11. εδωκεν Κυριος σημεια και τερατα. *Deut.* *vi.* 22. *Conf.* *Rom.* *xv.* 19. 2 *Cor.* *xii.* 12. *Heb.* *ii.* 4. [στοαν ανατολικην την του μεν εξωθεν Ἱερου. *Jos.* *Ant.* *xx.* 9. 7. το εργον Σολομωνος. *Ib.* *Conf.* *Bell.* *Jud.* *v.* 5. 1. *vi.* 5. 1.] ὁμοθυμαδον. *Exod.* *xix.* 8. *Jer.* *xxvi.* 21.

13 Των δε λοιπων ουδεις ετολμα κολλασθαι αυτοις, αλλ' εμε-
γαλυνεν αυτους ὁ λαος·

εκολληθη τῳ Κυριῳ. 4 *Reg.* *xviii.* 6. ακακοι και ευθεις εκολλωντο μοι. *Ps.* *xxiv.* 21. και εμεγαλυνθη Σαμουηλ, και ην Κυριος μετ' αυτου. 1 *Reg.* *iii.* 19. και ειπαν οἱ υἱοι Ισραηλ προς Μωϋσην, λεγοντες, Ιδου εξανηλωμεθα, απολωλαμεν, παρανηλωμεθα, κ. τ. λ. *Num.* *xvii.* 12, 13. [τοινυν κολληθωμεν τοις μετ' ευσεβειας ειρηνευουσιν. *Clem.* *Rom.* *i.* 15.]

14 Μαλλον δε προσετιθεντο πιστευοντες τῳ Κυριῳ, πληθη αν-
δρων τε και γυναικων·

οἱ φυγαδευοντες—προσετεθη αυτοις. 1 *Mac.* *ii.* 43. επιθησω το πνευμα μου επι το σπερμα σου, κ. τ. λ. *Esa.* *xliv.* 3. επιστευσεν Ἁβραμ τῳ Θεῳ, κ. τ. λ. *Gen.* *xv.* 6.

15 Ὡστε κατα τας πλατειας εκφερειν τους ασθενεις, και τι-
θεναι επι κλινων και κραββατων, ἱνα ερχομενου Πετρου καν ἡ
σκια επισκιασῃ τινι αυτων.

ὡστε. *Jos.* *x.* 14. εκφερειν. 1 *Reg.* *v.* 1. επεσκιαζεν επ' αυτην ἡ νεφελη. *Exod.* *xl.* 35. [κραββατων. *Act.* *Thom.* 50. 51. *Sturz.* *de Voc.* *Alex.* *p.* 176.] εν τοις μεταφρενοις αυτου επισκιασει σοι. *Ps.* *xc.* 4. επεσκιασας επι την κεφαλην μου. *cxxxix.* 7.

16 Συνηρχετο δε και το πληθος των περιξ πολεων εις Ἱερου-
σαλημ, φεροντες ασθενεις και οχλουμενους ὑπο πνευματων
ακαθαρτων, οἱτινες εθεραπευοντο ἁπαντες.

και συνελευσονται κατοικουντες εις μιαν πολιν. *Zach.* *viii.* 21. και συνηχθησαν εις Ἱερουσαλημ λαος πολυς. 2 *Par.* *xxx.* 13. [τα περιξ εθνη. *Jos.* *Ant.* *xi.* 2. 1.] εαν τινα οχλῃ δαιμονιον η πνευμα πονηρον ταυτα δει καπνισαι—και μηκετι οχληθῃ. *Tob.* *vi.* 7. *Conf.* *Esa.* *xiii.* 21. *xxxiv.* 14. *Bar.* *iv.* 35. *Matt.* *vii.* 22.

17 Αναστας δε ὁ Αρχιερευς και παντες οἱ συν αυτῳ ἡ ουσα αἱ-
ρεσις των Σαδδουκαιων, επλησθησαν ζηλου,

επλησθη θυμου. *Dan.* *iii.* 19. Ιουδας δε ὁ Μακκαβαιος και οἱ συν

αυτῳ. 2 *Mac. viii.* 1. ουκ εστι φθονος ουδε ζηλος εν αυτοις. 1 *Mac. viii.* 16. *Conf. Ps. ii.* 1-3. [αἱρεσιν μετῃει την Σαδδουκαιων, ἁπερ εισι περι τας κρισεις ωμοι παρα παντας τους Ιουδαιους. *Jos. Ant. xx.* 9. 1. Σαδδουκαιων και προς αλληλους το ηθος αγριωτερον, αἱτε επιμιξιαι προς τους ὁμοιους απηνεις, ὡς προς αλλοτριους. *Bell. Jud. i. ii.* 8. 14. φυσει προς τας κολασεις επιεικως εχουσιν οἱ Φαρισαιοι. *Ant. xiii.* 10. 6. *Krebs. p.* 177.]

18 Και επεβαλον τας χειρας αὑτων επι τους αποστολους, και εθεντο αυτους εν τηρησει δημοσιᾳ.

μη επιβαλῃς την χειρα σου επι το παιδαριον. *Gen. xxii.* 12. [ιδιωτικαις και δημουσιαις θυσιαις. *Jos. Ant. iii.* 9. 4.] εθετο αυτους εν φυλακῃ ἡμερας τρεις. *Gen. xlii.* 17. *Cap. iv.* 3.

19 Αγγελος δε Κυριου δια της νυκτος ηνοιξε τας θυρας της φυλακης, εξαγαγων τε αυτους ειπε,

και ηνοιξε τας θυρας του οικου. *Jud. xix.* 27. 1 *Reg. iii.* 15. τε. *Conf.* 3 *Mac. i.* 12. *vi.* 41. παρεμβαλει αγγελος Κυριου κυκλῳ των φοβουμενων αυτον, και ῥυσεται αυτους. *Ps. xxxiii.* 7.

20 Πορευεσθε, και σταθεντες λαλειτε εν τῳ ἱερῳ τῳ λαῳ παντα τα ῥηματα της ζωης ταυτης.

και στας ειπῃ. *Deut. xxv.* 8. *xxvii.* 12. εγγυς σου εστι το ῥημα. *Deut. xxx.* 14. οσμη ζωης. 2 *Cor. ii.* 16. *Phil. ii.* 16. ὑπερ της του κοσμου ζωης. *Joan. vi.* 51. *xii.* 50. *xvii.* 3. *Act. xiii.* 26. νομος ζωης και επιστημης. *Sir. xlv.* 5. και νυν πορευου, και εγω ανοιξω το στομα σου, και συμβιβασω σε ὁ μελλεις λαλησαι. *Exod. iv.* 12. [ισταμενος ηυχετο. *Jos. Ant. x.* 11. 6.] αναβοησον εν ισχυϊ, και μη φεισῃ, ὡς σαλπιγγι ὑψωσον την φωνην σου, κ. τ. λ. *Esa. lviii.* 1, 2. [*Conf. Vorst. de Hebraism. cap. xxix.*]

21 Ακουσαντες δε εισηλθον ὑπο τον ορθρον εις το ἱερον, και εδιδασκον. παραγενομενος δε ὁ Αρχιερευς και οἱ συν αυτῳ συνεκαλεσαν το συνεδριον και πασαν την γερουσιαν των υἱων Ισραηλ, και απεστειλαν εις το δεσμωτηριον, αχθηναι αυτους.

εγενηθη ὑπο νυκτα, και ὑπο νυκτα απωλετο. *Jon. iv.* 10. ἑως διαφαυσῃ ὁ ορθρος. *Jud. xvi.* 2. και συνεκαλεσε τους πρεσβυτερους Ισραηλ. *Jos. xxiv.* 1. *Alex. Comp.* [ὑπο δε τον αυτον χρονον. *Jos. Ant. xiv.* 15. 5.] και συνεκαλεσε—τους υἱους Ισραηλ και την γερουσιαν αυτων. *xxiii.* 2. *Conf.* 2 *Mac. i.* 10. *iv.* 44. ελαλησε δε Μωυσης πασαν γερουσιαν. *Exod. xii.* 21. συναγαγε την γερουσιαν των υἱων Ισραηλ. 16. *Judith. iv.* 8. εθετο αυτους εν φυλακῃ εις το δεσμωτηριον. *Gen. xl.* 3. 5. [γερουσια· πρεσβυτηριον. *Hesych.*] [το συνεδ-

ριον. *Jos. Ant. xiv.* 9. 4. αθροιζεσθω μεν η γερουσια πασα προς την κρισιν. *Philo de Leg. p.* 789.] *Conf. Deut. xxii.* 15.

22 Οἱ δε ὑπηρεται παραγενομενοι ουχ εὑρον αυτους εν τῃ φυλακῃ· αναστρεψαντες δε απηγγειλαν

ὁ κατοικων εν ουρανοις εκγελασεται αυτους, και ὁ Κυριος εκμυκτηριει αυτους. *Ps. ii.* 4. [ὑπηρεται. *Jos. Ant. iv.* 3. 1.]

23 Λεγοντες, ὁτι, Το μεν δεσμωτηριον εὑρομεν κεκλεισμενον εν πασῃ ασφαλειᾳ, και τους φυλακας εξω ἑστωτας προ των θυρων· ανοιξαντες δε, εσω ουδενα εὑρομεν.

Conf. Dan. iii. 11-23. ποιουντα κριμα τοις αδικουμενοις, διδοντα τροφην τοις πεινωσι. Κυριος λυει πεπεδημενους. *Ps. cxlv.* 7. φυλαξ. *Gen. iv.* 19. 1 *Reg. xvii.* 20. ὁτι. *Conf. Hoogev. cap. xxxvii.* § 5.

24 Ὡς δε ηκουσαν τους λογους τουτους ὁ τε ἱερευς και ὁ στρατηγος του ἱερου και οἱ Αρχιερεις, διηπορουν περι αυτων, τι αν γενοιτο τουτο.

διηπορει το πνευμα. *Dan. ii.* 3. ἱερευς, *i. e.* αρχιερευς. *Conf.* 1 *Mac. xv.* 1, 2, [*Jos. Ant. vi.* 12. 1.] *Conf. Esa. ix.* 7. *Dan. ii.* 34.

25 Παραγενομενος δε τις απηγγειλεν αυτοις λεγων, ὁτι, Ιδου, οἱ ανδρες, οὑς εθεσθε εν τῃ φυλακῃ, εισιν εν τῳ ἱερῳ ἑστωτες και διδασκοντες τον λαον.

Conf. Esa. xlii. 7. *xlix.* 9. εισιν—ἑστωτες. *Ita,* ουκ εστι προφητευων περι εμου εις αγαθα. 2 *Par. xviii.* 7.

26 Τοτε απελθων ὁ στρατηγος συν τοις ὑπηρεταις ηγαγεν αυτους, ου μετα βιας, εφοβουντο γαρ τον λαον, ἱνα μη λιθασθωσιν.

[δραμοντες δε οἱ του ἱερου φυλακες ηγγειλαν τῳ στρατηγῳ. *Jos. Bell. Jud. vi.* 5. 3.] και ηγαγεν αυτους μετα βιας. *Exod. xiv.* 25. λιθαζων εν λιθοις. 2 *Reg. xvi.* 6. 13.

27 Αγαγοντες δε αυτους εστησαν εν τῳ συνεδριῳ· και επηρωτησεν αυτους ὁ Αρχιερευς

επηρωτησε. *Gen. xxvi.* 7. *xxxviii.* 21.

28 Λεγων, Ου παραγγελιᾳ παρηγγειλαμεν ὑμιν μη διδασκειν επι τῳ ονοματι τουτῳ; και ιδου, πεπληρωκατε την Ἱερουσαλημ της διδαχης ὑμων, και βουλεσθε επαγαγειν εφ᾽ ἡμας το αἱμα του ανθρωπου τουτου.

παρηγγειλε. 1 *Reg. xxiii.* 8. επηγαγες επ᾽ εμε και επι την βασιλειαν μου ἁμαρτιαν μεγαλην; *Gen. xx.* 9. *Lev. xxii.* 16. θανατῳ αποθανεισθε. *Gen. iii.* 4. φοβον και δειλιαν επαξει επ᾽ αυτον. *Sir.*

iv. 17. μη δως εφ' ἡμας αἱμα δικαιον. *Jon. i.* 14. *Jud. ix.* 24. *Jer. xxxiii.* 15. *xlv.* 4. *Matt. xxvii.* 25. λαλησαι επι τῳ ονοματι μου. *Deut. xviii.* 20. [βαρυτεραν της προτερας επαγαγων συμφοραν. *Philo de Leg. ad Cai. p.* 1029.]

29 Αποκριθεις δε ὁ Πετρος και οἱ αποστολοι ειπον, Πειθαρχειν
δει Θεῳ μαλλον η ανθρωποις.

και ὁσοι πειθαρχουσι τῳ νομῳ Κυριου. 1 *Esd. viii.* 94. *Sir. xxxiii.* 33. *Conf. Gen. iii.* 17. 1 *Reg. xv.* 24. *Dan. iii.* 18.

30 Ὁ Θεος των πατερων ἡμων ηγειρεν Ιησουν, ὁν ὑμεις διεχει-
ρισασθε κρεμασαντες επι ξυλου·

διαχειρωσασθαι. *Job. xxx.* 24. *Ald. Comp.* Θεον των πατερων ἡμων. *Deut. xxvi.* 7. *Alex. Ald. O. Comp.* 1 *Par. xii.* 17. *xxix.* 18. *Ezech. vii.* 27. ὁτι ουκ εγκαταλειψεις την ψυχην μου εις ᾁδην, κ.τ.λ. *Ps. xv.* 10. και αποθανῃ, και κρεμασητε αυτον επι ξυλου. *Deut. xxi.* 22. *Jos. viii.* 29. αναστησονται οἱ νεκροι, και εγερθησονται. *Esa. xxvi.* 19. ὁτι κεκατηραμενος ὑπο Θεου πας κρεμαμενος επι ξυλου. *Deut. xxi.* 23.

31 Τουτον ὁ Θεος αρχηγον και σωτηρα ὑψωσε τῃ δεξιᾳ αυτου,
δουναι μετανοιαν τῳ Ισραηλ και αφεσιν ἁμαρτιων.

αρχηγος. *Jer. iii.* 4. *Mich. i.* 13. 1 *Mac. ix.* 61. *Esa. xxx.* 4. *Neh. ii.* 9. ὑψωθη επι της γης. *Gen. vii.* 24. καθου εκ δεξιων μου. *Ps. cix.* 1. αφησει τας ἁμαρτιας ὑμων. *Esa. lv.* 7. ἑως Χριστου ἡγουμενου. *Dan. ix.* 25. *Conf. Luc. xxiv.* 47. *Heb. ii.* 10. εθεμην βοηθειαν επι δυνατον, ὑψωσα εκλεκτον εκ του λαου μου, κ. τ. λ. *Ps. lxxxviii.* 19. μεγαλη ἡ αρχη αυτου, κ. τ. λ. *Esa. ix.* 7. και εκχεω επι τον οικον Δαυιδ—πνευμα χαριτος και οικτιρμου, κ.τ.λ. *Zach. xii.* 10. *Conf. Esa. xlv.* 21. *Ose. xiii.* 4.

32 Και ἡμεις εσμεν αυτου μαρτυρες των ῥηματων τουτων, και
το Πνευμα δε το ἁγιον, ὁ εδωκεν ὁ Θεος τοις πειθαρχουσιν αυτῳ.

μαρτυρες ὑμεις σημερον. *Ruth. iv.* 9. και δωσω πνευμα μου εφ' ὑμας. *Ezech. xxxvii.* 6. *Conf. Sophon. iii.* 8. *Joan. xv.* 26, 27.

33 Οἱ δε ακουσαντες διεπριοντο, και εβουλευοντο ανελειν αυ-
τους.

διεπριοντο. *Conf. Amos. i.* 3. 1 *Par. xx.* 3. *Cap. vii.* 54. και εζητει ανελειν Μωυσην. *Exod. ii.* 15. εβουλευσατο αφανισαι παντας τους —Ιουδαιους. *Est. iii.* 6. [διεπριοντο· εθυμουντο. *Hesych.*]

34 Αναστας δε τις εν τῳ συνεδριῳ Φαρισαιος, ονοματι Γαμα-
λιηλ, νομοδιδασκαλος τιμιος παντι τῳ λαῳ, εκελευσεν εξω
βραχυ τι τους αποστολους ποιησαι,

τιμιος εναντιον Κυριου. *Ps. cxv.* 15. βραχυ τι. *Esa. lvii.* 17. [*sc.* διαστημα χρονου. *Bos. p.* 65.] [εκποδων εαυτους ποιησαι. *Jos. Ant.* x. 6. 2.] [*Conf. Lightfoot. Hor. Heb. in loc.*]

35 Ειπε τε προς αυτους, Ανδρες Ἰσραηλιται, προσεχετε ἑαυτοις επι τοις ανθρωποις τουτοις τι μελλετε πρασσειν.

προσεχε σεαυτῳ. *Gen. xxiv.* 6. *Deut. xxiv.* 8. και ουχ ἑξει εξουσιαν ουδεις πρασσειν και παρενοχλειν τινα αυτων περι παντος πραγματος. 1 *Mac. x.* 35. μελλετε. *Sap. xiv.* 1.

36 Προ γαρ τουτων των ἡμερων ανεστη Θευδας, λεγων ειναι τινα ἑαυτον, ᾡ προσεκολληθη αριθμος ανδρων ὡσει τετρακοσιων· ὁς ανῃρεθη, και παντες ὁσοι επειθοντο αυτῳ, διελυθησαν και εγενοντο εις ουδεν.

λεγων ειναι τινα ἑαυτον μεγαν. *Cap. viii.* 9. [ὁτι δοξας παρ᾿ αυτῳ τις ειναι κατ᾿ αρχας. *Philo in Flac. p.* 985.] και τῳ ὁμοιῳ αυτου προσκολληθησεται ανηρ. *Sir. xiii.* 6. *vi.* 34. και εσται εις ουδεν. *Esa. xiv.* 23. ὡσει δεκα χιλιαδας ανδρων. *Jud. iii.* 29. *Conf.* 1 *Par. xxix.* 14. μη πεισθῃς. *Prov. xxvi.* 25. *Ezech. xxviii.* 26. [Θευδας. *Jos. Ant. xx.* 4. 1. προφητης γαρ ελεγεν ειναι, κ. τ. λ.]

37 Μετα τουτον ανεστη Ιουδας ὁ Γαλιλαιος, εν ταις ἡμεραις της απογραφης, και απεστησε λαον ἱκανον οπισω αὑτου· κακεινος απωλετο, και παντες ὁσοι επειθοντο αυτῳ διεσκορπισθησαν.

ανεστη Ναθαν. *Sir. xlvii.* 1. εζητησεν αποστησαι σε απο Κυριου. *Deut. xiii.* 10. *Sir. xix.* 2. *xlvii.* 23. δευτε οπισω μου. 4 *Reg. vi.* 19. διασκορπισον αυτους εν τῃ δυναμει σου. *Ps. lviii.* 11. [ὁ Γαλιαλαιος Ιουδας. *Jos. Ant. xviii.* 1. 6. *xx.* 5. 2. 4. *Bell. Jud. ii.* 8. 1.] *Conf. Matt. xxiv.* 4, 5. *Marc. xiii.* 5, 6. 21-23.

38 Και τα νυν λεγω ὑμιν, αποστητε απο των ανθρωπων τουτων, και εασατε αυτους· ὁτι εαν ῃ εξ ανθρωπων ἡ βουλη αὑτη η το εργον τουτο, καταλυθησεται·

αποστηθι απο αδικου. *Sir. vii.* 2. εασον με. *Exod. xxxii.* 9. *Jud. xi.* 37. πασας τας ἑαυτου απειλας εωρα καταλυομενας. 4 *Mac.* 4. 24. πασα ἡ βουλη μου στησεται. *Esa. xlvi.* 10. το μη πολυν χρονον εασθαι τους δυσσεβουντας, κ. τ. λ. 2 *Mac. vi.* 13.

39 Ει δε εκ Θεου εστιν, ου δυνασθε καταλυσαι αυτο, μηποτε και θεομαχοι εὑρεθητε.

συ δε μη νομισῃς αθωος εσεσθαι θεομαχειν επιχειρησας. 2 *Mac. vii.* 19. [αντιπαλοι Θεου. *Philo de Leg. p.* 782.] μηποτε. *Conf.* 2 *Tim. ii.* 25. [*Hoogeveen. p.* 519.] εὑρεθητε. *Conf. Luc. xvii.* 18. 1 *Cor.*

iv. 2. ουκ εστι σοφια, ουκ εστιν ανδρεια, ουκ εστι βουλη κατεναντι Κυριου. *Prov. xxi.* 30. *Aq. Sym. Theod. Conf. Esa. viii.* 10. εναντιον Κυριου ὁ πολεμος αυτου, κ. τ. λ. *Sir. xlvi.* 6.

40 Επεισθησαν δε αυτῳ· και προσκαλεσαμενοι τους αποστολους, δειραντες παρηγγειλαν μη λαλειν επι τῳ ονοματι του Ιησου, και απελυσαν αυτους.

ὁσα αν λαλησῃ προφητης εκεινος επι τῳ ονοματι μου. *Deut. xviii.* 19. ουκ εστι τῳ ανθρωπῳ τουτῳ κρισις θανατου, ὁτι επι τῳ ονοματι Κυριου του Θεου ἡμων ελαλησε προς ἡμας. *Jer. xxxiii.* 16. δαρησεται. *Prov. x.* 8. *Aq. Conf. Esa. xxx.* 10. *Matt. x.* 17. *Marc. xii.* 5. *Luc. xx.* 10. ὁ δε ουκ επεισθη. *Est. iv.* 4. [*Conf. Viger. p.* 510.]

41 Οἱ μεν ουν επορευοντο χαιροντες απο προσωπου του συνεδριου, ὁτι ὑπερ του ονοματος αυτου κατηξιωθησαν ατιμασθηναι·

απο προσωπου της συναγωγης. *Num. xx.* 6. των ὑπερ Θεου νομον ἑως θανατου πονων καταφρονησαντες. 4 *Mac.* 1. μη ατιμασῃς ασθενη εν πυλαις. *Prov. xxii.* 22. γνωθι ὡς ελαβον περι σου ονειδισμον. *Jer. xv.* 15. ειπατε αδελφοι ἡμων τοις μισουσιν ὑμας και βδελυσσομενοις, ἱνα το ονομα Κυριου δοξασθῃ, και οφθῃ εν τῃ ευφροσυνῃ αυτων, και εκεινοι αισχυνθησονται. *Esa. lxvi.* 5. *Conf. Matt. v.* 10. *Rom. v.* 3. 2 *Cor. vi.* 10. *Phil. i.* 29. *Heb. x.* 34. *Jac. i.* 2. 1 *Pet. i.* 6. *iv.* 13. *Conf. Ps. lxxxviii.* 51, 52. οὑ ωνειδισαν το ανταλλαγμα του Χριστου σου. *probro afficerunt typum Uncti tui. Suidas. ad loc. respiciens* το ανταλλαγμα του Χριστου, *paulo generalius exponit, majores Christi secundum carnem. Eodem modo Theodoretus. Biel. voce* ανταλλαγμα.

42 Πασαν τε ἡμεραν εν τῳ ἱερῳ και κατ᾽ οικον ουκ επαυοντο διδασκοντες και ευαγγελιζομενοι Ιησουν τον Χριστον.

ου παυσομαι ευλογων σε. *Esa. xxxviii.* 20. ιδου επι τα ορη οἱ ποδες ευαγγελιζομενου. *Nah. i.* 15. κατ᾽ οικον, *inter parietes privatos.* τοις κατ᾽ Αιγυπτον Ιουδαιοις. 2 *Mac. i.* 1. ὁλην την ἡμεραν ευλογησουσιν αυτον. *Ps. lxxi.* 15. *cxviii.* 97. και απαγγελλων εις ανθρωπους τον Χριστον αυτου. *Amos. iv.* 13.

ΚΕΦ. ϛ. 6.

ΕΝ δε ταις ἡμεραις ταυταις πληθυνοντων των μαθητων, εγενετο γογγυσμος των Ἑλληνιστων προς τους Ἑβραιους, ὁτι παρεθεωρουντο εν τῃ διακονιᾳ τῃ καθημερινῃ αἱ χηραι αυτων.

και ἡ κραυγη του λαου και γυναικων αυτων μεγαλη προς τους αδελφους αυτων τους Ιουδαιους, κ.τ.λ. *Neh. v.* 1. επληθυνεν ὁ λαος. *Exod. i.* 20. εν ταις ἡμεραις εκειναις. 4 *Reg. x.* 32. εν αυταις ἡμεραις. *xxiii.* 29. *et pass. Comp.* εισακηκοε γαρ τον γογγυσμον ὑμων. *Exod. xvi.* 9. [*Hellenistæ dicuntur Judæi exteri et proselyti e Gentilibus Græcè loquentes; opponunturque Judæis* Ἑβραιοις, *Syrochaldaicè loquentibus. Bretschn.*] [Ἑλληνιζω· το Ἑλληνικως φθεγγομαι και τα Ἑλληνων φρονω. *Phav.*] απεστειλεν αυτῳ χρυσωματα και διακονιαν. 1 *Mac. xi.* 58. εις την καθημερινην διαιταν αυτης. *Judith. xii.* 15. προς, *adversus. Conf. Prov. xxi.* 30. *Ose. iv.* 1.

2 Προσκαλεσαμενοι δε οἱ δωδεκα το πληθος των μαθητων, ειπον, Ουκ αρεστον εστιν ἡμας, καταλειψαντας τον λογον του Θεου, διακονειν τραπεζαις.

προσεκαλουντο τους συγγενεις. 2 *Mac. viii.* 1. το πληθος συναγωγης. *Exod. xii.* 6. αρεστον. *Esd. x.* 11. 1 *Esd. ix.* 9. *Bar. iv.* 4. *Sap. ix.* 18. *Gen. xvi.* 6. [βασιλικη τραπεζα, *ærarium regium. Jos. Ant. xii.* 23. *Bretschn.*] *Conf. Krebs. in loc.*

3 Επισκεψασθε ουν, αδελφοι, ανδρας εξ ὑμων μαρτυρουμενους ἑπτα, πληρεις Πνευματος ἁγιου και σοφιας, οὑς καταστησωμεν επι της χρειας ταυτης·

Θεος—επεσκεψατο επ' εμε του οικοδομησαι. *Esd. i.* 2. *Exod. xviii.* 21. αδελφοι. *Ps. cxxxii.* 1. πληρης σοφιας. *Ezech. xxviii.* 12. και ενεπλησεν αυτον πνευμα θειον σοφιας και συνεσεως. *Exod. xxxv.* 31, 35. *xxxvi.* 1. οὑς ενεπλησα πνευματος σοφιας. *xxviii.* 3. *Joel. ii.* 29. *Ps. l.* 12. κατασταθησεται επι χρειων της βασιλειας. 1 *Mac. x.* 37. —οἱ απο των χρειων. 41. μη εὑρησομεν ανθρωπον τοιουτον, ὁς εχει πνευμα Θεου εν αυτῳ; *Gen. xli.* 38. *Num. xi.* 17-25. οὑς κατεστησας επι τα εργα. *Dan. iii.* 12. *Conf. Deut. i.* 9-13. *Esd. vii.* 25. [μαρτυρουμενον εφ' οἱς επραξεν ὑπο παντος του στρατου. *Jos. Ant. iii.* 2. 5.] *Conf.* 1 *Tim. iii.* 7. *Luc. iv.* 22.

4 Ἡμεις δε τῃ προσευχῃ και τῃ διακονιᾳ του λογου προσκαρτερησομεν.

Conf. cap. i. 14. *Luc. vi.* 12. 1 *Cor. vii.* 5.

5 Και ηρεσεν ὁ λογος ενωπιον παντος του πληθους· και εξελεξαντο Στεφανον ανδρα πληρη πιστεως και Πνευματος ἁγιου, και Φιλιππον, και Προχορον, και Νικανορα, και Τιμωνα, και Παρμεναν, και Νικολαον προσηλυτον Αντιοχεα,

και ηρεσεν ὁ λογος ενωπιον Κυριου. 3 *Reg. iii.* 10. *Alex. Gen. xxxiv.* 18. *xli.* 37. 1 *Mac. i.* 12. *vi.* 60. εκλεξασθε ἑαυτοις ανδρα. 1 *Reg.*

xvii. 8. εκλεγειν. *Conf. Num. xvi.* 7. *Deut. xvii.* 15. *Mich. iii.* 8. πληρεις θυμου Κυριου. *Esa. li.* 20. *Conf. Tit. ii.* 10.

6 Οὓς εστησαν ενωπιον των αποστολων, και προσευξαμενοι επεθηκαν αυτοις τας χειρας.

εστησεν αυτον εναντιον Ελεαζαρ του ἱερεως. Conf. Num. xxvii. 18–22. *και επεθηκε τας χειρας αυτου επ᾽ αυτον. Ib.* 18. 23. 2 *Reg. xiii.* 19. *Conf.* 1 *Tim. iv.* 14. 2 *Tim. i.* 6.

7 Και ὁ λογος του Θεου ηυξανε, και επληθυνετο ὁ αριθμος των μαθητων εν Ἱερουσαλημ σφοδρα, πολυς τε οχλος των ἱερεων ὑπηκουον τῃ πιστει.

και αυξανω αυτον και πληθυνω. Gen. xvii. 20. *xxviii.* 3. *xxxv.* 11. *xlviii.* 4. *Jer. iii.* 16. *xxiii.* 3. *και ουχ ὑπηκουεν αυτῃ. Gen. xxxix.* 10. *οχλος πολυς. Dan. xi.* 13. *και τα ἁγια των ἱερεων εις πληθος.* 2 *Par. xxx.* 24. *Conf. Esa. lv.* 11. 2 *Par. xxix.* 34.

8 Στεφανος δε πληρης πιστεως και δυναμεως εποιει τερατα και σημεια μεγαλα εν τῳ λαῳ.

σημεια και τερατα μεγαλα. Deut. vi. 22. *και ποιει σημεια και τερατα. Dan. vi.* 27. *Exod. xi.* 10. *πληρης σοφιας. Ezech. xxviii.* 12. *Theodor. και οἱ ἱερεις—εννακοσιοι ἑβδομηκοντατρεις. Esd. ii.* 36.

9 Ανεστησαν δε τινες των εκ της συναγωγης της λεγομενης Λιβερτινων, και Κυρηναιων, και Αλεξανδρεων, και των απο Κιλικιας και Ασιας, συζητουντες τῳ Στεφανῳ·

ανεστη Καϊν επι Αβελ. Gen. iv. 8. [*Αλεξανδρεων. Conf. Philo de Leg. ad Cai. p.* 1014. 1017.] [*Conf. Kuinoel. ad loc.*] [*τετταρες ησαν εν τῃ πολει των Κυρηναιων—και τεταρτη η των Ιουδαιων. Jos. Ant. xiv.* 7. 2. *τους εν Αλεξανδρειᾳ Ιουδαιους, και Αλεξανδρεις λεγομενους. Ib. xix.* 5. 2. *Krebs. et Loesner.*]

10 Και ουκ ισχυον αντιστηναι τῃ σοφιᾳ και τῳ πνευματι ᾡ ελαλει.

η ουκ ισχυω του εξελεσθαι. Esa. l. 2. *lix.* 1. *Conf. Exod. iv.* 12. *πνευμα περισσον. Dan. vi.* 3. *Sir. xlviii.* 12. *Matt. x.* 20. *και δωσω σε τῳ λαῳ τουτῳ—και ου μη δυνωνται προς σε, διοτι μετα σου ειμι του σωζειν σε, κ.τ.λ. Jer. xv.* 20, 21. *Ps. cxviii.* 98. *Luc. xxi.* 15.

11 Τοτε ὑπεβαλον ανδρας λεγοντας, ὁτι, Ακηκοαμεν αυτου λαλουντος ῥηματα βλασφημα εις Μωσην και τον Θεον.

[*ὁ φθονος—παντοτε ὑποβαλλει ανελειν. Test. XII Patr. p.* 536. *Jos. Bell. Jud. v.* 10. 4. *Bretschn.*] *ακηκοα. Job. xvi.* 2. *xiii.* 1. *λογων*

—ὡν εβλασφημησαν εις εμε. 4 *Reg. xix.* 6. *Comp. Draco.* 9. [ὑποβλητος. *subornatus. Jos. Bell. Jud. v.* 10. 4.]

12 *Συνεκινησαν τε τον λαον και τους πρεσβυτερους και τους γραμματεις, και επισταντες συνηρπασαν αυτον, και ηγαγον εις το συνεδριον.*

εγενετο κινημα μεγα εν τῃ πολει. 2 *Mac. xiii.* 44. *προσκληθεις εις συνεδριον.* 2 *Mac. xiv.* 5. *φρικτως και ταχεως επιστησεται ὑμιν. Sap. vi.* 5. *βασιλευς Βαβυλωνος εφεστηκεν εφ' ἡμας. Jer. xxi.* 2. *εις ματην εγενηθη σχοινος ψευδης γραμματευσι. viii.* 8. *και ηγαγον αυτον προς Ιηου, και απεκτεινεν αυτον.* 2 *Par. xxii.* 9.

13 *Εστησαν τε μαρτυρας ψευδεις λεγοντας, Ὁ ανθρωπος οὑτος ου παυεται ῥηματα βλασφημα λαλων κατα του τοπου του ἁγιου τουτου και του νομου.*

ανασταντες μαρτυρες αδικοι. Ps. xxxiv. 11. *xxvi.* 12. *μαρτυς ψευδης απολειται. Prov. xxi.* 28. *ου παυσομαι ευλογων σε. Esa. xxxviii.* 20. *βλασφημουντες και λαλουντες ἁ μη θεμις.* 2 *Mac. xii.* 14. *εαν ειπῃ βλασφημιαν κατα του Θεου. Dan. iii.* 29. *τοπος ἁγιος. Ps. xxiii.* 33. *Esa. lx.* 13. *ὁ τοπος οὑτος. Agg. ii.* 10. 2 *Mac. ii.* 18.

14 *Ακηκοαμεν γαρ αυτου λεγοντος, ὁτι Ιησους ὁ Ναζωραιος οὑτος καταλυσει τον τοπον τουτον, και αλλαξει τα εθη ἁ παρεδωκεν ἡμιν Μωϋσης.*

καταλυεσθαι νομους. 2 *Mac. ii.* 23. *καταλυων πολιτειας. iv.* 11. *και πολιτευεσθαι κατα τα επι των προγονων αυτων εθη. xi.* 25. *και αλλαξαι παντα τα δικαιωματα.* 1 *Mac. i.* 49. *και το ἁγιον διαφθερει. Dan. ix.* 26. *Mal. i.* 11. *τοπος ἁγιασματος. Esd. ix.* 8. *τοπος ἁγιος. Ps. xxiii.* 3. *εν τῳ Μωυσεως νομῳ κ.τ.λ.* 1 *Esd. viii.* 3. *ὁ Ναζωραιος. Conf. Matt. ii.* 23.

15 *Και ατενισαντες εις αυτον ἁπαντες οἱ καθεζομενοι εν τῳ συνεδριῳ, ειδον το προσωπον αυτου ὡσει προσωπον αγγελου.*

ατενισαντες. Conf. cap. i. 10. *Luc. xxii.* 56. *ουκ εκαθισα εν συνεδριῳ αυτων παιζοντων. Jer. xv.* 17. *ειδον τον αγγελον Κυριου προσωπον προς προσωπον. Jud. vi.* 22. *ειδον σε Κυριε ὡς αγγελον Θεου. Est. v.* 2. *Conf.* 2 *Reg. xiv.* 17. *xix.* 27. *Matt. xxviii.* 3. *και ην δεδοξασμενη ἡ οψις του χρωματος του προσωπου αυτου, κ.τ.λ. Exod. xxxiv.* 30. *Gen. xxxiii.* 10. *Est. v.* 2.

ΚΕΦ. ζ. 7.

ΕΙΠΕ δε ὁ Αρχιερευς, Ει αρα ταυτα οὕτως εχει;

ειπε (interrogavit). Zach. i. 9. επυνθανετο δε ει οὕτως εχοντα τυγχανει. *2 Mac. iii. 9.* ει αρα. *Gen. xviii. 3. Num. xxii. 11.* ει αληθως αρα δικαιοσυνην λαλειτε. *Ps. lvii. 1.*

2 Ὁ δε εφη, Ανδρες αδελφοι και πατερες, ακουσατε· ὁ Θεος της δοξης ωφθη τῳ πατρι ἡμων Αβρααμ οντι εν τῃ Μεσοποταμιᾳ, πριν η κατοικησαι αυτον εν Χαῤῥαν,

το δε ειδος της δοξης Κυριου ὡσει πυρ. *Exod. xxiv. 17.* ὁ βασιλευς της δοξης. *Ps. xxiii. 7.* ὁ Θεος της δοξης. *xxviii. 3. 1 Cor. ii. 8.* ὁ πατηρ της δοξης. *Eph. i. 17.* ωφθη Κυριος τῳ Ἀβραμ. *Gen. xii. 7. Conf. Jos. xxiv. 2.* Συ ει Κυριος ὁ Θεος, συ εξελεξω εν Ἀβραμ, και εξηγαγες αυτον εκ της χωρας των Χαλδαιων, κ.τ.λ. *Neh. ix. 7, 8.* [ωφθη δε ὁ Θεος τῳ Αβρααμ. *Conf. Philo de Abrah. p.* 283. *Jos. Ant. i. 6. 5.*] και παρῳκησαν το προτερον εν τῃ Μεσοποταμιᾳ, ὁτι ουκ εβουληθησαν ακολουθησαι τοις θεοις των πατερων αυτων, οἱ εγενοντο εν γῃ Χαλδαιων, κ. τ. λ. *Judith. v. 7-9.*

3 Και ειπε προς αυτον, Εξελθε εκ της γης σου και εκ της συγγενειας σου, και δευρο εις γην ἡν αν σοι δειξω.

εξελθε εκ της γης σου, και εκ της συγγενειας σου, κ.τ.λ. *Gen. xii. 1.* [*Laudat Philo, p.* 304. 406. *Edit. Col.* Αβραμος—καταλειπει την Χαλδαιαν ἑβδομηκοντα και πεντε γεγονως ετη, του Θεου κελευσαντος κ. τ. λ. *Jos. Ant. i. 7. 1.*] *CITAT.* 115.

4 Τοτε εξελθων εκ γης Χαλδαιων, κατῳκησεν εν Χαῤῥαν· κακειθεν μετα το αποθανειν τον πατερα αυτου, μετῳκισεν αυτον εις την γην ταυτην εις ἡν ὑμεις νυν κατοικειτε·

και εξηγαγεν αυτους εκ της χωρας των Χαλδαιων, πορευθηναι εις γην Χανααν· και ηλθον ἑως Χαῤῥαν· και κατῳκησεν εκει. *Gen. xi. 31.* και απεθανε Θαῤῥα εν Χαῤῥαν. *v. 32.* οἱ δε Χαναναιοι τοτε κατῳκουν την γην. *xii. 6.* κακειθεν. *4 Reg. ii. 25.* [*Conf. Philo de Migrat. Abrah. p.* 324. Αβρααμ δε ην ετων ἑβδομηκοντα πεντε, ὁτε εξηλθεν εκ Χαῤῥαν, κ. τ. λ. *Conf. Jos. Ant. i. 6. 7.*]

5 Και ουκ εδωκεν αυτῳ κληρονομιαν εν αυτῃ, ουδε βημα ποδος· και επηγγειλατο αυτῳ δουναι εις κατασχεσιν αυτην, και τῳ σπερματι αυτου μετ᾽ αυτον, ουκ οντος αυτῳ τεκνου.

και εδωκεν αυτην—κληρονομιαν. *Jos. xii. 7. Alex. Ald. Comp. Num.*

xviii. 23, 24. ουδε βημα ποδος. *Deut. ii.* 5. τῳ σπερματι σου δωσω την γην ταυτην. *Gen. xii.* 7. και εδωκεν αυτοις κατασχεσιν εν γῃ. *xlvii.* 11. *Num. xxxii.* 5. *xxxiii.* 54. και ην Σαρα στειρα, και ουκ ετεκνοποιει. *Gen. xi.* 30. *xxxii.* 10.

6 Ελαλησε δε οὑτως ὁ Θεος, Ὁτι εσται το σπερμα αυτου παροικον εν γῃ αλλοτριᾳ, και δουλωσουσιν αυτο και κακωσουσιν, ετη τετρακοσια.

7 Και το εθνος, ᾡ εαν δουλευσωσι, κρινω εγω, ειπεν ὁ Θεος· και μετα ταυτα εξελευσονται, και λατρευσουσι μοι εν τῳ τοπῳ τουτῳ.

6, 7.] και ερρεθη προς Ἀβραμ. Γινωσκων γνωσῃ ὁτι παροικον εσται το σπερμα σου εν γῃ ουκ ιδιᾳ, και δουλωσουσιν αυτους και ταπεινωσουσιν αυτους τετρακοσια ετη. Το δε εθνος ᾡ ἑαν δουλευσωσι κρινω εγω· μετα δε ταυτα εξελευσονται ὡδε μετα αποσκευης πολλης. *Gen. xv.* 13, 14. και λατρευσετε τῳ Θεῳ εν τῳ ορει τουτῳ. *Exod. iii.* 12. παροικος ειμι εν γῃ αλλοτριᾳ. *ii.* 22. *xviii.* 3. ἡ δε κατοικησις των υἱων Ισραηλ ἡν κατῳκησαν εν γῃ Αιγυπτῳ και εν γῃ Χανααν, ετη τετρακοσια τριακοντα. *xii.* 40. *Conf. Gen. xv.* 12. 2 *Mac. ii.* 4-17. [κατελιπον την Αιγυπτον μετα ετη τριακοντα και τετρακοσια. *Jos. Ant. ii.* 15. 2. *Conf. Krebs. et Kuinoel. in loc.*] *CITAT.* 116.

8 Και εδωκεν αυτῳ διαθηκην περιτομης· και οὑτως εγεννησε τον Ισαακ, και περιετεμεν αυτον τῃ ἡμερᾳ τῃ ογδοῃ· και ὁ Ισαακ τον Ιακωβ, και ὁ Ιακωβ τους δωδεκα πατριαρχας.

και αὑτη ἡ διαθηκη ἡν διατηρησεις—περιτμηθησεσθε την σαρκα της ακροβυστιας ὑμων, και εσται σημειον διαθηκης ανα μεσον εμου και ὑμων. *Gen. xvii.* 10-13. Ἀβρααμ εγεννησε τον Ισαακ. *xxv.* 19. περιετεμε δε Ἀβρααμ τον Ισαακ τῃ ἡμερᾳ τῃ ογδοῃ. *xxi.* 4. *Conf. Gen. xxix.* 32. κ. τ. λ. [*Jos. Ant. i.* 12. 2.] [θησω την διαθηκην μου αναμεσον εμου και αναμεσον σου, κ. τ. λ. *Philo de Nom. mutat. p.* 814, 815.] πατριαρχαι. 1 *Par. xxiv.* 31.

9 Και οἱ πατριαρχαι ζηλωσαντες τον Ιωσηφ απεδοντο εις Αιγυπτον· και ην ὁ Θεος μετ᾽ αυτου,

εζηλωσαν δε αυτον οἱ αδελφοι αυτου. *Gen. xxxvii.* 11. μη ζηλωσῃς δοξαν ἁμαρτωλου. *Sir. ix.* 11. [ζηλοι· φθονει. *Hesych.*] ειπε δε Κυριος—και εσομαι μετα σου—ὁ δε Θεος του πατρος μου ην μετ᾽ εμου. *Gen. xxxi.* 3-5. και απεδοντο τον Ιωσηφ τοις Ισμαηλιταις. ὁν απεδοσθε εις Αιγυπτον. *xlv.* 4. ὁτι ὁ Κυριος ην μετ᾽ αυτου. [Ιω-

σηφ.] *xxxix.* 3. 1 *Par. xvii.* 2. *Sap. x.* 13. *Conf. Gen. xxxvii.* 4-36. [αδελφον ὁν απεδοσθε—εις Αιγυπτον εκεινος—ειμι εγω. *Philo de Jos. p.* 560.] [οἱ δ' ουκετ' αμυνασθαι τον Μαρδοχαιον ελεγον δυνησεσθαι, τον γαρ Θεον ειναι συν αυτῳ. *Jos. Ant. xi.* 6. 10. μεθ' ὡν το δικαιον εστι, μεθ' εκεινων ὁ Θεος. *Id. xv.* 5. 9.] [ουτος συνεβουλευσεν αποδιδοσθαι, δουλειαν ὑπαλλαττομενος θανατου κουφοτερον κακον μειζονος. *Philo de Jos. p.* 528. δια τουτο γαρ ειποιμ' αν ὁ Λαβαν ουκ εστι προς σου, ὁτι μετα σου ὁ Θεος. *Id. p.* 153.] [Κυριος ὁ Θεος αυτου μετ' αυτου. *Num. xxiii.* 21. *quæ Philo, Vit. Mos. p.* 646, *explicat,* ὁ Θεος αυτων προασπιζει φανερως. *item alicubi* συλληπτορι χρησθαι. *Loesner. p.* 184.]

10 Και εξειλετο αυτον εκ πασων των θλιψεων αυτου, και εδωκεν αυτῳ χαριν και σοφιαν εναντιον Φαραω βασιλεως Αιγυπτου, και κατεστησεν αυτον ἡγουμενον επ' Αιγυπτον και ὁλον τον οικον αὑτου.

εξαιρουμενος εκ θλιψεως. *Nah. ii.* 1. εκ πασων των θλιψεων μου ερρυσατο με. *Ps. xxxiii.* 4. *alii.* [*Alex.* θλιψαιων. *Ald. Comp.* θλιψεως. *Vat.* παροικιων.] και εδωκεν αυτῳ χαριν εναντιον του αρχιδεσμοφυλακος. *Gen. xxxix.* 21. ηρεσε δε το ρημα εναντιον Φαραω —και ειπε, Μη εὑρησομεν ανθρωπον τοιουτον, ὁς εχει πνευμα Θεου εν αυτῳ; *Gen. xli.* 37, 38. ιδου καθιστημι σε σημερον επι πασῃ γῃ Αιγυπτου. 41. συ εσῃ επι τῳ οικῳ μου. 40. καταστησαι με εις ἡγουμενον επι τον λαον. 2 *Reg. vi.* 21. [*Conf. Jos. Ant. ii.* 5. 7.] και κατεστησεν αυτον εφ' ὁλης γης Αιγυπτου. *Gen. xli.* 43. κατεστησεν αυτον Κυριον του οικου αυτου. *Ps. civ.* 21. *Conf. Sap. x.* 14. 1 *Mac. ii.* 13.

11 Ηλθε δε λιμος εφ' ὁλην την γην Αιγυπτου και Χανααν, και θλιψις μεγαλη· και ουχ εὑρισκον χορτασματα οἱ πατερες ἡμων.

και εγενετο λιμος εν πασῃ τῃ γῃ. *Gen. xli.* 54-57. [*Conf. Jos. Ant. ii.* 7.] και εν ἡμεραις λιμου χορτασθησονται. *Ps. xxxvi.* 19. [Χαναναιαν την νυν Ιουδαιαν καλουμενην. *Jos. Ant. i.* 6. 2.] *Ps. civ.* 16. *Judith. v.* 10. χορτασματα. *Conf. Gen. xliii.* 24. [*Conf. Sturz. p.* 202.]

12 Ακουσας δε Ιακωβ οντα σιτα εν Αιγυπτῳ, εξαπεστειλε τους πατερας ἡμων πρωτον·

ιδου ακηκοα, ὁτι εστι σιτος εν Αιγυπτῳ. *Gen. xlii.* 2. *xliii.* 15. και αναστaντες κατεβησαν εις Αιγυπτον, κ. τ. λ.

13 Και εν τῳ δευτερῳ ανεγνωρισθη Ιωσηφ τοις αδελφοις αὑτου, και φανερον εγενετο τῳ Φαραω το γενος του Ιωσηφ.

ἡνικα ανεγνωριζετο τοις αδελφοις αυτου. *Gen. xlv.* 1-3. *φανερον εγενηθη το πραγμα.* 2 *Mac. i.* 33. *και διεβοηθη ἡ φωνη εις τον οικον Φαραω, λεγοντες, Ἡκασιν οἱ αδελφοι Ιωσηφ.* *Gen. xlv.* 16. *εν δε τῳ δευτερῳ.* *Job. xxxiii.* 14. *Deut. x.* 22. [*Conf. Jos. Ant. ii.* 6. *et Philo de Jos.*]

14 Αποστειλας δε Ιωσηφ μετεκαλεσατο τον πατερα αὑτου Ιακωβ, και πασαν την συγγενειαν αὑτου, εν ψυχαις ἑβδομηκονταπεντε.

εξ Αιγυπτου μετεκαλεσα τα τεκνα αυτου. *Ose. xi.* 1. *αὑτη ἡ συγγενεια Ῥουβην.* *Exod. vi.* 14. *πασαι ψυχαι οικου Ιακωβ αἱ εισελθουσαι μετα Ιακωβ εις Αιγυπτον, ψυχαι ἑβδομηκονταπεντε.* *Gen. xlvi.* 27. *Exod. i.* 5. *Conf. Krebs. et Kuinoel. ad loc.* *εν ἑβδομηκοντα* (*ἑβδομηκοντα πεντε, Alex. Ald.*) *ψυχαις κατεβησαν οἱ πατερες σου εις Αιγυπτον.* *Deut. x.* 22. [*λεγεται γαρ ησαν αἱ ψυχαι εξ Ιακωβ πεντε και ἑβδομηκοντα.* *Philo de Jos. p.* 419. *sed alibi, λεγεται γαρ ὁτι εν ἑβδομηκοντα ψυχαις κατεβησαν οἱ πατερες σου εις Αιγυπτον.* *Loesner. ad loc. p.* 185.]

15 Κατεβη δε Ιακωβ εις Αιγυπτον, και ετελευτησεν αυτος και οἱ πατερες ἡμων·

μη φοβου καταβηναι εις Αιγυπτον. *Gen. xlvi.* 3, 4, 5. *εξελιπε· και προσετεθη προς τον λαον αυτου.* *xlix.* 33. *ετελευτησε δε Ιωσηφ και παντες οἱ αδελφοι αυτου, και πασα ἡ γενεα εκεινη.* *Exod. i.* 6.

16 Και μετετεθησαν εις Συχεμ, και ετεθησαν εν τῳ μνηματι ὁ ωνησατο Αβρααμ τιμης αργυριου παρα των υἱων Εμμορ του Συχεμ.

και μετετεθη Ιουδα απο της γης. *Jer. lii.* 25. 28. *Comp. Theod. Conf. Exod. xiii.* 19. *και εθηκαν εν τῃ σορῳ.* *Gen. l.* 26. *Conf. Gen. xxiii.* 16. *και εκτησατο την μεριδα του αγρου οὑ εστησεν εκει την σκηνην αυτου παρα Εμμωρ πατρος του Συχεμ ἑκατον αμνων.* *Gen. xxxiii.* 19. *l.* 13. *εν τῃ μεριδι του αγρου οὑ εκτησατο Ιακωβ παρα των Αμμορραιων των κατοικουντων εν Σικιμοις.* *Jos. xxiv.* 32. *Conf. Joan. iv.* 5. *τον αγρον και το σπηλαιον, ὁ εκτησατο Ἀβρααμ παρα των υἱων του Χετ· εκει εθαψαν Ἀβρααμ και Σαρραν την γυναικα αυτου.* *Gen. xxv.* 10. [*θαπτεται εν Χεβρωνι μετα της γυναικος Σαρρας.* *Jos. Ant. i.* 17. 1. *Ιωσηπος, συγχωρησαντος αυτῳ του βασιλεως, τον του πατρος νεκρον εις Χεβρωνα κομισας εκει θαπτει πολυτελως.* *ii.* 8. 7. *Ιωσηπου οστα ὑστερον, ὁτε μετεστησαν εκ της Αιγυπτου οἱ Ἑβραιοι, εις Χαναναιαν εκομισαν.* *Ib. Conf. Krebs. ad loc. p.* 191, 192.]

17 Καθως δε ηγγιζεν ὁ χρονος της επαγγελιας ἡς ωμοσεν ὁ Θεος τῳ Αβρααμ, ηυξησεν ὁ λαος και επληθυνθη εν Αιγυπτῳ,

καθως δε ανηλωθη τα της θυσιας—εκελυσε, κ. τ. λ. *2 Mac. i.* 31. ἡκει ὁ καιρος, ηγγικεν ἡ ἡμερα. *Ezech. vii.* 7. *Hab. iii.* 2. και ὁς ωμοσε μοι, λεγων, Σοι δωσω την γην. *Gen. xxiv.* 7. οἱ δε υἱοι Ισραηλ ηυξηθησαν και επληθυνθησαν. *Exod. i.* 7. *Gen. xlvii.* 27. *Ps. civ.* 23. και ηυξησε τον λαον αυτου σφοδρα, και εκραταιωσεν αυτον ὑπερ τους εχθρους αυτου. *Ps. civ.* 24. [*Conf. Jos. Ant. ii.* 9. 1.]

18 Αχρις οὑ ανεστη βασιλευς ἑτερος ὁς ουκ ηδει τον Ιωσηφ.

αχρις οὑ (*sc.* χρονου). *Job. xxxii.* 11. ανεστη δε βασιλευς ἑτερος επ' Αιγυπτον, ὁς ουκ ηδει τον Ιωσηφ. *Exod. i.* 8. [ιθι δη παρα τον βασιλεα της χωρας μηδεν φοβηθεις το παραπαν—ἑτερος την χωραν επιτετραπται, μηδενος των πραγματων σοι μνησιακων. *Philo de Vit. Mos. p.* 613.] [*Conf. Jos. Ant. ii.* 9. 1.] *CITAT.* 117.

19 Οὑτος κατασοφισαμενος το γενος ἡμων, εκακωσε τους πατερας ἡμων, του ποιειν εκθετα τα βρεφη αὑτων, εις το μη ζωογονεισθαι.

επανεστη αυτοις ὁ βασιλευς Αιγυπτου, και κατεσοφισατο αυτους εν πονῳ και εν πλινθῳ. *Judith. v.* 11. *Alex.* δευτε ουν, κατασοφισωμεθα αυτους. *Exod. i.* 10. εἱς εκ του γενους ἡμων. *Tob. ii.* 3. κακωσωσιν αυτους εν τοις εργοις. 11. τον γαρ εν εκθεσει παλαι ῥιφεντα. *Sap. xi.* 14. και εζωογονουν τα αρσενα. *Exod. i.* 17, 18. εις το ειναι. *Sap. i.* 14. [*Jos. Ant. ii.* 8.] [την ισχυν αυτων αφαιρειν επινοιαις ανοσιουργοις εμηχανατο. *Philo de Vit. Mos. p.* 603. δεδακρυμενοι τον παιδα εκτιθεασι περι τας οχθας του ποταμου, κ.τ.λ. *Ib. p.* 604. τον παιδα εκτιθεασι. *Ib. p.* 469. αδελφη του εκτεθεντος βρεφους. *Ib.*] [μεμφομενου του πατρος αυτην, ὁτι σωσειε μεν τον εχθρον αυτου, κατασοφισαιτο αυτον. *Jos. Ant. vi.* 11. 4.] [κατασοφισομεθα· μηχανῃ τινι κακωσομεν. *Suid.*]

20 Εν ᾡ καιρῳ εγεννηθη Μωσης, και ην αστειος τῳ Θεῳ· ὁς ανετραφη μηνας τρεις εν τῳ οικῳ του πατρος αὑτου.

ιδοντες δε αυτο αστειον, εσκεπασαν αυτο μηνας τρεις, κ.τ.λ. *Exod. ii.* 2. τῳ Θεῳ (*admodum.*) πολις μεγαλη τῳ Θεῳ. *Jon. iii.* 3. *2 Cor. x.* 4. *Gen. xxiii.* 6. *Ps. lxviii.* 11. *Esa. xxviii.* 2. εν σπαργανοις ανετραφην. *Sap. vii.* 4. ηγαπημενον ὑπο Θεου και ανθρωπων Μωυσην, κ. τ. λ. *Sir. xlv.* 1. *Conf. Heb. xi.* 23. και νυν αστεια ει συ εν τῳ ειδει σου. *Judith. xi.* 23. [αστειον παιδιον. *Jos. Ant. ii.* 9. 7. παιδα μορφῃ θειον. *Ib.*] [γεννηθεις ουν ὁ παις ευθυς οψιν ενεφηνεν αστειοτεραν η κατ' ιδιωτην. *Philo de Vit. Mos. lib. i. p.* 604. ευγενη και αστειον οφθηναι. 605. και παντι ανθρωπῳ αστειῳ ὁ ἱερος

λογος προφητειαν μαρτυρει. *Philo, tom.* 1. *p.* 510. *Edit. Mangey.* μονος ου βλεπει ὁ αστειος, οὑ χαριν και τους προφητας ωνομασαν οἱ παλαιοι Ὁρωντας. *lib. de Abrah.*] ὁτι τον προφητην εκαλει ὁ λαος εμπροσθεν, ὁ βλεπων. 1 *Reg. ix.* 9. ουκ αστεια ἡ ὁδος σου εναντιον μου. *Num. xxii.* 32.

21 Εκτεθεντα δε αυτον, ανειλετο αυτον ἡ θυγατηρ Φαραω, και ανεθρεψατο αυτον ἑαυτῃ εις υἱον.

εκ του ὑδατος αυτον ανειλομην. *Exod. ii.* 10. εκτεθεντος τεκνου. *Sap. xviii.* 5. *xi.* 14. [ειτα διδωσιν ονομα θεμενη Μωσην ετυμως δια το εκ του ὑδατος αυτον ανελεσθαι. *Philo ut supra.*] [λεγεται δε ανελειν και το αναλαβειν τα εκθετα βρεφη. *Etym. Mag.*]

22 Και επαιδευθη Μωσης πασῃ σοφιᾳ Αιγυπτιων· ην δε δυνατος εν λογοις και εν εργοις.

δυνατος εν γλωσσῃ. *Sir. xxi.* 7. *Luc. xxiv.* 19. εν εργῳ και λογῳ. *Sir. iii.* 8. δυνατος τοις εργοις. *Jer. xxxix.* 19. [*Conf. Jos. Ant. ii.* 13.] και ὑπερ παντας φρονιμους Αιγυπτου. 3 *Reg. iv.* 30. και επληθυνθη ἡ φρονησις Σαλωμων—ὑπερ παντας φρονιμους Αιγυπτου. *iii.* 1. [*Singulas partes sapientiæ Ægypt. commemorat Philo, Vit. Mos. p.* 606. *Loesner. p.* 187. *Krebs. p.* 195, 196. *Conf. Kuinoel.*]

23 Ὡς δε επληρουτο αυτῳ τεσσαρακονταετης χρονος, ανεβη επι την καρδιαν αυτου επισκεψασθαι τους αδελφους αὑτου τους υἱους Ισραηλ.

εν δε τῳ αναπληρουσθαι τον χρονον. *Est. ii.* 15. και ουκ αναβησεται αυτων επι την καρδιαν. *Esa. lxv.* 6. *Jer. iii.* 16. *plenius apud Luc. xxiv.* 38. επεσκεψατο ὁ Θεος τους υἱους Ισραηλ. *Exod. iv.* 31. *Ps. civ.* 23. εξηλθε προς τους αδελφους αυτου τους υἱους Ισραηλ. *Exod. ii.* 11. και εγενετο επι καρδιαν—του οικοδομησαι οικον τῳ ονοματι Κυριου. 2 *Par. vi.* 7, 8.

24 Και ιδων τινα αδικουμενον, ημυνατο και εποιησεν εκδικησιν τῳ καταπονουμενῳ, παταξας τον Αιγυπτιον.

κατανοησας δε τον πονον αυτων ὁρᾳ ανθρωπον Αιγυπτιον τυπτοντα τινα Ἑβραιον,—και παταξας τον Αιγυπτιον. *Exod. ii.* 11, 12. ημυνατο ὁ Θεος τους εχθρους αυτων. *Jos. x.* 13. *Sap. xi.* 3. εν τῳ ποιησαι σοι Κυριον εκδικησιν. *Jud. xi.* 36. ῥυσασθε αδικουμενον. *Esa. i.* 17. *x.* 20. επιδειν επι τον ὑπο παντων καταπονουμενον λαον. 2 *Mac. viii.* 2. *Alex. Ald. Comp.* 3 *Mac. ii.* 2. [*Conf. Philo Alleg. ii. p.* 51.]

25 Ενομιζε δε συνιεναι τους αδελφους αὑτου, ὁτι ὁ Θεος δια χειρος αυτου διδωσιν αυτοις σωτηριαν· οἱ δε ου συνηκαν.

ενομιζε. Sap. xiii. 2. 2 Mac. viii. 35. ου συνηκαν εις τα εργα Κυριου. Ps. xxvii. 5. ὁτι ανθρωποι αδελφοι εσμεν ἡμεις. Gen. xiii. 8. εαν μη πιστευσητε, ουδε μη συνητε. Esa. vii. 9.

26 Τῃ τε επιουσῃ ἡμερᾳ ωφθη αυτοις μαχομενοις, και συνηλασεν αυτους εις ειρηνην, ειπων, Ανδρες, αδελφοι εστε ὑμεις· ἱνατι αδικειτε αλληλους;

εις τον επιοντα χρονον. Deut. xxxii. 29. τῃ ἡμερᾳ τῃ δευτερᾳ ὁρᾳ δυο ανδρας Ἑβραιους διαπληκτιζομενους, κ. τ. λ. Exod. ii. 13. δια τι συ τυπτεις τον πλησιον; id. εις φυγην συνηλασαν. 2 Mac. iv. 42. v. 5. παντες δε ὑμεις αδελφοι εστε. Matt. xxiii. 8.

27 Ὁ δε αδικων τον πλησιον, απωσατο αυτον, ειπων, Τις σε κατεστησεν αρχοντα και δικαστην εφ᾽ ἡμας;

28 Μη ανελειν με συ θελεις, ὁν τροπον ανειλες χθες τον Αιγυπτιον;

27, 28.] *λεγει τῳ αδικουντι, τις σε κατεστησεν αρχοντα και δικαστην εφ᾽ ἡμων; κ. τ. λ. Exod. ii. 14. ὁν τροπον. i. e. καθ᾽ ὁν τροπον. Esa. xiv. 20. 24. CITAT. 118.*

29 Εφυγε δε Μωσης εν τῳ λογῳ τουτῳ, και εγενετο παροικος εν γῃ Μαδιαμ, οὑ εγεννησεν υἱους δυο.

και ῳκησεν εν γῃ Μαδιαμ. Exod. ii. 15. ὁτι παροικος ειμι εν γῃ αλλοτριᾳ. ii. 22. [Conf. Jos. Ant. ii. 11. εις πολιν Μαδιανην αφικομενος προς τῃ μεν Ερυθρᾳ θαλασσῃ κειμενην, επωνυμον δε ἑνος των Αβραμῳ γενομενων εκ Κετουρας υἱων, κ. τ. λ.]

30 Και πληρωθεντων ετων τεσσαρακοντα, ωφθη αυτῳ εν τῃ ερημῳ του ορους Σινα αγγελος Κυριου εν φλογι πυρος βατου.

ὁταν πληρωθῃ ἑξ ετη. Jer. xli. 14. ωφθη δε αυτῳ αγγελος Κυριου εν πυρι φλογος εκ του βατου. Exod. iii. 2. [Conf. Jos. Ant. ii. 12. το Σιναιον. iii. v. 1. το Σιναιον ορος. ii. 13. 2.] [Conf. Philo de Vit. Mos. p. 612. καλεισθω δε αγγελος κ. τ. λ. Loesner. p. 188.]

31 Ὁ δε Μωσης ιδων εθαυμασε το ὁραμα· προσερχομενου δε αυτου κατανοησαι, εγενετο φωνη Κυριου προς αυτον,

οψομαι το ὁραμα το μεγα τουτο. Exod. iii. 3. ἡ φωνη Κυριου. Gen. iii. 8. 10. Ezech. i. 24. Aq. Sym. κατανοησαι. Conf. Gen. iii. 6. ἁ εποιησε μεθ᾽ ὑμων εις θαυμασια. Joel. ii. 26. [πορευθεις ιδε, θεασαι, κατανοησον. Philo, p. 157.]

32 Εγω ὁ Θεος των πατερων σου, ὁ Θεος Αβρααμ και ὁ Θεος Ισαακ και ὁ Θεος Ιακωβ. Εντρομος δε γενομενος Μωσης ουκ ετολμα κατανοησαι.

εγω ειμι ὁ Θεος του πατρος σου, Θεος Ἀβρααμ, κ. τ. λ. Exod. iii. 6. *εντρομος και εμφοβος.* 1 *Mac. xiii.* 2. *ανεστην εντρομος. Dan. x.* 11. *ευλαβειτο γαρ κατεμβλεψαι ενωπιον του Θεου. Exod. iii.* 6. *τις οὑτος ὁστις ετολμησε, κ. τ. λ. Est. vii.* 5. *CITAT.* 119.

33 *Ειπε δε αυτῳ ὁ Κυριος, Λυσον το ὑποδημα των ποδων σου· ὁ γαρ τοπος εν ᾡ ἑστηκας, γη ἁγια εστιν.*

λυσον το ὑποδημα, κ. τ. λ. Exod. iii. 5. *CITAT.* 120.

34 *Ιδων ειδον την κακωσιν του λαου μου του εν Αιγυπτῳ, και του στεναγμου αυτων ηκουσα· και κατεβην εξελεσθαι αυτους· και νυν δευρο, αποστελω σε εις Αιγυπτον.*

ιδων ειδον την κακωσιν του λαου μου. και της κραυγης αυτων ακηκοα—και κατεβην εξελεσθαι αυτους εκ χειρος των Αιγυπτιων —και νυν δευρο αποστειλω σε προς Φαραω βασιλεα Αιγυπτου. Exod. iii. 7-10. *και εισηκουσεν ὁ Θεος τον στεναγμον αυτων. ii.* 24. *CITAT.* 121.

35 *Τουτον τον Μωυσην ὁν ηρνησαντο, ειποντες, Τις σε κατεστησεν αρχοντα και δικαστην; τουτον ὁ Θεος αρχοντα και λυτρωτην απεστειλεν εν χειρι αγγελου του οφθεντος αυτῳ εν τῃ βατῳ.*

Κυριε—λυτρωτα μου. Ps. xviii. 14. *εν χειρι Ἱερεμιου. Jer. xliv.* 2. *ωφθη δε αυτῳ αγγελος Κυριου εν πυρι φλογος εκ του βατου. Exod. iii.* 2. *ὁ νομος, ὁν εδωκε Κυριος—εν χειρι Μωυσῃ. Lev. xxvi.* 46. *Conf. cap. v.* 28. *ὁ αγγελος της διαθηκης. Mal. iii.* 1.

36 *Οὑτος εξηγαγεν αυτους, ποιησας τερατα και σημεια εν γῃ Αιγυπτου και εν ερυθρᾳ θαλασσῃ και εν τῃ ερημῳ ετη τεσσαρακοντα.*

εξαποστελω εν τῳ εξαγαγειν σε τον λαον. Exod. iii. 12. *και εποιησε τα σημεια. iv.* 29. *και εξηγαγεν ἡμας—και εν σημειοις και εν τερασι. Deut. xxvi.* 8. *και πληθυνω τα σημεια μου και τα τερατα εν γῃ Αιγυπτῳ. Exod. vii.* 3. *και επετιμησε τῃ ερυθρᾳ θαλασσῃ. Ps. cv.* 9. *Conf. Deut. iv.* 33-37. *vi.* 21, 22.

37 *Οὑτος εστιν ὁ Μωυσης ὁ ειπων τοις υἱοις Ισραηλ, Προφητην ὑμιν αναστησει Κυριος ὁ Θεος ὑμων εκ των αδελφων ὑμων ὡς εμε· αυτου ακουσεσθε.*

προφητην εκ των αδελφων σου, ὡς εμε, αναστησει, κ. τ. λ. Deut. xviii. 15. *Vide sup. cap. iii.* 22. [*CITAT.* 111.]

38 Οὑτος εστιν ὁ γενομενος εν τῃ εκκλησιᾳ εν τῃ ερημῳ μετα του αγγελου του λαλουντος αυτῳ εν τῳ ορει Σινα και των πατερων ἡμων, ὁς εδεξατο λογια ζωντα δουναι ἡμιν.

κατεβη δε Κυριος επι το ορος το Σινα. *Exod. xix.* 20. το λογιον σου εζησε με. *Ps. cxviii.* 50. ὁ λογος ὁ γενομενος προς Ἡσαΐαν. *Esa. ii.* 1. *Conf. Gal. iii.* 19. *Heb. ii.* 2. *Bar. iv.* 1. ζωντα. *Conf. Deut. xxxii.* 47. *Ezech. xx.* 11. εκκλησια. *Ps. xxvi.* 12. *lxvii.* 26. *Exod. x.* 6. [θεοχρηστα λογια. *Philo Edit. Col. p.* 791.]

39 Ὡ ουκ ηθελησαν ὑπηκοοι γενεσθαι οἱ πατερες ἡμων, αλλ᾽ απωσαντο, και εστραφησαν ταις καρδιαις αὑτων εις Αιγυπτον,

και αποστρεψωμεν εις Αιγυπτον. *Num. xiv.* 4. και συ εστρεψας την καρδιαν του λαου τουτου. 3 *Reg. xviii.* 37. και διεγογγυζετε εν ταις σκηναις ὑμων, και ειπατε, Δια το μισειν Κυριον ἡμας εξηγαγε ἡμας εκ γης Αιγυπτου κ. τ. λ. *Deut. i.* 27. υἱος γαρ εγενομην καγω πατρι ὑπηκοος. *Prov. iv.* 3. και ουκ ηθελησαν εισακουσαι μου. *Ezech. xx.* 8. και απεωσαντο τον Κυριον. 4 *Reg. xvii.* 19. [*al.* απωσαντο.] ἡ καρδια μου εστραφη εν εμοι. *Thren. i.* 20. [*Conf. Jos. Ant. lib. iv.* ὑπηκοος γινομαι. *ii.* 4. 8.]

40 Ειποντες τῳ Ααρων, Ποιησον ἡμιν θεους οἱ προπορευσονται ἡμων· ὁ γαρ Μωσης οὑτος, ὁς εξηγαγεν ἡμας εκ γης Αιγυπτου, ουκ οιδαμεν τι γεγονεν αυτῳ.

ποιησον ἡμιν θεους, οἱ προπορευσονται ἡμων· ὁ γαρ Μωυσης οὑτος ὁ ανθρωπος ὁς εξηγαγεν κ. τ. λ. *Exod. xxxii.* 1. *Conf. Neh. ix.* 18. *Ps. civ.* 19. [*pro,* Μωσει τουτῳ ουκ οιδαμεν τι γενονε. *Ita, Dan. i.* 17. *Judith. xi.* 9. *Sir. x.* 22. *xli.* 14. *Apoc. ii.* 26. *iii.* 12. *Conf. Viger. p.* 41. *Edit. Herm. Bos. Ellips. p.* 451.] *CITAT.* 122.

41 Και εμοσχοποιησαν εν ταις ἡμεραις εκειναις, και ανηγαγον θυσιαν τῳ ειδωλῳ, και ευφραινοντο εν τοις εργοις των χειρων αὑτων.

εποιησε—μοσχον. *Exod. xxxii.* 4. [*al.* εποιησαν.] και ανηγαγεν ὁλοκαυτωσεις. 3 *Reg. iii.* 15. *Lev. xiv.* 20. *Esa. lvii.* 6. *Job. i.* 5. 2 *Par. xxix.* 21. *Ald. Comp.* ευφρανθην εν σωτηριᾳ σου. 1 *Reg. ii.* 1. *Ps. lxii.* 10. ευφρανθησεται Κυριος επι τοις εργοις. *ciii.* 31. και τα εργα των χειρων αυτου δεξαι. *Deut. xxxiii.* 11. ανηγαγε μοσχους. 2 *Par. xxix.* 24. *Ald. Comp.* [*Conf. Loesner. ad loc.*]

42 Εστρεψε δε ὁ Θεος, και παρεδωκεν αυτους λατρευειν τῃ στρατιᾳ του ουρανου· καθως γεγραπται εν βιβλῳ των προφητων, Μη σφαγια και θυσιας προσηνεγκατε μοι ετη τεσσαρακοντα εν τῃ ερημῳ, οικος Ισραηλ ;

43 Και ανελαβετε την σκηνην του Μολοχ, και το αστρον του θεου ὑμων Ῥεμφαν, τους τυπους οὑς εποιησατε προσκυνειν αυτοις· και μετοικιω ὑμας επεκεινα Βαβυλωνος.

παρεδωκε γαρ με ὁ Κυριος εις χειρας αδικων. *Job. xvi.* 11. εστρεψε ἑαυτον. *Ita,* εστραφη αυτοις εις εχθραν. *Esa. lxiii.* 10. *Conf.* 2 *Par. xv.* 2. *Ose. v.* 15. αποστρεψας δε το προσωπον σου, και εγενηθην τεταραγμενος. *Ps. xxx.* 7. ψυχῃ αναιδει μη παραδῳς με. *Sir. xxiii.* 6. *iv.* 19. ουδε μη λατρευσεις αυτοις. *Exod. xx.* 5. *xxiii.* 24. τῃ στρατιᾳ του ουρανου. *Jer. vii.* 18. *xix.* 13. 3 *Reg. xxii.* 19. προσεκυνησε πασῃ τῃ δυναμει του ουρανου. 4 *Reg. xxi.* 3. *Conf. Ps. lxxx.* 11, 12. *Ezech. xx.* 25. εστρεψε. *sc.* σεαυτον, *vel* το προσωπον αυτου. *Conf. Esa. lxiv.* 7. *Deut. xxxi.* 17. *Sir. iv.* 4. [αναβλεψασα εις αιθερα ειδεν ἡλιον και σεληνην και πλανητας και απλανεις αστερας, την ἱεροπρεπεστατην ουρανου στρατειαν. *Philo de spec. leg. p.* 806.] ὡς γεγραπται εν τῳ νομῳ. *Neh. x.* 34. επεκεινα Δαμασκου. *Amos. v.* 25, 26. επανω Βαβυλωνος. *Esa. x.* 9. [αγαλματα και τυποι μεταμορφουμενοι. *Jos. Ant. xv.* 9. 5. *Philo de Opific. p.* 4.] *CITAT.* 123.

44 Ἡ σκηνη του μαρτυριου ην εν τοις πατρασιν ἡμων εν τῃ ερημῳ, καθως διεταξατο ὁ λαλων τῳ Μωσῃ, ποιησαι αυτην κατα τον τυπον ὁν ἑωρακει·

εν τῃ σκηνῃ του μαρτυριου. *Exod. xxvii.* 23. *et pass.* και διεταξεν αυτοις ὁ βασιλευς. *Dan. i.* 5. ὁρα ποιησεις κατα τον τυπον τον δεδειγμενον σοι εν τῳ ορει. *Exod. xxv.* 40. *Heb. viii.* 5. *CITAT.* 124.

45 Ἡν και εισηγαγον διαδεξαμενοι οἱ πατερες ἡμων μετα Ιησου, εν τῃ κατασχεσει των εθνων ὡν εξωσεν ὁ Θεος απο προσωπου των πατερων ἡμων, ἑως των ἡμερων Δαβιδ·

διαδεξαμενοι. *Sap. vii.* 30. 2 *Par. xxxi.* 12. εδωκεν αυτοις κατασχεσιν εν γῃ Αιγυπτῳ. *Gen. xlvii.* 11. δωθητω ἡ γη—εν κατασχεσει. *Num. xxxii.* 5. παντι τοπῳ οὑ εξωσα αυτους εκει. *Jer. xxiv.* 9. *Joel. ii.* 20. εν ταις ἡμεραις Δαυιδ. 2 *Reg. xxi.* 1. και εκβαλει Κυριος παντα τα εθνη ταυτα απο προσωπου ὑμων. *Deut. xi.* 23. *Jos. iii.* 6, 7. *Sir. xlvi.* 4. *Heb. iv.* 8. [*Conf. Jos. Ant. v.* 1.]

46 Ὁς εὑρε χαριν ενωπιον του Θεου, και ῃτησατο εὑρειν σκηνωμα τῳ Θεῳ Ιακωβ.

ει εὑρον χαριν εναντιον σου. *Gen. xxxiii.* 10. ῃτησατο. *Eccles. ii.* 10. τῳ Θεῳ. *Conf.* 2 *Reg. vii.* 1. 1 *Par. xvii.* 12. [*Jos. Ant. vii.* 14, 15.]

47 Σολομων δε ῳκοδομησεν αυτῳ οικον.

Σαλωμων ὁ υἱος σου οικοδομησει τον οικον μου. 1 *Par. xxviii.* 6. 3 *Reg. vi.* 1. *viii.* 27. [*Jos. Ant. viii.* 2-6.] *Zach. vi.* 12, 13.

48 Αλλ᾽ ουχ ὁ ὑψιστος εν χειροποιητοις ναοις κατοικει, καθως ὁ προφητης λεγει,

ὁ ὑψιστος. *Deut. xxxii.* 8. ὁ εν ὑψηλοις κατοικων. *Esa. lvii.* 15. ὁτι ου σεβομαι ειδωλα χειροποιητα. *Draco.* 5. *Judith. viii.* 18. *Esa. xxi.* 9. *Conf.* 2 *Par. ii.* 6.

49 Ὁ ουρανος μοι θρονος, ἡ δε γη ὑποποδιον των ποδων μου· ποιον οικον οικοδομησετε μοι; λεγει Κυριος· η τις τοπος της καταπαυσεως μου;

50 Ουχι ἡ χειρ μου εποιησε ταυτα παντα;

49, 50.] ὁ ουρανος μου θρονος, και ἡ γη κ.τ.λ. παντα γαρ ταυτα εποιησεν ἡ χειρ μου. *Esa. lxvi.* 1, 2. *xl.* 28. *xliv.* 24. *xlv.* 7, 8. *Jer. xix.* 11. *Ps. xxxii.* 6-9. καταπαυσεως. *Conf. Deut. xii.* 9. *Ps. cxxxi.* 14. *Conf.* 3 *Reg. viii.* 27. 2 *Par. vi.* 18. *CITAT.* 125.

51 Σκληροτραχηλοι, και απεριτμητοι τῃ καρδιᾳ και τοις ωσιν, ὑμεις αει τῳ Πνευματι τῳ ἁγιῳ αντιπιπτετε· ὡς οἱ πατερες ὑμων, και ὑμεις.

ὑμεις λαος σκληροτραχηλος. *Exod. xxxiii.* 5. *Sir. xvi.* 11. *Conf. Exod. xxxiii.* 3. *Prov. xxix.* 1. απεριτμητους καρδιᾳ. *Ezech. xliv.* 7. 9. *Lev. xxvi.* 41. *Conf. Rom. ii.* 29. ιδου απεριτμητα τα ωτα αυτων, και ου δυνησονται ακουειν. *Jer. vi.* 10. εν τῳ αντιπιπτειν την συναγωγην. *Num. xxvii.* 14. ἱνα μη γενωνται ὡς οἱ πατερες αυτων. *Ps. lxxvii.* 8. *Conf. Esa. lxiii.* 10. [το περιτεμνεσθαι, ἡδονων και παθων παντων εκτομην, και δοξης αναιρεσιν ασεβους σημαινει. *Philo de Abrah. tom.* 1. *p.* 450.] [περιτεμνεσθε τας σκληροκαρδιας. *Deut. x.* 16. [*laudat Philo, p.* 661. *Edit. Col.*] ὁτι εγω επισταμαι τον ερεθισμον σου, και τον τραχηλον σου τον σκληρον, κ. τ. λ. *Deut. xxxi.* 27. *Conf. Esa. xvii.* 10.

52 Τινα των προφητων ουκ εδιωξαν οἱ πατερες ὑμων; και απεκτειναν τους προκαταγγειλαντας περι της ελευσεως του δικαιου, οὗ νυν ὑμεις προδοται και φονεις γεγενησθε.

Matt. v. 12. *xxi.* 35. *Esa. xliii.* 27. σωσον με εκ παντων των διωκοντων με. *Ps. vii.* 1. ὡς υἱος ανθρωπου ερχομενος ην. *Dan. vii.* 13. ὁτι ερχομενος ἡξει. *Hab. ii.* 3. *Conf.* 1 *Reg. viii.* 7, 8. 3 *Reg. xix.* 10. 2 *Par. xxiv.* 19-24. και ειπα, ου ποιμανω ὑμας—κατεσθιετωσαν ἑκαστος τας σαρκας του πλησιον αυτου. *Zach. xi.* 9.

53 Οἵτινες ἐλαβετε τον νομον εις διαταγας αγγελων, και ουκ ἐφυλαξατε.

τον νομον μου φυλαξεσθε. Lev. xix. 19. *Ps. ciii.* 4. Κυριος εκ Σινα ἥκει—εκ δεξιων αυτου αγγελοι μετ᾽ αυτου. *Deut. xxxiii.* 2. *Conf. Exod. xix.* 20. *Gal. iii.* 19. *Ps. lxvii.* 17. *διαταγη. Esd. iv.* 11. *εις διαταξεις των πεζων. Judith. i.* 4. *viii.* 36. 2 *Par. xxxi.* 16, 17. *v.* 11. *και απεστρεψαν, και ησυνθετησαν καθως και οἱ πατερες αυτων, κ.τ.λ. Ps. lxxvii.* 57, 58. [*ἡμων τα καλλιστα των δογματων και τα ὁσιωτατα των εν τοις νομοις δι᾽ αγγελων παρα του Θεου μαθοντων. Jos. Ant. xv.* 5. 3.] *Conf. Krebs. Loesner. Kuinoel. ad loc.*

54 Ακουοντες δε ταυτα, διεπριοντο ταις καρδιαις αὑτων, και ἐβρυχον τους οδοντας επ᾽ αυτον.

Conf. cap. v. 33. *εβρυξαν επ᾽ εμε τους οδοντας αυτων. Ps. xxxiv.* 16. *xxxvi.* 12. *Job. xvi.* 10. *Thren. ii.* 16.

55 Ὑπαρχων δε πληρης Πνευματος ἁγιου, ατενισας εις τον ουρανον, ειδε δοξαν Θεου, και Ιησουν ἑστωτα εκ δεξιων του Θεου,

ὑπαρχων. Jer. iv. 14. *δικαιοσυνης πληρης ἡ δεξια σου. Ps. xlvii.* 10. *Conf. cap. ii.* 4. *καθου εκ δεξιων μου. cix.* 1. *ατενισας. Conf. cap. i.* 10. *Exod. xxiv.* 17. *Esa. vi.* 1. *εγω εμπλησω ισχυν εν πνευματι* Κυριου *και κριματος και δυναστειας, κ. τ. λ. Mich. iii.* 8.

56 Και ειπεν, Ιδου, θεωρω τους ουρανους ανεωγμενους, και τον υἱον του ανθρωπου εκ δεξιων ἑστωτα του Θεου.

και ηνοιχθησαν οἱ ουρανοι. Ezech. i. 1. *ὡς υἱος ανθρωπου. Dan. vii.* 13. *παρεστη ἡ βασιλισσα εκ δεξιων σου. Ps. xliv.* 9. *και ιδου μετα των νεφελων του ουρανου ὡς υἱος ανθρωπου κ.τ.λ. Dan. vii.* 13.

57 Κραξαντες δε φωνῃ μεγαλῃ, συνεσχον τα ωτα αὑτων, και ὡρμησαν ὁμοθυμαδον επ᾽ αυτον·

και εκραξεν ὁ βασιλευς φωνῃ μεγαλῃ. 2 *Reg. xix.* 4. *συνεξουσι—το στομα αυτων. Esa. lii.* 15. *επι τα των* Ιδουμαιων*—ὡρμησαν.* 2 *Mac. x.* 16. *και εφυγον ὁμοθυμαδον. Jer. xxvi.* 21. *θυμος αυτοις κατα την ὁμοιωσιν του οφεως—και βυουσης τα ωτα αὑτης, κ.τ.λ. Ps. lvii.* 4. *Conf. Prov. xxi.* 13. *Zach. vii.* 11.

58 Και εκβαλοντες εξω της πολεως, ελιθοβολουν. και οἱ μαρτυρες απεθεντο τα ἱματια αὑτων παρα τους ποδας νεανιου καλουμενου Σαυλου,

εκβαλε εκ συνεδριου λοιμον. Prov. xxii. 10. *Lev. xiv.* 40. *και εξηγαγον αυτον εξω της πολεως, και ελιθοβολησαν αυτον εν λιθοις.* 3 *Reg. xx.* 13. *και ἡ χειρ των μαρτυρων εσται επ᾽ αυτῳ εν πρωτοις. Deut. xvii.* 7. *επανεστησαν μοι μαρτυρες αδικοι. Ps. xxvi.*

12. *xxxiv.* 13. *αποθεμενος εσθητα.* 2 *Mac. viii.* 35. *Conf. Deut. xiii.* 9. *xvii.* 7. *νεανιας. Jud. xvi.* 26.

59 Και ελιθοβολουν τον Στεφανον, επικαλουμενον και λεγοντα,
Κυριε Ιησου, δεξαι το πνευμα μου.

επικαλεσαμενος τον δεσποζοντα της ζωης και του πνευματος. 2 *Mac. xiv.* 46. *παν δε δωρον ασεβους ου δεξεται* (Κυριος). *Job. viii.* 20. *εις χειρας σου παραθησομαι το πνευμα μου. Ps. xxx.* 5. *Matt. v.* 44. *Luc. xxiii.* 46. *xvi.* 9. *Joan. xiv.* 2. *Apoc. xxii.* 20. Κυριος ὁ Θεος. *LXX. pass.* [Κυριε ειπε μοι το ονομα σου, ἱνα επικαλωμαι σε εν ἡμερᾳ θλιψεως. *Test. XII Patr. p.* 562.]

60 Θεις δε τα γονατα, εκραξε φωνῃ μεγαλῃ, Κυριε, μη στησῃς
αυτοις την ἁμαρτιαν ταυτην. Και τουτο ειπων εκοιμηθη.

εκαμψεν επι τα γονατα. 4 *Reg. ix.* 24. *κλινω επι τα γονατα. Esd. ix.* 5. *και εστησα αυτοις το αργυριον. viii.* 25. 32. *Sir. xxi.* 27. *Jer. xxxix.* 10. *και εκοιμηθη——μετα των πατερων αυτου.* 3 *Reg. ii.* 10. *ιδου συ κοιμᾳ μετα των πατερων σου. Deut. xxxi.* 16. *Esa. xliii.* 17. *l.* 11. 2 *Mac. xii.* 45. *Conf. Luc. vi.* 37. *xxiii.* 34. Πατερ, *αφες αυτοις· ου γαρ οιδασι τι ποιουσι. Conf. Sap. iii.* 1-3. *v.* 1-5. *εσταθη εν ζυγῳ, και εὑρεθη ὑστερουσα. Dan. v.* 27. *Conf. Ps. lxxviii.* 8. *εθου τας ανομιας ἡμων ενωπιον σου, κ. τ. λ. και ὁ* Θεος *τους κοιμηθεντας δια του* Ιησου *αξει συν αυτῳ.* 1 *Thess. iv.* 14.

ΚΕΦ. η. 8.

ΣΑΥΛΟΣ δε ην συνευδοκων τῃ αναιρεσει αυτου. Εγενετο
δε εν εκεινῃ τῃ ἡμερᾳ διωγμος μεγας επι την εκκλησιαν
την εν Ἱεροσολυμοις· παντες τε διεσπαρησαν κατα τας χωρας
της Ιουδαιας και Σαμαρειας, πλην των αποστολων.

ει τις συνευδοκει τῳ νομῳ. 1 *Mac. i.* 57. *εις την αναιρεσιν αυτων. Judith. xv.* 4. 2 *Mac. v.* 13. *Num. xi.* 15. *Job. xiv.* 6. *και εγενετο εν τῃ ἡμερᾳ εκεινῃ.* 1 *Reg. iii.* 1. *εκ διωγμου πικρια και χολη. Thren. iii.* 19. *Conf. v.* 5. *και διασπερω σε εν ταις χωραις. Ezech. xxii.* 15. [*εν τῃ* Ιουδαιᾳ *χωρᾳ. Jos. Ant. xi.* 1. 1. *το κατα την χωραν πληθος. Bell. Jud. i.* 7. 6. *κατα* Μυσιαν, *per Mysiam. Ib. iv.* 11. 1.] *και ουκ εστιν ετι πλην αυτου. Deut. iv.* 35.

2 Συνεκομισαν δε τον Στεφανον ανδρες ευλαβεις, και εποιη-
σαντο κοπετον μεγαν επ᾽ αυτῳ.

εκοψαντο αυτον κοπετον μεγαν. Gen. l. 10. *ποιησεται κοπετον.*

Mich. i. 8. *ευλαβης. Mic. vii.* 2. *Ald. Alex. Basil. Comp.* 2 *Mac. ii.* 25. *Tob. iv.* 17. *και εκλαυσαν οἱ υἱοι* Ισραηλ Μωυσην—*τριακοντα ἡμερας, κ. τ. λ. Deut. xxxiv.* 8. 3 *Reg. iii.* 31. 2 *Par. xxxii.* 33. *Num. xx.* 29. [*συγκομιζειν, αντι του θαπτειν, απο των συναγομενων καρπων εις τας αποθηκας. Phav.*]

3 *Σαυλος δε ελυμαινετο την εκκλησιαν, κατα τους οικους εισπορευομενος, συρων τε ανδρας και γυναικας παρεδιδου εις φυλακην.*

και λυμανουνται την γην. Jer. xxviii. 2. *ελυμηνατο αυτην συς εκ δρυμου. Ps. lxxix.* 13. *εσυρον αυτον επι τα βασανιστηρια.* 4 *Mac. vi.* 1. [*συρομενοι και πατουμενοι δια της πολεως ἁπασης εξαναλωθησαν. Philo in Flacc. p.* 974.] *εδωκεν αυτας εν οικῳ φυλακης.* 2 *Reg. xx.* 3. *εισπορευομενος. Conf. Exod. xi.* 4. 1 *Cor. xv.* 9. *Gal. i.* 13. 23. *Phil. iii.* 6. 1 *Tim. i.* 13.

4 *Οἱ μεν ουν διασπαρεντες διηλθον, ευαγγελιζομενοι τον λογον.*

και διηλθε πασαν γην Αιγυπτου. *Gen. xli.* 46. *και ευαγγελιζομενοι οὑς* Κυριος *προσκεκληται. Joel. ii.* 32. *ὁ* Θεος Κυριος *δωσει ῥημα τοις ευαγγελιζομενοις δυναμει πολλῃ. Ps. lxvii.* 11. *εσται εκει ὁδος καθαρα—οἱ δε δεσπαρμενοι πορευσονται επ᾽ αυτης, και ου μη πλανηθωσι. Esa. xxxv.* 8. *lxi.* 1. *Nah. i.* 15.

5 *Φιλιππος δε κατελθων εις πολιν της Σαμαρειας, εκηρυσσεν αυτοις τον Χριστον.*

κατελθων. 2 *Mac. xi.* 29. *απαγελλων—τον* Χριστον *αυτου. Amos. iv.* 13.

6 *Προσειχον τε οἱ οχλοι τοις λεγομενοις ὑπο του Φιλιππου ὁμοθυμαδον, εν τῳ ακουειν αυτους και βλεπειν τα σημεια ἁ εποιει.*

ὁ πιστευων νομῳ προσεχει εντολαις. Sir. xxxv. 24. *Neh. ix.* 34. *προσχες τῃ φωνῃ της δεησεως. Ps. v.* 2. *και εγενετο χειρ* Κυριου *δουναι αυτοις καρδιαν μιαν, κ. τ. λ.* 2 *Par. xxx.* 12. [*αφηνιαζοντες ου προσειχον τοις λεγομενοις. Philo.* 1. *Vit. Mos. p.* 678.]

7 *Πολλων γαρ των εχοντων πνευματα ακαθαρτα, βοωντα μεγαλῃ φωνῃ εξηρχετο· πολλοι δε παραλελυμενοι και χωλοι εθεραπευθησαν.*

και το πνευμα το ακαθαρτον εξαρω απο της γης. Zach. xiii. 2. *Conf. Matt. vii.* 22. *και παρελυθη και ουκ εδυνατο ετι λαλησαι λογον.* 1 *Mac. ix.* 55. *τοτε ἁλειται ὡς ελαφος ὁ χωλος. Esa. xxxv.* 6. [*Conf. Glass. Phil. Sac. p.* 664.]

8 *Και εγενετο χαρα μεγαλη εν τῃ πολει εκεινῃ.*

εστρεψας τον κοπετον μου εις χαραν. Ps. xxix. 11.

9 *Ανηρ δε τις ονοματι Σιμων προϋπηρχεν εν τῃ πολει μαγευων και εξιστων το εθνος της Σαμαρειας, λεγων ειναι τινα ἑαυτον μεγαν·*

εστιν ανηρ τις. 2 *Mac. xviii.* 7. *Ald. μαγικης δε εμπαιγματα κατεκειτο τεχνης. Sap. xvii.* 7. *και εξεστη πας ὁ λαος σφοδρα. Exod. xix.* 18. *ὁ προφητης ὁ μεγας. Sir. xlviii.* 25. 2 *Reg. xix.* 32. *Conf. cap. v.* 36. *κριτας δε γης εξεστησε. Job. xii.* 17. [*μαγευειν· γοητευειν. Hesych.*] *μαγικη τεχνη. Sap. xvii.* 7. *φαρμακος επαειδων επαοιδην, εγγαστριμυθος, και τερατοσκοπος, επερωτων τους νεκρους, κ. τ. λ. Deut. xviii.* 11, 12. [*Φηλιξ Σιμωνα ονοματι των ἑαυτου φιλων, Ιουδαιον, Κυπριον δε γενος, Μαγον ειναι σκηπτομενον, πεμπων. Jos. Ant. xx.* 7. 2. *Conf. Krebs. ad. loc. p.* 204.]

10 *Ὡ προσειχον παντες απο μικρου ἑως μεγαλου, λεγοντες, Οὑτος εστιν ἡ δυναμις του Θεου ἡ μεγαλη.*

απο μικρου ἑως μεγαλου. 1 *Reg. v.* 9. *δυναμις. Conf. Exod. ix.* 16. *Alex. Hab. iii.* 3. *Comp.* 1 *Cor. ii.* 4. 2 *Thess. ii.* 9.

11 *Προσειχον δε αυτῳ, δια το ἱκανῳ χρονῳ ταις μαγειαις εξεστακεναι αυτους.*

διελθοντων δε ετων ἱκανων. 2 *Mac. i.* 20. [*τοσῳ δε μεντοι κρειττονα τα ὑπ' εμου πραττομενα της τουτων μαγειας και τεχνης φημι, ὁσῳ τα θεια των ανθρωπινων διαφερει. Jos. Ant. ii.* 13. 3.]

12 *Ὁτε δε επιστευσαν τῳ Φιλιππῳ ευαγγελιζομενῳ τα περι της βασιλειας του Θεου και του ονοματος του Ιησου Χριστου, εβαπτιζοντο ανδρες τε και γυναικες.*

και επιστευσεν Ἀβραμ τῳ Θεῳ. Gen. xv. 6. *επικειται ἡμιν τα της βασιλειας.* 1 *Mac. vi.* 57. *τα περι αυτου. Sir. xix.* 30. *και το σωτηριον Κυριου ευαγγελιουνται. Esa. lx.* 6. *Conf. Matt. xxviii.* 19.

13 *Ὁ δε Σιμων και αυτος επιστευσε, και βαπτισθεις ην προσκαρτερων τῳ Φιλιππῳ· θεωρων τε σημεια και δυναμεις μεγαλας γινομενας, εξιστατο.*

ιδετε οἱ καταφρονηται, και επιβλεψατε, και θαυμασατε θαυμασια, κ. τ. λ. Hab. i. 5. *Conf. Matt. xii.* 23. *Luc. xxiv.* 22.

14 *Ακουσαντες δε οἱ εν Ἱεροσολυμοις αποστολοι, ὁτι δεδεκται ἡ Σαμαρεια τον λογον του Θεου, απεστειλαν προς αυτους τον Πετρον και Ιωαννην·*

ακουε υἱε, και δεξαι εμους λογους. *Prov. iv.* 10. *Matt. xiii.* 23.

15 Οἱτινες καταβαντες προσηυξαντο περι αυτων, ὁπως λαβωσι Πνευμα ἁγιον.

προσευξονται περι αυτου. *Ps. lxxi.* 15. εδεετο δε Ισαακ—περι Ῥεβεκκας. *Gen. xxv.* 21. *Ps. l.* 12. *Joel. ii.* 28. ὁπως. *Jonas. i.* 6.

16 (Ουπω γαρ ην επ᾽ ουδενι αυτων επιπεπτωκος, μονον δε βεβαπτισμενοι ὑπηρχον εις το ονομα του Κυριου Ιησου.)

17 Τοτε επετιθουν τας χειρας επ᾽ αυτους, και ελαμβανον Πνευμα ἁγιον.

λαβε—ανθρωπον ὁς εχει πνευμα εν ἑαυτῳ, και επιθησεις τας χειρας σου επ᾽ αυτον. *Num. xxvii.* 18. *Conf. Matt. ix.* 18.

18 Θεασαμενος δε ὁ Σιμων, ὁτι δια της επιθεσεως των χειρων των αποστολων διδοται το Πνευμα το ἁγιον, προσηνεγκεν αυτοις χρηματα,

και επιθησουσι—τας χειρας αυτων. *Exod. xxix.* 10. 15. *et pass. Lev. viii.* 10. *xviii.* 21. εδωκα το πνευμα μου επ᾽ αυτον. *Esa. xlii.* 1. *Conf.* 4 *Reg. v.* 16. *viii.* 9. *Ezech. xliii.* 19.

19 Λεγων, Δοτε καμοι την εξουσιαν ταυτην, ἱνα ᾧ αν επιθω τας χειρας, λαμβανῃ Πνευμα ἁγιον.

μη δῳς αυτῳ εξουσιαν. *Sir. xxx.* 11. και εξουσια εδοθη αυτῃ. *Dan. vii.* 6.

20 Πετρος δε ειπε προς αυτον, Το αργυριον σου συν σοι ειη εις απωλειαν, ὁτι την δωρεαν του Θεου ενομισας δια χρηματων κτασθαι.

και ὁσοι μη εχετε αργυριον βαδισαντες αγορασετε, και φαγετε ανευ αργυριου, κ.τ.λ. *Esa. lv.* 1. λαον της απωλειας. *Esa. xxxiv.* 5. δοματα και δωρεας—ληψεσθε παρ᾽ εμου. *Dan. ii.* 6. εις απωλειαν εσεσθε. *ii.* 5. *Conf. Matt. x.* 8. χρηματα. *Job. xxvii.* 17. εις απωλειαν. *Dan. ii.* 4. *Conf. Matt. x.* 8.

21 Ουκ εστι σοι μερις ουδε κληρος εν τῳ λογῳ τουτῳ. ἡ γαρ καρδια σου ουκ εστιν ευθεια ενωπιον του Θεου.

και εὑρες την καρδιαν αυτου πιστην. *Neh. ix.* 8. ουκ εστιν αυτῳ μερις ουδε κληρος μεθ᾽ ὑμων. *Deut. xii.* 12. *xiv.* 27. μη εὑρεθητω εν κληρονομιᾳ Ιακωβ. *Sir. xxiii.* 13. οἱ ευθεις τῃ καρδιᾳ. *Ps. xxxi.* 11. και ην ἡ ἁμαρτια ενωπιον Κυριου—μεγαλη σφοδρα. 1 *Reg. ii.* 17. ει εστι καρδια σου—ευθεια; 4 *Reg. x.* 15. *Sap. v.* 5. και ὑμιν ουκ εστι μερις, και δικαιοσυνη, και μνημοσυνον, εν Ἱερουσαλημ. *Neh. ii.* 20. Ιδου ουκ εισιν οἱ οφθαλμοι σου, ουδε ἡ

καρδια σου καλη. Jer. xxii. 17. *ἡ δε καρδια αυτων ουκ ευθεια μετ' αυτου. Ps. lxxvii.* 37. [*Conf. Vorst. de Heb. p.* 54.]

22 Μετανοησον ουν απο της κακιας σου ταυτης, και δεηθητι του Θεου, ει αρα αφεθησεται σοι ἡ επινοια της καρδιας σου.

διδως επι ἁμαρτημασι μετανοιαν. Sap. xii. 19. *ουκ εστιν ανθρωπος ὁ μετανοων απο της κακιας αυτου. Jer. viii.* 6. *δεηθητι του προσωπου* Κυριου *του Θεου.* 3 *Reg. xiii.* 6. *ει αρα. Gen. xviii.* 3. *Num. xxii.* 6. 11. *καρδιας επινοια. Sir. xl.* 3. *και αφεθησεται αυτῳ ἡ ἁμαρτια αυτου. Lev. xix.* 22. *Ald. επενοηθη συντομον τελος. Sap. xiv.* 14. *τις οιδεν ει μετανοησει* Θεος, *κ. τ. λ. Jon. iii.* 9. *ὁσια και ευσεβης ἡ επινοια.* 2 *Mac. xii.* 45. *ισως εσται μακροθυμος τοις παραπτωμασι σου ὁ* Θεος. *Dan. iv.* 27. *αρχη γαρ πορνειας επινοια ειδωλων. Sap. xiv.* 12. [*αλλ' ὁμως αναδραμουσαι· το γαρ ἁμαρτημα μεχρι νυν εστιν ιασιμον· ιτε μετα σπουδης και καλειτε, κ. τ. λ. Philo.* 1 *Vit. Mos. p.* 611.] *επιστρεψατε ἁμαρτωλων, και ποιησατε δικαιοσυνην ενωπιον αυτου· τις γαρ γινωσκει ει θελησει ὑμας, και ποιησει ελεημοσυνην ὑμιν; Tob. xiii.* 6.

23 Εις γαρ χολην πικριας και συνδεσμον αδικιας ὁρω σε οντα.

εχορτασε με πικριας, εμεθυσε με χολης. Thren. iii. 15. *χολη πικριας pro πικρια. Vorst. de Heb. p.* 246. *πικροτερον χολης. Prov. v.* 4. *Conf. Jer. xxiii.* 15. *μη τις εστιν εν ὑμιν ῥιζα ανω φυουσα εν χολῃ και πικριᾳ. Deut. xxix.* 18. *Hab. ii.* 15. *αλλα λυε παντα συνδεσμον αδικιας. Esa. lviii.* 6. *ουαι οἱ επισπωμενοι τας ἁμαρτιας ὡς σχοινιῳ κ. τ. λ. Esa. v.* 18.

24 Αποκριθεις δε ὁ Σιμων ειπε, Δεηθητε ὑμεις ὑπερ εμου προς τον Κυριον, ὁπως μηδεν επελθῃ επ' εμε ὡν ειρηκατε.

και ὑπερ θανατου ῥυσεως εδεηθην. Sir. li. 9. *και προς τον* Θεον *μου δεηθησομαι. Ps. xxix.* 8. *ἡμερα γαρ ανταποδοσεως επηλθεν αυτοις. Esa. lxiii.* 4. *ου μη επελθῃ εφ' ἡμας κακα. Mich. iii.* 11. *Conf. Exod. viii.* 8. 28. *Numb. xxi.* 7. 3. 3 *Reg. xiii.* 6. *Conf. Job. xlii.* 10.

25 Οἱ μεν ουν διαμαρτυραμενοι και λαλησαντες τον λογον του Κυριου, ὑπεστρεψαν εις Ἱερουσαλημ, πολλας τε κωμας των Σαμαρειτων ευηγγελισαντο.

προς τινα λαλησω, και διαμαρτυρωμαι; Jer. vi. 10. *ὁ ευαγγελιζομενος* Ἱερουσαλημ. *Esa. xl.* 9. *Joel. ii.* 32. *αἱ πολεις και αἱ κωμαι αυτων. Jos. xvi.* 9. Σαμαρ. *Jos. Ant. xi.* 8. 4. *xii.* 5. 5.]

26 Αγγελος δε Κυριου ελαλησε προς Φιλιππον, λεγων, Αναστ-

τηθι και πορευου κατα μεσημβριαν, επι την ὁδον την καταβαινουσαν απο Ἱερουσαλημ εις Γαζαν· αὑτη εστιν ερημος.

ειπε δε αυτῃ ὁ αγγελος Κυριου. *Gen. xvi.* 9, 10. *Jud. ii.* 4. και αγγελος Κυριου ελαλησε προς Ηλιου. 4 *Reg. i.* 3. *Ald. Comp.* αναστηθι, πορευθητι εις Νινευη. *Jon. iii.* 2. [*Alex. Ald. Comp. Cyr.* και πορευθητι.] ὁδοι—καταγουσαι εις τα ταμιεια του θανατου. *Prov. vii.* 27. ελαλησε λεγων. *Gen. xlii.* 22. [απο μεσημβριας. *Jos. Ant. iv.* 5. 2.] [*De Gaza conf. Jos. xiii.* 3. 1 *Reg. vi.* 17. *Zach. ix.* 5. *Jos. Bell. Jud. i.* 2-18. *Ant. xi.* 8. 3. *Krebs. ad loc.*]

27 Και αναστας επορευθη. και ιδου, ανηρ Αιθιοψ ευνουχος δυναστης Κανδακης της βασιλισσης Αιθιοπων, ὁς ην επι πασης της γαζης αυτης· ὁς εληλυθει προσκυνησων εις Ἱερουσαλημ,

και αναστας, επορευθη εις την Μεσοποταμιαν. *Gen. xxiv.* 10. ανηρ Ιουδαιος. *Zach. viii.* 23. *Conf.* 1 *Mac. ii.* 25. 31. *vi.* 57. ευνουχος—ὁ φυλαξ των γυναικων. *Est. ii.* 14. τους δυναστας Φαραω. *Gen. l.* 4. *Jer. xli.* 19. ει αλλαξεται Αιθιοψ το δερμα αυτου. *Jer. xiii.* 23. ανδρος Ιουδαιου. *Zach. viii.* 23. *Edit. Rom.* και εξηλθεν επ᾽ αυτους Ζαρε ὁ Αιθιοψ, κ.τ.λ. 2 *Par. xiv.* 9. εγω—εθηκα γνωμην πασαις ταις γαζαις. *Esd. vii.* 21. *Est. iv.* 7. προσκυνησω προς ναον ἁγιον σου. *Ps. v.* 7. *Conf.* 3 *Reg. viii.* 41. *Ps. lxxi.* 10. *Sophon. iii.* 10. [αρχιευνουχος—παρα τῳ Φαραω αρχων παντων των ευνουχων, εχων γυναικας και παλλακας και τεκνα. *Test. XII Patr. p.* 716.] μη λεγετω ὁ ευνουχος, ὁτι ξυλον εγω ειμι ξηρον—δωσω αυτοις εν τῳ οικῳ μου—τοπον ονομαστον, κρειττω ὑιων και θυγατερων, κ.τ.λ. *Esa. lvi.* 3-5. [*De Gaza conf. Krebs. ad loc. pp.* 205, 206.]

28 Ην τε ὑποστρεφων και καθημενος επι του ἁρματος αὑτου, και ανεγινωσκε τον προφητην Ἡσαΐαν.

και ανεγνωσαν εν βιβλιῳ νομου Κυριου. *Neh. ix.* 3. και ηλθε Ναιμαν εν ἱππῳ και ἁρματι. 4 *Reg. v.* 9. *Amos. iv.* 5. μακαριος πλουσιος ὁς εὑρεθη αμωμος, κ. τ. λ. *Sir. xxxiv.* 8.

29 Ειπε δε το Πνευμα τῳ Φιλιππῳ, Προσελθε, και κολληθητι τῳ ἁρματι τουτῳ.

και ηλθεν επ᾽ εμε πνευμα, και εστησε με. *Ezech. iii.* 24. κολληθητι αυτῳ, και μη αποστῃς. *Sir. ii.* 3. *Conf. Ruth. ii.* 8. ουχι ἡ καρδια μου επορευθη μετα σου ὁτε απεστρεψεν ὁ ανηρ απο του ἁρματος εις συναντην σοι; 4 *Reg. v.* 26.

30 Προσδραμων δε ὁ Φιλιππος ηκουσεν αυτου αναγινωσκοντος τον προφητην Ἡσαΐαν, και ειπεν, Αρα γε γινωσκεις ἁ αναγινωσκεις;

και παραμυθουμενος αυτους εκ του νομου, και των προφητων. 2 *Mac. xv.* 9. *και γνωσῃ και συνησεις. Dan. ix.* 25. *και ειπεν αυτῳ, αραγε γυνη σου εστι; Gen. xxvi.* 9. *Jer. iv.* 10. *αναγνωθι ταυτα. Esa. xxix.* 11, 12. *Ἡσαΐας ὁ προφητης ὁ μεγας. Sir. xlviii.* 22.

31 Ὁ *δε ειπε,* Πως *γαρ αν δυναιμην, εαν μη τις ὁδηγησῃ με;*
Παρεκαλεσε *τε τον* Φιλιππον *αναβαντα καθισαι συν αυτῳ.*

πως. 1 *Par. xiii.* 12. *ὁδηγησον με επι την αληθειαν σου. Ps. xxv.* 5. *αναβηναι επι το ἁρμα.* 3 *Reg. xii.* 18. *Conf. Rom. x.* 14.

32 Ἡ *δε περιοχη της γραφης ἡν ανεγινωσκεν, ην αὑτη,* Ὡς
προβατον επι σφαγην ηχθη, και ὡς αμνος εναντιον του κειρον-
τος αυτον αφωνος· οὑτως ουκ ανοιγει το στομα αὑτου.

33 Εν *τῃ ταπεινωσει αυτου ἡ κρισις αυτου ηρθη, την δε γε-*
νεαν αυτου τις διηγησεται; ὁτι αιρεται απο της γης ἡ ζωη
αυτου.

Esa. liii. 7, 8. *επιστολας—και ησαν περιεχουσαι τον τροπον τουτον.* 1 *Mac. xv.* 1, 2. *Conf.* 1 *Mac. xiv.* 41. 47. [*περιοχη· ὑποθεσις. Hesych.*] *εγω δε ὡς αρνιον ακακον αγομενον του θυεσθαι, ουκ εγνων, κ.τ.λ. Jer. xi.* 19. *Conf. Ps. xliii.* 11. 22. *xii.* 3. *Dan. ix.* 26. *CITAT.* 126.

34 Αποκριθεις *δε ὁ ευνουχος τῳ* Φιλιππῳ *ειπε,* Δεομαι *σου,*
περι τινος ὁ προφητης λεγει τουτο; περι ἑαυτου, η περι ἑτε-
ρου τινος;

αποκριθεις δε Ιωσηφ, *ειπεν αυτῳ. Gen. xl.* 18. *δεομαι σου. Exod. iv.* 10. *Conf. Matt. xiii.* 36. *Luc. xxiv.* 44-47.

35 Ανοιξας *δε ὁ* Φιλιππος *το στομα αὑτου, και αρξαμενος*
απο της γραφης ταυτης, ευηγγελισατο αυτῳ τον Ιησουν.

ηνοιξα το στομα μου, και ελαλησα. Sir. li. 25. *και το σωτηριον* Κυριου *ευαγγελιουνται. Esa. lx.* 6. *απο του πρεσβυτερου αρξαμενος. Gen. xliv.* 12.

36 Ὡς *δε επορευοντο κατα την ὁδον, ηλθον επι τι ὑδωρ· και*
φησιν ὁ ευνουχος, Ιδου, *ὑδωρ· τι κωλυει με βαπτισθηναι;*

και εκωλυθη ὁ λαος ετι προσφερειν. Exod. xxxvi. 6. *καθ' ὁδον της γης. Gen. xxxv.* 16. *Aq. και ῥανω εφ' ὑμας καθαρον ὑδωρ, και καθαρισθησεσθε κ.τ.λ. Ezech. xxxvi.* 25. [*κωλυουσιν οἱ νομοι ξενικους ὁρκους ομνυειν. Jos. c. Ap. i.* 22.]

37 Ειπε *δε ὁ* Φιλιππος, Ει *πιστευεις εξ ὁλης της καρδιας,*

εξεστιν. Αποκριθεις δε ειπε, Πιστευω τον υἱον του Θεου ειναι τον Ιησουν Χριστον.

εξ ὁλης της καρδιας σου. Deut. xxx. 2. *και απεκριθη και ειπε. Zach. iii.* 5. *και ὁ πιστευων ου μη καταισχυνθῃ. Esa. xxviii.* 16. *Ps. xxvi.* 13. *Conf. Matt. xxviii.* 19. *Marc. xvi.* 16. *Joan. xvi.* 69.

38 *Και εκελευσε στηναι το ἁρμα· και κατεβησαν αμφοτεροι εις το ὑδωρ, ὁ τε Φιλιππος και ὁ ευνουχος· και εβαπτισεν αυτον.*

στηναι. Gen. xxix. 35. 4 *Reg. xiii.* 18. *Joan. iii.* 22, 23. *iv.* 1.

39 *Ὁτε δε ανεβησαν εκ του ὑδατος, Πνευμα Κυριου ἡρπασε τον Φιλιππον· και ουκ ειδεν αυτον ουκετι ὁ ευνουχος, επορευετο γαρ την ὁδον αὑτου χαιρων.*

και πνευμα Κυριου αρει σε εις την γην ἡν ουκ οιδα. 3 *Reg. xviii.* 12. 4 *Reg. ii.* 16. *μετα ταυτα επορευετο και Τωβιας ευλογων Θεον, ὁτι ευωδωσε την ὁδον αυτου. Tob. xi.* 1. *χαιρων.* 3 *Reg. viii.* 65. *Phil. iii.* 1. *iv.* 4. *Conf. Matt. iv.* 1.

40 *Φιλιππος δε εὑρεθη εις Αζωτον· και διερχομενος ευηγγελιζετο τας πολεις πασας, ἑως του ελθειν αυτον εις Καισαρειαν.*

εὑρεθη συνδεσμος ανδρασιν Ιουδα. Jer. xi. 9. 1 *Par. xxix.* 17. *Mal. ii.* 6. *Sir. xliv.* 19. *και εισηνεγκαν αυτην (την κιβωτον) εξ Αβενεζερ εις Αζωτον.* 1 *Reg. v. i. vi.* 17. *και κατοικησουσιν αλλογενεις εν Αζωτῳ, κ. τ. λ. Zach. ix.* 6. *Conf. Esa. xx.* 1. 1 *Mac. v.* 68. *x.* 84. [*Cæsare. Conf. Jos. Ant. xv.* 9. 6. *Bell. Jud. i.* 3. 4.]

ΚΕΦ. θ. 9.

Ο ΔΕ *Σαυλος ετι εμπνεων απειλης και φονου εις τους μαθητας του Κυριου, προσελθων τῳ Αρχιερει,*

απο εμπνευσεως πνευματος οργης σου. Ps. xvii. 15. *παν εμπνεον ζωης εξωλοθρευσε. Jos. x.* 40. *Conf. Gal. i.* 13. 1 *Tim. i.* 13. 1 *Cor. xv.* 9. *Phil. iii.* 6. *ὁτι ενθυμιον ανθρωπου εξομολογησεται σοι, και εγκαταλειμμα ενθυμιου ἑορτασει σοι. Ps. lxxv.* 10. [*φυσωσι και πνευουσι μεγαλα. Philo, Vit. Mos. p.* 607.]

2 *Ητησατο παρ᾽ αυτου επιστολας εις Δαμασκον προς τας συναγωγας, ὁπως εαν τινας εὑρῃ της ὁδου οντας ανδρας τε και γυναικας, δεδεμενους αγαγῃ εις Ἱερουσαλημ.*

αιτησομαι παρ᾽ ὑμων αιτημα. Jud. viii. 24. *τας ὁδους σου—γνω-*

ρισον μοι. *Ps. xxiv.* 4. ὁδους γαρ αυτου εφυλαξα. *Job. xxiii.* 11. *Ps. cxviii.* 150. *Conf. cap. xix.* 9. 23. *xxii.* 4. *Judith. v.* 8. και ηγαγεν αυτους εις Βαβυλωνα. *Jer. xxiv.* 1. δοτω μοι επιστολας προς τους επαρχους. *Neh. ii.* 7. Δαμασκον. *Conf. Gen. xv.* 2. 2 *Reg. viii.* 5. [*Jos. Bell. Jud. ii.* 20. 2.]

3 Εν δε τῳ πορευεσθαι, εγενετο αυτον εγγιζειν τῃ Δαμασκῳ, και εξαιφνης περιεστραψεν αυτον φως απο του ουρανου·

περιαστραπτοντες τοις ὁπλοις. 4 *Mac. iv. Conf. Exod. xix.* 6. *Ezech. i.* 13. *Apoc. iv.* 5. εν τῳ αναβαινειν αυτην εις οικον Κυριου. 1 *Reg. i.* 7. 1 *Cor. xv.* 8. 2 *Cor. xii.* 12. αναβαλλομενος φως ὡς ἱματιον, εκτεινων τον ουρανον ὡσει δερῥιν, κ. τ. λ. *Ps. ciii.* 2. και φεγγος αυτου ὡς φως εσται. *Hab. iii.* 4. [περιεστραψε. *Winer.* § 56. 2.]

4 Και πεσων επι την γην, ηκουσε φωνην λεγουσαν αὑτῳ, Σαουλ, Σαουλ, τι με διωκεις;

και επεσεν επι την γην, και προσεκυνησεν αυτῳ. 2 *Reg. i.* 2. και εν τῳ ελθειν αυτον εθαμβηθην, και πιπτω επι προσωπον μου. και ειπε προς με, Συνες, υἱε ανθρωπου. *Dan. viii.* 17. φωνη απ᾽ ουρανου εγενετο. *iv.* 28. *Conf.* 2 *Mac. iii.* 27-29. *Matt. xxv.* 40.

5 Ειπε δε, Τις ει, Κυριε; Ὁ δε Κυριος ειπεν, Εγω ειμι Ιησους, ὁν συ διωκεις· σκληρον σοι προς κεντρα λακτιζειν.

και εφαγεν Ιακωβ και ενεπλησθη, και απελακτισεν ὁ ηγαπημενος. *Deut. xxxii.* 15. ὡς δαμαλις παροιστρωσα παροιστρησεν Ισραηλ. *Ose. iv.* 16. *Conf. Sir. xxxviii.* 25. λογοι σοφων ὡς τα βουκεντρα. *Eccles. xii.* 11. τις σκληρος γενομενος εναντιον αυτου ὑπεμεινεν; *Job. ix.* 4. *Conf. Esa. lxiii.* 9. *Cap. x.* 4. τι αἱ πληγαι αὑται αναμεσον των χειρων σου; *Zach. xiii.* 6. δραξασθε παιδειας, μηποτε οργισθῃ Κυριος κ. τ. λ. *Ps. ii.* 12.

6 Τρεμων τε και θαμβων ειπε, Κυριε, τι με θελεις ποιησαι; Και ὁ Κυριος προς αυτον, Αναστηθι και εισελθε εις την πολιν, και λαληθησεται σοι τι σε δει ποιειν.

στενων και τρεμων. *Gen. iv.* 12. και γνωρισω σοι ἁ ποιησεις. 1 *Reg. x.* 8. *Conf. Gen. xxxi.* 11. και εγενετο επ᾽ εμε χειρ Κυριου, και ειπε προς με, Αναστηθι, και εξελθε εις το πεδιον, και εκει λαληθησεται προς σε. *Ezech. iii.* 22. 1 *Reg. xv.* 16.

7 Οἱ δε ανδρες οἱ συνοδευοντες αυτῳ εἱστηκεισαν εννεοι, ακουοντες μεν της φωνης, μηδενα δε θεωρουντες.

συνοδευσω. *Sap. vi.* 23. *Gen. xxxiii.* 12. *Aq. Sym.* απηνεωθη ὡσει ὡραν μιαν. *Dan. iv.* 19. *Esa. lvi.* 10. και ιδον εγω Δανιηλ μονος της

οπτασιαν, (Cap. xxvi. 19.) και οἱ ανδρες οἱ μετ᾽ εμου ουκ ιδον την οπτασιαν· αλλ᾽ ἡ εκστασις μεγαλη επεπεσεν επ᾽ αυτους, και εφυγον εν φοβῳ. Dan. x. 7. iv. 10. τοις δε ὁσιοις σου μεγιστον ην φως, ὡν φωνην μεν ακουοντες, μορφην δε ουχ ὁρωντες. Sap. xviii. 1. ενεος. Ose. ix. 7. Sym. Epist. Jer. 41, 42. [Ammonius, μη δυναμενος λαλησαι.] [εμβροντηθεντες· εννεοι γενομενοι. Hesych.] Conf. cap. xxii. 9.

8 Ηγερθη δε ὁ Σαυλος απο της γης· ανεῳγμενων δε των οφθαλ-
μων αὑτου, ουδενα εβλεπε, χειραγωγουντες δε αυτον εισηγα-
γον εις Δαμασκον.

χειραγωγουντα. Jud. xvi. 26. Alex. και εισηγαγεν αυτον εις την οικιαν αυτου. Jud. xix. 21. Alex. O. Ald. Comp. Conf. Ps. xxv. 8.

9 Και ην ἡμερας τρεις μη βλεπων, και ουκ εφαγεν ουδε επιεν.

ὁτι ου βεβρωκει αρτον, και ου πεπωκει ὑδωρ τρεις ἡμερας και τρεις νυκτας. 1 Reg. xxx. 12.

10 Ην δε τις μαθητης εν Δαμασκῳ ονοματι Ανανιας, και ειπε
προς αυτον ὁ Κυριος εν ὁραματι, Ανανια. Ὁ δε ειπεν, Ιδου,
εγω, Κυριε.

ειπε δε ὁ Θεος τῳ Ισραηλ εν ὁραματι της νυκτος. Gen. xlvi. 2. xv. 1. και ειπεν, Ει συ ει αυτος Ασαηλ; και ειπεν, Εγω ειμι. 2 Reg. ii. 20. και εκαλεσε Κυριος, Σαμουηλ, Σαμουηλ· και ειπεν, Ιδου εγω. 1 Reg. iii. 4. Gen. xxxi. 11. Conf. Jer. i. 6-8.

11 Ὁ δε Κυριος προς αυτον, Αναστας πορευθητι επι την ῥυμην
την καλουμενην Ευθειαν, και ζητησον εν οικιᾳ Ιουδα Σαυλον
ονοματι, Ταρσεα. ιδου γαρ προσευχεται,

αναστηθι, πορευθητι εις Νινευη. Jon. iii. 2. αναστας ακολουθησον αυτοις. Num. xxii. 20. ῥυμη. Esa. xv. 3. Tob. xiii. 18. ετι λαλουντος σου ερει, Ιδου παρειμι. Esa. lviii. 9. Ταρσεα, Tarsensem. [Ταρσος γαρ παρ᾽ αυτοις των πολεων (Κιλικιας) ἡ αξιολογωτατη καλειται, μητροπολις ουσα. Jos. Ant. i. 6. 1.]

12 Και ειδεν εν ὁραματι ανδρα ονοματι Ανανιαν εισελθοντα και
επιθεντα αὑτῳ χειρα, ὁπως αναβλεψῃ.

13 Απεκριθη δε ὁ Ανανιας, Κυριε, ακηκοα απο πολλων περι
του ανδρος τουτου, ὁσα κακα εποιησε τοις ἁγιοις σου εν Ἱερου-
σαλημ·

ακηκοα. Gen. xxiii. 15. Deut. iv. 33. εξουσιαν εχειν. 1 Mac. x. 35. 2 Mac. vii. 16. εποιει πολεμον μετα των ἁγιων. Dan. vii. 21.

14 Και ὡδε εχει εξουσιαν παρα των Αρχιερεων, δησαι παντας
τους επικαλουμενους το ονομα σου.

και επεκαλεσατο εκει Ἀβραμ το ονομα του Κυριου. Gen. xiii. 4. εν τοις επικαλουμενοις το ονομα αυτου. Ps. xcviii. 6. Deut. xxxii. 3. Joel. ii. 32.

15 Ειπε δε προς αυτον ὁ Κυριος, Πορευου, ὁτι σκευος εκλογης
μοι εστιν οὑτος, του βαστασαι το ονομα μου ενωπιον εθνων και
βασιλεων, υἱων τε Ισραηλ.

τα σκευη της δοξης αυτης. 1 Mac. ii. 9. σκευη οργης. Jer. xxvii. 25. Gen. xlix. 5. Aq. Conf. Lev. xi. 32. και ελαλουν εν τοις μαρτυριοις σου εναντιον βασιλεων, και ουκ ῃσχυνομην. Ps. cxviii. 46. Esa. xlix. 6. Conf. Rom. xv. 9. Gal. ii. 7. Ephes. iii. 8. 1 Tim. ii. 7. 2 Tim. i. 11. ητιμωθη Ιεχονιας ὡς σκευος οὑ ουκ εστι χρεια. Jer. xxii. 28. ιδου καθεστακα σε σημερον επι εθνη και επι βασιλειας, κ.τ.λ. i. 10. προ του με πλασαι σε εν κοιλιᾳ, επισταμαι σε, κ.τ.λ. i. 5.

16 Εγω γαρ ὑποδειξω αυτῳ ὁσα δει αυτον ὑπερ του ονοματος
μου παθειν.

και ὑπεδειξε βασιλει την τελευτην αυτου. Sir. xlvi. 20. Conf. cap. v. 41. 2 Cor. xi. 23. εδωκε γαρ την ψυχην αυτου ὑπερ σου. Sir. xxix. 15. Ps. lxxxviii. 50, 51.

17 Απηλθε δε Ανανιας και εισηλθεν εις την οικιαν, και επιθεις
επ᾽ αυτον τας χειρας ειπε, Σαουλ αδελφε, ὁ Κυριος απεσταλκε
με, (Ιησους ὁ οφθεις σοι εν τῃ ὁδῳ ᾗ ηρχου,) ὁπως αναβλεψῃς
και πλησθῃς Πνευματος ἁγιου.

Αζαρια αδελφε. Job. ix. 2. Κυριος απεστειλε με. Num. xvi. 28. και εισηλθεν—εις τον οικον. 2 Reg. xix. 5. εν αληθειᾳ απεσταλκε με Κυριος προς ὑμας. Jer. xxvi. 15. και οἱ τυφλοι αναβλεψατε ιδειν. Esa. xlii. 18. Conf. Joel. ii. 28. πλησθησεται πνευματος. Prov. xv. 4.

18 Και ευθεως απεπεσον απο των οφθαλμων αυτου ὡσει λεπι-
δες, ανεβλεψε τε παραχρημα, και αναστας εβαπτισθη,

και ανεβλεψαν οἱ οφθαλμοι αυτου. 1 Reg. xiv. 27. και ελεπισθη απο των κανθων των οφθαλμων αυτου τα λευκωματα. Tob. xi. 13. λεπιδες. Lev. xi. 9, 10. Deut. xiv. 9, 10.

19 Και λαβων τροφην, ενισχυσεν. Εγενετο δε ὁ Σαυλος μετα
των εν Δαμασκῳ μαθητων ἡμερας τινας·

ενισχυσας Ισραηλ, εκαθισε. Gen. xlviii. 2.

20 Και ευθεως εν ταις συναγωγαις εκηρυσσε τον Χριστον, ὁτι
οὑτος εστιν ὁ υἱος του Θεου.

Conf. cap. xvi. 18. *xvii.* 3. *Joan. ix.* 22. 1 *Joan. v.* 1. *Matt. xvi.* 16. διαγγελλων το προσταγμα Κυριου, Κυριος ειπε προς με—Ὑιος μου ει συ, κ. τ. λ. *Ps. ii.* 7-12. *Amos. iv.* 13.

21 Εξισταντο δε παντες οἱ ακουοντες και ελεγον, Ουχ οὑτος εστιν ὁ πορθησας εν Ἱερουσαλημ τους επικαλουμενους το ονομα τουτο, και ὡδε εις τουτο εληλυθει, ἱνα δεδεμενους αυτους αγαγῃ επι τους Αρχιερεις;

εξισταντο δε οἱ ανθρωποι. *Gen. xliii.* 33. τι τουτο το γεγονος τῳ υἱῳ Κις; η και Σαουλ εν προφηταις; 1 *Reg. x.* 11. πορθησας. *Gal. i.* 13. 23. εληλυθει. 3 *Reg. x.* 10. 12. [πορθειν· ολλυειν. *Hesych.*]

22 Σαυλος δε μαλλον ενεδυναμουτο, και συνεχυνε τους Ιουδαιους τους κατοικουντας εν Δαμασκῳ, συμβιβαζων ὁτι οὑτος εστιν ὁ Χριστος.

(τῃ πιστει *subaud.*) και ενεδυναμωθη επι τῃ ματαιοτητι αυτου. *Ps. li.* 7. και ελυπηθη Ιωνας λυπην μεγαλην και συνεχυθη. *Jon. iv.* 1. 3 *Reg. xxi.* 43. συγχυθητωσαν παντες οἱ κατοικουντες την γην. *Joel. ii.* 1. ὁ δε ακουσας συνεχυθη και ηθυμει. 1 *Mac. iv.* 27. συμβιβαζω αυτους τα προσταγματα του Θεου. *Exod. xviii.* 16. *iv.* 14, 15. *Deut. iv.* 9. *Esa. xl.* 14. *Dan. ix.* 22. οἱ δε ὑπομενοντες τον Θεον αλλαξουσιν ισχυν, κ. τ. λ. *Esa. xl.* 31.

23 Ὡς δε επληρουντο ἡμεραι ἱκαναι, συνεβουλευσαντο οἱ Ιουδαιοι ανελειν αυτον·

ὁτι επληρωθησαν αἱ ἡμεραι ὑμων. *Jer. xxxii.* 34. συνεβουλευσαντο. 3 *Reg. xii.* 8. και εζητει ανελειν Μωυσην. *Exod. ii.* 15.

24 (Εγνωσθη δε τῳ Σαυλῳ ἡ επιβουλη αυτων.) παρετηρουν τε τας πυλας ἡμερας τε και νυκτος ὁπως αυτον ανελωσι·

επιβουλη. 3 *Mac. i.* 6. 2 *Mac. v.* 7. *viii.* 7. *Est. ii.* 22. τοτε οἱ ανδρες εκεινοι παρετηρησαν. *Dan. vi.* 11. *Conf.* 2 *Cor. xi.* 32. *et Krebs.* τε—και. *Sap. vii.* 16. ὁπως. 2 *Mac. vii.* 22.

25 Λαβοντες δε αυτον οἱ μαθηται νυκτος, καθηκαν δια του τειχους, χαλασαντες εν σπυριδι.

εχαλασαν αυτον εις τον λακκον. *Jer. xlv.* 6. κατεχαλασε—δια της θυριδος. *Jos. ii.* 15. καθηκαν. *Conf. Luc. v.* 19.

26 Παραγενομενος δε ὁ Σαυλος εις Ἱερουσαλημ, επειρατο κολλασθαι τοις μαθηταις· και παντες εφοβουντο αυτον, μη πιστευοντες ὁτι εστι μαθητης.

παρεγενοντο εις Ἱερουσαλημ. 1 *Esd. viii.* 6. *Jos. xxiv.* 11. επειραθημεν αποστειλαι. 1 *Mac. xii.* 10. ὡδε κολληθητι μετα των κορ-

ασιων μου. *Ruth. ii.* 8. και παντες ὁσοι εκολληθησαν τῳ πατρι αυτου. 1 *Mac. iii.* 2. επειρατο τα προς αυτους ειρηνικως διεξαγειν. 2 *Mac. x.* 12. *Conf. Gal. i.* 18.

27 Βαρναβας δε επιλαβομενος αυτον ηγαγε προς τους αποστολους, και διηγησατο αυτοις πως εν τῃ ὁδῳ ειδε τον Κυριον, και ὁτι ελαλησεν αυτῳ, και πως εν Δαμασκῳ επαῤῥησιασατο εν τῳ ονοματι του Ιησου.

θησομαι εν σωτηριῳ παῤῥησιασομαι εν αυτῳ. *Ps. xi.* 5. εν δε πλατειαις παῤῥησιαν αγει. *Prov. i.* 20. 1 *Cor. ix.* 6. *Gal. ii.* 9.

28 Και ην μετ᾿ αυτων εισπορευομενος και εκπορευομενος εν Ἱερουσαλημ, και παῤῥησιαζομενος εν τῳ ονοματι του Κυριου Ιησου,

και τῳ εκπορευομενῳ ται τῳ εισπορευομενῳ ουκ εσται ειρηνη. *Zach. viii.* 10. Κυριος φυλαξει την εισοδον σου, κ. τ. λ. *Ps. cxx.* 8.

29 Ελαλει τε και συνεζητει προς τους Ἑλληνιστας· οἱ δε επεχειρουν αυτον ανελειν.

Ἑλληνιστας. *Conf. cap. vi.* 1. 9. *xi.* 20.

30 Επιγνοντες δε οἱ αδελφοι κατηγαγον αυτον εις Καισαρειαν, και εξαπεστειλαν αυτον εις Ταρσον.

και καταγαγετε αυτον εις την Γιων. 3 *Reg. i.* 33. αδελφοι. *Conf. Ps. cxxxii.* 1. *Esa. lxvi.* 20. *Jer. xxxviii.* 34. *Ose. ii.* 1.

31 Αἱ μεν ουν εκκλησιαι καθ᾿ ὁλης της Ιουδαιας και Γαλιλαιας και Σαμαρειας ειχον ειρηνην, οικοδομουμεναι και πορευομεναι τῳ φοβῳ του Κυριου, και τῃ παρακλησει του ἁγιου Πνευματος επληθυνοντο.

εκκλησια Κυριου. *Deut. xxiii.* 1-3. εκκλησια πιστων. 1 *Mac. iii.* 13. οἱ θελοντες την ειρηνην του δουλου αυτου. *Ps. xxxiv.* 27. οικοδομησει τον οικον του αδελφου. *Deut. xxv.* 9. πολις οικισθησεται εν συνεσι δυναστων. *Sir. x.* 3. *Amos. ix.* 6. πορευεσθαι πασαις ταις ὁδοις αυτου. *Jos. xxii.* 5. ὁς δε πορευεται σοφιᾳ σωθησεται. *Prov. xxviii.* 26. 1 *Mac. vi.* 23. 59. ὁ φοβος Κυριου ἁγνος. *Ps. xviii.* 9. αρχη σοφιας φοβος Κυριου. *cx.* 10. και ει Κυριος ειμι εγω, που εστιν ὁ φοβος μου; *Mal. i.* 6. σοφια γαρ και παιδεια φοβος Κυριου, και ἡ ευδοκια αυτου πιστις και πρᾳοτης. *Sir. i.* 26. και αγαπησει σε, και ευλογησει σε, και πληθυνει σε. *Deut. vii.* 13. και ευφρανθησεσθε, και την αληθειαν και την ειρηνην αγαπησατε, κ. τ. λ. *Zach. viii.* 19-23. εν γαρ ταυταις ταις ἡμεραις ανεπαυ-

σαντο οἱ Ιουδαιοι απω των εχθρων αυτων. *Est. ix.* 22. οἱ φοβουμενοι Κυριον εὑρησουσιν αυτον. *Sir. vi.* 16. *Nah. iii.* 7.

32 Εγενετο δε Πετρον διερχομενον δια παντων, κατελθειν και προς τους ἁγιους τους κατοικουντας Λυδδαν.

και ἁγιοι εσεσθε, ὁτι ἁγιος ειμι εγω. *Lev. xi.* 44, 45. τοις ἁγιοις τοις εν τῃ γῃ αυτου. *Ps. xv.* 3. [Λυδδα κωμη, πολεως του μεγεθους ουκ αποδεουσα. *Jos. Ant. xx.* 6. 2.]

33 Εὑρε δε εκει ανθρωπον τινα Αινεαν ονοματι, εξ ετων οκτω κατακειμενον επι κραββατῳ, ὁς ην παραλελυμενος.

34 Και ειπεν αυτῳ ὁ Πετρος, Αινεα, ιαται σε Ιησους ὁ Χριστος· αναστηθι και στρωσον σεαυτῳ. Και ευθεως ανεστη·

απεστειλη τον λογον αυτου, και ιασατο αυτους. *Ps. cvi.* 20. *Tob. xii.* 14. *Esa. lxi.* 1. εγω γαρ ειμι Κυριος—ὁ ιωμενος σε. *Exod. xv.* 26. *Esa. lvii.* 19. εστρωται μου ἡ στρωμνη. *Job. xvii.* 13. *Ezech. xxviii.* 7. *Conf. Matt. viii.* 3. *ix.* 6. *Joan. ii.* 11.

35 Και ειδον αυτον παντες οἱ κατοικουντες Λυδδαν και τον Σαρωναν, οἱτινες επεστρεψαν επι τον Κυριον.

επιστραφητε επ' εμε, και σωθησεσθε. *Esa. xlv.* 22. επιστραφησῃ επι Κυριον τον Θεον σου. *Deut. iv.* 30. *Alex.* Σαρων. 1 *Par. v.* 16. *Esa. xxxiii.* 9. τοις κατοικουσι την γην. *Gen. xxxiv.* 30.

36 Εν Ιοππῃ δε τις ην μαθητρια ονοματι Ταβιθα, ἡ διερμηνευομενη λεγεται Δορκας· αὑτη ην πληρης αγαθων εργων και ελεημοσυνων ὡν εποιει·

Νεφθαρ ὁ διερμηνευεται Καθαρισμος. 2 *Mac. i.* 36. κατεβη εις Ιοππην. *Jon. i.* 3. Σιων πληρης κρισεως. *Esa. i.* 21. *Conf. Jac. iii.* 17. λαος πληρης ἁμαρτιων. *Esa. i.* 4. αποδωσεις ἑκαστῳ κατα τα εργα αυτου. *Ps. lxi.* 12. αυτος γαρ οιδεν εργα ανομων. *Job. xi.* 11. *xxi.* 16. μακαριος ὁ συνιων επι πτωχον και πενητα, κ. τ. λ. *Ps. xl.* 1-4. ασεβης ποιει εργα αδικα. *Prov. xi.* 18. εργα δικαιων ζωην ποιει. *x.* 17. [*Joppa (hodie Jaffa) conf. Jos. Ant. ix.* 11. *Bell. Jud. i.* 20. 3.] *Jos. xix.* 46. 2 *Par. ii.* 16. 1 *Mac. xiv.* 5. [μαθητρις Αττικως· μαθητρια, Ἑλληνικως. *Moeris.*] ψευδεις αρεσκειαι, και ματαιον καλλος γυναικος, γυνη γαρ συνετη ευλογειται, κ. τ. λ. *Prov. xxxi.* 30. *Conf. Cant. ii.* 9. 2 *Reg. ii.* 18.

37 Εγενετο δε εν ταις ἡμεραις εκειναις ασθενησασαν αυτην αποθανειν· λουσαντες δε αυτην εθηκαν εν ὑπερῳῳ.

και εγενετο εν τῃ ἡμερᾳ εκεινῃ. 1 *Reg. iii.* 2. εν δε ταις ἡμεραις εκειναις. *Jud. xvii.* 6. *Esa. xxxviii.* 1. ησθενησεν εν πτωχειᾳ ἡ ισχυς

μου. *Ps. xxx.* 10. εθηκαν εν τῃ σορῳ. *Gen. l.* 26. απο εδαφους ἑως ὑπερῳου. 3 *Reg. vii.* 7. *Comp.*

38 Εγγυς δε ουσης Λυδδης τῃ Ιοππῃ, οἱ μαθηται ακουσαντες ὁτι Πετρος εστιν εν αυτῃ, απεστειλαν δυο ανδρας προς αυτον, παρακαλουντες μη οκνησαι διελθειν ἑως αυτων.

μη οκνησῃς ελθειν προς με. *Num. xxii.* 16. *Jud. xviii.* 9. *Tob. xii.* 5. 14. *Sir. vii.* 37. (*al.* 35.) και επορευετο Αχααβ ἑως Ιεζραελ. 3 *Reg. xviii.* 45. *Conf. Joan. xi.* 3, 4. *iv.* 49.

39 Αναστας δε Πετρος συνηλθεν αυτοις· ὁν παραγενομενον ανηγαγον εις το ὑπερῳον, και παρεστησαν αυτῳ πασαι αἱ χηραι κλαιουσαι και επιδεικνυμεναι χιτωνας και ἱματια ὁσα εποιει μετ᾽ αυτων ουσα ἡ Δορκας.

και αἱ χηραι αυτων ου κλαυσθησονται. *Ps. lxxvii.* 64. ὁσα. *Eccles. viii.* 15. εποιησε δε αυτῳ χιτωνα. *Gen. xxxvii.* 3. *Exod. xxxix.* 26.

40 Εκβαλων δε εξω παντας ὁ Πετρος, θεις τα γονατα προσηυξατο· και επιστρεψας προς το σωμα, ειπε, Ταβιθα, αναστηθι. Ἡ δε ηνοιξε τους οφθαλμους αὑτης· και ιδουσα τον Πετρον, ανεκαθισε.

εκβαλετε αυτην εκτος του οικου. 2 *Par. xxiii.* 14. σωμα (*cadaver*). 1 *Reg. xxxi.* 10. *Conf.* 4 *Reg. iv.* 33. και ηνοιξε το παιδαριον τους οφθαλμους αυτου. 35. *Conf.* 2 *Mac. vii.* 9. 14. *xii.* 44.

41 Δους δε αυτῃ χειρα, ανεστησεν αυτην· φωνησας δε τους ἁγιους και τας χηρας, παρεστησεν αυτην ζωσαν.

ευλογια απολλυμενου επ᾽ εμε ελθοι, στομα δε χηρας με ευλογησε. *Job. xxix.* 13. φωνησον αυτον προς με. *Tob. v.* 8. παρεστησεν ἑαυτον ζωντα. *Act. i.* 3. ορφανον και χηραν αναληψεται, κ. τ. λ. *Ps. cxlv.* 9. *Conf. Marc. i.* 31. *Luc. vii.* 12.

42 Γνωστον δε εγενετο καθ᾽ ὁλης της Ιοππης, και πολλοι επιστευσαν επι τον Κυριον.

γνωστον εστω. *Esd. iv.* 12, 13. και επιστευσαν τῳ Θεῳ και Μωυσῃ τῳ θεραποντι. *Exod. xiv.* 31. ὁ πιστευων επ᾽ αυτῳ ου μη καταισχυνθῃ. *Esa. xxviii.* 16. *B. Ald. Comp.*

43 Εγενετο δε ἡμερας ἱκανας μειναι αυτον εν Ιοππῃ παρα τινι Σιμωνι βυρσει. Nov. 20. 1851.

ΚΕΦ. ι. 10.

ΑΝΗΡ δε τις ην εν Καισαρειᾳ ονοματι Κορνηλιος, ἑκατονταρχης εκ σπειρης της καλουμενης Ιταλικης,

ην δε τις εκ της φυλης Λευι. Exod. ii. 1. *της πρωτης σπειρας αυτος προηγουμενος.* 2 *Mac. viii.* 23. [*εκατονταρχης. Jos. Ant. ix.* 7. 2. *Exod. xviii.* 25.] [*Ιταλικης. Grut. Inscript. p.* 434.]

2 Ευσεβης *και φοβουμενος τον Θεον συν παντι τω οικω αυτου, ποιων τε ελεημοσυνας πολλας τω λαω, και δεομενος του Θεου διαπαντος·*

ελπις τω ευσεβει. Esa. xxiv. 16. *φοβου δε τον Θεον. Prov. iii.* 7. *ανθρωπος εκεινος αληθινος, αμεμπτος, κ. τ. λ. Job. i.* 1. *και τω οικω αυτου μετ' αυτον. Gen. xviii.* 19. *Jos. xxiv.* 14. *οἱ ποιουντες ελεημοσυνας και δικαιοσυνας. Tob. xii.* 10. *απο δεομενου μη αποστρεψης οφθαλμον. Sir. iv.* 5. *ορθριζε προς* Κυριον *παντοκρατορα δεομενος. Job. viii.* 5. *διαπαντος ἡ αινεσις αυτου εν τω στοματι μου. Ps. xxxiii.* 1. *Conf. Dan. vi.* 11. *ηδειν γαρ ὁτι συνταξει τοις υἱοις αυτου, και τω οικω αυτου μετ' αυτον· και φυλαξουσι τας ὁδους* Κυριου, *κ. τ. λ. Gen. xviii.* 19. [*Jos. Bell. Jud. ii.* 20. 2.]

3 Ειδεν *εν ὁραματι φανερως, ὡσει ὡραν εννατην της ἡμερας, αγγελον του Θεου εισελθοντα προς αυτον, και ειποντα αυτω,* Κορνηλιε.

και ειδον εν ὁραματι. Dan. viii. 2. *Ald. Comp. εθεωρουν εν ὁραματι της νυκτος. iv.* 10. *vii.* 2. *ὡσει ὡραν θυσιας ἑσπερινης. ix.* 21. *και ειπε μοι αγγελος του Θεου καθ' ὑπνον. Gen. xxxi.* 11. *Conf. cap. ix.* 4. *και εκαλεσε* Κυριος, Σαμουηλ, Σαμουηλ. 1 *Reg. iii.* 4. *και εισηλθε προς αυτον, και ειπεν αυτω.* 2 *Reg. xii.* 1. *εγω καλεσω σε τω ονοματι σου—συ δε ουκ εγνως με. Esa. xlv.* 4.

4 Ὁ *δε ατενισας αυτω και εμφοβος γενομενος ειπε,* Τι *εστι,* Κυριε; Ειπε *δε αυτω,* Αἱ *προσευχαι σου και αἱ ελεημοσυναι σου ανεβησαν εις μνημοσυνον ενωπιον του Θεου.*

εντρομος και εμφοβος. 1 *Mac. xiii.* 2. *ατενισας.* 3 *Mac. ii.* 26. *εις μνημοσυνον εναντι* Ὑψιστου. *Sir. l.* 19. *ενωπιον αυτου. Mal. iii.* 16. *ανεβη ἡ βοη αυτων προς τον Θεον. Exod. ii.* 23. *επεμαρτυρατο εναντι* Κυριου—*χρηματα. Sir. xlvi.* 19. *βιβλιον μνημοσυνου. Mal. iii.* 16. *αγαθον προσευχη μετα νηστειας και ελεημοσυνης. Tob. xii.* 8. 12. *και επηκουσθη ἡ φωνη αυτων, και ηλθεν ἡ προσευχη αυτων εις το κατοικητηριον το ἁγιον αυτου εις τον ουρανον.* 2 *Par. xxx.* 27. *εγω δε ειπα,* Τι *εστι; Gen. xxxi.* 11. *Conf. Est. v.* 1. *Apoc. viii.* 3. *κατευθυνθητω ἡ προσευχη μου ὡς θυμιαμα ενωπιον σου· επαρσις των χειρων μου θυσια ἑσπερινη. Ps. cxl.* 2. *θυσια ανδρος δικαιου δεκτη, και το μνημοσυνον αυτης ουκ επιλησθησεται. Sir. xxxii.* 7. *xlv.* 1. *Lev. ii.* 2. 16. *Num. xxxi.* 54.

5 Και νυν πεμψον εις Ιοππην ανδρας, και μεταπεμψαι Σιμωνα, ὁς επικαλειται Πετρος·

και πεμψασα [*sc.* τινα] εκαλεσεν Ιακωβ. *Gen. xxvii.* 42. *Esd. iv. xiv.* και νυν. *Ps. ii.* 10. Ιοππη. *Jos. xix.* 46. [*Jos. Bell. Jud. i.* 20. 3.] οὑ το ονομα επεκληθη Βαλτασαρ. *Dan. x.* 1.

6 Οὑτος ξενιζεται παρα τινι Σιμωνι βυρσει, ᾡ εστιν οικια παρα θαλασσαν· οὑτος λαλησει σοι τι σε δει ποιειν.

[ξενιζεται. *Philo. de Abr. p.* 368. ξενοδοχειται. *Hesych.*] [παρα ποταμον. *Jos. Ant. vi.* 2. *i.* 18.] *Conf. Rom. x.* 14.

7 Ὡς δε απηλθεν ὁ αγγελος ὁ λαλων τῳ Κορνηλιῳ, φωνησας δυο των οικετων αὑτου, και στρατιωτην ευσεβη των προσκαρτερουντων αυτῳ,

συνετελεσε δε λαλων προς αυτον. *Gen. xvii.* 22. φωνησον αυτον προς με. *Tob. iv.* 11. οὑτοι προσεκαρτερουν εν τῃ οικιᾳ. *Susan.* 6.

8 Και εξηγησαμενος αυτοις ἁπαντα, απεστειλεν αυτους εις την Ιοππην.

ιδου ανηρ εξηγουμενος τῳ πλησιον αυτου ενυπνιον. *Jud. vii.* 13.

9 Τῃ δε επαυριον ὁδοιπορουντων εκεινων και τῃ πολει εγγιζοντων, ανεβη Πετρος επι το δωμα προσευξασθαι, περι ὡραν ἑκτην.

ἑσπερας και πρωϊ και μεσημβριας διηγησομαι, κ. τ. λ. *Ps. liv.* 17. τῃ επαυριον. *Gen. xxx.* 33. περιεπατει επι του δωματος του οικου. 2 *Reg. xi.* 2. περι τον καιρον τουτον. 2 *Mac. v.* 1. ὁδοιπορος. 2 *Reg. xii.* 4. *Prov. vi.* 11. [ὁ Σαμουηλος επι του δωματος καθεζομενος. *Jos. Ant. vi.* 4. 1. στεγος των βασιλειων, εν ᾡ περιπατειν κατ᾽ εκεινο της ὡρας ην εθος. *Id. vii.* 7. 1.] *Conf.* 4 *Reg. xxiii.* 12. *Jer. xix.* 13. *Sophon. i.* 5. *Neh. viii.* 16.

10 Εγενετο δε προσπεινος, και ηθελε γευσασθαι· παρασκευαζοντων δε εκεινων, επεπεσεν επ᾽ αυτον εκστασις,

ου γευσομαι ουδεν ὡδε. *Tob. vii.* 11. *Jon. iii.* 7. ὡν ου θεμις γευσασθαι. 2 *Mac. vi.* 20. εκστασις επεπεσε τῳ Ἀβραμ. *Gen. xv.* 12. [εκστασιν· ὑπνον. *Hesych.*] προσπεινος = προσφιλης. *Phil. iv.* 8.

11 Και θεωρει τον ουρανον ανεῳγμενον, και καταβαινον επ᾽ αυτον σκευος τι, ὡς οθονην μεγαλην, τεσσαρσιν αρχαις δεδεμενον, και καθιεμενον επι της γης·

και ηνοιχθησαν οἱ ουρανοι, και ιδον ὁρασεις Θεου. *Ezech. i.* 1.

οθονη. *Ose. ii.* 9. *Conf. Luc. xiii.* 29. εν αρχη ποταμου. 2 *Par. xx.* 16. *Ald.* [αυτον καθιεσαν εις τον λακκον. *Jos. Ant. ii.* 3. 4.]

12 Εν ῳ ὑπηρχε παντα τα τετραποδα της γης και τα θηρια και τα ἑρπετα και τα πετεινα του ουρανου.

τετραποδα, και ἑρπετα, και θηρια της γης. *Gen. i.* 24. θηρια της γης, και τα πετεινα του ουρανου. *Jer. xv.* 3.

13 Και εγενετο φωνη προς αυτον, Αναστας, Πετρε, θυσον και φαγε.

θυσεις και φαγῃ. *Deut. xii.* 15. αναστας, αποκτεινον αυτους. *Jud. viii.* 20. αναστηθι, φαγε σαρκας πολλας. *Dan. vii.* 5. *Conf. Lev. xi.* 7. *Deut. xiv.* 3. *Ezech. iv.* 14. *Tob. i.* 10.

14 Ὁ δε Πετρος ειπε, Μηδαμως, Κυριε· ὁτι ουδεποτε εφαγον παν κοινον η ακαθαρτον.

και ειπα, Μηδαμως, Κυριε, Θεε Ισραηλ, κ. τ. λ. *Ezech. iv.* 14. 49. ου βεβρωκα απο γενεσεως μου ἑως του νυν, ουδε εισεληλυθεν εις το στομα μου παν κρεας ἑωλον. *ib.* και θυειν ὑεια, και κτηνη κοινα. 1 *Mac. i.* 47. του μη φαγειν κοινα. 62. και παν ακαθαρτον μη φαγετω. *Jud. xiii.* 14. ου ποιησεις παν εργον. *Deut. xvi.* 8. *Ps. cxliii.* 2. [μη κοινου· μη ακαθαρτον λεγε. *Hesych.*]

15 Και φωνη παλιν εκ δευτερου προς αυτον, Ἁ ὁ Θεος εκαθαρισε, συ μη κοινου.

εγενετο λογος Κυριου εκ δευτερου προς με. *Jer. i.* 13. *Gen. xli.* 32. και καθαριει αυτον ὁ ἱερευς. *Lev. xiii.* 6. 23. ὁς δικαιον κρινει τον αδικον, αδικον δε τον δικαιον, ακαθαρτος και βδελυκτος παρα Θεῳ. *Prov. xvii.* 15. *Conf. Matt. xv.* 11. *Rom. xiv.* 14. 1 *Cor. i.* 30. *x.* 25. *Tit. i.* 15.

16 Τουτο δε εγενετο επι τρις· και παλιν ανεληφθη το σκευος εις τον ουρανον.

επι ετη τρια. *Luc. iv.* 25. τρις. 1 *Reg. xx.* 41. 4 *Reg. xiii.* 18, 19. ανεληφθη ἑως εις τον ουρανον. 1 *Mac. ii.* 58. ανεληφθη Ηλιου εις τον ουρανον. 4 *Reg. ii.* 11. *Conf. Dan. iv.* 31.

17 Ὡς δε εν ἑαυτῳ διηπορει ὁ Πετρος, τι αν ειη το ὁραμα ὁ ειδε, και ιδου, οἱ ανδρες οἱ απεσταλμενοι απο του Κορνηλιου, διερωτησαντες την οικιαν Σιμωνος, επεστησαν επι τον πυλωνα·

διηπορει το πνευμα. *Dan. ii.* 3. *Sym.* εν ἑαυτῳ. *Gen. xviii.* 12. ελαλησαν αυτῳ εν τῳ πυλωνι του οικου. *Gen. xliii.* 19.

18 Και φωνησαντες επυνθανοντο, ει Σιμων ὁ επικαλουμενος
Πετρος ενθαδε ξενιζεται.

[Ιωαννης ὁ επικαλουμενος Βαπτιστης. *Jos. Ant. xviii.* 6. 2.]

19 Του δε Πετρου ενθυμουμενου περι του ὁραματος, ειπεν αυτῳ
το Πνευμα, Ιδου, ανδρες τρεις ζητουσι σε·

ενθυμουμενου. *Conf. Sap. iii.* 14. τι ζητεις; *Gen. xxxvii.* 15, 16.

20 Αλλα αναστας καταβηθι, και πορευου συν αυτοις, μηδεν
διακρινομενος· διοτι εγω απεσταλκα αυτους.

αναστας, αναβηθι. *Gen. xxxv.* 1. αναστηθι και πορευου. *Mich. ii.* 10. ὁ Ων απεσταλκε με προς ὑμας. *Exod. iii.* 14. διακρινομενος. *Jer. xv.* 10. [διακριθη· εδιστασε. *Hesych.*] λογος Θεου μοι προς σε. *Jud. iii.* 20. *Esa. xlviii.* 16.

21 Καταβας δε Πετρος προς τους ανδρας τους απεσταλμενους
απο του Κορνηλιου προς αυτον, ειπεν, Ιδου, εγω ειμι ὁν ζητειτε·
τις ἡ αιτια, δι' ἡν παρεστε;

δι' ἡν αιτιαν. 2 *Mac. iv.* 28. 35. ιδου εγω, ὁτι κεκληκας με. 1 *Reg. iii.* 8. παρεστε. *Conf. Jud. xix.* 3. *Alex. Ald. Comp.*

22 Οἱ δε ειπον, Κορνηλιος ἑκατονταρχης, ανηρ δικαιος και
φοβουμενος τον Θεον, μαρτυρουμενος τε ὑπο ὁλου του εθνους
των Ιουδαιων, εχρηματισθη ὑπο αγγελου ἁγιου, μεταπεμ-
ψασθαι σε εις τον οικον αὐτου, και ακουσαι ῥηματα παρα
σου.

ην ὁ ανθρωπος δικαιος. *Job. i.* 1. μακαριος ανηρ ὁ φοβουμενος τον Κυριον. *Ps. cxi.* 1. γραψον παντας τους λογους οὑς εχρηματισα προς σε. *Jer. xxxvii.* 2. και διηγησατο τῳ λαῳ παντα τα ῥηματα του Θεου. *Exod. xxiv.* 3. ακουσατε τα ῥηματα μου. *Job. xiii.* 17. εαν ὑποστειληται, ουκ ευδοκει ἡ ψυχη μου εν αυτῳ· ὁ δε δικαιος εκ πιστεως μου ζησεται. *Hab. ii.* 4. *Alex. Ald.* [εχρηματισεν αυτῳ κατα τους ὑπνους ὁ Θεος. *Jos. Ant. xi.* 8. 4.] μαρτυρουμενος. *Cap. vi.* 3.

23 Εισκαλεσαμενος ουν αυτους εξενισε. Τῃ δε επαυριον ὁ
Πετρος εξηλθε συν αυτοις, και τινες των αδελφων των απο
της Ιοππης συνηλθον αυτῳ.

εξενισε. *Sir. xxix.* 25. *Conf. Heb. xiii.* 2. *Gen. xxiv.* 31, 32.

24 Και τῃ επαυριον εισηλθον εις την Καισαρειαν. Ὁ δε Κορ-
νηλιος ην προσδοκων αυτους, συγκαλεσαμενος τους συγγενεις
αὐτου και τους αναγκαιους φιλους.

[τρεις δε τους αναγκαιοτατους φιλους. *Jos. Ant. x.* 1. 2.]

25 Ὡς δε εγενετο εισελθειν τον Πετρον, συναντησας αυτῳ ὁ
Κορνηλιος, πεσων επι τους ποδας, προσεκυνησεν.

επεσεν—προσεκυνησεν—επι τους ποδας. 1 Reg. xxv. 23, 24. και πεσων χαμαι προσεκυνησε, και ειπε. Job. i. 20.

26 Ὁ δε Πετρος αυτον ηγειρε, λεγων, Αναστηθι· καγω αυτος
ανθρωπος ειμι.

ηγειρε με επι τα γονατα μου. Dan. x. 10. αναστηθι, ἱνατι τουτο συ πεπτωκας; Jos. vii. 10. καγω, (nam ego.) Conf. 1 Reg. i. 28. την δοξαν μου ἑτερῳ ου δωσω. Esa. xlviii. 11.

27 Και συνομιλων αυτῳ εισηλθε, και εὑρισκει συνεληλυθοτας
πολλους,

28 Εφη τε προς αυτους, Ὑμεις επιστασθε, ὡς αθεμιτον εστιν
ανδρι Ιουδαιῳ κολλασθαι η προσερχεσθαι αλλοφυλῳ· και εμοι
ὁ Θεος εδειξε μηδενα κοινον η ακαθαρτον λεγειν ανθρωπον·

απο των αθεμιτων ὑειων κρεων εφαπτεσθαι. 2 Mac. vii. 1. x. 34. ὡς. Conf. 1 Reg. xiii. 11. και ανθρωπος ην Ιουδαιος. Est. ii. 5. ανηρ ὁ ἁμαρτωλος. Sir. x. 23. ακακοι και ευθεις εκολλωντο μοι. Ps. xxiv. 22. αλλοφυλῳ. 1 Reg. xiii. 3-5. 2 Mac. x. 5. εαν δε τις προσελθῃ ὑμιν προσηλυτος. Lev. xix. 33. Conf. Joan. iv. 9. Matt. ix. 11. Luc. vii. 39. και εμοι = αλλ' εμοι. Sir. xli. 13. Tob. iii. 10. Conf. Viger. p. 426. οἱ λεγοντες, Πορρω απ' εμου, μη εγγισῃς μοι, ὁτι καθαρος ειμι, κ.τ.λ. Esa. lxv. 5. [τα θεια—εκφερειν επι κοινους ανθρωπους. Jos. Ant. xii. 12, 13.]

29 Διο και αναντιρρητως ηλθον μεταπεμφθεις. πυνθανομαι
ουν, τινι λογῳ μετεπεμψασθε με;

διο. Ps. iii. 10. τινι λογῳ, quâ de causâ. = εις φερνης λογον, dotis nomine. 2 Mac. i. 14. επι λογου. 2 Reg. xiii. 22. ἡτοιμασθην και ουκ εταραχθην, του φυλαξασθαι τας εντολας σου. Ps. cxviii. 60.

30 Και ὁ Κορνηλιος εφη, Απο τεταρτης ἡμερας μεχρι ταυτης
της ὡρας ημην νηστευων, και την εννατην ὡραν προσευχομενος
εν τῳ οικῳ μου· και ιδου, ανηρ εστη ενωπιον μου εν εσθητι
λαμπρᾳ,

λαμπρα και αμαραντος εστιν ἡ σοφια. Sap. vi. 12. ημην. Conf. Marc. xiv. 49. ix. 4, 5. και ετι εμου λαλουντος εν τῃ προσευχῃ, και ιδου ανηρ Γαβριηλ, ὁν ιδον εν τῃ ὁρασει εν τῃ αρχῃ, πετομενος, και ἡψατο μου, ὡσει ὡραν θυσιας ἑσπερινης. Dan. ix. 21.

31 Και φησι, Κορνελιε, εισηκουσθη σου ἡ προσευχη, και αἱ
ελεημοσυναι σου εμνησθησαν ενωπιον του Θεου.

και ωρθωθη τα εργα Ιωσιου ενωπιον του Κυριου αυτου εν καρδιᾳ πληρει ευσεβειας. 1 Esd. i. 23. εισακουσον της προσευχης μου, Κυριε. Ps. xxxviii. 12. προσευχας των ἁγιων, και εισπορευονται ενωπιον της δοξης του Ἁγιου. Tob. xii. 15. μνησθητι Κυριε του Δαυιδ. Ps. cxxxi. 1. και ανεμνησθη ὁ Θεος του Νωε. Gen. viii. 1. εγγυσατω ἡ δεησις μου ενωπιον σου, Κυριε, κ. τ. λ. Ps. cxviii. 169.

32 Πεμψον ουν εις Ιοππην, και μετακαλεσαι Σιμωνα ὁς επικαλειται Πετρος· ὁυτος ξενιζεται εν οικιᾳ Σιμωνος βυρσεως παρα θαλασσαν· ὁς παραγενομενος λαλησει σοι.

33 Εξαυτης ουν επεμψα προς σε· συ τε καλως εποιησας παραγενομενος. νυν ουν παντες ἡμεις ενωπιον του Θεου παρεσμεν ακουσαι παντα τα προστεταγμενα σοι ὑπο του Θεου.

τα προστεταγμενα αυτοις. Susan. 18. Deut. xvii. 3. ὑπο Θεου. Deut. xxi. 23. καλως ποιησετε. 1 Mac. xii. 18-22. περι τουτου πεμψατω προς ἡμας. Esd. v. 17. νυν ουν. Gen. xlv. 5. ιδου νυν εσμεν ενωπιον σου εν ταις ανομιαις ἡμων. 1 Esd. viii. 90. Conf. Tob. xii. 15. Judith. ix. 6. Deut. v. 25-29.

34 Ανοιξας δε Πετρος το στομα ειπεν, Επ᾽ αληθειας καταλαμβανομαι, ὁτι ουκ εστι προσωποληπτης ὁ Θεος,

και ηνοιξα το στομα μου, και ελαλησα. Dan. x. 16. Exod. iv. 15. επ᾽ αληθειας οιδα εγω. Dan. ii. 8. Job. ix. 2. ου ληψῃ προσωπον. Lev. xix. 15. ου θαυμαζει προσωπον. Deut. x. 7. 2 Par. xix. 7. Job. xxxiv. 19. Sap. vi. 7. ὁ φοβουμενος Κυριον ποιησει αυτο, και ὁ εγκρατης του νομου καταληψεται αυτην. Sir. xv. 1.

35 Αλλ᾽ εν παντι εθνει ὁ φοβουμενος αυτον και εργαζομενος δικαιοσυνην, δεκτος αυτῳ εστι.

εργαζομενος δικαιοσυνην. Ps. xiv. 2. Sir. xxvii. 9. επιθυμια δε δικαιου δεκτη. Prov. x. 24. Conf. Sir. xviii. 13, 14. 1 Cor. xii. 13. Gal. iii. 28. Ephes. i. 10. Phil. iii. 3. ὁ φοβουμενος το ῥημα Κυριου των θεραποντων Φαραω. Exod. ix. 20. μη λεγετω ὁ αλλογενης ὁ προσκειμενος προς Κυριον, Αφοριει με αρα Κυριος απο του λαου αυτου, κ. τ. λ. Esa. lvi. 3. 8. Conf. Gen. iv. 5-7. Ose. viii. 13.

36 Τον λογον ὁν απεστειλε τοις υἱοις Ισραηλ, ευαγγελιζομενος ειρηνην δια Ιησου Χριστου, ὁυτος εστι παντων Κυριος,

απεστειλε τον λογον αυτου. Ps. cvi. 20. ὡς ὡρα—ευαγγελιζομενου ακοην ειρηνης. Esa. lii. 7. Nah. i. 15. και ποιησω και ειρηνην και πιστιν. Jer. xl. 6. Κυριος, ονομα αυτῳ. Ps. lxvii. 4. και ὁ Κυριος ἡμων παρα παντας τους θεους. cxxxiv. 5. [τον λογον. i. e. κατα τον

λογον, *vel* περι του λογου, *ad sermonem istum quod spectat.* = οὑτω λεγει Κυριος ὁ Θεος Ισραηλ, Τους λογους οὑς ηκουσας, κ. τ. λ. 2 *Par. xxxiv.* 26, 27. *Keuchen.*] *Conf. Sir. xl.* 2. *Luc. xxi.* 6. το ῥημα ὁ διεθηκα προς ὑμας. *Agg. ii.* 5. *Conf. de Dieu in loc. et Glassii Philolog. Sac. vol. i. p.* 168. *edit. Dath. et Viger. de Idiotis. edit. Herman. p.* 44. παντων Κυριος. *Exod. vi.* 3. *Ps. ii.* 6-8. *Esa. vii.* 14. *xl.* 9, 10. *Dan. vii.* 13, 14. *Phil. ii.* 9. *Col. i.* 25-26. 1 *Pet. iii.* 22.

37 Ὑμεις οιδατε το γενομενον ῥημα καθ' ὁλης της Ιουδαιας, αρξαμενον απο της Γαλιλαιας, μετα το βαπτισμα ὁ εκηρυξεν Ιωαννης·

Conf. Luc. iv. 14. φανερα εσται ἡ Γαλιλαια. *Esa. xxxiii.* 9.

38 Ιησουν τον απο Ναζαρετ, ὡς εχρισεν αυτον ὁ Θεος Πνευματι ἁγιῳ και δυναμει, ὁς διηλθεν ευεργετων και ιωμενος παντας τους καταδυναστευομενους ὑπο του διαβολου, ὁτι ὁ Θεος ην μετ' αυτου·

δια τουτο εχρισε με ὁ Θεος, ὁ Θεος σου, κ. τ. λ. *Ps. xliv.* 7. Ναζαρετ. *Matt. ii.* 22. εν ελαιῳ ἁγιῳ μου εχρισα αυτον. *Ps. lxxxviii.* 20. *Conf. Sir. xlvi.* 13. και διηλθεν εξ εθνους εις εθνος. *Ps. civ.* 13. εγώ γαρ ειμι Κυριος—ὁ ιωμενος σε. *Exod. xv.* 26. το πληθος των καταδυναστευοντων σε. *Esa. xxix.* 5. *Exod. i.* 13. *Sap. ii.* 10. και εσται ὁ Θεος σου μετα σου διαπαντος. *Esa. lviii.* 11. ὁ διαβολος. *Job. i.* 6. *Zach. iii.* 1. *Esa. lxi.* 1. εν χειρι αυτου ψυχη παντων ζωντων, και πνευμα παντος ανθρωπου. *Job. xii.* 10. και εδιδασκον εν Ιουδα, και μετ' αυτων βιβλος νομου Κυριου, και διηλθον εν ταις πολεσιν Ιουδα, και εδιδασκον τον λαον, κ. τ. λ. 2 *Par. xvii.* 9, 10. φθονῳ δε διαβολου θανατος εισηλθεν εις τον κοσμον, κ. τ. λ. *Sap. ii.* 24. εν ζωῃ αυτου εποιησε τερατα, και εν τελευτῃ θαυμασια τα εργα αυτου. *Sir. xlviii.* 14.

39 Και ἡμεις εσμεν μαρτυρες παντων ὡν εποιησεν εν τε τῃ χωρᾳ των Ιουδαιων και εν Ἱερουσαλημ· ὁν ανειλον κρεμασαντες επι ξυλου.

μαρτυρες ὑμεις σημερον. *Ruth. iv.* 9, 10. ἡ χωρα των Ιουδαιων. *Esa. xix.* 17. και κρεμασει σε επι ξυλου. *Gen. xl.* 19. 22. *Est. v.* 14. *vi.* 4. *vii.* 10. κεκατηραμενος ὑπο Θεου πας κρεμαμενος επι ξυλου. *Deut. xxi.* 23. δια τουτο ὑπομεινον με, λεγει Κυριος, εις ἡμεραν αναστασεως μου εις μαρτυριον. *Sophon. iii.* 8.

40 Τουτον ὁ Θεος ηγειρε τῃ τριτῃ ἡμερᾳ, και εδωκεν αυτον εμφανη γενεσθαι·

εγερθησονται οἱ εν τοις μνημειοις. *Esa. xxvi.* 19. εμφανες γεγονε το ῥημα τουτο. *Exod. ii.* 14. *Conf. Sap. vi.* 22. *xiv.* 17. *Rom. iv.* 24. 1 *Cor. vi.* 14. 2 *Cor. iv.* 14. *Gal. i.* 1. *Col. ii.* 12.

41 Ου παντι τῳ λαῳ, αλλα μαρτυσι τοις προκεχειροτονημενοις ὑπο του Θεου, ἡμιν, οἱτινες συνεφαγομεν και συνεπιομεν αυτῳ, μετα το αναστηναι αυτον εκ νεκρων·

συμφαγειν αρτον. *Exod. xviii.* 12. συμπιειν τῃ βασιλισσῃ. *Est. vii.* 1. μετα το αποθανειν Εσρων. 1 *Par. ii.* 24. *Conf. Joan. xiv.* 22. *Luc. xxiv.* 30. [ὑπο Θεου χειροτονηθεις. *Philo. de Mos. p.* 611.]

42 Και παρηγγειλεν ἡμιν κηρυξαι τῳ λαῳ, και διαμαρτυρασθαι, ὁτι αὐτος εστιν ὁ ὡρισμενος ὑπο του Θεου κριτης ζωντων και νεκρων.

παραγγειλατε τῳ λαῳ περιελθειν. *Jos. vi.* 6. κηρυξαι αιχμαλωτοις αφεσιν. *Esa. lxi.* 1. και διαμαρτυρῃ αυτοις τα προσταγματα. *Exod. xviii.* 20. Κυριος διεμαρτυρατο αναμεσον σου. *Mal. ii.* 14. *Zach. iii.* 7. ὁτι Θεος κριτης εστι. *Ps. xlix.* 6. *lxxiv.* 7. αυτος. *Conf. Esa. liii.* 5, 7, 12. *Rom. xiv.* 10. 2 *Cor. v.* 10. *Matt. xxv.* 31. *Joan. v.* 27. 2 *Tim. iv.* 1. 8. 1 *Pet. iv.* 5. [αδελφοι οὑτως δει ἡμας φρονειν περι Ιησου Χριστου ὡς περι Θεου, ὡς περι κριτου ζωντων και νεκρων. *Clem. Rom. ii.* 1.] ὡρισμενος. *Luc. xxii.* 22. *Act. ii.* 23.

43 Τουτῳ παντες οἱ προφηται μαρτυρουσιν, αφεσιν ἁμαρτιων λαβειν δια του ονοματος αυτου παντα τον πιστευοντα εις αυτον.

τις Θεος ὡσπερ συ, εξαιρων ανομιας, και ὑπερβαινων ασεβειας; κ. τ. λ. *Mich. vii.* 18, 19. τι μαρτυρησω σοι; *Thren. ii.* 13. οικτιρμων και ελεημων ὁ Κυριος, και αφιησιν ἁμαρτιας. *Sir. ii.* 11. αφεθῃ γαρ αυτοις ἡ ἁμαρτια. *Esa. xxxiii.* 24. *liii.* 4. *Conf. Jer. xxxviii.* 34. *Matt. xxvi.* 28. *Luc. xxiv.* 25. ιδου δεδωκα σε εις διαθηκην γενους, εις φως εθνων, του ειναι σε εις σωτηριαν ἑως εσχατου της γης. *Esa. xlix.* 6. *Ps. cxliv.* 15. *Jer. xxxv.* 8. 2 *Mac. viii.* 15.

44 Ετι λαλουντος του Πετρου τα ῥηματα ταυτα, επεπεσε το Πνευμα το ἁγιον επι παντας τους ακουοντας τον λογον.

ετι αυτου λαλουντος αυτοις. *Gen. xxix.* 9. και επεσεν επ᾽ εμε πνευμα Κυριου. *Ezech. xi.* 5. το Πνευμα το ἁγιον. *Ps. li.* 11.

45 Και εξεστησαν οἱ εκ περιτομης πιστοι ὁσοι συνηλθον τῳ Πετρῳ, ὁτι και επι τα εθνη ἡ δωρεα του ἁγιου Πνευματος εκκεχυται.

και εξεστησαν παντες. 3 *Reg. i.* 49. περιτομῃ περιτμηθησεται ὁ οικογενης. *Gen. xvii.* 12. σοφιαν εξεχεε. *Sir. i.* 10. και εξεχεεν

επ᾽ αυτους το ελεος αυτου. xviii. 11. *και εκχεω απο του* Πνευματος *μου επι πασαν σαρκα, κ. τ. λ. Joel. ii.* 28, 29. *δωρεα της οικιας. Dan. v.* 17. *τα εθνη. Neh. v.* 8, 9. *Esa. ix.* 1. *Jer. x.* 3.

46 Ηκουον *γαρ αυτων λαλουντων γλωσσαις, και μεγαλυνοντων τον* Θεον. Τοτε *απεκριθη ὁ* Πετρος,

μεγαλυνατε τον Κυριον *συν εμοι. Ps. xxxiii.* 3. *Conf. cxi.* 1. *Aq.*

47 Μητι *το ὑδωρ κωλυσαι δυναται τις του μη βαπτισθηναι τουτους, οἱτινες το* Πνευμα *το ἁγιον ελαβον καθως και ἡμεις;*

μητι. Gen. xx. 9. *ουδεις γαρ ὑμων ου μη κωλυσει—του θαψαι τον νεκρον σου. Gen. xxiii.* 6. *και κωλυσαι ὁλοκαυτωματα.* 1 *Mac. i.* 45. *Conf. Gen. xvii.* 24-27. *Rom. iv.* 11. *x.* 12, 13.

48 Προσεταξε *τε αυτους βαπτισθηναι εν τῳ ονοματι του* Κυριου. *τοτε ηρωτησαν αυτον επιμειναι ἡμερας τινας.*

οὑτως γαρ προσεταξεν ὁ βασιλευς ποιησαι. Est. iii. 2. *εν τῳ ονοματι σου αγαλλιασονται. Ps. lxxxviii.* 16. *Conf. Rom. vi.* 3. 1 *Cor. xii.* 13. *Gal. iii.* 27. *Joan. iv.* 40.

ΚΕΦ. *ια.* 11.

ΗΚΟΥΣΑΝ *δε οἱ αποστολοι και οἱ αδελφοι οἱ οντες κατα την* Ιουδαιαν, *ὁτι και τα εθνη εδεξαντο τον λογον του* Θεου.

τοις κατ᾽ Αιγυπτον Ιουδαιοις. 2 *Mac. i.* 1. *δεξαμενος ῥησιν εμης εντολης. Prov. ii.* 1. *και εσται εν τῃ ἡμερᾳ εκεινῃ ἡ ῥιζα του* Ιεσσαι, *και ὁ ανισταμενος αρχειν εθνων, επ᾽ αυτῳ εθνη ελπιουσι, κ. τ. λ. Esa. xi.* 10. *Conf. Ps. xxi.* 27. *Esa. xl.* 9, 10. *Jer. xvi.* 19. *Ose. ii.* 23. *σοφος καρδιᾳ δεξεται εντολας. Prov. x.* 8.

2 Και *ὁτε ανεβη* Πετρος *εις* Ἱεροσολυμα, *διεκρινοντο προς αυτον οἱ εκ περιτομης,*

οἱ αναβαινοντες—εις Ἱερουσαλημ. *Esd. ii.* 1. *διακριθησομαι προς ὑμας. Ezech. xx.* 25. *Joel. iii.* 2. 1 *Reg. xii.* 7. *Sym. ελοιδορειτο προς* Μωυσην. *Exod. xvii.* 2. *οἱ εκ περιτομης. Rom. iv.* 12.

3 Λεγοντες, *ὁτι,* Προς *ανδρας ακροβυστιαν εχοντας εισηλθες, και συνεφαγες αυτοις.*

ὁς εχει ακροβυστιαν. Gen. xxxiv. 14. *ου συνεφαγεν αυτοις αρτον.* 2 *Reg. xii.* 17. *ὁτι. Gen. xxix.* 33. *Jos. ii.* 24. *Conf. Hoogev. p.* 582.]

4 Αρξαμενος *δε ὁ* Πετρος *εξετιθετο αυτοις καθεξης λεγων,*

κριμα δε πραεων εκθησει. *Job.* xxxi. 15. [περι οὑ τον παντα λογον εκθησομαι μετα πολλης ακριβειας. *Jos. Ant.* i. 12. 2.]

5 Εγω ημην εν πολει Ιοππῃ προσευχομενος, και ειδον εν εκστασει ὁραμα, καταβαινον σκευος τι ὡς οθονην μεγαλην, τεσσαρσιν αρχαις καθιεμενην εκ του ουρανου, και ηλθεν αχρις εμου·

εγω ημην προσευχομενος = εστω διαχωριζον. *Gen.* i. 6. *Exod.* vii. 15. *Conf. Dan.* ix. 20. 21. αχρις οὑ. *Job.* xxxii. 11. *Cap.* x. 11.

6 Εις ἡν ατενισας κατενοουν, και ειδον τα τετραποδα της γης και τα θηρια και τα ἑρπετα και τα πετεινα του ουρανου.

Conf. cap. x. 12. κατανοησαι. *Conf. Gen.* iii. 6.

7 Ηκουσα δε φωνης λεγουσης μοι, Αναστας, Πετρε, θυσον και φαγε.

θυσεις, και φαγῃ. *Deut.* xii. 15. *Cap.* x. 13.

8 Ειπον δε, Μηδαμως, Κυριε· ὁτι παν κοινόν η ακαθαρτον ουδεποτε εισηλθεν εις το στομα μου.

κρεας και οινος ουκ εισηλθεν εις το στομα μου. *Dan.* x. 3. *Conf. cap.* x. 14. και εν Ασσυριοις ακαθαρτον φαγονται. *Ose.* ix. 3.

9 Απεκριθη δε μοι φωνη εκ δευτερου εκ του ουρανου, Ἁ ὁ Θεος εκαθαρισε, συ μη κοινου.

Conf. cap. x. 15. Μωυσης ελαλησεν, ὁ δε Θεος απεκρινατο αυτῳ φωνῃ. *Exod.* xix. 19.

10 Τουτο δε εγενετο επι τρις, και παλιν ανεσπασθη ἁπαντα εις τον ουρανον.

συντελειαν εν αγκιστρῳ ανεσπασε. *Hab.* i. 15. *Cap.* x. 16.

11 Και ιδου, εξαυτης τρεις ανδρες επεστησαν επι την οικιαν εν ᾗ ημην, απεσταλμενοι απο Καισαρειας προς με.

ὁ Θεος μου απεστειλε τον αγγελον αυτου, κ.τ.λ. *Dan.* vi. 22.

12 Ειπε δε μοι το Πνευμα, συνελθειν αυτοις, μηδεν διακρινομενον· ηλθον δε συν εμοι και οἱ ἑξ αδελφοι οὑτοι, και εισηλθομεν εις τον οικον του ανδρος·

13 Απηγγειλε τε ἡμιν πως ειδε τον αγγελον εν τῳ οικῳ αὑτου σταθεντα και ειποντα αυτῳ, Αποστειλον εις Ιοππην ανδρας, και μεταπεμψαι Σιμωνα τον επικαλουμενον Πετρον,

14 Ὁς λαλησει ῥηματα προς σε, εν οἱς σωθησῃ συ και πας ὁ
οικος σου.

εισελθε συ και πας ὁ οικος σου εις την κιβωτον. *Gen. vii.* 1.

15 Εν δε τῳ αρξασθαι με λαλειν, επεπεσε το Πνευμα το ἁγιον
επ᾽ αυτους, ὡσπερ και εφ᾽ ἡμας εν αρχῃ.

16 Εμνησθην δε του ῥηματος Κυριου, ὡς ελεγεν, Ιωαννης μεν
εβαπτισεν ὑδατι, ὑμεις δε βαπτισθησεσθε εν Πνευματι ἁγιῳ.

Conf. Matt. iii. 11. *Marc. i.* 8. *Luc. iii.* 16. *Joan. i.* 26.

17 Ει ουν την ισην δωρεαν εδωκεν αυτοις ὁ Θεος ὡς και ἡμιν,
πιστευσασιν επι τον Κυριον Ιησουν Χριστον, εγω δε τις ημην
δυνατος κωλυσαι τον Θεον;

ἱνα απαλλαγεντες της κακιας πιστευσωσιν επι σε, Κυριε. *Sap. xii.* 2. δυνατος εσομαι λαλησαι τι; *Num. xxii.* 38. εαν απαλλαξῃ, τις αποστρεψει; η τις ερει αυτῳ, Τι εποιησας; *Job. ix.* 12. ισην. *Sap. vii.* 6. κωλυσον αυτους, κ. τ. λ. *Num. xi.* 28, 29.

18 Ακουσαντες δε ταυτα ησυχασαν, και εδοξαζον τον Θεον,
λεγοντες, Αρα γε και τοις εθνεσιν ὁ Θεος την μετανοιαν εδωκεν
εις ζωην.

και ἡσυχασαν, και ουχ εὑροσαν λογον. *Neh. v.* 8. *Job. xxxii.* 6. και δοξαζω τον βασιλεα του ουρανου. *Dan. iv.* 34. αραγε. *Gen. xxvi.* 9. οὑτοι εις ζωην αιωνιον. *Dan. xii.* 2. 4 *Mac.* 15. διδως επι ἁμαρτημασι μετανοιαν. *Sap. xii.* 19. *Conf. Ps. xxii.* 27. *Lev. x.* 19, 20. *Jos. xxii.* 20.

19 Οἱ μεν ουν διασπαρεντες απο της θλιψεως της γενομενης επι
Στεφανῳ, διηλθον ἑως Φοινικης και Κυπρου και Αντιοχειας,
μηδενι λαλουντες τον λογον ει μη μονον Ιουδαιοις.

διασπερω ὑμας εις τα εθνη. *Lev. xxvi.* 33. *Ezech. xxii.* 15. λαλησω προς σε εντολας. *Deut. v.* 31. βοησομεθα—απο της θλιψεως. 2 *Par. xx.* 9. *Exod. vi.* 9. και εγενετο θλιψις μεγαλη εν τῳ Ισραηλ, ἡτις ουκ εγενετο αφ᾽ ἡς ἡμερας ουκ ωφθη προφητης εν αυτοις. 1 *Mac. ix.* 27. ελαλησε τον λογον τουτον. 2 *Reg. xiv.* 20.

20 Ησαν δε τινες εξ αυτων ανδρες Κυπριοι και Κυρηναιοι, οἱτι-
νες εισελθοντες εις Αντιοχειαν, ελαλουν προς τους Ἑλληνιστας,
ευαγγελιζομενοι τον Κυριον Ιησουν.

Conf. Ezech. xxvii. 17. και το σωτηριον Κυριου ευαγγελιουνται. *Esa. lx.* 6. επαγγελλων εις ανθρωπους τον Χριστον αυτου. *Amos. iv.* 13. [*Jos. Ant. xii.* 5. *Bell. Jud. vii.* 3. 3.]

21 Και ην χειρ Κυριου μετ᾽ αυτων· πολυς τε αριθμος πιστευσας επεστρεψεν επι τον Κυριον.

ιδου ἡ χειρ μου μετα σου. 2 *Reg. iii.* 12. και επιστραφησῃ επι Κυριον τον Θεον σου. *Deut. xxx.* 2. *Conf. cap. xiii.* 48.

22 Ηκουσθη δε ὁ λογος εις τα ωτα της εκκλησιας της εν Ἱεροσολυμοις περι αυτων· και εξαπεστειλαν Βαρναβαν διελθειν ἑως Αντιοχειας.

ελαλησε παντα τα ῥηματα ταυτα εις τα ωτα αυτων. *Gen. xx.* 8. *l.* 4. ηκουσθη γαρ εις τα ωτα Κυριου σαβαωθ ταυτα. *Esa. v.* 9. 3 *Reg. x.* 6. [Αντιοχειας. *Jos. Bell. Jud. vii.* 3. 3.]

23 Ὁς παραγενομενος και ιδων την χαριν του Θεου, εχαρη, και παρεκαλει παντας τῃ προθεσει της καρδιας προσμενειν τῳ Κυριῳ·

παραγενομενος δε εκει, και συγκαλεσας τους ὁμοεθνεις. 2 *Mac. xv.* 31. πιστοι εν αγαπῃ προσμενουσιν αυτῳ. *Sap. iii.* 9. του βασιλεως προθεσιν επιτελεσων. 2 *Mac. iii.* 8. *Conf. Deut. x.* 20.

24 Ὁτι ην ανηρ αγαθος και πληρης Πνευματος ἁγιου και πιστεως. και προσετεθη οχλος ἱκανος τῳ Κυριῳ.

ὁτι αυτος ην ανηρ αληθης και φοβουμενος τον Θεον παρα πολλους. *Neh. vii.* 2. *Alex.* οἱ φυγαδευοντες—προσετεθησαν αυτοις. 1 *Mac. ii.* 43. και προστεθησεται προς τον οικον Ιακωβ. *Esa. xiv.* 1.

25 Εξηλθε δε εις Ταρσον ὁ Βαρναβας αναζητησαι Σαυλον, και εὑρων αυτον ηγαγεν αυτον εις Αντιοχειαν.

και ηγαγον αυτον προς Ιηου. 2 *Par. xxii.* 9. *xxviii.* 5. αναζητησαι. *Job. iii.* 4. [Ταρσος των πολεων (Κιλικιας) ἡ αξιολογωτατη καλειται, κ. τ. λ. *Jos. Ant. i.* 6. 1.] *Conf. cap. ix.* 11. *xxi.* 39.

26 Εγενετο δε αυτους ενιαυτον ὁλον συναχθηναι εν τῃ εκκλησιᾳ, και διδαξαι οχλον ἱκανον, χρηματισαι τε πρωτον εν Αντιοχειᾳ τους μαθητας Χριστιανους.

ἑως αν πληρωθῃ αυτης ενιαυτος ὁλος. *Lev. xxv.* 30. τοτε συνηχθησαν προς αυτους συναγωγη. 1 *Mac. ii.* 42. [χρηματιζειν Μακεδονας. *Jos. Bell. Jud. ii.* 18. 7.] τοις δε δουλευουσι μοι κληθησεται ονομα καινον, κ.τ.λ. *Esa. lxvi.* 15. [Χριστιανους. *Act. Thom.* 22.] [ἱνα Διος επιφανους νεου χρηματιζῃ Γαϊου. *Philo, Leg. ad Cai. p.* 1040.] κληθησεται γαρ σου το ονομα παρα του Θεου εις τον αιωνα, Ειρηνη δικαιοσυνης, και δοξα θεοσεβειας. *Bar. v.* 4. [ὁ Χριστος οὑτος ην—εις ετι νυν των Χριστιανων απο τουδε ωνομασμενων ουκ επελιπε το φυλον. *Jos. Ant. xviii.* 3. 3.]

27 Εν ταυταις δε ταις ἡμεραις κατηλθον απο Ἱεροσολυμων
προφηται εις Αντιοχειαν.

κατηλθον εις τον οικον μου. *Tob. ii.* 1. *Conf.* 1 *Cor. xii.* 10. 28. *Ephes. iv.* 11. εν ταις ἡμεραις εκειναις. *Jud. xviii.* 1.

28 Αναστας δε εἷς εξ αυτων ονοματι Αγαβος εσημανε δια του
Πνευματος, λιμον μεγαν μελλειν εσεσθαι εφ' ὁλην την οικου-
μενην· ὁστις και εγενετο επι Κλαυδιου Καισαρος.

και νυν εσημανας μοι ὁσα ηξιωσα. *Dan. ii.* 22. *LXX.* επενθησεν ἡ γη και εφθαρη ἡ οικουμενη. *Esa. xxiv.* 4. *xxxiv.* 1. ὁστις. *Conf. Deut. v.* 26. *Jon. iv.* 11. επι του Ευεργετου βασιλεως. *Prol. Sir.* 1 *Esd. ii.* 16. [Κλαυδιου Ῥωμαιων αρχοντος, Ισμαηλου δε παρ' ἡμιν αρχιερεως οντος, και λιμου την χωραν ἡμων καταλαβοντος, κ. τ. λ. *Jos. Ant. iii.* 15. 3. *Krebs.*]

29 Των δε μαθητων καθως ηυπορειτο τις, ὡρισαν ἑκαστος αυ-
των εις διακονιαν πεμψαι τοις κατοικουσιν εν τῃ Ιουδαιᾳ
αδελφοις·

ὡς ἡ δυναμις αυτων εδωκαν εις θησαυρον κ. τ. λ. *Esd. ii.* 69. ἑκαστος κατα δυναμιν των χειρων ὑμων, κ. τ. λ. *Deut. xvi.* 17. *Conf.* 1 *Pet. iv.* 10, 11. εαν δε μη ευπορηθῃ αυτου ἡ χειρ, κ. τ. λ. *Lev. xxv.* 28. απεστειλεν αυτῳ χρυσωματα και διακονιαν. 1 *Mac. xi.* 58. αδελφοις. *Conf. Deut. xv.* 2, 3. *Exod. xxii.* 5. *Ps. cxxxii.* 1. *Rom. xv.* 25. 1 *Cor. xvi.* 1. 2 *Cor. viii.* 9. *Gal. ii.* 10. *Esd. ii.* 68-70. καθως. *Conf. Num. xxvi.* 54. αποστειλον τον αρτον σου επι προσωπον του ὑδατος, ὁτι εν πληθει ἡμερων εὑρησεις αυτον. *Eccles. xi.* 1, 2. *Conf.* 2 *Mac. i.* 1. 1 *Mac. xii.* 11.

30 Ὁ και εποιησαν, αποστειλαντες προς τους πρεσβυτερους
δια χειρος Βαρναβα και Σαυλου.

και απεστειλεν εν Σαμαρειᾳ προς—τους πρεσβυτερους. 4 *Reg. x.* 1. εδωκε δια χειρος Ιωσηφ. *Gen. xxxix.* 4. εκ των ὑπαρχοντων σοι ποιει ελεημοσυνην, κ. τ. λ. *Tob. iv.* 7, 8. δανειζει Θεῳ ὁ ελεων πτωχον, κατα δε το δομα αυτου ανταποδωσει αυτῳ. *Prov. xix.* 17.

ΚΕΦ. ιβ. 12.

ΚΑΤ' εκεινον δε τον καιρον επεβαλεν Ἡρωδης ὁ βασιλευς
τας χειρας κακωσαι τινας των απο της εκκλησιας.

κατα τους Ιησου χρονους. 2 *Mac. xii.* 15. [*Conf. Jos. Ant. xix.* 5. 1. *xx.* 8. 1. *Philo in Flac. p.* 968. Γαϊος Καισαρ, Αγριππᾳ τῳ Ἡρω-

δου βασιλεως υἱονῳ, κ. τ. λ. *Loesner.*] και Βαλακ—βασιλευς—ην κατα τον καιρον εκεινον. *Num. xxii.* 4. μη επιβαλῃς την χειρα σου επι το παιδαριον· *Gen. xxii.* 12. *Deut. xii.* 7. και δουλωσουσιν αυτους και κακωσουσι. *xv.* 13. των απο της εκκλησιας. *Conf. cap. xv.* 5. *xxvii.* 44. [*Herodes—utrius Antipas an Agrippa Major disputatur. Conf. Kuinoel in cap. xii.* 1.]

2 Ανειλε δε Ιακωβον τον αδελφον Ιωαννου μαχαιρᾳ.

ανελω τῃ μαχαιρᾳ μου. *Exod. xv.* 9. *Conf. Matt. iv.* 21. *xx.* 20-23. *Marc. x.* 35-38. [*Conf. Krebs. ad loc.*]

3 Και ιδων ὁτι αρεστον εστι τοις Ιουδαιοις, προσεθετο συλλαβειν και Πετρον· (ησαν δε ἡμεραι των αζυμων·)

εποιησε γαρ—το αρεστον κυριῳ. *Sir. xlviii.* 22. προσεθετο τεκειν. *Gen. iv.* 2. *Ald. Comp.* συλλαβειν. *Jud. vii.* 25. ἑπτα ἡμερας αζυμα εδεσθε. *Lev. xxiii.* 6-14. [*Jos. Ant. iii.* 10. 5. *Bell. Jud. iv.* 7. 2.]

4 Ὁν και πιασας εθετο εις φυλακην, παραδους τεσσαρσι τετραδιοις στρατιωτων φυλασσειν αυτον, βουλομενος μετα το πασχα αναγαγειν αυτον τῳ λαῳ.

πιασατε ἡμιν αλωπεκας μικρους. *Cant. ii.* 15. και απεθεντο αυτον εις φυλακην. *Lev. xxiv.* 12. εσται ὑμιν το πασχα. *Ezech. xlv.* 21. και δημοσιᾳ περιαγοντες αυτας την πολιν. 2 *Mac. vi.* 10. *Conf. Matt. xxvi.* 5. και εβουλευσατο αφανισαι παντας τους ὑπο την Αρταξερξου βασιλειαν Ιουδαιους, κ. τ. λ. *Est. iii.* 5. *Prov. xix.* 21. [Βασσος—στρατιωτην τινα των εν τοις τετραδιοις φυλακων καθ' ὁδον εὑρων. *Philo in Flac. p.* 981.]

5 Ὁ μεν ουν Πετρος ετηρειτο εν τῃ φυλακῃ· προσευχη δε ην εκτενης γινομενη ὑπο της εκκλησιας προς τον Θεον ὑπερ αυτου.

προσευξαι ὑπερ των δουλων σου προς Κυριον. 1 *Reg. xii.* 19. τουτων μεν ουν εκτενως ἡ λιτανεια ανεβαινεν εις ουρανον. 3 *Mac. v.* 9.

6 Ὁτε δε εμελλεν αυτον προαγειν ὁ Ἡρωδης, τῃ νυκτι εκεινῃ ην ὁ Πετρος κοιμωμενος μεταξυ δυο στρατιωτων, δεδεμενος ἁλυσεσι δυσι, φυλακες τε προ της θυρας ετηρουν την φυλακην.

μιᾳ γαρ ἁλυσει σκοτους παντες εδεθησαν. *Sap. xvii.* 17. εμελλεν. *Sap. xiv.* 1. [Ἡρωδης—προαγων εις εκκλησιαν, τριακοσιους τε των ἡγεμονων τους εν αιτιᾳ γενομενους, κ. τ. λ. *Jos. Ant. xvi.* 11. 6. *Krebs.*] οἱ τηρουντες. *Cant. iii.* 3. φυλακες. *Sym.* φυλασσοντες. *Aq.* πασῃ φυλακῃ τηρει σην καρδιαν. *Prov. iv.* 23. και απεταξεν εκει φρουραν τηρειν αυτην. 1 *Mac. vi.* 50. *iv.* 61.

7 Και ιδου, αγγελος Κυριου επεστη, και φως ελαμψεν εν τῳ

οικηματι· παταξας δε την πλευραν του Πετρου, ηγειρεν αυτον λεγων, Αναστα εν ταχει. Και εξεπεσον αυτου αἱ ἁλυσεις εκ των χειρων.

και ιδου ὁ αγγελος κατεβη προς αυτον. 4 *Reg. vi.* 33. ιδου ελυσα σε απο των χειροπεδων, κ.τ.λ. *Jer. xlvii.* 4. *Dan. iii.* 24. *Ps. civ.* 18-20. *Job. i.* 14. *Zach. ii.* 3. φως λαμψει εφ᾽ ὑμας. *Esa. ix.* 2. 2 *Reg. xxii.* 29. *Mich. vii.* 9. και τα ενεδρα εξαναστησονται εν ταχει. *Jos. viii.* 18. οικια φυλακης. *Jer. xxxvii.* 17, 20. *Conf. Gen. xix.* 15. και εκοιμηθη—και ιδου τις ἡψατο κ. τ. λ. 3 *Reg. xix.* 5-8.

8 Ειπε τε ὁ αγγελος προς αυτον, Περιζωσαι, και ὑποδησαι τα
σανδαλια σου· εποιησε δε οὑτω. και λεγει αυτῳ, Περιβαλου
το ἱματιον σου, και ακολουθει μοι.

και συ περιζωσαι την οσφυν σου, και αναστηθι. *Jer. i.* 17. και τα σανδαλια σου ὑπολυσαι απο των ποδων σου. *Esa. xx.* 8. γυμνον περιεβαλει ἱματιον. *Ezech. viii.* 7. 16. *Alex. Ald. Comp.* ὑπεδησαν. 2 *Par. xxviii.* 15. οὑτως εποιησε. *Conf. Gen. vi.* 22.

9 Και εξελθων ηκολουθει αυτῳ· και ουκ ῃδει ὁτι αληθες εστι
το γινομενον δια του αγγελου, εδοκει δε ὁραμα βλεπειν.

ουκ ῃδει δε Ιακωβ, ὁτι Ῥαχηλ. *Gen. xxxi.* 32. και ειδον εν ὁραματι. *Dan. viii.* 2. *Ald. Comp. Conf. Ps. cxxv.* 1. *Gen. xlv.* 26.

10 Διελθοντες δε πρωτην φυλακην και δευτεραν, ηλθον επι την
πυλην την σιδηραν, την φερουσαν εις την πολιν, ἡτις αυτοματη
ηνοιχθη αυτοις· και εξελθοντες προηλθον ῥυμην μιαν, και ευθεως
απεστη ὁ αγγελος απ᾽ αυτου.

πνευμα Κυριου απεστη απο Σαουλ. 1 *Reg. xvi.* 14. *Conf. Gen. xl.* 5. *xliii.* 17. *Num. xv.* 34. *Esa. xxi.* 8.

11 Και ὁ Πετρος γενομενος εν ἑαυτῳ ειπε, Νυν οιδα αληθως ὁτι
εξαπεστειλε Κυριος τον αγγελον αὑτου, και εξειλετο με εκ
χειρος Ἡρωδου και πασης της προσδοκιας του λαου των Ιουδαιων.

γενομενος εν ἑαυτῳ. *Conf. Luc. xv.* 17. εγνωκα ὁτι συ ανθρωπος Θεου, κ. τ. λ. 3 *Reg. xvii.* 24. εξελεσθε πενητα—εκ χειρος ἁμαρτωλου. *Ps. lxxxi.* 4. και μη καταισχυνης με απο της προσδοκιας μου. *cxviii.* 116. *Gen. xlix.* 10. *Conf. Dan. ii.* 47. ὁς απεστειλε τον αγγελον αυτου, και εξειλατο τους παιδας αυτου, κ. τ. λ. *iii.* 28. *vi.* 22.

12 Συνιδων τε ηλθεν επι την οικιαν Μαριας της μητρος Ιωαννου

του επικαλουμενου Μαρκου, οὗ ησαν ἱκανοι συνηθροισμενοι και προσευχομενοι.

συνιδων—την των πληθων παρουσιαν. 2 *Mac. v.* 21. *Δανιηλ, οὗ το ονομα επεκληθη Βαλτασαρ.* *Dan. x.* 1. *πασα ἡ συναγωγη σου ἡ συνηθροισμενη προς τον Θεον.* *Num. xvi.* 11. *συναθροισθεντες ανεβαινετε εις το ορος.* *Deut. i.* 41. *ἱκανοι.* 1 *Mac. xiii.* 49.

13 Κρουσαντος δε του Πετρου την θυραν του πυλωνος, προσηλθε παιδισκη ὑπακουσαι, ονοματι Ῥοδη·

κρουοντες επι την θυραν. *Jud. xix.* 22. *παρα την θυραν του πυλωνος.* *xviii.* 16. *Alex. Ald. Comp. Ezech. xl.* 11. *εκαλεσε αυτον και ουχ ὑπηκουσε.* *Cant. v.* 7. *Luc. xiii.* 25.

14 Και επιγνουσα την φωνην του Πετρου, απο της χαρας ουκ ηνοιξε τον πυλωνα, εισδραμουσα δε απηγγειλεν ἑσταναι τον Πετρον προ του πυλωνος.

εισδραμων. 2 *Mac. v.* 26. *και επεγνω Σαουλ την φωνην Δαυιδ.* 1 *Reg. xxvi.* 17. *Conf. Gen. xlv.* 26. *Matt. xxviii.* 8. *Luc. xxiv.* 41.

15 Οἱ δε προς αυτην ειπον, Μαινῃ. Ἡ δε διϊσχυριζετο οὑτως εχειν. Οἱ δ᾽ ελεγον, Ὁ αγγελος αυτου εστιν.

και τα μεν της Αντιοχου—τελευτης οὑτως ειχε. 2 *Mac. x.* 9. *παντι ανθρωπῳ προφητευοντι, και παντι ανθρωπῳ μαινομενῳ.* *Jer. xxxvi.* 26. *Gen. xlviii.* 16. [*διϊσχυριζετο.* *Jos. Ant. ii.* 6. 4.]

16 Ὁ δε Πετρος επεμενε κρουων· ανοιξαντες δε ειδον αυτον, και εξεστησαν.

[*απειθων επιμενει.* *Philo de Agric. p.* 197. *και ὁρωσα επιμεινον.* *de Gigant. p.* 290.]

17 Κατασεισας δε αυτοις τῃ χειρι σιγαν, διηγησατο αυτοις πως ὁ Κυριος αυτον εξηγαγεν εκ της φυλακης. ειπε δε, Απαγγειλατε Ιακωβῳ και τοις αδελφοις ταυτα. Και εξελθων επορευθη εις ἑτερον τοπον.

[*κατασειων τας χειρας, και μενειν ὑποσημαινων, εβοηδρομει.* *Philo de Jos. p.* 556.] *Conf. Ps. lxv.* 16. *ci.* 20.

18 Γενομενης δε ἡμερας, ην ταραχος ουκ ολιγος εν τοις στρατιωταις, τι αρα ὁ Πετρος εγενετο.

και γινεται ἡ ἡμερα. *Reg. xiv.* 1. *ταραχος μεγας σφοδρα.* 1 *Reg. v.* 9. *εθνη—ουκ ολιγα.* *Esa. x.* 7. Κυριε οὑτος δε τι; (*subaud.* γενησεται.) *Joan. xxi.* 21. *Kypke.* = *Ps. viii.* 4. *τι εστιν ανθρωπος;*

19 Ἡρωδης δε επιζητησας αυτον και μη εὑρων, ανακρινας τους φυλακας, εκελευσεν απαχθηναι· και κατελθων απο της Ιουδαιας εις την Καισαρειαν διετριβεν.

απαχθηναι. Addit. Est. xii. 3. 1 *Mac. ii.* 9. *διετριβε. Jer. xlii.* 7. [*κελευει τον ανθρωπον εις ειρκτην απαγαγειν. Philo de Jos. p.* 534.] [*Καισαρειαν. Jos. Bell. Jud. iii.* 8. 1. 7.]

20 Ην δε ὁ Ἡρωδης θυμομαχων Τυριοις και Σιδωνιοις· ὁμοθυμαδον δε παρησαν προς αυτον, και πεισαντες Βλαστον τον επι του κοιτωνος του βασιλεως, ῃτουντο ειρηνην δια το τρεφεσθαι αυτων την χωραν απο της βασιλικης.

οἱ επι της βασιλειας, (sc. οντες). Dan. vi. 7. *κοιτων. Exod. viii.* 3. 2 *Reg. iv.* 7. *Conf.* 3 *Reg. v.* 9–11. *Ezech. xxvii.* 17. *Esa. xxiii.* 1–4. 1 *Mac. xiii.* 15. [*Ἡρωδης πολλοις χρημασι πειθει τον Αντονιον. Jos. Ant. xiv.* 16. 4.] = *δια το προσκεισθαι αυτον. Deut. i.* 36.

21 Τακτῃ δε ἡμερᾳ ὁ Ἡρωδης ενδυσαμενος εσθητα βασιλικην, και καθισας επι του βηματος, εδημηγορει προς αυτους.

εις χρονον—τακτον. Job. xii. 5. *Exod. xxix.* 43. 2 *Reg. xx.* 5. *εστη —επι βηματος—εις το δημηγορησαι. Neh. viii.* 6. [*δευτερᾳ δε των θεωριων ἡμερᾳ στολην ενδυσαμενος κ.τ.λ. Jos. Ant. xix.* 8. 2.]

22 Ὁ δε δημος επεφωνει, Θεου φωνη και ουκ ανθρωπου.

[*ὁ κληθεις αθανατος ὑφ' ὑμων. Jos. Ant. xix.* 8. 2.]

23 Παραχρημα δε επαταξεν αυτον αγγελος Κυριου, ανθ' ὡν ουκ εδωκε την δοξαν τῳ Θεῳ· και γενομενος σκωληκοβρωτος, εξεψυξεν.

και αγγελος Κυριου εκθλιβων αυτους. Ps. xxxiv. 5, 6. *και επαταξε Κυριος τον Ναβαλ, και απεθανε.* 1 *Reg. xxv.* 38. *ανθ' ὡν ὑπηκουσεν Ἁβρααμ—της εμης φωνης. Gen. xxvi.* 5. *σκωληκοβρωτος. Conf.* 2 *Mac. ix.* 5–9. *και εκψυξει πασα σαρξ. Ezech. xxi.* 7. *και εξεψυξε και απεθανε. Jud. iv.* 21. *Alex. Ald. O. Comp. Conf. Sir. xi.* 4. [*τῳ της γαστρος αλγηματι διεργασθεις τον βιον κατεστρεψε. Jos. Ant. xix.* 8. 2.] *ανθ' ὡν. Ezech. v.* 11. *Judith. vii.* 15. *Conf. Viger. p.* 22. *και απεστειλεν ὁ Θεος αγγελον εις Ἱερουσαλημ του εξολοθρευσαι αυτην.* 1 *Par. xxi.* 15. 2 *Mac. ix.* 1–10. [*Jos. Ant. xvii.* 8.]

24 Ὁ δε λογος του Θεου ηυξανε και επληθυνετο.

και αυξηθησονται και πληθυνθησονται. Jer. xxiii. 3. *Conf. Esa. lv.* 11. *Col. i.* 6. *Dan. ii.* 44, 45. *εν τοποις ασεβων στενουσι δικαιοι. εν δε τῃ εκεινων απωλειᾳ πληθυνθησονται δικαιοι. Prov. xxviii.* 28. *λογον συντελων και συντεμνων εν δικαιοσυνῃ, ὁτι λογον συντετμημενον Κυριος ποιησει εν τῃ οικουμενῃ ὁλῃ. Esa. x.* 2, 3. *Conf.* 1 *Mac. ix.* 55, 56. 2 *Reg. xxiv.* 16. *το δε ῥημα του Θεου ἡμων μενει εις τον αιωνα. Esa. xl.* 8.

25 Βαρναβας δε και Σαυλος ὑπεστρεψαν εξ Ἱερουσαλημ, πλη-

ρωσαντες την διακονιαν, συμπαραλαβοντες και Ιωαννην τον επικληθεντα Μαρκον.

και απεστρεψαν εξ αγρου. *Ruth.* i. 6. *Jos.* ii. 23. *πασαν την βουλην σου πληρωσαι.* *Ps.* xx. 4. *συμπαραλαμβανοντες ἁμα και τας τρεις αδελφας αυτων.* *Job.* i. 4. [*οἱ δε πληρωσαντες αυτο.* *Philo in Flac.* p. 985.]

Dec. 8. 1851.

Aug. 30. 1855.

ΚΕΦ. ιγ. 13.

ΗΣΑΝ *δε τινες εν Αντιοχειᾳ κατα την ουσαν εκκλησιαν προφηται και διδασκαλοι, ὁ τε Βαρναβας και Συμεων ὁ καλουμενος Νιγερ, και Λουκιος ὁ Κυρηναιος, Μαναην τε Ἡρωδου του τετραρχου συντροφος, και Σαυλος.*

Φιλιππος ὁ συντροφος αυτου. 2 *Mac.* ix. 29. Ιουδας ὁ καλουμενος Μακκαβαιος. 1 *Mac.* iii. 1. [Ἡρωδου του τετραρχου. *Jos. Ant.* xiv. 13. 1.]

2 *Λειτουργουντων δε αυτων τῳ Κυριῳ και νηστευοντων, ειπε το Πνευμα το ἁγιον, Αφορισατε δη μοι τον τε Βαρναβαν και τον Σαυλον εις το εργον ὁ προσκεκλημαι αυτους.*

και το παιδαριον Σαμουηλ ην λειτουργων τῳ Κυριῳ. 1 *Reg.* iii. 1. ποιον πνευμα Κυριου το λαλησαι εν σοι; 3 *Reg.* xxii. 24. Θεος ὑμων, ὁς αφορισας ὑμας απο παντων των εθνων. *Lev.* xx. 26. *δη, nunc, agedum. Conf. Sir.* xlii. 15. *Gen.* xviii. 4. *Num.* viii. 11-16. και ευαγγελιζομενοι, οὑς Κυριος προσκεκληται. *Joel.* ii. 32. *Conf. Job.* xvii. 14. *Sap.* i. 16. *Rom.* i. 1. *Gal.* i. 15. *Ephes.* iii. 8. και εδωκα το προσωπον μου προς Κυριον τον Θεον, του εκζητησαι προσευχην και δεησεις εν νηστειαις και σακκῳ. *Dan.* ix. 3. ὁ Θεος—προσκεκληται ἡμας. *Exod.* iii. 18.

3 *Τοτε νηστευσαντες και προσευξαμενοι, και επιθεντες τας χειρας αυτοις, απελυσαν.*

επιθησουσιν οἱ πρεσβυτεροι—τας χειρας αυτων. *Lev.* iv. 15. *et pass. Conf. cap.* vi. 6. viii. 15. απελυσαν. *Gen.* xix. 2.

4 *Οὑτοι μεν ουν εκπεμφθεντες ὑπο του Πνευματος του ἁγιου, κατηλθον εις την Σελευκειαν, εκειθεν τε απεπλευσαν εις την Κυπρον.*

εκπεμψατε με, ἱνα απελθω προς τον κυριον μου. *Gen.* xxiv. 54. 56.

5 *Και γενομενοι εν Σαλαμινι, κατηγγελλον τον λογον του Θεου εν ταις συναγωγαις των Ιουδαιων· ειχον δε και Ιωαννην ὑπηρετην.*

απαγγελω την αληθειαν σου εν τῳ στοματι μου. Ps. lxxxviii. 1. *ὑπηρεται (reges) οντες της αυτου (Θεου) βασιλειας. Sap. vi.* 4. *απαγγελλων εις ανθρωπους τον Χριστον αυτου. Amos. iv.* 13.

6 Διελθοντες δε την νησον αχρι Παφου, εὑρον τινα μαγον ψευ-
δοπροφητην Ιουδαιον, ᾡ ονομα Βαριησους,

και τους ψευδοπροφητας—εξαρω απο της γης. Zach. xiii. 2. *Conf. cap. viii.* 9. *Exod. xxii.* 18. *ᾡ ονομα Ιωβ. Job. i.* 1.

7 Ὁς ην συν τῳ ανθυπατῳ Σεργιῳ Παυλῳ, ανδρι συνετῳ. οὑτος
προσκαλεσαμενος Βαρναβαν και Σαυλον, επεζητησεν ακουσαι
τον λογον του Θεου.

εν πασῃ κτησει σου κτησαι συνεσιν. Prov. iv. 7. *ανηρ συνετος θρονος αισθησεως. xii.* 23. *ακουσατε λογον Κυριου. Esa. i.* 10.

8 Ανθιστατο δε αυτοις Ελυμας, (ὁ μαγος· οὑτω γαρ μεθερμη-
νευεται το ονομα αυτου·) ζητων διαστρεψαι τον ανθυπατον απο
της πιστεως.

και εληφθης, ὁτι τῳ Κυριῳ αντεστης. Jer. xxvii. 24. *διαστρεφετε τον λαον απο των εργων; Exod. v.* 4. 3 *Reg. xviii.* 17. *και παντα τα ορθα διαστρεφοντες. Mich. iii.* 9. *Prov. xi.* 20. *Conf.* 2 *Tim. iii.* 8. *Exod. vii.* 11. Ελυμας, *ὁ μαγος (τουτ' εστιν subaud.) = αββα ὁ πατηρ. Rom. viii.* 15. [*αναχωρει εις Μαδιαμ, την κρισιν. Philo. p.* 63. *Loesner.*] *Conf. Matt. i.* 23. *xvi.* 18. *Marc. iii.* 17. *Apoc. ix.* 11. 1 *Reg. vii.* 12. *Gen. xxii.* 14.

9 Σαυλος δε, (ὁ και Παυλος,) πλησθεις Πνευματος ἁγιου, και
ατενισας εις αυτον

ὁ δε συντηρων αυτην πλησθησεται πνευματος. Prov. xv. 4. *Conf. Luc. i.* 15. *ατενισας.* 1 *Esd. vi.* 28. *Mich. iii.* 8. *Gen. xli.* 38.

10 Ειπεν, Ω πληρης παντος δολου και πασης ῥαδιουργιας, υἱε
διαβολου, εχθρε πασης δικαιοσυνης, ου παυσῃ διαστρεφων τας
οδους Κυριου τας ευθειας;

ω πολις αἱματων, ὁλη ψευδης αδικιας πληρης. Nah. iii. 1. *ω ὁ πλεονεκτων πλεονεξιαν κακην. Hab. ii.* 9. *ουαι εθνος ἁμαρτωλον, λαος πληρης ἁμαρτιων. Esa. i.* 4. *πληρης δολου. Sir. xix.* 22. *υἱος ανομιας. Ps. lxxxviii.* 22. *υἱος θανατου.* 2 *Reg. ii.* 15. *ὁ διαβολος. Sap. ii.* 24. *εχθροι του Κυριου. xxxvi.* 20. *ου παυσομαι ευλογων σε. Esa. xxxviii.* 20. *ὁ δε διαστρεφων τας ὁδους αυτου. Prov. x.* 9. *Mich. iii.* 9. *Conf. Ezech. xiii.* 20. *ευθης ὁ λογος του Κυριου. Ps. xxxii.* 4. *cxviii.* 151. *ὡδηγησεν αυτους εις ὁδον ευθειαν. cvi.* 7. *Prov. xx.* 24. *ὁτι ευθειαι αἱ ὁδοι του Κυριου. Ose. xiv.* 10. *Conf. Matt. xiii.* 38. *Joan. viii.* 44. 1 *Joan. iii.* 8. *Eccles. ix.* 3. *Jer. xxiii.* 36.

11 Και νυν ἰδου, χειρ του Κυριου επι σε, και εσῃ τυφλος, μη
βλεπων τον ἡλιον αχρι καιρου. Παραχρημα δε επεπεσεν επ᾽
αυτον αχλυς και σκοτος, και περιαγων εζητει χειραγωγους.

και νυν ἰδου. *Exod. xiii.* 9. και ἡ χειρ του Θεου ην επ᾽ αυτοις. *Deut. ii.* 15. *Ruth. i.* 13. *Job. xix.* 21. και ἰδου φοβος σκοτεινος μεγας επιπτει αυτῳ. *Gen. xv.* 12. *Conf. Esa. xxix.* 10. *lix.* 10. τους δε ανδρας τους οντας επι της θυρας του οικου επαταξαν εν αορασιᾳ, κ. τ. λ. *Gen. xix.* 11. τυφλος, μη βλεπων = *Deut. ix.* 7.

12 Τοτε ἰδων ὁ ανθυπατος το γεγονος, επιστευσεν, εκπλησ-
σομενος επι τῃ διδαχῃ του Κυριου.

δυναμει και ενεργειᾳ εκπλαγεντες. *Sap. xiii.* 4. *Ald. Comp.* [διδαχη αντι του διδασκαλια. *Suid.*] ανθυπατος. *Conf. Kuinoel.*

13 Αναχθεντες δε απο της Παφου οἱ περι τον Παυλον, ηλθον
εις Περγην της Παμφυλιας. Ιωαννης δε αποχωρησας απ᾽ αυ-
των ὑπεστρεψεν εις Ἱεροσολυμα.

οἱ περι τον Νεεμιαν. 2 *Mac. i.* 33. τα κατα Νικανορα, και τους περι Τιμοθεον. *ix.* 3. *Ezech. xxxviii.* 6. *xxxix.* 4. αποχωρουσιν εις το οπισω. *Jer. xxvi.* 5. *Conf. cap. xv.* 38.

14 Αυτοι δε διελθοντες απο της Περγης, παρεγενοντο εις Αν-
τιοχειαν της Πισιδιας, και εισελθοντες εις την συναγωγην τῃ
ἡμερᾳ των σαββατων, εκαθισαν.

ἑως παρεγενοντο εις μερος της Φοινικης. *Exod. xvi.* 35. προσοισει —τῳ Κυριῳ εν ἡμερᾳ των σαββατων. *Ezech. xlvi. Exod. xx.* 10. [ἑβδομη ἡμερα, ἡτις σαββατα καλειται. *Jos. Ant. iii.* 10. 1.]

15 Μετα δε την αναγνωσιν του νομου και των προφητων, απεσ-
τειλαν οἱ αρχισυναγωγοι προς αυτους, λεγοντες, Ανδρες αδελ-
φοι, ει εστι λογος εν ὑμιν παρακλησεως προς τον λαον, λεγετε.

εστη Εσδρας—και αναγνωστης του νομου. 1 *Esd. ix.* 42. εν τῃ αναγνωσει. *Neh. viii.* 8. ὁ νομος και αἱ προφητειαι. *Prol. Sir.* γραψω αυτοις καγω λογους παρακλησεως. 1 *Mac. x.* 24. αρχων της συναγωγης. *Luc. viii.* 41. παρακλησιν εχοντες τα βιβλια τα ἁγια τα εν ταις χερσιν ἡμων. 1 *Mac. xii.* 9.

16 Αναστας δε Παυλος, και κατασεισας τῃ χειρι, ειπεν, Αν-
δρες Ισραηλιται, και οἱ φοβουμενοι τον Θεον, ακουσατε.

Conf. Act. xii. 17. *xix.* 33. *Num. xiv.* 34. *Ps. xciii.* 12. *lxxvii.* 1. οἱ φοβουμενοι Κυριον. *Ps. xxi.* 23. *cxiii.* 19. 3 *Reg. viii.* 30. παιδες Ισραηλιται. 4 *Mac. xviii.* ακουσατε ταυτα. *Ps. xlviii.* 1. [ανδρες Ισραηλιται. *Jos. Ant. iii.* 8. 1. Ιουδαιων και σεβομενων. *xiv.* 7. 2.]

17 Ὁ Θεος του λαου τουτου Ισραηλ εξελεξατο τους πατερας
ἡμων· και τον λαον ὑψωσεν εν τῃ παροικιᾳ εν γῃ Αιγυπτῳ, και
μετα βραχιονος ὑψηλου εξηγαγεν αυτους εξ αυτης·

εσεσθε μοι λαος περιουσιος. *Exod. xix.* 5. ἱλεως γενου τῳ λαῳ σου Ισραηλ. *Deut. xxi.* 8. συ εξελεξω εν Ἀβραμ, και εξηγαγες αυτον. *Neh. ix.* 7. *Exod. vi.* 6. *Deut. v.* 15. και οὑτος εσται εις λαον, και οὑτος ὑψωθησεται. *Gen. xlviii.* 19. εν βραχιονι ὑψηλῳ εκβαλει αυτους. *Exod. vi.* 1. 6. οἱ ελθοντες απο της αιχμαλωσιας υἱοι της παροικιας. *Esd. viii.* 34. και κατεβη Ἀβραμ εις Αιγυπτον παροικησαι εκει. *Gen. xii.* 10. καὶ ὑψωθη. *Gen. xxiv.* 35. *Esa. xliv.* 1, 2. *lxiii.* 9. *Conf. Zach. ix.* 12. *Sap. xix.* 10. *Sir. xliv.* 21. ὁ ποιησας τους πατερας εκλεκτους, κ. τ. λ. 2 *Mac. i.* 25.

18 Και ὡς τεσσαρακονταετη χρονον ετροποφορησεν αυτους εν
τῃ ερημῳ·

και εν τῃ ερημῳ ταυτῃ—ὡς τροφοφορησει σε Κυριος. *Deut. i.* 31. [*Alex. Comp.* ετροποφορησε σε.] 2 *Mac. vii.* 27. μετα δε τριετη χρονον. 2 *Mac. iv.* 23. εφαγον το μαν ετη τεσσαρακοντα. *Exod. xvi.* 35. τεσσαρακοντα ετη προσωχθισα τῃ γενεᾳ εκεινῃ, κ. τ. λ. *Ps. xciv.* 10. *Conf. Num. xiv.* 34. *Heb. iii.* 17. [*Jos. Ant. iii.* 15.]

19 Και καθελων εθνη ἑπτα εν γῃ Χανααν, κατεκληροδοτησεν
αυτοις την γην αυτων.

ἑπτα εθνη πολλα και ισχυροτερα ὑμων. *Deut. vii.* 1. και κατακληροδοτησαι την γην αυτων. 1 *Mac. iii.* 36. εν γῃ Χανααν. *Gen. xvi.* 3. *Conf. Jos. xiv.* 1, 2. *Exod. iii.* 8. *Num. xxvi.* 55. [*Jos. Ant. iv. v.*]

20 Και μετα ταυτα, ὡς ετεσι τετρακοσιοις και πεντηκοντα,
εδωκε κριτας ἑως Σαμουηλ του προφητου·

και μετα ταυτα εισηλθε Μωυσης. *Exod. v.* 1. και ηγειρε Κυριος κριτας, και εσωσεν αυτους. *Jud. ii.* 16-18. και Ναθαν ὁ προφητης. 3 *Reg. i.* 45. πιστος Σαμουηλ εις προφητην τῳ Κυριῳ. 1 *Reg. iii.* 20.

21 Κακειθεν ητησαντο βασιλεα, και εδωκεν αυτοις ὁ Θεος τον
Σαουλ υἱον Κις, ανδρα εκ φυλης Βενιαμιν, ετη τεσσαρακοντα·

αιτησαντες ἑαυτοις βασιλεα. 1 *Reg. xii.* 13. 17. Κις—και τουτῳ υἱος, και ονομα αυτῳ Σαουλ. *ix.* 1, 2. ανηρ εξ υἱων Βενιαμιν. *Id.* εκ γης Βενιαμιν. *v.* 16. *Conf. Ose. xiii.* 11. [ην δε τις εκ της Βενιαμιτιδος φυλης—Κισης ονομα· τουτῳ παις ὑπηρχε—Σαυλον εκαλουν αυτον, κ. τ. λ. *Jos. Ant. vi.* 4. 1.]

22 Και μεταστησας αυτον, ηγειρεν αυτοις τον Δαβιδ εις βα-
σιλεα, ᾧ και ειπε μαρτυρησας, Εὑρον Δαβιδ τον του Ιεσσαι,

ανδρα κατα την καρδιαν μου, ὁς ποιησει παντα τα θεληματα μου.

καθιστα βασιλεις, και μεθιστα. Dan. ii. 21. *και ηγειρεν αυτοις σωτηρα. Jud. iii.* 15. [*Alex.* Κυριον *σωτηρα. O. Ald. Comp.* Κυριος *σωτηρα.*] *του γενεσθαι με εις βασιλεα.* 1 *Par. xxviii.* 4. *εὑρον Δαυιδ του δουλον μου. Ps. lxxxviii.* 20. *και ζητησει* Κυριος *ἑαυτῳ ανθρωπον κατα την καρδιαν αυτου.* 1 *Reg. xiii.* 14. *και παντα τα θεληματα μου ποιησει. Esa. xliv.* 28. *Conf. Act. vii.* 45. [*εγω μεν μαρτυρω σοι. Jos. Ant. vi.* 14. 6.] *τι μαρτυρησω σοι; Thren. ii.* 13. *εν εμοι ηθελησε του γενεσθαι με εις βασιλεα.* 1 *Par. xxviii.* 4. *Conf. Ezech. xxxvii.* 22. *CITAT.* 127. *Zach. xii.* 8.

23 *Τουτου ὁ Θεος απο του σπερματος κατ᾽ επαγγελιαν ηγειρε τῳ* Ισραηλ *σωτηρα* Ιησουν,

συ γαρ ει Θεος—ὁ Θεος του Ισραηλ, *σωτηρ. Esa. xlv.* 15. *και ποιων ελεος τῳ* Χριστῳ *αυτου τῳ* Δαυιδ, *και τῳ σπερματι αυτου ἑως αιωνος.* 2 *Reg. xxii.* 51. *και αναστησω το σπερμα μου μετα σε—και ἑτοιμασω την βασιλειαν αυτου. vii.* 12. *ἑως του αιωνος ἑτοιμασω το σπερμα σου. Ps. lxxxviii.* 4. *Esa. xi.* 1. *Conf. Matt. i.* 1. *Luc. i.* 32. *Jer. xxiii.* 5. *Amos. ix.* 11. *ἁπαξ ωμοσα εν τῳ ἁγιῳ μου, ει τῳ* Δαυιδ *ψευσομαι, κ. τ. λ. Ps. lxxxviii.* 35, 36.

24 *Προκηρυξαντος* Ιωαννου *προ προσωπου της εισοδου αυτου βαπτισμα μετανοιας παντι τῳ λαῳ* Ισραηλ.

και επιβλεψεται ὁδον προ προσωπου μου. Mal. iii. 1. *Lev. xviii.* 24. *και τις ὑπομενει ἡμεραν εισοδου αυτου; Mal. iii.* 1, 2. *Conf. Matt. iii.* 1. *Marc. i.* 2. *Luc. iii.* 3. *Joan. iii.* 23. *Cap. xix.* 4.

25 Ὡς *δε επληρου ὁ* Ιωαννης *τον δρομον, ελεγε,* Τ*ινα με ὑπονοειτε ειναι; ουκ ειμι εγω, αλλ᾽ ιδου, ερχεται μετ᾽ εμε, οὑ ουκ ειμι αξιος το ὑποδημα των ποδων λυσαι.*

διελιπεν ὁ τρεχων απο του δρομου αυτου. Jer. viii. 6. *Conf. Joan. i.* 20-27. *τελειωθεις εν ολιγῳ επληρωσε χρονους μακρους. Sap. iv.* 12. *και τα ετη αυτου πληρωσει εν ειρηνῃ. Sir. xxvi.* 2. Εγω Ειμι. *Conf. Deut. xxxii.* 39. *Esa. xliii.* 10-13. *xlviii.* 12. *ουκ ειμι εγω ὁ* Χριστος. *Joan. i.* 20. *Matt. iii.* 11. *Marc. i.* 7. *Luc. iii.* 16. *ουκ εγενετο μοι καθως ὑπενοουν. Tob. viii.* 16.

26 *Ανδρες αδελφοι, υἱοι γενους* Αβρααμ, *και οἱ εν ὑμιν φοβουμενοι τον* Θεον, *ὑμιν ὁ λογος της σωτηριας ταυτης απεσταλη.*

υἱος γενους μου. Gen. xix. 38. *εκ γενους* Ἀβρααμ. 1 *Mac. xii.* 21. *οἱ φοβουμενοι* Κυριον. *Ps. xxi.* 23. *Mal. iii.* 16. *et pass. των λογων—ὡν απεστειλε προς αυτον. Jud. xi.* 28. *απεστειλε τον λογον αυτου.*

Ps. cvi. 20. του ειναι σε εις σωτηριαν. *Esa. xlix.* 6. δεδωκα εν Σιων σωτηριαν τῳ Ισραηλ εις δοξασμα· *xlvi.* 13. *Conf. Matt. x.* 6. *Act. iii.* 26. *xiii.* 46. *Gen. xlix.* 18.

27 Οἱ γαρ κατοικουντες εν Ἱερουσαλημ και οἱ αρχοντες αυτων, τουτον αγνοησαντες, και τας φωνας των προφητων τας κατα παν σαββατον αναγινωσκομενας, κριναντες επληρωσαν·

και κρινειν τους κατοικουντας εν Ἱερουσαλημ. 2 *Par. xix.* 8. κατα την ὡραν ταυτην. 3 *Mac. ii.* 19. ὁτι ηκουσας της φωνης της γυναικος σου. *Gen. iii.* 17. *Conf. Joan. xvi.* 3. 1 *Cor. ii.* 8. 1 *Tim. i.* 13. συ γαρ ει Θεος, και ουκ ηδειμεν, ὁ Θεος του Ισραηλ σωτηρ. *Esa. xlv.* 15. *Conf. Marc. ix.* 32. *Luc. xxiii.* 34.

28 Και μηδεμιαν αιτιαν θανατου εὑροντες, ῃτησαντο Πιλατον αναιρεθηναι αυτον.

εν αιτιᾳ φονου. *Prov. xxviii.* 17. αναιρεθητω δε ὁ ανθρωπος εκεινος. *Jer. xlv.* 4. *Conf. Matt. xxvii.* 21. *Luc. xxiii.* 4. *Joan. xix.* 6.

29 Ὡς δε ετελεσαν ἁπαντα τα περι αυτου γεγραμμενα, καθελοντες απο του ξυλου, εθηκαν εις μνημειον.

του τελεσθηναι λογον Κυριου απο στοματος Ἱερεμιου. *Esd. i.* 1. φυλασσειν τα γεγραμμενα εν τῳ νομῳ. 3 *Reg. ii.* 3. *Ps. xxxix.* 7. και καθειλον το σωμα αυτου απο του ξυλου. *Jos. viii.* 29. *Alex. O. Ald. Comp. Conf. Esa. liii. Matt. xxvii.* 59. *Marc. xv.* 46. *Luc. xxiii.* 53. *Joan. xix.* 38. εν τοις εκλεκτοις μνημειος κ. τ. λ. *Gen. xxiii.* 6.

30 Ὁ δε Θεος ηγειρεν αυτον εκ νεκρων,

ὁ εγειρας νεκρον εκ θανατου. *Sir. xlviii.* 5. αναστησονται οἱ νεκροι, και εγερθησονται οἱ εν τοις μνημειοις. *Esa. xxvi.* 19.

31 Ὁς ωφθη επι ἡμερας πλειους τοις συναναβασιν αυτῳ απο της Γαλιλαιας εις Ἱερουσαλημ, οἱτινες εισι μαρτυρες αυτου προς τον λαον.

οὑτως εν τῳ ἁγιῳ ωφθην σοι. *Ps. lxii.* 2. και ωφθη Κυριος τῳ Ἀβραμ. *Gen. xvii.* 1. και οἱ ανθρωποι οἱ συναναβαντες μετ᾽ αυτου. *Num. xiii.* 32. και παρῳκησαμεν εν Αιγυπτῳ ἡμερας πλειους. *Num. xx.* 15. γενεσθε μοι μαρτυρες. *Esa. xliii.* 10. προς. *Gen. xl.* 14. *Conf. Matt. xxviii.* 2. *Luc. xxiv.* 36. δια τουτο ὑπομεινον με, λεγει Κυριος, εις ἡμεραν αναστασεως μου εις μαρτυριον. *Sophon. iii.* 8.

32 Και ἡμεις ὑμας ευαγγελιζομεθα την προς τους πατερας επαγγελιαν γενομενην, ὁτι ταυτην ὁ Θεος εκπεπληρωκε τοις τεκνοις αυτων ἡμιν, αναστησας Ιησουν·

εις αιωνιον αναβιωσιν ζωης ἡμας αναστησει. 2 *Mac. vii.* 9. *Conf.*

Gen. iii. 15. *xxii.* 18. *xxvi.* 4. *xlix.* 10. *Deut. xviii.* 15. 2 *Reg. vii.* 12. *Ps. cxxxi.* 11. *Esa. iv.* 2. *Jer. xxiii.* 5. *Ezech. xxxiv.* 23. *Dan. ix.* 24.

33 Ὡς και εν τῳ ψαλμῳ τῳ δευτερῳ γεγραπται, Υἱος μου ει
συ, εγω σημερον γεγεννηκα σε.

Ps. ii. 7. *Heb. ii.* 3. *CITAT.* 128.

34 Ὁτι δε ανεστησεν αυτον εκ νεκρων, μηκετι μελλοντα ὑπο-
στρεφειν εις διαφθοραν, οὑτως ειρηκεν, ὁτι, Δωσω ὑμιν τα ὁσια
Δαβιδ τα πιστα.

διαθηκην γαρ αιωνιον εθετο μοι ἑτοιμην εν παντι καιρῳ πεφυλαγμενην· ὁτι πασα σωτηρια μου και παν θελημα, ὁτι ου μη βλαστηση ὁ παρανομος. 2 *Reg. xxiii.* 5. και διαθησομαι ὑμιν διαθηκην αιωνιον, τα ὁσια Δαυιδ τα πιστα. *Esa. lv.* 3. *Conf. Sir. xlvii.* 22. τα ελεη Δαυιδ. 2 *Par. vi.* 42. ἡ διαθηκη μου πιστη αυτῳ. *Ps. lxxxviii.* 28. ὁτι, *videlicet, nimirum. Conf. cap. xi.* 3. *CITAT.* 129.

35 Διο και εν ἑτερῳ λεγει, Ου δωσεις τον ὁσιον σου ιδειν δια-
φθοραν.

ουδε δωσεις κ. τ. λ. *Ps. xv.* 10. *CITAT.* 130.

36 Δαβιδ μεν γαρ ιδιᾳ γενεᾳ ὑπηρετησας τῃ του Θεου βουλῃ
εκοιμηθη, και προσετεθη προς τους πατερας αὑτου, και ειδε
διαφθοραν·

ἡ γαρ κτισις σοι τῳ ποιησαντι ὑπηρετουσα. *Sap. xvi.* 24. και εκοιμηθη Δαυιδ μετα των πατερων αυτου. 3 *Reg. ii.* 10. ἡ γενεα εκεινη προσετεθησαν προς τους πατερας. *Jud. ii.* 10. *Gen. xlix.* 29. 1 *Mac. ii.* 69. *Ps. lxxviii.* 72. *Eccles. i.* 4.

37 Ὁν δε ὁ Θεος ηγειρεν, ουκ ειδε διαφθοραν.

38 Γνωστον ουν εστω ὑμιν, ανδρες αδελφοι, ὁτι δια τουτου ὑμιν
αφεσις ἁμαρτιων καταγγελλεται·

γνωστον εστω τῳ βασιλει. *Esd. iv.* 12, 13. *Cap. ii.* 14. *Ezech. xxxvi.* 32. *Dan. iii.* 18. και αφες πασας τας ἁμαρτιας μου. *Ps. xxiv.* 19. *Conf. Heb. vii.* 19. *Amos. iv.* 13. 1 *Joan. ii.* 12. *Rom. iii.* 24. [κατηγγελεν ἑορτην τῳ λαῳ. *Jos. Ant. iii.* 8. 6.] Εγω Ειμι, Εγω Ειμι [אנכי אנכי הוא] ὁ εξαλειφων τας ανομιας σου ἑνεκεν εμου, κ. τ. λ. *Esa. xliii.* 25. [καταγγελεται· κηρυσσεται. *Hesych.*]

39 Και απο παντων, ὡν ουκ ηδυνηθητε εν τῳ νομῳ Μωσεως
δικαιωθηναι, εν τουτῳ πας ὁ πιστευων δικαιουται.

δικαιωσαι δικαιον ευ δουλευοντα πολλοις, και τας ἁμαρτιας αυ-

των αυτος ανοισει. *Esa. liii.* 11. ου δικαιωθησεται ενωπιον σου πας ζων. *Ps. cxlii.* 2. *Jer. xxxi.* 32. και του αγαγειν δικαιοσυνην αιωνιον, κ. τ. λ. *Dan. ix.* 24. απο Κυριου δικαιωθησονται. *Esa. xlv.* 26. ὁτι εγγιζει ὁ δικαιωσας με. *l.* 8. και επιστευσεν Ἁβραμ τῳ Θεῳ, και ελογισθη αυτῳ εις δικαιοσυνην. *Gen. xv.* 6. μη—αισχυνθῃς —περι νομου ὑψιστου και διαθηκης, και περι κριματος δικαιωσαι τον ασεβη. *Sir. xlii.* 1, 2.

40 Βλεπετε ουν μη επελθῃ εφ' ὑμας το ειρημενον εν τοις προφηταις,

επηλθεν επ' αυτους ἡ καταρα Ιωαθαμ. *Jud. ix.* 57. 2 *Reg. xix.* 7. βλεπε, εκουσα της φωνης σου. 1 *Reg. xxv.* 35. 1 *Esd. i.* 28.

41 Ιδετε, οἱ καταφρονηται, και θαυμασατε και αφανισθητε· ὁτι εργον εγω εργαζομαι εν ταις ἡμεραις ὑμων, εργον ᾡ ου μη πιστευσητε, εαν τις εκδιηγηται ὑμιν.

ιδετε, οἱ καταφρονηται, και επιβλεψατε και θαυμασατε θαυμασια, και αφανισθητε· διοτι εργον εγω εργαζομαι εν ταις ἡμεραις ὑμων, ὁ οὐ μη πιστευσητε εαν τις εκδιηγηται. *Hab. i.* 5. *Conf. Esa. xxviii.* 14. *Prov. i.* 30. *CITAT.* 131.

42 Εξιοντων δε εκ της συναγωγης των Ιουδαιων, παρεκαλουν τα εθνη εις το μεταξυ σαββατον λαληθηναι αὑτοις τα ῥηματα ταυτα.

συναγωγη Ιουδαιων. 1 *Mac. ii.* 42. παρεκαλει και ῃτειτο. *Est. vii.* 7. *Ald. Comp.* ελαλησε δε ὁ Θεος προς Μωυσην και ειπε. *Exod. vi.* 2. και εμβαλειτε τα ῥηματα ταυτα εις την καρδιαν. *Deut. xi.* 18. [τον μεταξυ χρονον. *Philo de Victim. p.* 852.]

43 Λυθεισης δε της συναγωγης, ηκολουθησαν πολλοι των Ιουδαιων και των σεβομενων προσηλυτων τῳ Παυλῳ και τῳ Βαρναβᾳ· οἱτινες προσλαλουντες αυτοις, επειθον αυτους επιμενειν τῃ χαριτι του Θεου.

απεστειλε βασιλευς και ελυσεν αυτον. *Ps. civ.* 20. οχλους απελυσε. 2 *Mac. iv.* 23. [λυθεισης της βουλης. *Jos. Ant. xiv.* 4, 5.] προσλαλειν. *Exod. iv.* 16. *Ald. Ps. xxvi.* 8. *Sym.* ευλογειτε παντες οἱ σεβομενοι τον Κυριον. *Cant. tr. pu.* 67. ὁ Θεος—χαριν και δοξαν δωσει. *Ps. lxxxiii.* 11. και εκχεω—πνευμα χαριτος. *Zach. xii.* 10. *Conf. Ezech. xlvii.* 22, 23. *Matt. xxiii.* 15. *Act. xi.* 23. *xiv.* 22. *Tit. ii.* 11. ιδου προσηλυται προσελευσονται σοι δι' εμου, και παροικησουσι σοι, και επι σε καταφευξονται. *Esa. liv.* 15. *lv.* 5. [ἡ επιμενουσα τοις καλοις ψυχη. *Philo. p.* 160.]

44 Τῳ δε ερχομενῳ σαββατῳ σχεδον πασα ἡ πολις συνηχθη ακουσαι τον λογον του Θεου.

ερχομενῳ ενιαυτῳ. 1 *Mac. iv.* 28. συνεβη δε καθ' ὁλην την πολιν σχεδον. 2 *Mac. v.* 2. και συναχθησονται παντες και ακουσονται. *Esa. xlviii.* 14. ακουσον τον λογον Κυριου. *xxxix.* 5.

45 Ιδοντες δε οἱ Ιουδαιοι τους οχλους, επλησθησαν ζηλου, και αντελεγον τοις ὑπο του Παυλου λεγομενοις, αντιλεγοντες και βλασφημουντες.

τοτε επλησθη χαρας το στομα ἡμων. *Ps. cxxv.* 2. ουδε φθονος, ουδε ζηλος. 1 *Mac. viii.* 16. μη αντιλεγε τῃ αληθειᾳ. *Sir. iv.* 25. πληγεντες ὑπο Κυριου. *Exod. xvi.* 3. βλασφημειν εν λογοις. *Reg. xix.* 4. βλασφημουντες, και λαλουντες ἁ μη θεμις. 2 *Mac. xii.* 14. *Conf. cap. xxviii.* 19. λαον απειθουντα και αντιλεγοντα. *Esa. lxv.* 2.

46 Παῤῥησιασαμενοι δε ὁ Παυλος και ὁ Βαρναβας ειπον, Ὑμιν ην αναγκαιον πρωτον λαληθηναι τον λογον του Θεου· επειδη δε απωθεισθε αυτον, και ουκ αξιους κρινετε ἑαυτους της αιωνιου ζωης, ιδου, στρεφομεθα εις τα εθνη.

εν δε πλατειαις παῤῥησιαν αγει. *Prov. i.* 20. *Sap. v.* 1. *Sir. vi.* 11. αναγκαιον ἡγησαμην κ. τ. λ. 2 *Mac. ix.* 21. ὁ ευαγγελιζομενος Σιων, κ. τ. λ. *Esa. xl.* 9. ανθ' ὡν τα δικαιωματα μου απωσαντο. *Ezech. xx.* 16. *Ps. cvi.* 11. οὑς ουχ ἡγησαμην αξιους κυνων των εμων νομαδων. *Job. xxx.* 1. ὁτι αξιοι εισι της εκεινου μεριδος ειναι. *Sap. i.* 16. *iii.* 5. [εμαυτον αν της τιμης αξιον εκρινα. *Jos. Ant. iii.* 8. 1.] οὑτοι εις ζωην αιωνιον. *Dan. xii.* 2. οὑ εαν στραφῃ —αφανιζεται. *Prov. xii.* 7. *Conf. Matt. x.* 6. *Esa. lv.* 5. οἱ δε ἁμαρτανοντες εις εμε ασεβουσιν εις τας ἑαυτων ψυχας, και οἱ μισουντες με αγαπωσι θανατον. *Prov. viii.* 36. ὁ προσηλυτος ὁς εστιν εν σοι αναβησεται ανω ανω, συ δε καταβησῃ κατω κατω. *Deut. xxviii.* 32. απωσεται αυτους ὁ Θεος—και εσονται πλανηται εν τοις εθνεσι. *Ose. ix.* 17.

47 Οὑτω γαρ εντεταλται ἡμιν ὁ Κυριος, Τεθεικα σε εις φως εθνων, του ειναι σε εις σωτηριαν ἑως εσχατου της γης.

ὁτι οὑτως εντεταλται μοι εν λογῳ Κυριος. 3 *Reg. xiii.* 17. δεδωκα σε εις διαθηκην γενους, εις φως εθνων του ειναι σε εις σωτηριαν ἑως εσχατου της γης. *Esa. xlix.* 6. *xlii.* 6. *Luc. ii.* 32. προφητην εις εθνη τεθεικα σε. *Jer. i.* 5. *Gen. xvii.* 5. *CITAT.* 132.

48 Ακουοντα δε τα εθνη εχαιρον, και εδοξαζον τον λογον του Κυριου, και επιστευσαν, ὁσοι ησαν τεταγμενοι εις ζωην αιωνιον.

τον ταξαντα αμμον ὁριον τῃ θαλασσῃ. *Jer.* v. 22. οἱ δε προς τῳ παρανομῳ σπλαγχνισμῳ τεταγμενοι. (*qui misericordiâ tangebantur ejus capaces erant. Bretschn.*) 2 *Mac.* vi. 21. σωζειν εις ζωην αιωνιον. 4 *Mac.* 15. 1. *Conf.* 1 *Cor.* xvi. 15. *cap.* xi. 21. και εσται πας ὁς επικαλεσηται το ονομα Κυριου, σωθησεται—και ευαγγελιζομενοι οὑς Κυριος προσκεκληται. *Joel.* ii. 32. ἁγιοι κληθησονται παντες οἱ γραφεντες εις ζωην εν Ἱερουσαλημ. *Esa.* iv. 3. και επισκεψεται Κυριος ὁ Θεος ὁ παντακρατωρ το ποιμνιον αυτου, τον οικον Ιουδα, και ταξει αυτους ὡς ἱππον ευπρεπη αυτου εν πολεμῳ, κ.τ.λ. *Zach.* x. 3. 4. εν τῳ καιρῳ εκεινῳ σωθησεται ὁ λαος σου πας ὁ εὑρεθεις ὁ γεγραμμενος εν τῃ βιβλῳ. *Dan.* xi. 1. [εχω δ' ειπειν ἑτερους τους εξ εναντιας αμεινω τεταγμενους ταξιν. *Philo de nobil.* p. 907. οἱ συντεταγμενοι τῳ Κορῃ. *Jos. Ant.* iv. 2, 3.]

49 Διεφερετο δε ὁ λογος του Κυριου δι' ὁλης της χωρας.

και οικτρα διεφερετο θρηνουμενων παιδων. *Sap.* xviii. 10.

50 Οἱ δε Ιουδαιοι παρωτρυναν τας σεβομενας γυναικας και τας ευσχημονας και τους πρωτους της πολεως, και επηγειραν διωγμον επι τον Παυλον και τον Βαρναβαν, και εξεβαλον αυτους απο των ὁριων αὑτων.

πρωτος φιλος του βασιλεως. 1 *Par.* xxvii. 33. αρχης πρωτος των ᾳδοντων. *Neh.* xii. 46. και εξεβαλεν αυτους απο φυλων Ισραηλ. 2 *Par.* xi. 6. ὁπως εξωσητε αυτους εκ των ὁριων αυτων. *Joel.* iii. 6. ευσχημονας. *Sir.* xxvi. 33. *Prov.* xi. 25. 2 *Tim.* iii. 11. και επεγερθησονται Αιγυπτιοι επ' Αιγυπτιους. *Esa.* xix. 2. [παρωτρυναν τον βασιλεα. *Jos. Ant.* vii. 6. 1.]

51 Οἱ δε εκτιναξαμενοι τον κονιορτον των ποδων αὑτων επ' αυτους ηλθον εις Ικονιον.

εκτιναξαι τον χουν, και αναστηθι. *Esa.* lii. 2. *Conf. Matt.* x. 14. *Marc.* vi. 11. *Luc.* ix. 5. *Cap.* xviii. 6. [" *excute comam capitis tui, et projice omnia mala super illos.*" 4 *Esd.* i. 8. *Fabric.* p. 194.]

52 Οἱ δε μαθηται επληρουντο χαρας και Πνευματος ἁγιου.

πληρωθητω το στομα μου αινεσεως. *Ps.* lxx. 8. γενναιῳ πεπληρωμενη φρονηματι. 2 *Mac.* vii. 21. ὁς πνευμα Θεου ἁγιον εν ἑαυτῳ εχει. *Dan.* iv. 5. τοτε επλησθη χαρας το στομα ἡμων. *Ps.* cxxv. 2. *Conf. Joel.* ii. 19, 20. εγω δωσω ὑδωρ εν διψει τοις πορευομενοις εν ανυδρῳ, επιθησω το πνευμα μου επι το σπερμα σου, και τας ευλογιας μου επι τα τεκνα σου, κ.τ.λ. *Esa.* xliv. 3, 4.

¶ Κεφ. ιδ. 14.

ΕΓΕΝΕΤΟ δε εν Ἰκονιῳ, κατα το αυτο εισελθειν αυτους εις την συναγωγην των Ἰουδαιων, και λαλησαι οὑτως ὡστε πιστευσαι Ἰουδαιων τε και Ἑλληνων πολυ πληθος.

εγενετο δε εν τῳ μεσονυκτιῳ. *Ruth. iii.* 8. κατα το αυτο. 1 *Reg. xxxi.* 6. 2 *Reg. ii.* 16. *Exod. xxvi.* 24. ταυτα τα μαρτυρια—ὁσα ελαλησε Μωυσης τοις υἱοις Ισραηλ. *Deut. iv.* 45. Ἰουδαιων τε και Ἑλληνων. *Conf. Joan. vii.* 35. εν τῃ σκιᾳ αυτου κατῳκησε παν πληθος εθνων. *Ezech. xxxi.* 6. ὡστε. *Jos. x.* 14. [και πολλους μεν Ἰουδαιους, πολλους δε και του Ἑλληνικου επηγαγετο. *Jos. de Christ. Ant. xviii.* 3. 3.]

2 Οἱ δε απειθουντες Ἰουδαιοι επηγειραν και εκακωσαν τας ψυχας των εθνων κατα των αδελφων.

τους δε απειθουντας απολεσω. *Esa. i.* 25. και παρωργισαν αυτον—και εκακωθη Μωυσης δι᾽ αυτους. *Ps. cv.* 32. *Conf.* 2 *Tim. iii.* 10. [Ἡρωδης εκακουτο δε ταις ὑποψιαις. *Jos. Ant. xvi.* 7. 3.]

3 Ἱκανον μεν ουν χρονον διετριψαν παῤῥησιαζομενοι επι τῳ Κυριῳ τῳ μαρτυρουντι τῳ λογῳ της χαριτος αὑτου, και διδοντι σημεια και τερατα γινεσθαι δια των χειρων αυτων.

και διατριψει εξω του οικου αυτου ἑπτα ἡμερας. *Lev. xiv.* 8. θησομαι εν σωτηριῳ, παῤῥησιασομαι εν αυτῳ. *Ps. xi.* 5. πνευμα χαριτος και οικτιρμου. *Zach. xii.* 10. δωσει Κυριος αυτος ὑμιν σημειον. *Esa. vii.* 14. μαρτυρουντι. *Conf. Neh. ix.* 29, 30. δια χειρος Μουση. 2 *Par. xxxv.* 6. *Conf. Marc. xvi.* 20. *Heb. ii.* 4. *Act. xix.* 11. σημεια και τερατα. *Conf. Ps. civ.* 27.

4 Εσχισθη δε το πληθος της πολεως· και οἱ μεν ησαν συν τοις Ἰουδαιοις, οἱ δε συν τοις αποστολοις.

εσχιζοντο απ᾽ αυτου ενθα και ενθα. 1 *Mac. vi.* 45. οἱ ησαν οπισω Δαυιδ. 2 *Reg. ii.* 10. οἱ μεν—οἱ δε. *Conf. Sturz. p.* 206.

5 Ὡς δε εγενετο ὁρμη των εθνων τε και Ἰουδαιων συν τοις αρχουσιν αὑτων, ὑβρισαι και λιθοβολησαι αυτους,

και ου φοβηθησῃ—ὁρμας ασεβων. *Prov. iii.* 25. ἱνατι τουτο ὑβρισας με; 2 *Reg. xix.* 43. και λιθοβολησατωσαν αυτον, και αποθανετω. 3 *Reg. xx.* 10. *Conf.* 2 *Tim. iii.* 11. *Ps. ii.* 1-3. επι τον λαον σου κατεπανουργευσαντο γνωμην, και εβουλευσαντο κατα των ἁγιων σου, κ. τ. λ. *Ps. lxxxii.* 3-5.

6 Συνιδοντες κατεφυγον εις τας πολεις της Λυκαονιας, Λυστραν και Δερβην και την περιχωρον,

συνιδων ὁ Μακκαβαιος την των πληθων παρουσιαν. 2 *Mac.* *xv.* 21. *iv.* 41. *xiv.* 26, 30. πασαν την περιχωρον Αργοβ. *Deut.* *iii.* 14. και καταφευξεσθε εις τας πολεις ἡμων. *Lev.* *xxvi.* 25. *Conf.* *Matt.* *x.* 23. *Act.* *viii.* 1. 4 *Reg.* *vi.* 8-12.

7 Κακει ησαν ευαγγελιζομενοι.

ὑψωσον—την φωνην σου ὁ ευαγγελιζομενος Ἱερουσαλημ. *Esa.* *xl.* 9. *lii.* 7. *Jon.* *iii.* 2. *Nah.* *i.* 15.

8 Και τις ανηρ εν Λυστροις αδυνατος τοις ποσιν εκαθητο, χωλος εκ κοιλιας μητρος αὑτου ὑπαρχων, ὁς ουδεποτε περιεπεπατηκει.

ὁ αδυνατος λεγετω, ὁτι ισχυω εγω. *Joel.* *iii.* 10. [*Winer.* § 31. 3.] ανηρ τις. 2 *Par.* *xviii.* 7. γυμνος εκ κοιλιας μητρος μου. *Job.* *i.* 21. *Conf.* *Act.* *viii.* 2.

9 Οὑτος ηκουε του Παυλου λαλουντος· ὁς ατενισας αυτῳ, και ιδων ὁτι πιστιν εχει του σωθηναι,

ὁ γαρ επιστραφεις ου δια το θεωρουμενον εσωζετο, αλλα δια σε τον παντων σωτηρα. *Sap.* *xvi.* 7. *Conf.* *Matt.* *ix.* 2. 28.

10 Ειπε μεγαλῃ τῃ φωνῃ, Αναστηθι επι τους ποδας σου ορθος. Και ἡλλετο και περιεπατει.

και ειπε φωνῃ μεγαλῃ. 1 *Mac.* *ii.* 19. αναστηθι, ἱνατι τουτο συ περιπεπτωκας; *Jos.* *vii.* 10. *Ald.* τοτε ἁλειται ὡς ελαφος ὁ χωλος. *Esa.* *xxxv.* 6. *Luc.* *vii.* 14. *Joan.* *v.* 8, 9.

11 Οἱ δε οχλοι ιδοντες ὁ εποιησεν ὁ Παυλος, επηραν την φωνην αὑτων Λυκαονιστι, λεγοντες, Οἱ θεοι ὁμοιωθεντες ανθρωποις κατεβησαν προς ἡμας·

και επηραν—την φωνην αυτων. *Jud.* *ii.* 4. *Ruth.* *i.* 9. 14. τινι ὡμοιωσατε Κυριον; *Esa.* *xl.* 18. *Conf.* *cap.* *xxviii.* 6.

12 Εκαλουν τε τον μεν Βαρναβαν, Δια, τον δε Παυλον, Ἑρμην, επειδη αυτος ην ὁ ἡγουμενος του λογου.

οἱ ἡγουμενοι της πολεως. *Jud.* *ix.* 51. *Alex.* *O.* *Ald.* *Comp.* *Exod.* *xxiii.* 23. επειδη. *Prov.* *i.* 24. *Jer.* *xxv.* 8. *Conf.* *cap.* *xix.* 35.

13 Ὁ δε ἱερευς του Διος του οντος προ της πολεως αυτων, ταυρους και στεμματα επι τους πυλωνας ενεγκας συν τοις οχλοις, ηθελε θυειν.

ἑστηκως προ του Ουβαλ. *Dan. viii.* 3. και ουκ ηθελησε πιειν αυτο. 2 *Reg. xxiii.* 16. *Conf. Dan. ii.* 46. στεμμα. *Zach. vi.* 11. ταυρους και στεμματα, *tauros coronatos.* = κριμα και δικαιοσυνη, *judicium justum.* 2 *Par. ix.* 8. *Bretschn.* κατασκευαζουσι στεφανους επι τας κεφαλας των θεων αυτων. *Epist. Jer.* 9.

14 Ακουσαντες δε οἱ αποστολοι Βαρναβας και Παυλος, διαρῥηξαντες τα ἱματια αὑτων εισεπηδησαν εις τον οχλον, κραζοντες

και διεῤῥηξαν τα ἱματια αυτων. *Gen. xliv.* 13. *Jos. vii.* 6. *Jer. xliii.* 24. και εισπηδησῃ εις τον οικον αυτου. *Amos. v.* 19. *Judith. xiv.* 17. *Susan.* 26. *Conf. Matt. xxvi.* 65.

15 Και λεγοντες, Ανδρες, τι ταυτα ποιειτε; και ἡμεις ὁμοιοπαθεις εσμεν ὑμιν ανθρωποι, ευαγγελιζομενοι ὑμας απο τουτων των ματαιων επιστρεφειν επι τον Θεον τον ζωντα, ὁς εποιησε τον ουρανον και την γην και την θαλασσαν και παντα τα εν αυτοις·

ειμι μεν καγω θνητος ανθρωπος, ισος απασι, και γηγενους απογονος πρωτοπλαστου, κ. τ. λ. *Sap. vii.* 1, 2. *Conf. Gen. xli.* 16. και επιστραφησῃ επι Κυριον τον Θεον σου. *Deut. xxx.* 2. τον ποιησαντα τον ουρανον και την γην την θαλασσαν και παντα τα εν αυτοις. *Ps. cxlv.* 6. ὁ δουλος του Θεου του ζωντος. *Dan. vi.* 20. *Jos. iii.* 10. 1 *Reg. xvii.* 36. *Jer. x.* 11, 12. *Conf. Matt. xvi.* 16. *Apoc. xiv.* 7. *Gen. i.* 1. *Ps. xxxii.* 6. *cxxiii.* 8. *Esa. xliv.* 22. ου θυσουσιν ετι θυσιας αυτων τοις ματαιοις. *Lev. xvii.* 7. προσκυνειν τοις ματαιοις. *Esa. ii.* 20. πορευεσθαι οπισω των ματαιων. *Ose. v.* 11. *Conf. Deut. xxxii.* 21. Εγω Κυριος ὁ Θεος, τουτο μου εστι το ονομα, την δοξαν μου ἑτερῳ ου δωσω, ουδε τας αρετας μου τοις γλυπτοις. *Esa. xlii.* 8. *Conf. Dan. ii.* 29, 30. ου σεβομαι ειδωλα χειροποιητα, αλλα τον ζωντα Θεον, τον κτισαντα τον ουρανον και την γην, κ. τ. λ. *Draco.* 5. *CITAT.* 133.

16 Ὁς εν ταις παρῳχημεναις γενεαις ειασε παντα τα εθνη πορευεσθαι ταις ὁδοις αὑτων·

μακαριοι—οἱ πορευομενοι εν ταις ὁδοις αυτου. *Ps. cxxvii.* 1. κατεφθειρε πασα σαρξ την ὁδον αυτου. *Gen. vi.* 12. και επορευθη εν ὁδῳ βασιλεων Ισραηλ. 2 *Par. xxi.* 6. *Conf. Ephes. iii.* 5. πορευσονται εν τοις επιτηδευμασιν αυτων. *Ps. lxxx.* 12.

17 Και τοι γε ουκ αμαρτυρον ἑαυτον αφηκεν αγαθοποιων, ουρανοθεν ἡμιν ὑετους διδους και καιρους καρποφορους, εμπιπλων τροφης και ευφροσυνης τας καρδιας ἡμων.

τον διδοντα ὑετον επι την γην. *Job. v.* 10. 3 *Reg. viii.* 36. *Joel. ii.* 23. *Ose. vi.* 3. και τοι γε. *Conf. Hoogev. p.* 423. τον εμπιπλωντα εν αγαθοις την επιθυμιαν σου. *Ps. cii.* 5. εμπιπλας παν ζωον ευδοκιας. *cxliv.* 16. *Prov. xiii.* 25. *Conf. Sir. xvi.* 29, 30. ευλογειτε παντα τα φυομενα εν τῃ γῃ. *Cant. tr. Puer.* καρποφορος. *Jer. ii.* 21. *Conf. Bar. iii.* 33, 34. *Matt. v.* 45. *Ps. viii.* 1-3. *xviii.* 1-6. *lxxiii.* 16. *ciii.* 19. εδιδαξας δε σου τον λαον δια των τοιουτων εργων, ὁτι δει τον δικαιον ειναι φιλανθρωπον· και ευελπιδας εποιησας τους ὑιους σου, ὁτι διδως επι ἁμαρτημασι μετανοιαν. *Sap. xii.* 19. *Conf. Esa. liv.* 9. ουρανοθεν προσεφωνησασαν αγγελοι. 4 *Mac.* 4. *Conf. Sap. i.* 13, 14.

18 Και ταυτα λεγοντες, μολις κατεπαυσαν τους οχλους του μη θυειν αυτοις.

κατεπαυσας πασαν την οργην σου. *Ps. lxxxiv.* 3. ισχυϊ κατεπαυσε την θαλασσαν. *Job. xxvi.* 12. *Conf. Jer. li.* 16, 17.

19 Επηλθον δε απο Αντιοχειας και Ικονιου Ιουδαιοι, και πεισαντες τους οχλους, και λιθασαντες τον Παυλον εσυρον εξω της πολεως, νομισαντες αυτον τεθναναι.

μη επελθῃς εκει, εκκλινον δε' απ' αυτων. *Prov. iv.* 15. 2 *Mac. ix.* 17. συ δε μη νομισῃς αθωος εσεσθαι. 2 *Mac. vii.* 19. *Conf.* 2 *Cor. xi.* 25. 2 *Tim. iii.* 11. *Heb. xiii.* 12. ταφην ονου ταφησεται, συμψησθεις ῥιφησεται επεκεινα της πυλης Ἱερουσαλημ. *Jer xxii.* 19. *Conf. Joan. xvi.* 2. *Matt. xxiii.* 37.

20 Κυκλωσαντων δε αυτον των μαθητων, αναστας εισηλθεν εις την πολιν· και τῃ επαυριον εξηλθε συν τῳ Βαρναβᾳ εις Δερβην.

και εκυκλωσαν δεκα παιδαρια. 2 *Reg. xviii.* 15. εν τῃ επαυριον. *Gen. xix.* 34. *Lev. xxiii.* 11. 16. *Conf.* 2 *Cor. i.* 8. *iv.* 10.

21 Ευαγγελισαμενοι τε την πολιν εκεινην, και μαθητευσαντες ἱκανους, ὑπεστρεψαν εις την Λυστραν και Ικονιον και Αντιοχειαν·

ὁ ευαγγελιζομενος Ἱερουσαλημ. *Esa. xl.* 9. και απωλοντο εξ αυτων ἱκανοι τῃ λιμῳ. 1 *Mac. xiii.* 49. *Conf. Matt. xxviii.* 19.

22 Επιστηριζοντες τας ψυχας των μαθητων, παρακαλουντες εμμενειν τῃ πιστει, και, ὁτι δια πολλων θλιψεων δει ἡμας εισελθειν εις την βασιλειαν του Θεου.

και εστηρισε παντας τους ταπεινους του λαου αυτου. 1 *Mac. xiv.* 14. πνευματι ἡγεμονικῳ στηριξον με. *Ps. l.* 13. αυτος στη-

ριει την καρδιαν σου. *Sir. vi.* 37. και εμμενε εντολαις. *xxviii.* 6. και ενεμεινατε τῃ φιλιᾳ ἡμων. 1 *Mac. x.* 26. ὁσας εδειξας μοι θλιψεις πολλας και κακας; *Ps. lxx.* 20. μετ᾽ αυτου ειμι εν θλιψει. *xc.* 15. πολλαι αἱ θλιψεις των δικαιων, κ. τ. λ. *xxxiii.* 19. τους μεμενηκοτας εν τῳ Ιουδαϊσμω. 2 *Mac. viii.* 1. εδειξαν αυτῳ βασιλειαν Θεου, κ.τ.λ. *Sap. x.* 10. *Conf. Matt. x.* 38. *Luc. xxii.* 28. 1 *Esd. viii.* 23, 24.

23 Χειροτονησαντες δε αυτοις πρεσβυτερους κατ᾽ εκκλησιαν, προσευξαμενοι μετα νηστειων, παρεθεντο αυτους τῳ Κυριῳ εις ὁν πεπιστευκεισαν.

εις χειρας σου παραθησομαι το πνευμα μου. *Ps. xxx.* 5. *Conf. Act. i.* 26. *Tit. i.* 5. του εκζητησαι προσευχην και δεησεις εν νηστειαις και σακκῳ. *Dan. ix.* 3. *Tob. xii.* 8. [χειροτονουμεν δε σε σημερον αρχιερεα. *Jos. Ant. xiii.* 2. 2. ὑπο του Θεου βασιλευς κεχειροτονημενος. *vi.* 4. 2.] *Conf. Dan. vi.* 23.

24 Και διελθοντες την Πισιδιαν, ηλθον εις Παμφυλιαν·

παντας τους τοπους οὑς διηλθε Δαυιδ. 1 *Reg. xxx.* 31.

25 Και λαλησαντες εν Περγῃ τον λογον, κατεβησαν εις Ατταλειαν·

ταυτα τα ῥηματα ελαλησε Κυριος προς πασαν συναγωγην. *Deut. v.* 22. *Exod. vi.* 2. *iv.* 30. *Joel. ii.* 11.

26 Κακειθεν απεπλευσαν εις Αντιοχειαν, ὁθεν ησαν παραδεδομενοι τῃ χαριτι του Θεου εις το εργον ὁ επληρωσαν.

ὁ εὑρων χαριν παρα Κυριου. *Prov. xii.* 2. τελειωθεις εν ολιγῳ επληρωσε χρονους μακρους. *Sap. iv.* 13. ὁθεν, *ubi. Exod. xxx.* 36. και θησαυριζει τοις κατορθουσι σωτηριαν, ὑπερασπιει την πορειαν αυτων, κ. τ. λ. *Prov. ii.* 7, 8. *Conf.* 3 *Reg. ii.* 27.

27 Παραγενομενοι δε και συναγαγοντες την εκκλησιαν, ανηγγειλαν ὁσα εποιησεν ὁ Θεος μετ᾽ αυτων, και ὁτι ηνοιξε τοις εθνεσι θυραν πιστεως.

παραγενομενοι δε οἱ ποιμενες εξεβαλλον αυτας. *Exod. ii.* 17. και παρεγενοντο πας Ισραηλ. 3 *Reg. xii.* 12. συναγαγετε αυτῳ τους ὁσιους αυτου. *Ps. xlix.* 5. συναγαγετε λαον, ἁγιασατε εκκλησιαν. *Joel. ii.* 16. εμεγαλυνε Κυριος του ποιησαι μεθ᾽ ημων. *Ps. cxxv.* 3. και συ Κυριε, Κυριε, ποιησον μετ᾽ εμου. *Ps. cviii.* 21. 26. *Gen. xxi.* 23. *Ruth. ii.* 20. παντα ὁσα ηθελησεν, εποιησε. *cxiii.* 11. ανοιξει, και ουκ εσται ὁ αποκλειων. *Esa. xxii.* 22. ανοιξατε μοι πυλας δικαιοσυνης. *Ps. cxviii.* 19. εξεκκλησιασθη πασα συναγωγη.

Jos. xviii. 1. *Conf.* 1 *Cor. xvi.* 9. 2 *Cor. ii.* 12. *Col. iv.* 3. *Apoc.*
iii. 8. και πορευσονται βασιλεις τῳ φωτι σου, και εθνη τῃ λαμ-
προτητι σου. *Esa. lx.* 3. εις θυραν ελπιδος. *Ose. ii.* 15. *Sym.*

28 Διετριβον δε εκει χρονον ουκ ολιγον συν τοις μαθηταις.

διατριψει—ἑπτα ἡμερας. *Lev. xiv.* 8. εθνη—ουκ ολιγα. *Esa.*
x. 7. *Conf. Ps. cxxxii.* 1. 2 *Par. xxx.* 12. December 30, 1856.

ΚΕΦ. ιε. 15.

ΚΑΙ τινες κατελθοντες απο της Ιουδαιας, εδιδασκον τους
αδελφους, ὁτι, Εαν μη περιτεμνησθε τῳ εθει Μωυσεως,
ου δυνασθε σωθηναι.

ουκ οψει το προσωπον μου, εαν μη κ.τ.λ. 2 *Reg. iii.* 13. τα επι των
προγονων αυτων εθη. 2 *Mac. xi.* 26. *Sap. xiv.* 16. σωζειν εις ζωην
αιωνιον. 4 *Mac.* 15. *Conf. Lev. xii.* 3. *Gen. xvii.* 10. *Gal. v.* 1, 2.
Phil. iii. 2. σωθηναι. *Conf. Esa. xlv.* 17. *Jer. xvii.* 14.

2 Γενομενης ουν στασεως και συζητησεως ουκ ολιγης τῳ Παυ-
λῳ και τῳ Βαρναβᾳ προς αυτους, εταξαν αναβαινειν Παυλον
και Βαρναβαν και τινας αλλους εξ αυτων προς τους αποστο-
λους και πρεσβυτερους εις Ἱερουσαλημ, περι του ζητηματος
τουτου.

στασις και μαχη. *Prov. xvii.* 14. τασσονται παρεμβαλλειν επι
τα οχυρωματα. 1 *Mac. v.* 27. *xii.* 26. *Conf. Gal. ii.* 1. *Act.*
xi. 30. *Exod. xviii.* 25. ζητημα. *Conf. Deut. xvii.* 9.

3 Οἱ μεν ουν προπεμφθεντες ὑπο της εκκλησιας διηρχοντο την
Φοινίκην και Σαμαρειαν, εκδιηγουμενοι την επιστροφην των
εθνων· και εποιουν χαραν μεγαλην πασι τοις αδελφοις.

ὁπως προπεμπωσιν αυτους εις γην Ιουδα. 1 *Mac. xii.* 4. ἱνα προ-
πεμψωσιν αυτον, και τους μετ᾽ αυτου παντας αναβαινοντας οι-
κοδομησαι την Ἱερουσαλημ. 1 *Esd. iv.* 47. πληγεντες ὑπο Κυριου.
Exod. xvi. 3. μη πιστευσητε εαν τις εκδιηγηται. *Hab. i.* 5. εν
καιρῳ ἁμαρτηματων δειξον επιστροφην. *Sir. xviii.* 21. διδαξω
ανομους τας ὁδους σου, και ασεβεις επι σε επιστρεψουσι. *Ps. l.* 13.
Conf. Esa. lx. 1-4. *lxvi.* 12-14. [παιδευειν εις επιστροφην. *Psalt.*
Sal. xvi. 11.] *Ps. xviii.* 7. *Thren. v.* 21.

4 Παραγενομενοι δε εις Ἱερουσαλημ, απεδεχθησαν ὑπο της
εκκλησιας και των αποστολων και των πρεσβυτερων, ανηγ-
γειλαν τε ὁσα ὁ Θεος εποιησε μετ᾽ αυτων.

φιλοφρονως ὑπο του αρχιερεως αποδεχθεις. 2 *Mac. iii.* 9. *xiii.* 24. εποιησε μετ᾽ αυτων. *Conf. cap. xiv.* 27. ὁσα εποιησαν. 4 *Reg. xvii.* 8. *Comp.* αρον κυκλῳ τους οφθαλμους σου, και ιδε συνηγμενα τα τεκνα σου. ἡκασι παντες οἱ υἱοι σου μακροθεν, κ. τ. λ. *Esa. lx.* 4, 5. *Conf. Rom. xv.* 18. 1 *Cor. xv.* 10.

5 Εξανεστησαν δε τινες των απο της αἱρεσεως των Φαρισαιων πεπιστευκοτες, λεγοντες, Ὅτι δει περιτεμνειν αυτους, παραγγελλειν τε τηρειν τον νομον Μουσεως.

εξανασταντες. *Gen. xviii.* 16. *Jud. iii.* 20. αγαπη δε τηρησις νομων αυτης. *Sap. vi.* 18. ηρξατο Μωυσης διασαφησαι τον νομον τουτον. *Deut. i.* 5. τηρησις εντολων. *Sir. xxxii.* 23. παραγγελλειν. 1 *Reg. xv.* 4. *xxiii.* 8. 3 *Reg. xv.* 22. 2 *Par. xxxvi.* 22. [ηρξαμην τε πολιτευεσθαι τη Φαρισαιων αἱρεσει κατακολουθων. *Jos. Vit.* § 2.] *Conf. Matt. iii.* 7. μνησθητε νομου Μωυση, κ. τ. λ. *Mal. iv.* 4.

6 Συνηχθησαν δε οἱ αποστολοι και οἱ πρεσβυτεροι ιδειν περι του λογου τουτου.

ιδωμεν ει οἱ λογοι αυτου αληθεις, και πειρασωμεν τα εν εκβασει αυτου. *Sap. ii.* 17. *Conf. Prov. xv.* 22. *Heb. xiii.* 7. 17.

7 Πολλης δε συζητησεως γενομενης, αναστας Πετρος ειπε προς αυτους, Ανδρες αδελφοι, ὑμεις επιστασθε ὁτι αφ᾽ ἡμερων αρχαιων ὁ Θεος εν ἡμιν εξελεξατο δια του στοματος μου ακουσαι τα εθνη τον λογον του ευαγγελιου, και πιστευσαι.

αφ᾽ ἡμερων πλειονων. *Ezech. xxxviii.* 8. εξ ἡμερων αρχαιων. *Esa. xxxvii.* 26. εν ἡμεραις αρχαιαις. *Ps. xliii.* 1. *lxxvi.* 5. και εξελεξατο Κυριος ὁ Θεος Ισραηλ εν εμοι—ειναι βασιλεα, κ. τ. λ. 1 *Par. xxviii.* 4, 5. 2 *Par. vi.* 5. 1 *Reg. xvi.* 9. *Neh. ix.* 7. δια στοματος Ἱερεμιου. 2 *Par. xxxvi.* 21. Ιδου δεδωκα τους λογους μου εις το στομα σου. *Jer. i.* 9.

8 Και ὁ καρδιογνωστης Θεος εμαρτυρησεν αυτοις, δους αυτοις το Πνευμα το ἁγιον, καθως και ἡμιν·

εταζων καρδιας. *Jer. xvii.* 10. 1 *Par. xxviii.* 9. και επεμαρτυρω αυτοις εν πνευματι σου. *Neh. ix.* 30. εδωκα το πνευμα μου επ᾽ αυτον. *Esa. xlii.* 1. ὁτι μονος γινωσκεις την καρδιαν υἱων ανθρωπων. 2 *Par. vi.* 30. *Ps. vii.* 9. *Jer. xi.* 20. 1 *Cor. i.* 2. [εγω μεν μαρτυρω σοι. *Jos. Ant. xii.* 14. 6.] *Joel. ii.* 28, 29.

9 Και ουδεν διεκρινε μεταξυ ἡμων τε και αυτων, τῃ πιστει καθαρισας τας καρδιας αυτων.

και εκαθαριζεν αυτους. *Job. i.* 5. περιεκαθαρεν Ιησους τους υἱους

Ισραηλ. *Jos. v.* 4. και περικαθαριει Κυριος την καρδιαν σου. *Deut. xxx.* 6. *Conf.* 1 *Pet. i.* 22. απο πασης ἁμαρτιας καθαρισον καρδιαν. *Sir. xxxviii.* 10. πως γαρ εσται δικαιος βροτος εναντι Κυριου; η τις αν αποκαθαρισαι αυτον γεννητος γυναικος; κ. τ. λ. *Job. xxv.* 4-6. *Conf. Heb. ix.* 13. 1 *Pet. i.* 22.

10 Νυν ουν τι πειραζετε τον Θεον, επιθειναι ζυγον επι τον τραχηλον των μαθητων, ὁν ουτε οἱ πατερες ἡμων ουτε ἡμεις ισχυσαμεν βαστασαι;

και τι πειραζετε Κυριον; *Exod. xvii.* 2. εισαγαγῃ τον τραχηλον αυτου ὑπο τον ζυγον. *Jer. xxxiv.* 8. 11. ζυγον σιδηρουν εθηκα επι τον τραχηλον. *xxxv.* 14. ὁ εαν επιθῃς επ' εμε βαστασω. 4 *Reg. xviii.* 14. *Conf. Matt. xi.* 29. *xxiii.* 4. *Gal. v.* 1. *Sir. xiii.* 2.

11 Αλλα δια της χαριτος Κυριου Ιησου Χριστου πιστευομεν σωθηναι, καθ' ὁν τροπον κακεινοι.

μη πιστευετω αποστραφηναι. *Job. xv.* 22. *Conf. Ephes. ii.* 4. 8. *Tit. iii.* 4. *Rom. iii.* 24. *Gal. ii.* 21. κατα παντα τροπον. *Num. xviii.* 7. κατ' ουδενα τροπον. 2 *Mac. xi.* 31. *Sir. xlii.* 1, 2.

12 Εσιγησε δε παν το πληθος, και ηκουον Βαρναβα και Παυλου εξηγουμενων ὁσα εποιησεν ὁ Θεος σημεια και τερατα εν τοις εθνεσι δι' αυτων.

τα σημεια και τα τερατα. *Deut. xix.* 3. και εποιησε τα σημεια εναντιον του λαου. *Exod. iv.* 30. ἁ εποιησα εν αυτοις. *x.* 2. *Conf. cap. xiv.* 27. *xxi.* 19.

13 Μετα δε το σιγησαι αυτους, απεκριθη Ιακωβος λεγων, Ανδρες αδελφοι, ακουσατε μου.

απεκριθη; *Conf. Esa. xiv.* 10. *Zach. i.* 10. ακουσατε μου, σοφοι. *Job. xxxiv.* 2. 10. *Ezech. xlvi.* 26.

14 Συμεων εξηγησατο, καθως πρωτον ὁ Θεος επεσκεψατο λαβειν εξ εθνων λαον επι τῳ ονοματι αὑτου·

του εξηγησασθαι ἡ ἡμερᾳ ακαθαρτον, και ἡ ἡμερᾳ καθαρισθησεται. *Lev. xiv.* 57. και επισκεψομαι του αγαθωσαι αυτους. *Jer. xxxix.* 41. τι—υἱος ανθρωπου, ὁτι επισκεπτῃ αυτον; *Ps. viii.* 5. ελεησον λαον, Κυριε, κεκλημενον επ' ονοματι σου. *Sir. xxxvi.* 12. λαβειν. *Conf. Num. xxv.* 4. *Heb. v.* 1. *Pet. ii.* 9.

15 Και τουτῳ συμφωνουσιν οἱ λογοι των προφητων, καθως γεγραπται,

και οἱ καταλοιποι λογοι Σαλωμων. 2 *Par. ix.* 29. [τα μεν αλλα

παντα συμφωνουντα τους προφητας αλληλοις ειπειν συνεβη. Jos. Ant. x. 7. 2.] *κατα τα γεγραμμενα νομῳ. Esd. iii. 2.*

16 Μετα ταυτα αναστρεψω και ανοικοδομησω την σκηνην Δαβιδ την πεπτωκυιαν· και τα κατεσκαμμενα αυτης ανοικοδομησω, και ανορθωσω αυτην·

17 Ὁπως αν εκζητησωσιν οἱ καταλοιποι των ανθρωπων τον Κυριον, και παντα τα εθνη, εφ᾽ οὓς επικεκληται το ονομα μου επ᾽ αυτους· λεγει Κυριος ὁ ποιων ταυτα παντα.

16, 17.] *εν τῃ ἡμερᾳ εκεινῃ αναστησω την σκηνην Δαυιδ την πεπτωκυιαν, και ανοικοδομησω τα πεπτωκοτα αυτης, και τα κατεσκαμμενα αυτης αναστησω, και ανοικοδομησω αυτην, καθως αἱ ἡμεραι του αιωνος· ὁπως εκζητησωσιν κ. τ. λ. Amos. ix.* 11, 12. *Conf.* 2 *Mac. viii.* 15. *CITAT.* 134.

18 Γνωστα απ᾽ αιωνος εστι τῳ Θεῳ παντα τα εργα αυτου.

παντα γνωστα εστω τῳ Κυριῳ *ἡμων.* 1 *Esd. vi.* 8. *απ᾽ αιωνος, και ἑως αιωνος. Jer. xxv.* 5. *Conf. Sir. xxxvi.* 11. *Judith. ix.* 6. *Act. iv.* 28. *ii.* 23. *Esa. xli.* 22, 23. *xliv.* 7.

19 Διο εγω κρινω μη παρενοχλειν τοις απο των εθνων επιστρεφουσιν επι τον Θεον·

κρινομεν το τε ἱερον αυτοις αποκατασταθηναι. 2 *Mac. xi.* 25. *Sap. viii.* 9. *ουχ ἑξει εξουσιαν—και παρενοχλειν τινα αυτων.* 1 *Mac. x.* 35. *Jud. xiv.* 17. *xvi.* 16. *Alex. Ald. Comp. ουκ ηβουλομεθα ουν παρενοχλειν ὑμιν. Mac. xii.* 14. *επιστραφητε επ᾽ εμε, και σωθησεσθε. Esa. xlv.* 22. *lv.* 7. *Sir. xvii.* 25. *Ose. xiv.* 2. *Mich. vi.* 8.

20 Αλλα επιστειλαι αυτοις του απεχεσθαι απο των αλισγηματων των ειδωλων και της πορνειας και του πνικτου και του αἱματος.

απεχομενος απο παντος πονηρου πραγματος. Job. i. 1. 8. *του απεχεσθαι. Ps. cxlix.* 7-9. *αλισγησει την ψυχην αυτου εν εδεσμασιν αλλοτριοις. Sir. xl.* 29. *αρτους ηλισγημενους. Mal. i.* 7. *Dan. i.* 8. *Sir. xl.* 29. *και παν αἱμα ουκ εδεσθε. Lev. iii.* 17. *Deut. xii.* 23. *Gen. ix.* 4. *επιστειλαι αυτοις, per litteras iis præcipiendum.* [*ὁ δε* Αγριππας*—δελτον λαβων ταυτα επιστελλει. Philo ad Cai. p.* 1031.] *Conf. cap. xxi.* 25. *Lev. xvii.* 14. *Sap. xiv.* 26. [*αλισγημα. vox mere Hellenistica. Schleusn. Conf. Sturz. de dialect. Maced. p.* 145. *της μεταληψεως των μιαρων θυσιων. Hesych.*] *Num. xxv.* 1.

21 Μωσης γαρ εκ γενεων αρχαιων κατα πολιν τους κηρυσ-

σοντας αυτον εχει εν ταις συναγωγαις κατα παν σαββατον αναγινωσκομενος.

και ειπαν τῳ Εσδρᾳ τῳ γραμματει, ενεγκαι το βιβλιον νομου Μωυσῃ, ὁν ενετειλατο Κυριος τῳ Ισραηλ. και ηνεγκεν κ. τ. λ. Neh. viii. 1, 2. την σοφιαν κηρυξεις. Prov. viii. 1. δια πολλων γενεων. Esa. xxiv. 22. Ezech. iv. 14. κατα πολιν. 1 Mac. i. 52.

22 Τοτε εδοξε τοις αποστολοις και τοις πρεσβυτεροις συν ολῃ
τῃ εκκλησιᾳ, εκλεξαμενους ανδρας εξ αυτων πεμψαι εις Αν-
τιοχειαν συν τῳ Παυλῳ και Βαρναβᾳ, Ιουδαν τον επικαλου-
μενον Βαρσαβαν, και Σιλαν, ανδρας ἡγουμενους εν τοις αδελ-
φοις,

εδοξε δε ἡμιν δεξασθαι την ασπιδα. 1 Mac. xv. 20. καθαπερ δεδοκται εμοι. 1 Esd. viii. 11. εβουλευσατο—και πασα ἡ εκκλησια. 2 Par. xxx. 2. και ολη εκκλησια. xxx. 24. Ald. ανηρ ἡγουμενος εν Ισραηλ. 3 Reg. ix. 5. Ιωσηφ—ἡγουμενος αδελφων. Sir. xlix. 15. [οἱ των πατριων ἡγεμονες των Ισραηλιτων. Jos. Ant. xi. 4. 4. ἡγεμονες των Ιουδαιων. Ib.]

23 Γραψαντες δια χειρος αυτων ταδε, Οἱ αποστολοι και οἱ
πρεσβυτεροι και οἱ αδελφοι, τοις κατα την Αντιοχειαν και
Συριαν και Κιλικιαν αδελφοις τοις εξ εθνων, χαιρειν.

και εγραψεν αυτῳ επιστολην τοιαυτην. 1 Mac. xiii. 35. δια χειρος. Lev. x. 11. Τοις αδελφοις τοις κατ' Αιγυπτον Ιουδαιοις χαιρειν· οἱ αδελφοι οἱ εν Ἱεροσολυμοις Ιουδαιοι, και οἱ εν τῃ χωρᾳ της Ιουδαιας, ειρηνην αγαθην, κ.τ.λ. 2 Mac. i. 1. Conf. 1 Mac. x. 17, 18. 2 Mac. xi. 27-32, 34-38. Jac. i. 1. Act. xxiii. 26.

24 Επειδη ηκουσαμεν ὁτι τινες εξ ἡμων εξελθοντες εταραξαν
ὑμας λογοις, ανασκευαζοντες τας ψυχας ὑμων, λεγοντες πε-
ριτεμνεσθαι και τηρειν τον νομον, οἱς ου διεστειλαμεθα,

μη ταρασσετωσαν σε οἱ διαλογισμοι σου. Dan. v. 10. ὁσα διεστειλατο αυτοις ὁ Θεος. Judith. xi. 12. Ezech. iii. 18-21. διαστρεφετε τας διανοιας. Num. xxxii. 7. απεστησαν την καρδιαν. 9. Conf. Gal. ii. 4. 2 Tim. ii. 14. Tit. i. 11. μη ακουετε τους λογους των προφητων, ὁτι ματαιουσιν ἑαυτοις ὁρασιν, απο καρδιας αυτων λαλουσι, και ουκ απο στοματος Κυριου. κ. τ. λ. Jer. xxiii. 16, 17. [ανασκευαζειν, corrumpere. Conf. Krebs.]

25 Εδοξεν ἡμιν γενομενοις ὁμοθυμαδον, εκλεξαμενους ανδρας
πεμψαι προς ὑμας, συν τοις αγαπητοις ἡμων Βαρναβᾳ και
Παυλῳ,

και εμελετησα· νυκτος μετα της καρδιας μου ηδολεσχουν, και εσκαλλον το πνευμα μου. Ps. lxxvi. 6. απεκριθη δε πας ὁ λαος ὁμοθυμαδον. Exod. xix. 8. εκλεξασθε ἑαυτοις ανδρα, και καταβητω. 1 Reg. xvii. 8. ὁταν δῳ τοις αγαπητοις αυτου ὑπνον. Ps. cxxvi. 2. Conf. 1 Mac. xii. 6-18. και γνους ὁ βασιλευς περι τουτου πεμψατω προς ἡμας. Esd. v. 17.

26 *Ανθρωποις παραδεδωκοσι τας ψυχας αὑτων ὑπερ του ονοματος του Κυριου ἡμων Ιησου Χριστου.*

παρεδωκαν τα σωματα αυτων εις πυρ. Dan. iii. 28. των ὑπερ Θεου νομον ἑως θανατου πονων ὑπεριδοντες. 4 Mac. i. 9. και νυν τεκνα ζηλωσατε τῳ νομῳ, και δοτε τας ψυχας ὑμων ὑπερ διαθηκης πατερων ἡμων. 1 Mac. ii. 50. Sir. vii. 21. Ps. xliii. 22.

27 *Απεσταλκαμεν ουν Ιουδαν και Σιλαν, και αυτους δια λογου απαγγελλοντας τα αυτα.*

τα αυτα = κατα την ὡραν ταυτην. 3 Mac. ii. 19.

28 *Εδοξε γαρ τῳ ἁγιῳ Πνευματι και ἡμιν, μηδεν πλεον επιτιθεσθαι ὑμιν βαρος, πλην των επαναγκες τουτων,*

βαρος ὑπερ σε μη αρῃς. Sir. xiii. 2. Conf. ver. 10. μελλοντες ουν αγειν τον καθαρισμον, εγραψαμεν ὑμιν· καλως ουν ποιησετε αγοντες τας ἡμερας. 2 Mac. ii. 16. [επαναγκες. Jos. Ant. xvi. 11. 2.]

29 *Απεχεσθαι ειδωλοθυτων και αἱματος και πνικτου και πορνειας· εξ ὡν διατηρουντες ἑαυτους, ευ πραξετε. ερρωσθε.*

και διατηρων τας χειρας αυτου μη ποιειν αδικα. Esa. lvi. 2. Prov. vii. 5. Ps. xi. 7. ειδωλοθυτον. 4 Mac. 5. πολλα χαιρειν, και ὑγιαινειν, και ευπραττειν. 2 Mac. ix. 19. ερρωσθε. 2 Mac. xi. 33.

30 *Οἱ μεν ουν απολυθεντες ηλθον εις Αντιοχειαν· και συναγαγοντες το πληθος, επεδωκαν την επιστολην.*

και απελυσεν αυτον, και απηλθε. Ps. xxxiii. 1. εδωκα αυτοις τας επιστολας του βασιλεως. Neh. ii. 7. 9.

31 *Αναγνοντες δε εχαρησαν επι τῃ παρακλησει.*

και εχαρη επ' αυτοις. Esa. xxxix. 2. και εχαρη Ιωνας επι τῃ κολοκυνθῃ. Jon. iv. 6. και παρεκαλεσα αυτον, και εδωκα αυτῳ παρακλησιν αληθινην. Esa. lvii. 18. lxvi. 11. εις παρακλησιν επι τεθνηκοτι. Jer. xvi. 7. ανεγνω τας επιστολας. 1 Mac. x. 7.

32 *Ιουδας δε και Σιλας, και αυτοι προφηται οντες, δια λογου πολλου παρεκαλεσαν τους αδελφους, και επεστηριξαν.*

προφηται και διδασκαλοι. Cap. xiii. 1. εστηρικται ἡ καρδια αυ-

του. *Ps. xi.* 8. Ισχυσατε χειρες ανειμεναι, και γονατα παραλελυμενα, κ. τ. λ. *Esa. xxxv.* 3, 4.

33 Ποιησαντες δε χρονον, απελυθησαν μετ᾽ ειρηνης απο των αδελφων προς τους αποστολους.

δικαιοι ποιησουσιν εν πλουτῳ ετη πολλα. *Prov. xiii.* 23. *Tob. x.* 7. πορευου εις ειρηνην. 1 *Reg. i.* 17. και εξαπεστειλαμεν σε μετ᾽ ειρηνης. *Gen. xxvi.* 29.

34 Εδοξε δε τῳ Σιλᾳ επιμειναι αυτου.

επιμειναι αυτου. *Conf. Exod. xxiv.* 12. *Num. xxii.* 19.

35 Παυλος δε και Βαρναβας διετριβον εν Αντιοχειᾳ, διδασκοντες και ευαγγελιζομενοι, μετα και ἑτερων πολλων, τον λογον του Κυριου.

36 Μετα δε τινας ἡμερας ειπε Παυλος προς Βαρναβαν, Επιστρεψαντες δη επισκεψωμεθα τους αδελφους ἡμων κατα πασαν πολιν, εν αἱς κατηγγειλαμεν τον λογον του Κυριου, πως εχουσι.

μετα τας ἑβδομαδας τας ἑξηκονταδυο. *Dan. ix.* 26. ηρωτησε δε αυτος, Πως εχετε; *Gen. xliii.* 27. και τους αδελφους επισκεψῃ εις ειρηνην, και ὁσα αν χρῃσωσιν, γνωσῃ. 1 *Reg. xvii.* 18. *Alex.* δη, *nunc, agedum. Conf. Sir. xlii.* 15. *xliv.* 1. *Gen. xviii.* 4.

37 Βαρναβας δε εβουλευσατο συμπαραλαβειν τον Ιωαννην τον καλουμενον Μαρκον·

συμπαραλαμβανοντες ἁμα και τας τρεις αδελφας αυτων. *Job. i.* 4. εβουλευσατο, *consilium dederat. Ita* 2 *Reg. xvi.* 23. *Conf. Col. iv.* 10, 2 *Tim. iv.* 11. *Philem.* 24.

38 Παυλος δε ηξιου, τον αποσταντα απ᾽ αυτων απο Παμφυλιας, και μη συνελθοντα αυτοις εις το εργον, μη συμπαραλαβειν τουτον.

ου μη αποστωμεν απο σου. *Ps. lxxix.* 18. *Conf. cap. xiii.* 13. και συνεισελευσεται σοι εις κρισιν; *Job. xxii.* 4. Παυλος δε ηξιου—*Paulus autem nolebat—Sap. xiii.* 18. *Sir. li.* 18. 1 *Mac. xi.* 28. 66. υἱοι Εφραϊμ εντεινοντες και βαλλοντες τοξον, εστραφησαν εν ἡμερᾳ πολεμου. *Ps. lxxvii.* 9. [*Conf. Krebs. ad loc.*]

39 Εγενετο ουν παροξυσμος, ὡστε αποχωρισθηναι αυτους απ᾽ αλληλων, τον τε Βαρναβαν παραλαβοντα τον Μαρκον εκπλευσαι εις Κυπρον·

παροξυσμος. *Deut. xxix.* 28. *Jer. xxxix.* 37. διαχωρισθητι απ᾽

εμου. *Gen. xiii.* 9. μη οργιζεσθε εν τῃ οδῳ. *xlv.* 24. ὡστε. *Jos. x.* 14. *Conf. Ps. lxxv.* 10. *cv.* 33. *Eccles. vii.* 10. *Prov. xxv.* 10.

40 Παυλος δε επιλεξαμενος Σιλαν εξηλθε παραδοθεις τῃ χαριτι του Θεου ὑπο των αδελφων.

Conf. cap. xiv. 26. και νυν ευλογημενος συ ὑπο Κυριου. *Gen. xxvi.* 29. ὁ Θεος ελεησαι σε. *xliii.* 29. *Num. vi.* 24. 26.

41 Διηρχετο δε την Συριαν και Κιλικιαν, επιστηριζων τας εκκλησιας.

Conf. Gal. i. 21. *Inf. xvi.* 5. επιστηριζων. *Esa. xxvi.* 6.

Dec. 29. 1651.

ΚΕΦ. ιϛ. 16.

ΚΑΤΗΝΤΗΣΕ δε εις Δερβην και Λυστραν· και ιδου, μαθητης τις ην εκει, ονοματι Τιμοθεος, υἱος γυναικος τινος Ιουδαιας πιστης, πατρος δε Ἑλληνος·

κατηντησεν εις Ἱερουσαλημ. 2 *Mac. iv.* 21. 1 *Esd. ix.* 1. *Conf. Rom. xvi.* 21. 1 *Cor. iv.* 17. *Phil. ii.* 19. 1 *Thess. iii.* 2. 1 *Tim. i.* 2. 2 *Tim. i.* 5. [καταντησωσι· παραγινωνται. *Suid.*]

2 Ὁς εμαρτυρειτο ὑπο των εν Λυστροις και Ικονιῳ αδελφων.

[εγω μεν μαρτυρω σοι πολλην περι εμε σπουδην και ευνοιαν. *Jos. Ant. vi.* 14. 6. *Vide Krebs. p.* 115.] 3 *Joan.* 12. *Cap. xxii.* 12.

3 Τουτον ηθελησεν ὁ Παυλος συν αὐτῳ εξελθειν, και λαβων περιετεμεν αυτον, δια τους Ιουδαιους τους οντας εν τοις τοποις εκεινοις· ηδεισαν γαρ ἁπαντες τον πατερα αυτου, ὁτι Ἑλλην ὑπηρχεν.

Conf. 1 *Cor. ix.* 20. *Gal. ii.* 3. [*Conf. Kuinoel. ad loc.*]

4 Ὡς δε διεπορευοντο τας πολεις, παρεδιδουν αυτοις φυλασσειν τα δογματα τα κεκριμενα ὑπο των αποστολων και των πρεσβυτερων των εν Ἱερουσαλημ.

διαπορευομενοι πολιν. 2 *Par. xxx.* 10. και φυλαξεσθε παντα τα νομιμα μου. *Lev. xviii.* 26. ουχ ὑπεταγη τῳ δογματι σου. *Dan. vi.* 13. [σπουδαζετε ουν βεβαιωθηναι εν τοις δογμασι του Κυριου και των Αποστολων. *Ignat. ad Magn. p.* 37.] 2 *Par. xx.* 20.

5 Αἱ μεν ουν εκκλησιαι εστερεουντο τῃ πιστει, και επερισσευον τῳ αριθμῳ καθ' ἡμεραν.

εστερεωθη ἡ καρδια μου εν Κυριῳ. 1 *Reg. ii.* 1. στερεωσον λογον, και πιστωθητι. *Sir. xxix.* 3. και περισσευσει πασι τοις αγαθοις. *Jer. xxxvii.* 10. *Comp. et Theod.* καθ' ἡμεραν. *Num. iv.* 16. εμπι-

στευσατε εν Κυριῳ Θεῳ ἡμων, και εμπιστευθησεσθε· εμπιστευσατε εν προφητῃ αυτου, και ευοδωθησεσθε. 2 *Par. xx.* 20. *εαν μη πιστευσητε, ουδε μη συνητε. Esa. vii.* 9.

6 *Διελθοντες δε την Φρυγιαν και την Γαλατικην χωραν, κωλυθεντες ὑπο του ἁγιου Πνευματος λαλησαι τον λογον εν τῃ Ασιᾳ,*

και τα ωτα σου ακουσονται τους λογους των οπισω σε πλανησαντων, οἱ λεγοντες, Αὑτη ἡ ὁδος, πορευθωμεν εν αυτῃ κ. τ. λ. Esa. xxx. 21. *καθως εκωλυσε σε Κυριος του μη ελθειν.* 1 *Reg. xxv.* 26.

7 *Ελθοντες κατα την Μυσιαν επειραζον κατα την Βιθυνιαν πορευεσθαι· και ουκ ειασεν αυτους το Πνευμα.*

εασον με εισελθειν προς σε. Gen. xxxviii. 16. *ουκ αφιησι με ὁ Θεος πορευεσθαι μεθ' ὑμων. Num. xxii.* 13. *Esa. xlviii.* 16. *Agg. ii.* 6.

8 *Παρελθοντες δε την Μυσιαν, κατεβησαν εις Τρωαδα.*

Conf. cap. xx. 6. 2 *Cor. ii.* 12. 2 *Tim. iv.* 13.

9 *Και ὁραμα δια της νυκτος ωφθη τῳ Παυλῳ· Ανηρ τις ην Μακεδων ἑστως, παρακαλων αυτον και λεγων, Διαβας εις Μακεδονιαν, βοηθησον ἡμιν.*

τοτε τῳ Δανιηλ εν ὁραματι της νυκτος το μυστηριον απεκαλυφθη. Dan. ii. 19. *ειπε δε ὁ Θεος τῳ Ισραηλ εν ὁραματι της νυκτος, ειπων. Gen. xlvi.* 2. *Conf. Matt. i.* 20. *επικαταρατος—ὁτι ουκ ηλθοσαν εις βοηθειαν Κυριου, κ. τ. λ. Jud. v.* 23. *Conf.* 2 *Par. xiv.* 11. *Esa. xli.* 10. *ην ἑστως = εστω διαχωριζον. Gen. i.* 6.

10 *Ὡς δε το ὁραμα ειδεν, ευθεως εζητησαμεν εξελθειν εις την Μακεδονιαν, συμβιβαζοντες ὁτι προσκεκληται ἡμας ὁ Κυριος ευαγγελισασθαι αυτους.*

και ειδον εν ὁραματι. Dan. viii. 2. *Ald. Comp. συμβιβω σε εν ὁδῳ ταυτῃ ᾑ πορευσῃ. Ps. xxxi.* 8. *και ευαγγελιζομενοι οὑς Κυριος προσκεκληται. Joel. ii.* 32. *Conf. Exod. iii.* 18. *Prov. iii.* 27, 28.

11 *Αναχθεντες ουν απο της Τρωαδος, ευθυδρομησαμεν εις Σαμοθρακην, τῃ τε επιουσῃ εις Νεαπολιν,*

ἡ επιουσα (ἡμερα). Prov. xxvii. 1. *Conf. Act. xx.* 15. *xxi.* 18. *vii.* 26. [*ευθυδρομειν. Philo. de Agric. p.* 102.] [*αναγοντο· ανεπλεον. Hesych.*]

12 *Εκειθεν τε εις Φιλιππους, ἡτις εστι πρωτη της μεριδος της Μακεδονιας πολις κολωνια. Ημεν δε εν ταυτῃ τῃ πολει διατριβοντες ἡμερας τινας.*

και διατριψει—ἑπτα ἡμερας. Lev. xiv. 8. *μερισατε την γην ἑπτα*

μεριδας. Jos. xviii. 6. Gen. xxxiii. 19. *μεριδαρχης.* 1 *Mac. x.* 65. [*κολωνια. Lat. colonia.*] *Conf. Kuinoel.*

13 *Τῃ τε ἡμερα των σαββατων εξηλθομεν εξω της πολεως παρα ποταμον, οὑ ενομιζετο προσευχη ειναι, και καθισαντες ελαλουμεν ταις συνελθουσαις γυναιξι.*

τῃ ἡμερα των σαββατων. Ezech. xlvi. 4. 12. *ενομιζετο.* 2 *Mac. xiv.* 4. *τοπον προσευχης.* 3 *Mac. vii.* 20. [*δεδοχθαι ἡμιν* Ιουδαιων *τους βουλομενους—τας* Προσευχας *ποιεισθαι προς τῃ θαλασσῃ κατα το πατριον εθος. Jos. Ant. xiv.* 10. 23.] [*Philo in Flac. p.* 752, 753. *Edit. Col.*]

14 *Και τις γυνη ονοματι* Λυδια, *πορφυροπωλις πολεως* Θυατειρων, *σεβομενη τον* Θεον, *ηκουεν· ἡς ὁ* Κυριος *διηνοιξε την καρδιαν προσεχειν τοις λαλουμενοις ὑπο του* Παυλου.

και τον Κυριον Θεον *ουρανου εγω σεβομαι. Jon. i.* 9. *και διανοιξαι την καρδιαν ὑμων εν τῳ νομῳ.* 2 *Mac. i.* 4. *Gen. iii.* 5. *και λαλησω επι την καρδιαν αυτης. Ose. ii.* 14, 15. *Zach. xii.* 4. *ὡν ἡψατο* Κυριος *καρδιας αυτων.* 1 *Reg. x.* 26. *και ου προσεσχον τοις λογοις αυτων.* 1 *Mac. vii.* 11. *ὁ πιστευων νομῳ προσεχει εντολαις. Sir. xxxv.* 24. *ουδε ηθελον εμαις προσεχειν βουλαις. Prov. i.* 36. *Conf. Neh. ii.* 12. *vii.* 5. *Esd. vii.* 27. Κυριος *δε εμεγαλυνε την καρδιαν μου. Job. xxiii.* 16. *μετα σου ἡ αρχη εν ἡμερα της δυναμεως σου, εν ταις λαμπροτησι των ἁγιων σου. Ps. cix.* 3. *και ἡ παιδεια* Κυριου Κυριου *ανοιγει μου τα ωτα. κ. τ. λ. Esa. l.* 5. *επιστρεψον ἡμας* Κυριε *προς σε, και επιστραφησομεθα. Thren. v.* 21. *εν τῳ φωτι σου οψομεθα φως. Ps. xxxv.* 9.

15 *Ὡς δε εβαπτισθη, και ὁ οικος αυτης, παρεκαλεσε λεγουσα,* Ει *κεκρικατε με πιστην τῳ* Κυριῳ *ειναι, εισελθοντες εις τον οικον μου, μεινατε· και παρεβιασατο ἡμας.*

ει αρα εὑρον χαριν εναντιον σου κ. τ. λ. Gen. xviii. 3. *xxxiii.* 11. *συ και πας ὁ οικος σου. Gen. vii.* 1. *xviii.* 3-5. *και παρεβιαζοντο αυτον οἱ παιδες αυτου.* 1 *Reg. xxviii.* 23. 4 *Reg. v.* 16. *και κατεβιασατο αυτους, και εξεκλιναν προς αυτον· και εισηλθον εις τον οικον αυτου. Gen. xix.* 3. *xxxiii.* 11. *Jud. xix.* 21.

16 Εγενετο *δε πορευομενων ἡμων εις προσευχην, παιδισκην τινα εχουσαν πνευμα* Πυθωνος *απαντησαι ἡμιν, ἡτις εργασιαν πολλην παρειχε τοις κυριοις αὑτης, μαντευομενη.*

[Πυθων, *ὁ εγγαστριμυθος, η εγγαστριμαντις. Hesych.*] *Conf.* 1 *Reg. xxviii.* 7. *Deut. xviii.* 10. *Lev. xix.* 31. [*ἡντιν' αν εργασιαν αιτησεται μοι, διδωμι αυτῳ. Act. Thom. c.* 16.]

17 Αὑτη κατακολουθησασα τῳ Παυλῳ και ἡμιν, εκραζε λεγουσα, Οὑτοι οἱ ανθρωποι δουλοι του Θεου του ὑψιστου εισιν, οἱτινες καταγγελλουσιν ἡμιν ὁδον σωτηριας.

οἱ δουλοι του Θεου του Ὑψιστου. *Dan. iii.* 20. εγνωρισας μοι ὁδους ζωης. *Ps. xv.* 11. *Prov. x.* 17. *Conf. Num. xxii. xxiii. Marc. v.* 7.

18 Τουτο δε εποιει επι πολλας ἡμερας. διαπονηθεις δε ὁ Παυλος, και επιστρεψας, τῳ πνευματι ειπε, Παραγγελλω σοι, εν τῳ ονοματι Ιησου Χριστου, εξελθειν απ᾽ αυτης. Και εξηλθεν αυτῃ τῃ ὡρᾳ.

εφ᾽ ἡμερας ἑκατον. *Judith. i.* 16. διαπονηθεις (*indignabundus*). *Gen. vi.* 6. ενεθυμηθη. *Aq.* και εν τῳ ονοματι σου αγαλλιασονται. *Ps. lxxxviii.* 16. προφητευσον υἱε ανθρωπου, και ειπον τῳ πνευματι. *Ezech. xxxvii.* 9. αυτῃ τῃ ὡρᾳ ὁ λογος συνετελεσθη. *Dan. iv.* 30. *Conf. Marc. xvi.* 17. *Act. iii.* 6. *ix.* 34. *iv.* 10. *v.* 42.

19 Ιδοντες δε οἱ κυριοι αυτης, ὁτι εξηλθεν ἡ ελπις της εργασιας αὑτων, επιλαβομενοι τον Παυλον και τον Σιλαν, εἱλκυσαν εις την αγοραν επι τους αρχοντας·

και ειπεν ὁ νεανιας προς τον κυριον αυτου. *Jud. xix.* 11. εργασια. *Sir. vii.* 15. και εἱλκυσαν αυτον τοις σχοινιοις. *Jer. xlv.* 13. 2 *Cor. vi.* 5. ερριπται εν τῃ αγορᾳ. *Tob. ii.* 3.

20 Και προσαγαγοντες αυτους τοις στρατηγοις, ειπον, Οὑτοι οἱ ανθρωποι εκταρασσουσιν ἡμων την πολιν, Ιουδαιοι ὑπαρχοντες·

δεινως εξεταραξαν αυτους. *Sap. xviii.* 17. *Ezra. iv.* 12. ει συ ει αυτος ὁ διαστρεφων τον Ισραηλ; κ. τ. λ. 3 *Reg. xviii.* 17, 18. ὑπαρχει εθνος διεσπαρμενον εν τοις εθνεσι, κ. τ. λ. *Est. iii.* 8.

21 Και καταγγελλουσιν εθη, ἁ ουκ εξεστιν ἡμιν παραδεχεσθαι ουδε ποιειν, Ῥωμαιοις ουσι.

ασεβες εθος. *Sap. xiv.* 16. 2 *Mac. xi.* 25. τα νομιμα των εθνων ματαια. *Jer. x.* 3. καταγγελλειν. *Ps. iii.* 9. *Sym.* [κηρυσσειν. *Hesych.*]

22 Και συνεπεστη ὁ οχλος κατ᾽ αυτων, και οἱ στρατηγοι, περιρρηξαντες αυτων τα ἱματια, εκελευον ῥαβδιζειν·

συνεστη ὁ λαος επι Ααρων. *Exod. xxxii.* 1. *Num. xvi.* 3. *alii.* και τους χιτωνας περιρρηξας. 2 *Mac. iv.* 38. *Conf. Deut. xxv.* 2. 2 *Cor. xi.* 25. 1 *Thess. ii.* 2. *Phil. i.* 13. *Cap. xvi.* 22. *Ephes. ii.* 21.

23 Πολλας τε επιθεντες αυτοις πληγας, εβαλον εις φυλακην, παραγγειλαντες τῳ δεσμοφυλακι, ασφαλως τηρειν αυτους·

πολλας επιρριπτουντες αυτῳ πληγας. 2 *Mac. iii.* 26. *Conf. Zach. xiii.* 6. *και ενεβαλοσαν αυτον εις οικιαν της φυλακης. Jer. xliv.* 21. *αρχιδεσμοφυλαξ. Gen. xxxix.* 21-23. *και επεταξεν εκει δυναμιν τηρειν αυτο.* 1 *Mac. iv.* 61. *θες ασφαλως. Tob. vi.* 4. *Conf.* 3 *Reg. xxii.* 27. 2 *Par. xviii.* 26.

24 *Ὁς παραγγελιαν τοιαυτην ειληφως, εβαλεν αυτους εις την εσωτεραν φυλακην, και τους ποδας αυτων ησφαλισατο εις το ξυλον.*

ασφαλισαμενος σιδηρῳ. Sap. xiii. 15. *εταπεινωσαν εν πεδαις τους ποδας αυτου, κ. τ. λ. Ps. civ.* 18. *εθετο δε εν ξυλῳ τον ποδα μου. Job. xxxiii.* 11. *εθου δε μου τον ποδα εν κωλυματι. xiii.* 27. *και εθηκας εν ξυλοπεδῃ τον ποδα μου. Job. xiii.* 27. *Aq. απο ξυλου ειρκτης. Sym. Conf. Jer. xliv.* 15. *Thren. iii.* 33-35.

25 Κατα *δε το μεσονυκτιον* Παυλος *και* Σιλας *προσευχομενοι ὑμνουν τον* Θεον· *επηκροωντο δε αυτων οἱ δεσμιοι.*

και περιεπατουν εν μεσῳ της φλογος, ὑμνουντες τον Θεον *και ευλογουντες τον* Κυριον, *κ. τ. λ. Dan. iii.* 23, 24. *εγενετο δε εν τῳ μεσονυκτιῳ. Ruth. iii.* 8. *μεσονυκτιον εξεγειρομην του εξομολογεισθαι σοι. Ps. cxviii.* 62. *ὑμνειτε* Κυριον. *Esa. xii.* 4. *επακροασις.* 1 *Reg. xv.* 22. *Conf. cap. iv.* 31. [*και επηκροατο μου. Test. XII Patr. p.* 710.] *εν σοι ἡ ὑμνησις μου διαπαντος. Ps. lxx.* 6.

26 Αφνω *δε σεισμος εγενετο μεγας, ὡστε σαλευθηναι τα θεμελια του δεσμωτηριου· ανεῳχθησαν τε παραχρημα αἱ θυραι πασαι, και παντων τα δεσμα ανεθη.*

εσται σεισμος μεγας. Ezech. xxxviii. 19. *σαλευθησονται παντα τα θεμελια. Ps. lxxxi.* 5. *ανεῳξε τας θυρας οικου* Κυριου. 2 *Par. xxix.* 3. *εξαγαγειν εκ δεσμων δεδεμενους. Esa. xlii.* 7. *xlv.* 1. Κυριος *λυει πεπεδημενους. Ps. cxlv.* 7. *παραχρημα. Num. vi.* 9. *Conf. Matt. xxviii.* 2. *Cap. v.* 19. *Sap. x.* 14.

27 Εξυπνος *δε γενομενος ὁ δεσμοφυλαξ, και ιδων ανεῳγμενας τας θυρας της φυλακης, σπασαμενος μαχαιραν, εμελλεν ἑαυτον αναιρειν, νομιζων εκπεφευγεναι τους δεσμιους.*

και εξυπνος εγενετο. 1 *Esd. iii.* 3. *σπασον την μαχαιραν σου, και θανατωσον με. Jud. ix.* 54. *Alex.* 1 *Reg. xxxi.* 4. *αρχιδεσμοφυλαξ. Gen. xxxix.* 21-23. *Conf.* 2 *Reg. xvii.* 23. 3 *Reg. xvi.* 18.

28 Εφωνησε *δε φωνῃ μεγαλῃ ὁ* Παυλος, *λεγων,* Μηδεν *πραξῃς σεαυτῳ κακον· ἁπαντες γαρ εσμεν ενθαδε.*

του φωνησαι—εν φωνῃ. 1 *Par. xv.* 16. *και ουχ ἑξει εξουσιαν ουδεις πρασσειν και παρενοχλειν τινα αυτων.* 1 *Mac. x.* 35. *Prov. xxiv.* 11.

29 Αιτησας δε φωτα εισεπηδησε, και εντρομος γενομενος προσ-
επεσε τω Παυλω και τω Σιλα·

φωτα, *lucernas*. *Ps. cxxxvi.* 7. εισπηδηση εις τον οικον. *Amos. v.* 19. εντρομος εγενηθη ἡ γη. *Ps. xvii.* 7. προσπεσοντων δε τω βασιλει. 2 *Mac. v.* 11. *Conf. Ps. cxviii.* 120. *cxix.* 1. *Esa. lxvi.* 2.

30 Και προαγαγων αυτους εξω, εφη, Κυριοι, τι με δει ποιειν
ἱνα σωθω;

οὑτως ποιησατε ἱνα σωθητε. *Sir. iii.* 1. και πως ἡμεις σωθησομεθα; *Esa. xl.* 6. *Luc. iii.* 10. *Joan. iii.* 16. 1 *Joan. v.* 10. κυριοι. *Gen. xix.* 2. πως γαρ εσται δικαιος βροτος κ. τ. λ. *Job. xxv.* 4.

31 Οἱ δε ειπον, Πιστευσον επι τον Κυριον Ιησουν Χριστον, και
σωθηση συ και ὁ οικος σου.

ἱνα—πιστευσωσιν επι σε Κυριε. *Sap. xii.* 2. ὁ πιστευων επ᾽ αυτω ου μη καταισχυνθη. *Esa. xxviii.* 16. *B. Ald. Comp.* συ και πας ὁ οικος σου. *Gen. vii.* 1. *Conf. Esa. xliii.* 11. εγω ὁ Θεος, και ουκ εστιν αλλος πλην εμου· δικαιος και σωτηρ—επιστραφητε επ᾽ εμε, και σωθησεσθε, κ. τ. λ. *Esa. xlv.* 21, 22. *Ps. xxxvi.* 4.

32 Και ελαλησαν αυτω τον λογον του Κυριου, και πασι τοις
εν τη οικια αυτου.

και ζηση συ και ἡ οικια σου. *Jer. xlv.* 17. των εν τη οικια. *Gen. xxxix.* 11. ελαλησε τον λογον τουτον. 2 *Reg. xiv.* 20. *Ad.* εγω δε και οικια μου λατρευσομεν Κυριω. *Jos. xxiv.* 15.

33 Και παραλαβων αυτους εν εκεινη τη ὡρα της νυκτος ελου-
σεν απο των πληγων, και εβαπτισθη αυτος και οἱ αυτου
παντες παραχρημα·

ελουσεν απο = βαπτιζομενος απο νεκρου. *Sir. xxxi.* 25.

34 Αναγαγων τε αυτους εις τον οικον αὑτου, παρεθηκε τραπε-
ζαν και ηγαλλιασατο, πανοικι πεπιστευκως τω Θεω.

συ δε βασιλευ παραθες τα βρωματα. *Draco.* 11. παραθες αρτους και ὑδωρ ενωπιον αυτων. 4 *Reg. vi.* 22. ἑτοιμασαι τραπεζαν. *Ps. lxxvii.* 20. πανοικι. *Exod. i.* 1. και επιστευσεν Ἁβραμ τω Θεω, και ελογισθη αυτω εις δικαιοσυνην. *Gen. xv.* 6. *Conf.* 1 *Pet. i.* 8. *Luc. v.* 29. *xix.* 6. [μεταστηναι πανοικει. *Philo de Jos. p.* 562. *Vit. Mos. p.* 603.] οἱ αυτου, *sc.* οικειοι. *Bos. p.* 208.

35 Ἡμερας δε γενομενης απεστειλαν οἱ στρατηγοι τους ῥαβ-
δουχους, λεγοντες, Απολυσον τους ανθρωπους εκεινους.

και εγενετο πρωϊ. *Gen. i.* 8. 13. και απελυσεν αυτον. *Ps. xxxiii.* 1. στρατηγοι. *Neh. ii.* 16. *iv.* 14. εκεινους. *Jer. xlv.* 4.

36 Απηγγειλε δε ὁ δεσμοφυλαξ τους λογους τουτους προς τον
Παυλον, ὁτι, Απεσταλκασιν οἱ στρατηγοι, ἱνα απολυθητε· νυν
ουν εξελθοντες, πορευεσθε εν ειρηνῃ.

πορευεσθε εν ειρηνῃ. Jud. xviii. 6. 1 *Reg. i.* 17. *Comp.*

37 Ὁ δε Παυλος εφη προς αυτους, Δειραντες ἡμας δημοσιᾳ,
ακατακριτους, ανθρωπους Ῥωμαιους ὑπαρχοντας, εβαλον εις
φυλακην, και νυν λαθρα ἡμας εκβαλλουσιν· ου γαρ· αλλα ελ-
θοντες αυτοι ἡμας εξαγαγετωσαν.

δημοσια. 3 *Mac. ii.* 27. λαθρα. *Ps. c.* 5. και ενεβαλον αυτον εις τον λακκον. *Dan. vi.* 14. και νυν εξερριψεν ἡμας. *Jud. vi.* 13. και απεθεντο εις φυλακην διακριναι αυτον. *Lev. xxiv.* 12. ου γαρ (*non ita*). *Hoogev. p.* 615. και ειπεν Ἱερεμιας τῳ βασιλει, Τι ηδικησα σε—ὁτι συ διδως με εις οικιαν φυλακης; κ. τ. λ. *Jer. xliv.* 18, 19. εξαγαγε εκ φυλακης την ψυχην μου. *Ps. cxli.* 7. *Conf. Esa. xlii.* 7.

38 Ανηγγειλαν δε τοις στρατηγοις οἱ ῥαβδουχοι τα ῥηματα
ταυτα· και εφοβηθησαν ακουσαντες ὁτι Ῥωμαιοι εισι,

ανηγγειλε δε Μωυσης τα ῥηματα του λαου. *Exod. xix.* 9.

39 Και ελθοντες παρεκαλεσαν αυτους, και εξαγαγοντες ηρω-
των εξελθειν της πολεως.

Conf. Matt. viii. 34. και ανηνεχθη—εκ του λακκου, και πασα διαφθορα ουχ εὑρεθη εν αυτῳ, ὁτι επιστευσεν εν τῳ Θεῳ αυτου. *Dan. vi.* 23. *Conf. Esa. xlv.* 14. *xlix.* 23. *Mich. vii.* 9, 10.

40 Εξελθοντες δε εκ της φυλακης εισηλθον εις την Λυδιαν· και
ιδοντες τους αδελφους, παρεκαλεσαν αυτους, και εξηλθον.

Jan 5. 1851

ΚΕΦ. ιζ. 17.

ΔΙΟΔΕΥΣΑΝΤΕΣ δε την Αμφιπολιν και Απολλωνιαν,
ηλθον εις Θεσσαλονικην, ὁπου ην ἡ συναγωγη των Ιου-
δαιων.

διωδευσαμεν ερημους αβατους. *Sap. v.* 7. ὁπου. *Est. i.* 9. [*De Synag. Jos. Ant. xix.* 6. 3. *Bell. Jud. ii.* 14. *iv.* 5. *vii.* 3. 2.]

2 Κατα δε το ειωθος τῳ Παυλῳ εισηλθε προς αυτους, και επι
σαββατα τρια διελεγετο αυτοις απο των γραφων,

κατα το ειωθος αυτῳ. *Num. xxiv.* 1. *Conf. cap. ix.* 20. *xiii.* 5. *Esa. i.* 18. σαββατα. *Esa. i.* 13. *Ose. ii.* 11. εγω διαλεγομαι δικαιοσυνην. *Esa. lxiii.* 15. γραφων. *Conf. Esd. vi.* 18.

3 Διανοιγων και παρατιθεμενος, ὁτι τον Χριστον εδει παθειν
και αναστηναι εκ νεκρων, και ὁτι οὑτος εστιν ὁ Χριστος Ιησους,
ὁν εγω καταγγελλω ὑμιν.

ηλθε δε Μωυσης και εκαλεσε τους πρεσβυτερους—και παρεθηκεν αυτοις παντας τους λογους τουτους. *Exod. xix.* 7. ανισταται εκ νυκτων. *Prov. xxxi.* 15. οὑτος ὁ νομος ὁν παρεθετο Μωυσης. *Deut. iv.* 44. ἡμεις γαρ δια τας ἑαυτων ἁμαρτιας πασχομεν. 2 *Mac. vii.* 32. αναστησονται οἱ νεκροι. *Esa. xxvi.* 19. *liii. Sophon. iii.* 8. *Job. xlii.* 17. διανοιξαι την καρδιαν ὑμων εν νομῳ. 2 *Mac. i.* 4. απαγγελλων εις ανθρωπους τον Χριστον αυτου. *Amos. iv.* 13.

4 Και τινες εξ αυτων επεισθησαν, και προσεκληρωθησαν τῳ
Παυλῳ και τῳ Σιλᾳ, των τε σεβομενων Ἑλληνων πολυ πλη-
θος, γυναικων τε των πρωτων ουκ ολιγαι.

τον δε σον κληρον βαλε εν ἡμιν. *Prov. i.* 14. Ἑλληνων. *Conf. Joan. vii.* 35. επεισθησαν. *Conf.* 2 *Mac. ix.* 27. πληθος πολυ σφοδρα. *Num. xxxii.* 1. *Alex. O. Ald. Comp.* εθνη—ουκ ολιγα. *Esa. x.* 7. [ἡ ανωτατω συγγενεια εστι πολιτεια μια, και νομος ὁ αυτος, και εἱς Θεος, ᾧπερ οἱ απο του εθνους προσκεκληρωνται. *Philo de Creat. p.* 724. τῳ ποιητῃ και πατρι των ὁλων προσκεκληρωμενοι. *de Fortit. p.* 741.] αυτοις—πρωτοις των κεκλημενων. 1 *Reg. ix.* 22. ὁ ἱερευς ὁ πρωτος. 2 *Par. xxvi.* 20. σεβεται τον Κυριον. *Job. i.* 9. [πεισθηναι γαρ ὑπο της πειρας, αλλ᾽ ουχ ὑπο της ακοης. *Jos. Ant. viii.* 6. 5.]

5 Ζηλωσαντες δε οἱ απειθουντες Ιουδαιοι, και προσλαβομενοι
των αγοραιων τινας ανδρας πονηρους, και οχλοποιησαντες, εθο-
ρυβουν την πολιν· επισταντες τε τῃ οικιᾳ Ιασονος, εζητουν
αυτους αγαγειν εις τον δημον·

εζηλωσαν δε αυτον οἱ αδελφοι αυτου. *Gen. xxxvii.* 11. ζηλος ληψεται λαον απαιδευτον. *Esa. xxvi.* 11. και τους μεμενηκοτας εν τῳ Ιουδαϊσμῳ προσλαβομενοι. 2 *Mac. viii.* 1. ονειροι θορυβησαντες αυτους. *Sap. xviii.* 19. *Sir. xl.* 6. και επεστην επ᾽ αυτον, και εθανατωσα αυτον. 2 *Reg. i.* 10. *Jer. xxi.* 2. 2 *Par. xxii.* 9. και εμισθωσατο ἑαυτῳ Αβιμελεχ ανδρας κενους και δειλους, και επορευθησαν οπισω αυτου. *Jud. ix.* 4. [αγοραιοι, *subrostrani.*]

6 Μη εὑροντες δε αυτους, εσυρον τον Ιασονα και τινας αδελφους
επι τους πολιταρχας, βοωντες, ὁτι, Οἱ την οικουμενην αναστ-
ατωσαντες, οὑτοι και ενθαδε παρεισιν,

αναστατωσαντες. *Dan. vii.* 23. *LXX. Ps. x.* 2. *Aq. Esa. xxii.* 3. *Sym. Deut. xxxiii.* 11. *Conf. Sturz. p.* 146. *Dan. vii.* 23. εσυρον

αυτον επι τα βασανιστηρια. 4 *Mac.* 6. *ιδου* Κυριος *καταφθειρει την οικουμενην. Esa. xxiv.* 1. *και ειπεν* Αχααβ *προς* Ηλιου, Ει *συ ει αυτος ὁ διαστρεφων τον* Ισραηλ; 3 *Reg. xviii.* 17. *xx.* 20. *Amos. vii.* 10. *Conf. Est. iii.* 8, 9. *Jer. xlv.* 4. *Cap. xxviii.* 22.

7 Οὑς *ὑποδεδεκται* Ιασων· *και οὑτοι παντες απεναντι των δογματων* Καισαρος *πραττουσι, βασιλεα λεγοντες ἑτερον ειναι,* Ιησουν.

ὑπεδεξαντο αυτους προθυμως. Tob. vii. 9. 1 *Mac. xvi.* 15. *δογματα. Dan. ii.* 13. *vi.* 8. 15. *απεναντι.* 2 *Reg. x.* 17. *Ezech. xxvi.* 8. *και εν καιρῳ θλιψεως εσται απεναντι. Sir. xxxvii.* 4. *Conf. Esd. iv.* 12. *Dan. iii.* 12. *vi.* 13. *Luc. xxiii.* 2. *Joan. xix.* 39.

8 Εταραξαν *δε τον οχλον και τους πολιταρχας ακουοντας ταυτα·*

Conf. Matt. ii. 3. *Joan. xi.* 48. *xix.* 8.

9 Και *λαβοντες το ἱκανον παρα του* Ιασονος *και των λοιπων, απελυσαν αυτους.*

απελυσεν αυτον. Ps. xxxiii. 1. *ἱκανον. Conf. Gen. xxx.* 15.

10 Οἱ *δε αδελφοι ευθεως δια της νυκτος εξεπεμψαν τον τε* Παυλον *και τον* Σιλαν *εις* Βεροιαν· *οἱτινες παραγενομενοι, εις την συναγωγην των* Ιουδαιων *απῃεσαν.*

παραγενομενοι. Gen. xxvi. 32. *απῃεσαν. Exod. xxxiii.* 8. *Conf. Jos. ii.* 15, 16. *Act. ix.* 25. *οἱτινες. Exod. xxxii.* 10. *Ps. lxxxii.* 12.

11 Οὑτοι *δε ησαν ευγενεστεροι των εν* Θεσσαλονικῃ, *οἱτινες εδεξαντο τον λογον μετα πασης προθυμιας, το καθ᾽ ἡμεραν ανακρινοντες τας γραφας ει εχοι ταυτα οὑτως.*

ευγενεστεροι. 2 *Mac. x.* 13. *ουκ ανακριναντες, ουδε το σαφες επιγνοντες. Susan.* 48. 1 *Reg. xx.* 12. *και δεξαι εμους λογους. Prov. iv.* 10. *xxi.* 11. Επιφανους *τελευτης οὑτως ειχε.* 2 *Mac. x.* 9. *επυνθανετο δε—οὑτως εχοντα τυγχανει. iii.* 9. *Job. xxxiii.* 12. *Ps. cxviii.* 97. *Conf. Esa. xxxiv.* 16. *Luc. xvi.* 29. *Joan. v.* 39. *των δε γαρ ακουσας σοφος σοφωτερος εσται, ὁ δε νοημων κυβερνησιν κτησεται. Prov. i.* 5. *ix.* 9. *ὁ* Θεος Κυριος *δωσει ῥημα τοις ευαγγελιζομενοις δυναμει πολλῃ. Ps. lxvii.* 11. [*Mosi ψυχης ευγενειαν και φρονηματος μεγεθος attribuit Philo de Vit. Mos. p.* 625.] *Conf. Joan. vii.* 17. *Sir. i.* 25. *xxxv.* 13.

12 Πολλοι *μεν ουν εξ αυτων επιστευσαν, και των* Ἑλληνιδων *γυναικων των ευσχημονων και ανδρων ουκ ολιγοι.*

χρηστος και ευθης ὁ Κυριος, δια τουτο νομοθετησει ἁμαρτανοντες εν οδῳ, κ. τ. λ. *Ps. xxiv.* 8, 9. *Conf.* 2 *Mac. iv.* 13.

13 Ὡς δε εγνωσαν οἱ απο της Θεσσαλονικης Ιουδαιοι, ὁτι και
εν τῃ Βεροιᾳ κατηγγελη ὑπο του Παυλου ὁ λογος του Θεου,
ηλθον κακει σαλευοντες τους οχλους.

εθαμβηθη και εσαλευθη σφοδρα. 1 *Mac. vi.* 8. ὁ λογος Κυριου. *Ps. xxxii.* 4. *Esa. x.* 23. *Exod. xxxv.* 1. *Conf.* 1 *Thess. ii.* 4. και εσαλευσεν αυτους ὡς κυμα θαλασσης. *Jer. xxix.* 18.

14 Ευθεως δε τοτε τον Παυλον εξαπεστειλαν οἱ αδελφοι πο-
ρευεσθαι ὡς επι την θαλασσαν· ὑπεμενον δε ὁ τε Σιλας και ὁ
Τιμοθεος εκει.

εξαποστελλῃς αυτον ελευθερον απο σου. *Deut. xv.* 13. και νυν ὑπομεινατε αυτου—την νυκτα ταυτην. *Num. xxii.* 19. *Conf. Jos. ii.* 16. *Matt. x.* 23. 2 *Thess. i.* 1. 1 *Tim. i.* 3.

15 Οἱ δε καθιστωντες τον Παυλον, ηγαγον αυτον ἑως Αθηνων·
και λαβοντες εντολην προς τον Σιλαν και Τιμοθεον, ἱνα ὡς
ταχιστα ελθωσι προς αυτον, εξῃεσαν.

κατεστησαν αυτους εις Ἱεριχω. 2 *Par. xxviii.* 15. ου παρηλθον τας εντολας του βασιλεως. 2 *Par. viii.* 15. ενετειλατο αυτῳ προς λαον αυτου. *Sir. xlv.* 3. *Conf.* 2 *Tim. iv.* 9. *Tit. iii.* 12.

16 Εν δε ταις Αθηναις εκδεχομενου αυτους του Παυλου, παρω-
ξυνετο το πνευμα αυτου εν αυτῳ θεωρουντι κατειδωλον ουσαν
την πολιν.

παρωξυναν το πνευμα το ἁγιον αυτου. *Esa. lxiii.* 10. εφριξε το πνευμα μου εν τῃ ἑξει μου. *Dan. vii.* 15. παρωξυνθη ὁ θυμος μου επ' αυτους. *Ose. viii.* 5. *Zach. x.* 3. εξεκινηθη ἡ ψυχη βασιλεως. 4 *Reg. vi.* 11. δια στενοχωριαν πνευματος στεναζοντες. *Sap. v.* 3. *Conf.* 3 *Reg. xix.* 10. *Cap. xix.* 24. 2 *Pet. ii.* 8. αρχη γαρ πορνειας επινοια ειδωλων, εὑρεσις δε αυτων φθορα ζωης. *Sap. xiv.* 12. [κατειδωλον = παντοιων δενδρων καταπλεως. *Philo de Opific. p.* 35. *Loesner.*] *Conf. Jer. xx.* 9. *Mich. iii.* 8.

17 Διελεγετο μεν ουν εν τῃ συναγωγῃ τοις Ιουδαιοις και τοις
σεβομενοις, και εν τῃ αγορᾳ κατα πασαν ἡμεραν προς τους
παρατυγχανοντας.

και δευτε, και διελεγθωμεν, λεγει Κυριος. *Esa. i.* 18 *Alex.* τους δε κατα την αγοραν βωμους. 2 *Mac. x.* 2. ερριπται εν τῃ αγορᾳ. *Tob. ii.* 3. 1 *Esd. ii.* 18. [οἱ παρατυγχανοντες. *Jos. Ant. ii.* 9. 5.]

18 Τινες δε των Επικουρειων και των Στωϊκων φιλοσοφων συν-

εβαλλον αυτω· και τινες ελεγον, Τι αν θελοι ὁ σπερμολογος ὑτος λεγειν; οἱ δε, Ξενων δαιμονιων δοκει καταγγελευς ειναι· ὁτι τον Ιησουν και την αναστασιν αυτοις ευηγγελιζετο.

ὡς ποδες ευαγγελιζομενου ακοην ειρηνης, ὡς ευαγγελιζομενος αγαθα. *Esa. lii.* 7. παντες οἱ θεοι των εθνων δαιμονια. *Ps. xcv.* 5. [χρησαμενος—Ἑλικωνι—δουλω σπερμολογω περιτριμματι. *Philo. p.* 1021.] ὑπερ αναστασεως διαλογιζομενος. 2 *Mac. xii.* 43. [συμβαλουσα ποιμεσι. *Jos. Ant. i.* 12. 3.] [σπερμολογος· ὁ τα σπερματα συλλεγων, ευτελης. *Gloss. Albert. pp.* 76-79.]

19 Επιλαβομενοι τε αυτου, επι τον Αρειον παγον ηγαγον, λεγοντες, Δυναμεθα γνωναι, τις ἡ καινη αὑτη ἡ ὑπο σου λαλουμενη διδαχη;

[Αρειον παγον· ὁτι εν τω παγω εστι—το δικαστηριον. *Suid.*] δυναμαι. *Gen. xv.* 5. *xix.* 19. εις διδαχην. *Ps. lix.* 1. *Sym.*

20 Ξενιζοντα γαρ τινα εισφερεις εις τας ακοας ἡμων· βουλομεθα ουν γνωναι τι αν θελοι ταυτα ειναι.

ξενιζουσαις συμφοραις. 2 *Mac. ix.* 6. *Sap. xvi.* 16. *xix.* 5. τερπει τας ακοας των εντυγχανοντων. 2 *Mac. xv.* 39. *Conf. cap. ii.* 11.

21 (Αθηναιοι δε παντες και οἱ επιδημουντες ξενοι εις ουδεν ἑτερον ευκαιρουν, η λεγειν τι και ακουειν καινοτερον.)

[πληθος δ' εστιν—ενευκαιρουν διαβολαις και βλασφημιαις. *Philo in Flacc. p.* 969. *Conf. Sturz.*] ου πλησθησεται οφθαλμος του ὁραν, και ου πληρωθησεται ους απο ακροασεως. *Eccles. i.* 8. [*Conf. Sturz. de voc. Alex. pp.* 168, 169. *Fischer. p.* 695.]

22 Σταθεις δε ὁ Παυλος εν μεσω του Αρειου παγου, εφη, Ανδρες Αθηναιοι, κατα παντα ὡς δεισιδαιμονεστερους ὑμας θεωρω.

ανδρες Νινευη. *Jon. iii.* 5. κατα παντα. *Sap. xix.* 22. [δεισιδαιμων· ὁ τα ειδωλα σεβων, ιδωλολατρης, ὁ ευσεβης και δειλος παρα θεοις. *Hesych.* θεοσεβης, και αμφιβολος περι την πιστιν, και οἱονει δεδοικως. *Suid.*]

23 Διερχομενος γαρ και αναθεωρων τα σεβασματα ὑμων, εὑρον και βωμον εν ᾡ επεγεγραπτο, Αγνωστω Θεω. ὁν ουν αγνοουντες ευσεβειτε, τουτον εγω καταγγελλω ὑμιν.

ιδετε τα σεβασματα ὑμων. *Draco.* 27. *Sap. xiv.* 20. βωμον του Ταφεθ. *Jer. vii.* 31. ὁτι ηγνοησε τον πλασαντα αυτον. *Sap. xv.* 11. [τον Θεον ευσεβειν ηρξατο. *Jos. Ant. x.* 3. 2.] [δυναμει μονον ἡμιν γνωριμον, ὁποιος δε κατ' ουσιαν αγνωστον. *Jos. c. Ap. ii.* 16.]

ματαιοι μεν γαρ παντες ανθρωποι φυσει, οἷς παρην Θεου αγνωσια, κ. τ. λ. *Sap. xiii.* 1.

24 Ὁ Θεος, ὁ ποιησας τον κοσμον και παντα τα εν αυτῳ, οὗτος ουρανου και γης Κυριος ὑπαρχων, ουκ εν χειροποιητοις ναοις κατοικει,

και κτισασα τον κοσμον εξ αμορφον ὑλης. *Sap. xi.* 18. *θεοις χειροποιητοις.* *Judith. viii.* 18. *ὁ κατοικων εν ουρανοις.* *Ps. ii.* 4. *Conf. Gen. i.* 1. 2 *Par. vi.* 30. *Ps. xxxii.* 6. *cxxiii.* 8. *cxlv.* 6. *Esa. lxvi.* 1. *Apoc. xiv.* 7. 3 *Reg. xxi.* 27. *συ ει ὁ Θεος μονος εν πασαις ταις βασιλειαις της γης, συ εποιησας τον ουρανον και την γην.* 4 *Reg. xix.* 15. *δοξασω τον βασιλεα του ουρανου.* *Dan. iv.* 34.

25 Ουδε ὑπο χειρων ανθρωπων θεραπευεται προσδεομενος τινος, αυτος διδους πασι ζωην και πνοην κατα παντα·

πολλοι θεραπευουσι προσωπα ἡγουμενων. *Prov. xxix.* 27. *xix.* 6. *Esa. liv.* 17. [*ὁ αγεννητος και αφθαρτος και αϊδιος και ουδενος επιδεης.* *Philo. p.* 749.] *Sir. xi.* 22. *ενεφυσησεν εις το προσωπον αυτου πνοην ζωης.* *Gen. ii.* 7. *vii.* 22. *ἑως ετι ζῃς και πνοη εν σοι.* *Sir. xxx.* 20. *το πνευμα και την ζωην.* 2 *Mac. vii.* 22. *xiv.* 46. *Conf. Ps. xlix.* 8. *κατα παντα.* *Sap. xix.* 22. *ἁγιασας τον τοπον τουτον τῳ των ἁπαντων απροσδεει.* 3 *Mac. ii.* 9.

26 Εποιησε τε εξ ἑνος αἱματος παν εθνος ανθρωπων, κατοικειν επι παν το προσωπον της γης, ὁρισας προτεταγμενους καιρους και τας ὁροθεσιας της κατοικιας αυτων,

και το των ανθρωπων γενος οὑτως γεγενηται. 2 *Mac. vii.* 28. *ψυχη πασης σαρκος αἱμα αυτου εστι.* *Lev. xvii.* 14. *παν τον προσωπον της γης.* *Gen. ii.* 6. *xi.* 8. *ὁτε διεμεριζεν ὁ ὑψιστος εθνη, ὡς διεσπειρεν υἱους Αδαμ, εστησεν ὁρια εθνων κατα αριθμον αγγελων Θεου.* *Deut. xxxii.* 8. [*εις τον ὡρισμενον καιρον.* *Jos. Ant. vi.* 5. 3.] *Conf. Num. xxxiv.* 6. *Jos. xviii.* 20. *Sir. xvii.* 2. *Gen. ix.* 19.

27 Ζητειν τον Κυριον, ει αρα γε ψηλαφησειαν αυτον και εὑροιεν, καιτοιγε ου μακραν απο ἑνος ἑκαστου ἡμων ὑπαρχοντα.

πας ὁ ζητων Κυριον. *Exod. xxxiii.* 7. *Jer. xxvii.* 4. *Esa. li.* 1. *ψηλαφησουσιν ὡς τυφλοι τοιχον, και ὡς ουχ ὑπαρχοντων οφθαλμων ψηλαφησουσι.* *Esa. lix.* 10. *Luc. xxiv.* 39. *Gen. xxvii.* 12. *Deut. xxviii.* 29. *ει αρα εὑρον χαριν.* *Gen. xviii.* 3. *ουδε μακραν απο σου εστι.* *Deut. xxx.* 11. *Conf. Sap. xiii.* 6. *το γαρ αφθαρτον σου πνευμα εστιν εν πασι.* *xii.* 1. *καιτοιγε. si forte.* *Hoogev. p.* 423. *Θεος εγγιζων εγω ειμι, λεγει Κυριος, και ουχι Θεος πορρωθεν.* *Jer. xxiii.* 23. *Matt. xviii.* 20. *xxviii.* 20. *Joan. xiv.* 23.

28 Εν αυτῳ γαρ ζωμεν και κινουμεθα και εσμεν· ὡς και τινες
των καθ' ὑμας ποιητων ειρηκασι, Του γαρ και γενος εσμεν.

ὁτι παρα σοι πηγη ζωης, κ.τ.λ. *Ps. xxxv.* 9. εν χειρι αυτου ψυχη παντων ζωντων, και πνευμα παντος ανθρωπου. *Job. xii.* 10. εν χειρι αυτου και ἡμεις και οἱ λογοι ἡμων, κ. τ. λ. *Sap. vii.* 16, 17. ζωμεν. *Gen. ii.* 7. πασα σαρξ κινουμενη επι της γης. *vii.* 21. γενος. *Jer. xliii.* 31. πνευμα γαρ παρ' εμου εξελευσεται, και πνοην πασαν εγω εποιησα. *Esa. lvii.* 16. *Eccles. xii.* 7. [τοις καθ' ἡμας χρονοις. *Jos. c. Apion. i.* 7.] *Conf. Sap. vii.* 1. *Kuinoel.*

29 Γενος ουν ὑπαρχοντες του Θεου, ουκ οφειλομεν νομιζειν
χρυσῳ η αργυρῳ η λιθῳ, χαραγματι τεχνης και ενθυμησεως
ανθρωπου, το Θειον ειναι ὁμοιον.

πνευμα θειον. *Job. xxxiii.* 4. *xxvii.* 3. τινι ὡμοιωσατε Κυριον; *Esa. xl.* 18, 19. και πεπληρωμενος της τεχνης και συνεσεως. 3 *Reg. vii.* 14. *Sap. xiii.* 10. ταυτα εποιησας, και εσιγησα, ὑπελαβες ανομιαν, ὁτι εσομαι σοι ὁμοιος, κ. τ. λ. *Ps. xlix.* 21. ου γαρ θεοι ησαν, αλλα εργα χειρων ανθρωπων, ξυλα και λιθοι. *Esa. xxxvii.* 19. ουκ επακολουθησεται ειδωλοις, και θεους χωνευτους ουκ ποιησετε. *Lev. xix.* 4. *Conf. Esa. xliv.* 9-20. [ου ποιησετε μετ' εμου θεους αργυρους, και θεους χρυσους ου ποιησετε ὑμιν ἑαυτοις, κ. τ. λ. *Philo. pp.* 37. 628. *Edit. Col.*]

30 Τους μεν ουν χρονους της αγνοιας ὑπεριδων ὁ Θεος, τανυν
παραγγελλει τοις ανθρωποις πασι πανταχου μετανοειν·

ενωτισαι—και μη ὑπεριδῃς την δεησιν μου. *Ps. liv.* 1. και εὑρῃς—ου δυνησῃ ὑπεριδειν. *Deut. xxii.* 1-3. ιασομαι τας κατοικιας αυτων, αγαπησω αυτους ὁμολογως, ὁτι απεστρεψε την οργην μου απ' αυτου. *Ose. xiv.* 5. *Conf. Ezech. xviii.* 27-30. *Luc. xxiv.* 47. *Matt. iii.* 2-8. *Marc. vi.* 12. *Luc. xiii.* 5. ελεεις δε παντας, ὁτι παντα δυνασαι, και παρορᾳς ἁμαρτηματα ανθρωπων εις μετανοιαν. *Sap. xi.* 23. ὁπως εκζητησωσιν οἱ καταλοιποι των ανθρωπων και παντα τα εθνη, κ. τ. λ. *Amos. ix.* 12. *Conf. cap. xiv.* 16.

31 Διοτι εστησεν ἡμεραν, εν ᾗ μελλει κρινειν την οικουμενην εν
δικαιοσυνῃ, εν ανδρι ᾧ ὡρισε, πιστιν παρασχων πασιν, αναστησας αυτον εκ νεκρων.

και αυτος κρινει την οικουμενην εν δικαιοσυνῃ. *Ps. ix.* 8. *xcv.* 13. *xcvii.* 9. μελλει. *Sap. xiv.* 1. *Conf. Joan. v.* 25-29. [πιστιν παρεχειν τινι. *Jos. Ant. ii.* 9. 4.] δια τουτο ὑπομεινον με, λεγει Κυριος, εις ἡμεραν αναστασεως μου εις μαρτυριον. *Sophon. iii.* 8.

32 Ακουσαντες δε αναστασιν νεκρων, οἱ μεν εχλευαζον· οἱ δε
ειπον, Ακουσομεθα σου παλιν περι τουτου.

χλευαζει. *Prov. xiv.* 9. *Aq. Theod. Sym. xix.* 29. *Aq.* δικαιος και αμεμπτος εγενηθη εις χλευασμα. *Job. xii.* 4. ὑπερ αναστασεως διαλογιζομενος. 2 *Mac. xii.* 43-45. *Conf. Gen. xix.* 14. 2 *Par. xxx.* 9-11. *Sap. v.* 3. *Act. xxiv.* 25. [οἱ μεν—οἱ δε. *Sturz. p.* 206.]

33 Και οὑτως ὁ Παυλος εξηλθεν εκ μεσου αυτων.

φευγετε εκ μεσου Βαβυλωνος. *Jer. xxviii.* 5. εξελθετε εκ μεσου αυτης. *Esa. lii.* 11.

34 Τινες δε ανδρες κολληθεντες αυτῳ, επιστευσαν· εν οἱς και
Διονυσιος ὁ Αρεοπαγιτης, και γυνη ονοματι Δαμαρις, και
ἑτεροι συν αυτοις.

και τις σοφος; αυτῳ προσκολληθητι. *Sir. vi.* 34. 1 *Mac. iii.* 2. *Esa. lv.* 10, 11. εγνω ὁ Θεος τους οντας αυτῳ. *Num. xvi.* 5.

ΚΕΦ. ιη. 18.

ΜΕΤΑ δε ταυτα χωρισθεις ὁ Παυλος εκ των Αθηνων ηλ-
θεν εις Κορινθον·

και μετα ταυτα εισηλθε Μωυσης και Ααρων. *Exod. v.* 1. εις Αντιοχιαν εχωρισθη. 2 *Mac. v.* 21. 1 *Cor. i.* 2. 2 *Cor. i.* 1.

2 Και εὑρων τινα Ιουδαιον ονοματι Ακυλαν, Ποντικον τῳ γενει,
προσφατως εληλυθοτα απο της Ιταλιας, και Πρισκιλλαν
γυναικα αυτου, (δια το διατεταχεναι Κλαυδιον χωριζεσθαι
παντας τους Ιουδαιους εκ της Ῥωμης,) προσηλθεν αυτοις·

εαν δε τις λαβῃ γυναικα προσφατως. *Deut. xxiv.* 5. 2 *Mac. xiv.* 36. *Judith. iv.* 3. εληλυθοτα. 3 *Reg. ix.* 11. οἱ εκ του γενους μου. *Tob. i.* 10. υἱος του γενους μου. *Gen. xix.* 38. *Conf. Rom. xvi.* 3. 1 *Cor. xvi.* 19. 2 *Tim. iv.* 19. [*Sueton. Claud.* § 25.]

3 Και δια το ὁμοτεχνον ειναι, εμενε παρ᾽ αυτοις και ειργα-
ζετο· ησαν γαρ σκηνοποιοι την τεχνην.

εν εργασιᾳ τεχνης. *Sir. xxxviii.* 34. *Conf.* 1 *Cor. iv.* 12. 2 *Cor. xi.* 9. 1 *Thess. ii.* 9. [τους ὁμοτεχνους αυτου. *Jos. Ant. viii.* 13. 4.] δια το ειναι = *Deut. i.* 36. κατα πασαν τεχνην. 1 *Par. xxviii.* 21. *Conf. Matt. xiii.* 55. *Marc. vi.* 3.

4 Διελεγετο δε εν τῃ συναγωγῃ κατα παν σαββατον, επειθε
τε Ιουδαιους και Ἑλληνας.

και εν τουτῳ δε επεισας τους εχθρους ἡμων. *Sap. xvi.* 8. Ἑλληνας. *Conf. Joan. vii.* 35. 2 *Mac. iv.* 36. [*Jos. Ant. xii.* 5. 1.] εγω διαλεγομαι δικαιοσυνην, κ. τ. λ.. *Esa. lxiii.* 1. *Conf. cap. xiv.* 1.

5 Ὡς δε κατηλθον απο της Μακεδονιας ὁ τε Σιλας και ὁ Τιμοθεος, συνειχετο τῳ πνευματι ὁ Παυλος, διαμαρτυρομενος τοις Ιουδαιοις τον Χριστον Ιησουν.

συνειχετο εργοις. *Sap. xvii.* 20. συνεχομενος απο οινου. *Jer. xxiii.* 9. *Job. iii.* 24. δεδεμενος τῳ πνευματι. *Cap. xx.* 22. *Job. xxxii.* 18. διαμαρτυρομενος. *Deut. xxxii.* 46. απαγγελλων εις ανθρωπους τον Χριστον αυτου. *Amos. iv.* 13.

6 Αντιτασσομενων δε αυτων και βλασφημουντων, εκτιναξαμενος τα ἱματια, ειπε προς αυτους, Το αἱμα ὑμων επι την κεφαλην ὑμων· καθαρος εγω· απο του νυν εις τα εθνη πορευσομαι.

Κυριος ὑπερηφανοις αντιτασσεται. *Prov. iii.* 34. το αἱμα σου επι την κεφαλην σου. 2 *Reg. i.* 16. 3 *Reg. ii.* 33. *Jud. ix.* 57. *Jon. i.* 14. *Ose. xii.* 14. *Ezech. xxxiii.* 4. αθωος εγω απο του αἱματος ταυτης. *Susan.* 46. *Conf. cap. xx.* 26. ὑμεις δε εσεσθε καθαροι. *Gen. xliv.* 10. καθαρος εσῃ απο του ὁρκου. *xxiv.* 8. απο του νυν. *Ps. cxii.* 2. *Esa. ix.* 7. *Conf. Matt. x.* 14. *xxvii.* 25. και συ εαν διαστειλῃ τῳ ανομῳ, και μη αποστρεψῃ απο της ανομιας αυτου, και απο της ὁδου αυτου, ὁ ανομος εν τῃ αδικιᾳ αυτου αποθανειται, και συ την ψυχην σου ῥυσῃ. *Ezech. iii.* 19. μεγα το ονομα μου εν τοις εθνεσι. *Mal. i.* 11. *Ps. lxxxv.* 9.

7 Και μεταβας εκειθεν ηλθεν εις οικιαν τινος ονοματι Ιουστου, σεβομενου τον Θεον, οὑ ἡ οικια ην συνομορουσα τῃ συναγωγῃ.

8 Κρισπος δε ὁ αρχισυναγωγος επιστευσε τῳ Κυριῳ συν ὁλῳ τῳ οικῳ αὑτου· και πολλοι των Κορινθιων ακουοντες επιστευον και εβαπτιζοντο.

και επιστευσεν Ἁβραμ τῳ Θεῳ. *Gen. xv.* 6. *xvii.* 27. *xviii.* 9. *Exod. xiv.* 31. εισελθε συ και πας ὁ οικος σου. *Gen. vii.* 1. αρχων της συναγωγης. *Luc. viii.* 41. *Conf.* 1 *Cor. i.* 14.

9 Ειπε δε ὁ Κυριος δι' ὁραματος εν νυκτι τῳ Παυλῳ, Μη φοβου, αλλα λαλει και μη σιωπησῃς·

εν ὁραματι της νυκτος. *Dan. ii.* 19. *iv.* 10. εγενηθη ῥημα Κυριου προς Ἁβραμ εν ὁραματι, λεγων, Μη φοβου. *Gen. xv.* 1. *Conf. Ezech. ii.* 6. ἡ κοιλια μου εξεζεσε, και ου σιωπησεται. *Job. xxx.* 27. δια Σιων ου σιωπησομαι. *Esa. lxii.* 1. *Conf. Act. xxiii.* 11.

μη φοβηθης απο προσωπου αυτων, μηδε πτοηθης εναντιον αυτων, ὁτι μετα σου ειμι, του εξαρεισθαι σε, λεγει Κυριος. Jer. i. 17. *Jona. iii.* 2. *Mich. iii.* 8. *Luc. xxi.* 15.

10 *Διοτι εγω ειμι μετα σου, και ουδεις επιθησεται σοι του κακωσαι σε· διοτι λαος εστι μοι πολυς εν τῃ πολει ταυτῃ.*

οὑ ἑνεκεν ησθα μεθ' ὑμων εν τῃ ερημῳ. Num. x. 31. *και εσται ὁ Θεος σου μετα σου διαπαντος. Esa. lviii.* 11. *Conf. Esa. xxxiv.* 16. *και επεθεντο αυτῳ και ελιθοβολησαν αυτον.* 2 *Par. xxiv.* 21. 4 *Reg. xi.* 16. 2 *Par. xxv.* 27. *εσεσθε μοι λαος περιουσιος. Exod. xix.* 5. *σωσον τον λαον σου, και ευλογησον. Ps. xxvii.* 9. *Conf.* 1 *Par. xvii.* 2. *Joan. x.* 16. *Matt. xxviii.* 20. *και νυν πορευου, και εγω ανοιξω το στομα σου, και συμβιβασω σε ὁ μελλεις λαλησαι. Exod. iv.* 12. *Jos. i.* 6. *ὁτι μεθ' ἡμων ὁ Θεος. Esa. viii.* 10. *xli.* 10. *και καταλειψεις εν Ισραηλ ἑπτα χιλιαδας ανδρων, παντα γονατα ἁ ουκ ωκλασαν γονυ τῳ Βααλ, κ. τ. λ.* 3 *Reg. xix.* 18.

11 *Εκαθισε τε ενιαυτον και μηνας ἑξ, διδασκων εν αυτοις τον λογον του Θεου.*

καθισεσθε ἑκαστος εις τους οικους. Exod. xvi. 29. *και εκαθισαμεν εκει ἡμερας τρεις. Esd. viii.* 32. *και συ στηθι ὡς σημερον, και ακουσον ῥημα Θεου.* 1 *Reg. ix.* 27. *παντες γαρ λογοι Θεου πεπυρωμενοι. Prov. xxx.* 5.

12 *Γαλλιωνος δε ανθυπατευοντος της Αχαΐας, κατεπεστησαν ὁμοθυμαδον οἱ Ιουδαιοι τῳ Παυλῳ, και ηγαγον αυτον επι το βημα,*

και επεστην επ' αυτον, και εθανατωσα αυτον. 2 *Reg. i.* 10. *προσηλθεν επι το βημα.* 2 *Mac. xiii.* 26. *και ηγαγον αυτον προς Ιηου, και απεκτεινεν αυτον.* 2 *Par. xxii.* 9.

13 *Λεγοντες, ὁτι, Παρα τον νομον οὑτος αναπειθει τους ανθρωπους σεβεσθαι τον Θεον.*

μη αναπεισθετωσαν ὑμας οἱ ψευδοπροφηται. Jer. xxxvi. 8. *και ανεπεισαν πολλους, λογοντες, κ. τ. λ.* 1 *Mac. i.* 11. *Deut. xiii.* 6. *Aq. και τον Κυριον Θεον του ουρανου εγω σεβομαι. Jon. i.* 9. *τον νομον. Conf. Deut. i.* 5. *iv.* 44. *και ειπεν, ὁτι— Gen. xxix.* 33. *Jos. ii.* 24. *Conf. Buttm.* § 149. *Matth.* § 624.

14 *Μελλοντος δε του Παυλου ανοιγειν το στομα, ειπεν ὁ Γαλλιων προς τους Ιουδαιους, Ει μεν ουν ην αδικημα τι η ῥαδιουργημα πονηρον, ω Ιουδαιοι, κατα λογον αν ηνεσχομην ὑμων·*

ηνοιξεν Ιωβ το στομα αυτου. Job. iii. 1. *Sir. xv.* 5. *xxix.* 24. *και*

τι το αδικημα μου; 1 Reg. xx. 1. και τι ευρεθη εν εμοι αδικημα. xxvi. 18. κατα λογον. 3 Mac. iii. 14. ουδε γαρ ὑμων φθεγμα ῥηματος ανεξομαι. Job. vi. 26. Conf. Act. xxiii. 29. [ῥαδιουργων, malâ fide agens. Jos. Vit. 65. ῥαδιουργει· κακοποιει, δεινοποιει. Hesych.] Conf. Luc. xii. 57.

15 *Ει δε ζητημα εστι περι λογου και ονοματων και νομου του καθ' ὑμας, οψεσθε αυτοι· κριτης γαρ εγω τουτων ου βουλομαι ειναι.*

ετι τουτο ζητημα θησομαι. Ezech. xxxvi. 37. Alex. Ald. οψεσθε. Conf. Exod. xxv. 40. 1 Tim. vi. 20. Tit. iii. 9. 2 Tim. ii. 23. [τοις καθ' ἡμας χρονοις, nostris temporibus. Jos. c. Apion. i. 7.]

16 *Και απηλασεν αυτους απο του βηματος.*

και απελασω αυτα απο παντος τοπου. Ezech. xxxiv. 12. Conf. Ps. lxxv. 10. Matt. xxii. 21. Cap. xix. 38.

17 *Επιλαβομενοι δε παντες οἱ Ἑλληνες Σωσθενην τον αρχισυναγωγον ετυπτον εμπροσθεν του βηματος· και ουδεν τουτων τῳ Γαλλιωνι εμελεν.*

και επελαβοντο αυτου, και εθυσαν αυτον. Jud. xii. 6. και ουκ επασχον ουδεν επι τῃ συντριβῃ Ιωσηφ. Amos. vi. 6. τι γαρ μελει τῷ Κυριῳ; Job. xxii. 2. Σωσθενης. Conf. 1 Cor. i. 1. Joan. xviii. 36.

18 *Ὁ δε Παυλος ετι προσμεινας ἡμερας ἱκανας, τοις αδελφοις αποταξαμενος, εξεπλει εις την Συριαν, και συν αυτῳ Πρισκιλλα και Ακυλας, κειραμενος την κεφαλην εν Κεγχρεαις· ειχε γαρ ευχην.*

διελθοντων δε ετων ἱκανων. 2 Mac. i. 20. [αποταξαμενος αυτοις εἱπετο. Jos. Ant. viii. 13. 7.] και ξυρησεται—την κεφαλην της ευχης αυτου. Num. vi. 5. 18-21. το κειρασθαι ἡ ξυρασθαι. 1 Cor. xi. 6. κειρε την κεφαλην σου. Jer. vii. 28. Job. i. 20. Act. xxi. 23. [ευχη. Conf. Jos. Ant. iv. 4. 4. Bell. Jud. ii. 15. 1.]

19 *Κατηντησε δε εις Εφεσον, κακεινους κατελιπεν αυτου· αυτος δε εισελθων εις την συναγωγην, διελεχθη τοις Ιουδαιοις.*

καταντησαντος δε του βασιλεως εις Τυρον. 2 Mac. iv. 44. αυτου. Exod. xxiv. 14. Num. xxii. 19. διαλεχθωμεν, λεγει Κυριος. Esa. i. 18. Ald.

20 *Ερωτωντων δε αυτων επι πλειονα χρονον μειναι παρ' αὐτοις, ουκ επενευσεν·*

χειλεσι παντα επινευει. Prov. xxvi. 24. 2 Mac. iv. 10. xi. 15.

21 Αλλ᾽ *απεταξατο αυτοις, ειπων, Δει με παντως την ἑορτην την ερχομενην ποιησαι εις Ἱεροσολυμα· παλιν δε ανακαμψω προς ὑμας, του Θεου θελοντος.* Και *ανηχθη απο της* Εφεσου·

αποταξαμενος αυτοις. Mac. vi. 26. παντως. Tob. iv. 8. θυματα ἑορτης του πασχα. Exod. xxxiv. 25. εποιησαν—εγκαινια του οικου του Θεου ενευφροσυνῃ. Esd. vi. 16. ποιησαι το πασχα Κυριῳ. *Exod. xii. 48. και ανεκαμψε προς τον πατερα αυτης. Jud. xi. 39. εαν* Κυριος *ὁ μεγας θελησῃ. Sir. xxxix. 6. Conf.* 1 *Cor. iv.* 19. *Jac. iv.* 15. *Heb. vi.* 3. *φυλαξαι τον μηνα των νεων, και ποιησεις το πασχα* Κυριῳ τῳ Θεῳ *σου, ὁτι εν τῳ μηνι των νεων εξηλθες εξ* Αιγυπτου *νυκτος. Deut. xvi.* 1. *ανηχθη.* 2 *Mac. v.* 9.

22 Και *κατελθων εις* Καισαρειαν, *αναβας και ασπασαμενος την εκκλησιαν, κατεβη εις* Αντιοχειαν.

ασπασαμενος. Conf. Exod. xviii. 7. *Jud. xviii.* 15. *Alex. Ald.* 3 *Mac. i.* 8. Καισαρεια. *Cap. viii.* 40. Αντιοχεια. *xi.* 20.

23 Και *ποιησας χρονον τινα, εξηλθε, διερχομενος καθεξης την* Γαλατικην *χωραν και* Φρυγιαν, *επιστηριζων παντας τους μαθητας.*

δικαιοι ποιησουσιν εν πλουτῳ ετη πολλα. Prov. xiii. 23. *και ημυνατο—και τῃ ελεημοσυνῃ εστηρισατο. Esa. lix.* 16. [*και οὑτως καθεξης παντες. Test. XII Patr. p.* 618.] *ισχυσατε χειρες ανειμεναι, και γονατα παραλελυμενα, κ. τ. λ. Esa. xxxv.* 3, 4.

24 Ιουδαιος *δε τις* Απολλως *ονοματι,* Αλεξανδρευς *τῳ γενει, ανηρ λογιος, κατηντησεν εις* Εφεσον, *δυνατος ων εν ταις γραφαις.*

δυνατος εν γλωσσῃ. Sir. xxi. 7. *δωνατος τοις εργοις. Jer. xxxix.* 19. *Ezra. vii.* 6. [*δυνατος ειπειν. Philo de Joseph. p.* 554.] *Conf.* 1 *Cor. i.* 12. *iii.* 5. *iv.* 6. *Luc. xxiv.* 19. [*de Judæis Alexand. Conf. Jos. Ant. xii.* 1. 1. *xix.* 5. 3. *Krebs. ad. loc. et Loesner. ad cap. vi.* 9. *pp.* 180, 181.] [*ὁτι ουκ αποδεουσι μυριαδων ἑκατον την* Αλεξανδρειαν *και την χωραν* Ιουδαιοι *κατοικουντες, κ.τ.λ. Philo in Flac. p.* 971. *Hi dicuntur* Αλεξανδρεις *apud Philo. de leg ad Cai. p.* 1017.] [*λογιος· ὁ της ἱστοριας εμπειρος, πεπαιδευμενος. Hesych.*]

25 Οὑτος *ην κατηχημενος την ὁδον του* Κυριου, *και ζεων τῳ πνευματι ελαλει και εδιδασκεν ακριβως τα περι του* Κυριου, *επισταμενος μονον το βαπτισμα* Ιωαννου·

ὁτι εφυλαξα τας ὁδους Κυριου. *Ps. xvii.* 21. *τας ὁδους σου—*

γνωριστον μοι. *xxiv.* 4. τα περι ἡμων. 1 *Reg. ix.* 5. τα περι αυτου. *Sir. xix.* 5. πασαι αἱ ὁδοι σου αληθεια. *Ps. cxviii.* 151. τῳ πνευματι ζεοντες. *Rom. xii.* 11. *Conf. Gen. xviii.* 19. *Jud. ii.* 22. *Jer. vi.* 16. *Ose. xiv.* 10. [αυτος δε πολλα κατηχησω των αγνουμενων. *Jos. Vit. v.* 65. Ιωαννου του επικαλουμενου Βαπτιστου. *Ant. xviii.* 6. 2.] [ετι δε ζεων και πεπυρωμενος ὑπο της νομιμου διαγανακτησεως. *Philo de Vit. Mos.* 3. *p.* 695.] *Conf. Matt. iii. Luc. iii. Joan. i.* 19-36. *Col. i.* 28, 29. *Heb. vi.* 1.

26 Οὑτος τε ἡρξατο παρρησιαζεσθαι εν τῃ συναγωγῃ. ακουσαντες δε αυτου Ακυλας και Πρισκιλλα, προσελαβοντο αυτον, και ακριβεστερον αυτῳ εξεθεντο την του Θεου ὁδον.

θησομαι εν σωτηριῳ, παρρησιασομαι εν αυτῳ. *Ps. xi.* 5. εν δε πλατειαις παρρησιαν αγει. *Prov. i.* 20. *Conf. Esa. lviii.* 1. και τους μεμενηκοτας εν τῳ Ιουδαϊσμῳ προσλαβομενοι. 2 *Mac. viii.* 1. κριμα δε πραεων εκθησει. *Job. xxxvi.* 15. των γαρ ακουσας σοφος σοφωτερος εσται, κ. τ. λ. *Prov. i.* 5. *ix.* 9.

27 Βουλομενου δε αυτου διελθειν εις την Αχαϊαν, προτρεψαμενοι οἱ αδελφοι εγραψαν τοις μαθηταις αποδεξασθαι αυτον· ὁς παραγενομενος συνεβαλετο πολυ τοις πεπιστευκοσι δια της χαριτος·

προετρεψατο τους αλλους. 2 *Mac. xi.* 7. *Sap. xiv.* 18. τον Μακκαβαιον απεδεξατο. 2 *Mac. xiii.* 24. ουδεν συμβαλειται σοι. *Job. xxxv.* 3. *Aug. Sym. Sap. v.* 8. πολυ ελυπηθη—πολυ ηγαθυνθη. *Dan. vi.* 14. 23. *Conf.* 1 *Cor. iii.* 6. *Rom. xii.* 3. *Ephes. iii.* 7.

28 Ευτονως γαρ τοις Ιουδαιοις διακατηλεγχετο δημοσιᾳ, επιδεικνυς δια των γραφων, ειναι τον Χριστον Ιησουν.

ευτονως. *Jos. vi.* 8. O. 2 *Mac. xii.* 23. *Conf. Esa. liii. liv. lv.* ἡ γαρ μαρτυρια του Ιησου εστι το πνευμα της προφητειας. *Apoc. xix.* 10. ἑως Χριστου ἡγουμενου. *Dan. ix.* 25. *Amos. iv.* 13. *Ps. ii.* 2. *lxxxviii.* 51.

ΚΕΦ. ιθ. 19.

ΕΓΕΝΕΤΟ δε εν τῳ τον Απολλω ειναι εν Κορινθῳ, Παυλον διελθοντα τα ανωτερικα μερη ελθειν εις Εφεσον· και εὑρων τινας μαθητας.

και εγενετο εν τῳ κοπτειν αυτους, και πιπτω επι προσωπον μου. *Ezech. ix.* 8. εγενετο δε εν ταις ἡμεραις—εκειναις. *Exod. ii.* 11. 2 *Reg. i.* 2. και διεπορευετο τας επανω χωρας. 1 *Mac. iii.* 37. *vi.* 1. [πρωτευουσα (πολις) της Ασιας. *Jos. Ant. xiv.* 17.]

2 Ειπε προς αυτους, Ει Πνευμα ἁγιον ελαβετε πιστευσαντες; Οἱ δε ειπον προς αυτον, Αλλ᾽ ουδε ει Πνευμα ἁγιον εστιν, ηκουσαμεν.

και ειπε προς αυτους, δευτε—ει ζησομαι εκ της αρρωστιας μου ταυτης. 4 *Reg. i.* 2. *Gen. xlv.* 28. αλλ᾽ ουδε. *Luc. xxiii.* 15. *Conf. Joan. vii.* 39. *Act. x.* 44. 1 *Cor. vi.* 19. *xii.* 1-11. 1 *Reg. iii.* 7.

3 Ειπε τε προς αυτους, Εις τι ουν εβαπτισθητε; Οἱ δε ειπον, Εις το Ιωαννου βαπτισμα.

[Ιωαννου του επικαλουμενου Βαπτιστου, κ. τ. λ. *Jos. Ant. xviii.* 6. 2.]

4 Ειπε δε Παυλος, Ιωαννης μεν εβαπτισε βαπτισμα μετανοιας, τῳ λαῳ λεγων, εις τον ερχομενον μετ᾽ αυτον ἱνα πιστευσωσι, τουτεστιν εις τον Χριστον Ιησουν.

Conf. Matt. iii. 11. *Marc. i.* 4, 8. *Luc. iii.* 16. *Joan. i.* 26, 27. τουτεστι. *Job. xl.* 19. *Edit. Pearson.* ὁ πιστευων επ᾽ αυτῳ ου μη καταισχυνθῃ. *Esa. xxviii.* 16. *Ald. Comp.*

5 Ακουσαντες δε εβαπτισθησαν εις το ονομα του Κυριου Ιησου.

6 Και επιθεντος αυτοις του Παυλου τας χειρας, ηλθε το Πνευμα το ἁγιον επ᾽ αυτους, ελαλουν τε γλωσσαις και προεφητευον.

και εκχεω απο του πνευματος μου—και ηλθεν επ᾽ εμε πνευμα. *Ezech. ii.* 2. και επεθηκε τας χειρας αυτου επ᾽ αυτον. *Num. xxvii.* 18. 23. *Conf. Act. ii.* 4. *vi.* 6. *viii.* 17-19. *ix.* 17. και επι τους δουλους μου και επι τας δουλας εν ταις ἡμεραις εκειναις εκχεω απο του πνευματος μου, κ. τ. λ. *Joel. ii.* 29, 30.

7 Ησαν δε οἱ παντες ανδρες ὡσει δεκαδυο.

ὡσει δεκα χιλιαδας ανδρων. *Jud. iii.* 29.

8 Εισελθων δε εις την συναγωγην επαρρἡσιαζετο, επι μηνας τρεις διαλεγομενος και πειθων τα περι της βασιλειας του Θεου.

θησομαι εν σωτηριῳ, παρρἡσιασομαι εν αυτῳ. *Ps. xi.* 5. και εν τουτῳ δε επεισας τους εχθρους ἡμων. *Sap. xvi.* 8. επικειται ἡμιν τα της βασιλειας. 1 *Mac. vi.* 57. εδειξεν αυτῳ βασιλειαν Θεου, και εδωκεν αυτῳ γνωσιν ἁγιων. *Sap. x.* 10. *Conf. cap. xxviii.* 23.

9 Ὡς δε τινες εσκληρυνοντο και ηπειθουν, κακολογουντες την ὁδον ενωπιον του πληθους, αποστας απ᾽ αυτων αφωρισε τους μαθητας, καθ᾽ ἡμεραν διαλεγομενος εν τῃ σχολῃ Τυραννου τινος.

απεστραφητε απειθουντες Κυριῳ. *Num. xiv.* 43. μηποτε σκληρυνθεις απειθηση σοι. *Sir. xxx.* 12. *Conf. Exod. viii.* 19. εκακαλογει τον Ονιαν. 2 *Mac. iv.* 1. αποστηθι απο αδικου. *Sir. vii.* 2. και εξεβησαν εξ ὁδου γονεων αυτων. *Judith. v.* 8. 18. *Conf. cap. ix.* 2. *xxii.* 4. και εδωκε τῳ Εφραϊμ ὁδον ἁμαρτιας. *Sir. xlvii.* 23. τινος Τυραννου. 2 *Mac. iv.* 40. Αριστοβουλῳ διδασκαλῳ. 2 *Mac. i.* 10. *Conf.* 2 *Tim. i.* 15. *Cap. xvi.* 17. καθ' ἡμεραν. *Prov. viii.* 34.

10 Τουτο δε εγενετο επι ετη δυο, ὡστε παντας τους κατοικουντας τὴν Ασιαν ακουσαι τον λογον του Κυριου Ιησου, Ιουδαιους τε και Ἑλληνας.

ακουσατε λογον Κυριου πασα Ιουδαια. *Jer. vii.* 1. ὡστε. *Gen. ix.* 15. εγενετο ετι πολεμος. 1 *Par. xx.* 4. επι πηχεις τεσσαρακοντα. *Cant. iii.* 23. Ιουδαιους και Ἑλληνας. *Conf. Esa. ix.* 12. 1 *Mac. viii.* 18. 2 *Mac. iv.* 36. [*Jos. Ant. xii.* 5. 1.]

11 Δυναμεις τε ου τας τυχουσας εποιει ὁ Θεος δια των χειρων Παυλου,

και ου τῳ τυχοντι περιηψαν ψογῳ. 3 *Mac. iii.* 7. τις λαλησει τας δυναστειας του Κυριου; *Ps. cv.* 2. δεξαι τα δωρα δια των εμων χειρων. *Gen. xxxiii.* 10. *Conf. Job. xxxvii.* 14. *Marc. xvi.* 20.

12 Ὡστε και επι τους ασθενουντας επιφερεσθαι απο του χρωτος αυτου σουδαρια η σιμικινθια, και απαλλασσεσθαι απ' αυτων τας νοσους, τα τε πνευματα τα πονηρα εξερχεσθαι απ' αυτων.

ὡστε. *Jos. x.* 14. *Sap. vi.* 25. εν δερματι χρωτος αυτου. *Lev. xiii.* 2. το πνευμα το ακαθαρτον εξαρω απο της γης. *Zach. xiii.* 2. [σουδαρια. *Lat. sudaria.* σιμικινθια. *semicinctia.*] *Conf. Joan. xiv.* 12. 4 *Reg. iv.* 29-31. *xiii.* 20, 21. μηποτε απαλλαξῃ απ' αυτων Κυριος. *Exod. xix.* 22.

13 Επεχειρησαν δε τινες απο των περιερχομενων Ιουδαιων εξορκιστων ονομαζειν επι τους εχοντας τα πνευματα τα πονηρα το ονομα του Κυριου Ιησου, λεγοντες, Ὁρκιζομεν ὑμας τον Ιησουν, ὁν ὁ Παυλος κηρυσσει.

και ειπα ου μη ονομασω το ονομα Κυριου. *Jer. xx.* 9. *Conf. Lev. xxiv.* 16. *Sir. xxiii.* 10. ὡρκισα σε κατα Κυριου. 3 *Reg. iii.* 42. *Jos. vi.* 26. ὡρκισα αυτους εν τῳ Θεῳ. *Neh. xiii.* 25. *Gen. xxiv.* 3. περιερχομενον. *Conf. Job. i.* 7. *Matt. vii.* 22. *xxvi.* 63. *Marc. v.* 7. *Luc. ix.* 49. ποσακις εγω ὁρκιζω σε, ὁπως λαλησῃς με αληθειαν εν ονοματι Κυριου; 3 *Reg. xxii.* 16. [*Conf. Jos. Ant. viii.* 2. 5.]

14 Ησαν δε τινες υἱοι Σκευα Ιουδαιου αρχιερεως ἑπτα οἱ τουτο ποιουντες.

15 Αποκριθεν δε το πνευμα το πονηρον ειπε, Τον Ιησουν γινωσκω, και τον Παυλον επισταμαι· ὑμεις δε τινες εστε;

και εξηλθε πνευμα και εστη ενωπιον Κυριου, και ειπεν, Εγω απατησω αυτον. 3 *Reg.* *xxii.* 21. *Conf.* *Gen.* *iii.* 1-5. *Matt.* *viii.* 29-31.

16 Και εφαλλομενος επ᾽ αυτους ὁ ανθρωπος, εν ᾧ ην το πνευμα το πονηρον, και κατακυριευσας αυτων, ισχυσε κατ᾽ αυτων, ὡστε γυμνους και τετραυματισμενους εκφυγειν εκ του οικου εκεινου.

και εφαλειται επι σε πνευμα Κυριου. 1 *Reg.* *x.* 6. *xi.* 6. *xvi.* 13. και επεσε πνευμα Θεου πονηρον επι Σαουλ. *xviii.* 10. *Alex.* *Ald.* *Comp.* παντων των εχθρων αυτου κατακυριευσει. *Ps.* *ix.* 35. και ισχυσεν επ᾽ αυτους. 1 *Mac.* *x.* 49. *Sap.* *xix.* 20. προς αυτον. *Ps.* *xiii.* 4. ου μη εκφυγῃς διαδρας. *Sir.* *xi.* 10. *Conf.* *Esa.* *lxvi.* 7.

17 Τουτο δε εγενετο γνωστον πασιν Ιουδαιοις τε και Ἑλλησι τοις κατοικουσι την Εφεσον, και επεπεσε φοβος επι παντας αυτους, και εμεγαλυνετο το ονομα του Κυριου Ιησου.

επιπεσοι επ᾽ αυτους—φοβος. *Exod.* *xv.* 16. μεγαλυνω το ονομα σου. *Gen.* *xii.* 2. [*Philo.* *p.* 314. *Edit.* *Col.*] μεγαλυνθειη το ονομα σου. 2 *Reg.* *vii.* 26. και μεγαλυνθησομαι, και ἁγιασθησομαι, και ενδοξασθησομαι, και γνωσθησομαι εναντιον εθνων πολλων, και γνωσονται ὁτι εγω ειμι Κυριος. *Ezech.* *xxxviii.* 23.

18 Πολλοι τε των πεπιστευκοτων ηρχοντο εξομολογουμενοι και αναγγελλοντες τας πραξεις αὑτων.

και προσευχομενος και εξομολογουμενος εναντιον του Θεου. *Dan.* *vi.* 10. των πεπιστευκοτων. *Conf.* *Ps.* *c.* 6. *Sir.* *i.* 14. 1 *Mac.* *iii.* 13. μη αισχυνθῃς ὁμολογησαι εφ᾽ ἁμαρτιαις σου. *Sir.* *iv.* 26. *Conf.* *Deut.* *xxvi.* 3. *Esa.* *xlviii.* 3. ανταποδῳ ανθρωπῳ κατα τας πραξεις αυτου. *xxxv.* 19. *Conf.* *Matt.* *iii.* 6. *Jac.* *v.* 16. *Jer.* *xvi.* 63.

19 Ἱκανοι δε των τα περιεργα πραξαντων, συνενεγκαντες τας βιβλους κατεκαιον ενωπιον παντων· και συνεψηφισαν τας τιμας αυτων, και εὑρον αργυριου μυριαδας πεντε.

πεντηκοντα διδραχμα αργυριου. *Deut.* *xxii.* 29. *Num.* *vii.* 85. *Esa.* *vii.* 23. Ιδου απο των σκυλων των εχθρων Κυριου. 1 *Reg.* *xxx.* 26. ὁτι τῃ ἡμερᾳ εκεινῃ απαρνησονται οἱ ανθρωποι τα χειροποιητα αυτων τα αργυρα, και τα χειροποιητα τα χρυσα, ἁ εποιησαν αἱ χειρες αυτων. *Esa.* *xxxi.* 7. [και συνηκα, ὁτι περιεργια αὑτη εις

αποπλανησιν ψυχης εστι. Test. XII Patr. p. 705.] *Conf. Exod. vii.* 11. 22. *Deut. xviii.* 10-12. 1 *Reg. xxviii.* 7-9. 1 *Par. x.* 13. *Esa. xlvii.* 12, 13. *Dan. ii.* 2. *ψηφιζειν. Ps. xlvii.* 13. *Aq.*

20 Ουτω *κατα κρατος ὁ λογος του* Κυριου *ηυξανε και ισχυεν.*

εμεγαλυνθη το δενδρον και ισχυσε. Dan. iv. 8. *xviii.* 19. *εν κρατει ισχυος. Esa. xl.* 26. *και ηυξησε τον λαον αυτου σφοδρα. Ps. civ.* 24. [*κατα κρατος. Jos. Ant. viii.* 11. 3.] [*ισχυρως· τελειως. Hesych.*] *οὑτως εσται το ῥημα μου ὁ εαν εξελθη εκ του στοματος μου, κ.τ.λ. Esa. lv.* 11. *Conf.* 2 *Thess. iii.* 1.

21 Ὡς *δε επληρωθη ταυτα, εθετο ὁ* Παυλος *εν τῳ* Πνευματι, *διελθων την* Μακεδονιαν *και* Αχαϊαν, *πορευεσθαι εις* Ἱερουσαλημ, *ειπων, ὁτι,* Μετα *το γενεσθαι με εκει, δει με και* Ῥωμην *ιδειν.*

και εθετο Δανιηλ εις την καρδιαν αυτου. Dan. i. 8. *εν τῃ καρδιᾳ. Conf. Luc. i.* 66. 1 *Reg. xxi.* 12. 2 *Reg. xiii.* 33. *Esa. xlii.* 25. *Sap. iv.* 15. *ειπεν, ὁτι. Gen. xxix.* 33. *Jos. ii.* 24. *επανεπαυσατο επ' αυτους Πνευμα——και επροφητευσαν. Num. xi.* 26. *μετα το ὑποστρεψαι αυτον απο της κοπης. Gen. xiv.* 17. *Conf. Matt. xvi.* 21.

22 Αποστειλας *δε εις την* Μακεδονιαν *δυο των διακονουντων αυτῳ,* Τιμοθεον *και* Εραστον, *αυτος επεσχε χρονον εις την* Ασιαν.

επισχων ετι ἡμερας ἑπτα. Gen. viii. 10. *των διακονουντων. Conf. Jos. i.* 1. *Exod. xxiv.* 13. *επεσχεν ἑως της ἁγιας ἡμερας του σαββατου.* 2 *Mac. v.* 25. *Conf. Rom. xvi.* 23. 2 *Tim. vi.* 20. 1 *Cor. xvi.* 4-8.

23 Εγενετο *δε κατα τον καιρον εκεινον ταραχος ουκ ολιγος περι της ὁδου.*

και Βαλακ——*ην κατα τον καιρον εκεινον. Num. xxii.* 4. 2 *Mac. xii.* 15. *εθνη——ουκ ολιγα. Esa. x.* 7. *ὁδος. Conf. ver.* 9. *sup.* 2 *Cor. i.* 8.

24 *Δημητριος γαρ τις ονοματι, αργυροκοπος, ποιων ναους αργυρους* Αρτεμιδος, *παρειχετο τοις τεχνιταις εργασιαν ουκ ολιγην·*

Ελεαζαρος *δε τις, ανηρ επισημος.* 3 *Mac. vi.* 1. *εις κενον αργυροκοπος αργυροκοπει. Jer. vi.* 29. *βδελυγμα* Κυριου, *εργον χειρων τεχνιτων. Deut. xxvii.* 15. *και παρεσχον πονον τοις βοηθησασιν αυτοις. Sir. xxix.* 4. *τεχνιται και οικοδομοι λιθων.* 1 *Par. xxii.* 15. *ὁμοιοι αυτοις (ειδωλοις) γενοιντο οἱ ποιουντες αυτα, και παντες οἱ πεποιθοτες επ' αυτοις. Ps. cxiii.* 8. *Cap. xvi.* 16.

25 Οὑς συναθροισας, και τους περι τα τοιαυτα εργατας, ειπεν, Ανδρες, επιστασθε ὁτι εκ ταυτης της εργασιας ἡ ευπορια ἡμων εστι·

εργατης. *Sap.* *xvii.* 17. *Sir.* *vii.* 15. ευπορια. *Jud.* *vi.* 12. *Aq.* εργασια. *Jon.* *i.* 8. *Ps.* *cvi.* 23. και συνηθροισε Μωυσης πασαν συναγωγην κ. τ. λ. *Exod.* *xxxv.* 1. επιστασθε. *Conf.* 2 *Tim.* *iv.* 2.

26 Και θεωρειτε και ακουετε ὁτι ου μονον Εφεσου, αλλα σχεδον πασης της Ασιας ὁ Παυλος οὑτος πεισας μετεστησεν ἱκανον οχλον, λεγων ὁτι ουκ εισι θεοι οἱ δια χειρων γινομενοι.

ου μονον—αλλα. 3 *Mac.* *iii.* 23. καθ᾽ ὁλην την πολιν σχεδον. 2 *Mac.* *v.* 2. μετεστησαν την καρδιαν του λαου. *Jos.* *xiv.* 8. τα ειδωλα των εθνων—εργα χειρων ανθρωπων. *Ps.* *cxiii.* 4. *Jer.* *x.* 3. ὁτι ου θεοι εισι. 4 *Reg.* *xix.* 18. *Conf.* *Sap.* *xiii.* 10. *xiv.* 20.

27 Ου μονον δε τουτο κινδυνευει ἡμιν το μερος εις απελεγμον ελθειν, αλλα και το της μεγαλης θεας Αρτεμιδος ἱερον εις ουδεν λογισθηναι, μελλειν δε και καθαιρεισθαι την μεγαλειοτητα αυτης, ἡν ὁλη ἡ Ασια και ἡ οικουμενη σεβεται.

ἡμερα θλιψεως και ονειδισμου και ελεγμου. *Esa.* *xxvii.* 3. απελεγχεσθαι. *Ps.* *cxviii.* 11. *Sym.* και εις ουθεν ελογισθησαν. *xl.* 17. *Sap.* *ix.* 6. πλεονακις ἑως θανατου εκινδυνευσα. *Sir.* *xxxi.* 12. κατα την μεγαλειοτητα Σαλωμων. 1 *Esd.* *i.* 5. τα περατα της οικουμενης. *Ps.* *xviii.* 4. ου μονον—αλλα και. *Prol.* *Sir.* λογισθηναι. *Conf.* 1 *Reg.* *i.* 13. μερος. *i.* *e* πραγμα. *Sir.* *xxxvii.* 18. 3 *Mac.* *v.* 17. σεβεται. *Esa.* *xxix.* 13. *Sophon.* *ii.* 11.

28 Ακουσαντες δε και γενομενοι πληρεις θυμου, εκραζον λεγοντες, Μεγαλη ἡ Αρτεμις Εφεσιων.

πληρεις δολου. *Jer.* *v.* 27. και ειπον, Μεγαλη ἡ αληθεια. 1 *Esd.* *iv.* 41. και επεκαλουντο εν ονοματι του Βααλ εκ πρωϊθεν ἑως μεσημβριας, και ειπον, Επακουσον ἡμων ὁ Βααλ, επακουσον ἡμων. κ. τ. λ. 3 *Reg.* *xviii.* 26. [περιχαρης γενομενος. *Jos.* *Ant.* *i.* 19. 2.]

29 Και επλησθη ἡ πολις ὁλη συγχυσεως· ὡρμησαν τε ὁμοθυμαδον εις το θεατρον, συναρπασαντες Γαϊον και Αρισταρχον Μακεδονας, συνεκδημους του Παυλου.

ενεπλησθη ἡ πολις βοωντων. *Esa.* *xxii.* 2. δια τουτο εκληθη το ονομα αυτης, Συγχυσις. *Gen.* *xi.* 9. ὁμοθυμαδον δε κατεδραμον επ᾽ εμε. *Job.* *xvi.* 11. *Alex.* *Ald.* *Conf.* 1 *Reg.* *v.* 12. *Col.* *iv.* 10. *Philem.* 24. εις φυγην ὡρμησαν. 2 *Mac.* *xii.* 22. ὡς αετος ὡρμησει.

Jer. xxxi. 40. *Ald.* [ὁλον τον νουν ὑπο θειας κατοχης συναρπασθεις οιστρῳ. *Philo de Noe.* συνεκδημους. *Jos. Vit. xiv. p.* 219.] *Prov. vi.* 25. [ὁμοθυμαδον εξεβοων. *Jos. Ant. xv.* 8. 2. τους ανδριαντας των του βασιλεως θυγατερων απασαντες, ὁμοθυμαδον εκομισαν κ. τ. λ. *xix.* 9. 1. εκκλησιασας εις το θεατρον κ. τ. λ. *xvii.* 6. 3. *Krebs. ad loc.*] συναρπασαντες. 2 *Mac. iv.* 41.

30 Του δε Παυλου βουλομενου εισελθειν εις τον δημον, ουκ ειων αυτον οἱ μαθηται.

[*Conf. Krebs. et Loesner.* οἱ κατοικουντες ἡμων εν τῃ πολει Ιουδαιοι πολιται, εισελθοντες επι την βουλην και τον δημον, παρεκαλεσαν. *Jos. Ant. xiv.* 18. 24.]

31 Τινες δε και των Ασιαρχων οντες αυτῳ φιλοι, πεμψαντες προς αυτον, παρεκαλουν μη δουναι ἑαυτον εις το θεατρον.

Συριαρχης. 2 *Mac. xii.* 2. *Conf. Robinson, voce* Ασιαρχης. [διδους αυτον εις τας ερημιας. *Jos. Ant. xv.* 7. 7.]

32 Αλλοι μεν ουν αλλο τι εκραζον· ην γαρ ἡ εκκλησια συγκεχυμενη, και οἱ πλειους ουκ ῃδεισαν, τινος ἑνεκεν συνεληλυθεισαν.

και αλλος αλλαχῃ ῥιφθεις. *Sap. xviii.* 18. συγχυθητωσαν παντες οἱ κατοικουντες την γην. *Joel. ii.* 1. *iv.* 1. 1 *Reg. vii.* 10. τινος ἑνεκεν. *Jon. i.* 7. [ταυτα λεγων Ἱερεμιας ὑπο των πλειονων επιστευτο. *Jos. Ant x.* 7. 3.]

33 Εκ δε του οχλου προεβιβασαν Αλεξανδρον, προβαλοντων αυτον των Ιουδαιων· ὁ δε Αλεξανδρος κατασεισας την χειρα, ηθελεν απολογεισθαι τῳ δημῳ.

Conf. 1 *Tim. i.* 20. 2 *Tim. iv.* 14. προβαλλοντον. *Jer. xxvi.* 4. *alii.* 2 *Mac. vii.* 10. [κατασεισας την χειρα. *Philo ad Cai. p.* 1018.] απολογησομαι προς σε. *Jer. xii.* 1. προσηλθεν επι το βημα Λυσιας απελογησατο. 2 *Mac. xiii.* 26.

34 Επιγνοντων δε ὁτι Ιουδαιος εστι, φωνη εγενετο μια εκ παντων, ὡς επι ὡρας δυο κραζοντων, Μεγαλη ἡ Αρτεμις Εφεσιων.

35 Καταστειλας δε ὁ γραμματευς τον οχλον, φησιν, Ανδρες Εφεσιοι, τις γαρ εστιν ανθρωπος, ὁς ου γινωσκει την Εφεσιων πολιν νεωκορον ουσαν της μεγαλης θεας Αρτεμιδος και του Διοπετους;

ὁ γραμματευς. *Sir. x.* 5. *Esd. iv.* 8. τις γαρ; *Job. xix.* 23. [ανδρες Ισραηλιται. *Jos. Ant. iii.* 8. 1. οὑς ὁ Θεος ἑαυτῳ νεωκορους

ηγε. *Jos. Bell. Jud. v.* 9. 4. *Ant. i.* 7. 6.] τις γαρ; [καταστελλειν ταραχην. *Jos. p.* 894. την στασιν. *p.* 865. *Edit. Huds. Conf.* 2 *Mac. iv.* 31.]

36 Αναντιρῤῥητων ουν οντων τουτων, δεον εστιν ὑμας κατεσταλμενους ὑπαρχειν, και μηδεν προπετες πραττειν.

μη ὁ πολυλαλος αναντιρῤῥητος εσται; *Job. xi.* 2. *xxxiii.* 13. *Sym.* δεον εστι. 1 *Mac. xii.* 11. [δεοντα· πρεποντα. *Hesych.*] καλως και αστειως πραττων. 2 *Mac. xii.* 43. ὁ προπετης εν λογῳ αυτου μισηθησεται. *Sir. ix.* 18. *Conf. Prov. xiv.* 29. *xxv.* 8.

37 Ηγαγετε γαρ τους ανδρας τουτους, ουτε ἱεροσυλους ουτε βλασφημουντας την θεαν ὑμων.

ἱεροσυλος. 2 *Mac. iv.* 42. βλασφημειν εν λογοις. 4 *Reg. xix.* 4. 6. 22. ουτε—ουτε. *Esa. i.* 6. *Conf.* 1 *Cor. x.* 32. 2 *Cor. vi.* 3.

38 Ει μεν ουν Δημητριος και οἱ συν αυτῳ τεχνιται προς τινα λογον εχουσιν, αγοραιοι αγονται, και ανθυπατοι εισιν· εγκαλειτωσαν αλληλοις.

Ιουδας δε ὁ Μακκαβαιος και οἱ συν αυτῳ. 2 *Mac. viii.* 1. και ουκ ενεκαλεσεν αυτῳ ανθρωπος. *Sir. xlvi.* 19. [αγοντι τον αγοραιον. *Jos. Ant. xiv.* 10. 21. *iv.* 6. 3.] *Conf. Deut. xvii.* 8. 1 *Cor. vi.* 1.

39 Ει δε τι περι ἑτερων επιζητειτε, εν τῃ εννομῳ εκκλησιᾳ επιλυθησεται.

εννομου βιωσεως. *Prol. Sir.* επιλυσις. *Gen. xiv.* 8. *Aq.* διασαφησις. *LXX.* 1 *Cor. xiv.* 40. *Eccles. iii.* 1.

40 Και γαρ κινδυνευομεν εγκαλεισθαι στασεως περι της σημερον, μηδενος αιτιου ὑπαρχοντος περι οὑ δυνησομεθα αποδουναι λογον της συστροφης ταυτης.

ἑως θανατου εκινδυνευσα. *Sir. xxxi.* 12. αποδιδοναι—λογον. *Dan. vi.* 2. ἑως της σημερον ἡμερας. *Gen. xxxv.* 20. *Alex.* εσκεπασας με απο συστροφης πονηρευομενων. *Ps. lxiii.* 2. 4 *Reg. xv.* 15. *Amos. vii.* 10. [ὁ και μονον ην αιτιον τοσαυτακις αυτοις νικωμενοις. *Jos. Ant. vii.* 4. 1.]

41 Και ταυτα ειπων, απελυσε την εκκλησιαν.

αγελαιους οχλους απελυσε. 2 *Mac. xiv.* 23. λογοι σοφων εν αναπαυσει ακουονται ὑπερ κραυγην εξουσιαζοντων εν αφροσυναις. *Eccles. ix.* 17. εκκλησια οχλου. *Sir. xxvi.* 5.

Jan. 30. 1852.

ΚΕΦ. κ. 20.

ΜΕΤΑ δε το παυσασθαι τον θορυβον, προσκαλεσαμενος ὁ Παυλος τους μαθητας, και ασπασαμενος, εξηλθε πορευθηναι εις την Μακεδονιαν.

πεπαυται φωνη κιθαρας. Esa. xxiv. 8. και ὡς κατεπαυσεν ὁ θορυβος των ανδρων. Judith. vi. 1. Conf. Prov. i. 27. και ησπασαντο αυτον εις ειρηνην. Jud. xviii. 15. Alex. 1 Mac. vii. 33. πορευου εις Σαρεπτα. 3 Reg. xvii. 9. 10. Conf. 1 Tim. i. 3. Rom. xvi. 16. και ειπεν αυτῳ ὁ βασιλευς, Βαδιζε εις ειρηνην. και αναστας επορευθη εις Χεβρων. 2 Reg. xv. 9. ὁτι ενθυμιον ανθρωπου εξομολογησεται σοι, και εγκαταλειμμα ενθυμιου ἑορτασει σοι. Ps. lxxv. 10. προσκαλεσαμενος. 2 Mac. viii. 1.

2 Διελθων δε τα μερη εκεινα, και παρακαλεσας αυτους λογῳ πολλῳ, ηλθεν εις την Ἑλλαδα·

και μερος το προς Λιβα—και διελευσεται ὁρια. Jos. xvii. 15. Ἑλλας. Conf. Esa. lxvi. 19. Ezech. xxvii. 13. Dan. viii. 21. Zach. ix. 13. παρακληθεντες δε τοις Ιουδα λογοις. 2 Mac. xv. 17.

3 Ποιησας τε μηνας τρεις, γενομενης αυτῳ επιβουλης ὑπο των Ιουδαιων, μελλοντι αναγεσθαι εις την Συριαν, εγενετο γνωμη του ὑποστρεφειν δια Μακεδονιας.

δικαιοι ποιησουσιν εν πλουτῳ ετη πολλα. Prov. xiii. 23. επιβουλας και δημαγωγιας ποιουμενοι. 1 Esd. v. 73. Alex. Ald. 2 Mac. viii. 7. απ᾽ εμου ετεθη γνωμη. Esd. vi. 11.

4 Συνειπετο δε αυτῳ αχρι της Ασιας Σωπατρος Βεροιαιος· Θεσσαλονικεων δε, Αρισταρχος και Σεκουνδος, και Γαϊος Δερβαιος και Τιμοθεος, Ασιανοι δε Τυχικος και Τροφιμος.

των δε κατ᾽ αναγκην συνεπομενων αυτῳ. 2 Mac. xv. 2. Conf. Rom. xvi. 21. Col. iv. 7-10. Philem. 24. 3 Joan. 1. 1 Cor. i. 14. Ephes. vi. 21. 2 Tim. iv. 20. 2 Mac. viii. 11-13. [αγγελος δυναμεως συνεπεται μοι εν πασι. Test. XII Patr. p. 592.]

5 Οὑτοι προελθοντες εμενον ἡμας εν Τρωαδι·

μενω τον Θεον τον αποστρεψαντα. Esa. viii. 17. μεινον με μικρον. Job. xxxvi. 2. 2 Cor. ii. 12. 2 Tim. iv. 13.

6 Ἡμεις δε εξεπλευσαμεν μετα τας ἡμερας των αζυμων απο Φιλιππων, και ηλθομεν προς αυτους εις την Τρωαδα αχρις ἡμερων πεντε, οὑ διετριψαμεν ἡμερας ἑπτα.

ἑπτα ἡμερας αζυμα εδεσθε. *Lev. xxiii.* 6. και διατριψει εξω του οικου αυτου ἑπτα ἡμερας. *xiv.* 8. *Conf. Exod. xii.* 14, 15.

7 Εν δε τῃ μιᾳ των σαββατων, συνηγμενων των μαθητων του κλασαι αρτον, ὁ Παυλος διελεγετο αυτοις, μελλων εξιεναι τῃ επαυριον, παρετεινε τε τον λογον μεχρι μεσονυκτιου·

εν μιᾳ του μηνος. *Num. i.* 1. σαββατα, *hebdomas. Lev. xxiii.* 15. *Deut. xvi.* 9. συνηγμενων. *Neh. xii.* 44. στηρισον την καρδιαν σου κλασματι αρτου. *Jud. xix.* 5. *Alex. O. Ald. Comp. Ezech. xiii.* 19. [παρατεινειν χρονον. *Jos. Ant. i.* 3. 9.] τῃ επαυριον. *Gen. xxx.* 33. *Conf.* 1 *Cor. x.* 16. *xi.* 20. *Apoc. i.* 10. και ανεγνω εν αυτῳ απο της ὡρας του διαφωτισαι τον ἡλιον, ἑως ἡμισους της ἡμερας, κ. τ. λ. *Neh. viii.* 3. μεχρι. *Ps. civ.* 19. 2 *Mac. xiii.* 14.

8 Ἠσαν δε λαμπαδες ἱκαναι εν τῳ ὑπερῳῳ οὑ ησαν συνηγμενοι.

και Σαῤῥα—κατεβη εκ του ὑπερῳου αυτης. *Tob. iii.* 18. 3 *Reg. xvii.* 23. ησαν συνηγμενοι = εστω διαχωριζον. *Gen. i.* 6.

9 Καθημενος δε τις νεανιας ονοματι Ευτυχος επι της θυριδος, καταφερομενος ὑπνῳ βαθει, διαλεγομενου του Παυλου επι πλειον, κατενεχθεις απο του ὑπνου, επεσεν απο του τριστεγου κατω, και ηρθη νεκρος.

θυριδα. *Jos. ii.* 18. *Jud. v.* 28. επι πλειον. *Ps. lxi.* 2. *Jer. ii.* 12. και επεβαλεν ὁ Θεος εκστασιν [καταφοραν, *Aq.*] επι τον Αδαμ, και ὑπνωσε. *Gen. ii.* 21. [καταφορειν· ὑπνουν. *Hesych.*] και ηραν —και εθαψαν αυτον. 1 *Mac. ix.* 19. εξεγειρων καθευδοντα εκ βαθεως ὑπνου. *Sir. xxii.* 7. *Sap. xvi.* 11. *Conf.* 4 *Reg. iv.* 34. ὡστι νεκρος. *Ps. iii.* 10. κατω. *Deut. xxviii.* 43. καταφερομενος. *Ps. lxxv.* 7. *Aq. Sophon. i.* 3. *Gen. ii.* 21. *Aq.* [οικοι τριστεγοι. *Jos. Bell. Jud. x.* 5. 15.] κατα διστεγα και τριστεγα ποιησεις αυτην. *Gen. vi.* 16. *Sym.* τριωφορα. *LXX. Conf. Matt. ix.* 24.

10 Καταβας δε ὁ Παυλος επεπεσεν αυτῳ, και συμπεριλαβων ειπε, Μη θορυβεισθε· ἡ γαρ ψυχη αυτου εν αυτῳ εστιν.

συμπεριλαβων. *Ezech. v.* 3. τινι ουαι; τινι θορυβος; *Prov. xxiii.* 29. ψυχην ζωων. *Gen. i.* 21. ψυχων ζωσων. 20. επιστραφητω δη ἡ ψυχη του παιδαριου τουτου. 3 *Reg. xvii.* 21.

11 Αναβας δε και κλασας αρτον και γευσαμενος, εφ᾽ ἱκανον τε ὁμιλησας αχρις αυγης, οὑτως εξηλθεν.

ὁμιλησαι. *Gen. xxiv.* 63. *Aq.* και ουκ εγευσατο πας ὁ λαος αρτον. 1 *Reg. iv.* 24. αχρι αιωνος. 2 *Mac. xiv.* 15. μειναντες αυγην. *Esa. lix.* 9. οὑτως ψαλω τῳ ονοματι σου. *Ps. lx.* 8.

12 Ηγαγον δε τον παιδα ζωντα, και παρεκληθησαν ου μετριως.

ὁ υἱος σου ζη. *Joan. iv. 50. Conf. Esa. xxxviii.* 19. και κατηγαγεν αυτο απο του ὑπερῳου εις τον οικον, και εδωκεν αυτο τῃ μητρι. 3 *Reg. xvii.* 23. [γεγηθαμεν ου μετριως. *Philo.* 2 *Alleg. p.* 77.]

13 Ἡμεις δε προελθοντες επι το πλοιον, ανηχθημεν εις την Ασσον, εκειθεν μελλοντες αναλαμβανειν τον Παυλον· οὑτω γαρ ην διατεταγμενος, μελλων αυτος πεζευειν.

μελλοντες ουν αγειν τον καθαρισμον. 2 *Mac. ii.* 16. αγρια μελλων διοδευειν κυματα. *Sap. xiv.* 1. πεζῃ. 2 *Reg. xv.* 17.

14 Ὡς δε συνεβαλεν ἡμιν εις την Ασσον, αναλαβοντες αυτον ηλθομεν εις Μιτυληνην·

και αναλαβων ὁ παις την Ῥεβεκκαν, απηλθε. *Gen. xxiv.* 61. [Ιωναθης—συμβαλων αυτῳ. *Jos. Ant. vi.* 13. 2.]

15 Κακειθεν αποπλευσαντες, τῃ επιουσῃ κατηντησαμεν αντικρυ Χιου. τῃ δε ἑτερᾳ παρεβαλομεν εις Σαμον· και μειναντες εν Τρωγυλλιῳ, τῃ εχομενῃ ηλθομεν εις Μιλητον.

ου γαρ γινωσκεις τι τεξεται ἡ επιουσα. *Prov. xxvii.* 1. τῃ δε εχομενῃ ηλθον οἱ περι τον Ιουδαν, κ. τ. λ. 2 *Mac. xii.* 39. και παρελαβεν αυτον εις αγρου σκοπιαν. *Num. xxiii.* 14. αντικρυ. 3 *Mac. v.* 16. καταντησαντος—εις Τυρον. 2 *Mac. iv.* 44.

16 Εκρινε γαρ ὁ Παυλος παραπλευσαι την Εφεσον, ὁπως μη γενηται αυτῳ χρονοτριβησαι εν τῃ Ασιᾳ· εσπευδε γαρ, ει δυνατον ην αυτῳ, την ἡμεραν της Πεντηκοστης γενεσθαι εις Ἱεροσολυμα.

καθως δ' αν αυτῳ κριθειῃ. 2 *Mac. xv.* 11. *xi.* 25. εσπευσε του αναβηναι εις το ἁρμα. 2 *Par. x.* 18. μετα δε την λεγομενην Πεντηκοστην. 2 *Mac. xii.* 32. *Conf. Act. xviii.* 21. και ἑορτην ἑβδομαδων ποιησεις μοι, κ. τ. λ. *Exod. xxxiv.* 22.

17 Απο δε της Μιλητου πεμψας εις Εφεσον, μετεκαλεσατο τους πρεσβυτερους της εκκλησιας.

οἱ πρεσβυτεροι της συναγωγης. *Jud. xxi.* 16. δια του αγγελου αυτου μετακαλεσαι αυτους. 1 *Esd. i.* 50. πεμπειν. *Gen. xxvii.* 42.

18 Ὡς δε παρεγενοντο προς αυτον, ειπεν αυτοις, Ὑμεις επιστασθε, απο πρωτης ἡμερας αφ' ἡς επεβην εις την Ασιαν, πως μεθ' ὑμων τον παντα χρονον εγενομην,

παραγινεται προς με ὁ λαος. *Exod. xviii.* 15. και οιδα ὁσα και ὑμεις επιστασθε. *Job. xiii.* 2. γινεσθε εις ανδρας. 1 *Reg. iv.* 9.

τον ἁπαντα χρονον. Deut. xxii. 19, 29. *Prov. xv.* 16. *Conf.* 1 *Thess. ii.* 5. 10. *Conf. Col. i.* 9. *επεβην. Jos. xiv.* 9.

19 Δουλευων τῳ Κυριῳ μετὰ πασης ταπεινοφροσυνης και πολλων δακρυων και πειρασμων, των συμβαντων μοι εν ταις επιβουλαις των Ιουδαιων·

δουλευσατε τῳ Κυριῳ εν φοβῳ. Ps. ii. 11. *ταπεινοφρων. Prov. xxix.* 23. *ταπεινοφρονειν. Ps. cxxxi.* 2. *Conf. Jac. iv.* 6. *απηγγειλαν αυτῳ παντα τα συμβαντα αυτοις. Gen. xlii.* 29.

20 Ὡς ουδεν ὑπεστειλαμην των συμφεροντων, του μη αναγγειλαι ὑμιν και διδαξαι ὑμας δημοσιᾳ και κατ' οικους,

ου μη ὑποστειλῃ προσωπον ανθρωπου. Deut. i. 19. *Sap. vi.* 7. [*δημοσιᾳ και κατ' ιδιαν. Jos. Ant. iii.* 2. 4.] *δημοσιᾳ.* 2 *Mac. vi.* 10. *κατ' ενιαυτον. Zach. xiv.* 16. *νομον ὁν αν αναγγειλωσιν ὑμιν οἱ ἱερεις. Deut. xxiv.* 8. *συμφεροντα. Deut. xxiii.* 6. [*μηδεν της αληθειας ὑποστειλαμενος αντικρυς ειπε. Jos. Bell. Jud. i.* 20. 1. *Conf. Krebs. ad loc.*] *ιδετε, δεδειχα ὑμιν δικαιωματα και κρισεις καθα ενετειλατο μοι Κυριος, κ. τ. λ. Deut. iv.* 5. *Ps. xxxix.* 9, 10. *Ezech. xxxiii.* 7-9. [*επειδη τοις ονειρων κριταις αληθευειν αναγκαιον—λεξω μηδεν ὑποστειλαμενος. Philo de Jos. p.* 540.]

21 Διαμαρτυρομενος Ιουδαιοις τε και Ἑλλησι την εις τον Θεον μετανοιαν, και πιστιν την εις τον Κυριον ἡμων Ιησουν Χριστον.

και διαμαρτυρῃ τα προσταγματα. Exod. xviii. 20. *διδως επι ἁμαρτημασι μετανοιαν. Sap. xii.* 19. *Marc. i.* 15. *Luc. xxiv.* 47. *επιστραφητε και αποστρεψατε εκ πασων των ασεβειων ὑμων, και ουκ εσονται ὑμιν εις κολασιν αδικιας. Ezech. xviii.* 30-32. *ἑκαστον συντηρειν την ουσαν ευνοιαν εις εμε και τον υἱον μου.* 2 *Mac. ix.* 26. *ευσεβεια εις Θεον. Prov. i.* 7.

22 Και νυν ιδου, εγω δεδεμενος τῳ πνευματι πορευομαι εις Ἱερουσαλημ, τα εν αυτῃ συναντησοντα μοι μη ειδως,

και νυν ιδου. Exod. iii. 9. *δεσμιοι συναγωγης. Zach. ix.* 12. *Sap. xvii.* 2. *Esa. xlix.* 9. [*δεδεμενος τῳ πνευματι, sc. ἁγιῳ. i. e. Spiritus S. mandato necessario parens. Bretschn.*] *εξετεινα αυτους εν δεσμοις αγαπησεως μου. Ose. xi.* 4. *Conf. Ps. ii.* 3. *χειλη σοφων δεδεται αισθησει. Prov. xv.* 7. *μη ειδως. Conf. Joan. xviii.* 4. 2 *Pet. i.* 14.

23 Πλην ὁτι το Πνευμα το ἁγιον κατα πολιν διαμαρτυρεται λεγον, Ὁτι δεσμα με και θλιψεις μενουσιν.

πλην γινωσκε ὁτι. Jud. iv. 9. *ουχ ὑπελειφθη πλην οἱ πτωχοι.* 4 *Reg. xxiv.* 14. *Esa. lxiv.* 4. *λυσατε, εκλυσατε αδικα δεσμα.* 3

Mac. vi. 27. διαμαρτυρομαι. *Deut. xxxii.* 46. *Exod. xviii.* 20. κατα πολιν και πολιν. 1 *Mac. i.* 51. *Conf.* 1 *Thess. iii.* 3. *Act. ix.* 16. ιδου δεδονται επι σε δεσμοι, και δησουσι σε εν αυτοις, κ. τ. λ. *Ezech. iii.* 25. *Joan. xxi.* 18. *Conf.* 1 *Reg. x.* 10.

24 Αλλ᾽ ουδενος λογον ποιουμαι, ουδε εχω την ψυχην μου τιμιαν εμαυτῳ, ὡς τελειωσαι τον δρομον μου μετα χαρας, και την διακονιαν ἡν ελαβον παρα του Κυριου Ιησου, διαμαρτυρασθαι το ευαγγελιον της χαριτος του Θεου.

ουχι και τουτου λογον εποιησω. *Job. xiv.* 3. τιμιος εναντιον Κυριου ὁ θανατος των ὁσιων αυτου. *Ps. cxv.* 15. τελειωθεις εν ολιγῳ επληρωσε χρονους μακρους. *Sap. iv.* 13. ὁ τρεχων απο του δρομου αυτου. *Jer. viii.* 6. *xxiii.* 10. μετα χαρας. *Est. ix.* 18, 19. 1 *Par. xxix.* 22. εντιμωθητω ἡ ψυχη μου. 4 *Reg. i.* 13. *Ezech. xxxvi.* 5. εγω λογον εχω των Ιουδαιων. *Jer. xlv.* 19. *xlii.* 16. υἱε ανθρωπου διαμαρτυραι τῃ Ἱερουσαλημ τας ανομιας αυτης. *Ezech. xvi.* 2. *xx.* 4. 1 *Reg. xxi.* 2. *Conf.* 2 *Mac. vii.* 11. 14. *Gal. i.* 1. *Tit. i.* 3. *Rom. viii.* 35. 1 *Cor. xv.* 31. *Ephes. iii.* 13. *Phil. i.* 12. *Col. i.* 24. 2 *Tim. iv.* 7. *Amos. iv.* 13.

25 Και νυν ιδου, εγω οιδα, ὁτι ουκ ετι οψεσθε το προσωπον μου ὑμεις παντες, εν οἱς διηλθον κηρυσσων την βασιλειαν του Θεου.

οιδα γαρ ὁτι. *Deut. xxxi.* 29. ουκ οψεσθε το προσωπον μου. *Gen. xliii.* 3. 5. και νυν. 2 *Reg. iv.* 11. εδειξεν αυτῳ βασιλειαν Θεου, κ.τ.λ. *Sap. x.* 10. *Tob. xiii.* 1. *Conf. Esa. lxi.* 1.

26 Διο μαρτυρομαι ὑμιν εν τῃ σημερον ἡμερᾳ, ὁτι καθαρος εγω απο του αἱματος παντων·

επεμαρτυρατο εναντι Κυριου. *Sir. xlvi.* 19. *Conf. Deut. iv.* 26. εν τῃ σημερον ἡμερᾳ. *Jos. v.* 9. *Jer. i.* 18. καθαρος εγω απο του αἱματος ταυτης. *Susan.* 46. *Alex. Comp. Gen. xxiv.* 8. και το αἱμα αυτου εκ της χειρος σου εκζητησω. *Ezech. iii.* 20. και συ την σεαυτου ψυχην ῥυσῃ. *Ezech. iii.* 21. ιδου δεδωκα προ προσωπου σου σημερον την ζωην και τον θανατον, το αγαθον και το κακον. *Deut. xxx.* 15. *Conf.* 1 *Tim. v.* 22.

27 Ου γαρ ὑπεστειλαμην του μη αναγγειλαι ὑμιν πασαν την βουλην του Θεου.

φοβερος εν βουλαις. *Ps. lxv.* 5. ἡ βουλη του ἁγιου Ισραηλ. *Esa. v.* 19. *xlvi.* 10. *Ps. xxxii.* 11. *Luc. vii.* 30. *Ephes. i.* 11. *Ezech. iii.* 18-21. *Deut. i.* 17. *Sap. vi.* 7. ἡ βουλη του Θεου εις τον αιωνα μενει. *Prov. xx.* 21.

28 Προσεχετε ουν ἑαυτοις και παντι τῳ ποιμνιῳ, εν ᾡ ὑμας
το Πνευμα το ἁγιον εθετο επισκοπους, ποιμαινειν την εκκλη-
σιαν του Θεου, ἡν περιεποιησατο δια του ιδιου αἱματος.

προσεχε σεαυτῳ. *Gen. xxiv.* 6. και ὑμεις προβατα μου και προβατα ποιμνιου μου εστε. *Ezech. xxxiv.* 31. *Alex. Ald. Comp.* που εστι το ποιμνιον ὁ εδοθη σοι; *Jer. xxiii.* 20. τις με θησει φυλασσειν καλαμην εν αγρῳ; *Esa. xxvii.* 4. συ ποιμανεις τον λαον μου τον Ισραηλ. 2 *Reg. v.* 2. το ποιμνιον Κυριου. *Zach. x.* 3. τοις αξιοις περιποιειται την νικην. 2 *Mac. xv.* 21. *Gen. xxxvi.* 6. και εξελειται, και περιποιησεται, και σωσει. *Esa. xxxi.* 5. και εσονται μοι, λεγει Κυριος—εις περιποιησιν. *Mal. iii.* 17. *Conf. Esa. xliii.* 21. *liii.* 10. *Exod. xix.* 5. *Deut. vii.* 6. 2 *Reg. xv.* 6. 1 *Pet. v.* 2. 1 *Tim. iii.* 1, 2. *Philip. i.* 1. *Ephes. i.* 7. τους ἱερουργουντας τον νομον ιδιῳ αἱματι, και γενναιῳ ἱδρωτι τοις μεχρι θανατου παθεσιν ὑπερασπιζοντας. 4 *Mac. vii.* τους ιδιους οικογενεις αυτου. *Gen. xiv.* 14. ιδου πεπρακα σε, ουχ ἑνεκεν αργυριου. *Esa. xlviii.* 10. γη, ἡν Κυριος ὁ Θεος σου επισκοπειται αυτην διαπαντος. *Deut. xi.* 12. και οἱ ανδρες εν πιστει επι των εργων· και επ᾽ αυτων επισκοποι, κ. τ. λ. 2 *Par. xxxiv.* 12. [παντα επαθες ἱνα ἡμας περιποιηση. *Act. Thom. c.* 25.] [μιμηται οντες Θεου, αναζωπυρησαντες εν αἱματι Θεου. *Ignat. ad Ephes. init.*] επισκοπους. *Conf. Num. xxxi.* 14. *Jud. ix.* 28. *Ps. lxxvi.* 20. *lxxxviii.* 51. *Esa. lxiii.* 11. *Ezech. xxxiv.* 11. το Πνευμα το ἁγιον. *Ps. l.* 11.

29 Εγω γαρ οιδα τουτο, ὁτι εισελευσονται μετα την αφιξιν
μου λυκοι βαρεἱς εις ὑμας, μη φειδομενοι του ποιμνιου·

και λυκος—ωλοθρευσεν αυτους. *Jer. v.* 6. και εφεισατο λαβειν εκ των ποιμνιων αυτου. 2 *Reg. xii.* 4. 6. ὁτι κειρουσι σοι νυν οἱ ποιμενες σου. 1 *Reg. xxv.* 7. *Conf. Deut. xxxi.* 29. *Matt. vii.* 15. ασεβεις δε ὁριον ὑπερεβησαν, ποιμνιον συν ποιμενι ἁρπασαντες; *Job. xxiv.* 2. *Sophon. iii.* 3. αφιξιν. 3 *Mac. vii.* 18.

30 Και εξ ὑμων αυτων αναστησονται ανδρες λαλουντες διεσ-
τραμμενα, του αποσπαν τους μαθητας οπισω αὑτων.

ανεστη Ναθαν. *Sir. xlvii.* 1. τοτε λαλησει σκολια. *Prov. xxiii.* 33. αποσπαν. *Jos. viii.* 6. *Conf.* 3 *Reg. xvi.* 22. *Matt. xxvi.* 21. *Act. i.* 17. 1 *Joan. ii.* 19. *Apoc. ii.* 6. διεστραμμενα. *Deut. xxxii.* 5.

31 Διο γρηγορειτε, μνημονευοντες ὁτι τριετιαν νυκτα και ἡμε-
ραν ουκ επαυσαμην μετα δακρυων νουθετων ἑνα ἑκαστον.

γρηγορειτε. *Jer. v.* 6. 1 *Mac. xii.* 27. [*Sturz. de dialect. Alex. p.*

157.] τριετιζων. *Gen. xv.* 9. ὡς επαυσατο λαλων. 1 *Mac. ii.* 23. τουτους μεν γαρ ὡς πατηρ νουθετων εδοκιμασας. *Sap. xi.* 10. *Conf. Heb. xiii.* 17. *Ezech. iii.* 17-20.

32 Και τανυν παρατιθεμαι ὑμας, αδελφοι, τῳ Θεῳ και τῳ λογῳ της χαριτος αυτου, τῳ δυναμενῳ εποικοδομησαι και δουναι ὑμιν κληρονομιαν εν τοις ἡγιασμενοις πασιν.

εις χειρας σου παραθησομαι το πνευμα μου. *Ps. xxx.* 5. εδωκας κληρονομιαν τοις φοβουμενοις το ονομα σου. *Ps. lx.* 5. εποικοδομειν. *Sir. xlix.* 7. *Deut. xxv.* 9. και αναστησῃ εις τον κληρον σου. *Dan. xii.* 13. *Conf. Ephes. i.* 18. 1 *Pet. i.* 4. *Sir. xxx.* 23. και ειπεν Ιωσηφ τοις αδελφοις αυτου, λεγων, Εγω αποθνησκω· επισκοπῃ δε επισκεψεται ὁ Θεος ὑμας κ. τ. λ. *Gen. l.* 24. τοις ἡγιασμενοις. 2 *Par. xxvi.* 18. *Exod. xxxi.* 13. *Lev. xx.* 7, 8. *xxi.* 8. *Ezech. xx.* 12.

33 Αργυριου η χρυσιου η ἱματισμου ουδενος επεθυμησα·

μη επιθυμει των εδεσματων αυτου. *Prov. xxiii.* 3. 6. και ἑως ὑποδηματων απο πασης σαρκος ουκ ειληφα. *Sir. xlvi.* 19. ουκ επιθυμημα ουδενος αυτων ειληφα, ουδε εκακωσα ουδενα αυτων. *Num. xvi.* 15. 1 *Reg. xii.* 3. εν ἱματισμῳ διαχρυσῳ περιβεβλημενη. *Ps. xliv.* 9. *Conf.* 1 *Cor. ix.* 12. 2 *Cor. xi.* 9. *xii.* 13.

34 Αυτοι δε γινωσκετε ὁτι ταις χρειαις μου και τοις ουσι μετ᾽ εμου ὑπηρετησαν αἱ χειρες αὑται.

το της χρειας εγεγονει. 2 *Mac. xii.* 39. εὑρησεις την χρειαν σου. *Sir. xxix.* 3. επ᾽ αυτον και επι παντας τους μετ᾽ αυτου. *Ezech. xxxviii.* 22. ὁ δε συναγων ἑαυτω μετ᾽ ευσεβειας πληθυνθησεται. *Prov. xiii.* 11. τῃ δε του προσφερομενου επιθυμιᾳ ὑπηρετων. *Sap. xvi.* 21. *Conf.* 1 *Cor. iv.* 12. 1 *Thess. ii.* 9. 2 *Thess. iii.* 8, 9.

35 Παντα ὑπεδειξα ὑμιν, ὁτι οὑτω κοπιωντας δει αντιλαμβανεσθαι των ασθενουντων, μνημονευειν τε των λογων του Κυριου Ιησου, ὁτι αυτος ειπε, Μακαριον εστι διδοναι μαλλον η λαμβανειν.

αγαθα και κακα ὑπεδειξεν αυτοις. *Sir. xvii.* 7. χαριν εντολης αντιλαβου πενητος. *xxix.* 9. *ii.* 6. διακρινε δε πενητα και ασθενη. *Prov. xxxi.* 9. *xix.* 17. παιδιον μνημονευε των εντολων μου. *Tob. iv.* 19. μαλλον η. *Gen. xxix.* 30. δει αντιλαμβανεσθαι (χειρα *scil.*). = και χειρα πτωχου και πενητος ουκ αντελαμβανοντο. *Ezech. xvi.* 49. πιστευσον αυτῳ, και αντιληψεται σου. *Sir. ii.* 6. *iv.* 31. *Ephes. iv.* 28. δωρεαν ελαβετε, δωρεαν δοτε. *Matt. x.* 8.

36 Και ταυτα ειπων, θεις τα γονατα αὑτου, συν πασιν αυτοις προσηυξατο.

εκαμψεν επι τα γονατα. 4 Reg. ix. 24. κλινω επι τα γονατα. Esd. ix. 5. και συνηθροισθη ἡ συναγωγη—του προσευξασθαι. 1 Mac. iii. 4. Conf. Cap. xxi. 5.

37 Ἱκανος δε εγενετο κλαυθμος παντων· και επιπεσοντες επι τον τραχηλον του Παυλου, κατεφιλουν αυτον·

και επιπεσων επι τον τραχηλον Βενιαμιν—εκλαυσεν επ᾽ αυτῳ—και καταφιλησας παντας τους αδελφους. Gen. xlv. 14. [Philo de Jos. p. 563.] και εκλαυσε κλαυθμῳ πιονι. Gen. xlvi. 29. κλαυθμος μεγας. Judith. vii. 29. Jer. xxxi. 9. ὡς φωνην ὑδατος ἱκανου. Ezech. i. 24. Alex. Ald. Comp. 1 Reg. xx. 41.

38 Οδυνωμενοι μαλιστα επι τῳ λογῳ ᾧ ειρηκει, ὁτι ουκετι μελλουσι το προσωπον αυτου θεωρειν. προεπεμπον δε αυτον εις το πλοιον.

και οδυνηθησεται σφοδρα. Zach. ix. 5. xii. 10. ουκ ετι οφθησομαι σοι εις προσωπον. Exod. x. 29. ουκ οψεσθε το προσωπον μου. Gen. xliii. 3. 5. Judith. x. 10. προπεμπειν εις τον ᾁδην. 2 Mac. vi. 23. [προπεμψας Δαυϊδην μεχρι του Ιορδανου. Jos. Ant. vii. 11. 4.]

ΚΕΦ. κα. 21.

ΩΣ δε εγενετο αναχθηναι ἡμας αποσπασθεντας απ᾽ αυτων, ευθυδρομησαντες ηλθομεν εις την Κων, τῃ δε ἑξης εις την Ῥοδον, κακειθεν εις Παταρα.

και εγενετο ὡς εισεφερον το γλωσσοκομον κ. τ. λ. 2 Par. xxiv. 11. εκειθεν δε αποσπασθεντων σταδιους εννεα. 2 Mac. xii. 10. 17. τῃ δε ἑξης, sc. ἡμερᾳ. Conf. Luc. vii. 11. ix. 37. ἡ ἑξης βασανος. 2 Mac. vii. 8. [και τῃ ἑξης ερρηθη. Test. XII Patr. p. 595.] εις Κω. 1 Mac. xv. 23. [Φοινικη. Jos. Ant. vii. 4. 1.] [και ναυς ευθυδρομει μεν, ἡνικα των οιακων λαβομενος ὁ κυβερνητης ακολουθως πηδαλιουχει. Philo, 2 Alleg. p. 102.] εκειθεν—εις Σαμαρειαν. 4 Reg. ii. 25.

2 Και εὑροντες πλοιον διαπερων εις Φοινικην, επιβαντες ανηχθημεν.

τις διαπερασει ἡμιν εις το περαν; Deut. xxx. 13. και εὑρε πλοιον βαδιζον εις Θαρσις—και ανεβη εις αυτο, κ. τ. λ. Jon. i. 3.

3 Αναφαναντες δε την Κυπρον, και καταλιποντες αυτην ευωνυμον, επλεομεν εις Συριαν, και κατηχθημεν εις Τυρον· εκεισε γαρ ην το πλοιον αποφορτιζομενον τον γομον.

και προσκυνησουσιν αυτῳ θυγατερες Τυρου εν δωροις, κ. τ. λ. *Ps. xliv.* 12. *lxxxvii.* 4. *Esa. xxiii.* 17, 18. [εις Βρεντησιον καταγεται. *Jos. Ant. xiv.* 14. 3.] [καταγειν· επι τον ναυσταθμον αγειν. *Hesych. in navalia deducere, vel subducere naves.* αποφορτισασθαι· το βαρος ῥιψαι. *Hesych.* αποβαλειν φορτιον. *Suid. apud Schleus.*] [κυβερνητης χειμωνων επιγινομενων αποφορτιζεται. *Philo, de præm. p.* 915.]

4 Και ανευροντες τους μαθητας, επεμειναμεν αυτου ἡμερας ἑπτα· οἱτινες τῳ Παυλῳ ελεγον δια του Πνευματος, μη αναβαινειν εις Ἱερουσαλημ.

εποιησατε βουλην ου δι' εμου, και συνθηκας ου δια του πνευματος μου. *Esa. xxx.* 1. Ιουδαιοι αναβαντες—εις Ἱερουσαλημ. 1 *Esd. ii.* 18. 3 *Reg. xii.* 27. *Conf. Act. xx.* 23. οἱτινες. *Exod. xxxii.* 9.

5 Ὁτε δε εγενετο ἡμας εξαρτισαι τας ἡμερας, εξελθοντες επορευομεθα, προπεμποντων ἡμας παντων συν γυναιξι και τεκνοις ἑως εξω της πολεως, και θεντες τα γονατα επι τον αιγιαλον προσηυξαμεθα.

δευτε προσκυνησωμεν και προσπεσωμεν αυτῳ, κ. τ. λ. *Ps. xciv.* 6. [εξαρτισαι· πληρωσαι. *Oecumen. ad loc.* αρτια· τελεια. *Hesych.*] ἱνα προπεμψωσιν αυτον και τους μετ' αυτου παντας. 1 *Esd. iv.* 47. παρ' αιγιαλον θαλασσων. *Jud. v.* 17. *Alex. O. Ald. Comp. Conf. Deut. xxix.* 11. *Jos. xxiv.* 15.

6 Και ασπασαμενοι αλληλους, επεβημεν εις το πλοιον, εκεινοι δε ὑπεστρεψαν εις τα ιδια.

και ησπασαντο αλληλους. *Exod. xviii.* 7. ὑπεστρεψεν εις τα ιδια. *Est. vi.* 12. *v.* 10. βαδιζε εις ερηνην. και αναστας επορευθη εις Χεβρων. 2 *Reg. xv.* 9.

7 Ἡμεις δε τον πλουν διανυσαντες απο Τυρου κατηντησαμεν εις Πτολεμαϊδα, και ασπασαμενοι τους αδελφους εμειναμεν ἡμεραν μιαν παρ' αυτοις.

διανυσαντες. 2 *Mac. xii.* 17. καταντησαντος δε του βασιλεως εις Τυρον. 2 *Mac. iv.* 44. και εξηλθε Σαουλ εις απαντησιν αυτῳ ευλογησαι αυτον. 1 *Reg. xiii.* 10. [διανυσθηναι· τελειωθηναι. *Hesych.*]

8 Τῃ δε επαυριον εξελθοντες οἱ περι τον Παυλον ηλθον εις Καισαρειαν· και εισελθοντες εις τον οικον Φιλιππου του ευαγγελιστου, (του οντος εκ των ἑπτα,) εμειναμεν παρ' αυτῳ.

εν τῃ επαυριον. *Gen. xix.* 34. οἱ περι τον Παυλον. *Conf. cap. xiii.* 13. εκ των ἑπτα (*sc.* διακονων) = οἱ δωδεκα (*sc.* αποστολοι).

Matt. xxvi. 14. *et alibi. Conf.* 2 *Reg. xxiii.* 18-23. *Ephes. iv.* 11. [Και-σαρεια. *Jos. Ant. xv.* 9. 6.]

9 Τουτῳ δε ησαν θυγατερες παρθενοι τεσσαρες προφητευουσαι.

και προφητευσουσιν οἱ υἱοι ὑμων, και αἱ θυγατερες ὑμων. *Joel. ii. Conf. Act. ii.* 17. ἡ προφητις. *Exod. xv.* 20. *Jud. iv.* 4. 4 *Reg. xxii.* 14. *Esa. viii.* 3. *Conf.* 1 *Cor. vii.* 25.

10 Επιμενοντων δε ἡμων ἡμερας πλειους, κατηλθε τις απο της Ιουδαιας προφητης ονοματι Αγαβος·

11 Και ελθων προς ἡμας, και αρας την ζωνην του Παυλου, δησας τε αὑτου τας χειρας και τους ποδας ειπε, Ταδε λεγει το Πνευμα το ἁγιον, Τον ανδρα, οὑ εστιν ἡ ζωνη αὑτη, οὑτω δη-σουσιν εν Ἱερουσαλημ οἱ Ιουδαιοι, και παραδωσουσιν εις χειρας εθνων.

παρεδωκε γαρ με ὁ Κυριος εις χειρας αδικων. *Job. xvi.* 12. 1 *Par. xiv.* 10. 2 *Par. vi.* 36. *Ald.* και παραδωσω εις χειρας ανδρων βαρβαρων. *Ezech. xxi.* 31. *Conf. Jer. xiii.* 10, 11. *Ezech. iv.* 1-13. *Ose. i.* 2. *Ephes. vi.* 20. *Phil. i.* 7. *Col. iv.* 18. *Heb. x.* 34. και εκρα-τησε Σαουλ του πτερυγιου της διπλοϊδος αυτου, και διερρηξεν αυτο. Και ειπε—διερρηξε Κυριος την βασιλειαν σου, κ. τ. λ. 1 *Reg. xv.* 27, 28. 3 *Reg. xi.* 29-31. 4 *Reg. xiii.* 15-19. *Joan. xxi.* 18.

12 Ὡς δε ηκουσαμεν ταυτα, παρεκαλουμεν ἡμεις τε και οἱ εντοπιοι, του μη αναβαινειν αυτον εις Ἱερουσαλημ.

Conf. Matt. xvi. 22. οἱ ανδρες του τοπου. *Gen. xxvi.* 7.

13 Απεκριθη δε ὁ Παυλος, Τι ποιειτε κλαιοντες και συνθρυπ-τοντες μου την καρδιαν; εγω γαρ ου μονον δεθηναι, αλλα και αποθανειν εις Ἱερουσαλημ ἑτοιμως εχω ὑπερ του ονοματος του Κυριου Ιησου.

καρδια συντετριμμενη. *Ps. l.* 7. *xxii.* 14. τιτρωκεσθαι την δια-νοιαν. 2 *Mac. iii.* 16. ει μεν εχετε ἑτοιμως, ἱνα—προσκυνησητε. *Dan. iii.* 15. των (ὑπερ Θεου νομων) ἑως θανατου πονων ὑπεριδον-τες. 4 *Mac.* 1. 9. των μεχρι θανατου βασανων περιεωρα δι' ευσε-βειαν. 7. ἑτοιμοι γαρ αποθνησκειν εσμεν. 2 *Mac. vii.* 2. ἱνατι τυπτει σε ἡ καρδια σου; 1 *Reg. i.* 8.

14 Μη πειθομενου δε αυτου, ἡσυχασαμεν ειποντες, Το θελημα του Κυριου γενεσθω.

γενηθητω το θελημα σου. *Matt. vi.* 10. *Luc. xi.* 2. *xxii.* 42. *Conf.* 1 *Reg. iii.* 18. 2 *Reg. x.* 12.

15 Μετα δε τας ἡμερας ταυτας αποσκευασαμενοι ανεβαινομεν εις Ἱερουσαλημ.

και ἡ αποσκευη ὑμων αποτρεχετω μεθ' ὑμων. Exod. x. 24. αποσκευασαι την οικιαν. Lev. xiv. 36. αποσκευη. 1 Mac. v. 13. ix. 39. Gen. xiv. 12. [επισκευσαμενοι· ευτρεπισθεντες. Hesych.]

16 Συνηλθον δε και των μαθητων απο Καισαρειας συν ἡμιν, αγοντες παρ' ᾡ ξενισθωμεν, Μνασωνι τινι Κυπριῳ, αρχαιῳ μαθητῃ.

των μαθητων. (τινες). = και ελαβε (τινας) απο των λιθων του τοπου. Gen. xxviii. 11. xxxiii. 15. Dan. viii. 10. Cap. xv. 7. [ἡνικα μεν γαρ ὁ σοφος ικετευει τους εοικοτας ὁδοιποροις τρισι ξενισθηναι παρ' αυτῳ. Philo, de Abrab. p. 368.] αρχαιῳ μαθητῃ. Conf. 1 Tim. iii. 6.

17 Γενομενων δε ἡμων εις Ἱεροσολυμα, ασμενως εδεξαντο ἡμας οἱ αδελφοι.

ασμενως. 3 Mac. iii. 15. v. 21. [μετα χαρας. Hesych.] Luc. viii. 13.

18 Τῃ δε επιουσῃ εισῃει ὁ Παυλος συν ἡμιν προς Ιακωβον, παντες τε παρεγενοντο οἱ πρεσβυτεροι.

ου γαρ γινωσκεις τι τεξεται ἡ επιουσα. Prov. xxvii. 1. και εγενηθη εν τῳ εισιεναι αυτους. 1 Reg. xvi. 6. εσιοντι εις το ἁγιον. Exod. xxviii. 29-35. Comp. Pearson. παρεγενετο δε Ααρων και παντες οἱ πρεσβυτεροι. Exod. xviii. 12. Conf. cap. xv. 13. Gal. i. 19.

19 Και ασπασαμενος αυτους, εξηγειτο καθ' ἑν ἑκαστον ὡν εποιησεν ὁ Θεος εν τοις εθνεσι δια της διακονιας αυτου.

εξηγειτο. Jud. vii. 13. και διηγησομαι—ὁσα εποιησε τῃ ψυχῃ μου. Ps. lxv. 16. xxi. 22. Conf. 3 Mac. i. 8.

20 Οἱ δε ακουσαντες εδοξαζον τον Κυριον· ειπον τε αυτῳ, Θεωρεις, αδελφε, ποσαι μυριαδες εισιν Ιουδαιων των πεπιστευκοτων· και παντες ζηλωται του νομου ὑπαρχουσι.

δοξαζοντας με δοξασω. 1 Reg. ii. 30. απο μυριαδων λαου. Ps. iii. 6. πας ὁ ζηλων τῳ νομῳ—εξελθετω οπισω μου. 1 Mac. ii. 27. 50. [πασι γαρ συμφυτον εστιν ευθυς εκ της πρωτης γενεσεως Ιουδιαιους ονομαζειν αυτα Θεου δογματα. Jos. c. Ap. p. 1037.] και ζηλωτην των νομων. 2 Mac. iv. 2. αδελφε. Conf. Tob. xi. 1. Esd. iii. 2. 2 Reg. xv. 20. Rom. x. 2. Gal. i. 14. εν τῳ ορει Σιων και εν Ἱερουσαλημ εσται ανασωζομενος, καθοτι ειπε Κυριος, και ευαγγελιζομενοι οὑς Κυριος προσκεκληται. Joel. ii. 32.

21 Κατηχηθησαν δε περι σου, ὁτι αποστασιαν διδασκεις απο

Μωσεως τους κατα τα εθνη παντας Ιουδαιους, λεγων μη περιτεμνειν αυτους τα τεκνα, μηδε τοις εθεσι περιπατειν.

και ηχησε πασα ἡ πολις επ᾽ αυταις. *Ruth. i.* 19. 3 *Reg. i.* 45. οἱ καταναγκαζοντες την αποστασιαν. 1 *Mac. ii.* 15. διδασκειν. *Conf. Sir. ix.* 1. *xxx.* 7. και περιπατει εν ὁδοις καρδιας σου αμωμος. *Eccles. xi.* 9. εν ὁδοις δικαιοσυνης περιπατω. *Prov. viii.* 20. το ασεβες εθος ὡς νομος εφυλαχθη. *Sap. xiv.* 16. *Gen. xvii.* 11-14.

22 Τι ουν εστι; παντως δει πληθος συνελθειν· ακουσονται γαρ ὁτι εληλυθας.

τι ουν εστι; 1 *Cor. xiv.* 15. 26. παντως. *Tob. xiv.* 8.

23 Τουτο ουν ποιησον, ὁ σοι λεγομεν· εισιν ἡμιν ανδρες τεσσαρες ευχην εχοντες εφ᾽ ἑαυτων·

και το ῥημα τουτο ποιησον. 3 *Reg. xxi.* 24. και αποδος τῳ Ὑψιστῳ τας ευχας σου. *Ps. xlix.* 14. ευχη Θεου αυτου επ᾽ αυτῳ επι κεφαλης αυτου. *Num. vi.* 6, 7. *Mal. i.* 14. *Conf. cap. xviii.* 18. [ευχην εκτελουσα τῳ Θεῳ—εθος ευχεσθα προ τριακοντα ἡμερων, ἡς αποδωσειν μελλοιεν θυσιας, οινου τε αφεξασθαι και ξυρησασθαι τας κομας. *Jos. Bell. Jud. ii. xv.* 1.]

24 Τουτους παραλαβων ἁγνισθητι συν αυτοις, και δαπανησον επ᾽ αυτοις, ἱνα ξυρησωνται την κεφαλην, και γνωσι παντες ὁτι ὡν κατηχηνται περι σου ουδεν εστιν, αλλα στοιχεις και αυτος τον νομον φυλασσων.

απο οινου και σικερα ἁγνισθησεται. *Num. vi.* 2, 3. *Conf. Joan. xi.* 55. και εδαπανησε χρηματα πολλα των ἑαυτου. 1 *Mac. xiv.* 32. χρησθαι τους Ιουδαιους τοις ἑαυτων δαπανημασι και νομοις. 2 *Mac. xi.* 31. και ξυρησεται την κεφαλην αυτου. *Num. vi.* 9. 19. ου γινωσκεις ποιον στοιχησει. *Eccles. xi.* 6. και εφυλαξα τον νομον σου. *Ps. cxviii.* 34. *Conf. Act. xxiv.* 18. *Num. xix.* 17-22.

25 Περι δε των πεπιστευκοτων εθνων ἡμεις επεστειλαμεν, κριναντες μηδεν τοιουτον τηρειν αυτους, ει μη φυλασσεσθαι αυτους το τε ειδωλοθυτον και το αἱμα και πνικτον και πορνειαν.

τηρησις εντολων. *Sir. xxxv.* 23. αγαπη τηρησις νομων. *Sap. vi.* 18. ειδωλοθυτον. 4 *Mac.* 5. πνικτον. *Conf. Lev. xvii.* 13, 14. *Deut. xii.* 16. 23. *Cap. xv.* 20. 29. πορνεια. *Conf. Luc. xviii. xx.* 10-27.

26 Τοτε ὁ Παυλος παραλαβων τους ανδρας, τῃ εχομενῃ ἡμερᾳ συν αυτοις ἁγνισθεις εισῃει εις το ἱερον, διαγγελλων την εκπληρωσιν των ἡμερων του ἁγνισμου, ἑως οὑ προσηνεχθη ὑπερ ἑνος ἑκαστου αυτων ἡ προσφορα.

τη δε εχομενη (*ἡμερᾳ*). 2 *Mac. xii.* 39. *ἡμερας του ἁγνισμου. Num. vi.* 5. *προσδεξαι την θυσιαν ὑπερ παντος του λαου σου Ισραηλ.* 2 *Mac. i.* 36. *διαγγελλων. Jos. vi.* 10. *ᾑ αν ἡμερα πληρωσῃ ἡμερας ευχης αυτου. Num. vi.* 9. 13. 21. *Conf. Est. ii.* 12. *εκπληρωσις ἁμαρτιων.* 3 *Mac. vi.* 14. *ουκ ευδοκει ὁ ὑψιστος εν προσφοραις ασεβων, ουδε εν πληθει θυσιων εξιλασκεται ἁμαρτιας. Sir. xxxi.* 19.

27 Ὡς δε εμελλον αἱ ἑπτα ἡμεραι συντελεισθαι, οἱ απο της Ασιας Ιουδαιοι θεασαμενοι αυτον εν τῳ ἱερῳ, συνεχεον παντα τον οχλον, και επεβαλον τας χειρας επ' αυτον,

ὡς αν συνετελεσθησαν αἱ ἡμεραι του ποτου. Job. i. 5. *ἑως αν τελεσθῃ το ῥημα σημερον. Ruth. iii.* 18. *δια τουτο εκληθη το ονομα αυτης Συγχυσις· ὁτι εκει συνεχεε Κυριος τα χειλη πασης της γης. Gen. xi.* 9. *μη επιβαλῃς την χειρα σου επι το παιδαριον. xxii.* 12. *Matt. xxvi.* 50.

28 Κραζοντες, Ανδρες Ισραηλιται, βοηθειτε. οὑτος εστιν ὁ ανθρωπος ὁ κατα του λαου και του νομου και του τοπου τουτου παντας πανταχου διδασκων· ετι τε και Ἑλληνας εισηγαγεν εις το ἱερον, και κεκοινωκε τον ἁγιον τοπον τουτον.

[*ανδρες Ισραηλιται. Jos. Ant. iii.* 8. 1.] *του μη φαγειν κοινα.* 1 *Mac. i.* 62. *τις στησεται εν τοπῳ ἁγιῳ αυτου; Ps. xxiii.* 3. *κατα του Κυριου, και κατα του Χριστου αυτου. ii.* 2. *μη πεποιθατε εφ' ἑαυτοις επι λογοις ψευδεσι—λεγοντες, Ναος Κυριου, κ. τ. λ. Jer. vii.* 4, 5. *του διαστελλειν του ἁγιου και του κοινου. Ezech. xlii.* 20. *alii.*

29 Ησαν γαρ προεωρακοτες Τροφιμον τον Εφεσιον εν τῃ πολει συν αυτῳ, ὁν ενομιζον ὁτι εις το ἱερον εισηγαγεν ὁ Παυλος.

Conf. 2 *Tim. iv.* 20. *εισηγαγεν αυτην—εις την κιβωτον. Gen. viii.* 9. [*μη δειν αλλοφυλον εντος του ἁγιου παριεναι. Jos. Bell. Jud. v.* 5. 2. *θανατος απαραιτητος ὡρισται κατα των εις τους εντος περιβολους παρελθοντων. Philo, Leg. p.* 791.] *Conf.* 4 *Reg. xi.* 15.

30 Εκινηθη τε ἡ πολις ὁλη, και εγενετο συνδρομη του λαου· και επιλαβομενοι του Παυλου, εἱλκον αυτον εξω του ἱερου· και ευθεως εκλεισθησαν αἱ θυραι.

εκινηθη μου το πνευμα. Dan. ii. 3. *LXX. εγενετο συνδρομη εν πασῃ τῃ παρεμβολῃ. Judith. x.* 18. 3 *Mac. iii.* 8. *εκλεισε τας θυρας οικου Κυριου.* 2 *Par. xxviii.* 24.

31 Ζητουντων δε αυτον αποκτειναι, ανεβη φασις τῳ χιλιαρχῳ της σπειρης, ὁτι ὁλη συγκεχυται Ἱερουσαλημ·

και εζητει αυτον αποκτειναι. *Exod. iv.* 24. φασις. *Susan.* 55. ἡ κραυγη της πολεως ανεβη εις ουρανον. 1 *Mac. v.* 31. της πρωτης σπειρας αυτος προηγουμενος. 2 *Mac. viii.* 23. τις ἡ φωνη της πολεως ηχουσης; κ.τ.λ. 3 *Reg. i.* 41, 42. ἡ κραυγη συγκυθεισα παρ' αμφοιν. *Jos. Bell. Jud. vi.* 2. 6.]

32 Ὁς εξαυτης παραλαβων στρατιωτας και ἑκατονταρχους, κατεδραμεν επ' αυτους. οἱ δε ιδοντες τον χιλιαρχον και τους στρατιωτας, επαυσαντο τυπτοντες τον Παυλον.

παραλαβων Ιασων ουκ ελαττους των χιλιων. 2 *Mac. v.* 5. κατεδραμον επ' εμε. *Job. xvi.* 10. *Alex. Ald.* και Δαυιδ ανεστρεψε τυπτων τον Αμαληκ. 2 *Reg. i.* 1. και επειδη κατεπαυσε λαλων. *Exod. xxxiv.* 33. [εξαυτης· (εξ αυτης ὡρας) ευθεως. *Hesych.*]

33 Τοτε εγγισας ὁ χιλιαρχος επελαβετο αυτου, και εκελευσε δεθηναι ἁλυσεσι δυσι· και επυνθανετο τις αν ειη, και τι εστι πεποιηκως.

και εδησαν αυτον εν δυσι καλωδιοις καινοις. *Jud. xv.* 13. μιᾳ γαρ ἁλυσει σκοτους παντες εδεθησαν. *Sap. xvii.* 17. επυνθανετο δε— οὑτως εχοντα τυγχανει. 2 *Mac. iii.* 9. *Conf. Act. xx.* 23. *xxi.* 11.

34 Αλλοι δε αλλο τι εβοων εν τῳ οχλῳ· μη δυναμενος δε γνωναι το ασφαλες δια τον θορυβον, εκελευσεν αγεσθαι αυτον εις την παρεμβολην.

επι της παρεμβολης εγω εστην. *Esa. xxi.* 8. *Conf. cap. xix.* 32. θορυβος πολεμου. *Jer. xlix.* 2. αλλος αλλαχῃ. *Sap. xviii.* 18.

35 Ὁτε δε εγενετο επι τους αναβαθμους, συνεβη βασταζεσθαι αυτον ὑπο των στρατιωτων δια την βιαν του οχλου.

συνεβαινε και αυτους τους βασιλεις τιμαν τον τοπον. 2 *Mac. iii.* 2. επι δεκα αναβαθμων ανεβαινον. *Ezech. xl.* 51. *Conf.* 4 *Reg. ix.* 13. [οἱα δι' αναβαθμων εκ του κατ' ολιγον εις το ανω προσηει. *Philo, p.* 1003. *Jos. Bell. Jud. i.* 5. 3.] μετα βιας. *Exod. i.* 14. *xiv.* 25.

36 Ηκολουθει γαρ το πληθος του λαου κραζον, Αιρε αυτον.

και εβουλευσατο του αραι το γενος Ιακωβ. 1 *Mac. v.* 2. *Conf. Luc. xxiii.* 18. *Joan. xix.* 15. *Cap. xxii.* 22.

37 Μελλων τε εισαγεσθαι εις την παρεμβολην ὁ Παυλος λεγει τῳ χιλιαρχῳ, Ει εξεστι μοι ειπειν τι προς σε; Ὁ δε εφη, Ἑλληνιστι γινωσκεις;

και οἱ υἱοι αυτων ἡμισυ λαλουντες Αζωτιστι, και ουκ εισιν επιγι-

νωσκοντες λαλειν Ιουδαϊστι, *Neh. xiii.* 24. ει—και ειπεν αυτῳ, Ει δυναμαι πορευθηναι κ. τ. λ. *Tob. v.* 5. *Conf. Zeun. ad Viger. p.* 414. ει ευρηκας με ὁ εχθρος μου; 3 *Reg. xx.* 20. παρεμβολην. *Conf. Lev. iv.* 12. 21. *xvi.* 26. [*Jos. Ant. vii.* 4. 1. *Sturz. de dial. Maced. p.* 30.]

38 Ουκ αρα συ ει ὁ Αιγυπτιος, ὁ προ τουτων των ἡμερων αναστατωσας και εξαγαγων εις την ερημον τους τετρακισχιλιους ανδρας των σικαριων;

ουκ αρα, *num, fortasse. Conf. Gen. xviii.* 3. *Num. xxii.* 11. [των σικαριων. *Conf. Jos. Bell. Jud. vii.* 8-11. *ii.* 13. 5.] [σικαριοι ληστων γενος. *Hesych.*] [*Conf. Jos. Ant. xx.* 8. 6. *Bell. Jud. ii.* 13. 5. *Krebs. ad loc.*] [αναστατωσας. *Conf. Sturz. de dial. Alex. p.* 146.] εαν ουν ειπωσιν ὑμιν, Ιδου εν τῃ ερημῳ εστι· μη εξελθετε, κ. τ. λ. *Matt. xxiv.* 24, 25. εν ταις ἡμεραις Δαυιδ. 2 *Reg. xxi.* 1.

39 Ειπε δε ὁ Παυλος, Εγω ανθρωπος μεν ειμι Ιουδαιος Ταρσευς, της Κιλικιας ουκ ασημου πολεως πολιτης· δεομαι δε σου, επιτρεψον μοι λαλησαι προς τον λαον.

ανθρωπῳ δε επιτρεψατε λαλησαι. *Job. xxxii.* 13. *Conf. cap. ix.* 11. δεομαι σου. *Exod. iv.* 10. [Ταρσος—των πολεων (Κιλικιας) ἡ αξιολογωτατη καλειται, μητροπολις ουσα. *Jos. Ant. i.* 6. 1.]

40 Επιτρεψαντος δε αυτου, ὁ Παυλος ἑστως επι των αναβαθμων κατεσεισε τῃ χειρι τῳ λαῳ· πολλης δε σιγης γενομενης, προσεφωνησε τῃ Ἑβραϊδι διαλεκτῳ, λεγων,

διδοντα δε προσφωνησαι ταδε. 2 *Mac. xv.* 15. [κατασεισας τῃ χειρι. *Jos. Ant. viii.* 11. 2. διαγγειλε Ἑβραϊζων. *Bell. Jud. vi.* 2.] τῃ διαλεκτῳ αυτων. *Est. ix.* 26. *Dan. i.* 4. *LXX.*

ΚΕΦ. κβ. 22.

ΑΝΔΡΕΣ αδελφοι και πατερες, ακουσατε μου της προς ὑμας νυν απολογιας.

ακουσατε μου της φωνης. *Gen. iv.* 23. ακουσατε των λογων μου. *Num. xii.* 6. [απολογια λεγεται, ὁταν τινος κατηγορῃ τις, και απολογειται ὁ κατηρογουμενος. *Phav. apud Schleusn.*] ευρησουσιν απολογιαν. *Sap. vi.* 10.

2 Ακουσαντες δε ὁτι τῃ Ἑβραϊδι διαλεκτῳ προσεφωνει αυτοις, μαλλον παρεσχον ἡσυχιαν.

και αυτος ἡσυχιαν παρεξει, και τις καταδικασεται; Job. xxxiv. 29. ἡσυχιαν αγει. Prov. xi. 12. προσεφωνει. 1 Esd. ii. 21. ατενισας. 3 Mac. ii. 26. και ελεγες τοις παισι τῃ Ἑβραϊδι διαλεκτῳ. 4 Mac. 16.

3 Και φησιν, Εγω μεν ειμι ανηρ Ιουδαιος, γεγεννημενος εν Ταρσῳ της Κιλικιας, ανατεθραμμενος δε εν τῃ πολει ταυτῃ παρα τους ποδας Γαμαλιηλ, πεπαιδευμενος κατα ακριβειαν του πατρῳου νομου, ζηλωτης ὑπαρχων του Θεου, καθως παντες ὑμεις εστε σημερον·

εγω ειμι Ιωσηφ. Gen. xlv. 4. και ανθρωπος ην Ιουδαιος. Est. ii. 5. εκ παιδος καλλιστης αναστροφης. 2 Mac. vi. 23. εκαλεσεν αυτην κατα ποδας αυτου. Esa. xli. 2. και οὑτοι ὑπο σε εισι. Deut. xxxiii. 3. Conf. Luc. viii. 35. εν ακριβειᾳ απαγγελω επιστημην. Sir. xvi. 26. Alex. xviii. 29. xlii. 6. μεταβαινειν εκ των πατρῳων νομων. 2 Mac. vi. 1. ζηλωτην των νομων. iv. 2. ὁσα εγω εντελλομαι σοι σημερον. Deut. viii. 11. 19. και την ακριβειαν εζητουν παρ᾽ αυτου. Dan. vii. 16. Conf. Act. xxvi. 5. εζηλωσε τῳ Θεῳ αυτου. Num .xxv. 13. του γαρ Θεου ειμι εγω. Gen. l. 19. παρα ποδας ηδη τον ᾁδην ὁρωντες κειμενον. 3 Mac. iv. 8. Conf. cap. iv. 35-37. 2 Reg. xv. 16. Exod. xi. 18. [Γαμαλιηλ. Conf. Lightfoot. Hor. Heb. in Act. v. 34.] και εζητησε Σαουλ παταξαι αυτους εν τῳ ζηλωσαι αυτον τους υἱους Ισραηλ και Ιουδα. 2 Reg. xxi. 2. [Φαρισαιοι, οἱ δοκουντες μετα ακριβειας εξηγεισθαι τα νομιμα, και την πρωτην επαγοντες αἱρεσιν. Jos. Bell. Jud. ii. 8. 14. αἱρεσιν των αλλων τῃ ακριβειᾳ διαφερουσαν. Vit. § 38.]

4 Ὁς ταυτην την ὁδον εδιωξα αχρι θανατου, δεσμευων και παραδιδους εις φυλακας ανδρας τε και γυναικας,

και εξεβησαν εξ ὁδου των γονεων αυτου. Judith. v. 8. Sir. xxxvi. 11. δεσμευειν. Jud. xvi. 11. γενναιως αγωνισασθαι μεχρι θανατου περι νομων. 2 Mac. xiii. 14. την ὁδον. Conf. cap. xix. 9. ὁτι συ διδως με εις οικιαν φυλακης. Jer. xliv. 18. Conf. 1 Cor. xv. 9. Gal. i. 13. 1 Tim. i. 13. Phil. iii. 6. Conf. 1 Mac. ii. 27.

5 Ὡς και ὁ Αρχιερευς μαρτυρει μοι, και παν το Πρεσβυτεριον· παρ᾽ ὡν και επιστολας δεξαμενος προς τους αδελφους, εις Δαμασκον επορευομην, αξων και τους εκεισε οντας δεδεμενους εις Ἱερουσαλημ, ἱνα τιμωρηθωσιν.

πρεσβυτεριον. Susan. 50. Alex. Ald. Comp. [Vat. πρεσβειον.] ὡς. Ita, 1 Reg. xiii. 11. δοτω μοι επιστολας προς τους επαρχους. Neh. ii. 7. και τιμωρησομαι σε. Ezech. v. 17. Sap. xviii. 8. εις Δαμασ-

κον. *Conf. Gen. xv.* 2. 2 *Reg. viii.* 6. [*Jos. Bell. Jud. ii.* 20. 2.]
αδελφους. *Conf. Deut. xv.* 2, 3. *Ps. cxxxii.* 1.

6 Εγενετο δε μοι πορευομενῳ και εγγιζοντι τῃ Δαμασκῳ περι
μεσημβριαν εξαιφνης εκ του ουρανου περιαστραψαι φως ἱκα-
νον περι εμε·

εκ πρωϊθεν ἑως μεσημβριας. 3 Reg. xviii. 26. περι τον καιρον τουτον. 2 Mac. v. 1. φωνη ὑδατος ἱκανου. Ezech. i. 24. Alex. Ald. Comp. ουρανοθεν εφιπποι προσεφωνησαν αγγελοι περιαστραπτοντες τοις ὁπλοις. 4 Mac. 4. Conf. 1 Cor. xv. 8. 2 Cor. xii. 2.

7 Επεσον τε εις το εδαφος, και ηκουσα φωνης λεγουσης μοι,
Σαουλ, Σαουλ, τι με διωκεις;

εκολληθη τῳ εδαφει ἡ ψυχη μου. Ps. cxviii. 25. και ηκουσαν της φωνης Κυριου του Θεου. *Gen. iii. 8. και ειπεν,* Ἀβρααμ, Ἀβρααμ. *xxii.* 11. *Σαμουηλ, Σαμουηλ.* 1 *Reg. iii.* 4. 10. *Conf. Act. ix.* 4. *σωσον με εκ παντων των διωκοντων με. Ps. vii.* 1. *Jer. xvii.* 18. *και εκαλεσεν* Κυριος *ὁ* Θεος *τον Αδαμ, και ειπεν αυτῳ,* Αδαμ, *που ει; Gen. iii.* 9. *Conf. Exod. iii.* 4. *Jer. ii.* 5. *Matt. xxv.* 40.

8 Εγω δε απεκριθην, Τις ει, Κυριε; Ειπε τε προς με, Εγω
ειμι Ιησους ὁ Ναζωραιος, ὁν συ διωκεις.

ὁ Ναζωραιος. *Conf. Matt. ii.* 23. *ὁ ἁπτομενος ὑμων ὡς ὁ ἁπτομενος της κορης του οφθαλμου αυτου. Zach. ii.* 8. *και επιβλεψονται προς με, ανθ' ὡν κατωρχησαντο. xii.* 10. *Conf.* 1 *Reg. viii.* 7.

9 Οἱ δε συν εμοι οντες το μεν φως εθεασαντο, και εμφοβοι
εγενοντο· την δε φωνην ουκ ηκουσαν του λαλουντος μοι.

και ιδον εγω Δανιηλ μονος την οπτασιαν, και οἱ ανδρες οἱ μετ' εμου ουκ ιδον την οπτασιαν· αλλ' η εκστασις μεγαλη επεπεσεν επ' αυτους, και εφυγον εν φοβῳ——και ηκουσα την φωνην των λογων αυτου. Dan. x. 7-9. *Conf. Ezech. xiv.* 2. *Num. xxiv.* 4. *εντρομος και εμφοβος.* 1 *Mac. xiii.* 2. *Cap. ix.* 7. 1 *Cor. xiv.* 2. *Gen. xi.* 7. *Deut. xviii.* 19. *Esa. xxxvi.* 11. *xlv.* 15.

10 Ειπον δε, Τι ποιησω, Κυριε; Ὁ δε Κυριος ειπε προς με,
Αναστας πορευου εις Δαμασκον· κακει σοι λαληθησεται περι
παντων ὡν τετακται σοι ποιησαι.

και αναστας αναβηθι εις Γαι. *Jos. viii.* 1. *και ανεστη και επορευθη. Jud. xiii.* 11. *απο του καιρου οὑ εταξατο αυτῳ* Δαυιδ. 2 *Reg. xx.* 5. *εποιησαν καθα συνεταξε. Exod. xii.* 35. *Conf. cap. ix.* 6. *xxvi.* 16. *χρηστος και ευθης ὁ* Κυριος, *δια τουτο νομοθετησει ἁμαρτανοντας εν ὁδῳ. Ps. xxiv.* 8.

11 Ὡς δε ουκ ενεβλεπον απο της δοξης του φωτος εκεινου, χειραγωγουμενος ὑπο των συνοντων μοι, ηλθον εις Δαμασκον.

χειραγωγουμενος. *Jud. xvi.* 26. *Alex. O. Ald.* συνοντων των προφητων. 1 *Esd. vi.* 2. και ουκ εισηκουσαν—απο της ολιγοψυχιας, κ. τ. λ. *Exod. vi.* 9. 2 *Par. v.* 6. δοξα αστρων. *Sir. xliii.* 9. *l.* 7.

12 Ανανιας δε τις, ανηρ ευσεβης κατα τον νομον μαρτυρουμενος ὑπο παντων των κατοικουντων Ιουδαιων,

ελπις τῳ ευσεβει. *Esa. xxiv.* 16. *Conf. cap. ix.* 17. κατα την δικαιοσυνην μου. *Ps. vii.* 8. [εγω μεν μαρτυρω σοι πολλην περι εμε σπουδην και ευνοιαν. *Jos. Ant. vi.* 14. 6. μαρτυρουμενος εφ᾽ οἱς επραξεν ὑπο παντος του στρατου. *ii.* 6.]

13 Ελθων προς με και επιστας ειπε μοι, Σαουλ αδελφε, αναβλεψον· Καγω αυτῃ τῃ ὡρᾳ ανεβλεψα εις αυτον.

και οἱ τυφλοι αναβλεψατε ιδειν. *Esa. xlii.* 18. αυτῃ τῃ ὡρᾳ ὁ λογος συνετελεσθη. *Dan. iv.* 30. επιστας. *Conf. Zach. i.* 10, 11.

14 Ὁ δε ειπεν, Ὁ Θεος των πατερων ἡμων προεχειρισατο σε γνωναι το θελημα αὑτου, και ιδειν τον Δικαιον, καιακουσαι φωνην εκ του στοματος αυτου·

ὁ Θεος των πατερων ὑμων. *Deut. i.* 11, 21. *et pass.* προχειρισασθε ὑμιν δωδεκα ανδρας. *Jos. iii.* 12. *Exod. iv.* 13. 2 *Mac. iii.* 7. διδαξον με του ποιειν το θελημα σου. *Ps. cxlii.* 10. οντα αιωνιον Δικαιον. *Job. xxxiv.* 17. *Conf. cap. vii.* 52. *Middleton. ib. et ad Jac. v.* 6. προ του με πλασαι σε εν κοιλιᾳ, επισταμαι σε, κ. τ. λ. *Jer. i.* 5. και ηκουσαν της φωνης Κυριου του Θεου. *Gen. iii.* 8. 10. 1 *Cor. ix.* 1. 2 *Cor. xii.* 2. *Gal. i.* 12. 2 *Par. xx.* 6.

15 Ὁτι εσῃ μαρτυς αυτῳ προς παντας ανθρωπους, ὡν ἑωρακας και ηκουσας.

δια τουτο ὑπομεινον με, λεγει Κυριος, εις ἡμεραν αναστασεως μου εις μαρτυριον. *Sophon. iii.* 8. *Amos. iv.* 13.

16 Και νυν τι μελλεις; αναστας βαπτισαι και απολουσαι τας ἁμαρτιας σου, επικαλεσαμενος το ονομα του Κυριου.

και νυν. *Num. xxii.* 34. *Jer. ii.* 18. *Judith. viii.* 24. αποπλυνε απο κακιας την καρδιαν σου—ἱνα σωθῃς. *Jer. iv.* 14. [μη μελλειν. *Jos. Ant. iii.* 2. 3.] λουσασθε, καθαροι γενεσθε, αφελετε τας πονηριας απο των ψυχων ὑμων. *Esa. i.* 16. οὑτος ηλπισεν επικαλεισθαι το ονομα Κυριου του Θεου. *Gen. iv.* 26. *Ps. lxxix.* 18. *Conf. Joël. ii.* 32. *Col. ii.* 12. *Joan. iii.* 5-7. 1 *Pet. iii.* 21. τι μελλετε; 4

Mac. § 6. 9. επι τι ἡμεις καθημεθα; *Jer. viii.* 14. αναστας. *Gen. xix.* 15. *xxii.* 3. [*Winer.* § 67. 2.]

17 Εγενετο δε μοι ὑποστρεψαντι εις Ἱερουσαλημ, και προσ-
ευχομενου μου εν τῳ ἱερῳ, γενεσθαι με εν εκστασει,

Conf. Ezech. i. 1. —και ιδον ὁρασεις Θεου. *Conf. Dan. x.* 4-20. και επεβαλεν ὁ Θεος εκστασιν επι τον Αδαμ. *Gen. ii.* 21. [εκστασιν· ὑπνον. *Hesych.*] *Cap. ix.* 26. εγενετο μοι—γενεσθαι. *Conf. Viger. p.* 188. *Voss. de. Hebr. cap.* 33.

18 Και ιδειν αυτον λεγοντα μοι, Σπευσον και εξελθε εν ταχει
εξ Ἱερουσαλημ· διοτι ου παραδεξονται σου την μαρτυριαν
περι εμου.

οἱ μεν ουν ἱππεις εξηλθον σπευδοντες. *Est. viii.* 14. εν ταχει. *Jos. viii.* 19. μαστιγοι δε παντα υἱον ὁν παραδεχεται. *Prov. iii.* 12. εξελθετε εκ του τοπου τουτου—σπευσον ουν του σωθηναι εκει. *Gen. xix.* 14. 22. εγω δε οιδα, ὁτι ου προησεται ὑμας Φαραω βασιλευς Αιγυπτου πορευθηναι, κ. τ. λ. *Exod. iii.* 19.

19 Καγω ειπον, Κυριε, αυτοι επισταντι, ὁτι εγω ημην φυ-
λακιζων και δερων κατα τας συναγωγας τους πιστευοντας
επι σε·

φυλακισθηναι εν σκοτει. *Sap. xviii.* 4. *Matt. x.* 17. [ὁ φυλακιζομενος εν δεσμωτηριῳ. *Act. Thom.* 45.] κατα. *Luc. viii.* 1.

20 Και ὁτε εξεχειτο το αἱμα Στεφανου του μαρτυρος σου,
και αυτος ημην εφεστως και συνευδοκων τῃ αναιρεσει αυτου,
και φυλασσων τα ἱματια των αναιρουντων αυτον.

ὁ εκχεων αἱμα ανθρωπου. *Gen. ix.* 6. εξεχεαν αἱμα αθωον. *Ps. cv.* 38. και ειπεν ὁ βασιλευς—τοις εφεστηκοσι προς αυτον. 1 *Reg. xxii.* 17. *Num. xxiiii.* 6. ημην. *Conf. Marc. xiv.* 49. ει τις συνευδοκει τῳ νομῳ. 1 *Mac. i.* 60. αποκτεινον με αναιρεσει. *Num. xi.* 15. 2 *Mac. v.* 13. *Conf. Luc. xi.* 48. *Cap. vii.* 58. *viii.* 1. *Rom. i.* 32.

21 Και ειπε προς με, Πορευου, ὁτι εγω εις εθνη μακραν εξα-
ποστελω σε.

πορευου. *Jer. iii.* 12. *xxxv.* 13. προφητην εις εθνη τεθεικα σε. *Jer. i.* 5. εδωκα σε εις διαθηκην εθνων. *Esa. xlix.* 8. προς παντας οὑς εαν εξαποστειλω σε, πορευσῃ. *Jer. i.* 7. *Conf. Exod. iii.* 10. *Gal. i.* 15. *Rom. i.* 5. *Ephes. iii.* 8. 1 *Tim. ii.* 7. 2 *Tim. i.* 11. και εξαποστελω εξ αυτων σεσωσμενους εις τα εθνα, κ. τ. λ. *Esa. lxvi.* 19. τοις μακραν. *lvii.* 19.

22 Ηκουον δε αυτου αχρι τουτου του λογου, και επηραν την φωνην αὑτων, λεγοντες, Αιρε απο της γης τον τοιουτον· ου γαρ καθηκον αυτον ζῃν.

και επηρε την φωνην αυτου. Jud. ix. 7. Ruth. i. 9. 14. αιρε. Conf. cap. xxi. 36. ου καθηκει δοξασαι ανδρα ἁμαρτωλον. Sir. x. 23. [Alex. καθηκεν.] και εβουλευσαντο του αραι το γενος Ιακωβ, κ.τ.λ. 1 Mac. v. 2. Conf. Joan. xvii. 15. αχρις οὑ. Job. xxxii. 11.

23 Κραυγαζοντων δε αυτων, και ῥιπτουντων τα ἱματια, και κονιορτον βαλλοντων εις τον αερα,

ὁ λαος εκραυγασε φωνῃ μεγαλῃ. Esd. iii. 13. και νεφελαι κονιορτος ποδων αυτου. Nah. i. 3. ῥιψαντες ἑαυτους. 2 Mac. iii. 15. και ερριψα τον κονιορτον εις τον χειμαρρουν. Deut. ix. 21. Conf. cap. xix. 32. 34.

24 Εκελευσεν αυτον ὁ χιλιαρχος αγεσθαι εις την παρεμβολην, ειπων μαστιξιν ανεταζεσθαι αυτον, ἱνα επιγνῳ δι' ἡν αιτιαν οὑτως επεφωνουν αυτῳ.

ανεταζεσθαι. Conf. Jud. vi. 29. Alex. Ald. Comp. μετα ετασμων και μαστιγων. 2 Mac. vii. 37. Sap. ii. 19. xi. 10. 3 Mac. vii. 5. Gen. xii. 17. ανεταζοντες αλληλους την αιτιαν. Susan. 14. [παρεμβολη. Conf. Sturz. de dialect. Maced. p. 30.]

25 Ὡς δε προετεινεν αυτον τοις ἱμασιν, ειπε προς τον ἑστωτα ἑκατονταρχον ὁ Παυλος, Ει ανθρωπον Ῥωμαιον και ακατακριτον εξεστιν ὑμιν μαστιζειν;

προτειναντα δε—δεξιαν παραδουναι τῳ Ιουδᾳ ῥομφαιαν. 2 Mac. xv. 15. [Conf. Loesner. ad loc.] διεδησαν τας χειρας αυτου και τους βραχιονας ἱμασιν ἑκατερωθεν. 4 Mac. 9. Sir. xxx. 26. Conf. cap. xvi. 37. ει. Conf. 3 Reg. i. 27. Gen. xvii. 17.

26 Ακουσας δε ὁ ἑκατονταρχος, προσελθων απηγγειλε τῳ χιλιαρχῳ λεγων, Ὁρα τι μελλεις ποιειν· ὁ γαρ ανθρωπος οὑτος Ῥωμαιος εστι.

ὁρατε, και τα σαββατα μου φυλαξεσθε. Exod. xxxi. 12. μελλων διοδευειν κυματα. Sap. xiv. 1. 2 Mac. ii. 16. [Jos. B. J. ii. 14.]

27 Προσελθων δε ὁ χιλιαρχος ειπεν αυτῳ, Λεγε μοι, ει συ Ῥωμαιος ει; Ὁ δε εφη, Ναι.

και ειπεν ἑκαστος προς τον αδελφον αυτου, Ναι. Gen. xlii. 21.

28 Απεκριθη τε ὁ χιλιαρχος, Εγω πολλου κεφαλαιου την

πολιτειαν ταυτην εκτησαμην. Ὁ δε Παυλος εφη, Εγω δε και γεγεννημαι.

και αποτισει αυτο το κεφαλαιον. *Lev. vi.* 4. *Num. iv.* 2. *v.* 7. *xxxi.* 26. εβουληθημεν και πολιτειας αυτους Αλεξανδρεων καταξιωσαι. 3 *Mac. iii.* 21. και τον οικον του πατρος αυτου ποιησει ελευθερον εν τῳ Ισραηλ. 1 *Reg. xvii.* 25. *Alex. Ald. Comp.* και εκτησατο την μεριδα του αγρου. *Gen. xxxiii.* 19. [απολυειν κελευω τους εν ταις οικετειαις οντας Ιουδαιους, το προγεγραμμενον κομιζομενους ὑπερ αυτων κεφαλαιον τους κεκτημενους. *Jos. Ant. xii.* 2. 3.] *Conf. Krebs. et Grot. ad loc. Kuinoel. ad Act. xvi.* 3. 7.

29 Ευθεως ουν απεστησαν απ᾽ αυτου οἱ μελλοντες αυτον ανεταζειν. και ὁ χιλιαρχος δε εφοβηθη, επιγνους, ὁτι Ῥωμαιος εστι, και ὁτι ην αυτον δεδεκως.

30 Τῃ δε επαυριον βουλομενος γνωναι το ασφαλες, το τι κατηγορειται παρα των Ιουδαιων, ελυσεν αυτον απο των δεσμων, και εκελευσεν ελθειν τους Αρχιερεις και ὁλον το συνεδριον αυτων· και καταγαγων τον Παυλον εστησεν εις αυτους.

ἱνα ασφαλως ειδοτες οἱς επιστευσαν ὁρκοις, επευθυμησωσι. *Sap. xviii.* 6. βεβαιον, ασφαλες. *Sap. vii.* 23. τῃ επαυριον. *Gen. xxx.* 33. κατηγορουμενος ὑπο των φιλων. 2 *Mac. x.* 13. δεσμους δε αυτου τις ελυσε; *Job. xxxix.* 5. ελυσα σε απο των χειροπεδων. *Jer. xlvii.* 4. προκληθεις εις συνεδριον ὑπο του Δημητριου. 2 *Mac. xiv.* 5. εστησεν αυτον εναντιον Ελεαζαρ. *Num. xxvii.* 42.

ΚΕΦ. κγ. 23.

ΑΤΕΝΙΣΑΣ δε ὁ Παυλος τῳ συνεδριῳ ειπεν, Ανδρες αδελφοι, εγω πασῃ συνειδησει αγαθῃ πεπολιτευμαι τῳ Θεῳ αχρι ταυτης της ἡμερας.

ατενισας. 1 *Esd. vi.* 28. πονηρια—συνεχομενη τῃ συνειδησει. *Sap. xvii.* 11. πολιτευεσθαι κατα τα επι των προγονων αυτων εθη. 2 *Mac. xi.* 25. και τοις του Θεου νομοις μη πολιτευεσθαι. *vi.* 1. πολιτευεσθαι κατα τα επι των προγονων αυτων εθη. 3 *Mac. iii.* 4. 4 *Mac.* 2. 8. ἑως της ἡμερας ταυτης. *Deut. xxix.* 4. *Phil. i.* 27. 2 *Tim. i.* 3. 1 *Cor. iv.* 4. *Heb. xiii.* 18. [μετα πασης αρετης ενθαδε πεπολιτευμαι. *Jos. Vit.* § 49. τοσουτον δ᾽ ερωτα δικαιοσυνης ενεργαζεται τοις μετ᾽ αυτον πολιτευμενοις. *Philo, de Creat. p.* 734. *Conf. Philo. i.* 27.]

2 Ὁ δε αρχιερευς Ανανιας επεταξε τοις παρεστωσιν αυτῳ τυπτειν αυτου το στομα.

Conf. 3 *Reg. xxii.* 24. *Jer. xx.* 2. *Joan. xviii.* 22. και τυπτετε πυγμαις ταπεινον. *Esa. lviii.* 4. *Conf.* 2 *Mac. vii.* 34. *Conf. Krebs.*

3 Τοτε ὁ Παυλος προς αυτον ειπε, Τυπτειν σε μελλει ὁ Θεος, τοιχε κεκονιαμενε· και συ καθῃ κρινων με κατα τον νομον, και παρανομων κελευεις με τυπτεσθαι;

ἱνατι συ διηγῃ τα δικαιωματα μου, και αναλαμβανεις την διαθηκην μου δια στοματος σου; κ. τ. λ. *Ps. xlix.* 16, 17. και επιγνωσῃ, διοτι εγω ειμι Κυριος ὁ τυπτων. *Ezech. vii.* 9. κεκονιασμενοις μετα αδικιας. *Prov. xxi.* 9. *Conf. Matt. xxiii.* 27. διατι συ καθησαι μονος; *Exod. xviii.* 14. καθημενοι επι κριτηριου. *Jud. v.* 10. κατα τον νομον. *Deut. xvii.* 11. παρανομων. *Ps. lxx.* 4. *cxviii.* 51. 4 *Mac.* 5. 17. τοιχε κεκονιαμενε. *Conf. Matt. xxiii.* 27. *Jer. xxiii.* 30. μελλει. *Sap. xiv.* 1. [κεκονιαμενε. *Sturz. ad voc. Alex. p.* 175.] [*De morte Ananias, conf. Jos. Bell. Jud. ii.* 17. 9.]

4 Οἱ δε παρεστωτες ειπον, Τον Αρχιερεα του Θεου λοιδορεις;

Ιησους ὁ παρεστηκως αυτῳ. *Exod. xxiv.* 13. λειτουργος αυτου. *Aq. Sym. Conf. Biel. in loc.* ελοιδορησαν αυτου. *Deut. xxxiii.* 8. *Conf. Eccles. x.* 20. *Luc. xi.* 45. 2 *Pet. ii.* 10. *Juda.* 8.

5 Εφη τε ὁ Παυλος, Ουκ ῃδειν, αδελφοι, ὁτι εστιν Αρχιερευς· γεγραπται γαρ, Αρχοντα του λαου σου ουκ ερεις κακως.

θεους ου κακολογησεις, και αρχοντα του λαου σου ου κακως ερεις. *Exod. xxii.* 28. *Conf.* 2 *Mac. iv.* 13. *CITAT.* 135.

6 Γνους δε ὁ Παυλος ὁτι το ἑν μερος εστι Σαδδουκαιων, το δε ἑτερον Φαρισαιων, εκραξεν εν τῳ συνεδριῳ, Ανδρες αδελφοι, εγω Φαρισαιος ειμι, υἱος Φαρισαιου· περι ελπιδος και αναστασεως νεκρων εγω κρινομαι.

ὁταν γαρ καθισῃ εν συνεδριῳ. *Prov. xxii.* 10. ουκ ημην προφητης εγω, ουδε υἱος προφητου. *Amos. vii.* 14. και νικησῃς εν τῳ κρινεσθαι σε. *Ps. l.* 5. ετι δε και ἡ σαρξ μου κατασκηνωσει επ' ελπιδι. *xv.* 9. ἡ ελπις αυτων αθανασιας πληρης. *Sap. iii.* 4. *Phil. iii.* 5. *Cap. xxiv.* 21. ελπιδος και αναστασεως = ελπιδος και σωτηριας. 2 *Mac. iii.* 29. ὑπερ αναστασεως διαλογιζομενος. *Conf.* 2 *Mac. xii.* 43-45. 4 *Mac.* § 16-18.

7 Τουτο δε αυτου λαλησαντος, εγενετο στασις των Φαρισαιων και τῶν Σαδδουκαιων, και εσχισθη το πληθος.

στασις και μαχη. *Prov. xvii.* 14. εσχιζοντο απ' αυτου ενθα και

ενθα. 1 Mac. vi. 45. ειδον ανομιαν και αντιλογιαν εν τῃ πολει. Ps. liv. 9. [De Phar. et Sadd. conf. Matt. iii. 7.]

8 *Σαδδουκαιοι μεν γαρ λεγουσι μη ειναι αναστασιν, μηδε αγγελον μητε πνευμα· Φαρισαιοι δε ὁμολογουσι τα αμφοτερα.*

Conf. Matt. xxii. 23. Marc. xii. 18. Luc. xx. 27. ουτε ἁπλως Ιουδαιον ὁμολογειν ειναι. 2 Mac. vi. 6. [Jos. Bell. Jud. ii. 8. 14.]

9 *Εγενετο δε κραυγη μεγαλη· και αναστατες οἱ Γραμματεις του μερους των Φαρισαιων διεμαχοντο, λεγοντες, Ουδεν κακον εὑρισκομεν εν τῳ ανθρωπῳ τουτῳ. ει δε πνευμα ελαλησεν αυτῳ η αγγελος, μη θεομαχωμεν.*

και εγενετο ἡ κραυγη του λαου μεγαλη. Neh. v. 1. alii. μη διαμαχου μετα ανθρωπου δυναστου. Sir. viii. 1. Exod. xxi. 18. Aq. Comp. εν γελωτι αφρων πρασσει κακα. Prov. x. 23. εκκλινον απο κακου, και ποιησον αγαθον. Ps. xxxiii. 14. και αδικια ουχ εὑρεθη εν χειλεσιν αυτου. Mal. ii. 6. θεομαχειν επιχειρησας. 2 Mac. vii. 19. εις ματην εγενηθη σχοινος ψευδης γραμματευσι. Jer. viii. 8. και ουδεις εστιν ὁς δηλωσει ταυτα τῳ βασιλει, ει μη τις αγγελος. Dan. ii. 11. θεομαχος. Prov. ix. 18. xxi. 16. Aq. Sym.

10 *Πολλης δε γενομενης στασεως, ευλαβηθεις ὁ χιλιαρχος μη διασπασθῃ ὁ Παυλος ὑπ᾽ αυτων, εκελευσε το στρατευμα καταβαν ἁρπασαι αυτον εκ μεσου αυτων, αγειν τε εις την παρεμβολην.*

μη ευλαβου κριμα θανατου. Sir. xli. 3. διασπασθῃ. 1 Reg. xv. 33. Aq. εσφαξε. LXX. Coll. 1 Mac. iii. 30. xii. 40. τε. Conf. Sap. viii. 19. 3 Mac. i. 18. iii. 15. [παρεμβολη. Sturz. p. 30.]

11 *Τῃ δε επιουσῃ νυκτι επιστας αυτῳ ὁ Κυριος ειπε, Θαρσει, Παυλε· ὡς γαρ διεμαρτυρω τα περι εμου εις Ἱερουσαλημ, οὑτω σε δει και εις Ῥωμην μαρτυρησαι.*

και ιδου αγγελος Κυριου επεστη αυτοις—και ειπε—μη φοβεισθε. Luc. ii. 9, 10. και ειδον τον Κυριον εφεστωτα επι του θυσιαστηριου. Amos. ix. 1. μη φοβου, μετα σου γαρ ειμι. Esa. xli. 10. και εγενετο εν τῳ επιοντι ετει. 1 Par. xx. 1. και το πνευμα μου εφεστηκεν εν μεσῳ ὑμων. Agg. ii. 6. θαρσει. Gen. xxxv. 17. Sir. xix. 10. Conf. Matt. xiv. 27. διαμαρτυρω. Conf. Exod. xviii. 20. Deut. xxxii. 46. ῥηματα ανθρωπου αναγγελλει τα περι αυτου. Sir. xix. 30. ὡς —οὑτως. Eccles. xi. 5. ὁ Θεος—αναγγελλων προτερον τα εσχατα πριν γενεσθαι, και ἁμα συνετελεσθη, κ. τ. λ. Esa. xlvi. 9, 10.

12 *Γενομενης δε ἡμερας, ποιησαντες τινες των Ιουδαιων συσ-*

τροφην, ανεθεματισαν ἑαυτους, λεγοντες μητε φαγειν μητε πιειν, ἑως οὗ αποκτεινωσι τον Παυλον·

και γινεται ἡ ἡμερα. 1 *Reg. xiv.* 1. *συστροφας ποιειται κατα σου. Amos. vii.* 10. *Ps. lxiii.* 2. 4 *Reg. xv.* 15. *αναθεματι αναθεματιειτε αυτους. Deut. xx.* 17. [*αναθεματισεν αλληλους, de iis, qui diris se devocant, si perjurati fuerint. Lib. Henoch. p.* 180. 181. *Bretschn.*] *μη φαγης αρτον, και μη πιης ὑδωρ.* 3 *Reg. xiii.* 9. *ἑως οὗ. Gen. xxvi.* 13. *Conf. Matt. xxvi.* 74. [*Jos. Ant. xv.* 8. 3, 4. *xx.* 7. 6-9.]

13 Ησαν δε πλειους τεσσαρακοντα οἱ ταυτην την συνωμοσιαν πεποιηκοτες·

αναδοντες. Conf. Sir. i. 20. *συνωμοται. Gen. xiv.* 13. *ουκ εστι σοφια, ουκ εστι ανδρεια, ουκ εστι βουλη προς τον ασεβη. Prov. xxi.* 30. *Conf.* 2 *Reg. xv.* 12. 31. *Joan. xvi.* 2.

14 Οἱτινες προσελθοντες τοις Αρχιερευσι και τοις Πρεσβυτεροις ειπον, Αναθεματι ανεθεματισαμεν ἑαυτους, μηδενος γευσασθαι ἑως οὗ αποκτεινωμεν τον Παυλον.

ου γευομαι ουδεν ὡδε, ἑως ανστησητε—προς με. Tob. vii. 11. *και εσται καθως ὁ λαος, οὑτως και ὁ ἱερευς· και εκδικησω επ᾽ αυτον τας ὁδους αυτου, και τα διαβουλια αυτου ανταποδωσω αυτῳ. Ose. iv.* 9. *αναθεματι αναθεματιειτε αυτην. Deut. xiii.* 15.

15 Νυν ουν ὑμεις εμφανισατε τῳ χιλιαρχῳ συν τῳ συνεδριῳ, ὁπως αυριον αυτον καταγαγῃ προς ὑμας, ὡς μελλοντας διαγινωσκειν ακριβεστερον τα περι αυτου· ἡμεις δε προ του εγγισαι αυτον, ἑτοιμοι εσμεν του ανελειν αυτον.

και αυτη ενεφανισε τῳ βασιλει τα της επιβουλης. Est. ii. 22. *Exod. xxxiii.* 13. *διαγνωσθῃ τα εν τῃ καρδιᾳ σου. Deut. viii.* 2. [*δικαστας τους περι ἑκαστων διαγνωσμενους. Philo. p.* 204.] *ἑτοιμοι γαρ αποθνησκειν εσμεν.* 2 *Mac. vii.* 2. 3 *Mac. v.* 30. *ὡσει λεων ἑτοιμος εις θηραν. Ps. xvi.* 12. *προ του κ.τ.λ. Gen. xiii.* 10. *xxvii.* 27. *ὁπως. Jon. i.* 6.

16 Ακουσας δε ὁ υἱος της αδελφης Παυλου το ενεδρον, παραγενομενος και εισελθων εις την παρεμβολην, απηγγειλε τῳ Παυλῳ.

τουτο εγενετο τῳ βιῳ εις ενεδρον. Sap. xiv. 21. *Conf. Job. v.* 13. *Thren. iii.* 37. 1 *Mac. i.* 36. *εισελθων δε ὁ Αχραθαιος ελαλησεν αυτῃ παντας τους λογους τουτους. Est. iv.* 9.

17 Προσκαλεσαμενος δε ὁ Παυλος ἑνα των ἑκατονταρχων, εφη, Τον νεανιαν τουτον απαγαγε προς τον χιλιαρχον· εχει γαρ τι απαγγειλαι αυτῳ.

18 Ὁ μεν ουν παραλαβων αυτον ηγαγε προς τον χιλιαρχον, και φησιν, Ὁ δεσμιος Παυλος προσκαλεσαμενος με ηρωτησε, τουτον τον νεανιαν αγαγειν προς σε, εχοντα τι λαλησαι σοι.

παρελαβε με, και απηγαγε με εις σκοτος. *Thren. iii.* 2.

19 Επιλαβομενος δε της χειρος αυτου ὁ χιλιαρχος, και αναχωρησας κατ' ιδιαν επυνθανετο, Τι εστιν, ὁ εχεις απαγγειλαι μοι;

επελαβετο σου τη χειρι αυτων. *Ezech. xxix.* 7. *Jer. xxxviii.* 32. κατ' ιδιαν. *Ps. iv.* 8. *Aq.* επυνθανετο δε—οὑτως εχοντα τυγχανει. 2 *Mac. iii.* 9. περι τινος τουτο συ ζητεις; *Neh. ii.* 4. χιλιαρχος. *Deut. i.* 15. *Zach. xii.* 5, 6.

20 Ειπε δε, ὁτι, Οἱ Ιουδαιοι συνεθεντο του ερωτησαι σε, ὁπως αυριον εις το συνεδριον καταγαγης τον Παυλον, ὡς μελλοντες τι ακριβεστερον πυνθανεσθαι περι αυτου.

ειπεν, ὁτι. *Gen. xxix.* 33. *Jos. ii.* 24. ρημα ψευδης και διεφθαρμενον συνεθεσθε ειπειν. *Dan. ii.* 9. *Conf. Dan. vi.* 5-12. επορευθη δε πυθεσθαι παρα Κυριου. *Gen. xxv.* 22. ματαια ελαλησεν ἑκαστος προς τον πλησιον αυτου, χειλη δολια, κ. τ. λ. *Ps. xi.* 2, 3. [συνιοντων αει των αρχιερεων—ὑπερ του παρ' εμου περι των νομιμων ακριβεστερον τι γνωναι. *Jos. Vit.* § 2.]

21 Συ ουν μη πεισθης αυτοις· ενεδρευουσι γαρ αυτον εξ αυτων ανδρες πλειους τεσσαρακοντα, οἱτινες ανεθεματισαν ἑαυτους μητε φαγειν μητε πιειν, ἑως οὑ ανελωσιν αυτον· και νυν ἑτοιμοι εισι, προσδεχομενοι την απο σου επαγγελιαν.

εαν σου δεηται ὁ εχθρος—μη πεισθης. *Prov. xxvi.* 25. ενεδρευει εν αποκρυφῳ. *Ps. ix.* 29. ηκουσεν Αλεξανδρος ὁ βασιλευς τας επαγγελιας. 1 *Mac. x.* 15. *Est. iv.* 7. προσδεχομενος την ελπιδα της σωτηριας. *Job. ii.* 9. οἱτινες. *Exod. xxxii.* 9. *Ps. lxxxii.* 12.

22 Ὁ μεν ουν χιλιαρχος απελυσε τον νεανιαν, παραγγειλας μηδενι εκλαλησαι, ὁτι ταυτα ενεφανισας προς με.

ὁσα εξελαλησε παρα σοι. *Judith. xi.* 9. *Conf. Jos. ii.* 14. ὁρα μηδενι μηδεν ειπης. *Marc. i.* 44. απελυσεν αυτον. *Ps. xxxiii.* 1.

23 Και προσκαλεσαμενος δυο τινας των ἑκατονταρχων ειπεν, Ἑτοιμασατε στρατιωτας διακοσιους, ὁπως πορευθωσιν ἑως Καισαρειας, και ἱππεις ἑβδομηκοντα, και δεξιολαβους διακοσιους, απο τριτης ὡρας της νυκτος·

κατα πασαν την δυναμιν ἡτοιμακα. 1 *Par. xxix.* 2. [δεξιολαβους·

παραφυλακας. Suid. τοξοβολους. Etym. Mag.] [*ἡ εννατη ὡρα της νυκτος. Jos. Bell. Jud. vi.* 1. 7.]

24 Κτηνη τε παραστησαι, ἱνα επιβιβασαντες τον Παυλον διασωσωσι προς Φηλικα τον ἡγεμονα·

τα παρασταθεντα—σκαφη. 2 *Mac. xii.* 3. *και επεβιβασαν αυτον οἱ παιδες αυτου.* 4 *Reg. ix.* 28. [*De Felice conf. Jos. Ant. xxix.* 7. 1. *Bell. Jud. ii.* 13. 2. *Tacit. Hist. v.* 9. 6. *et Krebs. ad loc.*] [*οἱ λοιποι διεσωθησαν εις Ἱεροσολυμα προς τον πατερα. Jos. Ant. xii.* 4. 9. *xiv.* 14. 3.]

25 Γραψας επιστολην περιεχουσαν τον τυπον τουτον·

ησαν γαρ αἱ γεγραμμεναι τοις Ιουδαιοις επιστολαι—περιεχουσαι τον τροπον τουτον. 2 *Mac. xi.* 16. *Conf. ix.* 18. *και ὁ μεν της επιστολης τυπος οὑτως εγεγραπτο.* 3 *Mac. iii.* 30. *εγραψαν επιστολην. Esd. iv.* 8. *viii.* 10. *ἡ δε του βασιλεως επιστολη περιειχεν οὑτως.* 2 *Mac. xi.* 22. *Conf. Loesner.*

26 Κλαυδιος Λυσιας τῳ κρατιστῳ ἡγεμονι Φηλικι, χαιρειν.

βασιλευς Πτολεμαιος Φιλοπατωρ τοις κατ' Αιγυπτον—χαρειν και ερρωσθαι. 1 *Mac. iii.* 12. *Conf.* 1 *Mac. xv.* 16. *Λυσιας τῳ πληθει των Ιουδαιων χαιρειν.* 2 *Mac. xi.* 16. *Conf. Jac. i.* 1. *Cap. xv.* 23. [*κρατιστε ανδρων Επαφροδιτε. Jos. c. Ap. i.* 1. *Luc. i.* 3.] *μετα ταυτα Ιουδαιας μεν επιτροπον Φιλικα τον Παλλαντος αδελφον εκπεμπει, της τε Γαλιλαιας, και Σαμαρειας, και Περαιας. Jos. Bell. Jud. ii.* 12. 8. *Conf. Krebs. pp.* 250-252.]

27 Τον ανδρα τουτον συλληφθεντα ὑπο των Ιουδαιων, και μελλοντα αναιρεισθαι ὑπ' αυτων, επιστας συν τῳ στρατευματι εξειλομην αυτον, μαθων ὁτι Ῥωμαιος εστι.

χριστος κυριος συνεληφθη εν ταις διαφθοραις αυτων. Thren. iv. 23. *και εξειλατο αυτους—και ουκ ανειλον αυτους. Jos. ix.* 26. *Conf. Act. xxi.* 33. *τον ανδρα τουτον—αυτον.* = *μιαν ῃτησαμην—ταυτην εκζητησω. Ps. xxvi.* 4. *Deut. xxxii.* 20. *Matt. viii.* 1.

28 Βουλομενος δε γνωναι την αιτιαν δι' ἡν ενεκαλουν αυτῳ, κατηγαγον αυτον εις το συνεδριον αυτων·

και ουκ ενεκαλεσεν αυτῳ ανθρωπος. Sir. xlvi. 19. *Conf. cap. xix.* 38.

29 Ὁν εὑρον εγκαλουμενον περι ζητηματων του νομου αυτων, μηδεν δε αξιον θανατου η δεσμων εγκλημα εχοντα.

Conf. cap. xviii. 15. *αξιοι μεν γαρ εκεινοι στερηθηναι φωτος. Sap. xviii.* 4. [*περι της του σιτου τιμης εγκληματα. Jos. Ant. ii.* 6. 6.]

30 Μηνυθεισης δε μοι επιβουλης εις τον ανδρα μελλειν εσεσθαι ὑπο των Ιουδαιων, εξαυτης επεμψα προς σε, παραγγειλας και τοις κατηγοροις λεγειν τα προς αυτον επι σου. Ἐρρωσο.

περι των μηνυθεντων αυτῳ χρηματων. 2 Mac. iii. 7. τα προς αυτους. 1 Esd. viii. 85. ερρωσθε. 2 Mac. xi. 21.

31 Οἱ μεν ουν στρατιωται, κατα το διατεταγμενον αυτοις, αναλαβοντες τον Παυλον, ηγαγον δια της νυκτος εις την Αντιπατριδα.

32 Τῃ δε επαυριον εασαντες τους ἱππεις πορευεσθαι συν αυτῳ, ὑπεστρεψαν εις την παρεμβολην·

33 Οἱτινες εισευθοντες εις την Καισαρειαν, και αναδοντες την επιστολην τῳ ἡγεμονι, παρεστησαν και τον Παυλον αυτῳ.

δοτω μοι επιστολας προς τους επαρχους. Neh. ii. 7.

34 Αναγνους δε ὁ ἡγεμων, και επερωτησας εκ ποιας επαρχιας εστι, και πυθομενος ὁτι απο Κιλικιας,

ανεγνων την επιστολην. 1 Esd. ii. 26. επαρχος. Esd. v. 3. [Φηστος ὁ επαρχος. Jos. xx. 8. 11. Krebs. p. 257.] και ελεγεν αυτῳ, Εκ ποιας πολεως ει συ; 2 Reg. xv. 2. [ἡγεμων. Jos. Ant. xviii. 3. 1.]

35 Διακουσομαι σου, εφη, ὁταν και οἱ κατηγοροι σου παραγενωνται. Εκελευσε τε αυτον εν τῳ πραιτωριῳ του Ἡρωδου φυλασσεσθαι.

διακουσατε αναμεσον των αδελφων ὑμων. Deut. i. 16. Job. ix. 33. ου γινομενος των πολιτων κατηγορος. 2 Mac. iv. 5. και Ἱερεμιας εφυλασσετο εν τῃ αυλῃ της φυλακης. Jer. xxxix. 2. [πραιτωριον. Lat. prætorium. Conf. Jos. Ant. xv. 9. 3. xx. 8. 11. Bell. Jud. i. 21. 1. ii. 16. 3. πραιτωρια βασιλικα. παλατιον. Act. Thom. iii. 17, 18, 19. De Herod. Agrip. Jos. Ant. xviii. 5. 6. xix. 4. 5.] Cap. xii. 21.

Κεφ. κδ. 24.

ΜΕΤΑ δε πεντε ἡμερας κατεβη ὁ Αρχιερευς Ανανιας μετα των πρεσβυτερων και ῥητορος Τερτυλλου τινος, οἱτινες ενεφανισαν τῳ ἡγεμονι κατα του Παυλου.

και εγενετο μετα τρεις ἡμερας. Jos. ix. 16. και αυτη ενεφανισε τῳ βασιλει τα της επιβουλης. Est. ii. 22. Conf. cap. xxiii. 2. οἱτινες. Ps. lxxxii. 12. Sap. xiii. 10. κατα. Ps. ii. 2. xlix. 20.

2 Κληθεντος δε αυτου, ηρξατο κατηγορειν ὁ Τερτυλλος, λεγων,

2 Πολλης ειρηνης τυγχανοντες δια σου, και κατορθωματων γινομενων τῳ εθνει τουτῳ δια της σης προνοιας

εαν ευκαιριας τυχω. 1 *Mac. xi.* 42. τυχειν ειρηνης. 2 *Mac. iv.* 6. καταστρεψαι τα κατορθωματα. 3 *Mac. iii.* 23. ανευ βασιλικης προνοιας. 2 *Mac. iv.* 6. *Conf. Ps. xi.* 2. *Prov. xxvi.* 28.

3 Παντῃ τε και πανταχου, αποδεχομεθα, κρατιστε Φηλιξ, μετα πασης ευχαριστιας.

ευλογησατε τῳ Θεῳ παντες τῳ μεγαλοποιουντι παντη. *Sir. l.* 22. εν γαρ χειρι αυτου και ἡμεις και οἱ λογοι ἡμων πασα τε φρονησις και εργατειων επιστημη. *Sap. vii.* 16. [επεμψε προς αυτους, επαινων και αποδεχομενος αυτων το εργον, και χαριτας αποδωσειν αντι της προς τους τεθνηκοτας σπουδης ὑπισχνουμενος. *Jos. Ant. vii.* 1, 2.] την πολιτειαν αυτων αποδεχεσθαι. 4 *Mac.* 4.

4 Ἱνα δε μη επι πλειον σε εγκοπτω, παρακαλω ακουσαι σε ἡμων συντομως τῃ σῃ επιεικειᾳ.

ἑως τινος εγκοπον ποιησετε ψυχην μου; *Job. xix.* 2. το δε συντομον της λεξεως μεταδιωκειν. 2 *Mac. ii.* 31. 3 *Mac. v.* 25. ουτος γαρ συντομως απολειται. *Prov. xxiii.* 28. ἱνα γνωμεν την επιεικειαν αυτου. *Sap. ii.* 19. παρακαλειν. 1 *Mac. ix.* 35.

5 Εὑροντες γαρ τον ανδρα τουτον λοιμον, και κινουντα στασιν πασι τοις Ιουδαιοις τοις κατα την οικουμενην, πρωτοστατην τε της των Ναζωραιων αἱρεσεως·

γαρ, *nam, silicet. Conf. Krebs. ad Matt. i.* 18. ανηρ λοιμος και πονηρος. 1 *Reg. xxx.* 22. επι τον ανθρωπον τον λοιμον τουτον. *xxv.* 25. εγενετο κινημα μεγα εν τῃ πολει. 1 *Mac. xiii.* 44. *xv.* 3. 21. ὡσπερ στρατηγος πρωτοστατης πιπτων. *Job. xv.* 25. αἱρεσις. *Cap. v.* 17. *Conf. cap. xvi.* 20. Ναζωραιων. *Conf. Matt. ii.* 23.

6 Ὁς και το ἱερον επειρασε βεβηλωσαι, ὁν και εκρατησαμεν και κατα τον ἡμετερον νομον ηθελησαμεν κρινειν.

και εβεβηλουν τα ἁγια μου. *Ezech. xxii.* 26. οὑτως δε ηθελησεν ὁ βασιλευς, και επεταξε. *Est. i.* 8. [*Jos. Ant. xx.* 4. 4.]

7 Παρελθων δε Λυσιας ὁ χιλιαρχος μετα πολλης βιας εκ των χειρων ἡμων απηγαγε,

μετα βιας. *Exod. xiv.* 25. *i.* 14. [διαδεξαμενος δε παρα τουτου (Φηλικος) την επιτροπην Φηστος, κ.τ.λ. *Jos. Bell. Jud. ii.* 4. 1.]

8 Κελευσας τους κατηγορους αυτου ερχεσθαι επι σε· παρ' ου

δυνηση αυτος ανακρινας περι παντων τουτων επιγνωναι, ὡν ἡμεις κατηγορουμεν αυτου.

ερχεσθαι επι σε. *Conf.* 1 *Reg. xvii.* 43. *Cap. xxiii.* 30.

9 Συνεθεντο δε και οἱ Ιουδαιοι, φασκοντες ταυτα οὑτως εχειν.

ὁτι ῥημα ψευδες και διεφθαρμενον συνεθεσθε ειπειν. *Dan. ii.* 9. *Deut. xxxii.* 27. και τα μεν της Αντιοχου—τελευτης οὑτως ειχε. 2 *Mac. x.* 9. *iii.* 9. των δε μεθ' ὁρκων φασκοντων μη γινωσκειν. 2 *Mac. xiv.* 32. *Conf. Ps. xlix.* 18. 20.

10 Απεκριθη δε ὁ Παυλος, νευσαντος αυτῳ του ἡγεμονος λεγειν, Εκ πολλων ετων οντα σε κριτην τῳ εθνει τουτῳ επισταμενος, ευθυμοτερον τα περι εμαυτου απολογουμαι·

νευσαντος. *Prov. iv.* 25. ευθυμοι τε ὡσι. 2 *Mac. xi.* 26. τα περι αυτου. *Sir. xix.* 30. απολογουμένοι. *Jer. xxxviii.* 6. εὑρησουσιν απολογιαν. *Sap. vi.* 10. *Conf. cap. xxii.* 1. [*Jos. Ant. xx.* 6. 3.]

11 Δυναμενου σου γνωναι ὁτι ου πλειους εισι μοι ἡμεραι η δεκαδυο, αφ' ἡς ανεβην προσκυνησων εν Ἱερουσαλημ·

Conf. cap. xxi. 15. 18. 26-29. *xxii.* 30. *xxiii.* 11-15.

12 Και ουτε εν τῳ ἱερῳ εὑρον με προς τινα διαλεγομενον η επισυστασιν ποιουντα οχλου, ουτε εν ταις συναγωγαις, ουτε κατα την πολιν·

εν τη επισυστασει. *Num. xxvi.* 9. και συστασεις ποιουμενοι. 1 *Esd. v.* 13. *Conf. Act. xxv.* 8. *xxviii.* 17. και δευτε, διελεγχθωμεν, κ. τ. λ. *Esa. i.* 18. *lxiii.* 1. *Exod. vi.* 27.

13 Ουτε παραστησαι με δυνανται περι ὡν νυν κατηγορουσι μου.

[βουλομενος παραστησαι τοις αναγινωσκουσιν, ὁτι ου προαιρεσις εγενετο. *Jos. Vit.* 6. *Ant. iv.* 3. 2. *viii.* 2. 5.] και κατηγορησεν αυτων πονηρα. 1 *Mac. vii.* 25. [παριστω· αποδεικνυμι. *Hesych.*]

14 Ὁμολογω δε τουτο σοι, ὁτι κατα την ὁδον ἡν λεγουσιν αἱρεσιν, οὑτω λατρευω τῳ πατρῳῳ Θεῳ, πιστευων πασι τοις κατα τον νομον και τοις προφηταις γεγραμμενοις,

ὁτε δε απεστησαν απο της ὁδου ἡς διεθετο αυτοις. *Judith. v.* 18. εξ ὁδου των γονεων αυτων. 8. *Sir. xlvii.* 23. και αυτῳ μονῳ λατρευσεις. *Deut. vi.* 13. *x.* 12. αἱρεσις. *Act. v.* 17. *Conf. Amos. viii.* 14. μεταβαινειν εκ των πατρῳων νομων. 2 *Mac. vi.* 1. εγνωρισας μοι ὁδους ζωης. *Ps. xv.* 11. και επιστευσαν τοις λογοις

αυτου. *Ps. cv.* 12. αυτος ὁ νομος, και αἱ προφητειαι, και τα λοιπα των βιβλιων. *Prol. Sir. Conf. Luc. xvi.* 16. 29. ὁ πιστευων νομῳ. *Sir. xxxii.* 24. ὁ Θεος ᾡ ευηρεστησαν οἱ πατερες μου. *Gen. xlviii.* 15. και ελαλουν εν τοις μαρτυριοις σου εναντιον βασιλεων, και ουκ ῃσχυνομην. *Ps. cxviii.* 46. [τον πατρῳον και αληθως Θεον. *Jos. Ant. ix.* 12. 3.] *Conf. Act. iii.* 13. *Exod. iii.* 15. 1 *Par. xxix.* 18. [ἡ των Φαρισαιων αἱρεσις, οἱ περι τα πατρια νομιμα δοκουσι των αλλων ακριβειᾳ διαφερειν. *Jos. Vit.* ηρξαμην τε πολιτευεσθαι τῃ Φαρισαιων αἱρεσει κατακολουθων. *Ib.*] [αἱρετικος· ὁ αλλο τι παρα την αληθειαν αἱρουμενος εχειν. *Hesych.*]

15 Ελπιδα εχων εις τον Θεον, ἡν και αυτοι οὑτοι προσδεχονται, αναστασιν μελλειν εσεσθαι νεκρων, δικαιων τε και αδικων·

εις ουρανον την ελπιδα εχων. 2 *Mac. ix.* 20. ελπιδα εχει. *Jer. xvii.* 5. προσδεχομενος την ελπιδα της σωτηριας μου. *Job. ii.* 9. και πολλοι των καθευδοντων εν γης χωματι εξεγερθησονται, οὑτοι εις ζωην αιωνιον, και οὑτοι εις ονειδισμον και εις αισχυνην αιωνιον. *Dan. xii.* 2. *Job. xiv.* 14. *Conf. Joan. v.* 28, 29. *Act. xxiii.* 6. οιδα γαρ ὁτι αενναος εστιν ὁ εκλυειν με μελλων, κ. τ. λ. *Job. xix.* 25, 26. εγω δε εν δικαιοσυνῃ οφθησομαι τῳ προσωπῳ σου, χορτασθησομαι εν τῳ οφθηναι την δοξαν σου. *Ps. xvi.* 15.

16 Εν τουτῳ δε αυτος ασκω, απροσκοπον συνειδησιν εχειν προς τον Θεον και τους ανθρωπους διαπαντος.

ὁ κελευσας ασκειν την ἑβδομαδα. 2 *Mac. xv.* 4. εν ὁδῳ απροσκοπῳ. *Sir. xxxii.* 21. *Conf.* 2 *Cor. vi.* 3. 1 *Tim. v.* 14. συνεχομενη τῃ συνειδησει. *Sap. xvii.* 11. και προνοου καλα ενωπιον Κυριου και ανθρωπων. *Prov. iii.* 4. *Conf.* 2 *Cor. viii.* 21. 2 *Tim. i.* 3. *Heb. xiii.* 18. ου γαρ συνοιδα εμαυτῳ ατοπα πραξας. *Job. xxvii.* 6.

17 Δι' ετων δε πλειονων παρεγενομην ελεημοσυνας ποιησων εις το εθνος μου και προσφορας·

αφ' ἡμερων πλειονων. *Ezech. xxxviii.* 8. δι' ἑπτα ετων. *Deut. xv* 1. ελεημοσυνην ποιησαι μη παριδῃς. *Sir. vii.* 10. *Tob. xii.* 15. *Dan. iv.* 24. και παρεγενηθητε εις Ἱεριχω. *Jos. xxiv.* 11. *xviii.* 8. *Conf. Gal. ii.* 10. *Rom. xv.* 25. *Cap. xxi.* 26.

18 Εν οἱς εὑρον με ἡγνισμενον εν τῳ ἱερῳ, ου μετα οχλου ουδε μετα θορυβου, τινες δε απο της Ασιας Ιουδαιοι,

και ἡγνισθησαν κατα την εντολην. 2 *Par. xxix.* 15. 2 *Mac. xii.* 38. *Conf. cap. xxi.* 24. μετ' οχλου λαων. *Ezech. xxiii.* 24. μετα θορυβου. *vii.* 11. *Conf. Luc. xii.* 1. *Num. vi.* 2, 3.

19 Οὑς δει επι σου παρειναι και κατηγορειν ει τι εχοιεν προς
με·

Conf. Matt. v. 23. πραγμα εχων προς τον ἑτερον: 1 *Cor. vi.* 1. *Conf. Apoc. ii.* 4. *Cap. xxiii.* 30. *Deut. xvii.* 16.

20 Η αυτοι οὑτοι ειπατωσαν, ει τι εὑρον εν εμοι αδικημα, σταν-
τος μου επι του συνεδριου,

ἑως ευρεθη τα αδικηματα εν σοι. *Ezech. xxviii.* 15. 1 *Reg. xxvi.* 18. [συνεδριον. *Jos. Ant. ix.* 1. 1. *Bell. Jud. v.* 4. 2.]

21 Η περι μιας ταυτης φωνης, ἡς εκραξα ἑστως εν αυτοις,
ὁτι, Περι αναστασεως νεκρων εγω κρινομαι σημερον ὑφ᾽ ὑμων.

Conf. cap. xxiii. 6. φωνης, ἡς εκραξα. = εκ παντων των επιτηδευματων σου, ὡν. *Sophon. iii.* 11. ὑπερ αναστασεως διαλογιζομενος. 2 *Mac. xii.* 43. ὁτι. *Gen. xxix.* 33. *Jos. ii.* 24.

22 Ακουσας δε ταυτα ὁ Φηλιξ ανεβαλετο αυτους, ακριβεστε-
ρον ειδως τα περι της ὁδου, ειπων, Ὁταν Λυσιας ὁ χιλιαρχος
καταβη, διαγνωσομαι τα καθ᾽ ὑμας·

και εξετασωσιν οἱ κριται ακριβως, κ. τ. λ. *Deut. xix.* 18. διαγνωσομαι τα καθ᾽ ὑμας, *rem vestram judicabo. Conf.* 2 *Mac. ix.* 15. [ανεβαλλετο. *Jos. Ant. iv.* 8. 32.] *Conf. cap. xxiii.* 20.

23 Διαταξαμενος τε τῳ ἑκατονταρχῃ τηρεισθαι τον Παυλον,
εχειν τε ανεσιν, και μηδενα κωλυειν των ιδιων αυτου ὑπηρετειν
η προσερχεσθαι αυτῳ.

απεταξεν εκει φρουραν τηρειν αυτην. 1 *Mac. vi.* 50. εδωκαν αυτῃ ανεσιν. 2 *Par. xxiii.* 15. εὑρουσα ανεσιν. *Sir. xxvi.* 10. [οἱ ιδιοι, *familiares. Philo. in Flacc. p.* 981. *Loesner.*] *Conf. cap. xxvii.* 3. [ανεσεις εχειν επιτρεποντων. *Philo de Vit. Mos. p.* 605.]

24 Μετα δε ἡμερας τινας παραγενομενος ὁ Φηλιξ συν Δρου-
σιλλῃ τῃ γυναικι αὑτου ουσῃ Ιουδαιᾳ, μετεπεμψατο τον Παυ-
λον, και ηκουσεν αυτου περι της εις Χριστον πιστεως.

και ἡ γυνη αυτου αὑτη Ιουδεια. 1 *Par. iv.* 18. *Comp.* εκ Μεσοποταμιας μετεπεμψατο με Βαλακ. *Num. xxiii.* 7. 2 *Mac. xv.* 31. συντηρειν την ουσαν ευνοιαν εις εμε. 2 *Mac. ix.* 26. [*De Felice et Drusill. conf. Jos. Ant. xx.* 6. 1. 2.] [τα εργαστηρια των Ιουδαιων συγκεκλεισμενα δια το επι Δρουσιλλῃ πενθος. *Philo. in Flacc. p.* 973.]

25 Διαλεγομενου δε αυτου περι δικαιοσυνης και εγκρατειας και
του κριματος του μελλοντος εσεσθαι, εμφοβος γενομενος ὁ

Φηλιξ απεκριθη, Το νυν εχον πορευου· καιρον δε μεταλαβων μετακαλεσομαι σε·

εγω διαλεγομαι δικαιοσυνην και κρισιν σωτηριου. Esa. lxiii. 1. 1 Reg. xii. 7. εντρομος και εμφοβος. 1 Mac. xiii. 2. αλλα το νυν εχον, ἡδεως γινου. Tob. vii. 11. εξ Αιγυπτου *μετεκαλεσα τα τεκνα αυτου. Ose. xi. 1. περι εγκρατειας. Conf. Sir. xviii. 30-33. και ειπα εγω εν καρδια μου,* Συν *τον δικαιον, και συν τον ασεβη κρινει ὁ* Θεος, *κ. τ. λ. Eccles. iii. 17. ἑωρακας ὡς κατενυγη* Αχααβ *απο προσωπου μου; κ. τ. λ. 3 Reg. xx. 29. ὁ λαος οὑτος λεγουσιν,* Ουχ *ἡκεν ὁ καιρος του οικοδομησαι τον οικον* Κυριου. *κ. τ. λ. Agg. i. 2, 3.*

26 Ἁμα δε και ελπιζων, ὁτι χρηματα δοθησεται αυτῳ ὑπο του Παυλου, ὁπως λυσῃ αυτον· διο και πυκνοτερον αυτον μεταπεμπομενος ὡμιλει αυτῳ.

ἁμα—και. Sir. xlv. 15. και εδαπανησε χρηματα πολλα. 1 Mac. xiv. 32. 2 Mac. iii. 6, 7. πυρ δε καυσει οικους δωροδεκτων. Job. xv. 34. μη μεθυσκεσθε—αλλα ὁμιλειτε ανθρωποις δικαιοις. Prov. xxiii. 30. [Δανιηλος *ὡμειλει τῳ* Θεῳ. *Jos. Ant. x. 11. 7.*] *Conf. Exod. xxiii. 8. Num. xxii. 37. Esa. i. 23. Ezech. xxxiii. 32.*

27 Διετιας δε πληρωθεισης ελαβε διαδοχον ὁ Φηλιξ Πορκιον Φηστον· θελων τε χαριτας καταθεσθαι τοις Ιουδαιοις ὁ Φηλιξ κατελιπε τον Παυλον δεδεμενον.

διετιας. 2 Mac. x. 3. Ιησους*—διαδοχος* Μωυση *εν προφητειαις. Sir. xlvi. 1. xlviii. 8. και επληρωθησαν αἱ ἡμεραι. Gen. xxv. 24.* Ιουδαν *διαδοχον αναδεδειχεν ἑαυτου. 2 Mac. xiv. 26. χαριν εποιησαμεν τῳ* Μαρδοχαιῳ. *Est. vi. 3. φιλιαν καταθεσθαι τοις* Ιουδαιοις. *1 Mac. x. 23. και αυτον κατελιπον εκει. Dan. x. 13. Conf. Luc. xxiii. 23, 24. Cap. xii. 3. Prov. xxix. 25. Exod. xxiii. 2.* [*χαριζεται δε τουτο της ἱκεσιας επακουσας ὁ* Θεος *αυτῳ. Jos. Ant. x. 3. 2. Conf. Krebs. p. 172.* Πορκιου *δε* Φηστου *διαδοχου* Φηλικι *πεμφθεντος ὑπο* Νερωνος, *κ. τ. λ. Ant. xx. 8, 9. Bell. Jud. ii. 14. 1.*] *Judith. xi. 12.* [*τοιαυτην μελλεις κατατιθεσθαι χαριν, ἡς ουκ αν δυναιτο μειζονα λαβειν. Philo. de. Jos. p. 559.*]

ΚΕΦ. κε. 25.

ΦΗΣΤΟΣ ουν επιβας τῃ επαρχιᾳ, μετα τρεις ἡμερας ανεβη εις Ἱεροσολυμα απο Καισαρειας.

[*Φηστος ὁ επαρχος. Jos. Ant. xx. 8. 11.*] *Conf. cap. xxiii. 34. ὁταν*

επιβῃ επι την χωραν ὑμων. *Mich.* v. 5. ἱκανουσθω ὑμιν αναβαινειν εις Ἱερουσαλημ. 3 *Reg.* xii. 28. μετα. *Conf. Marc.* viii. 31.

2 Ενεφανισαν δε αυτῳ ὁ Αρχιερευς και οἱ πρωτοι των Ιουδαιων κατα του Παυλου, και παρεκαλουν αυτον,

και αυτη ενεφανισε τῳ βασιλει τα της επιβουλης· *Est.* ii. 22. οἱ πρωτοι παρακαθημενοι τῳ βασιλει. i. 14. ἱερευς ὁ πρωτος. 2 *Par.* xxvi. 20. 1 *Reg.* ix. 22. *Neh.* xii. 46.

3 Αιτουμενοι χαριν κατ᾽ αυτου, ὁπως μεταπεμψηται αυτον εις Ἱερουσαλημ, ενεδραν ποιουντες ανελειν αυτον κατα την ὁδον.

χαριν εποιησαμεν τῳ Μαρδοχαιῳ. *Est.* vi. 3. και επορευθησαν εις την ενεδραν. *Jos.* viii. 9. κατα την ὁδον. v. 7. ὁπως. *Jon.* i. 6. *Conf. cap.* xxiii. 15. [*Conf. Jos. Ant.* xx. 7. 5-7.]

4 Ὁ μεν ουν Φηστος απεκριθη, τηρεισθαι τον Παυλον εν Καισαρειᾳ, ἑαυτον δε μελλειν εν ταχει εκπορευεσθαι·

εν ταχει. *Deut.* ix. 3. xi. 17. τηρεισθαι. 1 *Mac.* iv. 61. vi. 50.

5 Οἱ ουν δυνατοι εν ὑμιν, φησι, συγκαταβαντες, ει τι εστιν εν τῳ ανδρι τουτῳ, κατηγορειτωσαν αυτου.

[οἱ παρα την αυλην δυνατοι. *Jos. Ant.* xii. 4. 9. *Conf. Krebs. et Loesner.*] και εὑρεθη ανηρ δυνατος εν αυτοις. 1 *Par.* xxvi. 31. συγκατεβη ἁμα τοις περι τον Αζαριαν εις την καμινον. *Cant. Tr. Puer.* 25. *Sap.* x. 13. *Conf. Ps.* vii. 3-5.

6 Διατριψας δε εν αυτοις ἡμερας πλειους η δεκα, καταβας εις Καισαρειαν, τῃ επαυριον καθισας επι του βηματος, εκελευσε τον Παυλον αχθηναι.

και διατριψει εξω του οικου αυτου ἑπτα ἡμερας. *Lev.* xiv. 8. προσηλθεν επι το βημα Λυσιας. 2 *Mac.* xiii. 26.

7 Παραγενομενου δε αυτου, περιεστησαν οἱ απο Ἱεροσολυμων καταβεβηκοτες Ιουδαιοι, πολλα και βαρεα αιτιαματα φεροντες κατα του Παυλου, ἁ ουκ ισχυον αποδειξαι,

απολυων δε τους αιτιους. *Susan.* 53. εν τοις αποδεδειγμενοις του δημου βιβλιοις. 1 *Mac.* iv. 23. αναστατες μαρτυρες αδικοι, ἁ ουκ εγινωσκον, επηρωτων με. κ. τ. λ. *Ps.* xxxiv. 11, 12.

8 Απολογουμενου αυτου, ὁτι, Ουτε εις τον νομον των Ιουδαιων, ουτε εις το ἱερον, ουτε εις Καισαρα τι ἡμαρτον.

του μη ἁμαρτειν σε εις εμε. *Gen.* xx. 6. 1 *Reg.* ii. 25. xix. 4, 5. απελογησατο ενδεχομενως. 2 *Mac.* xiii. 26.

9 Ὁ Φηστος δε τοις Ιουδαιοις θελων χαριν καταθεσθαι, απο-

κριθεις τῳ Παυλῳ *ειπε,* Θελεις *εις* Ἱεροσολυμα *αναβας, εκει περι τουτων κρινεσθαι επ' εμου;*

φιλιαν καταθεσθαι τοις Ιουδαιοις. 1 *Mac. x.* 23. *κρινεσθαι. Conf. Ps. l.* 4. *οἱ αναβαντες—εις* Ἱερουσαλημ. *Neh. vii.* 6.

10 Ειπε *δε ὁ* Παυλος, Επι *του βηματος* Καισαρος *ἑστως ειμι, οὑ με δει κρινεσθαι.* Ιουδαιους *ουδεν ηδικησα, ὡς και συ καλλιον επιγινωσκεις·*

τι ηδικησα σε; Jer. xliv. 18. 2 *Par. xxvi.* 16. *ἑστως ειμι. i. e. στω. Ita, εστω διαχωριζον. Gen. i.* 6. *εσῃ συναντων. Exod. vii.* 15.

11 Ει *μεν γαρ αδικω και αξιον θανατου πεπραχα τι, ου παραιτουμαι το αποθανειν· ει δε ουδεν εστιν ὡν οὑτοι κατηγορουσι μου, ουδεις με δυναται αυτοις χαρισασθαι.* Καισαρα *επικαλουμαι.*

αξιοι μεν γαρ εκεινοι στηρηθηναι φωτος. Sap. xviii. 4. *χαρισθηναι. Conf. cap. iii.* 14. *xviii.* 14. *επικαλουμενος τον Θεον.* 2 *Mac. vii.* 37. [*θανειν ου παραιτουμαι. Conf. Jos. Vit.* 29. *Ant. iii.* 8. 8. *Bell. Jud. ii.* 10. 4. *ου παραιτησομεθα τον ὑπερ των νομων πονον. Jos. Ant. v.* 1. 26. *Krebs.*]

12 Τοτε *ὁ* Φηστος *συλλαλησας μετα του συμβουλιου, απεκριθη,* Καισαρα *επικεκλησαι, επι* Καισαρα *πορευσῃ.*

διασκεδαζονται λογισμοι μη οντος συμβουλιου. Prov. xv. 23. *Theod.*

13 Ἡμερων *δε διαγενομενων τινων,* Αγριππας *ὁ βασιλευς και* Βερνικη *κατηντησαν εις* Καισαρειαν, *ασπασομενοι τον* Φηστον.

καταντησαντος δε του βασιλεως εις Τυρον. 2 *Mac. iv.* 44. [*Conf. Jos. Bell. ii.* 15. 1. *ὁ βασιλευς* Αγριππας—*την δε αδελφην αυτην* Βερνικην. *Conf. Ant. xix.* 9. *xx.* 7. 1, 2. *Herodes Agrippa, cognomine, "Minor." xix.* 7. *xx.* 5.] [*Regina—Berenice—florens ætate formaque, etc. Tacit. Hist. ii.* 81. *Conf. Sueton. Tit.* § 7.]

14 Ὡς *δε πλειους ἡμερας διετριβον εκει, ὁ* Φηστος *τῳ βασιλει ανεθετο τα κατα τον* Παυλον, *λεγων,* Ανηρ *τις εστι καταλελειμμενος ὑπο* Φηλικος *δεσμιος,*

και εγενετο μεθ' ἡμερας πλειους. Jos. xxiii. 1. *και διατριψει εξω του οικου αυτου ἑπτα ἡμερας. Lev. xiv.* 8. *ανεθετο περι του γεγονοτος εμφανισμου.* 2 *Mac. iii.* 9. *τα κατα* Νικανορα, *και τους περι* Τιμοθεον. 2 *Mac. ix.* 3. *Conf. cap. xxiv.* 27.

15 Περι *οὑ, γενομενου μου εις* Ἱεροσολυμα, *ενεφανισαν οἱ* Αρχιερεις *και οἱ* Πρεσβυτεροι *των* Ιουδαιων, *αιτουμενοι κατ' αυτου δικην·*

παραγενηθεις δε εις Ἱεροσολυμα. 2 *Mac. iii.* 9. *Conf. Luc. xxiii.* 23. *και αυτη ενεφανισε τῳ βασιλει.* *Est. ii.* 22. *Matt. xxvii.* 20.

16 Προς οὓς απεκριθην, ὁτι ουκ εστιν εθος Ῥωμαιοις χαριζεσθαι τινα ανθρωπον εις απωλειαν, πριν η ὁ κατηγορουμενος κατα προσωπον εχοι τους κατηγορους, τοπον τε απολογιας λαβοι περι του εγκληματος.

και απεκριθη ὁ λαος προς τον βασιλεα. 2 *Par. x.* 16. *ὡς εθος εστι.* 1 *Mac. x.* 89. *εις απωλειαν, και καταβιβασουσι σε.* *Ezech. xxviii.* 8. 1 *Par. xxi.* 17. *τους δε αιτιους της απωλειας.* *Draco.* 42. *ἑστηκως κατα προσωπον του βασιλεως.* *Jer. lii.* 12. *Deut. vii.* 10. *xvii.* 4. *μη δῳς τοπον ανθρωπῳ καταρασθαι σε.* *Sir. iv.* 5. 1 *Mac. ix.* 45. *Conf. cap. xxii.* 1. [*και τῃ ἑξης, ερρηθη προς ἡμας.* *Test. XII Patr. p.* 595.]

17 Συνελθοντων ουν αυτων ενθαδε, αναβολην μηδεμιαν ποιησαμενος, τῃ ἑξης καθισας επι του βηματος, εκελευσα αχθηναι τον ανδρα·

[*αναβολη.* *Jos. Ant. iii.* 2. 3. *ταις ἑξης.* *iii.* 5. 6.]

18 Περι οὗ σταθεντες οἱ κατηγοροι ουδεμιαν αιτιαν επεφερον ὡν ὑπενοουν εγω·

ουκ εγενετο μοι καθως ὑπενοουν. *Tob. viii.* 16. *και μη καταλιπωμεν αιτιαν τῃ δοξῃ ἡμων.* 1 *Mac. ix.* 10. [*αιτιαν ἡμιν ὡς κατασκοποις επεφερε.* *Philo de Jos. p.* 553. *et Krebs.*]

19 Ζητηματα δε τινα περι της ιδιας δεισιδαιμονιας ειχον προς αυτον, και περι τινος Ιησου τεθνηκοτος, ὁν εφασκεν ὁ Παυλος ζῃν.

των δε μεθ' ὁρκων φασκοντων μη γινωσκειν. 2 *Mac. xiv.* 32. [*δεισιδαιμονια.* *Jos. Ant. x.* 3. 2. *ὑπερθαυμασας δ' ὁ Πιλατος το της δεισιδαιμονιας ακρατον, κ. τ. λ.* *Bell. Jud. ii.* 9. 3.] [*Δεισιδαιμονια·* Ευλαβεια περι το θειον, δειλια, αμφιβολια περι την πιστιν, ἡ ακαιρος ευσεβεια.* *Suid. apud Bretschn.*] *και εγενομην νεκρος, και ιδου ζων ειμι εις τους αιωνας, κ. τ. λ.* *Apoc. i.* 18. *Conf. Sophon. iii.* 8. *Ps. cix.* 1. *Phil. ii.* 7. *Esa. liii.* 3.

20 Απορουμενος δε εγω εις την περι τουτου ζητησιν, ελεγον, ει βουλοιτο πορευεσθαι εις Ἱερουσαλημ, κακει κρινεσθαι περι τουτων.

και ηπορειτο τῃ ψυχῃ αυτου σφοδρα. 1 *Mac. iii.* 31. *εις σε* (*de*). *Ps. lxii.* 6. *νικησῃς εν τῳ κρινεσθαι σε.* *Ps. l.* 4.

21 Του δε Παυλου επικαλεσαμενου τηρηθηναι αὐτον εις την του

Σεβαστου διαγνωσιν, εκελευσα τηρεισθαι αυτον, ἑως οὑ πεμψω αυτον προς Καισαρα.

[εις κολασιν του αιωνος τετηρηται. *Test. XII Patr. p.* 529.] ἑως οὑ. *Eccles. xii.* 2. εν ἡμερα διαγνωσεως. *Sap. iii.* 18. [ὁ δια μεγεθος ευδαιμονιας αυτοκρατους ὁμου και καλοκαγαθιας πρωτος ονομασθεις Σεβαστος, κ. τ. λ. *Philo de Leg. ad Cai. p.* 1012.]

22 Αγριππας δε προς τον Φηστον εφη, Εβουλομην και αυτος του ανθρωπου ακουσαι. Ὁ δε, Αυριον, φησιν, ακουσῃ αυτου.

23 Τῃ ουν επαυριον ελθοντος του Αγριππα και της Βερνικης μετα πολλης φαντασιας, και εισελθοντων εις το ακροατηριον, συν τε τοις χιλιαρχοις και ανδρασι τοις κατ᾽ εξοχην ουσι της πολεως, και κελευσαντος του Φηστου, ηχθη ὁ Παυλος.

Κυριος εποιησε φαντασιας. *Zach. x.* 1. μετα παραπομπης μεγαλης. 1 *Mac. ix.* 37. *Conf. Sir. iv.* 30. των εν ὑπεροχῃ οντων. 1 *Tim. ii.* 2. *Conf. Est. i.* 4.

24 Και φησιν ὁ Φηστος, Αγριππα βασιλευ, και παντες οἱ συμπαροντες ἡμιν ανδρες, θεωρειτε τουτον, περι οὑ παν το πληθος των Ιουδαιων ενετυχον μοι εν τε Ἱεροσολυμοις και ενθαδε, επιβοωντες μη δειν ζῃν αυτον μηκετι.

οἱ συμπαροντες. *Sap. ix.* 10. *Job. xxxviii.* 4. *Sym.* ενετυγχανον οἱ κατα πολιν Ιουδαιοι. 2 *Mac. iv.* 36. 3 *Mac. vi.* 37. [εντυγχανει· προσερχεται. *Hesych.*] *Conf.* 1 *Mac. viii.* 20. ξυλον επιβοασθαι, *imaginem invocare. Sap. xiv.* 1. [ενετυγχανεν (Μωυσης) αφανως τῳ Θεῳ, ἱνα εξ αμηχανων ῥυσηται συμφορων. *Philo de Vit. Mos. p.* 629.]

25 Εγω δε καταλαβομενος μηδεν αξιον θανατου αυτον πεπραχεναι, και αυτου δε τουτου επικαλεσαμενου τον Σεβαστον, εκρινα πεμπειν αυτον.

κρινομεν το, τε ἱερον αυτοις αποκατασταθηναι. 2 *Mac. xi.* 25. *xv.* 21. αξιον θανατου. *Conf. Sap. xix.* 4. *Luc. xxiii.* 15.

26 Περι οὑ ασφαλες τι γραψαι τῳ κυριῳ ουκ εχω· διο προηγαγον αυτον εφ᾽ ὑμων, και μαλιστα επι σου, βασιλευ Αγριππα, ὁπως της ανακρισεως γενομενης σχω τι γραψαι.

και ουκ ετι ειχον που φυγωσι. *Jos. viii.* 20. [ουκ—εχω ειπειν. *Jos. c. Ap. i.* 22.] ανευ πασης ανακρισεως και εξετασεως. 3 *Mac. vii.* 4. κυριος. *Dan. iv.* 16. 1 *Esd. ii.* 21. *Conf. cap. xxvi.* 3.

27 Αλογον γαρ μοι δοκει, πεμποντα δεσμιον, μη και τας κατ᾽ αυτου αιτιας σημαναι.

αλογον. 3 *Mac. vi.* 25. και σημανεις αυτοις τας ὁδους εν αἱς πα-

ρευσονται. Exod. xviii. 20. *ουκ εσῃ μετα πλειονων επι κακιᾳ· ου προστεθησῃ μετα πληθους εκκλιναι μετα των πλειονων, ὡστε εκκλεισαι κρισιν. Exod. xxiii.* 2. *ὁς αποκρινεται λογον πριν ακουσαι, αφροσυνη αυτῳ εστι και ονειδος. Prov. xviii.* 13. *αιτια. xxviii.* 17.

ΚΕΦ. *κϛ*. 26.

ΑΓΡΙΠΠΑΣ *δε προς τον* Παυλον *εφη*, Επιτρεπεται *σοι ὑπερ σεαυτου λεγειν*. Τοτε *ὁ* Παυλος *απελογειτο, εκτεινας την χειρα,*

ανθρωπῳ δε επετρεψατε λαλησαι. Job. xxxii. 14. *και επετρεψεν ὁ βασιλευς ούτως γενεσθαι. Est. ix.* 14. *Comp. ὑπερ νεκρων προσευχεσθαι.* 2 *Mac. xii.* 44. *Sir. xxix.* 15. *Judith. xv.* 4. *Conf. Job. xiii.* 7. *Sym. απελογησατο ενδεχομενως.* 2 *Mac. xiii.* 26. *προτεινας την δεξιαν εις τον νεων, ταυτα ωμοσε, κ. τ. λ.* 2 *Mac. xiv.* 33. [*Jos. Ant. xix.* 9. *xx.* 5-7.]

2 Περι *παντων ὡν εγκαλουμαι ὑπο* Ιουδαιων, *βασιλευ* Αγριππα, *ἡγημαι εμαυτον μακαριον, μελλων απολογεισθαι επι σου σημερον·*

ὁ δε εγκαλων αδικως ου διαφευξεται. Prov. xix. 5. *ἡγημαι δε εμαυτον γην και σποδον. Job. xlii.* 6. *απολογησομαι προς σε. Jer. xii.* 1. *επι σου. Cap xxv.* 9. 26.

3 Μαλιστα *γνωστην οντα σε παντων των κατα* Ιουδαιους *εθων τε και ζητηματων. διο δεομαι σου, μακροθυμως ακουσαι μου.*

ὁ Θεος——ὁ των κρυπτων γνωστης. Susan. 42. *δεομαι σου. Exod. iv.* 10. *Conf.* 2 *Mac. vi.* 17. *τε——και. Sap. vii.* 16. *το ασεβες εθος. Sap. xiv.* 16. [*ζητημα· λογος ανθρωπων και διαλεξις επι πραγματος. Phav. apud. Schleusn.*] *μαλιστα. Gen. xlii.* 21. *Aq.*

4 Την *μεν ουν βιωσιν μου την εκ νεοτητος, την απ᾽ αρχης γενομενην εν τῳ εθνει μου εν* Ἱεροσολυμοις, *ισασι παντες οἱ* Ιουδαιοι,

δια της εννομου βιωσεως. Prol. Sir. Ps. xxxviii. 6. *Sym. Conf. Sap. xii.* 23. *αὑτη ἡ ὁδος σου εκ νεοτητος σου. Jer. xxii.* 21. *εγενομεθα ὡς το απ᾽ αρχης. Esa. lxiii.* 19. *Conf. Eccles. xii.* 1.

5 Προγινωσκοντες *με ανωθεν, (εαν θελωσι μαρτυρειν,) ὁτι κατα την ακριβεστατην αἱρεσιν της ἡμετερας θρησκειας εζησα* Φαρισαιος·

τῃ των Ιουδαιων χρωμενος θρησκειᾳ. 4 *Mac.* 5. *Jac. i.* 26, 27. ανωθεν. *Sap. xix.* 6. ζωσιν αδικως. *xiv.* 28. προγινωσκοντες. *vi.* 14. [ηρξαμην τε πολιτευεσθαι τῃ Φαρισαιων αἱρεσει κατακολουθων. *Jos. Vit.* § 2. της των Φαρισαιων αἱρεσεως, οἱ περι τα πατρια νομιμα δοκουσι των αλλων ακριβειᾳ διαφερειν. *Ib.* § 38. Φαρισαιοι, συνταγμα τι Ιουδαιων, δοκουν ευσεβεστερον ειναι των αλλων, και τους νομους ακριβεστερον αφηγεισθαι. *Bell. Jud. i.* 5. 2.] *Conf. Luc. xviii.* 10, 11. *Matt. iii.* 7. *xxiii.* 23-27.

6 Και νυν επ᾽ ελπιδι της προς τους πατερας επαγγελιας γενομενης ὑπο του Θεου ἑστηκα κρινομενος,

επι σοι ηλπισαν οἱ πατερες ἡμων. *Ps. xxi.* 4. ἱνα θωνται επι τον Θεον την ελπιδα αυτων. *lxx.* 7. ετι δε και ἡ σαρξ μου κατασκηνωσει επ᾽ ελπιδι. *xv.* 9. ὡς εν τῃ επαγγελια σου. *lv.* 8. *Conf.* 2 *Mac. vii.* 14. *Gen. iii.* 15. *xii.* 3. *Deut. xviii.* 15.

7 Εις ἡν το δωδεκαφυλον ἡμων εν εκτενειᾳ νυκτα και ἡμεραν λατρευον ελπιζει καταντησαι· περι ἡς ελπιδος εγκαλουμαι, βασιλευ Αγριππα, ὑπο των Ιουδαιων.

ταις δωδεκα φυλαις των υἱων Ισραηλ. *Ezech. xlvii.* 13. *Conf. Jac. i.* 1. εν εκτενιᾳ μεγαλῃ. *Judith. iv.* 9. 2 *Mac. xiv.* 38. οδυνας εν καρδιᾳ μου ἡμερας και νυκτος. *Ps. xii.* 2. *Alex. Ald. Comp.* και λατρευσετε τῳ Θεῳ εν τῳ ορει τουτῳ. *Exod. iii.* 12. εις ἑαυτον κατηντησε την αρχιερωσυνην. 2 *Mac. iv.* 24. και ουκ ενεκαλεσεν αυτῳ ανθρωπος. *Sir. xlvi.* 19. *Conf. Esd. vi.* 17. *viii.* 35. και παρ᾽ αυτου ταυτα παλιν ελπιζω κομισασθαι. 2 *Mac. vii.* 11. [καταντησας λαχων, κληρωσας. *Hesych.*]

8 Τι; απιστον κρινεται παρ᾽ ὑμιν, ει ὁ Θεος νεκρους εγειρει;

ει ζησεται τα οστεα ταυτα; κ. τ. λ. *Ezech. xxxvii.* 3. ὁ εγειρας νεκρον εκ θανατου. *Sir. xlviii.* 5. [ει, *quod*—θαυμαζειν ελεγεν, ει τουτους ἡγειται θεους. *Jos. Ant. ix.* 9. 2. *Conf. Krebs. p.* 95.] *Gen. xlv.* 28. [εργον απιστον. *Jos. Ant. vi.* 10. 2.]

9 Εγω μεν ουν εδοξα εμαυτῳ προς το ονομα Ιησου του Ναζωραιου δειν πολλα εναντια πραξαι·

Conf. 1 *Cor. xv.* 9. *Gal. i.* 13. 1 *Tim. i.* 13. *Phil. iii.* 6. εναντια εποιησεν εν μεσῳ του λαου μου. *Ezech. xviii.* 18. βουλευομενος εναντια. *Nah. i.* 11. *Prov. xiv.* 7. ου γαρ συνοιδα εμαυτῳ ατοπα πραξας. *Job. xxvii.* 6. Ιησου του Ναζωραιου. *Conf. Matt. ii.* 23.

10 Ὁ και εποιησα εν Ἱεροσολυμοις, και πολλους των ἁγιων εγω φυλακαις κατεκλεισα, την παρα των Αρχιερεων εξουσιαν λαβων· αναιρουμενων τε αυτων κατηνεγκα ψηφον.

εν ἡ (φυλακῃ) κατεκλεισεν αυτον ὁ βασιλευς. Jer. xxxix. 3. *φοβηθητε τον* Κυριον *παντες οἱ ἁγιοι αυτου. Ps. xxxiii.* 9. *εδωκεν αυτοις εξουσιαν των επ' αυτης. Sir. xvii.* 2. 1 *Mac. x.* 8. *εθετο ψηφισμα και κληρον αφανισαι αυτους. Est. ix.* 24. *Conf. Joan. xvi.* 2. [*ψηφον φερειν κατα τινος. Jos. Ant. ii.* 6. 9. *x.* 6. 2.] *Conf. Jer. xxxiii.* 8. *Cap. xxii.* 20.

11 Και *κατα πασας τας συναγωγας πολλακις τιμωρων αυτους, ηναγκαζον βλασφημειν· περισσως τε εμμαινομενος αυτοις, εδιωκον ἑως και εις τας εξω πολεις.*

τιμωρηθηναι το σωμα κατα μελος. 2 *Mac. vii.* 7. *και ἑτερον τον ἑτερον αναγαζοντες.* 1 *Esd. iv.* 6. *θηριον φοβερον περισσως. Dan. vii.* 7. 19. *περισσως σφοδρα. Esa. lvi.* 12. *εμμανεις. Sap. xiv.* 23. *Jer. xxxvi.* 26. *ἑως εις τον ουρανον.* 1 *Mac. ii.* 5. 8. *δι' ὑμας διαπαντος το ονομα μου βλασφημειται, κ. τ. λ. Esa. lii.* 5. *και εδιωξεν αυτους ἑως της πυλης.* 1 *Mac. v.* 22. *Conf. Eccles. ix.* 3.

12 Εν *οἱς και πορευομενος εις την Δαμασκον μετ' εξουσιας και επιτροπης της παρα των* Αρχιερεων,

Conf. cap. ix. 2. *xxii.* 6. *επιτροπη.* 2 *Mac. xiii.* 14.

13 Ἡ*μερας μεσης, κατα την ὁδον ειδον, βασιλευ, ουρανοθεν ὑπερ την λαμπροτητα του ἡλιου, περιλαμψαν με φως και τους συν εμοι πορευομενους.*

και ανεστη μεσης της νυκτος. 3 *Reg. iii.* 20. *ἑως μεσης ἡμερας.* 1 *Esd. ix.* 41. *ἡ λαμπροτης του στερεωματος. Dan. xii.* 3. *φως λαμψει εφ' ὑμας. Esa. ix.* 2. *ελαμψαν ὑπερ γαλα. Thren. iv.* 7. *ουρανοθεν.* 4 *Mac.* 4. *λειος ὑπερ ελαιον. Prov. v.* 3. *Sym. Theod. Conf. cap. ix.* 1-5. *κατα την ὁδον. Ezech. xlvi.* 2. 9.

14 Π*αντων δε καταπεσοντων ἡμων εις την γην, ηκουσα φωνην λαλουσαν προς με και λεγουσαν τῃ* Ἑ*βραϊδι διαλεκτῳ,* Σ*αουλ,* Σ*αουλ, τι με διωκεις; σκληρον σοι προς κεντρα λακτιζειν.*

επι την ὁμοιοπαθη κατεπεσον γην. Sap. vii. 3. *και ηκουσε την φωνην* Κυριου *λαλουντος. Num. vii.* 89. *Deut. iv.* 12. *μητι πτερνιει ανθρωπος* Θεον ; *Mal. iii.* 8. *εν τοις εργοις τοις σκληροις. Exod. i.* 14. *και επελακτισεν ὁ ηγαπημενος. Deut. xxxii.* 15. *Conf. cap. xxii.* 7, 8. Σ*αμουηλ,* Σ*αμουηλ.* 1 *Reg. iii.* 4. Σ*αουλ. ix. pass.*

15 Εγω *δε ειπον,* Τ*ις ει,* Κυριε ; Ὁ *δε ειπεν,* Εγω *ειμι* Ιη*σους, ὁν συ διωκεις.*

16 Α*λλα αναστηθι, και στηθι επι τους ποδας σου· εις τουτο*

γαρ ωφθην σοι, προχειρισασθαι σε ὑπηρετην και μαρτυρα ὡν τε ειδες, ὡν τε οφθησομαι σοι,

αναστηθι και πορευθητι, κ. τ. λ. Jon. i. 2. στηθι επι τους ποδας σου. Ezech. ii. 1. και ωφθη Κυριος τῳ Ἀβραμ, και ειπεν αυτῳ. Gen. xvii. 1. και οφθησεται ἡ δοξα Κυριου. Esa. xl. 5. προχειρισασθε ὑμιν δωδεκα ανδρας. Jos. iii. 12. ὑπηρετης. Sap. vi. 4. αδολως τε εμαθον, αφθονως τε μεταδιδωμι. vii. 13. Conf. cap. xxii. 10. 14. ἡγιακα σε, προφητην εις εθνη τεθεικα σε, κ. τ. λ. Jer. i. 5. και γνωσονται ὁτι προφητης ει συ εν μεσῳ αυτων. Ezech. ii. 5. Conf. Sophon. iii. 8. [προκεχειρισμενον· ἡτοιμασμενον. Hesych.]

17 Εξαιρουμενος σε, εκ του λαου και των εθνων, εις οὑς νυν σε αποστελλω,

μη φοβηθῃς απο προσωπου αυτων, ὁτι μετα σου εγω ειμι του εξαιρεισθαι σε, λεγει Κυριος. Jer. i. 8. και εξελου ἡμας εκ των εθνων. 1 Par. xvi. 35. Conf. Job. xxxvi. 21. Esa. xlviii. 10. xlix. 7. εξαποστελλω εγω σε προς αυτους. Ezech. ii. 3. Mal. iv. 5. Conf. 2 Cor. xii. 2. Ps. xxxvi. 32, 33. ἑκαστῳ εθνει κατεστησεν ἡγουμενον, και μερις Κυριου Ισραηλ εστι. Sir. xvii. 17. Conf. cap. vii. 10.

18 Ανοιξαι οφθαλμους αυτων, του επιστρεψαι απο σκοτους εις φως και της εξουσιας του Σατανα επι τον Θεον, του λαβειν αυτους αφεσιν ἁμαρτιων, και κληρον εν τοις ἡγιασμενοις, πιστει τῃ εις εμε.

διανοιχθησονται ὑμιν οἱ οφθαλμοι. Gen. iii. 5. Esa. xxxv. 5. xlii. 7. επιστραφητε επ᾽ εμε και σωθησεσθε. Esa. xlv. 22. και πολλους επεστρεψεν απο αδικιας. Mal. ii. 6. εκ φωτος εις σκοτος. Job. xviii. 18. ποιησω αυτοις το σκοτος εις φως. Esa. xlii. 16. Σαταν. Job. i. 6. Aq. Sir. xxi. 27. και συ ὁ Θεος αφιων ἁμαρτιας. Neh. ix. 17. Ald. Comp. παντες οἱ ἡγιασμενοι. Deut. xxxiii. 3. ευσεβεια εις Θεον. Prov. i. 7. ουκ εστι—μερις και κληρος εν τοις αδελφοις αυτων. Deut. x. 9. και δωσω σοι γην—κληρονομιαν Θεου. Jer. iii. 19. και κληρος εν ναῳ Κυριου θυμηρεστερος. Sap. iii. 14. Ephes. i. 11. Col. i. 14. 1 Pet. i. 4. μακαριοι ὡν αφεθησαν αἱ ανομιαι, και ὡν επεκαλυφθησαν αἱ ἁμαρτιαι. Ps. xxxi. 1. ὁ πιστευων εν αυτῳ ου μη καταισχυνθῃ. Esa. xxviii. 16. Alex. και αναστησῃ εις τον κληρον σου εις συντελειαν ἡμερων. Dan. xii. 13. και οὑτοι λαος σου και κληρος σου. Deut. ix. 29.

19 Ὁθεν, βασιλευ Αγριππα, ουκ εγενομην απειθης τῃ ουρανιῳ οπτασιᾳ,

και ιδον εγω Δανιηλ μονος την οπτασιαν. Dan. x. 7. καρδια

απειθης. *Zach. vii.* 12. *Esa. xxx.* 9. ὁθεν. *Sap. xii.* 23. *Epist. Jer.* 64. ἡ παιδεια Κυριου ανοιγει μου τα ωτα· εγω δε ουκ απειθω. *Esa. l.* 5. την εξουσιαν την ουρανιον. *Dan. iv.* 23.

20 Αλλα τοις εν Δαμασκῳ πρωτον και Ἱεροσολυμοις, εις πασαν τε την χωραν της Ιουδαιας, και τοις εθνεσιν, απαγγελλων μετανοειν και επιστρεφειν επι τον Θεον, αξια της μετανοιας εργα πρασσοντας.

και ειδεν ὁ Θεος τα εργα αυτων, ὁτι απεστρεψαν απο των ὁδων, κ. τ. λ. *Jon. iii.* 10. και απαγγελλων εις ανθρωπους τον χριστον αυτου. *Amos. iv.* 13. επιστρεφε επι Κυριον. *Sir. xvii.* 25. *Conf. Ezech. xviii.* 27. εργα της δικαιοσυνης. *Esa. xxxii.* 17. ματανοησατε οἱ πεπλανημενοι, επιστρεψατε τῃ καρδιᾳ. *xlvi.* 8. εργα ανομιας. *lix.* 6. *Conf. cap. xvii.* 20. *Matt. iii.* 2-8. *Marc. vi.* 12. απολιπετω ὁ ασεβης τας ὁδους αυτου, και ανηρ ανομος τας βουλας αυτου, και επιστραφητω επι Κυριον, και ελεηθησεται, κ. τ. λ. *Esa. lv.* 7. ποιησατε ουν καρπον αξιον της μετανοιας. *Matt. iii.* 8. αξια σου. 1 *Mac. x.* 64. *Sap. iii.* 5.

21 Ἑνεκα τουτων με οἱ Ιουδαιοι συλλαβομενοι εν τῳ ἱερῳ, επειρωντο διαχειρισασθαι.

ει γαρ οφελον δυναιμην εμαυτον χειρωσασθαι. [διαχειρωσασθαι. *Ald. Comp.*] [φονευειν. *Hesych.*] *Job. xxx.* 24. συλλαβομενοι. *Jud. vii.* 25. *Jos. viii.* 23. και εζητει ανελειν Μωυσην. *Exod. ii.* 15.

22 Επικουριας ουν τυχων της παρα του Θεου, αχρι της ἡμερας ταυτης ἑστηκα, μαρτυρουμενος μικρῳ τε και μεγαλῳ, ουδεν εκτος λεγων ὡν τε οἱ προφηται ελαλησαν μελλοντων γινεσθαι, και Μωσης,

αντιληψεως τευξασθαι παρα του Κυριου. 2 *Mac. xv.* 7. εαν ευκαιριας τυχω. 1 *Mac. xi.* 42. επικουρια. *Sap. xiii.* 18. δεομαι δε ταφης, και ου τυγχανω. *Job. xvii.* 1. ἑως της ἡμερας ταυτης. *Jos. xxiii.* 8. *Jud. i.* 26. *et pass.* ἑως ενταυθα εβοηθησεν ἡμιν Κυριος. 1 *Reg. vii.* 12. απο μικρου και ἑως του μεγαλου. 4 *Reg. xxiii.* 2. *Ps. cxiii.* 13. και ἑτεροις εκτος τουτων. *Dan. xi.* 4. μελλοντες ουν αγειν τον καθαρισμον. 2 *Mac. ii.* 16. του νομου και των προφητων. *Prol. Sir. Conf. Luc. xxiv.* 27. *Joan. v.* 46.

23 Ει παθητος ὁ Χριστος, ει πρωτος εξ αναστασεως νεκρων φως μελλει καταγγελλειν τῳ λαῳ και τοις εθνεσι.

ει, *quod. Gen. xlv.* 28. και εδωκα σε εις διαθηκην γενους, εις φως εθνων. *Esa. xlii.* 6. καταγγελων. *Ps. ii.* 7. *Edit. vi. Sophon. iii.* 8.

liii. 3. *et passim.* *Conf.* 1 *Cor. xv.* 20. *Col. i.* 18. *Apoc. i.* 5. *Luc. xxiv.* 27. ἡμεις γαρ δια τας ἑαυτων ἁμαρτιας πασχομεν. 2 *Mac. vii.* 32. [παθητος. *Philo. de legg. p.* 805. *Loesner.*]

24 Ταυτα δε αυτου απολογουμενου, ὁ Φηστος μεγαλῃ τῃ φωνῃ εφη, Μαινῃ, Παυλε· τα πολλα σε γραμματα εις μανιαν περιτρεπει.

η γαρ ευφραινομενοι μεμηνασιν, η προφητευουσι ψευδη. *Sap. xiv.* 28. διδαξαι αυτους γραμματα και γλωσσαν Χαλδαιων. *Dan. i.* 4. ἡ κακοπραγια περιτρεψει θρονους δυναστων. *Sap. v.* 24. *Conf.* 1 *Cor. i.* 23. *Joan. x.* 20. τι ὁτι εισηλθεν ὁ επιληπτος οὑτος; 4 *Reg. ix.* 11. *Conf. Marc. iii.* 21. *Joan. x.* 20. *Act. xvii.* 18. 1 *Cor. iv.* 10. παντι ανθρωπῳ προφητευοντι, και παντι ανθρωπῳ μαινομενῳ. *Jer. xxxvi.* 26. [ισως δ' αν τις ειποι—μη αρα παραπαιεις και μεμηνας; ου μεμηνα ω οὑτος, ουδ' ηλιθιος τις ειμι. *Philo in Flacc. p.* 966.] *Conf.* 2 *Cor. v.* 13.

25 Ὁ δε, Ου μαινομαι, φησι, κρατιστε Φηστε, αλλ' αληθειας και σωφροσυνης ῥηματα αποφθεγγομαι.

του αναγγειλαι ῥηματα αληθειας. *Judith. x.* 13. και τους αποφθεγγομενους ματαια. *Ezech. xiii.* 9. [μανια αντικειται σωφροσυνῃ. *Phav.*] κρατιστε. *Conf. cap. xxiii.* 26.

26 Επισταται γαρ περι τουτων ὁ βασιλευς, προς ὁν και παρῥησιαζομενος λαλω. λανθανειν γαρ αυτον τι τουτων ου πειθομαι ουδεν. ου γαρ εστιν εν γωνιᾳ πεπραγμενον τουτο.

παρῥησιαζομενος. *Job. xxii.* 26. και ελαθεν αυτον. *Lev. v.* 3. εν τῃ γωνιᾳ παραδεισου. *Susan.* 38. εν κρυπτῳ. *Joan. xviii.* 20. *Conf. Esa. xl.* 5. ουκ εν κρυφῃ λελαληκα, ουδε εν τοπῳ γης σκοτεινῳ. *xlv.* 19. [πειθομαι. *Conf. Jos. Ant. viii.* 6. 5.]

27 Πιστευεις, βασιλευ Αγριππα, τοις προφηταις; οιδα ὁτι πιστευεις.

ὁ πιστευων νομῳ προσεχει εντολαις. *Sir. xxxv.* 24. εαν μη πιστευσητε, ουδε μη συνητε. *Esa. vii.* 9. *Conf.* 2 *Par. xx.* 20.

28 Ὁ δε Αγριππας προς τον Παυλον εφη, Εν ολιγῳ με πειθεις Χριστιανονγενεσθαι.

εν ολιγῳ. *Conf. Prov. v.* 14. παρ' ολιγον. *Aq. Ps. lxxi.* 2. ὡς ολιγον. [εις ετι νυν των Χριστιανων απο τουδε (Χριστου) ωνομασμενων. *Jos. Ant. xviii.* 3. 3. *Act. Thom.* § 22.] *Conf. cap. xi.* 26.

29 Ὁ δε Παυλος ειπεν, Ευξαιμην αν τῳ Θεῳ, και εν ολιγῳ

και εν πολλῳ, ου μονον σε αλλα και παντας τους ακουοντας μου σημερον γενεσθαι τοιουτους ὁποιος καγω ειμι, παρεκτος των δεσμων τουτων.

εν τῳ τοπῳ ᾡ ὑμεις βουλεσθε (ειχεσθε. *Ald.*) εισελθειν. *Jer. xlix.* 22. εκτισθη οἱος Ενωχ τοιουτος επι της γης. *Sir. xlix.* 14. ου μονον—αλλα και. *Prol. Sir.* παρεκτος. *Deut. i.* 36. *Aq. Sturz. p.* 210.] ὁποιος. *Jud. ix.* 2. *alii.* αυτοι ευχονται ταις ψυχαις αυτων. *Jer. xxii.* 27. οφελον ὁ κυριος μου ενωπιον του προφητου του Θεου του εν Σαμαρειᾳ, κ. τ. λ. 4 *Reg. v.* 3. *Conf. Num. xi.* 29. *Ephes. vi.* 20. [ευχομαι κ. τ. λ. ηγουν, ευχην προς αυτον ὑπερ τινος ποιουμαι. *Thom. Mag.*]

30 *Και ταυτα ειποντος αυτου, ανεστη ὁ βασιλευς και ὁ ἡγεμων, ἡ τε Βερνικη, και οἱ συγκαθημενοι αυτοις.*

και εγενετο—συνεκαθισε Μωυσες κρινειν τον λαον. *Exod. xviii.* 13.

31 *Και αναχωρησαντες ελαλουν προς αλληλους, λεγοντες, ὁτι, Ουδεν θανατου αξιον η δεσμων πρασσει ὁ ανθρωπος οὑτος.*

ελαλησε, λεγων. *Gen. xlii.* 22. ὁτι. *Conf. Gen. xxix.* 33. *Jos. ii.* 24. εσομαι αξιος θρονων πατρος μου. *Sap. ix.* 12. αξιοι μεν γαρ εκεινοι στερηθηναι φωτος. *xviii.* 4. *Conf. Luc. xxiii.* 22.

32 *Αγριππας δε τῳ Φηστῳ εφη, Απολελυσθαι εδυνατο ὁ ανθρωπος οὑτος, ει μη επεκεκλητο Καισαρα.*

απελυσαν αυτον ἑνεκα της των αδελφων σωτηριας. 2 *Mac. xii.* 25. *iv.* 47. εις κολπους επερχεται παντα τοις αδικοις, παρα δε Κυριου παντα τα δικαια. *Prov. xvi.* 33. *Ps. xxxii.* 10.

ΚΕΦ. κζ. 27.

ΩΣ δε εκριθη του αποπλειν ἡμας εις την Ιταλιαν, παρεδιδουν τον τε Παυλον και τινας ἑτερους δεσμωτας ἑκατονταρχῃ, ονοματι Ιουλιῳ, σπειρης Σεβαστης.

ὡς εκριθη σοι. 1 *Esd. viii.* 94. 3 *Mac. i.* 6. 1 *Cor. ii.* 2. επιφανεισης δε της Ιουδα σπειρας πρωτης. 2 *Mac. xii.* 22. και εβουλευσατο του πορευθηναι εις την Περσιδα. 1 *Mac. iii.* 31. δεσμωτας. *Gen. xxxix.* 20. *Conf. Mac. xxv.* 12. [ἱππεων Σεβαστηνων. *Jos. Bell. Jud. ii.* 12. 5. *i.* 2. 2. *Ant. xx.* 6. 1. *xx.* 8. 7.]

2 *Επιβαντες δε πλοιῳ Αδραμυττηνῳ, μελλοντες πλειν τους κατα την Ασιαν τοπους, ανηχθημεν, οντος συν ἡμιν Αρισταρχου Μακεδονος Θεσσαλονικεως.*

και εμβας εις πλοιον. 1 *Mac. xv.* 37. *Jon. i.* 3. *Conf.* 2 *Cor. xi.* 25. Αρισταρχος. *Cap. xix.* 29. *Col. iv.* 10. *Philem.* 24.

3 Τῃ τε ἑτερᾳ κατηχθημεν εις Σιδωνα· φιλανθρωπως τε ὁ Ιουλιος τῳ Παυλῳ χρησαμενος, επετρεψε προς φιλους πορευθεντα επιμελειας τυχειν.

επιεικως και φιλανθρωπως. 2 *Mac. ix.* 27. [*εις Βρεντησιον καταγεται.* *Jos. Ant. xiv.* 14. 3.] *και εχρησατο αυτῃ καλως.* *Est. ii.* 9. *Gen. xii.* 16. *μη ειπῃς, Ὁν τροπον εχρησατο μοι, χρησομαι αυτῳ.* *Prov. xxiv.* 29. *γενεσθαι προς την των ιδιων επιμελειαν.* 2 *Mac. xi.* 23. 1 *Mac. xvi.* 14. *τυχειν ειρηνης.* 2 *Mac. iv.* 6.

4 Κακειθεν αναχθεντες ὑπεπλευσαμεν την Κυπρον, δια το τους ανεμους ειναι εναντιους.

5 Το τε πελαγος το κατα την Κιλικιαν και Παμφυλιαν διαπλευσαντες, κατηλθομεν εις Μυρα της Λυκιας.

πελαγος. 2 *Mac. v.* 21. *Conf. Loesner.*

6 Κακει εὑρων ὁ ἑκατονταρχος πλοιον Αλεξανδρινον πλεον εις την Ιταλιαν, ενεβιβασεν ἡμας εις αυτο.

7 Εν ἱκαναις δε ἡμεραις βραδυπλοουντες, και μολις γενομενοι κατα την Κνιδον, μη προσεωντος ἡμας του ανεμου, ὑπεπλευσαμεν την Κρητην κατα Σαλμωνην·

διελθοντων δε ετων ἱκανων. 2 *Mac. i.* 20. *ουκ εᾳ γαρ με αναπνευσαι.* *Job. ix.* 18. 1 *Mac. xv.* 14. [*αναχθεις ουν εκειθεν επι Παμφυλιας, και χειμωνι σφοδρῳ περιπεσων, μολις εις Ῥοδον διασωζεται, φορτιων αποβολης γενομενης.* *Jos. Ant. xiv.* 14. 3.] *ὁ εξαγων ανεμους εκ θησαυρων αυτου.* *Ps. cxxxiv.* 7.

8 Μολις τε παραλεγομενοι αυτην, ηλθομεν εις τοπον τινα καλουμενον Καλους λιμενας, ᾧ εγγυς ην πολις Λασαια.

μολις. *Prov. xi.* 31. *Sir. xxvi.* 29. *Conf. Gen. xxii.* 14.

9 Ἱκανου δε χρονου διαγενομενου, και οντος ηδη επισφαλους του πλοος, δια το και την νηστειαν ηδη παρεληλυθεναι, παρῃνει ὁ Παυλος

επισφαλως βεβηκοτα ὑπο ανεμου σαλευθησεται. *Sap. iv.* 4. *πλουν τις παλιν στελλομενος, και αγρια μελλων διοδευειν κυματα, κ.τ.λ.* *xiv.* 1. *επει δε παρηλθον αἱ ἡμεραι του πενθους.* *Gen. l.* 4. *πολλα δε αυτου παραινεσαντος* 2. *Mac. vii.* 25, 26. [*τις δε την λεγομενην Νηστειαν ου τεθηπε και προσκυνει, και μαλιστα δ' ετους αγομενην, της ἱερομηνιας αυτηροτρεον και σεμνοτερον τροπον.* *Philo de*

Vit. Mos. 2. *p.* 657.] νηστεια. *Conf. Lev. xvi.* 29. *xxiii.* 27-29. *Num. xxix.* 7.

10 Λεγων αυτοις, Ανδρες, θεωρω ὁτι μετα ὑβρεως και πολλης ζημιας ου μονον του φορτου και του πλοιου, αλλα και των ψυχων ἡμων μελλειν εσεσθαι τον πλουν.

εις ζημιαν του βιου. *Esd. vii.* 26. το μελλον εσεσθαι. *Eccles. i.* 9. *Sym. Jer. xxviii.* 42. [φορτιον, *onus navis. Jos. Ant. xiv.* 14. 3. το τε καυμα και την απο των ομβρων ὑβριν απομαχομεναι. *iii.* 6. 4.] θεωρων δε ὁτι. 2 *Mac. ix.* 23.

11 Ὁ δε ἑκατονταρχος τῳ κυβερνητῃ και τῳ ναυκληρῳ επειθετο μαλλον η τοις ὑπο του Παυλου λεγομενοις.

πολυ μαλλον ἡ τουτο. *Num. xiv.* 12. *Deut. ix.* 14. [ναυκληρος· ὁ δεσποτης του πλοιου. *Hesych. Jos. Ant. ix.* 10. 2.] μη πεισθῃς αυτῳ. *Prov. xxvi.* 25. *Alex. Comp.*

12 Ανευθετου δε του λιμενος ὑπαρχοντος προς παραχειμασιαν, οἱ πλειους εθεντο βουλην αναχθηναι κακειθεν, ειπως δυναιντο καταντησαντες εις Φοινικα παραχειμασαι, λιμενα της Κρητης βλεποντα κατα Λιβα και κατα Χωρον.

και ωδηγησεν αυτους επι λιμενα θεληματος αυτων. *Ps. cvi.* 30. καιρῳ ευθετῳ. *xxxi.* 6. [ανευθετου· αχρηστου. *Hesych.*] ὁτι πλειους οἱ μεθ' ἡμων ὑπερ τους μεθ' αυτων. 4 *Reg. vi.* 16. θεσθε ὑμιν αυτοις βουλην επ' αυτην. *Jud. xix.* 30. ειπως. 2 *Reg. xvi.* 12. πυλη βλεπουσα προς Νοτον. *Ezech. xl.* 24. *Conf. Gen. xiii.* 14. *Exod. ii.* 9. [Χωρος. *Lat. Corus. Caurus.*]

13 Ὑποπνευσαντος δε Νοτου, δοξαντες της προθεσεως κεκρατηκεναι, αραντες ασσον παρελεγοντο την Κρητην.

την του βασιλεως προθεσιν επιτελεσων. 2 *Mac. iii.* 8. οἱ δε πανουργοι κρατησουσιν αισθησεως. *Prov. xiv.* 18. [ασσον ακολουθειν, *proxime sequi. Jos. Ant. i.* 20. 1. ιεναι ασσον αυτων. *xix.* 2. 4.] [ασσον· το εγγυς και πλησιον. *Hesych.*] απηρε Νοτον εξ ουρανου, και επηγαγεν εν τῃ δυναστειᾳ αυτου Λιβα. *Ps. lxxvii.* 26. [αραντες εκειθεν, εις Ηλιν αφικνουνται. *Jos. Ant. iii.* 1. 3. αρας μετα πασης της στρατιας ἡκεν εις Σαμαρειαν. *xi.* 11. 1. *Conf. Gen. xi.* 2. τους μεν προυπεμπε, τους δε λειπομενους ασσον εκελευεν ακολουθειν. *Jos. Ant. i.* 20. 1. *Krebs.*] αραντες (*sc.* αγκυρας). *Bos. p.* 9.

14 Μετ' ου πολυ δε εβαλε κατ' αυτης ανεμος τυφωνικος, ὁ καλουμενος Ευροκλυδων.

μετ' ου πολυν δε χρονον. 2 *Mac. vi.* 1. πνευμα καταιγιδος. *Ps.*

cxlviii. 8. —ανεμος τυφωνος. *alii.* εβαλε (ἑαυτον). *Ita,* μεταβαλει (ἑαυτον) εις αἱμα. *Exod. vii.* 17. [Ευρακυλων. *Cod. Alex. Euroaquilo. Vulg.*] *Conf. Jon. i.* 3-5. *Ps. xlvii.* 7. *cvi.* 25-27.

15 Συναρπασθεντος δε του πλοιου, και μη δυναμενου αντοφθαλμειν τῳ ανεμῳ, επιδοντες εφερομεθα.

συναρπασαντες. 2 *Mac. iii.* 27. *iv.* 41. ὁ δε αντοφθαλμων ἡδοναις στεφανοι την ζωην αυτου. *Sir. xix.* 5. [αντοφθαλμειν· αντιβλεπειν. *Gloss. N. T. Alberti.*] *Sap. xii.* 14. ὑδωρ βιαιως ανεμῳ φερομενον. *Jer. xviii.* 14. καταιγις φερομενη. *Esa. xxviii.* 18. [εκδοντες αστατοις και τυχηροις πνευμασιν ἑαυτους. *Philo p.* 285. νεως τροπον αντιστατουντων βιαιως πνευματων ὡδε κακεισε φερεσθαι. *p.* 410. ὑπο συρμου δινης βιαιοτατης ἁρπασθεισαι. *Ib.*]

16 Νησιον δε τι ὑποδραμοντες καλουμενον Κλαυδην, μολις ισχυσαμεν περικρατεις γενεσθαι της σκαφης·

εκεινου μεν ουκ ηδυνηθημεν εγκρατεις (περικρατεις. *Alex.*) γενεσθαι. *Susan.* 39. 4 *Mac.* 1. περικρατει των παθων ὁ λογισμος.

17 Ἡν αραντες, βοηθειαις εχρωντο, ὑποζωννυντες το πλοιον· φοβουμενοι τε μη εις την συρτιν εκπεσωσι, χαλασαντες το σκευος, οὑτως εφεροντο.

βοηθεια. *Sir. xl.* 24. [ζωμευματα· ὑποζωματα, σχοινια, κατα μεσον, την ναυν δεσμευομενα. *Hesych.*] εξαιρουμενος εξελειται ἡμας ὁ Κυριος. 4 *Reg. xviii.* 29, 30. *Ald. Comp.* εχαλασαν αυτον εις τον λακκον. *Jer. xlv.* 6. [αἱ φοβεραι, και τοις ακουσουσι, συρτεις. *Jos. Bell. Jud. ii.* 16. 4. χειμασθεισωντων νεων. *Ant. xii.* 3. 3.]

18 Σφοδρως δε χειμαζομενων ἡμων, τῃ ἑξης εκβολην εποιουντο·

και εκβολην εποιησαντο των σκευων των εν τῳ πλοιῳ του κουφισθηναι απ᾽ αυτων. *Jon. i.* 5. προσεχε σφοδρως. *Sir. xiii.* 13. [και τῃ ἑξης ερρηθη προς ἡμας. *Test. XII Patr. p.* 595.]

19 Και τῃ τριτῃ αυτοχειρες την σκευην του πλοιου ερριψαμεν·

εχθες και τριτην. *Jos. xx.* 5. *et pass.* πληρης ἱματιων και σκευων ὡν ερριψε Συρια. 4 *Reg. vii.* 15. *Conf. Job. ii.* 4.

20 Μητε δε ἡλιου, μητε αστρων επιφαινοντων επι πλειονας ἡμερας, χειμωνος τε ουκ ολιγου επικειμενου, λοιπον περιῃρειτο πασα ελπις του σωζεσθαι ἡμας.

και εγενετο μεθ᾽ ἡμερας πλειους. *Jos. xxiii.* 1. και σκηπτρον Αιγυπτου περιαιρεθησεται. *Zach. x.* 11. *Sophon. iii.* 15. και πασης εστερημενος ελπιδος και σωτηριας. 2 *Mac. iii.* 29. χειμων ὑετων. *Job. xxxvii.* 6. *Lev. xxvi.* 4. *alii.* *Conf. Jon. i.* 4-14.

21 Πολλης δε ασιτιας ὑπαρχουσης, τοτε σταθεις ὁ Παυλος εν μεσῳ αυτων ειπεν, Εδει μεν, ω ανδρες, πειθαρχησαντας μοι μη αναγεσθαι απο της Κρητης, κερδησαι τε την ὑβριν ταυτην και την ζημιαν.

εκλελυμεθα ασιτουντες σημερον. 1 *Mac. iii.* 17. [ασιτια. *Jos. Ant. xii.* 7. 1.] πειθαρχουσι τῳ νομῳ. 1 *Esd. viii.* 96. *Alex. Ald.* ω ανδρες. 1 *Esd. iii.* 24. [και το γε μιανθηναι τας χειρας αυτους κερδαινειν. *fratricidii crimen evitare. Jos. Ant. ii.* 3, 2. εξ ἡς, ονειδος και κακοδοξιαν ὁ οικος ἡμων κερδανει. *vii.* 8. 1.]

22 Και τανυν παραινω ὑμας ευθυμειν· αποβολη γαρ ψυχης ουδεμια εσται εξ ὑμων, πλην του πλοιου.

πλην του πλοιου. *Conf. Luc. xxiii.* 28. παρηνει. 2 *Mac. vii.* 25. ευθυμειν. *Prov. xv.* 15. *Sym.* [παιδων αποβολη. *Jos. Ant. ii.* 6. 9. φορτιων αποβολη. *Id. xiv.* 14. 3. *Conf. Krebs.*]

23 Παρεστη γαρ μοι τῃ νυκτι ταυτῃ αγγελος του Θεου, οὑ ειμι, ᾡ και λατρευω,

ὁ Θεος μου απεστειλε τον αγγελον αυτου. *Dan. vi.* 22. και παρεστη τῳ προσωπῳ αυτου. 4 *Reg. viii.* 10. [παραστηναι σοι την φαντασιαν. *Philo de Jos. p.* 540.] *Conf. Rom. i.* 9. 2 *Tim. i.* 3. παρεμβαλει αγγελος Κυριου κυκλῳ των φοβουμενων αυτον, και ῥυσεται αυτους. *Ps. xxxiii.* 7. Κυριον τον Θεον σου φοβηθησῃ, και αυτῳ μονῳ λατρευσεις. *Deut. vi.* 13.

24 Λεγων, Μη φοβου, Παυλε, Καισαρι σε δει παραστηναι· και ιδου, κεχαρισται σοι ὁ Θεος παντας τους πλεοντας μετα σου.

μη φοβου, μετα σου κ. τ. λ. *Esa. xli.* 10. 13. *Jer. i.* 8. και το ζην χαρισασθαι. 2 *Mac. iii.* 31. και ανεβη εις αυτο, του πλευσαι μετ' αυτων κ. τ. λ. *Jon. i.* 3. ου μη απολεσω ἑνεκεν των δεκα. *Gen. xviii.* 32. *xxx.* 27. *Esa. lviii.* 11. *Jac. v.* 17, 18.

25 Διο ευθυμειτε, ανδρες· πιστευω γαρ τῳ Θεῳ ὁτι οὑτως εσται καθ' ὁν τροπον λελαληται μοι.

ουκ επιστευσαν εν τῳ Θεῳ. *Ps. lxxvii.* 22. πιστευω του ιδειν τα αγαθα Κυριου. *xxvi.* 13. ευθυμειτε. *Prov. xv.* 15. *Sym. Conf. Luc. i.* 45. *Rom. iv.* 20. *Joan. iv.* 50. 2 *Tim. i.* 12. εγω Κυριος ελαλησα, και ποιησω. *Ezech. xxxvi.* 36. εμπιστευσατε εν Κυριῳ Θεῳ ἡμων, και εμπιστευθησεσθε· εμπιστευσατε εν προφητῃ αυτου, και ευοδωθησεσθε. 2 *Par. xx.* 20. καθ' ὁν τροπον. 2 *Mac. xii.* 39.

26 Εις νησον δε τινα δει ἡμας εκπεσειν.

Conf. Judith. ix. 5, 6. *Esa. xlii.* 12. *xliv.* 7. *Matt. x.* 29.

27 Ὡς δε τεσσαρεσκαιδεκατη νυξ εγενετο, διαφερομενων ἡμων εν τῳ Αδριᾳ, κατα μεσον της νυκτος ὑπενοουν οἱ ναυται προσαγειν τινα αὑτοις χωραν·

ἡ τεσσαρεσκαιδεκατη ἡμερα. *Exod. xii.* 18. καταιγις φερομενη. *Esa. xxviii.* 18. *xxix.* 6. [Ιονιον πελαγος, ὁ νυν Αδριας. *Hesych.*] εγενηθη δε μεσουσης της νυκτος. *Exod. xii.* 29. ουκ εγενετο μοι καθως ὑπενοουν. *Tob. viii.* 16.

28 Και βολισαντες εὑρον οργυιας εικοσι· βραχυ δε διαστησαντες, και παλιν βολισαντες, εὑρον οργυιας δεκαπεντε·

βραχυ τι. 2 *Reg. xvi.* 1. διαστησαντες. *Sir. xxviii.* 14. [οργυια· ἡ των αμφοτερων χειρων εκτασις. *Hesych.*]

29 Φοβουμενοι τε μηπως εις τραχεις τοπους εκπεσωσιν, εκ πρυμνης ῥιψαντες αγκυρας τεσσαρας, ηυχοντο ἡμεραν γενεσθαι.

ᾧ ὑμεις βουλεσθε (ειχεσθε. *Ald.*) εισελθειν κατοικειν εκει. *Jer. xlix.* 22. αποστρεψον τον ποδα σου απο ὁδου τραχειας. *Jer. ii.* 25. *Esa. xl.* 4. το πρωϊ ερεις, Πως αν γενοιτο ἑσπερα; και το ἑσπερας ερεις, Πως αν γενοιτο πρωϊ; κ. τ. λ. *Deut. xxviii.* 67.

30 Των δε ναυτων ζητουντων φυγειν εκ του πλοιου, και χαλασαντων την σκαφην εις την θαλασσαν, προφασει ὡς εκ πρωρας μελλοντων αγκυρας εκτεινειν,

εμβηναι εις τα σκαφη. 2 *Mac. xii.* 3. 6. προφασεις ζητει. *Prov. xviii.* 1. προφασεις ψευδεις. *Ose. x.* 4.

31 Ειπεν ὁ Παυλος τῳ ἑκατονταρχῃ και τοις στρατιωταις, Εαν μη οὑτοι μεινωσιν εν τῳ πλοιῳ, ὑμεις σωθηναι ου δυνασθε.

σπευσον ουν του σωθηναι εκει· ου γαρ δυνησομαι ποιησαι πραγμα, ἑως του ελθειν σε εκει. *Gen. xix.* 22. *xxxii.* 16. *Ps. cxxvi.* 1. *Jon. iii.* 10. και λογιουμαι εφ᾽ ὑμας λογισμον ειρηνης, και ου κακα, του δουναι ὑμιν ταυτα. *Jer. xxix.* 11.

32 Τοτε οἱ στρατιωται απεκοψαν τα σχοινια της σκαφης, και ειασαν αυτην εκπεσειν.

33 Αχρι δε οὑ εμελλεν ἡμερα γινεσθαι, παρεκαλει ὁ Παυλος ἁπαντας μεταλαβειν τροφης, λεγων, Τεσσαρεσκαιδεκατην σημερον ἡμεραν προσδοκωντες, ασιτοι διατελειτε, μηδεν προσλαβομενοι.

αχρι οὑ (*scil.* χρονου). *Job. xxxiii.* 11. απειθουντες διατελειτε. *Deut. ix.* 7. *Jer. xx.* 7. ἁ μελλει γινεσθαι. *Esa. xlviii.* 6. την χορτωδη τροφην σιτουμενοι διατελουν. 2 *Mac. v.* 27. *Conf.* 1 *Reg. xiv.* 28, 29. *Matt. xi.* 18. *Job. xxiv.* 6. ασιτοι. *Conf. Est. iv.* 16.

34 *Διο παρακαλω ὑμας προσλαβειν τροφης· τουτο γαρ προς της ὑμετερας σωτηριας ὑπαρχει· ουδενος γαρ ὑμων θριξ εκ της κεφαλης πεσειται.*

ἑως ποτε ὑπαρχουσιν εν σοι διαλογισμοι; *Jer. iv.* 14. *ὑμας ω ανθρωποι παρακαλω.* *Prov. viii.* 4. *Esa. vii.* 7. *ζῃ* Κυριος, *ει πεσειται απο της τριχος του υἱου σου επι την γην.* 2 *Reg. xiv.* 11. 1 *Reg. xiv.* 45. 3 *Reg. i.* 52. *Conf. Matt. x.* 30. *Luc. xii.* 7. *xxi.* 18. 1 *Tim. iv.* 3. *σωτηρια.* *Conf. Exod. xiv.* 13. 2 *Par. xx.* 17.

35 Ειπων *δε ταυτα, και λαβων αρτον, ευχαριστησε τῳ* Θεῳ *ενωπιον παντων, και κλασας ηρξατο εσθιειν.*

και ληψομαι αρτον. *Gen. xviii.* 5. *Conf. Matt. xv.* 36. *xxvi.* 27. *ενωπιον παντος του λαου.* 2 *Reg. iii.* 36. *Comp. ου μη κλασθῃ αρτος.* *Jer. xvi.* 7. *εκ μεγαλων κινδυνων ὑπο του* Θεου *σεσωσμενοι, μεγαλως ευχαριστουμεν αυτῳ.* 2 *Mac. i.* 11. *Conf.* 1 *Reg. ix.* 13. *Joan. vi.* 11. *ηρξατο εσθιειν.* = *Gen. vi.* 1. *Deut. i.* 5.

36 Ευθυμοι *δε γενομενοι παντες, και αυτοι προσελαβοντο τροφης·*

ευθυμοι τε ωσι, και ἡδεως διαγινωνται. 2 *Mac. xi.* 26. *Conf. Deut. xiv.* 26. *xxvii.* 7. *σιδηρος σιδηρον οξυνει, ανηρ δε παροξυνει προσωπον ἑταιρου.* *Prov. xxvii.* 17. *Ps. ciii.* 15.

37 Ημεν *δε εν τῳ πλοιῳ αἱ πασαι ψυχαι διακοσιαι ἑβδομηκονταεξ.*

πασαι αἱ ψυχαι ἑξηκονταεξ. *Gen. xlvi.* 26. *Conf. cap. ii.* 41. *vii.* 14. 1 *Pet. iii.* 20. *οἱ—εν πλοιοις.* *Ps. cvi.* 23.

38 Κορεσθεντες *δε τροφης, εκουφιζον το πλοιον, εκβαλλομενοι τον σιτον εις την θαλασσαν.*

εμπλησθεντες κορησουσι. *Dent. xxxi.* 20. *Ps. xxi.* 26. *Sym. εκουφιζον το πλοιον.* *Jon. i.* 5. *σιτον.* *Job. iii.* 24. *Prov. iv.* 17. *και εβαλω αυτους εις παντα τα εθνη.* *Zach. vii.* 14. [*τον* Θεον *θεασωμεθα, και κορεσθωμεν της αυτου τροφης της θεϊκης.* *Act. Thom. c.* 57.]

39 Ὁτε *δε ἡμερα εγενετο, την γην ουκ επεγινωσκον· κολπον δε τινα κατενοουν εχοντα αιγιαλον, εις ὁν ἑβουλευσαντο, ει δυναιντο, εξωσαι το πλοιον.*

εξωσαν με—εις Βαβυλωνα. *Jer. xxviii.* 35. *Joel. ii.* 20. [*κολπον.* *Jos. Ant. iii.* 1. 5.] [*γενομενης δ' ἑσπερας ἡ μεν ναυς προσεσχε.* *Philo in Flac. p.* 969.] *παρ' αιγιαλον θαλασσων.* *Jud. v.* 17. *Alex. Ald. Comp.* [*ει δυνατον.* *Jos. Ant. iv.* 8. 45.]

40 Και *τας αγκυρας περιελοντες ειων εις την θαλασσαν, ἁμα*

ανεντες τας ζευκτηριας των πηδαλιων· και επαραντες τον αρτεμονα τη πνεουση κατειχον εις τον αιγιαλον.

ανες απο του ζυγου. 2 *Par. x.* 9. *Mal. iv.* 2. *Conf. Esa. xxxii.* 23. περιελθοντες. *Conf.* 2 *Cor. iii.* 16. [ειασαν επι τῳ Θεῳ την σωτηριαν αυτου. *Jos. Ant. ii.* 9. 4.] [κατεχειν· κρατειν. *Hesych.*]

41 *Περιπεσοντες δε εις τοπον διθαλασσον, εποκειλαν την ναυν· και ἡ μεν πρωρα ερεισασα εμεινεν ασαλευτος, ἡ δε πρυμνα ελυετο ὑπο της βιας των κυματων.*

ὑπο βιας ανεμων. *Sap. iv.* 4. *vii.* 20. ὑδατος πορευομενου βιᾳ. *xvii.* 18. *xix.* 7. [τραχεα και διθαλλαττα. *Chrys.*] *Conf.* 2 *Cor. xi.* 25. συνετριβησαν αἱ νηες εν Γαισιων Γαβερ. 3 *Reg. xxii.* 48. *Comp.* [εν αυταις του βιου ταις δυσμαις εποκειλαντας τε και ναυαγησαντας. *Philo. p.* 1128. *Loesner.* εποκειλαν· επανεπαυσαν. *Hesych.* εποκειλαι· επι το ξηρον ελθειν. *Ib.* οκελλει· προσορμει. *Suid.*]

42 *Των δε στρατιωτων βουλη εγενετο ἱνα τους δεσμωτας αποκτεινωσι, μητις εκκολυμβησας διαφυγοι.*

43 *Ὁ δε ἑκατονταρχος βουλομενος διασωσαι τον Παυλον, εκωλυσεν αυτους του βουληματος, εκελευσε τε τους δυναμενους κολυμβᾳν, απορριψαντας πρωτους επι την γην εξιεναι,*

ὁπως διασωσῃ ὁ Θεος ἡμας. *Jon. i.* 6. σεσωσμενον και διαπεφυγοτα. *Jos. viii.* 22. κωλυσαι λαον απο ἁμαρτιας. *Sir. xlvi.* 7. [νειν και νηχεσθαι, Αττικως· κολυμβᾳν, Ἑλληνικως. *Moeris.*] εις τον ποταμον ῥιψατε. *Exod. i.* 22. *xxii.* 31. το σκετλιον αυτου βουλημα. 2 *Mac. xv.* 5. *Conf. Gen. xviii.* 22.

44 *Και τους λοιπους, οὓς μεν επι σανισιν, οὓς δε επι τινων των απο του πλοιου. και οὑτως εγενετο παντας διασωθηναι επι την γην.*

επι σανισιν. 4 *Reg. xii.* 9. *Cant. viii.* 9. *Ezech. xxvii.* 5. ους μεν —ους δε. *Conf. Sturz. p.* 207. ου δυνησομαι διασωθηναι εις το ορος. *Gen. xix.* 19. γυμνοι διεσωθησαν. 2 *Mac. xi.* 12. και εκεκραξαν προς Κυριον εν τῳ θλιβεσθαι αυτους, και εκ των αναγκων αυτων εσωσεν αυτους, κ. τ. λ. *Ps. cvi.* 19-30.

ΚΕΦ. κη. 28.

ΚΑΙ *διασωθεντες, τοτε επεγνωσαν ὁτι Μελιτη ἡ νησος καλειται·*

διεσωθησαν εις Αρμενιαν. *Esa. xxxvii.* 38. και επιγνωσῃ ὁτι εγω Κυριος. *Ezech. xvi.* 62. *Conf. cap. xxvii.* 26.

2 Οἱ δε βαρβαροι παρειχον ου την τυχουσαν φιλανθρωπιαν ἡμιν· αναψαντες γαρ πυραν, προσελαβοντο παντας ἡμας, δια τον ὑετον τον εφεστωτα, και δια το ψυχος.

παραδωσω σε εις χειρας ανδρων βαρβαρων. Ezech. xxi. 31. [Ἑλλησι τε και βαρβαροις. *Jos. Bell. Jud. Proem.* § 5.] και ου τῳ τυχοντι περιηψαν ψογῳ. 3 *Mac. iii.* 7. *xix.* 11. και πυρας αναψαντες. 2 *Mac. x.* 36. εχεις προς ἁπαντας ευαπαντητον φιλανθρωπιαν. 2 *Mac. xiv.* 9. *vi.* 22. τους φυγαδευθεντας απο Ἱεροσολυμων προσλαβομενοι. 2 *Mac. x.* 15. και ἡ νεφελη σου εφεστηκεν επ᾽ αυτον. *Num. xiv.* 14. *Sap. vi.* 5. κατα προσωπον ψυχους αυτου τις ὑποστησεται; *Ps. cxlvii.* 17. *Conf. Rom.* 1. 14. 1 *Cor. xiv.* 11. *Col. iii.* 11. *Prov. xxiv.* 11. *Rom. ii.* 14.

3 Συστρεψαντος δε του Παυλου φρυγανων πληθος, και επιθεντος επι την πυραν, εχιδνα εκ της θερμης εξελθουσα καθηψε της χειρος αυτου.

τις συνεστρεψεν ὑδωρ εν ἱματιῳ; *Prov. xxx.* 4. ὡς φρυγανα επι πυρι κατακαυθησονται. *Esa. xlvii.* 14. [φρυγανα· ὑλη λεπτη και ξηρα. *Hesych.*] εν θερμῃ καμινου. *Sir. xxxviii.* 28. καθηψατο μου ὁ ἡλιος. *Cant. i.* 6. *Sym.* θερμη. *Job. vi.* 17. *Ps. xviii.* 6. *Sir. xxxviii.* 28.

4 Ὡς δε ειδον οἱ βαρβαροι κρεμαμενον το θηριον εκ της χειρος αυτου, ελεγον προς αλληλους, Παντως φονευς εστιν ὁ ανθρωπος οὑτος, ὁν διασωθεντα εκ της θαλασσης ἡ δικη ζῃν ουκ ειασεν.

θηριον. *Deut. xxxii.* 24. *Sap. xvi.* 5. εταραχθησαν προς αλληλους. *Gen. xlii.* 28. παντως. *Tob. xiv.* 8. 2 *Mac. iii.* 13. *Conf. Jon. i.* 12-14. φονευς. *Sap. xii.* 5. διελθοντες κλυδωνα σχεδιᾳ διεσωθησαν. *Sap. xiv.* 5. μελλουσαν παρακολουθησειν επ᾽ αυτῳ δικην. 2 *Mac. viii.* 11-13. ουκ εᾳ με αναπνευσαι. *Job. ix.* 18. ανδρα τον εν αιτιᾳ φονου ὁ εγγυομενος, φυγας εσται και ουκ εν ασφαλειᾳ. *Prov. xxviii.* 17. Θεου δικη. 2 *Mac. viii.* 13.

5 Ὁ μεν ουν αποτιναξας το θηριον εις το πυρ, επαθεν ουδεν κακον.

δεινα πασχων. *Sir. xxxviii.* 16. ιδου διδωμι ὑμιν την εξουσιαν του πατειν επανω οφεων και σκορπιων, κ. τ. λ. *Luc. x.* 19. *Esa. xi.* 8. [αποτετινακται· απερριψε. *Hesych.*]

6 Οἱ δε προσεδοκων αυτον μελλειν πιμπρασθαι η καταπιπτειν αφνω νεκρον· επι πολυ δε αυτων προσδοκωντων, και θεω-

ρουντων μηδεν ατοπον εις αυτον γινομενον, μεταβαλλομενοι ελεγον θεον αυτον ειναι.

αφνω δε πεσοντα προς την γην. 2 Mac. iii. 27. μεταβαλλομενοι. 2 Mac. vi. 29. [και του μηδεν κατα τον οδον παθειν ατοπον. Jos. Ant. xi. 5. 2. viii. 14. 4.] Conf. cap. xiv. 11.

7 Εν δε τοις περι τον τοπον εκεινον ὑπηρχε χωρια τῳ πρωτῳ της νησου, ονοματι Ποπλιῳ, ὁς αναδεξαμενος ἡμας τρεις ἡμερας φιλοφρονως εξενεσεν.

οἱ ανθρωποι οἱ εκ του τοπου. Gen. xxxviii. 21, 22. πρωτος των ᾳδοντων. Neh. xii. 46. και φιλοφρονως ὑπο του αρχιερεως—αποδεχθεις. 2 Mac. iii. 9. χωρια, (castella.) xi. 5. xii. 7. 1 Par. xxvii. 27. [ξενιζομενοι φιλοφρονουνται. Philo. de Abr. p. 386.] [χωρια pro χωριον. ut Joseph. urbs Κανα *dicitur, χωρια δ' εστι ταυτα της* Κοιλιας Συριας. *Jos. Ant. xv. 5. 1. Bretschn.]*

8 Εγενετο δε τον πατερα του Ποπλιου πυρετοις και δυσεντεριᾳ συνεχομενον κατακεισθαι· προς ὁν ὁ Παυλος εισελθων, και προσευξαμενος, επιθεις τας χειρας αυτῳ, ιασατο αυτον.

συνεχομενος φοβῳ. Job. iii. 24. κατακεισθαι. Prov. vi. 9. Conf. Matt. iv. 24. Luc. iv. 40. επιθησεις τας χειρας σου επ' αυτον. Num. xxvii. 18. και ιασατο ὁ Θεος τον Αβιμελεχ. Gen. xx. 7. Conf. Matt. ix. 18. xix. 13. Jac. v. 14. 3 Reg. xvii. 20.

9 Τουτου ουν γενομενου, και οἱ λοιποι, οἱ εχοντες ασθενειας εν τῃ νησῳ, προσηρχοντο και εθεραπευοντο·

εχοντες ασθενειας. Luc. xiii. 11. Joan. v. 5. xi. 4. εχων πολλην ελπιδα εκφευξεσθαι την ασθενειαν. 2 Mac. ix. 22. και σε ὁμοιως εθεραπευσε. Tob. xii. 3. Conf. Matt. iv. 24. Marc. vi. 54.

10 Οἱ και πολλαις τιμαις ετιμησαν ἡμας, και αναγομενοις επεθεντο τα προς την χρειαν.

εντιμως γαρ τιμησω σε. Num. xxii. 17. τιμα ιατρον προς τας χρειας τιμαις αυτου. Sir. xxxviii. 1. επολεμουν τον πολεμον. 1 Mac. iii. 2. Jon. i. 16. εὑρησεις την χρειαν σου. Sir. xxix. 3. και τα αλλα τα ανηκοντα ἡμιν. 1 Mac. xi. 35. το της χρειας. 2 Mac. xii. 39. Conf. Matt. x. 10. Sir. x. 4. 4 Reg. viii. 9. Ezra. vii. 27. =και θεριζειν θερισμον αυτου, και τρυγαν τρυγητον αυτου. 1 Reg. viii. 12. = τα προς τον Θεον. Exod. iv. 16.

11 Μετα δε τρεις μηνας ανηχθημεν εν πλοιῳ παρακεχειμακοτι εν τῃ νησῳ, Αλεξανδρινῳ, παρασημῳ Διοσκουροις·

εγενετο δε μετα δυο ετη ἡμερων. Gen. xli. 1. παρασημῳ Διονυσου. 3 Mac. ii. 29.

12 Και καταχθεντες εις Συρακουσας, επεμειναμεν ἡμερας τρεις·

[εις Βρεντησιον καταγεται. *Jos. Ant. xiv.* 14. 3.] και ουκ ηδυνηθησαν επιμειναι. *Exod. xii.* 39.

13 Ὁθεν περιελθοντες κατηντησαμεν εις Ῥηγιον, και μετα μιαν ἡμεραν επιγενομενου νοτου δευτεραιοι ηλθομεν εις Ποτιολους·

οἱ επιγινομενοι, *posteri. Epist. Jer.* 47.

14 Οὑ εὑροντες αδελφους, παρεκληθημεν επ' αυτοις επιμειναι ἡμερας ἑπτα· και οὑτως εις την Ῥωμην ηλθομεν.

και παρεκαλεσε τους—φιλους αυτου παραθεσθαι αυτοις την αποσκευην αυτων, κ. τ. λ. 1 *Mac. ix.* 35. *Conf. Ps. xv.* 3. *cxvii.* 26.

15 Κακειθεν οἱ αδελφοι ακουσαντες τα περι ἡμων, εξηλθον εις απαντησιν ἡμιν αχρις Αππιου φορου και Τριων Ταβερνων· οὑς ιδων ὁ Παυλος, ευχαριστησας τῳ Θεῳ, ελαβε θαρσος.

αναγγελλει τα περι αυτου. *Sir. xix.* 30. εξηλθεν εις την απαντησιν αυτων. 1 *Reg. ix.* 14. ευχαριστησωμεν Κυριῳ τῳ Θεῳ. *Judith. viii.* 25. *Cap. xviii.* 2. καθαρος δε χειρας αναλαβοι θαρσος. *Job. xvii.* 9. *iv.* 4. ἑως ενταυθα εβοηθησεν ἡμιν Κυριος. 1 *Reg. vii.* 12. *Conf.* 1 *Mac. iv.* 35. *Exod. iv.* 14. κατηντησεν εις Ἱεροσολυμα. 2 *Mac. iv.* 21. [μεχρι δευτεραιους γινομενους. *Jos. Ant. i.* 10. 1.] [*Conf. Cic. ad Att. ii.* 10. *ii.* 12.]

16 Ὁτε δε ηλθομεν εις Ῥωμην, ὁ ἑκατονταρχος παρεδωκε τους δεσμιους τῳ στρατοπεδαρχῃ· τῳ δε Παυλῳ επετραπη μενειν καθ' ἑαυτον, συν τῳ φυλασσοντι αυτον στρατιωτῃ.

ὁ ἑκατονταρχος. *Exod. xviii.* 21. [*Jos. Ant. ix.* 7. 2.] επετρεψα σοι ποιησαι κομμα ιδιον νομισμα. 1 *Mac. xv.* 6. και τοις Αιγυπτιοις τοις συνδειπνουσι μετ' αυτου καθ' ἑαυτους. *Gen. xliii.* 32. *Zach. xii.* 12. [ηξιωσε τον συνδεμενον αυτῳ στρατιωτην. *Jos. Ant. xviii.* 7. 7. *Conf. Krebs.*] *Gen. xxxix.* 21-23.

17 Εγενετο δε μετα ἡμερας τρεις συγκαλεσασθαι τον Παυλον τους οντας των Ιουδαιων πρωτους· συνελθοντων δε αυτων, ελεγε προς αυτους, Ανδρες αδελφοι, εγω ουδεν εναντιον ποιησας τῳ λαῳ η τοις εθεσι τοις πατρῳοις, δεσμιος εξ Ἱεροσολυμων παρεδοθην εις τας χειρας των Ῥωμαιων·

[οἱ πρωτοι της χωρας. *Jos. Ant. vii.* 9. 8. παρειχον των ἱερων. (*Havercamp.* Ιουδαιων) οἱ πρωτοι. *x.* 45. *Conf. Krebs.*] και συνε-

καλεσε τους πρεσβυτερους Ισραηλ. Jos. xxiv. 1. *Alex. Comp. εν πρωτοις των κεκλημενων.* 1 *Reg. ix.* 22. *εναντια εποιησεν εν μεσῳ του λαου μου. Ezech. xviii.* 18. *μη εναντιου τῳ Κυριῳ.* 1 *Esd. i.* 7. *και πολιτευεσθαι κατα τα επι των προγονων αυτων εθη.* 2 *Mac. xi.* 25. *μεταβαινειν εκ των πατρῳων νομων. vi.* 1. *πατρῳους τιμας.* 2 *Mac. iv.* 15. *και παραδοθησεσθε εις χειρας των εχθρων. Lev. xxvi.* 25. *Conf.* 1 *Mac. viii.* 2 *Mac. viii. xi.*

18 Οἱτινες ανακριναντες με εβουλοντο απολυσαι, δια το μηδεμιαν αιτιαν θανατου ὑπαρχειν εν εμοι.

αιτιον—απελυσε των κατηγορηματων. 2 *Mac. iv.* 47. *μειζων ἡ αιτια μου του αφεθηναι με. Gen. iv.* 13. *εν αιτιᾳ φονου. Prov. xxviii.* 17. *ουχ ὑπαρχει μοι φιλος. Sir. xx.* 16. *Conf. Joan. xviii.* 38. *οἱτινες. Exod. xxxii.* 9. *Ps. lxxxii.* 12.

19 Αντιλεγοντων δε των Ιουδαιων, ηναγκασθην επικαλεσασθαι Καισαρα, ουχ ὡς του εθνους μου εχων τι κατηγορησαι.

λαον απειθουντα και αντιλεγοντα. Esa. lxv. 2. *Conf. cap. xiii.* 45.

20 Δια ταυτην ουν την αιτιαν παρεκαλεσα ὑμας ιδειν και προσλαλησαι· ἑνεκεν γαρ της ελπιδος του Ισραηλ την ἁλυσιν ταυτην περικειμαι.

δια τηνδε την αιτιαν. 2 *Mac. xii.* 40. *ὁρων (αυτον) ηδη τα δεσμα περικειμενον.* 4 *Mac. xii.* 2 *Mac. iv.* 42. *Conf. cap. xxvi.* 6, 7. *ελπισατω Ισραηλ επι τον Κυριον, κ. τ. λ. Ps. cxxix.* 7, 8.

21 Οἱ δε προς αυτον ειπον, Ἡμεις ουτε γραμματα περι σου εδεξαμεθα απο της Ιουδαιας, ουτε παραγενομενος τις των αδελφων απηγγειλεν η ελαλησε τι περι σου πονηρον.

απεστειλαν γραμματα προς Ιουδαν. 1 *Mac. v.* 10. *αδελφοι. Deut. xv.* 2, 3. *Ps. cxxxii.* 1. *και ουκ ην ὁς επηνεγκεν αυτῃ ῥημα πονηρον, ὁτι εφοβειτο τον Θεον σφοδρα. Judith. viii.* 8. *Conf. Gen. xxxvii.* 2. *Ps. lxiii.* 5.

22 Αξιουμεν δε παρα σου ακουσαι ἁ φρονεις· περι μεν γαρ της αἱρεσεως ταυτης, γνωστον εστιν ἡμιν ὁτι πανταχου αντιλεγεται.

ὁ Σαλωμων ηξιωσεν ἱνα ὁ τοπος καθαγιασθῃ. 2 *Mac. ii.* 8. *Sap. xiv.* 30. *αλλοτρια φρονειν των πραγματων.* 2 *Mac. xiv.* 26. [*ουχ οὑτω φρονεις ὡς λεγεις. Philo. p.* 144. *Edit. Col.*] *μη αντιλεγε τῃ αληθειᾳ. Sir. iv.* 25. *Luc. ii.* 14. *Heb. xii.* 3. *αἱρεσεως ταυτης. Cap. v.* 17. *xv.* 5. *xxvi.* 5. *Conf. Matt. v.* 11.

23 Ταξαμενοι δε αυτῳ ἡμεραν, ἡκον προς αυτον εις την ξενιαν

πλειονες· οἱς εξετιθετο διαμαρτυρομενος την βασιλειαν του Θεου, πειθων τε αυτους τα περι του Ιησου, απο τε του νομου Μωσεως και των προφητων, απο πρωϊ ἑως ἑσπερας.

εις χρονον—τακτον. *Job. xii.* 5. ταξῃ μοι χρονον. *xiv.* 13. ξενια. *Conf. Philem.* 22. κριμα δε πραεων εκθησει. *Job. xxxvi.* 15. διαμαρτυραι τῃ Ἱερουσαλημ τας ανομιας αυτης. *Ezech. xvi.* 2. ευλογητος ὁ Θεος—και ἡ βασιλεια αυτου. *Tob. xiii.* 1. πειθων. *Conf. cap. xix.* 8. *Sap. xvi.* 8. δια του νομου, και των προφητων. *Prol. Sir.* απο ἑσπερας ἑως πρωϊ. *Lev. xxiv.* 3. *Exod. xviii.* 13. [*Conf. Sturz. p.* 210.] [ξενια· ὑποδοχη, καταλυμα, καταγωγιον. *Hesych.*]

24 Και οἱ μεν επειθοντο τοις λεγομενοις, οἱ δε ηπιστουν.

εαν σου δεηται ὁ εχθρος—μη πεισθῃς. *Prov. xxvi.* 25. *Conf. Ezech. ii.* 5-7. τινες μεν αυτων εποιησαν το αρεστον, τινες δε επληθυναν ἁμαρτιας. *Sir. xlviii.* 16. [οἱ μεν—οἱ δε. *Conf. Sturz. de Voc. Alex. p.* 207.] *Conf. Matt. xv.* 3-8. 2 *Cor. ii.* 16.

25 Ασυμφωνοι δε οντες προς αλληλους απελυοντο, ειποντος του Παυλου ῥημα ἑν, ὁτι, Καλως το Πνευμα το ἁγιον ελαλησε δια Ησαϊου του προφητου προς τους πατερας ἡμων,

ασυμφωνος εχθρων βοη. *Sap. xviii.* 10. *Ps. liv.* 10. *Sym.* εταραχθησαν προς αλληλους. *Gen. xlii.* 28. απελυετο εις την παρεμβολην. *Exod. xxxiii.* 11. τουτο το ῥημα, ὁ ειπε Κυριος, ποιησατε. *Lev. ix.* 6. ὁτι. *Conf. Gen. xxix.* 33. *Jos. ii.* 24. καλως ἑωρακας. *Jer. i.* 12. *Conf. Joan. xiii.* 13. μη γινεσθε καθως οἱ πατερες ὑμων. *Zach. i.* 4. ελαλησε, λεγων. *Gen. xlii.* 22. αυτοι δε ηπειθησαν, και παρωξυναν το Πνευμα το ἁγιον αυτου, κ.τ.λ. *Esa. lxiii.* 10.

26 Λεγον, Πορευθητι προς τον λαον τουτον και ειπε, Ακοῃ ακουσετε, και ου μη συνητε· και βλεποντες βλεψετε, και ου μη ιδητε.

27 Επαχυνθη γαρ ἡ καρδια του λαου τουτου, και τοις ωσι βαρεως ηκουσαν, και τους οφθαλμους αὑτων εκαμμυσαν· μηποτε ιδωσι τοις οφθαλμοις, και τοις ωσιν ακουσωσι, και τῃ καρδιᾳ συνωσι και επιστρεψωσι, και ιασωμαι αυτους.

26, 27.] Πορευθητι, και ειπον τῳ λαῳ τουτῳ, κ. τ. λ. *Esa. vi.* 9, 10. πορευου, και ειπον προς τον δουλον μου. 2 *Reg. vii.* 5. *Jer. v.* 21. *Ezech. xii.* 2. *Conf. Matt. xiii.* 14. *Marc. iv.* 12. *Luc. viii.* 10. *Joan. xii.* 40. *Rom. xi.* 8. *CITAT.* 136.

28 Γνωστον ουν εστω ὑμιν, ὁτι τοις εθνεσιν απεσταλη το σωτηριον του Θεου, αυτοι και ακουσονται.

γνωστον εστω τω βασιλει. Esd. iv. 12. Dan. iii. 18. τα εθνη προς ἁ απεστειλε με Κυριος. Jer. xxxii. 17. το σωτηριον του Θεου. Esa. xxxviii. 11. και εκει ὁδος ἡ δειξω αυτῳ το σωτηριον Θεου. Ps. xlix. 23. lxxxiv. 7. 9. αγαλλιασομαι επι τῳ σωτηριῳ σου. Ps. ix. 14. του γνωναι εν τῃ γῃ την ὁδον σου, εν πασι εθνεσι το σωτηριον σου. lxvi. 2. Conf. Luc. xxiv. 47. cap. xiii. 14. Esa. xlix. 6. lii. 10. Thren. iii. 26. εγνωρισε Κυριος το σωτηριον αυτου, εναντιον των εθνων απεκαλυψε την δικαιοσυνην αυτου. Ps. xcvii. 2.

29 Και ταυτα αυτου ειποντος απηλθον οἱ Ιουδαιοι, πολλην εχοντες εν ἑαυτοις συζητησιν.

μεγαλοι εξικνουμενοι καρδιαν. Jud. v. 15. [ακριβασμοι καρδιας. Ald. Comp.] [οἱ φιλονεικοτεροι εν τε ταις συζητησεσι—ῥαστα οργιζονται. Philo. 2 Alleg. p. 85. Conf. Loesner. p. 181.]

30 Εμεινε δε ὁ Παυλος διετιαν ὁλην εν ιδιῳ μισθωματι, και απεδεχετο παντας τους εισπορευομενους προς αυτον,

μετα διετη χρονον. 2 Mac. x. 3. φιλοφρονως ὑπο του αρχιερεως αποδεχθεις. iii. 9. xiii. 24. μισθωμα. Deut. xxiii. 18. εισπορευομενοι. Est. ii. 14. [εὑρισκετο δ' αυτῳ παρα Μακρωνος, στρατιωτων τε μετριων ανδρων, οἱ παραφυλαξειαν αυτον εν φροντισιν, και ἑκατονταρχου εφεστησομενου τε ἐκεινοις και συνδετου εσομενου, λουτρα τε καθ' ἡμεραν συγχωρεισθαι, και απελευθερων και φιλων εισοδους, κ. τ. λ. Jos. Ant. xviii. 7. 7. Conf. Krebs. pp. 265, 266.]

31 Κηρυσσων την βασιλειαν του Θεου, και διδασκων τα περι του Κυριου Ιησου Χριστου, μετα πασης παρῥησιας ακωλυτως.

κηρυξατε ταυτα εν τοις εθνεσι. Joel. iii. 9. και κηρυσσοντας ειρηνην επ' αυτον. Mich. iii. 5. εδειξεν αυτῳ βασιλειαν Θεου, και εδωκεν αυτῳ γνωσιν ἁγιων. Sap. x. 10. τα περι αυτου. Sir. xix. 30. μετα παρῥησιας. Lev. xxvi. 13. παρῥησιασομαι εν αυτῳ. Ps. xi. 5. ακωλυτον. Sap. vii. 22. ὡς ὡρα επι των ορεων, ὡς ποδες ευαγγελιζομενου ακοην ειρηνης, κ. τ. λ. Esa. lii. 7. και απαγγελλων εις ανθρωπους τον Χριστον αυτου. Amos. iv. 13. δοξαν της βασιλειας σου ερουσι, και την δυναστειαν σου λαλησουσι· Του γνωρισαι τοις υἱοις των ανθρωπων την δυναστειαν σου, και δοξαν της μεγαλοπρεπειας της βασιλειας σου. κ. τ. λ. Ps. clxiv. 11-13.